ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ
ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ

10

ΥΠΟΜΝΗΜΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ

(ΟΜΙΛΙΑ ΚΑ´—ΜΗ´)

ΚΕΙΜΕΝΟΝ: FRIDERICUS FIELD
ΜΕΤΑΦΡΑΣΙΣ - ΣΧΟΛΙΑ
Ὑπὸ
ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡΕΤΑΚΗ
Θεολόγου

Επόπται

ΠΑΝ. Κ. ΧΡΗΣΤΟΥ, Καθηγητὴς Πανεπιστημίου
ΘΕΟΔ. Ν. ΖΗΣΗΣ, Ὑφηγητὴς Πανεπιστημίου

Ἐπιμεληταὶ

ΒΑΣ. Δ. ΦΑΝΟΥΡΓΑΚΗΣ, π. Θεολογίας
ΕΛΕΥΘ. Γ. ΜΕΡΕΤΑΚΗΣ, π. Θεολογίας

ΕΠΕ

ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ «ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ»
ΘΕΣΣΑΛΟΝΙΚΗ 1978

ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ

10

ΥΠΟΜΝΗΜΑ

ΕΙΣ ΤΟ ΚΑΤΑ ΜΑΤΘΑΙΟΝ ΕΥΑΓΓΕΛΙΟΝ

(ΟΜΙΛΙΑΙ ΚΑ΄—ΜΗ΄)

ΠΙΝΑΞ ΠΕΡΙΕΧΟΜΕΝΩΝ

	Σελὶς
ΟΜΙΛΙΑ ΚΑ′	7—29
ΟΜΙΛΙΑ ΚΒ′	30—63
ΟΜΙΛΙΑ ΚΓ′	64—117
ΟΜΙΛΙΑ ΚΔ′	118—143
ΟΜΙΛΙΑ ΚΕ′	144—169
ΟΜΙΛΙΑ ΚΣΤ′	170-215
ΟΜΙΛΙΑ ΚΖ′	216—243
ΟΜΙΛΙΑ ΚΗ′	244—277
ΟΜΙΛΙΑ ΚΘ′	278—297
ΟΜΙΛΙΑ Λ′	298—335
ΟΜΙΛΙΑ ΛΑ′	336—365
ΟΜΙΛΙΑ ΛΒ′	366—415
ΟΜΙΛΙΑ ΛΓ′	416—459
ΟΜΙΛΙΑ ΛΔ′	460—491
ΟΜΙΛΙΑ ΛΕ′	492—527
ΟΜΙΛΙΑ ΛΣΤ′	528—555
ΟΜΙΛΙΑ ΛΖ′	556—699
ΟΜΙΛΙΑ ΛΗ′	600—623
ΟΜΙΛΙΑ ΛΘ′	624—643
ΟΜΙΛΙΑ Μ′	644—671
ΟΜΙΛΙΑ ΜΑ′	672—697
ΟΜΙΛΙΑ ΜΒ′	698—721
ΟΜΙΛΙΑ ΜΓ′	722—755
ΟΜΙΛΙΑ ΜΔ′	756—787
ΟΜΙΛΙΑ ΜΕ′	788—805
ΟΜΙΛΙΑ ΜΣΤ′	806—829
ΟΜΙΛΙΑ ΜΖ′	830—853
ΟΜΙΛΙΑ ΜΗ′	854—893
ΕΥΡΕΤΗΡΙΑ	894—911
1. Εὑρετήριον χωρίων τῆς Γραφῆς	894—903
2. Εὑρετήριον ὀνομάτων καὶ πραγμάτων	904—911
Παροράματα	912

ΟΜΙΛΙΑ ΚΑ΄
Ματθ. 6, 24 - 27

«Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν· ἢ γὰρ τὸν ἕνα μισήσει, καὶ τὸν ἕτερον ἀγαπήσει· ἢ ἑνὸς ἀνθέξεται, 5 *καὶ τοῦ ἑτέρου καταφρονήσει».*

1. Ὁρᾶς πῶς κατὰ μικρὸν τῶν ὄντων ἀφίστησι καὶ διὰ πλειόνων τὸν περὶ τῆς ἀκτημοσύνης εἰσάγει λόγον καὶ τὴν τῆς φιλαργυρίας καταβάλλει τυραννίδα; Οὐδὲ γὰρ ἠρκέσθη τοῖς ἔμπροσθεν, καίτοι πολλοῖς καὶ μεγάλοις οὖσιν· 10 *ἀλλὰ καὶ ἕτερα προστίθησι πλείονα καὶ φοβερώτερα. Τί γὰρ τῶν νῦν εἰρημένων φοβερώτερον, εἴγε μέλλοιμεν τῆς τοῦ Χριστοῦ δουλείας ἐκπίπτειν διὰ τὰ χρήματα; τί δὲ ποθεινότερον, εἴγε μέλλοιμεν αὐτῶν ὑπεριδόντες ἀκριβῆ τὴν πρὸς αὐτὸν εὔνοιαν ἔχειν καὶ τὴν ἀγάπην; Ὅπερ γὰρ ἀεὶ* 15 *λέγω, τοῦτο καὶ νῦν ἐρῶ, ὅτι δι' ἑκατέρων ὠθεῖ τὸν ἀκροατὴν εἰς τὴν ὑπακοὴν τῶν λεγομένων, καὶ διὰ τῶν ὠφελίμων, καὶ διὰ τῶν βλαβερῶν· καθάπερ ἰατρὸς ἄριστος, καὶ τὴν ἐκ τῆς ἀπροσεξίας νόσον καὶ τὴν ἀπὸ τῆς ὑπακοῆς ὑγείαν ἐνδεικνύμενος.*

20 *Ὅρα γοῦν οἷον πάλιν δείκνυσι τὸ κέρδος τοῦτο, καὶ πῶς κατασκευάζει τὸ συμφέρον ἀπὸ τῆς τῶν ἐναντίων ἀπαλλαγῆς. Οὐ γὰρ τοῦτο μόνον ὑμᾶς βλάπτει, φησίν, ὁ πλοῦτος, ὅτι λῃστὰς ὁπλίζει καθ' ὑμῶν, οὐδ' ὅτι τὸν νοῦν σκοτοῖ μετ' ἐπιτάσεως ἁπάσης· ἀλλ' ὅτι καὶ τῆς δουλείας ὑμᾶς ἐκ-* 25 *βάλλει τοῦ Θεοῦ, αἰχμαλώτους τῶν ἀψύχων χρημάτων ποιῶν, καὶ ἑκατέρωθεν βλάπτων, καὶ τῷ δούλους ποιεῖν ὧν κρατεῖν ἔδει, καὶ τῷ τῆς δουλείας ἐκβάλλειν τοῦ Θεοῦ, ᾧ*

ΟΜΙΛΙΑ ΚΑ΄
Ματθ. 6, 24 - 27

«Κανεὶς δὲν ἠμπορεῖ νὰ δουλεύῃ εἰς δύο κυρίους· διότι ἢ τὸν ἕνα θὰ μισήσῃ καὶ τὸν ἄλλον θὰ ἀγαπήσῃ ἢ θὰ προσηλωθῇ εἰς τὸν ἕνα καὶ θὰ καταφρονήσῃ τὸν ἄλλον».

1. Βλέπεις πῶς σιγὰ - σιγὰ ἀπομακρύνεται ἀπὸ τὰ ὑλικὰ πράγματα καὶ διὰ περισσοτέρων λόγων εἰσάγει τὴν ἐντολὴν περὶ τῆς ἀκτημοσύνης καὶ κατατροπώνει τὴν τυραννίδα τῆς φιλαργυρίας; Διότι δὲν ἠρκέσθη εἰς ὅσα εἶπε προηγουμένως, ἂν καὶ εἶναι πολλὰ καὶ σπουδαῖα, ἀλλὰ προσθέτει καὶ ἄλλα περισσότερα καὶ φοβερώτερα. Διότι τί εἶναι φοβερώτερον ἀπὸ αὐτὰ ποὺ τώρα ἔχουν λεχθῆ, ἐὰν βέβαια θὰ συνέβαινεν ἐξ αἰτίας τῶν χρημάτων νὰ ἐκπέσωμεν ἀπὸ τὴν δουλείαν τοῦ Χριστοῦ; καὶ τί εἶναι περισσότερον ποθητόν, ἐὰν ἤθελε συμβῆ παραβλέποντες τὰ χρήματα νὰ ἔχωμεν τελείαν ἀφοσίωσιν πρὸς αὐτὸν καὶ τὴν ἀγάπην; Ἐκεῖνο λοιπὸν ποὺ πάντοτε λέγω, αὐτὸ καὶ τώρα θὰ εἰπῶ, ὅτι δηλαδὴ καὶ διὰ τῶν δύο ὁδηγεῖ τὸν ἀκροατὴν εἰς τὴν ὑπακοὴν αὐτῶν ποὺ λέγει, καὶ διὰ τῶν ὠφελίμων καὶ διὰ τῶν βλαβερῶν· ὥσὰν δηλαδὴ ἄριστος ἰατρὸς καὶ τὴν ἐξ ἀπροσεξίας ἀσθένειαν ὑποδεικνύει καὶ τὴν ἀπὸ τῆς ὑπακοῆς ὑγείαν.

Πρόσεξε λοιπὸν μὲ ποῖον τρόπον πάλιν καθιστᾷ φανερὸν τὸ κέρδος αὐτὸ καὶ πῶς ἀποδεικνύει τὸ συμφέρον ἀπὸ τὴν ἀποφυγὴν τῶν ἀντιθέτων πραγμάτων. Διότι, λέγει, δὲν σᾶς βλάπτει μόνον ὡς πρὸς τοῦτο ὁ πλοῦτος, ὅτι δηλαδὴ ὁπλίζει τοὺς ληστὰς ἐναντίον σας, οὔτε ὅτι σκοτίζει ἐξ ὁλοκλήρου τὸν νοῦν, ἀλλ᾽ ὅτι σᾶς ἀπομακρύνει καὶ ἀπὸ τὴν δουλείαν τοῦ Θεοῦ, κάμνοντάς σας αἰχμαλώτους τῶν ἀψύχων χρημάτων, καὶ σᾶς βλάπτει κατὰ τρόπον διπλοῦν, καὶ ὡς πρὸς τὸ ὅτι σᾶς κάμνει δούλους τῶν πραγμάτων ἐκείνων τῶν ὁποίων ἔπρεπε νὰ εἶσθε ἐξουσιασταί, καὶ σᾶς ἀπομακρύνει ἀπὸ τὴν δουλείαν τοῦ Θεοῦ, εἰς τὸν ὁποῖον πρέ-

μάλιστα πάντων δουλεύειν ἀναγκαῖον ὑμῖν. Ὥσπερ γὰρ ἐκεῖ διπλῆν ἔδειξε τὴν βλάβην, τῷ καὶ ἐνταῦθα τιθέναι, ὅπου σὴς ἀφανίζει, καὶ ἐκεῖ μὴ τιθέναι, ἔνθα ἀνάλωτος ἡ φυλακή· οὕτω καὶ ἐνταῦθα διπλῆν δείκνυσι τὴν ζημίαν, καὶ δι' ὧν ἀφέλκει τοῦ Θεοῦ, καὶ δι' ὧν ὑποτάττει τῷ μαμωνᾷ. Ἀλλ' οὐκ εὐθέως αὐτὸ τίθησιν, ἀλλ' ἀπὸ κοινῶν αὐτὸ πρῶτον κατασκευάζει λογισμῶν, οὕτω λέγων· «Οὐδεὶς δύναται δυσὶ κυρίοις δουλεύειν»· δύο τοὺς τὰ ἐναντία ἐπιτάττοντας λέγων ἐνταῦθα. Ἐπεὶ εἰ μὴ τοῦτο εἴη, οὐδὲ δύο ἂν εἶεν. Καὶ γὰρ «τοῦ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία»· καίτοι εἰς πολλὰ σώματα ἦσαν διῃρημένοι, ἀλλ' ὅμως ἡ ὁμόνοια τοὺς πολλοὺς ἓν ἐποίησεν.

Εἶτα ἐπιτείνων αὐτά, φησίν· οὐ μόνον οὐ δουλεύσει, ἀλλὰ καὶ μισήσει καὶ ἀποστραφήσεται. «Ἢ γὰρ τὸν ἕνα μισήσει», φησί, «καὶ τὸν ἕτερον ἀγαπήσει· ἢ ἑνὸς ἀνθέξεται καὶ τοῦ ἑτέρου καταφρονήσει». Καὶ δοκεῖ μὲν δεύτερον εἰρῆσθαι τὸ αὐτό· οὐ μὴν ἁπλῶς οὕτως αὐτὸ συνέθηκεν, ἀλλ' ἵνα δείξῃ ῥᾳδίαν οὖσαν τὴν ἐπὶ τὸ βέλτιον μεταβολήν. Ἵνα γὰρ μὴ λέγῃς· ἐδουλώθην ἅπαξ, ἐτυραννήθην ὑπὸ τῶν χρημάτων· δείκνυσιν ὅτι δυνατὸν μεταθέσθαι, καὶ ὥσπερ ἐκεῖθεν ἐπὶ τοῦτο, οὕτω καὶ ἐντεῦθεν ἐπ' ἐκεῖνο ἐλθεῖν.

Εἰπὼν τοίνυν ἀορίστως, ἵνα πείσῃ τὸν ἀκροατὴν ἀδέκαστον κριτὴν γενέσθαι τῶν λεγομένων, καὶ ἀπ' αὐτῆς τῶν πραγμάτων τῆς φύσεως τὴν ψῆφον ἐξενεγκεῖν, ὅτε ἔλαβεν αὐτὸν συμφωνοῦντα, τότε καὶ ἑαυτὸν ἀποκαλύπτει. Ἐπήγαγε

1. Προβλ. Ματθ. 6, 19-20.
1α. Πράξ. 4, 32.

πει νὰ προσφέρετε περισσότερον ἀπὸ ὁπουδήποτε ἀλλοῦ τὰς ὑπηρεσίας σας. Διότι ὅπως ἀκριβῶς ἐκεῖ ἀπέδειξε διπλῆν τὴν βλάβην, ὅτι δηλαδὴ εἶναι βλάβη καὶ νὰ τὸν τοποθετῇ κανεὶς ἐδῶ τὸν πλοῦτον του, ὅπου τὸν ἀφανίζει ὁ σκόρος, καὶ νὰ μὴ τὸν τοποθετῇ εἰς τὸν οὐρανόν, ὅπου εἶναι ἐξησφαλισμένη ἡ φύλαξίς του[1], ἔτσι καὶ ἐδῶ διπλῆν ἀποδεικνύει τὴν ζημίαν, ἀναφέρων καὶ ἐκεῖνα διὰ τῶν ὁποίων ἀπομακρύνει ἀπὸ τὸν Θεόν, καὶ ἐκεῖνα διὰ τῶν ὁποίων ὑποτάσσει εἰς τὸν διάβολον. Ἀλλ' ὅμως δὲν τὸ θέτει αὐτὸ εὐθέως ἀλλὰ τὸ παρουσιάζει κατ' ἀρχὴν μὲ ἁπλοῦς συλλογισμοὺς λέγων τὰ ἑξῆς· «Κανεὶς δὲν ἠμπορεῖ νὰ δουλεύῃ εἰς δύο κυρίους»· καὶ λέγει ἐδῶ ὅτι δύο εἶναι ἐκεῖνοι οἱ ὁποῖοι παραγγέλουν τὰ ἀντίθετα πράγματα. Διότι ἐὰν δὲν συνέβαινεν αὐτὸ δὲν θὰ ἦσαν καὶ δύο. Καθόσον «ἦτο μία ἡ καρδία καὶ ἡ ψυχὴ τοῦ πλήθους αὐτῶν ποὺ ἐπίστευσαν»[1α] καὶ μολονότι ἦσαν διῃρημένοι εἰς πολλὰ σώματα, παρὰ ταῦτα ἡ ὁμόνοια τοὺς ἔκανεν ὡσὰν νὰ ἦσαν ἕνας ἄνθρωπος.

Ἐν συνεχείᾳ, ἐπεκτείνων αὐτά, λέγει· ὄχι μόνον δὲν θὰ δουλεύσῃ ἀλλὰ καὶ θὰ τὸν μισήσῃ καὶ θὰ τὸν ἀποστραφῇ. «Διότι», λέγει, «ἢ τὸν ἕνα θὰ μισήσῃ καὶ τὸν ἄλλον θὰ ἀγαπήσῃ ἢ θὰ προσηλωθῇ εἰς τὸν ἕνα καὶ θὰ περιφρονήσῃ τὸν ἄλλον». Καὶ φαίνεται μὲν ὅτι αὐτὸ ἔχει λεχθῇ διὰ δευτέραν φοράν, ἀλλ' ὅμως δὲν προσέθεσεν αὐτὸ ἁπλῶς ἔτσι, ἀλλὰ διὰ νὰ δείξῃ ὅτι εἶναι εὔκολος ἡ μεταβολὴ πρὸς τὸ καλύτερον. Διὰ νὰ μὴ λέγῃς λοιπόν, 'ἔγινα δοῦλος τώρα πλέον, ἔγιναν τὰ χρήματα τύραννός μου', ἀποδεικνύει ὅτι εἶναι δυνατὴ ἡ ἀλλαγὴ τῆς καταστάσεως, καὶ ὅπως ἀκριβῶς ἀπὸ ἐκεῖ ἠμπορεῖ νὰ ἔλθῃς πρὸς αὐτὴν ἔτσι ἠμπορεῖ καὶ νὰ μεταβῇς ἀπὸ αὐτὴν πρὸς ἄλλην κατάστασιν.

Ἀφοῦ λοιπὸν ὡμίλησε κατ' ἀρχὴν ἀόριστα, διὰ νὰ πείσῃ τὸν ἀκροατὴν νὰ γίνῃ ἀμερόληπτος κριτὴς τῶν λεγομένων καὶ νὰ βγάλῃ τὸ συμπέρασμα ἀπὸ αὐτὴν τὴν ἰδίαν τὴν φύσιν τῶν πραγμάτων, ὅταν εἶδεν ὅτι αὐτὸς συμφωνεῖ μαζί

γοῦν· «οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ». Φρίξωμεν ἐννοήσαντες τί παρεσκευάσαμεν τὸν Χριστὸν εἰπεῖν, καὶ μετὰ Θεοῦ θεῖναι τὸν χρυσόν. Εἰ δὲ τοῦτο φρικτόν, τὸ διὰ τῶν ἔργων γίνεσθαι, καὶ προτιμᾶσθαι τοῦ φόβου τοῦ Θεοῦ τὴν
5 τοῦ χρυσοῦ τυραννίδα, πολλῷ φρικωδέστερον.

Τί οὖν; ἐπὶ τῶν παλαιῶν οὐκ ἦν τοῦτο δυνατόν; Οὐδαμῶς. Πῶς οὖν ὁ Ἀβραάμ, φησί, πῶς ὁ Ἰὼβ εὐδοκίμησε; Μή μοι τοὺς πλουτοῦντας εἴπῃς, ἀλλὰ τοὺς δουλεύοντας. Ἐπεὶ καὶ ὁ Ἰὼβ πλούσιος ἦν· ἀλλ' οὐκ ἐδούλευε τῷ μαμω-
10 νᾷ, ἀλλ' εἶχεν αὐτὸν καὶ ἐκράτει, καὶ δεσπότης, οὐ δοῦλος ἦν. Ὥσπερ οὖν ἀλλοτρίων οἰκονόμος ὢν χρημάτων, οὕτω πάντα ἐκεῖνα ἐκέκτητο, οὐ μόνον τὰ ἑτέρων οὐχ ἁρπάζων, ἀλλὰ καὶ τὰ ἴδια προϊέμενος τοῖς δεομένοις. Καὶ τὸ δὴ μεῖζον, ὅτι οὐδὲ παροῦσιν ἔχαιρεν· ὃ καὶ ἐδήλου λέγων· «εἰ
15 καὶ εὐφράνθην πολλοῦ πλούτου μοι γενομένου»· διὰ τοῦτο οὐδὲ ἤλγησεν ἀπελθόντος. Ἀλλ' οὐχὶ νῦν τοιοῦτοι οἱ πλουτοῦντές εἰσιν, ἀλλὰ καὶ παντὸς ἀνδραπόδου χεῖρον διακείμενοι, καθάπερ τυράννῳ τινὶ χαλεπῷ φόρους ἄγοντες. Ὥσπερ γὰρ ἀκρόπολίν τινα αὐτῶν καταλαβὼν τὴν διάνοιαν ὁ
20 τῶν χρημάτων ἔρως, τὰ πάσης παρανομίας γέμοντα ἐπιτάγματα ἐκεῖθεν αὐτοῖς καθ' ἑκάστην πέμπει τὴν ἡμέραν, καὶ ὁ παρακούων οὐδείς.

Μὴ τοίνυν περιττὰ φιλοσόφει. Καὶ γὰρ ἀπεφήνατο ἅπαξ ὁ Θεός, καὶ εἶπεν ἀδύνατον εἶναι ταύτην κἀκείνην συμ-
25 βῆναι τὴν δουλείαν. Μὴ τοίνυν σὺ λέγε, ὅτι δυνατόν. Ὅταν γὰρ ὁ μὲν ἁρπάζειν κελεύῃ, ὁ δὲ τὰ ὄντα ἀποδύεσθαι·

---

2. Μαμωνᾶς· διὰ τῆς λέξεως αὐτῆς πρέπει νὰ ἐννοήσωμεν τὸν πλοῦτον μᾶλλον παρὰ τὸν διάβολον.
3. Ἰὼβ 31, 25.

του τότε ἀποκαλύπτει καὶ τὴν βαθυτέραν σκέψιν του. Προσέθεσε λοιπὸν εἰς τὴν συνέχειαν· «Δὲν εἶναι δυνατὸν νὰ δουλεύετε εἰς τὸν Θεὸν καὶ εἰς τὸν μαμωνᾶν»[2]. Πρέπει νὰ φρίξωμεν ὅταν ἀντιληφθῶμεν τί διεπράξαμεν, ὥστε νὰ εἰπῇ ὁ Χριστὸς καὶ νὰ θέσῃ μαζὶ μὲ τὸν Θεὸν τὸν χρυσόν. Ἐὰν δὲ αὐτὸ εἶναι φρικτὸν πολὺ περισσότερον φρικτὸν εἶναι τὸ νὰ γίνεται κανεὶς ἐμπράκτως δοῦλος του καὶ νὰ προτιμᾷ ἀπὸ τὸν φόβον τοῦ Θεοῦ τὴν τυραννίαν τοῦ χρυσοῦ.

Τί λοιπόν; αὐτὸ δὲν ἦτο κατορθωτὸν εἰς τοὺς παλαιούς; Ἀσφαλῶς καθόλου. Πῶς λοιπὸν ὁ Ἀβραάμ, θὰ εἰπῇ κάποιος, πῶς ὁ Ἰὼβ προέκοψαν εἰς τὴν ἀρετήν; Μὴ μοῦ εἰπῇς αὐτοὺς ποὺ εἶναι πλούσιοι, ἀλλ' αὐτοὺς ποὺ εἶναι δοῦλοι τῶν χρημάτων. Διότι καὶ ὁ Ἰὼβ ἦτο πλούσιος, ἐν τούτοις ὅμως δὲν ὑπηρέτει τὸν μαμωνᾶν, ἀλλὰ τὸν κατεῖχε καὶ τὸν ἐξουσίαζε, καὶ ἦτο κύριος καὶ ὄχι δοῦλος. Ὡσὰν δηλαδὴ νὰ ἦτο διαχειριστὴς ξένων χρημάτων, ἔτσι εἶχε καὶ ὅλα ἐκεῖνα ὑπὸ τὴν ἐξουσίαν του, ὄχι μόνον μὴ ἁρπάζων τῶν ἄλλων, ἀλλὰ καὶ τὰ ἰδικά του δωρίζων εἰς αὐτοὺς ποὺ εἶχον ἀνάγκην. Καὶ τὸ σπουδαιότερον βέβαια ἦτο τὸ ὅτι δηλαδὴ δὲν ἔχαιρε μὲ τὰ παρόντα πράγματα, πρᾶγμα τὸ ὁποῖον καὶ ἐδήλωνε λέγων· «Ἂν καὶ εὐφράνθην μὲ τὸν πολὺν πλοῦτον ποὺ ἀπέκτησα»[3]· διὰ τοῦτο οὔτε ἐλυπήθη ὅταν τὸν ἔχασε τὸν πλοῦτον. Ἀλλὰ σήμερα δὲν εἶναι τέτοιοι οἱ πλούσιοι, ἀλλὰ συμπεριφέρονται χειρότερα καὶ ἀπὸ κάθε δοῦλον, καὶ ὁμοιάζουν ὡσὰν νὰ πληρώνουν φόρους εἰς σκληρὸν τύραννον. Διότι ὡσὰν κάποιαν ἀκρόπολιν κατακυριεύσασα ἡ μανία τῶν χρημάτων τὸν νοῦν των, κάθε ἡμέραν ἀποστέλλει ἀπὸ ἐκεῖ εἰς αὐτοὺς διαταγὰς ποὺ εἶναι γεμᾶται ἀπὸ κάθε παρανομίαν, καὶ δὲν ὑπάρχει κανεὶς ποὺ νὰ παρακούῃ.

Μὴ φιλοσοφῇς λοιπὸν περιττὰ πράγματα. Καθόσον ὡμίλησε μίαν φορὰν ὁ Θεὸς καὶ εἶπεν ὅτι εἶναι ἀδύνατον νὰ συνυπάρχουν αὐτὴ καὶ ἐκείνη ἡ δουλεία. Μὴ λέγῃς λοιπὸν σύ, ὅτι εἶναι δυνατόν. Διότι ὅταν ὁ μὲν ἕνας προστάζῃ νὰ

ὁ μὲν σωφρονεῖν, ὁ δὲ πορνεύειν· ὁ μὲν μεθύειν καὶ τρυφᾶν, ὁ δὲ γαστρὸς κατέχειν· καὶ ὁ μὲν ὑπερορᾶν τῶν ὄντων, ὁ δὲ προσηλῶσθαι τοῖς παροῦσιν· ὁ μὲν θαυμάζειν μάρμαρα καὶ τοίχους καὶ ὀρόφους, ὁ δὲ ταῦτα ἀτιμάζειν, τιμᾶν δὲ 5 *φιλοσοφίαν, πῶς δυνατὸν ταῦτα συμβῆναι;*

2. Κύριον δὲ ἐνταῦθα τὸν μαμωνᾶν ἐκάλεσεν, οὐ διὰ τὴν οἰκείαν φύσιν, ἀλλὰ διὰ τὴν τῶν ὑποκλινομένων αὐτῷ ταλαιπωρίαν. Οὕτω καὶ τὴν κοιλίαν Θεὸν καλεῖ, οὐκ ἀπὸ τοῦ τῆς δεσποίνης ἀξιώματος, ἀλλ' ἀπὸ τῆς τῶν δουλευόντων 10 *ἀθλιότητος· ὃ πάσης κολάσεως χεῖρόν ἐστι, καὶ πρὸ τῆς κολάσεως ἱκανὸν τιμωρήσασθαι τὸν ἁλόντα. Ποίων γὰρ καταδίκων οὐκ ἂν εἶεν ἀθλιώτεροι οἱ τὸν Θεὸν δεσπότην ἔχοντες, καὶ ἀπὸ τῆς ἡμέρου βασιλείας ἐκείνης ἐπὶ τὴν χαλεπὴν αὐτομολοῦντες τυραννίδα, καὶ ταῦτα, τοσαύτης ἀπὸ* 15 *τοῦ πράγματος βλάβης καὶ ἐνταῦθα γινομένης; Καὶ γὰρ ζημία ἄφατος ἀπὸ τοῦ πράγματος καὶ δίκαι καὶ ἐπήρειαι καὶ ἀγῶνες καὶ πόνοι καὶ ψυχῆς πήρωσις· καὶ τὸ πάντων χαλεπώτερον, ὅτι τῶν ἀγαθῶν ἐκπίπτει τῶν ἀνωτάτω, ὅπερ ἐστὶν ἡ τοῦ Θεοῦ δουλεία.*

20 *Διδάξας τοίνυν διὰ πάντων τὸ συμφέρον τῆς τῶν χρημάτων ὑπεροψίας καὶ πρὸς αὐτὴν τῶν χρημάτων τὴν φυλακὴν καὶ πρὸς τὴν τῆς ψυχῆς ἡδονὴν καὶ πρὸς τὴν τῆς φιλοσοφίας κτῆσιν καὶ πρὸς τὴν τῆς εὐσεβείας ἀσφάλειαν, κατασκευάζει λοιπὸν ὅτι καὶ δυνατὴ αὕτη ἡ παραίνεσις. Τοῦτο*

ἁρπάζῃ κανείς, ὁ δὲ ἄλλος νὰ χαρίζῃ κανεὶς καὶ αὐτὰ ποὺ ἔχει· ὁ μὲν ἕνας νὰ σωφρονῇ κανείς, ὁ δὲ ἄλλος νὰ πορνεύῃ· ὁ μὲν ἕνας νὰ μεθᾷ κανεὶς καὶ νὰ ζῇ ζωὴν ἀκόλαστον, ὁ δὲ ἄλλος νὰ ἐξουσιάζῃ τὴν κοιλίαν· καὶ ὁ μὲν ἕνας νὰ περιφρονῇ κανεὶς τὰ ὑλικὰ πράγματα, ὁ δὲ ἄλλος νὰ προσηλώνεται κανεὶς εἰς τὰ γήινα· ὁ μὲν ἕνας νὰ θαυμάζῃ κανεὶς μάρμαρα καὶ τοίχους καὶ ὀρόφους, ὁ δὲ ἄλλος νὰ περιφρονῇ κανεὶς αὐτά, νὰ τιμᾷ δὲ τὴν εὐσέβειαν, πῶς εἶναι δυνατὸν αὐτὰ νὰ συμβοῦν;

2. Εἰς αὐτὴν τὴν περίπτωσιν ὠνόμασε τὸν διάβολον κύριον, ὄχι ἐπειδὴ ἐκ φύσεως εἶναι κύριος, ἀλλ' ἐξ αἰτίας τῆς ταλαιπωρίας αὐτῶν ποὺ ὑποτάσσονται εἰς αὐτόν. Ἔτσι καὶ τὴν κοιλίαν ὀνομάζει θεόν, ὄχι ἀπὸ τὸ ἀξίωμα τῆς κυρίας, ἀλλ' ἀπὸ τὴν ἀθλιότητα αὐτῶν ποὺ δουλεύουν εἰς αὐτήν, πρᾶγμα τὸ ὁποῖον εἶναι χειρότερον ἀπὸ κάθε τιμωρίαν καὶ ἱκανὸν νὰ τιμωρήσῃ πρὸ τῆς κολάσεως αὐτὸν ποὺ συλλαμβάνει εἰς τὰ δίκτυά της. Διότι ἀπὸ ποίους καταδίκους δὲν θὰ ἦσαν ἀθλιώτεροι αὐτοὶ ποὺ ἐνῷ ἔχουν Κύριον τὸν Θεόν, καταφεύγουν ὅμως οἰκειοθελῶς ἀπὸ τὴν ἥμερον ἐκείνην βασιλείαν πρὸς τὴν σκληρὰν τυραννίδα, ὅταν μάλιστα ὅλα αὐτὰ προξενοῦν ἀκόμη καὶ εἰς αὐτὴν τὴν ζωὴν τόσην ζημίαν; Διότι πράγματι εἶναι ἀπερίγραπτος ἡ ζημία ἀπὸ αὐτὸ τὸ πρᾶγμα, καθόσον λαμβάνουν χώραν ἐξ αἰτίας αὐτοῦ καὶ δίκαι καὶ ἀδικίαι καὶ διαμάχαι καὶ πόνοι καὶ βλάβη τῆς ψυχῆς· καὶ τὸ φοβερώτερον ἀπὸ ὅλα εἶναι τὸ ὅτι χάνει κανεὶς τὰ οὐράνια ἀγαθά, ποὺ τὰ παρέχει ἡ δουλεία τοῦ Θεοῦ.

Ἀφοῦ ἐδίδαξε λοιπὸν δι' ὅλων αὐτῶν τὸ συμφέρον ποὺ ἔχει κανεὶς νὰ περιφρονῇ τὰ χρήματα καὶ ὡμίλησε καὶ διὰ τὸν τρόπον ποὺ ἠμπορεῖ κανεὶς ν' ἀσφαλίσῃ τὰ χρήματα καθὼς καὶ διὰ τὴν ἡδονὴν τῆς ψυχῆς καὶ διὰ τὴν ἀπόκτησιν τῆς εὐσεβείας καὶ μὲ ποῖον τρόπον θὰ ἀσφαλίσῃ κανεὶς τὴν εὐσεβείαν, παρουσιάζει ἐν συνεχείᾳ ὡς δυνατὴν τὴν ἐφαρμογὴν αὐτῆς τῆς συμβουλῆς. Διότι αὐτὸ εἶναι

γὰρ μάλιστα νομοθεσίας ἀρίστης, τὸ μὴ τὰ συμφέροντα μόνον ἐπιτάττειν, ἀλλὰ καὶ δυνατὰ αὐτὰ ποιεῖν. Διὰ τοῦτο καὶ ἐπάγει, λέγων· «μὴ μεριμνήσητε τῇ ψυχῇ ὑμῶν, τί φάγητε». Ἵνα γὰρ μὴ λέγωσι· τί οὖν; ἂν πάντα ῥίψωμεν, πῶς δυνη-
5 *σόμεθα ζῆσαι; πρὸς ταύτην λοιπὸν ἵσταται τὴν ἀντίθεσιν σφόδρα εὐκαίρως. Ὥσπερ γὰρ εἰ παρὰ τὴν ἀρχὴν εἶπε, μὴ μεριμνήσητε, ἐδόκει βαρὺς εἶναι ὁ λόγος· οὕτως ἐπειδὴ ἔδειξε τὴν λύμην τὴν ἐγγινομένην ἀπὸ τῆς φιλαργυρίας, εὐπαράδεκτον λοιπὸν ποιεῖ τὴν παραίνεσιν. Διόπερ οὐδὲ νῦν*
10 *ἁπλῶς εἶπε, μὴ μεριμνήσητε, ἀλλὰ τὴν αἰτίαν προσθείς, οὕτω τοῦτο ἐπέταξε. Μετὰ γὰρ τὸ εἰπεῖν, «οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ», ἐπήγαγε· «Διὰ τοῦτο λέγω ὑμῖν, μὴ μεριμνήσητε». Τοῦτο, ποῖον; Τὸ τῆς ζημίας ἄφατον. Οὐδὲ γὰρ ἐν χρήμασι μόνον ὑμῖν ἡ βλάβη, ἀλλὰ καὶ ἐν*
15 *τοῖς καιριωτάτοις ἡ πληγή, καὶ τῇ τῆς σωτηρίας ὑμῶν ἀνατροπῇ. Τοῦ γὰρ ποιήσαντος ὑμᾶς καὶ κηδομένου καὶ φιλοῦντος ἐκβάλλει Θεοῦ. «Διὰ τοῦτο λέγω ὑμῖν, μὴ μεριμνήσητε».*

Ἐπειδὴ γὰρ τὴν βλάβην ἔδειξεν ἄφατον, καὶ ἐπιτείνει λοιπὸν τὸ ἐπίταγμα. Οὐδὲ γὰρ τὰ ὄντα κελεύει ῥίπτειν μό-
20 *νον, ἀλλὰ μηδὲ ὑπὲρ τῆς ἀναγκαίας μεριμνᾶν τροφῆς, λέγων· «Μὴ μεριμνήσητε τῇ ψυχῇ ὑμῶν, τί φάγητε». Οὐκ ἐπειδὴ ἡ ψυχὴ τροφῆς δεῖται· ἀσώματος γάρ· ἀλλὰ κατὰ τὴν κοινὴν ἐφθέγξατο συνήθειαν. Εἰ γὰρ καὶ μὴ δεῖται τροφῆς, ἀλλὰ ἄλλως οὐκ ἂν ἀνάσχοιτο μένειν ἐν τῷ σώματι, ἀλλ' ἢ*
25 *τρεφομένου αὐτοῦ. Καὶ τοῦτο εἰπών, οὐχ ἁπλῶς αὐτὸ τίθησιν, ἀλλὰ καὶ ἐνταῦθα λογισμοὺς ἀνακινεῖ· τοὺς μὲν ἐκ τῶν*

πρὸ πάντων τὸ δεῖγμα τῆς ἀρίστης νομοθεσίας, τὸ νὰ μὴ παραγγέλῃ μόνον αὐτὰ ποὺ συμφέρουν, ἀλλὰ καὶ νὰ παρέχῃ τὴν δυνατότητα νὰ ἐφαρμοσθοῦν. Διὰ τοῦτο καὶ προσθέτει λέγων· «Μὴ μεριμνᾶτε διὰ τὴν ψυχήν σας, τί νὰ φάγετε». Διὰ νὰ μὴ λέγουν βέβαια· τί λοιπόν; ἂν τὰ ἀπαρνηθοῦμεν ὅλα, πῶς θὰ ἠμπορέσωμεν νὰ ζήσωμεν; πρὸς αὐτὴν λοιπὸν τὴν ἀντίθεσιν λαμβάνει θέσιν κατὰ τρόπον πολὺ κατάλληλον. Διότι ὅπως ἀκριβῶς ἐὰν ἔλεγεν ἀπὸ τὴν ἀρχὴν «Μὴ μεριμνᾶτε» θὰ ἐφαίνετο ὅτι ἦτο βαρὺς ὁ λόγος του, ἔτσι ἀφοῦ ἀπέδειξε τὴν βλάβην τὴν προερχομένην ἀπὸ τὴν φιλαργυρίαν, κατέστησε εὐπρόσδεκτον εἰς τὴν συνέχειαν τὴν συμβουλήν. Καὶ ἀκριβῶς διὰ τοῦτο οὔτε τώρα ἁπλῶς εἶπε, «Μὴ μεριμνᾶτε», ἀλλ' ἀφοῦ προανέφερε τὴν αἰτίαν ἐν συνεχείᾳ ἔδωσεν αὐτὴν τὴν ἐντολήν. Διότι μετὰ τοὺς λόγους του, «Δὲν ἠμπορεῖτε νὰ δουλεύετε εἰς τὸν Θεὸν καὶ τὸν μαμωνᾶν», προσέθεσε· «Διὰ τοῦτο σᾶς λέγω, 'Μὴ μεριμνᾶτε'». Τί σημαίνει τὸ 'τοῦτο'; Σημαίνει τὸ ἀπερίγραπτον τῆς ζημίας. Διότι ἡ ζημία σας δὲν εἶναι μόνον χρηματική, ἀλλ' ἡ πληγὴ ἀφορᾷ τὸ σπουδαιότερον μέρος, τὴν ἀπώλειαν τῆς σωτηρίας σας. Διότι σᾶς ἀπομακρύνει ἀπὸ τὸν Θεόν, ὁ ὁποῖος σᾶς ἐδημιούργησε, σᾶς φροντίζει καὶ σᾶς ἀγαπᾷ. «Διὰ τοῦτο σᾶς λέγω, μὴ μεριμνᾶτε».

Ἀφοῦ λοιπὸν ἀπέδειξε τὴν βλάβην ἀπερίγραπτον, εἰς τὴν συνέχειαν ἐπαυξάνει τὸν τόνον τῆς προσταγῆς. Διότι δὲν προστάσσει μόνον ν' ἀπορρίπτῃ κανεὶς αὐτὰ ποὺ ἔχει, ἀλλὰ οὔτε καὶ διὰ τὴν ἀναγκαίαν τροφὴν νὰ φροντίζῃ, λέγων· «Μὴ μεριμνᾶτε διὰ τὴν ψυχήν σας, τί θὰ φάγετε». Ὄχι ἐπειδὴ ἡ ψυχὴ ἔχει ἀνάγκην τροφῆς — διότι εἶναι ἀσώματος —, ἀλλὰ ὡμίλησε σύμφωνα μὲ τὴν κοινὴν συνήθειαν. Διότι ἂν καὶ δὲν ἔχῃ ἀνάγκην τροφῆς, ἀλλ' ὅμως δὲν θὰ ἠμποροῦσε κατ' ἄλλον τρόπον νὰ κατοικῇ εἰς τὸ σῶμα παρὰ μόνον ἐὰν τρέφεται τὸ σῶμα. Καὶ ἀφοῦ τὸ εἶπεν αὐτό, δὲν τὸ ἔθεσεν ἔτσι ἁπλῶς, ἀλλὰ καὶ ἐδῶ χρησιμοποιεῖ συλλογισμούς, ἄλλους μὲν ἀπὸ αὐτὰ ποὺ συμβαίνουν

ὑπηργμένων ἡμῖν ἤδη, τοὺς δὲ ἐξ ἑτέρων παραδειγμάτων. Ἀπὸ μὲν τῶν ὑπηργμένων, οὕτω λέγων· «Οὐχὶ πλέον ἐστὶν ἡ ψυχὴ τῆς τροφῆς καὶ τὸ σῶμα τοῦ ἐνδύματος;». Ὁ τοίνυν τὸ μεῖζον δούς, πῶς τὸ ἔλαττον οὐ δώσει; ὁ τὴν τρεφομένην
5 *σάρκα διαπλάσας, πῶς τὴν τροφὴν οὐ παρέξει; Διόπερ οὐδὲ ἁπλῶς εἶπε, μὴ μεριμνήσητε τί φάγητε καὶ τί ἐνδύσησθε, ἀλλά, τῷ σώματι, καί, τῇ ψυχῇ· ἐπειδὴ ἀπ᾽ αὐτῶν ἔμελλε τὰς ἀποδείξεις ποιεῖσθαι, κατὰ σύγκρισιν τὸν λόγον προάγων. Ἀλλὰ τὴν μὲν ψυχὴν ἅπαξ ἔδωκε, καὶ μένει τοιαύτη·*
10 *τὸ δὲ σῶμα καθ᾽ ἑκάστην ἐπιδίδωσι τὴν ἡμέραν. Ἅπερ οὖν ἀμφότερα ἐνδεικνύμενος, καὶ τῆς μὲν τὸ ἀθάνατον, τοῦ δὲ τὸ ἐπίκηρον, ἐπήγαγε λέγων· «Τίς δύναται ἐξ ὑμῶν προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα;». Καὶ τὴν ψυχὴν σιγήσας, ἅτε οὐ λαμβάνουσαν ἐπίδοσιν, περὶ τοῦ σώματος διε-*
15 *λέχθη μόνον· ἀπὸ τούτου κἀκεῖνο δηλῶν, ὅτι οὐχ ἡ τροφὴ αὐτὸ αὔξει, ἀλλ᾽ ἡ τοῦ Θεοῦ πρόνοια. Ὃ καὶ δι᾽ ἄλλων δηλῶν ὁ Παῦλος ἔλεγεν· «Ὥστε οὔτε ὁ φυτεύων, οὔτε ὁ ποτίζων ἐστί τι, ἀλλ᾽ ὁ αὐξάνων Θεός». Ἀπὸ μὲν οὖν τῶν ὑπηργμένων οὕτω προέτρεψεν· ἀπὸ δὲ ἑτέρων παραδειγμά-*
20 *των, «Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ», λέγων.*

Ἵνα γὰρ μὴ λέγῃ τις, ὅτι ὠφελοῦμεν μεριμνῶντες, καὶ ἀπὸ τοῦ μείζονος καὶ ἀπὸ τοῦ ἐλάττονος αὐτοὺς ἀποτρέπει· τοῦ μείζονος μέν, τῆς ψυχῆς καὶ τοῦ σώματος· τοῦ ἐλάττονος δέ, τῶν πετεινῶν. Εἰ γὰρ τῶν σφόδρα καταδεεστέρων
25 *τοσοῦτος λόγος αὐτῷ, πῶς ὑμῖν οὐ δώσει; φησίν. Καὶ πρὸς μὲν τούτους οὕτως· ὄχλος γὰρ ἦν τέως δημώδης· τῷ διαβόλῳ δὲ οὐχ οὕτως, ἀλλὰ πῶς; «Οὐκ ἐπ᾽ ἄρτῳ μόνῳ ζήσε-*

---

4. Α´ Κορ. 3, 7.

εἰς ἡμᾶς, ἄλλους δὲ ἀπὸ ἄλλα παραδείγματα. Βάσει μὲν τῶν συμβαινόντων εἰς ἡμᾶς λέγει τὰ ἑξῆς· «Δὲν εἶναι ἀνωτέρα ἡ ψυχὴ ἀπὸ τὴν τροφὴν καὶ τὸ σῶμα ἀπὸ τὸ ἔνδυμα;». Αὐτὸς λοιπὸν ποὺ δίδει τὸ μεγαλύτερον πῶς δὲν θὰ δώσῃ καὶ τὸ μικρότερον; αὐτὸς ποὺ ἔπλασε τὴν σάρκα ποὺ τρέφεται, πῶς δὲν θὰ δώσῃ τὴν τροφήν; Διὰ τοῦτο ἀκριβῶς δὲν εἶπεν ἁπλῶς «Μὴ μεριμνᾶτε» τί θὰ φάγετε καὶ τί θὰ ἐνδυθῆτε, ἀλλὰ «διὰ τὸ σῶμα» καὶ «διὰ τὴν ψυχήν», ἐπειδὴ ἐπρόκειτο ἀπὸ αὐτὰ νὰ λάβῃ τὰς ἀποδείξεις, ὁδηγῶν τὸν λόγον ἐπὶ τῇ βάσει τῆς συγκρίσεως. Ἀλλὰ τὴν μὲν ψυχὴν τὴν ἔδωσε μίαν φορὰν καὶ μένει ἀμετάβλητος, εἰς τὸ σῶμα ὅμως δίδει καθημερινῶς. Ἐπεξηγῶν λοιπὸν αὐτὰ τὰ δύο, ὅτι δηλαδὴ ἡ μὲν ψυχὴ εἶναι ἀθάνατος τὸ δὲ σῶμα πρόσκαιρον, προσέθεσε τὰ ἑξῆς· «Ποῖος ἀπὸ σᾶς ἠμπορεῖ νὰ προσθέσῃ εἰς τὴν ἡλικίαν του ἕνα πῆχυν;». Καὶ χωρὶς νὰ κάνῃ λόγον διὰ τὴν ψυχήν, καθόσον δὲν λαμβάνει αὔξησιν, ὡμίλησε μόνον διὰ τὸ σῶμα, καθιστῶν φανερὸν ἀπὸ αὐτὸ καὶ ἐκεῖνο, ὅτι δηλαδὴ δὲν θὰ τὸ αὐξήσῃ αὐτὸ ἡ τροφή, ἀλλὰ ἡ πρόνοια τοῦ Θεοῦ. Τὸ ἴδιο πρᾶγμα δηλῶν ὁ Παῦλος δι᾽ ἄλλων λέξεων ἔλεγεν· «Ὥστε οὔτε αὐτὸς ποὺ φυτεύει, οὔτε αὐτὸς ποὺ ποτίζει εἶναι κάτι, ἀλλ᾽ ὁ Θεὸς ποὺ τὰ αὐξάνει»[4]. Ἀπὸ αὐτὰ λοιπὸν ποὺ συμβαίνουν εἰς ἡμᾶς προέτρεψε κατ᾽ αὐτὸν τὸν τρόπον, ἐνῷ ἀπὸ ἄλλα παραδείγματα προέτρεψε διὰ τῶν ἑξῆς· «Ρίψατε τὸ βλέμμα σας εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ».

Διὰ νὰ μὴ λέγῃ λοιπὸν κανείς, ὅτι ὠφελοῦμεν ὅταν μεριμνῶμεν, τοὺς ἀποδεικνύει ὅτι δὲν ἔχουν δίκαιον καὶ ἀπὸ τὸ ἀνώτερον καὶ ἀπὸ τὸ κατώτερον· ἀπὸ μὲν τὸ ἀνώτερον, ἀπὸ τὴν ψυχὴν καὶ τὸ σῶμα, ἀπὸ δὲ τὸ κατώτερον, ἀπὸ τὰ πτηνά. Διότι, λέγει, ἐὰν διὰ τὰ κατώτερα ἐπιδεικνύῃ τόσον ἐνδιαφέρον, πῶς δὲν θὰ δώσῃ εἰς ἐσᾶς; Καὶ πρὸς αὐτοὺς μὲν ὡμίλησε κατ᾽ αὐτὸν τὸν τρόπον διότι ἦτο τὸ ἀκροατήριόν του ἁπλόν, δὲν ὡμίλησεν ὅμως κατὰ τὸν ἴδιον τρόπον πρὸς τὸν διάβολον· ἀλλὰ πῶς; «Δὲν θὰ ζήσῃ ὁ ἄνθρωπος

ται ἄνθρωπος, ἀλλὰ ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος Θεοῦ». Ἐνταῦθα δὲ τῶν ὀρνίθων μέμνηται, καὶ σφόδρα ἐντρεπτικῶς· ἅπερ μεγίστην εἰς παραινέσεως λόγον ἔχει τὴν ἰσχύν. Ἀλλὰ γὰρ εἰς τοσοῦτον ἀνοίας ἦλθόν τινες 5 *τῶν ἀσεβῶν, ὡς καὶ ἐπιλαβέσθαι τοῦ παραδείγματος. Οὐ γὰρ ἔδει, φησί, προαίρεσιν ἀλείφοντα, ἀπὸ φυσικῶν πλεονεκτημάτων εἰς τοῦτο ἐνάγειν· ἐκείνοις γὰρ τοῦτο κατὰ φύσιν πρόσεστι, φησί.*

3. Τί οὖν πρὸς τοῦτο ἂν εἴποιμεν; Ὅτι εἰ καὶ κατὰ 10 *φύσιν ἐκείνοις πρόσεστιν, ἀλλὰ δυνατὸν καὶ ἡμῖν ἐκ προαιρέσεως γενέσθαι τοῦτο. Οὐδὲ γὰρ εἶπεν, ἐμβλέψατε ὅτι πέταται τὰ πετεινά, ὅπερ ἀδύνατον ἦν ἀνθρώπῳ· ἀλλ' ὅτι τρέφεται χωρὶς μερίμνης, ὅπερ καὶ ἡμῖν, ἐὰν ἐθέλωμεν, εὔκολον κατορθωθῆναι. Καὶ τοῦτο ἔδειξαν οἱ διὰ τῶν ἔρ-* 15 *γων αὐτὸ ἀνύσαντες. Διὸ δὴ ἄξιον μάλιστα θαυμάσαι τὴν τοῦ νομοθέτου σύνεσιν, ὅτι ἐξ ἀνθρώπων ἔχων τὸ ὑπόδειγμα παρασχεῖν, καὶ δυνάμενος εἰπεῖν τὸν Ἠλίαν καὶ τὸν Μωϋσέα καὶ τὸν Ἰωάννην καὶ ἑτέρους τοιούτους μὴ μεριμνήσαντας, ἵνα αὐτῶν καθάψηται, τῶν ἀλόγων ἐμνημόνευ-* 20 *σεν. Εἰ μὲν γὰρ εἶπε τοὺς δικαίους ἐκείνους, εἶχον οὗτοι λέγειν, ὅτι οὐδέπω κατ' ἐκείνους γεγόναμεν. Νυνὶ δὲ σιγήσας αὐτοὺς καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ παραγαγών, πᾶσαν αὐτῶν ἐξέκοψε πρόφασιν, καὶ ἐνταῦθα παλαιὸν μιμούμενος νόμον. Καὶ γὰρ καὶ ἡ παλαιὰ διαθήκη καὶ πρὸς τὴν* 25 *μέλισσαν πέμπει καὶ πρὸς τὸν μύρμηκα καὶ πρὸς τὴν τρυγόνα καὶ πρὸς τὴν χελιδόνα. Οὐ μικρὸν δὲ καὶ τοῦτο τιμῆς δεῖγμα, ὅταν ἅπερ ἐκεῖνα ἀπὸ φύσεως ἔχει, ταῦτα δυνώμεθα ἡμεῖς κατορθοῦν τῇ προαιρέσει. Εἰ τοίνυν τῶν δι' ἡμᾶς τοσαύτην ποιεῖται πρόνοιαν, πολλῷ μᾶλλον ἡμῶν·*

5. Ματθ. 4, 4.

μόνον μὲ τὸν ἄρτον, ἀλλὰ μὲ κάθε λόγον ποὺ προέρχεται ἀπὸ τὸ στόμα τοῦ Θεοῦ»[5]. Ἐδῶ ἀναφέρει τὰ πτηνὰ καὶ μὲ πολὺ ἐμφαντικὸν τρόπον, πρᾶγμα ποὺ ἔχει μεγαλυτέραν δύναμιν διὰ λόγον παραινέσεως. Ἀλλ' ὅμως ὡρισμένοι ἀπὸ τοὺς ἀσεβεῖς ἔφθασαν εἰς τόσον μεγάλην παρανοησίαν, ὥστε ν' ἀμφισβητοῦν τὴν ἀξίαν τοῦ παραδείγματος. Διότι, λέγουν, δὲν ἔπρεπε, ὁμιλῶν περὶ ἐνισχύσεως τῆς προαιρέσεως, νὰ προτρέπῃ πρὸς τὸν σκοπὸν αὐτὸν μὲ πλεονεκτήματα ἀπὸ τὴν φύσιν· διότι, λέγουν, αὐτὸ ὑπάρχει εἰς αὐτὰ ἐκ φύσεως.

3. Τί λοιπὸν θὰ ἠμπορούσαμεν νὰ εἴπουμεν σχετικὰ μὲ αὐτά; Ὅτι ἂν καὶ αὐτὰ ὑπάρχουν εἰς τὰ πτηνὰ ἐκ φύσεως, ὅμως εἶναι δυνατὸν καὶ εἰς ἡμᾶς νὰ συμβῇ αὐτὸ κατ' ἐλευθέραν ἐκλογήν. Διότι δὲν εἶπε, κοιτάξατε ὅτι τὰ πτηνὰ πετοῦν, πρᾶγμα ποὺ ἦτο ἀδύνατον εἰς τὸν ἄνθρωπον, ἀλλὰ ὅτι τρέφονται χωρὶς φροντίδα, πρᾶγμα ποὺ καὶ ἡμεῖς εὐκόλως ἠμποροῦμεν νὰ τὸ ἐπιτύχωμεν, ἐὰν θέλωμεν. Καὶ αὐτὸ τὸ ἀπέδειξαν ἐμπράκτως αὐτοὶ ποὺ τὸ κατώρθωσαν. Διὰ τοῦτο πρέπει πρὸ παντὸς νὰ θαυμάσῃ κανεὶς τὴν σύνεσιν τοῦ νομοθέτου, ὅτι δηλαδὴ ἂν καὶ ἠμποροῦσε νὰ λάβῃ τὸ παράδειγμα ἀπὸ τοὺς ἀνθρώπους καὶ ἠμποροῦσε νὰ ἀναφέρῃ τὸν Ἠλίαν καὶ τὸν Μωυσῆν καὶ τὸν Ἰωάννην καὶ ἄλλους παρομοίους, ποὺ δὲν κατέβαλαν καμμίαν μέριμναν, καὶ νὰ ἀναφέρῃ αὐτοὺς ὡς παράδειγμα, διὰ νὰ τοὺς ψέξῃ, ὅμως ἀνέφερε τὰ ἄλογα ζῶα. Διότι ἐὰν μὲν ἀνέφερεν ἐκείνους τοὺς δικαίους, θὰ ἠμποροῦσαν αὐτοὶ νὰ εἰποῦν, ὅτι δὲν ἐγίναμεν ἀκόμη ὅπως ἐκεῖνοι. Τώρα ὅμως ἀποσιωπήσας αὐτοὺς καὶ παρουσιάσας τὰ πτηνὰ τοῦ οὐρανοῦ, ἀφῄρησεν ἀπ' αὐτοὺς κάθε δικαιολογίαν, μιμούμενος καὶ ἐδῶ παλαιὸν νόμον. Καθόσον μάλιστα καὶ ἡ Παλαιὰ Διαθήκη προτρέπει καὶ πρὸς τὴν μέλισσαν, καὶ πρὸς τὸ μυρμήγκι, καὶ πρὸς τὸ τρυγόνι, καὶ πρὸς τὸ χελιδόνι. Καὶ αὐτὸ δὲ δὲν εἶναι μικρὰ ἀπόδειξις τιμῆς, ὅταν, αὐτὰ ποὺ ἐκεῖνα ἔχουν ἐκ φύσεως, αὐτὰ νὰ ἠμποροῦμεν ἡμεῖς νὰ τὰ ἐπιτύχωμεν προαιρετικῶς. Ἐὰν λοιπὸν τόσον πολὺ φροντίζῃ δι' αὐτὰ ποὺ προο-

εἰ τῶν δούλων, πολλῷ μᾶλλον τοῦ δεσπότου. Διὰ τοῦτο ἔλεγεν· «Ἐμβλέψατε εἰς τὰ πετεινά»· καὶ οὐκ εἶπεν, ὅτι οὐ καπηλεύουσιν, οὐδὲ ἐμπορεύονται· ταῦτα γὰρ τῶν σφόδρα ἀπειρημένων ἦν· ἀλλὰ τί; «οὐ σπείρουσιν, οὐδὲ θερίζουσι».

5 *Τί οὖν; οὐ δεῖ σπείρειν; φησίν. Οὐκ εἶπεν, ὅτι σπείρειν οὐ δεῖ, ἀλλ' ὅτι μεριμνᾶν οὐ δεῖ· οὐδ' ὅτι ἐργάζεσθαι οὐ χρή, ἀλλ' ὅτι μικρόψυχον εἶναι καὶ κατατείνειν ἑαυτὸν ταῖς φροντίσιν οὐ χρή. Ἐπεὶ καὶ τρέφεσθαι ἐκέλευσεν, ἀλλὰ μὴ μεριμνῶντας. Τοῦτον καὶ ὁ Δαυῒδ ἄνωθεν προκαταβάλλε-*
10 *ται τὸν λόγον, αἰνιγματωδῶς οὕτω λέγων· «Ἀνοίγεις σὺ τὴν χεῖρά σου, καὶ ἐμπιπλᾷς πᾶν ζῶον εὐδοκίας»· καὶ πάλιν, «Τῷ διδόντι τοῖς κτήνεσι τροφὴν αὐτῶν καὶ τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν».*

Τίνες οὖν οὐκ ἐμερίμνησαν; φησίν. Οὐκ ἤκουσας ὅ-
15 *σους παρήγαγον τῶν δικαίων; Οὐχ ὁρᾷς μετ' ἐκείνων τὸν Ἰακὼβ ἀπὸ τῆς πατρῴας οἰκίας γυμνὸν ἁπάντων ἀναχωροῦντα; οὐκ ἀκούεις αὐτοῦ εὐχομένου καὶ λέγοντος· «Ἐὰν δῴη μοι Κύριος ἄρτον φαγεῖν καὶ ἱμάτιον περιβαλέσθαι»; ὅπερ οὐχὶ μεριμνῶντος, ἀλλὰ παρὰ τοῦ Θεοῦ τὸ πᾶν ζη-*
20 *τοῦντος ἦν. Τοῦτο καὶ οἱ ἀπόστολοι κατώρθωσαν, ἅπαντα ῥίψαντες καὶ μὴ μεριμνήσαντες· καὶ οἱ πεντακισχίλιοι καὶ οἱ τρισχίλιοι. Εἰ δὲ οὐκ ἀνέχῃ, τοσούτων ἀκούων ῥημάτων, ἀπολῦσαι σαυτὸν τῶν χαλεπῶν τούτων δεσμῶν, τὸ ἀνόητον τοῦ πράγματος ἐννοήσας, κατάλυσον τὴν φροντίδα. «Τίς*
25 *γὰρ ἐξ ὑμῶν», φησί, «μεριμνῶν δύναται προσθεῖναι ἐπὶ τὴν ἡλικίαν αὐτοῦ πῆχυν ἕνα;». Εἶδες πῶς ἀπὸ τοῦ φανεροῦ*

6. Ὁ Κύριος δὲν ἀποτρέπει ἀπὸ τὸ νὰ μὴ προνοῇ κανείς, ἀλλὰ ἀπὸ τὴν μέριμναν, ἡ ὁποία τοῦ στρέφει τὴν προσοχὴν πρὸς τὰ γήινα καὶ ἀνώφελα πράγματα καὶ τὸν ὑποδουλώνει κυριολεκτικά.

7. Ψαλμ. 144, 16.

8. Ψαλμ. 146, 9.

9. Γεν. 28, 20.

10. Πρβλ. Πράξ. 2,41 καὶ 4, 4.

ρίζονται δι' ἡμᾶς, πολὺ περισσότερον θὰ φροντίσῃ δι' ἡμᾶς· ἐὰν φροντίζῃ διὰ τοὺς δούλους, πολὺ περισσότερον θὰ φροντίσῃ διὰ τὸν κύριον. Διὰ τοῦτο εἶπε, «προσέξατε τὰ πτηνὰ» καὶ δὲν εἶπεν, ὅτι οὔτε ἐκμεταλλεύονται κάτι, οὔτε ἐμπορεύονται· διότι κάτι τέτοιο θὰ ἦτο ἐντελῶς ἀπαράδεκτον· ἀλλὰ τί εἶπε; «Δὲν σπείρουν, οὔτε θερίζουν».

Τί λοιπόν; θὰ ἐρωτήσῃ κάποιος· δὲν πρέπει νὰ σπείρῃ κανείς;[6] Δὲν εἶπεν, ὅτι δὲν πρέπει νὰ σπείρῃ κανείς, ἀλλὰ ὅτι δὲν πρέπει νὰ μεριμνᾷ κανείς· οὔτε ὅτι δὲν πρέπει νὰ ἐργάζεται κανείς, ἀλλ' ὅτι δὲν πρέπει κανεὶς νὰ φρονῇ μικρὰ καὶ ταπεινὰ καὶ νὰ ἀσχολῆται μὲ ὅλην τὴν δύναμίν του μὲ τὰς φροντίδας. Διότι ἔδωσεν ἐντολὴν καὶ νὰ τρεφώμεθα, ἀλλ' ὅμως νὰ μὴ μεριμνῶμεν. Αὐτὴν τὴν παραίνεσιν, ἐμπνεόμενος ἐξ οὐρανοῦ, προλέγει καὶ ὁ Δαυΐδ, λέγων τὰ ἑξῆς, κατὰ τρόπον αἰνιγματικόν· «Ἀνοίγεις σὺ τὸ χέρι σου καὶ χορταίνεις τὴν ἐπιθυμίαν κάθε ζώου»[7]· καὶ εἰς ἄλλο σημεῖον· «Εἰς αὐτὸν ποὺ δίδει εἰς τὰ κτήνη τὴν τροφήν των καὶ εἰς τοὺς νεοσσοὺς τῶν κοράκων οἱ ὁποῖοι ἐπικαλοῦνται αὐτόν»[8].

Ποῖοι λοιπόν, θὰ ἐρωτήσῃ κάποιος, δὲν ἐμερίμνησαν; Δὲν ἤκουσες ὅλους ἐκείνους τοὺς δικαίους ποὺ σοῦ προανέφερα; Δὲν βλέπεις μαζὶ μὲ ἐκείνους τὸν Ἰακώβ, ὁ ὁποῖος ἀνεχώρησεν ἀπὸ τὴν πατρικήν του οἰκίαν χωρὶς τίποτε νὰ ἔχῃ; δὲν ἀκούεις αὐτὸν ὁ ὁποῖος προσεύχεται καὶ λέγει· «Ἐὰν θελήσῃ ὁ Κύριος νὰ μοῦ δώσῃ νὰ φάγω ἄρτον καὶ ἔνδυμα νὰ φορέσω»;[9] πρᾶγμα ποὺ δὲν φανερώνει μέριμναν, ἀλλ' εἶναι δεῖγμα αὐτοῦ ποὺ ἐμπιστεύεται τὸ πᾶν εἰς τὸν Θεόν. Αὐτὸ καὶ οἱ ἀπόστολοι τὸ ἐπέτυχαν, ἀφοῦ ἀπέρριψαν τὰ πάντα καὶ δὲν ἐμερίμνησαν, καθὼς καὶ οἱ πέντε χιλιάδες καὶ οἱ τρεῖς χιλιάδες[10]. Ἐὰν ὅμως δὲν δέχεσαι, ἀκούων τόσα λόγια, νὰ ἀπαλλάξῃς τὸν ἑαυτόν σου ἀπὸ τὰ σκληρὰ αὐτὰ δεσμά, κατάργησε τὴν φροντίδα, ἀφοῦ πρῶτα κατανοήσῃς, ὅτι αὐτὸ ἀποτελεῖ ἀνοησίαν. «Διότι ποῖος ἀπὸ σᾶς», λέγει, «μεριμνῶν ἠμπορεῖ νὰ προσθέσῃ ἕνα πῆχυν

καὶ τὸ ἀφανὲς κατάδηλον ἐποίησεν; Ὥσπερ γὰρ τῷ σώματι, φησίν, οὐδὲ μικρὸν προσθεῖναι δυνήσῃ μεριμνῶν· οὕτως οὐδὲ τροφὴν συναγαγεῖν, εἰ καὶ οὕτω νομίζεις. Ἀπὸ τούτου δῆλον, ὅτι οὐχὶ ἡ ἡμετέρα σπουδή, ἀλλ' ἡ τοῦ Θεοῦ πρόνοια,
5 *καὶ ἐν οἷς δοκοῦμεν ἐνεργεῖν, τὸ πᾶν ἀνύει· ὡς ἂν ἐκεῖνος ἡμᾶς ἐγκαταλίπῃ, οὐ φροντίς, οὐ μέριμνα, οὐ πόνος, οὐκ ἄλλο τι τῶν τοιούτων οὐδὲν φανεῖταί ποτε, ἀλλὰ πάντα οἰχήσεται.*

4. Μὴ τοίνυν νομίζωμεν ἀδύνατα εἶναι τὰ ἐπιτάγματα·
10 *πολλοὶ γάρ εἰσιν οἱ κατορθοῦντες αὐτὰ καὶ νῦν. Εἰ δὲ ἀγνοεῖς, θαυμαστὸν οὐδέν· ἐπεὶ καὶ Ἠλίας ἐνόμιζεν εἶναι μόνος, ἀλλ' ἤκουσεν, ὅτι «Κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας». Ὅθεν δῆλον ὅτι καὶ νῦν πολλοὶ τὸν ἀποστολικόν εἰσιν ἐπιδεικνύμενοι βίον, καθάπερ καὶ οἱ τρισχίλιοι τότε*
15 *καὶ οἱ πεντακισχίλιοι. Εἰ δὲ οὐ πιστεύομεν, οὐ παρὰ τὸ μὴ εἶναι τοὺς κατορθοῦντας, ἀλλὰ παρὰ τὸ πολὺ τοῦ πράγματος ἀπέχειν. Ὥσπερ οὖν ὁ μεθύων οὐκ ἂν εὐκόλως πιστεύσειεν, ὅτι ἐστὶν ἄνθρωπός τις οὐδὲ ὕδατος ἀπογευόμενος· καίτοιγε καὶ τοῦτο πολλοὶ κατώρθωσαν ἐφ' ἡμῶν μοναχοί· καὶ ὁ*
20 *μυρίαις γυναιξὶ μιγνύμενος, ὅτι εὔκολον παρθενεύειν· οὐδὲ ὁ τὰ ἀλλότρια ἁρπάζων, ὅτι καὶ τὰ αὑτοῦ τις ῥαδίως προήσεται· οὕτως οὐδὲ οἱ καθ' ἑκάστην ἡμέραν μυρίαις φροντίσιν ἑαυτοὺς κατατήκοντες οὐκ εὐκόλως ἂν τοῦτο παραδέξοιντο. Ὅτι μὲν οὖν πολλοὶ οἱ τοῦτο κατωρθωκότες εἰσίν, ἀπ'*
25 *αὐτῶν δυνατὸν ἡμῖν δεῖξαι τῶν ταῦτα φιλοσοφούντων καὶ*

11. Ἡλικίαν ἐννοεῖ τὸ ἀνάστημα.
12. Γ' Βασ. 19, 18.

εἰς τὴν ἡλικίαν του;»[11]. Βλέπεις πῶς ἀπὸ τὸ γνωστὸν ἔκαμε φανερὸν καὶ τὸ ἀόρατον; Διότι ὅπως ἀκριβῶς μεριμνῶν δὲν θὰ ἠμπορέσῃς, λέγει, νὰ προσθέσῃς εἰς τὸ σῶμα οὐδὲ τὸ ἐλάχιστον, κατὰ τὸν ἴδιον τρόπον δὲν θὰ ἠμπορέσῃς οὔτε τροφὴν νὰ συγκεντρώσῃς, ἔστω καὶ ἂν ἔχῃς αὐτὴν τὴν γνώμην. Ἀπὸ αὐτὸ καθίσταται φανερὸν ὅτι δὲν εἶναι ἡ ἰδική μας φροντίδα, ἀλλ' ἡ πρόνοια τοῦ Θεοῦ εἶναι ἐκείνη ποὺ προξενεῖ τὸ πᾶν, ἀκόμη δὲ καὶ ἐκεῖ ὅπου νομίζομεν ὅτι ἐνεργοῦμεν μόνοι μας· εὐθὺς ὡς ἤθελε μᾶς ἐγκαταλείψει ἐκεῖνος, οὔτε φροντίς, οὔτε μέριμνα, οὔτε πόνος, οὔτε τίποτε ἄλλο ἀπὸ τὰ παρόμοια ἠμπορεῖ νὰ κάνῃ τίποτε, ἀλλὰ τὰ πάντα θὰ ἐξαφανισθοῦν.

4. Ἂς μὴ νομίζωμεν λοιπὸν ὅτι εἶναι ἀνεφάρμοστα τὰ προστάγματα τοῦ Θεοῦ· διότι εἶναι πολλοὶ αὐτοὶ ποὺ τὰ ἐπιτυγχάνουν καὶ τώρα. Ἐὰν ὅμως τὸ ἀγνοῇς, δὲν εἶναι καθόλου παράδοξον· διότι καὶ ὁ Ἠλίας ἐνόμιζεν ὅτι εἶναι μόνος, ἀλλ' ἤκουσε τὰ ἑξῆς· «Ἄφησα διὰ τὸν ἑαυτόν μου ἑπτὰ χιλιάδας ἄνδρας»[12]. Ἑπομένως εἶναι ὁλοφάνερον ὅτι καὶ τώρα ὑπάρχουν πολλοὶ ποὺ ζοῦν ὅπως τότε οἱ ἀπόστολοι, ὅπως ἀκριβῶς ἐζοῦσαν τότε οἱ τρεῖς χιλιάδες καὶ οἱ πέντε χιλιάδες. Ἐὰν ὅμως δὲν πιστεύωμεν, δὲν σημαίνει ὅτι δὲν ὑπάρχουν οἱ ἀσκοῦντες τὴν ἀρετήν, ἀλλ' ὅτι ἀπέχομεν πάρα πολὺ ἀπὸ τὴν πραγματικότητα. Ὅπως ἀκριβῶς λοιπὸν αὐτὸς ποὺ μεθᾷ δὲν θὰ ἠμποροῦσε νὰ πιστεύσῃ εὔκολα, ὅτι ὑπάρχει κάποιος ἄνθρωπος ποὺ δὲν γεύεται οὔτε νερό, μολονότι βέβαια καὶ αὐτὸ τὸ ἐπέτυχαν πολλοὶ ἀπὸ τοὺς ἰδικούς μας μοναχούς· καὶ αὐτὸς ποὺ ζῇ μὲ ἀπείρους γυναῖκας, δὲν ἠμπορεῖ νὰ πιστεύσῃ, ὅτι εἶναι εὔκολον κανεὶς νὰ εἶναι παρθένος, οὔτε καὶ ἐκεῖνος ποὺ ἁρπάζει τὰ ξένα πράγματα, ὅτι καὶ τὰ ἰδικά του κάποιος εὔκολα θὰ τοῦ τὰ ἀφαιρέσῃ, ἔτσι οὔτε αὐτοὶ ποὺ καταλειώνουν καθημερινῶς τοὺς ἑαυτούς των μὲ μυρίας φροντίδας δὲν θὰ ἠμποροῦσαν εὐκόλως νὰ τὸ παραδεχθοῦν αὐτό. Τὸ ὅτι βέβαια ὑπάρχουν πολλοὶ ποὺ τὸ ἐπιτυγχάνουν αὐτό, εἶναι δυνα-

ἐπὶ τῆς ἡμετέρας γενεᾶς. Ἀλλ' ὑμῖν τέως ἀρκεῖ τὸ μὴ πλεονεκτεῖν μαθεῖν, καὶ ὅτι καλὸν ἡ ἐλεημοσύνη, καὶ τὸ εἰδέναι ὅτι χρὴ τῶν ὄντων μεταδιδόναι. Ταῦτα γὰρ ἂν κατορθώσῃς, ἀγαπητέ, ταχέως καὶ ἐπ' ἐκεῖνα βαδιεῖς.

5 Τέως τοίνυν τὴν πολυτέλειαν ἀποθώμεθα τὴν περιττήν, καὶ ἀνασχώμεθα τῆς συμμετρίας, καὶ μάθωμεν ἀπὸ δικαίων πόνων κτᾶσθαι ἅπαντα ἅπερ μέλλομεν ἔχειν· ἐπεὶ καὶ ὁ μακάριος Ἰωάννης, ὅτε διελέγετο τοῖς περὶ τὴν τελωνίαν ἐσχολακόσι καὶ τοῖς στρατευομένοις, ἀρκεῖσθαι τοῖς 10 ὀψωνίοις προσέταττεν. Ἐβούλετο μὲν γὰρ καὶ ἐφ' ἑτέραν μείζονα αὐτοὺς ἀγαγεῖν φιλοσοφίαν· ἐπειδὴ δὲ οὐδέπω πρὸς ταῦτα ἦσαν ἐπιτήδειοι, τὰ ἐλάττονα λέγει, ὡς εἰς τὰ ὑψηλότερα τούτων εἶπεν, οὔτ' ἂν ἐκείνοις προσέσχον, καὶ τούτων ἐξέπεσον ἄν. Διὰ δὴ τοῦτο καὶ ἡμεῖς ἐν τοῖς καταδεε- 15 στέροις ὑμᾶς γυμνάζομεν. Καὶ γὰρ τέως ἴσμεν, ὅτι μεῖζον ὑμῶν τῆς ἀκτημοσύνης τὸ φορτίον, καὶ ὅσον ἀφέστηκεν ὁ οὐρανὸς τῆς γῆς, τοσοῦτον ὑμῶν ἡ φιλοσοφία ἐκείνη.

Οὐκοῦν κἂν τῶν ἐσχάτων ἐπιλαβώμεθα ἐπιταγμάτων· οὐδὲ γὰρ αὕτη μικρὰ παραμυθία. Καίτοιγε παρ' Ἕλλησί 20 τινες καὶ τοῦτο κατώρθωσαν, εἰ καὶ μὴ μετὰ τῆς προσηκούσης γνώμης, καὶ τὰ ὄντα ἅπαντα ἀπεδύσαντο. Ἀλλ' ὅμως ἡμεῖς ἀρκούμεθα ἐφ' ὑμῶν τῷ τὴν ἐλεημοσύνην δαψιλῆ παρέχεσθαι παρ' ὑμῶν· ταχέως γὰρ καὶ ἐπ' ἐκεῖνα ἥξομεν, ἂν οὕτω προβαίνωμεν. Εἰ δὲ μηδὲ τοῦτο ποιοῦμεν, τί- 25 νος ἂν εἴημεν συγγνώμης ἄξιοι, οἱ τοὺς ἐν τῇ παλαιᾷ ὑπερ-

---

13. Λουκᾶ 3, 12-14.

τὸν νὰ τὸ ἀποδείξωμεν ἀπὸ αὐτοὺς ποὺ ζοῦν καὶ ἐπὶ τῶν ἡμερῶν μας εὐσεβῆ ζωήν. Σεῖς ὅμως πρὸς τὸ παρὸν ἀρκεῖ νὰ μάθετε νὰ μὴ εἶσθε πλεονέκται καὶ ὅτι εἶναι καλὸν πρᾶγμα ἡ ἐλεημοσύνη, καὶ ἐπὶ πλέον νὰ γνωρίζετε ὅτι πρέπει νὰ δίδετε εἰς τοὺς ἄλλους ἀπὸ αὐτὰ ποὺ ἔχετε. Διότι ἐάν, ἀγαπητέ, ἠμπορέσῃς νὰ ἐπιτύχῃς αὐτά, γρήγορα θὰ βαδίσῃς καὶ πρὸς ἐκεῖνα.

Κατ᾽ ἀρχὴν λοιπὸν ἂς ἀπορρίψωμεν τὴν περιττὴν πολυτέλειαν, καὶ νὰ κρατήσωμεν τὴν συμμετρίαν καὶ νὰ μάθωμεν νὰ ἀποκτῶμεν μὲ δικαίους κόπους ὅλα γενικῶς ἐκεῖνα τὰ ὁποῖα μᾶς εἶναι ἀπαραίτητα· ἐπειδὴ καὶ ὁ μακάριος Ἰωάννης, ὅταν συνωμίλει μὲ ἐκείνους ποὺ ἀσχολοῦνται μὲ τὴν εἴσπραξιν τῶν φόρων καὶ μὲ τοὺς στρατευομένους, ἔδιδε ἐντολὴν νὰ ἀρκοῦνται εἰς τοὺς μισθούς των[13]. Διότι πράγματι ἤθελε νὰ ὁδηγήσῃ αὐτοὺς καὶ πρὸς ὑψηλοτέραν φιλοσοφίαν, ἐπειδὴ ὅμως δὲν ἦσαν ἀκόμη προετοιμασμένοι δι᾽ αὐτά, τοὺς λέγει τὰ ἁπλούστερα, διότι ἐὰν τοὺς ἔλεγε τὰ ὑψηλότερα ἀπὸ αὐτά, δὲν θὰ ἐπρόσεχαν εἰς αὐτά, καὶ δὲν θὰ ἠμποροῦσαν νὰ ἐφαρμόσουν καὶ τὰ ἁπλούστερα. Διὰ τοῦτο βέβαια καὶ ἐγὼ σᾶς διδάσκω τὰ ἁπλούστερα. Διότι πράγματι γνωρίζω πολὺ καλὰ ὅτι τὸ φορτίον τῆς ἀκτημοσύνης πρὸς τὸ παρὸν ὑπερβάλλει τὰς δυνάμεις σας καὶ ὅσον ἀπέχει ὁ οὐρανὸς ἀπὸ τὴν γῆν, τόσον ἀπέχει καὶ αὐτὴ ἡ φιλοσοφία ἀπὸ σᾶς.

Ἑπομένως ἂς ἀσχολούμεθα τουλάχιστον μὲ τὰς ἁπλᾶς ἐντολάς· διότι οὔτε αὐτὸ εἶναι μικρὰ παρηγορία. Μολονότι βέβαια ὡρισμένοι ἀπὸ τοὺς Ἕλληνας καὶ αὐτὸ τὸ ἐπέτυχαν, ἂν καὶ ὄχι μὲ τὴν κατάλληλον διάθεσιν, καὶ ἐγκατέλειψαν ὅλα τὰ ὑπάρχοντά των. Ἀλλ᾽ ὅμως ἐγὼ θὰ εἶμαι εὐχαριστημένος μὲ σᾶς νὰ προσφέρετε μὲ ἀφθονίαν τὴν ἐλεημοσύνην· διότι συντόμως καὶ πρὸς ἐκεῖνα θὰ ἔλθωμεν, ἐὰν βαδίζωμεν κατ᾽ αὐτὸν τὸν τρόπον. Ἐὰν ὅμως δὲν πράττωμεν οὔτε αὐτό, ποίας συγχωρήσεως θὰ ἠμπορούσαμεν νὰ εἴμεθα ἄξιοι, ἡμεῖς οἱ ὁποῖοι λαμβάνομεν ἐντολὴν νὰ ξε-

βῆναι κελευόμενοι, καὶ τῶν παρ' Ἕλλησι φιλοσόφων ἐλάττους φαινόμενοι; Τί ἂν εἴποιμεν, ὅταν ὀφείλοντες εἶναι ἄγγελοι καὶ υἱοὶ Θεοῦ, μηδὲ τὸ ἄνθρωποι εἶναι διατηρῶμεν; Τὸ γὰρ ἁρπάζειν καὶ πλεονεκτεῖν οὐ τῆς ἀνθρώπων ἡμερότητος, ἀλλὰ τῆς τῶν θηρίων ὠμότητος· μᾶλλον δὲ καὶ ἐκείνων χείρους οἱ τοῖς ἀλλοτρίοις ἐπιτιθέμενοι. Τοῖς μὲν γὰρ ἀπὸ φύσεως τοῦτο πρόσεστιν· ἡμεῖς δὲ οἱ λόγῳ τιμηθέντες, καὶ πρὸς τὴν παρὰ φύσιν καταπίπτοντες δυσγένειαν, τίνος ἀπολαυσόμεθα συγγνώμης;

Ἐννοήσαντες τοίνυν τὰ μέτρα τῆς προσκειμένης ἡμῖν φιλοσοφίας, κἂν εἰς τὰ μέσα φθάσωμεν, ἵνα καὶ τῆς μελλούσης ἀπαλλαγῶμεν κολάσεως, καὶ ὁδῷ προβαίνοντες ἐπ' αὐτὴν ἔλθωμεν τὴν κορυφὴν τῶν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

περάσωμεν τοὺς ἀνθρώπους τοῦ Νόμου καὶ ἀποδεικνυόμεθα κατώτεροι καὶ ἀπὸ τοὺς Ἕλληνας φιλοσόφους; Τί θὰ ἠμπορούσαμεν νὰ εἰποῦμεν, ὅταν, ὀφείλοντες νὰ εἴμεθα ἄγγελοι καὶ τέκνα τοῦ Θεοῦ, δὲν διατηροῦμεν οὔτε τὸ νὰ εἴμεθα ἄνθρωποι; Διότι τὸ νὰ ἁρπάζῃ κανεὶς καὶ νὰ εἶναι ἀχόρταγος δὲν εἶναι δεῖγμα τῆς ἡμερότητος τῶν ἀνθρώπων, ἀλλὰ τῆς ἀγριότητος τῶν θηρίων· μάλιστα δὲ εἶναι χειρότεροι καὶ ἀπὸ ἐκεῖνα αὐτοὶ ποὺ ἐπιτίθενται ἐναντίον τῶν ξένων πραγμάτων. Διότι εἰς μὲν τὰ θηρία ὑπάρχει αὐτὴ ἡ ἰδιότης ἐκ φύσεως, ἡμεῖς ὅμως οἱ ὁποῖοι ἐτιμήθημεν μὲ τὸν λόγον καὶ καταπίπτομεν εἰς αὐτὴν τὴν παρὰ φύσιν ἄπρεπον ἐνέργειαν, ποίαν συγχώρησιν θὰ ἀπολαύσωμεν;

Ἀφοῦ λοιπὸν κατανοήσωμεν τὸ ὕψος τῆς φιλοσοφίας ποὺ εὑρίσκεται ἔμπροσθέν μας, τουλάχιστον ἂς φθάσωμεν εἰς τὸ μέσον, διὰ νὰ ἀποφύγωμεν τὴν μέλλουσαν τιμωρίαν, καὶ βαδίζοντες τὴν ὁδὸν νὰ ἠμπορέσωμεν νὰ φθάσωμεν εἰς τὴν κορυφὴν τῶν ἀγαθῶν, τὰ ὁποῖα μακάρι νὰ ἐπιτύχωμεν ὅλοι μας μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΒ΄

Ματθ. 6, 28 - 34

«Καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ, πῶς αὐξάνει· οὐ κοπιᾷ, οὐδὲ νήθει· λέγω δὲ ὑμῖν, ὅτι οὐδὲ Σολομῶν ἐν πάσῃ
5 *τῇ δόξῃ αὐτοῦ περιεβάλετο ὡς ἓν τούτων».*

1. Εἰπὼν περὶ τῆς ἀναγκαίας τροφῆς καὶ δείξας ὅτι οὐδὲ ὑπὲρ ταύτης χρὴ μεριμνᾶν, ἐπὶ τὸ κουφότερον μεταβαίνει λοιπόν. Οὐδὲ γὰρ οὕτως ἀναγκαῖον ἔνδυμα, ὡς τροφή. Τίνος οὖν ἕνεκεν οὐ κέχρηται καὶ ἐνταῦθα τῷ αὐτῷ ὑπο-
10 *δείγματι τῷ τῶν ὀρνίθων, οὐδὲ λέγει τὸν ταῶνα ἡμῖν καὶ τὸν κύκνον καὶ τὸ πρόβατον; καὶ γὰρ πολλὰ τοιαῦτα παραδείγματα ἦν ἐκεῖθεν λαβεῖν. Ὅτι βούλεται ἑκατέρωθεν δεῖξαι τὴν ὑπερβολήν, ἀπό τε τῆς εὐτελείας τῶν τῆς τοιαύτης μετασχόντων εὐπρεπείας, ἀπό τε τῆς φιλοτιμίας τοῦ καλλω-*
15 *πισμοῦ τῆς δοθείσης τοῖς κρίνοις. Διὰ τοῦτο ὅτε αὐτὰ κατεσκεύασεν, οὐδὲ κρίνα αὐτὰ καλεῖ λοιπόν, ἀλλὰ χόρτον ἀγροῦ. Καὶ οὐδὲ τῷ ὀνόματι ἀρκεῖται τούτῳ, ἀλλὰ πάλιν ἑτέραν εὐτέλειαν προστίθησιν, εἰπών, «σήμερον ὄντα». Καὶ οὐκ εἶπεν, αὔριον οὐκ ὄντα, ἀλλὰ τὸ πολλῷ πάλιν καταδεέ-*
20 *στερον, «εἰς κλίβανον βαλλόμενον». Καὶ οὐκ εἶπεν, ἀμφιέννυσιν, ἀλλ', οὕτως ἀμφιέννυσιν.*

Ὁρᾷς πανταχοῦ πολλὰς τὰς ὑπερβολὰς καὶ τὰς ἐπιτάσεις; Ποιεῖ δὲ τοῦτο, ἵνα αὐτῶν καθάψηται· διὰ δὴ τοῦτο καὶ ἐπήγαγεν· «οὐ πολλῷ μᾶλλον ὑμᾶς;». Καὶ γὰρ πολλὴν
25 *ἔχει καὶ τοῦτο τὴν ἔμφασιν. Τὸ γάρ, ὑμᾶς, οὐδὲν ἕτερον ἐστὶν αἰνιττομένου, ἢ τὸ πολυτίμητον καὶ περισπούδαστον τοῦ γένους· ὡσανεὶ ἔλεγεν, ὑμᾶς, οἷς ψυχὴν ἔδωκεν, οἷς σῶμα*

ΟΜΙΛΙΑ ΚΒ΄

Ματθ. 6, 28 - 34

«Παρατηρήσατε τὰ κρίνα τοῦ ἀγροῦ πῶς μεγαλώνουν· δὲν κοπιάζουν, οὔτε γνέθουν· σᾶς λέγω δέ, ὅτι οὔτε ὁ Σολομῶν μὲ ὅλην τὴν βασιλικήν του λαμπρότητα δὲν ἐφόρησε τόσον ὡραῖα ὡσὰν ἕνα ἀπὸ αὐτά».

1. Ἀφοῦ ὡμίλησε διὰ τὴν ἀναγκαίαν τροφὴν καὶ ἀπέδειξεν ὅτι δὲν πρέπει νὰ μεριμνᾷ κανεὶς οὔτε δι' αὐτήν, προχωρεῖ λοιπὸν πρὸς τὸ εὐτελέστερον. Διότι δὲν εἶναι τόσον ἀναγκαῖα τὰ ροῦχα, ὅσον ἡ τροφή. Ἐξ αἰτίας ποίου πράγματος λοιπὸν δὲν χρησιμοποιεῖ καὶ ἐδῶ τὸ ἴδιο παράδειγμα μὲ τὸ παράδειγμα τῶν ὀρνίθων, οὔτε μᾶς ἀναφέρει τὸ παγώνι καὶ τὸν κύκνον καὶ τὸ πρόβατον; καθόσον ἦτο δυνατὸν πολλὰ τέτοια παραδείγματα νὰ λάβῃ ἀπὸ τὰ πτηνά. Ἐπειδὴ θέλει καὶ ἀπὸ τὰ δύο νὰ ἀποδείξῃ τὴν ὑπερβολήν, καὶ ἀπὸ τὴν εὐτέλειαν αὐτῶν ποὺ μετέχουν εἰς αὐτοῦ τοῦ εἴδους τὴν εὐπρέπειαν, καὶ ἀπὸ τὴν φιλοτιμίαν τοῦ καλλωπισμοῦ ποὺ ἐδόθη εἰς τὰ κρίνα. Διὰ τοῦτο ὅταν συνεπλήρωσε τὸν λόγον του, δὲν τὰ ὀνομάζει πλέον κρίνα, ἀλλὰ «χόρτον τοῦ ἀγροῦ». Καὶ δὲν ἀρκεῖται εἰς αὐτὸ τὸ ὄνομα, ἀλλὰ πάλιν προσθέτει ἄλλην εὐτέλειαν, ὀνομάζοντάς τα «σήμερον ὑπάρχοντα». Καὶ δὲν εἶπεν, ὅτι αὔριον δὲν θὰ ὑπάρχουν, ἀλλὰ καὶ πάλιν χρησιμοποιεῖ τὸ εὐτελέστερον ὄνομα, ὅτι δηλαδὴ «ρίπτεται εἰς τὸν φοῦρνον». Καὶ δὲν εἶπεν ἁπλῶς 'τὸ ἐνδύει', ἀλλὰ ὅτι τὸ ἐνδύει κατὰ τόσον ὡραῖον τρόπον.

Βλέπεις ὅτι παντοῦ χρησιμοποιεῖ τὰς ὑπερβολὰς καὶ τὰς ὀξύνσεις; Τὸ κάμνει δὲ αὐτὸ διὰ νὰ τοὺς ψέξῃ· διὰ τοῦτο βέβαια καὶ προσέθεσε· «δὲν θὰ τὸ κάνῃ πολὺ περισσότερον διὰ σᾶς;». Πράγματι καὶ αὐτὸ ἔχει πάρα πολλὴν ἔμφασιν. Διότι μὲ τὸ «σᾶς» δὲν ἐννοεῖ τίποτε ἄλλο, παρὰ τὸ πολυτίμητον καὶ πάρα πολὺ ἀξιόλογον τοῦ γένους· εἶναι ὡσὰν νὰ τοὺς ἔλεγεν· Σᾶς, εἰς τοὺς ὁποίους ἔδωσε ψυχήν,

διέπλασε, δι' οὓς τὰ ὁρώμενα πάντα ἐποίησε, δι' οὓς προφήτας ἔπεμψε καὶ νόμον ἔδωκε καὶ τὰ μυρία εἰργάσατο ἀγαθά· δι' οὓς τὸν μονογενῆ παῖδα ἐξέδωκεν. Ἐπειδὴ δὲ ἀπέδειξε σαφῶς, τότε καὶ ἐπιπλήττει λέγων· ὀλιγόπιστοι.
5 *Τοιοῦτον γὰρ ὁ συμβουλεύων· οὐ παραινεῖ μόνον, ἀλλὰ καὶ καθάπτεται, ἵνα διεγείρῃ πλέον πρὸς τὴν πειθὼ τῶν λεγομένων.*

Ἀπὸ τούτων ἡμᾶς οὐχὶ μὴ μεριμνᾶν διδάσκει μόνον, ἀλλὰ μηδὲ ἐπτοῆσθαι πρὸς τὴν πολυτέλειαν τῶν ἱματίων.
10 *Χλόης γὰρ ἡ εὐπρέπεια καὶ πόας τὸ κάλλος· μᾶλλον δε καὶ τιμιώτερος ὁ χόρτος τῆς τοιαύτης στολῆς. Τί τοίνυν μέγα φρονεῖς, ἐν οἷς τὰ νικητήρια παρὰ τῇ βοτάνῃ μετὰ πολλῆς τῆς περιουσίας; Καὶ ὅρα πῶς ἀπὸ τῶν προοιμίων κοῦφον δείκνυσι τὸ ἐπίταγμα, πάλιν ἀπὸ τῶν ἐναντίων αὐ-*
15 *τοὺς καὶ ἀφ' ὧν δεδοίκασιν, ἀπὸ τούτων ἀπάγων. Εἰπὼν γάρ, «καταμάθετε τὰ κρίνα τοῦ ἀγροῦ», ἐπήγαγεν, «οὐ κοπιῶσιν». Ὥστε κόπων ἡμᾶς ἀπαλλάξαι βουλόμενος, ταῦτα ἐκέλευσεν. Οὐ τοίνυν τὸ μὴ μεριμνᾶν ταῦτα πόνος, ἀλλὰ τὸ μεριμνᾶν. Καὶ καθάπερ εἰπών, «οὐ σπείρουσιν», οὐ τὸ ἔρ-*
20 *γον ἀνεῖλεν, ἀλλὰ τὴν μέριμναν. Εἰ δὲ Σολομῶν ἡττήθη τοῦ κάλλους αὐτῶν, καὶ οὐχ ἅπαξ οὐδὲ δίς, ἀλλὰ δι' ὅλης τῆς βασιλείας αὐτοῦ· (οὐδὲ γὰρ ἔχοι τις εἰπεῖν, ὅτι νῦν μὲν τοιαῦτα περιεβάλετο, μετὰ δὲ ταῦτα οὐκέτι, ἀλλὰ οὐδὲ ἐν μιᾷ ἡμέρᾳ οὕτως ἐκαλλωπίσατο· τοῦτο γὰρ ἐδήλωσεν εἰπών,*
25 *«ἐν πάσῃ τῇ βασιλείᾳ αὐτοῦ»)· καὶ οὐχ ὑπὸ τούτου μὲν ἡττή-*

εἰς τοὺς ὁποίους διέπλασε τὸ σῶμα, διὰ τοὺς ὁποίους ἐδημιούργησεν ὅλα ὅσα βλέπομεν, διὰ τοὺς ὁποίους ἀπέστειλε προφήτας καὶ ἔδωσε τὸν νόμον καὶ ἔκαμε τόσα ἀμέτρητα καλά, διὰ τοὺς ὁποίους ἔδωσε τὸν μονογενῆ Υἱόν του καὶ ἐδώρησε δι' αὐτοῦ τ' ἀμέτρητα χαρίσματά του. Ἀφοῦ λοιπὸν τοὺς ἔδωσε σαφεῖς ἀποδείξεις, ἐν συνεχείᾳ τοὺς ἐπιπλήττει, λέγων· «Ὀλιγόπιστοι». Διότι τέτοιος πρέπει νὰ εἶναι αὐτὸς ποὺ δίδει συμβουλάς· δὲν συμβουλεύει μόνον, ἀλλὰ καὶ ψέγει, διὰ νὰ τοὺς παρακινήσῃ περισσότερον ὥστε νὰ πιστεύσουν εἰς τοὺς λόγους του.

Μὲ αὐτὰ μᾶς διδάσκει ὄχι μόνον νὰ μὴ μεριμνῶμεν, ἀλλὰ οὔτε νὰ κατακυριευώμεθα ἀπὸ τὴν πολυτέλειαν τῶν ἐνδυμάτων. Διότι ἡ εὐπρέπεια εἶναι ἰδιότης τῆς χλόης καὶ τὸ κάλλος τοῦ χόρτου· μάλιστα δὲ ἔχει μεγαλυτέραν ἀξίαν τὸ χόρτον ἀπὸ τέτοιου εἴδους στολήν. Διατί λοιπὸν μεγαλοφρονεῖς διὰ πράγματα, μεταξὺ τῶν ὁποίων τὸ βραβεῖον τῆς νίκης τὸ ἔχει ἡ βοτάνη, μὲ πολλὴν μάλιστα ὑπεροχήν; Καὶ πρόσεχε πῶς ἀπὸ τὴν ἀρχὴν ἀποδεικνύει τὸ πρόσταγμα εὔκολον, καὶ πάλιν δὲ τοὺς διδάσκει ἀπὸ τὰ ἀντίθετα καὶ ἀπὸ ἐκεῖνα ποὺ φοβοῦνται. Διότι ἀφοῦ εἶπε «προσέξατε τὰ κρίνα τοῦ ἀγροῦ», προσέθεσε· «Δὲν κοπιάζουν». Ὥστε ἔδωσεν αὐτὴν τὴν ἐντολὴν ἐπειδὴ θέλει νὰ μᾶς ἀπαλλάξῃ ἀπὸ τοὺς κόπους. Δὲν εἶναι λοιπὸν κόπος τὸ νὰ μὴ μεριμνᾷ κανεὶς δι' αὐτά, ἀλλὰ κόπος εἶναι τὸ νὰ μεριμνᾷ κανείς. Καὶ ὅπως ἀκριβῶς μὲ τὸ νὰ εἰπῇ «Δὲν σπείρουν», δὲν κατήργησε τὸν σπόρον, ἀλλὰ τὴν φροντίδα, ἔτσι λέγων, «Δὲν κοπιάζουν, οὔτε γνέθουν», δὲν ἀφῄρησε τὴν ἐργασίαν, ἀλλὰ τὴν μέριμναν. Ἐὰν δὲ ὁ Σολομῶν ἐνικήθη ἀπὸ τὴν ὀμορφιὰν αὐτῶν, καὶ ὄχι μίαν φοράν, οὔτε δύο, ἀλλὰ καθ' ὅλην τὴν διάρκειαν τῆς βασιλείας του (διότι δὲν ἠμπορεῖ κανεὶς νὰ εἰπῇ ὅτι κάποτε μὲν ἐνεδύετο μὲ παρόμοια, ὄχι ὅμως καὶ εἰς τὴν συνέχειαν, ἀλλὰ ὅτι δὲν ἐκαλλωπίσθη κατ' αὐτὸν τὸν τρόπον οὔτε μίαν ἡμέραν· διότι αὐτὸ τὸ ἐδήλωσε λέγων «καθ' ὅλην τὴν βασιλείαν του»). Καὶ οὔτε ἠμπορεῖ

θη τοῦ ἄνθους, τὸ δὲ ἕτερον ἐμιμήσατο, ἀλλὰ πᾶσιν ὁμοῦ παρεχώρησε· (διὸ καὶ ἔλεγεν, «ὡς ἓν τούτων»[1]· ὅσον γὰρ τῆς ἀληθείας πρὸς τὸ ψεῦδος, τοσοῦτον τῶν ἱματίων ἐκείνων καὶ τῶν ἀνθῶν τούτων τὸ μέσον)· εἰ τοίνυν ἐκεῖνος ὡμολόγησε τὴν ἧτταν, ὁ πάντων βασιλέων τῶν πώποτε γενομένων λαμπρότερος, πότε σὺ περιγενέσθαι δυνήσῃ, μᾶλλον δὲ ἐγγὺς γενέσθαι κἂν μικρὸν τῆς τοιαύτης εὐμορφίας; Ἐνθεῦθεν ἡμᾶς παιδεύει μηδ' ὅλως ἐφίεσθαι τοῦ τοιούτου καλλωπισμοῦ. Ὅρα γοῦν αὐτοῦ τὸ τέλος· μετὰ τὴν νίκην εἰς κλίβανον βάλλεται.

Εἰ δὲ περὶ τὰ εὐτελῆ καὶ οὐδενὸς ἄξια λόγου, καὶ τὴν τυχοῦσαν παρεχόμενα χρείαν, τοσαύτην πρόνοιαν ὁ Θεὸς ἐπεδείξατο, πῶς σὲ προήσεται τὸ πάντων ἀναγκαιότατον ζῶον; Τίνος οὖν ἕνεκεν οὕτω καλὰ αὐτὰ ἐποίησεν; Ἵνα τὴν αὐτοῦ σοφίαν ἐπιδείξηται καὶ τὴν περιουσίαν τῆς δυνάμεως, ἵνα πανταχόθεν αὐτοῦ τὴν δόξαν μάθωμεν. Οὐ γὰρ οἱ οὐρανοὶ μόνοι διηγοῦνται τὴν δόξαν τοῦ Θεοῦ, ἀλλὰ καὶ ἡ γῆ· καὶ τοῦτο ὁ Δαυῒδ δηλῶν ἔλεγεν· «αἰνεῖτε τὸν Κύριον, ξύλα καρποφόρα καὶ πᾶσαι κέδροι»[2]. Τὰ μὲν γὰρ διὰ τοῦ καρποῦ, τὰ δὲ διὰ τοῦ μεγέθους, τὰ δὲ διὰ τοῦ κάλλους ἀναπέμπει τῷ ποιήσαντι τὴν εὐφημίαν. Πολλῆς γὰρ καὶ τοῦτο περιουσίας σοφίας σημεῖον, ὅταν καὶ εἰς τὰ σφόδρα εὐτελῆ (τί γὰρ εὐτελέστερον τοῦ σήμερον ὄντος καὶ αὔριον οὐκ ὄντος;) τοσοῦτον ἐκχέῃ τὸ κάλλος. Εἰ τοίνυν τῷ χόρτῳ τὸ μὴ ἐν χρείᾳ δέδωκε, (τί γὰρ αὐτοῦ τὸ κάλλος πρὸς τὴν τοῦ πυρὸς τροφὴν συντελεῖ;) πῶς σοὶ τὸ ἐν χρείᾳ οὐ δώσει; Εἰ τὸ πάντων εὐτελέστερον ἐκαλλώπισεν ἐκ περιουσίας, καὶ ταῦτα οὐ πρὸς χρείαν, ἀλλὰ πρὸς φιλοτιμίαν

1. Ψαλ. 18, 2.
2. Ψαλ. 148, 9.

νὰ εἰπῇ ὅτι ἀπὸ αὐτὸ μὲν τὸ ἄνθος ἐνικήθη, ὅμως τὸ ἄλλο τὸ ἀπεμιμήθη, ἀλλὰ ὅτι ἐνικήθη ἀπὸ ὅλα γενικῶς· (διὰ τοῦτο καὶ ἔλεγεν «Ὡσὰν ἕνα ἀπὸ αὐτά»· διότι ὅσον ἀπέχει ἡ ἀλήθεια ἀπὸ τὸ ψεῦδος, τόση εἶναι καὶ ἡ ἀπόστασις τῶν ἐνδυμάτων ἐκείνων καὶ αὐτῶν τῶν ἀνθῶν). Ἐὰν λοιπὸν ἐκεῖνος ὡμολόγησε τὴν ἧτταν του, ὁ πιὸ ἔνδοξος ἀπὸ ὅλους ποὺ ποτὲ ἐγένοντο βασιλεῖς, πότε σὺ θὰ ἠμπορέσῃς νὰ ὑπερβάλῃς, μᾶλλον δὲ νὰ πλησιάσῃς, ἔστω καὶ κατ' ἐλάχιστον, τὴν τοιούτου εἴδους ὀμορφιάν; Ἐξ ὅλων αὐτῶν μᾶς διδάσκει νὰ μὴ ἐπιθυμοῦμεν καθόλου αὐτοῦ τοῦ εἴδους τὸν καλλωπισμόν. Διότι πρόσεξε τὸ τέλος αὐτοῦ· μετὰ τὴν νίκην ρίπτεται εἰς τὸν φοῦρνον.

Ἐὰν λοιπὸν διὰ τὰ εὐτελῆ καὶ τὰ κανενὸς λόγου ἄξια, ποὺ παρέχουν κάποιαν τυχαίαν ὠφέλειαν, τόσον μεγάλην πρόνοιαν ἐπέδειξεν ὁ Θεός, πῶς θὰ ἐγκαταλείψῃ σένα τὸ σπουδαιότερον ἀπὸ ὅλα τὰ ζῶα; Καὶ διατί τότε τὰ ἐδημιούργησε τόσον ὡραῖα; Διὰ νὰ καταστήσῃ γνωστὴν τὴν σοφίαν του καὶ τὴν μεγάλην δύναμίν του, διὰ νὰ γνωρίσωμεν ἀπὸ παντοῦ τὴν δόξαν αὐτοῦ. Διότι δὲν διηγοῦνται μόνον οἱ οὐρανοὶ τὴν δόξαν τοῦ Θεοῦ[1], ἀλλὰ καὶ ἡ γῆ· καὶ αὐτὸ δηλώνων ὁ Δαυΐδ, ἔλεγε· «Δοξολογεῖτε τὸν Κύριον, ξύλα καρποφόρα καὶ ὅλαι αἱ κέδροι»[2]. Ἄλλα μὲν μὲ τὸν καρπόν, ἄλλα δὲ μὲ τὸ μέγεθος καὶ ἄλλα μὲ τὸ κάλλος ἀναπέμπτουν τὴν δοξολογίαν πρὸς αὐτὸν ποὺ τὰ ἐδημιούργησε. Διότι καὶ αὐτὸ εἶναι ἀπόδειξις πολλῆς ἀφθονίας τῆς σοφίας, ὅταν καὶ εἰς τὰ πάρα πολὺ εὐτελῆ (διότι τί πιὸ εὐτελὲς ἀπὸ αὐτὸ ποὺ σήμερον ὑπάρχει καὶ αὔριον δὲν θὰ ὑπάρχει;) παρέχῃ τόσον πολὺ κάλλος. Ἐὰν λοιπὸν εἰς τὸ χόρτον ἔδωσεν αὐτὸ ποὺ δὲν τοῦ εἶναι ἀναγκαῖον (διότι εἰς τί συντελεῖ τὸ κάλλος αὐτοῦ εἰς τὴν τροφὴν τῆς φωτιᾶς;), πῶς δὲν θὰ δώσῃ εἰς ἐσένα ὅ,τι σοῦ εἶναι ἀναγκαῖον; Ἐὰν τὸ πλέον εὐτελὲς τὸ ἐστόλισε μὲ ἀφθονίαν, καὶ αὐτὸ ὄχι διὰ κάποιαν ἀνάγκην, ἀλλὰ τὸ ἔκαμε ἀπὸ γενναιοδωρίαν, πολὺ περισσότερον θὰ δώσῃ εἰς ἐσένα, ποὺ εἶσαι ὁ σπουδαιότε-

τοῦτο ποιῶν· πολλῷ μᾶλλον σὲ τὸν ἁπάντων τιμιώτερον ἐν τοῖς κατὰ τὴν χρείαν τιμήσει.

2. Ἐπειδὴ τοίνυν ἀπέδειξε πολλὴν τοῦ Θεοῦ τὴν πρόνοιαν οὖσαν, καὶ ἔδει καὶ ἐπιπλῆξαι λοιπόν, καὶ ἐνταῦθα
5 *κέχρηται τῇ φειδοῖ, οὐκ ἀπιστίαν, ἀλλ' ὀλιγοπιστίαν αὐτοῖς ἐγκαλῶν. «Εἰ γὰρ τὸν χόρτον τοῦ ἀγροῦ, φησίν, ὁ Θεὸς οὕτως ἀμφιέννυσι, πολλῷ μᾶλλον ὑμᾶς, ὀλιγόπιστοι». Καίτοιγε ταῦτα πάντα αὐτὸς ἐργάζεται· «Πάντα γὰρ δι' αὐτοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν»· ἀλλ' ὅμως οὐδα-*
10 *μοῦ ἑαυτοῦ μέμνηται τέως. Ἤρκει γὰρ εἰς τὸ δεῖξαι τὴν αὐθεντίαν τέως, τὸ λέγειν καθ' ἑκάστην τῶν ἐντολῶν· «Ἠκούσατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις· ἐγὼ δὲ λέγω ὑμῖν». Μὴ τοίνυν θαυμάσῃς, ὅταν καὶ ἐν τοῖς μετὰ ταῦτα κρύπτῃ ἑαυτὸν ἢ ταπεινόν τι περὶ ἑαυτοῦ φθέγγηται. Ἓν γὰρ ἐ-*
15 *σπούδαζε τέως, εὐπαράδεκτον αὐτοῖς γενέσθαι τὸν λόγον, καὶ διὰ πάντων ἀποδεῖξαι οὐκ ἀντίθεόν τινα ὄντα, ἀλλ' ὁμονοοῦντα καὶ συμβαίνοντα τῷ Πατρί. Ὃ δὴ καὶ ἐνταῦθα ποιεῖ. Τοσούτους γὰρ ἀναλώσας λόγους συνεχῶς αὐτὸν ἐν τῷ μέσῳ τίθησι, τὴν σοφίαν αὐτοῦ θαυμάζων, τὴν πρόνοιαν,*
20 *τὴν κηδεμονίαν τὴν διὰ πάντων, καὶ τῶν μεγάλων καὶ τῶν μικρῶν. Καὶ γὰρ ὅτε περὶ τῆς Ἰερουσαλὴμ ἔλεγε, τὴν πόλιν τοῦ μεγάλου βασιλέως αὐτὴν ἐκάλεσε· καὶ ὅτε τοῦ οὐρανοῦ ἐμνημόνευσε, θρόνον πάλιν ὠνόμασε τοῦ Θεοῦ· καὶ ὅτε περὶ τῆς κατὰ τὸν κόσμον οἰκονομίας διελέγετο, αὐτῷ*
25 *πάλιν τὸ πᾶν ἀνατίθησι λέγων· «ὅτι τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθοὺς καὶ βρέχει ἐπὶ δικαίους καὶ ἀδίκους». Καὶ ἐν τῇ εὐχῇ δὲ ἐδίδασκε λέγειν, «ὅτι αὐτοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα». Καὶ ἐνταῦθα περὶ τῆς προνοίας αὐτοῦ διαλεγόμενος καὶ δεικνὺς*

---

3. Ἰω. 1, 3.
4. Ματθ. 5, 21. 22 ἑ.
5. Πρβλ. Ματθ. 5, 34-35.
6. Ματθ. 5, 45.
7. Ματθ. 6, 13β.

ρος ὅλων τῶν δημιουργημάτων, ὅλα ἐκεῖνα ποὺ σοῦ εἶναι ἀναγκαῖα.

2. Ἀφοῦ λοιπὸν ἀπέδειξεν ὅτι εἶναι πάρα πολὺ μεγάλη ἡ πρόνοια τοῦ Θεοῦ, καὶ ἐπειδὴ ἔπρεπε καὶ νὰ τοὺς ἐπιπλήξῃ εἰς τὴν συνέχειαν, χρησιμοποιεῖ ἐδῶ τὴν ἐπιείκειαν, κατηγορῶν αὐτοὺς ὄχι διὰ ἀπιστίαν, ἀλλὰ δι' ὀλιγοπιστίαν. «Διότι ἐὰν τὸ χόρτον τοῦ ἀγροῦ», λέγει, «ὁ Θεὸς τὸ ἐνδύῃ κατ' αὐτὸν τὸν τρόπον, πολὺ περισσότερον θὰ ἐνδύσῃ σᾶς, ὀλιγόπιστοι». Καὶ εἶναι ἀλήθεια πῶς ὅλα αὐτὰ τὰ ἔκανεν αὐτός· «διότι ὅλα ἐδημιουργήθησαν ἀπὸ αὐτὸν καὶ τίποτε δὲν ἔγινε χωρὶς αὐτόν»[3], ἀλλ' ὅμως εἰς τὴν ἀρχὴν πουθενὰ δὲν μνημονεύει τὸν ἑαυτόν του. Διότι ἦτο ἀρκετὸν κατ' ἀρχὴν νὰ ἀποδείξῃ τὴν αὐθεντίαν του, τὸ νὰ λέγῃ εἰς κάθε μίαν ἀπὸ τὰς ἐντολάς· «Ἔχετε ἀκούσει ὅτι ἐλέχθη εἰς τοὺς ἀρχαίους· ἐγὼ ὅμως σᾶς λέγω»[4]. Μὴ θαυμάσῃς λοιπὸν ὅταν καὶ εἰς τὴν συνέχειαν ἀποκρύπτῃ τὸν ἑαυτόν του ἢ λέγῃ κάτι ταπεινὸν διὰ τὸν ἑαυτόν του. Διότι εἰς τὴν ἀρχὴν ἕνα σκοπὸν εἶχε, νὰ κάμῃ παραδεκτὸν τὸν λόγον του εἰς αὐτούς, καὶ μὲ ὅλα νὰ ἀποδείξῃ ὅτι δὲν εἶναι κάποιος ἀντίθεος, ἀλλ' ὅτι εὑρίσκεται ἐν ἁρμονίᾳ καὶ συμφωνίᾳ μὲ τὸν Πατέρα. Πρᾶγμα βέβαια ποὺ κάμνει καὶ ἐδῶ. Διότι εἰς τὸν τόσον μακρὸν λόγον του, συνεχῶς ἀναφέρει τὸν Πατέρα του, θαυμάζων τὴν σοφίαν αὐτοῦ, τὴν πρόνοιαν, τὴν μέριμνάν του δι' ὅλα, καὶ διὰ τὰ μεγάλα καὶ διὰ τὰ μικρά. Διότι καὶ ὅταν ὡμίλει διὰ τὴν Ἱερουσαλήμ, ὠνόμασεν αὐτὴν πόλιν τοῦ μεγάλου βασιλέως· καὶ ὅταν ἐμνημόνευσε τὸν οὐρανόν, τὸν ὠνόμασε πάλιν θρόνον τοῦ Θεοῦ[5]· καὶ ὅταν ὡμίλει διὰ τὴν οἰκονομίαν εἰς τὸν κόσμον, εἰς αὐτὸν πάλιν ἀποδίδει τὸ πᾶν, λέγων ὅτι· «ἀνατέλλει τὸν ἥλιόν του εἰς τοὺς πονηροὺς καὶ τοὺς ἀγαθοὺς καὶ βρέχει καὶ εἰς τοὺς δικαίους καὶ εἰς τοὺς ἀδίκους»[6]. Καὶ εἰς τὴν προσευχὴν δὲ ἐδίδασκε νὰ λέγῃ κανεὶς ὅτι· «Αὐτοῦ εἶναι ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα»[7]. Καὶ ἐδῶ, ὁμιλῶν διὰ τὴν πρόνοιαν αὐτοῦ καὶ ἀποδεικνύων πῶς εἶναι ἀριστοτέχνης

πῶς καὶ ἐν τοῖς μικροῖς ἀριστοτέχνης ἐστί, φησὶν ὅτι «τὸν χόρτον τοῦ ἀγροῦ ἀμφιέννυσι». Καὶ οὐδαμοῦ ἑαυτοῦ Πατέρα καλεῖ, ἀλλ' ἐκείνων, ἵνα καὶ τῇ τιμῇ καθάψηται καὶ ὅταν αὐτοῦ λέγῃ Πατέρα, μηκέτι ἀγανακτῶσιν. Εἰ δὲ ὑπὲρ
5 *ψιλῶν καὶ ἀναγκαίων οὐ δεῖ μεριμνᾶν, τίνος ἂν εἶεν ἄξιοι συγγνώμης οἱ ὑπὲρ τῶν πολυτελῶν μεριμνῶντες; μᾶλλον δὲ τίνος ἂν εἶεν συγγνώμης ἄξιοι οἱ μηδὲ καθεύδοντες, ἵνα τὰ τῶν ἄλλων λάβωσι;*

«Μὴ οὖν μεριμνήσητε λέγοντες· τί φάγωμεν, ἢ τί πίω-
10 *μεν, ἢ τί περιβαλώμεθα; Πάντα γὰρ ταῦτα τὰ ἔθνη τοῦ κόσμου ἐπιζητεῖ». Εἶδες πῶς πάλιν αὐτοὺς καὶ ἐνέτρεψε μειζόνως, καὶ παρεδήλωσεν ὅτι οὐδὲν φορτικόν, οὐδὲ ἐπαχθὲς ἐπέταξεν; Ὥσπερ οὖν ὅτε ἔλεγεν· «ἐὰν ἀγαπᾶτε τοὺς ἀγαπῶντας ὑμᾶς, οὐδὲν μέγα ποιεῖτε· καὶ γὰρ οἱ ἐθνικοὶ*
15 *τὸ αὐτὸ ποιοῦσιν»· ἀπὸ τῆς μνήμης τῶν ἐθνικῶν αὐτοὺς διήγειρε πρὸς τὸ μεῖζον· οὕτω καὶ νῦν ἐκείνους εἰς μέσον ἄγει, καθαπτόμενος καὶ δεικνὺς ὅτι ἀναγκαῖον ἀπαιτεῖ παρ' ἡμῶν ὀφείλημα. Εἰ γὰρ τῶν γραμματέων καὶ Φαρισαίων πλέον ἐπιδείξασθαι χρή, τίνος ἂν εἴημεν ἄξιοι οἱ μὴ μόνον*
20 *ἐκείνους μὴ ὑπερβαίνοντες, ἀλλὰ καὶ ἐν τῇ τῶν ἐθνικῶν εὐτελείᾳ μένοντες, καὶ τὴν αὐτῶν μικροψυχίαν ζηλοῦντες; Οὐ μὴν μέχρι τῆς ἐπιπλήξεως ἔστη, ἀλλὰ καθαψάμενος ἐντεῦθεν καὶ διεγείρας αὐτοὺς καὶ ἐντρέψας μεθ' ὑπερβολῆς ἁπάσης, καὶ ἑτέρωθεν παρακαλεῖ λέγων· «Οἶδε γὰρ*
25 *ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος, ὅτι χρῄζετε τούτων ἁπάντων». Οὐκ εἶπεν, οἶδεν ὁ Θεός, ἀλλ', οἶδεν ὁ Πατήρ, ὥστε αὐτοὺς εἰς μείζονα ἐλπίδα ἀγαγεῖν. Εἰ γὰρ Πατήρ ἐστι, καὶ Πατὴρ τοιοῦτος, οὐ δυνήσεται περιιδεῖν τοὺς υἱοὺς ἐν ἐ-*

---

8. Ματθ. 5, 46-47.

καὶ εἰς τὰ ἀσήμαντα, λέγει ὅτι «ἐνδύει τὸν χόρτον τοῦ ἀγροῦ». Καὶ πουθενὰ δὲν τὸν ὀνομάζει Πατέρα του, ἀλλὰ Πατέρα ἐκείνων, καὶ διὰ νὰ τοὺς ἐλέγξῃ μὲ αὐτὴν τὴν τιμήν, καὶ ὅταν τὸν ὀνομάζῃ Πατέρα του νὰ μὴ ἀγανακτοῦν πλέον. Ἐὰν δὲ διὰ τὰ ἀσήμαντα καὶ ἀναγκαῖα δὲν πρέπει νὰ μεριμνᾷ κανείς, ποίας συγχωρήσεως θὰ ἠμποροῦσαν νὰ τύχουν αὐτοὶ ποὺ μεριμνοῦν διὰ τὰ πολυτελῆ πράγματα; μᾶλλον δὲ ποίας συγχωρήσεως θὰ ἠμποροῦσαν νὰ ἦσαν ἄξιοι αὐτοὶ ποὺ δὲν κοιμῶνται διὰ νὰ ἀφαιρέσουν τὰ πράγματα τῶν ἄλλων;

«Μὴ μεριμνᾶτε λοιπὸν λέγοντες· Τί θὰ φάγωμεν ἢ τί θὰ πίωμεν ἢ τί θὰ ἐνδυθῶμεν; Διότι ὅλα αὐτὰ τὰ ἐπιζητοῦν μὲ μανίαν οἱ ἐθνικοί». Εἶδες πῶς πάλιν ἡ συμβουλή του ἔγινεν ἐντονωτέρα, καὶ κατέστησε γνωστὸν ὅτι δὲν ἐπρόσταξε τίποτε τὸ ἐνοχλητικόν, οὔτε τὸ δυσάρεστον; Ὅπως ἀκριβῶς λοιπὸν ὅταν ἔλεγεν, «ἐὰν ἀγαπᾶτε αὐτοὺς ποὺ σᾶς ἀγαποῦν, δὲν κάμνετε τίποτε τὸ σπουδαῖον· διότι καὶ οἱ ἐθνικοὶ τὸ ἴδιο κάμνουν»[8], παρότρυνεν αὐτοὺς πρὸς τὸ ὑψηλότερον, ὑπενθυμίζων τοὺς ἐθνικούς, ἔτσι καὶ τώρα ἀναφέρει ἐκείνους, ἐπιπλήττων ἡμᾶς καὶ δεικνύων ὅτι ζητεῖ ἀπὸ ἡμᾶς ἀναγκαῖον ὀφείλημα. Διότι ἐνῷ πρέπει νὰ ξεπεράσωμεν κατὰ πολὺ περισσότερον τοὺς γραμματεῖς καὶ Φαρισαίους, ποίαν ἀξίαν θὰ ἐδικαιούμεθα ἡμεῖς, ποὺ ὄχι μόνον δὲν ξεπεράσαμεν ἐκείνους, ἀλλὰ καὶ ποὺ παραμένομεν καὶ εἰς τὴν εὐτέλειαν τῶν ἐθνικῶν καὶ μιμούμεθα τὴν μικροψυχίαν αὐτῶν; Μάλιστα δὲν ἠρκέσθη μόνον εἰς τὴν ἐπίπληξιν, ἀλλ' ἀφοῦ τοὺς ἐπέπληξε μ' ὅλα αὐτὰ καὶ διήγειρε τὴν προθυμίαν των, καὶ ἀφοῦ τοὺς ἔκανε νὰ νοιώσουν μεγάλην ἐντροπήν, ἐν συνεχείᾳ τοὺς προτρέπει καὶ μὲ ἄλλον τρόπον, λέγων· «Διότι γνωρίζει ὁ Πατήρ σας ὁ οὐράνιος, ὅτι ἔχετε τὴν ἀνάγκην ὅλων αὐτῶν». Δὲν εἶπε, 'γνωρίζει ὁ Θεός', ἀλλὰ «γνωρίζει ὁ Πατήρ», ὥστε νὰ δημιουργήσῃ εἰς αὐτοὺς μεγαλυτέραν ἐλπίδα. Διότι ἐὰν εἶναι Πατήρ, καὶ μάλιστα τοιοῦτος Πατήρ, δὲν θὰ ἠμπορέσῃ ν' ἀδιαφορήσῃ διὰ τοὺς

σχάτοις ὄντας κακοῖς· ὅπου γε οὐδὲ ἄνθρωποι πατέρες ὄντες τοῦτο ὑπομένωσι. Καὶ ἕτερον δὲ μετὰ τούτου πάλιν ἐπάγει λογισμόν. Ποῖον δὴ τοῦτον; Ὅτι χρῄζετε αὐτῶν. Ὃ δὲ λέγει,τοιοῦτόν ἐστι. Μὴ γὰρ περιττά ἐστι ταῦτα, ἵνα 5 *καταφρονήσῃ; Καίτοιγε οὐδὲ ἐν τοῖς περισσοῖς κατεφρόνησεν, ἐπὶ τοῦ χόρτου· νυνὶ δὲ καὶ ἀναγκαῖά ἐστιν. Ὥστε ὃ νομίζεις αἴτιον εἶναί σοι τῆς φροντίδος, τοῦτο ἱκανὸν εἶναί φημι τῆς φροντίδος σε ταύτης ἀπαγαγεῖν. Εἰ γὰρ λέγοις, ὅτι διὰ τοῦτό με χρὴ μεριμνᾶν, ἐπειδὴ ἀναγκαῖά* 10 *ἐστι, τοὐναντίον ἐγώ φημι, ὅτι δι' αὐτὸ μὲν οὖν τοῦτο μὴ μεριμνήσῃς, ἐπειδὴ ἀναγκαῖά ἐστιν. Εἰ γὰρ περιττὰ ἦν, οὐδ' οὕτως ἀπογινώσκειν, ἀλλὰ θαρρεῖν ὑπὲρ τῆς αὐτῶν χορηγίας ἐχρῆν· ἐπειδὴ δὲ ἀναγκαῖά ἐστιν, οὐκέτι ἀμφιβάλλειν δεῖ. Ποῖος γάρ ἐστι πατήρ, ὃς ὑπομένει μηδὲ τὰ ἀ-* 15 *ναγκαῖα παρασχεῖν τοῖς παισίν; Ὥστε καὶ διὰ τοῦτο πάντως παρέξει ὁ Θεός. Καὶ γὰρ δημιουργός τῆς φύσεως αὐτός ἐστι, καὶ τὴν χρείαν αὐτῆς μετὰ ἀκριβείας αὐτὸς ἐπίσταται. Οὐδὲ γὰρ τοῦτο ἂν ἔχοις εἰπεῖν, ὅτι Πατὴρ μέν ἐστι καὶ ἀναγκαῖα ἐστὶ τὰ ζητούμενα, ἀγνοεῖ δὲ ὅτι ἐν* 20 *χρείᾳ αὐτῶν καθεστήκαμεν. Ὁ γὰρ τὴν φύσιν αὐτὴν εἰδὼς καὶ δημιουργὸς αὐτῆς γεγενημένος καὶ τοιαύτην αὐτὴν διαπλάσας, εὔδηλον ὅτι καὶ τὴν χρείαν αὐτῆς ἐπίσταται σοῦ μᾶλλλον τοῦ ἐν χρείᾳ αὐτῶν καθεστῶτος. Καὶ γὰρ αὐτῷ τοῦτο ἔδοξεν, ὥστε ἐν τοιαύτῃ χρείᾳ εἶναι αὐτήν. Οὐ* 25 *τοίνυν ἐναντιώσεται οἷς ἠθέλησε, καταστήσας μὲν ἐν ἀνάγ-*

χρείας, ἀποστερῶν δὲ αὖ πάλιν τῆς χρείας
γκαίων αὐτήν.

υἱούς του εὑρισκομένους εἰς τὰ χειρότερα κακά, καθ' ἣν στιγμὴν μάλιστα οὔτε ἄνθρωποι, ποὺ εἶναι πατέρες, δὲν τὸ ἀνέχονται αὐτό. Καὶ μετὰ ἀπὸ αὐτὸ προσθέτει καὶ ἄλλον συλλογισμόν. Ποῖος λοιπὸν εἶναι αὐτός; «Ὅτι ἔχετε ἀνάγκην αὐτῶν». Αὐτὸ δὲ ποὺ λέγει, σημαίνει τὸ ἑξῆς. Μήπως δηλαδὴ αὐτὰ εἶναι ἀσήμαντα διὰ νὰ τὰ περιφρονήσῃ; Καὶ ὅμως οὔτε τὰ ἀσήμαντα ἐπεριφρόνησε, ὅπως δηλαδὴ εἰς τὴν περίπτωσιν τοῦ χόρτου· εἰς τὴν παροῦσαν περίπτωσιν δὲ εἶναι καὶ ἀναγκαῖα. Ὥστε αὐτὸ ποὺ θεωρεῖς ὅτι εἶναι αἰτία τῆς φροντίδος σου, αὐτὸ εἶναι ἱκανόν, νομίζω, νὰ σὲ ἀπομακρύνῃ ἀπὸ αὐτὴν τὴν φροντίδα. Διότι ἐὰν ἰσχυρίζεσαι, ὅτι δι' αὐτὸ πρέπει νὰ μεριμνῶ, ἐπειδὴ εἶναι ἀναγκαῖα, ἀντιθέτως ἐγὼ λέγω, ὅτι ἀκριβῶς δι' αὐτὸ δὲν πρέπει νὰ μεριμνήσῃς, ἐπειδὴ εἶναι ἀναγκαῖα. Ἀλλὰ καὶ ἂν ἀκόμη ἦσαν περιττὰ πάλιν δὲν θὰ ἔπρεπεν ἔτσι νὰ ὁδηγούμεθα εἰς ἀπόγνωσιν, ἀλλὰ θὰ ἔπρεπε νὰ ἐλπίζαμεν εἰς τὴν χορηγίαν αὐτῶν· ἐπειδὴ ὅμως εἶναι ἀναγκαῖα, δὲν πρέπει καθόλου νὰ ἀμφιβάλλωμεν. Διότι ποῖος εἶναι ἐκεῖνος ὁ πατέρας, ὁ ὁποῖος ἀνέχεται, ὥστε νὰ μὴ ἐξασφαλίσῃ εἰς τὰ παιδιά του οὔτε τὰ ἀναγκαῖα; Ὥστε καὶ δι' αὐτὸν τὸν λόγον ὁ Θεὸς ὁπωσδήποτε θὰ σοῦ χορηγήσῃ. Καθόσον μάλιστα αὐτὸς εἶναι δημιουργὸς τῆς φύσεως καὶ γνωρίζει μὲ ἀκρίβειαν αὐτὸς τὴν ἀνάγκην αὐτῆς. Φυσικὰ οὔτε αὐτὸ θὰ ἠμποροῦσες νὰ εἰπῇς, ὅτι εἶναι μὲν Πατὴρ καὶ ὅτι ἀναγκαῖα εἶναι αὐτὰ ποὺ ζητοῦμεν, ὅμως ἀγνοεῖ ὅτι ἔχομεν τὴν ἀνάγκην αὐτῶν. Διότι αὐτὸς ποὺ γνωρίζει τὴν φύσιν, καὶ εἶναι δημιουργὸς αὐτῆς, καὶ διέπλασεν αὐτὴν κατ' αὐτὸν τὸν τρόπον εἶναι ὁλοφάνερον ὅτι καὶ τὴν ἀνάγκην αὐτῆς γνωρίζει περισσότερον ἀπὸ σένα ποὺ ἔχεις τὴν ἀνάγκην αὐτῶν. Καθόσον ἔτσι ἔκρινεν αὐτὸς σκόπιμον, ὥστε αὐτὴ νὰ εὑρίσκεται εἰς τέτοιου εἴδους ἀνάγκην. Δὲν θὰ ἐναντιωθῇ λοιπὸν εἰς αὐτὰ ποὺ ἠθέλησεν ὁ ἴδιος, ποὺ ἐδημιούργησε μὲν αὐτὴν τὴν μεγάλην ἀνάγκην, καὶ θὰ ἀπαλλάξῃ πάλιν αὐτὴν ἀπὸ τὴν φυσικὴν ἀνάγκην καὶ τὰ ἀναγκαῖα.

3. Μὴ τοίνυν φροντίζωμεν· οὐδὲν γὰρ ἡμῖν περιέσται πλέον, ἢ τὸ κατατείνειν ἑαυτούς. Ὅταν γὰρ καὶ μεριμνώντων ἡμῶν καὶ μὴ μεριμνώντων παρέχῃ, καὶ μᾶλλον μὴ μεριμνώντων, τί σοι πλέον ἀπὸ τῆς φροντίδος ἢ τὸ δίκην
5 *σαυτὸν περιττὴν ἀπαιτεῖν; Οὐδὲ γὰρ ἐπὶ δαψιλὲς ἀπιέναι μέλλων ἄριστόν τις, ὑπὲρ τροφῆς ἀνέξεται μεριμνᾶν· οὐδὲ ὁ ἐπὶ πηγὴν βαδίζων, ὑπὲρ τοῦ πίνειν φροντίζει. Μὴ τοίνυν μηδὲ ἡμεῖς, καὶ πηγῆς ἁπάσης καὶ μυρίων δείπνων παρεσκευασμένων δαψιλεστέραν ἔχοντες χορηγίαν τοῦ Θεοῦ*
10 *τὴν πρόνοιαν, πτωχεύωμεν, μηδὲ μικροψυχῶμεν.*

Μετὰ γὰρ τῶν εἰρημένων καὶ ἕτερον λογισμὸν πάλιν ὑπὲρ τοῦ θαρρεῖν περὶ τῶν τοιούτων τίθησι λέγων· «Ζητεῖτε τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν». Ἐπειδὴ γὰρ ἀνῆκε τῆς φροντίδος τὴν ψυ-
15 *χήν, τότε καὶ τῶν οὐρανῶν ἐμνημόνευσε. Καὶ γὰρ τὰ παλαιὰ ἀναλύσων παραγέγονε, καὶ πρὸς μείζονα καλέσων πατρίδα. Διὰ τοῦτο πάντα ποιεῖ, ὥστε τῶν περιττῶν ἡμᾶς ἀπαλλάττειν καὶ τῆς πρὸς τὴν γῆν συμπαθείας. Διὰ τοῦτο καὶ τῶν ἐθνικῶν ἐμνημόνευσεν, εἰπὼν ὅτι τὰ ἔθνη ἐπιζητεῖ*
20 *ταῦτα, οἷς ὁ πόνος ἅπας κατὰ τὸν παρόντα βίον, οἷς λόγος οὐδεὶς περὶ τῶν μελλόντων, οὐδὲ ἔννοια τῶν οὐρανῶν. Ὑμῖν δὲ οὐχὶ ταῦτά ἐστι τὰ προηγούμενα, ἀλλ' ἕτερα. Οὐ γὰρ διὰ τοῦτο ἐγενόμεθα, ἵνα φάγωμεν καὶ πίωμεν καὶ περιβαλώμεθα· ἀλλ' ἵνα ἀρέσωμεν Θεῷ, καὶ τῶν μελλόν-*
25 *των ἐπιτύχωμεν ἀγαθῶν. Ὥσπερ οὖν ἐν τῇ σπουδῇ πάρεργα ταῦτα, οὕτω καὶ ἐν τῇ αἰτήσει πάρεργα ἔστω. Διὰ τοῦτο*

3. Ἂς μὴ φροντίζωμεν λοιπόν· διότι δὲν θὰ κερδίσωμεν τίποτε περισσότερον ἐκτὸς ἀπὸ τὸ νὰ βασανίζωμεν τοὺς ἑαυτούς μας. Διότι ὅταν ὁ Θεὸς μᾶς δίδῃ καὶ ὅταν μεριμνῶμεν καὶ ὅταν δὲν μεριμνῶμεν, καὶ μάλιστα πολὺ περισσότερα ὅταν δὲν μεριμνῶμεν, ποῖον εἶναι ἀπὸ τὴν φροντίδα τὸ ἐπὶ πλέον κέρδος σου, παρὰ τὸ νὰ ἀπαιτῇς διὰ τὸν ἑαυτόν σου περιττὴν τιμωρίαν; Διότι οὔτε ὅταν πρόκειται κάποιος νὰ μεταβῇ εἰς πλουσιοπάροχον γεῦμα, θὰ φθάσῃ εἰς τὸ σημεῖον νὰ φροντίζῃ διὰ τὴν τροφήν, οὔτε αὐτὸς ποὺ πηγαίνει πρὸς πηγὴν φροντίζει διὰ νερό. Ἂς μὴ μεριμνῶμεν λοιπὸν οὔτε καὶ ἡμεῖς καὶ ἂς μὴ μικροψυχῶμεν τὴν στιγμὴν ποὺ ἔχομεν ἡμεῖς καὶ ἀπὸ κάθε πηγὴν καὶ ἀπὸ ἄπειρα προετοιμασμένα δεῖπνα, πλουσιωτέραν τὴν χορηγίαν τῆς προνοίας τοῦ Θεοῦ.

Μετὰ λοιπὸν ἀπὸ ὅσα προελέχθησαν προσθέτει καὶ ἄλλον πάλιν συλλογισμὸν διὰ νὰ μὴ χάνωμεν τὸ θάρρος μας διὰ τὰ τοιούτου εἴδους πράγματα, λέγων· «Ζητεῖτε τὴν βασιλείαν τῶν οὐρανῶν καὶ ὅλα αὐτὰ θὰ σᾶς προστεθοῦν». Ὅταν λοιπὸν ἠλευθέρωσε τὴν ψυχὴν ἀπὸ τὴν μέριμναν, ἐμνημόνευσε τότε καὶ τὰ τοῦ οὐρανοῦ. Διότι ἦλθε νὰ ἐλευθερώσῃ ἀπὸ τὰ παλαιὰ καὶ νὰ καλέσῃ πρὸς μεγαλυτέραν πατρίδα. Διὰ τοῦτο τὰ πράττει ὅλα, ὥστε νὰ μᾶς ἀπαλλάξῃ ἀπὸ τὰ περιττὰ καὶ ἀπὸ τὴν προσήλωσίν μας εἰς τὰ γήινα. Διὰ τοῦτο ἐμνημόνευσε καὶ τοὺς ἐθνικούς, λέγων ὅτι οἱ ἐθνικοὶ τὰ ἐπιζητοῦν αὐτά, οἱ ὁποῖοι κοπιάζουν μόνον διὰ τὴν παροῦσαν ζωὴν καὶ οἱ ὁποῖοι δὲν κάνουν κανένα λόγον διὰ τὰ μέλλοντα ἀγαθά, οὔτε ἔχουν ἰδέαν διὰ τὰ οὐράνια πράγματα. Εἰς σᾶς ὅμως δὲν εἶναι αὐτὰ τὰ πρωτεύοντα πράγματα, ἀλλ' ἄλλα. Διότι δὲν ἐδημιουργήθημεν δι' αὐτό, διὰ νὰ τρώγωμεν καὶ νὰ πίνωμεν καὶ νὰ ἐνδυώμεθα, ἀλλὰ διὰ νὰ γίνωμεν ἀρεστοὶ εἰς τὸν Θεὸν καὶ νὰ ἐπιτύχωμεν τὰ μελλοντικὰ ἀγαθά. Ὅπως ἀκριβῶς αὐτὰ καταλαμβάνουν κατὰ τὴν προσπάθειάν μας δευτερεύουσαν θέσιν, ἔτσι καὶ κατὰ τὴν προσευχήν μας ἂς εἶναι δευτερευούσης σημασίας.

καὶ ἔλεγε· «Ζητεῖτε τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν». Καὶ οὐκ εἶπε, δοθήσεται, ἀλλά, προστεθήσεται, ἵνα μάθῃς, ὅτι οὐδὲν μέγα τῶν διδομένων τὰ παρόντα ἐστὶ πρὸς τὸ μέγεθος τῶν μελλόντων. Διὰ δὴ 5 τοῦτο οὐδὲ αἰτεῖν αὐτὰ κελεύει, ἀλλ' αἰτεῖν μὲν ἕτερα, θαρρεῖν δὲ ὡς καὶ τούτων ἐκείνοις προστιθεμένων. Ζήτει τοίνυν τὰ μέλλοντα, καὶ λήψῃ καὶ τὰ παρόντα· μὴ ζήτει τὰ ὁρώμενα, καὶ πάντως αὐτῶν ἐπιτεύξῃ. Καὶ γὰρ ἀνάξιόν σου τὸ περὶ τοιούτων προσιέναι τῷ δεσπότῃ. Ὁ γὰρ τὴν 10 ἅπασαν σπουδὴν καὶ τὴν μέριμναν ὑπὲρ τῶν ἀπορρήτων ἀγαθῶν ἐκείνων ὀφείλων ποιεῖσθαι, σφόδρα σεαυτὸν καταισχύνεις, εἰς τὴν τῶν ῥεόντων πραγμάτων ἐπιθυμίαν καταναλίσκων αὐτήν.

Πῶς οὖν; φησίν· οὐκ ἐκέλευσε τὸν ἄρτον αἰτεῖν; Ἀλ- 15 λά, τὸν ἐπιούσιον, προσέθηκε, καὶ τούτῳ πάλιν τό, σήμερον· ὅπερ οὖν καὶ ἐνταῦθα ποιεῖ. Οὐ γὰρ εἶπε, μὴ μεριμνήσητε· ἀλλά, «Μὴ μεριμνήσητε ὑπὲρ τῆς αὔριον»· ὁμοῦ καὶ τὴν ἐλευθερίαν ἡμῖν παρέχων καὶ τὴν ψυχὴν ἡμῶν προσηλῶν τοῖς ἀναγκαιοτέροις. Καὶ γὰρ καὶ ἐκεῖνα αἰτεῖν διὰ τοῦτο 20 ἐκέλευσεν, οὐχ ὡς τοῦ Θεοῦ δεομένου τῆς παρ' ἡμῶν ὑπομνήσεως, ἀλλ' ἵνα μάθωμεν, ὅτι μετὰ τῆς αὐτοῦ βοηθείας κατορθοῦμεν ἅπερ ἂν κατορθώσωμεν, καὶ ἵνα οἰκειωθῶμεν τῇ συνεχεῖ περὶ τούτων αἰτήσει.

Εἶδες πῶς καὶ ἐντεῦθεν ἔπεισεν, ὅτι λήψονται τὰ πα- 25 ρόντα πάντως; Ὁ γὰρ τὰ μείζω παρέχων, πολλῷ μᾶλλον τὰ ἐλάττω δώσει. Οὐ γὰρ διὰ τοῦτο, φησίν, εἶπον μὴ μεριμνᾶν, μηδὲ αἰτεῖν, ἵνα ταλαιπωρῆτε καὶ γυμνοὶ περιέρχησθε, ἀλλ' ἵνα καὶ τούτων ἐν ἀφθονίᾳ ἦτε· ὃ δὴ μάλιστα πάν-

9. Λουκᾶ 11, 3.

Διὰ τοῦτο καὶ ἔλεγε· «Νὰ ζητῆτε τὴν βασιλείαν τῶν οὐρανῶν καὶ ὅλα αὐτὰ θὰ προστεθοῦν εἰς σᾶς». Καὶ δὲν εἶπε, 'θὰ δοθοῦν', ἀλλὰ «θὰ προστεθοῦν», διὰ νὰ μάθῃς ὅτι κανὲν ἀπὸ αὐτὰ ποὺ δίδονται κατὰ τὸ παρὸν δὲν εἶναι μεγαλύτερον ἀπὸ τὸ μέγεθος τῶν μελλοντικῶν ἀγαθῶν. Διὰ τοῦτο λοιπὸν προτρέπει νὰ μὴ τὰ ζητῇ κανεὶς αὐτά, ἀλλὰ νὰ ζητῇ μὲν ἄλλα νὰ ἔχῃ πίστιν ὅμως ὅτι καὶ αὐτὰ θὰ προστεθοῦν εἰς ἐκεῖνα. Ἐπομένως ζήτει τὰ μέλλοντα ἀγαθὰ καὶ θὰ λάβῃς καὶ τὰ παρόντα· νὰ μὴ ζητῇς αὐτὰ ποὺ βλέπεις, ὁπωσδήποτε ὅμως νὰ εἶσαι βέβαιος πὼς καὶ ἐκεῖνα θὰ τὰ λάβῃς. Καθόσον δὲν σοῦ ταιριάζει νὰ ζητῇς ἀπὸ τὸν Κύριον τέτοια πράγματα. Διότι ἐνῷ ὀφείλεις νὰ δαπανᾷς ὅλην τὴν φροντίδα καὶ τὴν μέριμναν ὑπὲρ ἐκείνων τῶν ἀπεριγράπτων ἀγαθῶν, ντροπιάζεις πάρα πολὺ τὸν ἑαυτόν σου, ἐξοδεύων αὐτὴν εἰς τὴν ἐπιθυμίαν τῶν ἐφημέρων πραγμάτων.

Μὰ τί λοιπόν; θὰ ἐρωτήσῃ κάποιος· δὲν ἐπρόσταξε νὰ ζητῇ κανεὶς τὸν ἄρτον; Ἀλλ' ὅμως ἐπρόσθεσε «τὸν ἐπιούσιον», καὶ εἰς αὐτὸ πάλιν προσέθεσε τό, «σήμερον»[9]· πρᾶγμα τὸ ὁποῖον βέβαια κάμνει καὶ τώρα. Διότι δὲν εἶπε, 'Μὴ μεριμνήσετε', ἀλλὰ «Μὴ περιμνήσετε διὰ τὴν αὔριον ἡμέραν»· καὶ ἔτσι μᾶς παρέχει καὶ τὴν ἐλευθερίαν καὶ τὴν ψυχήν μας προσηλώνει εἰς τὰ πλέον ἀναγκαῖα. Καθόσον καὶ ἐκεῖνα ἐπρόσταξε δι' αὐτὸ νὰ τὰ ζητῇ κανείς, ὄχι ἐπειδὴ ὁ Θεὸς ἔχει ἀνάγκην τῆς ἰδικῆς μας ὑπενθυμίσεως, ἀλλὰ διὰ νὰ μάθωμεν, ὅτι μὲ τὴν βοήθειαν αὐτοῦ ἐπιτυγχάνομεν αὐτὰ τὰ ὁποῖα ἐπιτυγχάνομεν, καὶ διὰ νὰ ἐξοικειωθῶμεν μὲ τὴν συνεχῆ προσευχὴν ὑπὲρ αὐτῶν.

Εἶδες πῶς τοὺς ἔπεισε καὶ εἰς αὐτὴν τὴν περίπτωσιν, ὅτι θὰ λάβουν ὁπωσδήποτε τὰ παρόντα ἀγαθά; Διότι αὐτὸς ποὺ χορηγεῖ τὰ μεγαλύτερα, θὰ δώσῃ πολὺ περισσότερον τὰ μικρότερα. Διότι, λέγει, δὲν εἶπα διὰ τοῦτο νὰ μὴ μεριμνᾶτε οὔτε καὶ νὰ ζητῆτε διὰ νὰ ταλαιπωρῆσθε καὶ νὰ περιφέρεσθε γυμνοί, ἀλλὰ διὰ νὰ ἔχετε καὶ αὐτὰ ἐν ἀφθονίᾳ·

των ἱκανὸν ἦν αὐτοὺς ἐφελκύσασθαι. Ὥσπερ οὖν ἐπὶ τῆς ἐλεημοσύνης ἀποτρέπων αὐτοὺς ἐπιδείκνυσθαι τοῖς ἀνθρώποις, τούτῳ μάλιστα ἔπειθε, τῷ μετὰ πλείονος αὐτὸ παρέξειν ὑποσχέσθαι τῆς φιλοτιμίας αὐτοῖς· («ὁ γὰρ Πατήρ 5 *σου», φησίν, «ὁ βλέπων ἐν τῷ κρυπτῷ, ἀποδώσει σοι ἐν τῷ φανερῷ»)· οὕτω καὶ ἐνταῦθα ἀφέλκων αὐτοὺς τοῦ μὴ ζητεῖν αὐτά, τούτῳ μάλιστα πείθει, τῷ μὴ ζητοῦσι μετὰ πλείονος ὑποσχέσθαι παρέχειν τῆς περιουσίας. Διὰ γὰρ τοῦτο κελεύω, φησί, μὴ ζητεῖν, οὐχ ἵνα μὴ λάβῃς, ἀλλ' ἵνα λά-* 10 *βῃς δαψιλῶς· ἵνα λάβῃς μετὰ τοῦ σοι προσήκοντος σχήματος, μετὰ τῆς ἁρμοζούσης σοι λυσιτελείας· ἵνα μὴ μεριμνῶν, μηδὲ σχιζόμενος εἰς τὴν τούτων φροντίδα, ἀνάξιον σαυτὸν καὶ τούτων καὶ τῶν πνευματικῶν καταστήσῃς· ἵνα μὴ ταλαιπωρίαν περιττὴν ὑπομείνῃς, καὶ τοῦ προκειμένου πάλιν ἐκ-* 15 *πέσῃς. «Μὴ οὖν μεριμνήσητε περὶ τῆς αὔριον· ἀρκετὸν γὰρ τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς». τουτέστιν, ἡ ταλαιπωρία, ἡ συντριβή. Οὐκ ἀρκεῖ σοι τὸ ἐν ἱδρῶτι τοῦ προσώπου σου ἐσθίειν τὸν ἄρτον σου; τί καὶ ἑτέραν προστιθεὶς τὴν ἀπὸ τῆς φροντίδος ταλαιπωρίαν, μέλλων λοιπὸν καὶ τῶν προτέρων* 20 *ἀπολύεσθαι κόπων;*

4. Κακίαν δὲ ἐνταῦθά φησιν, οὐ τὴν πονηρίαν, μὴ γένοιτο, ἀλλὰ τὴν ταλαιπωρίαν καὶ τὸν πόνον καὶ τὰς συμφοράς· ὥσπερ οὖν καὶ ἀλλαχοῦ φησιν· «Εἰ ἔστι κακία ἐν πόλει, ἣν Κύριος οὐκ ἐποίησεν;», οὐχ ἁρπαγὰς λέγων, οὐδὲ πλεο- 25 *νεξίας, οὐκ ἄλλο τι τῶν τοιούτων οὐδέν, ἀλλὰ τὰς ἄνωθεν φερομένας πληγάς. Καὶ πάλιν, «Ἐγώ», φησί, «ποιῶν εἰρήνην καὶ κτίζων κακά». Οὐδὲ γὰρ ἐνταῦθα τὴν κακίαν φησίν, ἀλλὰ τοὺς λιμοὺς καὶ τοὺς λοιμούς, τὰ δοκοῦντα εἶναι*

---

10. Ματθ. 6, 4.
11. Γεν. 3, 19.
12. Ἀμὼς 3, 6.
13. Ἡσ. 45, 7.

πρᾶγμα ποὺ βέβαια περισσότερον ἀπὸ ὅλα ἦτο ἱκανὸν νὰ προσελκύσῃ αὐτούς. Ὅπως ἀκριβῶς λοιπὸν εἰς τὴν περίπτωσιν τῆς ἐλεημοσύνης ἀποτρέπων αὐτοὺς νὰ ἐπιδεικνύωνται εἰς τοὺς ἀνθρώπους τοὺς ἔπειθε περισσότερον μὲ αὐτό, μὲ τὸ ὅτι ὑπέσχετο ὅτι θὰ τοὺς δίδῃ μὲ περίσσειαν γενναιοδωρίαν (Διότι ὁ Πατήρ σου, λέγει, ποὺ βλέπει εἰς τὰ κρυφὰ θὰ σοῦ τὸ ἀποδώσει εἰς τὰ φανερά)[10], ἔτσι καὶ ἐδῶ ἀποτρέπων αὐτοὺς ἀπὸ τὸ νὰ ζητοῦν αὐτά, μὲ αὐτὸ πρὸ πάντων τοὺς πείθει, μὲ τὸ ὅτι δηλαδὴ ὑπόσχεται ὅτι θὰ δώσῃ μετὰ περισσεύματος τὰ ἀγαθὰ εἰς αὐτοὺς ποὺ δὲν ζητοῦν. Διότι, λέγει, δι᾽ αὐτὸ παραγγέλω νὰ μὴ ζητῇς, ὄχι διὰ νὰ μὴ λάβῃς, ἀλλὰ διὰ νὰ λάβῃς ἐν ἀφθονίᾳ· διὰ νὰ τὰ λάβῃς ὅπως ἀκριβῶς σοῦ ταιριάζει, καὶ μὲ τὴν ὠφέλειαν ποὺ σοῦ ἁρμόζει· διὰ νὰ μὴ κάμῃς τὸν ἑαυτόν σου, μὲ τὸ νὰ μεριμνᾷς καὶ νὰ καταπονῆσαι μὲ τὴν φροντίδα αὐτῶν, ἀνάξιον καὶ αὐτῶν καὶ τῶν πνευματικῶν ἀγαθῶν· διὰ νὰ μὴ ὑπομείνῃς περιττὴν ταλαιπωρίαν καὶ ἐκπέσῃς πάλιν ἀπὸ αὐτὸ ποὺ ἐπιζητεῖς. «Μὴ μεριμνήσετε λοιπὸν διὰ τὴν αὔριον. Διότι εἶναι ἀρκετὴ διὰ τὴν κάθε ἡμέραν ἡ κακία αὐτῆς»[11], δηλαδὴ ἡ ταλαιπωρία, ἡ συντριβή. Δὲν σοῦ εἶναι ἀρκετὸν τὸ νὰ τρώγῃς τὸν ἄρτον σου μὲ τὸν ἱδρῶτα τοῦ προσώπου σου; διατί προσθέτεις καὶ ἄλλην, τὴν ταλαιπωρίαν ἀπὸ τὴν φροντίδα, καθ᾽ ἣν στιγμὴν πρόκειται νὰ ἐλευθερωθῇς καὶ ἀπὸ τοὺς προηγουμένους κόπους;

4. Κακίαν δὲ ἐδῶ ὀνομάζει ὄχι τὴν πονηρίαν, μὴ γένοιτο, ἀλλὰ τὴν ταλαιπωρίαν καὶ τὸν πόνον καὶ τὰς συμφοράς· ὅπως ἀκριβῶς καὶ ἀλλοῦ λέγει· «Ἐὰν ὑπάρχῃ κακία εἰς πόλιν, τὴν ὁποίαν δὲν ἐδημιούργησεν ὁ Κύριος;»[12], ποὺ ἐννοεῖ ὄχι τὰς ἁρπαγάς, οὔτε τὰς πλεονεξίας, οὔτε κανὲν ἄλλο ἀπὸ τὰ παρόμοια, ἀλλὰ τὰς πληγὰς τὰς προερχομένας ἀπὸ ἄνωθεν. Καὶ ἀλλοῦ, λέγει, «Ἐγὼ εἶμαι ἐκεῖνος, ὁ ὁποῖος φέρνω τὴν εἰρήνην καὶ δημιουργῶ κακά»[13]. Διότι οὔτε ἐδῶ ἐννοεῖ τὴν κακίαν, ἀλλὰ τὰς ἐλλείψεις τροφῶν καὶ τὰς ἀσθενείας, τὰ ὁποῖα θεωροῦνται ἀπὸ τοὺς πολλοὺς

κακὰ παρὰ τοῖς πολλοῖς. Ἔθος γὰρ τοῖς πολλοῖς τὸ ταῦτα λέγειν κακά. Οὕτω γοῦν καὶ οἱ τῶν πέντε σατραπειῶν ἐκείνων ἱερεῖς καὶ μάντεις, ἡνίκα τὰς βοῦς ὑποζεύξαντες τῇ κιβωτῷ χωρὶς τῶν δαμάλεων ἀφῆκαν βαδίζειν, κακίαν 5 *τὰς θεηλάτους ἐκάλουν πληγὰς ἐκείνας, καὶ τὴν ἐξ αὐτῶν ἀθυμίαν καὶ ὀδύνην ἐγγινομένην αὐτοῖς. Τοῦτο τοίνυν καὶ ἐνταῦθα δηλοῖ λέγων· «Ἀρκετὸν τῇ ἡμέρᾳ ἡ κακία αὐτῆς». Οὐδὲν γὰρ οὕτως ἀλγύνει ψυχήν, ὡς μέριμνα καὶ φροντίς. Οὕτω καὶ Παῦλος εἰς παρθενίαν ἐνάγων συνεβούλευε λέ-* 10 *γων· «Θέλω δὲ ὑμᾶς ἀμερίμνους εἶναι». Ὅταν δὲ λέγῃ, ὅτι ἡ αὔριον μεριμνήσει περὶ ἑαυτῆς, οὐχ ὡς τῆς ἡμέρας μεριμνώσης ταῦτά φησιν, ἀλλ' ἐπειδὴ πρὸς δῆμον ἀτελέστερον ὁ λόγος ἦν αὐτῷ, βουλόμενος ἐμφαντικώτερον ποιῆσαι τὸ λεγόμενον, προσωποποιεῖται τὸν καιρόν, κατὰ τὴν* 15 *τῶν πολλῶν συνήθειαν φθεγγόμενος πρὸς αὐτούς. Καὶ ἐνταῦθα μὲν συμβουλεύει, προϊὼν δὲ αὐτὸ καὶ νομοθετεῖ λέγων· «Μὴ κτήσησθε χρυσίον, μήτε ἀργύριον, μήτε πήραν εἰς ὁδόν». Ἐπειδὴ γὰρ διὰ τῶν ἔργων αὐτὰ ἐπεδείξατο, τότε λοιπὸν καὶ τὴν ἀπὸ τῶν ῥημάτων εἰσάγει νομοθεσίαν* 20 *εὐτονωτέραν, ὅτε καὶ εὐπαράδεκτος ὁ λόγος ἐγένετο, τοῖς ἔργοις τοῖς ἑαυτοῦ πρότερον βεβαιωθείς. Ποῦ οὖν ἔδειξε διὰ τῶν ἔργων; Ἄκουσον αὐτοῦ λέγοντος· «Ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ». Καὶ οὐδὲ τούτῳ ἀρκεῖται μόνῳ, ἀλλὰ καὶ ἐν τοῖς μαθηταῖς παρέχεται* 25 *τὴν ὑπὲρ τούτων ἀπόδειξιν, καὶ αὐτοὺς οὕτω σχηματίσας, καὶ οὐκ ἀφεὶς οὐδενὸς δεηθῆναι.*

Σκόπει δὲ αὐτοῦ καὶ τὴν κηδεμονίαν, πῶς πατρὸς παντὸς ὑπερβαίνει φιλοστοργίαν. Τοῦτο γὰρ κελεύω, φησί, δι' ἕτερον μὲν οὐδέν, ἵνα δὲ ὑμᾶς ἀπαλλάξω περιττῶν φρον-

---

14. Πρβλ. Α' Βασ. 6, 1 ἑ.
15. Α' Κορ. 7, 32.
16. Ματθ. 10, 9. 10.
17. Ματθ. 8, 20.

ὅτι εἶναι κακά. Διότι συνηθίζεται ἀπὸ τὸν πολὺν κόσμον νὰ τὰ ὀνομάζει αὐτὰ κακά. Κατ' αὐτὸν τὸν τρόπον λοιπὸν καὶ οἱ ἱερεῖς καὶ οἱ μάντες τῶν πέντε ἐκείνων σατραπειῶν, ὅταν ἔζεψαν εἰς τὴν κιβωτὸν τὰς ἀγελάδας καὶ τὰς ἄφησαν νὰ βαδίζουν χωρὶς τὰς δαμάλεις, κακίαν ὠνόμαζαν τὰς θεοσταλείσας ἐκείνας πληγὰς καὶ τὴν ὀλιγοψυχίαν καὶ τὴν ὀδύνην ποὺ συνέβη εἰς αὐτοὺς ἐξ αἰτίας αὐτῶν[14]. Αὐτὸ λοιπὸν δηλώνει καὶ ἐδῶ, λέγων· «Εἶναι ἀρκετὴ εἰς τὴν κάθε ἡμέραν ἡ κακία αὐτῆς». Διότι τίποτε δὲν κάμνει νὰ πονέσῃ τόσον ἡ ψυχή, ὅσον ἡ μέριμνα καὶ ἡ φροντίς. Ἔτσι καὶ ὁ Παῦλος προτρέπων διὰ παρθενίαν ἔδιδε τὴν ἑξῆς συμβουλήν· «Θέλω δὲ νὰ εἶσθε ἐλεύθεροι ἀπὸ βιωτικὰς φροντίδας»[15]. Ὅταν δὲ λέγῃ ὅτι ἡ αὐριανὴ ἡμέρα θὰ μεριμνήσῃ διὰ τὸν ἑαυτόν της, δὲν ἐννοεῖ ὅτι ἡ ἡμέρα θὰ μεριμνήσῃ δι' αὐτά, ἀλλ' ἐπειδὴ ὡμίλει πρὸς λαὸν πνευματικῶς κατώτερον, θέλων νὰ κάμῃ περισσότερον κατανοητὰ τὰ λεγόμενά του, προσωποποιεῖ τὸν καιρόν, ὁμιλῶν πρὸς αὐτοὺς συμφώνως πρὸς τὴν συνήθειαν τῶν πολλῶν. Καὶ ἐδῶ μὲν συμβουλεύει ἁπλῶς, εἰς τὴν συνέχειαν ὅμως καὶ νομοθετεῖ λέγων· «Μὴ ἀποκτήσετε χρυσᾶ, οὔτε ἀργυρᾶ νομίσματα, οὔτε σάκκον καθ' ὁδόν»[16]. Ἀφοῦ δηλαδὴ τὰ ἀπέδειξεν αὐτὰ ἐμπράκτως, τότε πλέον εἰσάγει καὶ τὴν νομοθεσίαν ποὺ ἦτο ἐντονωτέρα ἀπὸ τοὺς λόγους, ὅταν καὶ ὁ λόγος ἔγινεν εὐπρόσδεκτος, ἐπιβεβαιωθεὶς προηγουμένως μὲ τὰ ἰδικά του ἔργα. Ποῦ λοιπὸν ἐπεβεβαίωσε τοὺς λόγους του μὲ τὰ ἔργα του; Ἄκουσε αὐτὸν ποὺ λέγει· «Ὁ δὲ Υἱὸς τοῦ ἀνθρώπου δὲν ἔχει ποῦ νὰ κλίνῃ τὴν κεφαλήν»[17]. Καὶ δὲν ἀρκεῖται μόνον εἰς αὐτό, ἀλλὰ παρέχει καὶ εἰς τοὺς μαθητὰς τὴν δυνατότητα ν' ἀποδείξουν αὐτά, διότι καὶ αὐτοὺς τοὺς προητοίμασεν ἔτσι καὶ δὲν τοὺς ἄφησε νὰ ἔχουν ἀπὸ τίποτε ἀνάγκην.

Πρόσεξε δὲ καὶ τὴν κηδεμονίαν αὐτοῦ, ποὺ ξεπερνᾷ τὴν φιλοστοργίαν κάθε πατέρα. Διότι, λέγει, σᾶς δίδω αὐτὴν τὴν ἐντολὴν ὄχι διὰ τίποτε ἄλλο, ἀλλὰ διὰ νὰ σᾶς ἀ-

τίδων. Κἂν γὰρ σήμερον μεριμνήσῃς ὑπὲρ τῆς αὔριον, καὶ πάλιν αὔριον μεριμνήσεις. Τί οὖν τὸ περιττόν; Τί καταναγκάζεις τὴν ἡμέραν πλέον τῆς συγκεκληρωμένης αὐτῇ ταλαιπωρίας καταδέχεσθαι, καὶ μετὰ τῶν οἰκείων πόνων 5 *καὶ τὸ τῆς ἐπιούσης προστιθεὶς αὐτῇ φορτίον, καὶ ταῦτα οὐδὲν τὴν ἑτέραν μέλλων ἀπὸ τῆς προσθήκης τῆς γινομένης ἐπικουφίζειν, ἀλλὰ πλεονεξίαν μόνον περιττῶν ἐπιδείκνυσθαι πόνων; Ἵνα γὰρ μειζόνως αὐτῶν καθάψηται, μονονουχὶ τὸν καιρὸν αὐτὸν ψυχώσας ὡς ἀδικούμενον εἰσάγει,* 10 *καὶ καταβοῶντα αὐτῶν ὑπὲρ τῆς περιττῆς ἐπηρείας. Καὶ γὰρ ἔλαβες τὴν ἡμέραν, ἵνα τὰ αὐτῆς φροντίζῃς. Τίνος οὖν ἕνεκεν καὶ τὰ τῆς ἑτέρας αὐτῇ προστιθεῖς; μὴ γὰρ οὐκ ἀρκοῦν ἔχει φορτίον τὴν ἑαυτῆς φροντίδα; τί τοίνυν αὐτὴν βαρύνεις μειζόνως; Ὅταν δὲ ὁ νομοθέτης ταῦτα λέγῃ,* 15 *καὶ ὁ μέλλων ἡμῖν δικάζειν, ἐννόησον πῶς ἡμῖν χρηστὰς ὑποτείνει τὰς ἐλπίδας, ὅταν αὐτὸς μαρτυρῇ, ὅτι ταλαίπωρος ὁ βίος οὗτος καὶ ἐπίμοχθος, ὡς καὶ τὴν τῆς μιᾶς ἡμέρας φροντίδα ἀρκεῖν εἰς τὸ κακοῦν ἡμᾶς καὶ συντρίβειν.*

Ἀλλ' ὅμως τοσούτων εἰρημένων καὶ τηλικούτων, ἡ- 20 *μεῖς ὑπὲρ μὲν τούτων μεριμνῶμεν, ὑπὲρ δὲ τῶν ἐν τοῖς οὐρανοῖς οὐκέτι, ἀλλ' ἀντεστρέψαμεν τὴν τάξιν, ἑκατέρωθεν μαχόμενοι τοῖς λεγομένοις. Σκόπει γάρ· μὴ ζητεῖτε τὰ παρόντα, φησί, καθόλου· ἡμεῖς δὲ ταῦτα ζητοῦμεν διηνεκῶς. Ζητεῖτε τὰ ἐπουράνια, φησίν· ἡμεῖς δὲ οὐδὲ μικρὰν ὥραν* 25 *ἐκεῖνα ζητοῦμεν, ἀλλ' ὅσην ὑπὲρ τῶν βιωτικῶν ἐπιδεικνύμεθα τὴν μέριμναν, τοσαύτην ἐν τοῖς πνευματικοῖς ἔχομεν τὴν ὀλιγωρίαν, μᾶλλον δὲ καὶ πολλῷ πλείονα. Ἀλλ' οὐκ ἀεὶ ταῦτα προχωρεῖ, οὐδὲ ἀεὶ ταῦτα ἐνδέχεται. Ἰδοὺ δέκα*

παλλάξω ἀπὸ περιττὰς φροντίδας. Διότι καὶ ἂν σήμερον μεριμνήσῃς διὰ τὴν αὔριον, καὶ αὔριον πάλιν θὰ μεριμνήσῃς. Διατὶ λοιπὸν τὸ περιττόν; Διατί καταναγκάζεις τὴν ἡμέραν νὰ λαμβάνῃ περισσότερον ἀπὸ τὴν ταλαιπωρίαν ποὺ ἔτυχε νὰ ἔχῃ, καὶ μαζὶ μὲ τοὺς ἰδικούς της κόπους προσθέτεις καὶ τὸ φορτίον τῆς ἑπομένης ἡμέρας, καὶ ὅλα αὐτὰ καθ' ἣν στιγμὴν ὡς πρὸς τίποτε δὲν πρόκειται νὰ ἀνακουφίσῃς τὴν ἄλλην ἡμέραν ἀπὸ τὴν προσθήκην ποὺ γίνεται, παρὰ μόνον θὰ φανερώσῃς περίσσευμα περιττῶν κόπων; Διὰ νὰ τοὺς ψέξῃ δὲ περισσότερον, ὡσὰν σχεδὸν νὰ ἔδωσε ψυχὴν εἰς τὸν χρόνον, τὸν παρουσιάζει ὡς ἀδικούμενον καὶ νὰ φωνάζῃ ἐναντίον αὐτῶν διὰ τὴν περιττὴν καταπόνισίν του. Καὶ βέβαια ἔλαβες τὴν ἡμέραν, διὰ νὰ φροντίζῃς διὰ τὰ ἀνήκοντα εἰς αὐτήν. Ἐξ αἰτίας τίνος λοιπὸν προσθέτεις εἰς αὐτὴν καὶ τὰ τῆς ἑπομένης; μήπως δὲν εἶναι ἀρκετὸν φορτίον ἡ ἰδική της φροντίς; διατί λοιπὸν τὴν βαρύνεις περισσότερον; Ὅταν δὲ ὁ νομοθέτης λέγῃ αὐτά, καὶ αὐτὸς ποὺ πρόκειται νὰ σὲ δικάσῃ, ἀναλογίσου τὰς ἀγαθὰς ἐλπίδας ποὺ προβάλλει ἔμπροσθέν μας, ὅταν ὁ ἴδιος ἐπιβεβαιώνῃ, ὅτι αὐτὴ ἡ ζωὴ εἶναι γεμάτη ἀπὸ ταλαιπωρίας καὶ κόπους, ὥστε νὰ εἶναι ἀρκετὴ καὶ ἡ φροντὶς τῆς μιᾶς ἡμέρας νὰ μᾶς βλάψῃ καὶ νὰ μᾶς συντρίψῃ.

Ἀλλ' ὅμως ἂν καὶ ἔχουν λεχθῇ τόσα πολλὰ καὶ τόσον σπουδαῖα, ἡμεῖς φροντίζομεν μὲν διὰ τὰ ἐπίγεια, ἀλλὰ δὲν φροντίζομεν καθόλου διὰ τὴν οὐράνια, ἀλλ' ἀντεστρέψαμεν τὴν τάξιν, πολεμοῦντες καὶ ἀπὸ τὰς δύο πλευρὰς τοὺς λόγους του. Πρόσεξε λοιπόν· μὴ ζητεῖτε, μᾶς λέγει, καθόλου τὰ παρόντα· ἡμεῖς ὅμως ζητοῦμεν αὐτὰ συνεχῶς. Ζητεῖτε, λέγει, τὰ ἐπουράνια· ἡμεῖς ὅμως οὔτε ἐπὶ ἐλαχίστην ὥραν ζητοῦμεν ἐκεῖνα, ἀλλ' ἀντιθέτως ὅσην μέριμναν καταβάλομεν διὰ τὰ βιωτικά, τόσην ἀδιαφορίαν ἐπιδεικνύομεν διὰ τὰ πνευματικά, μάλιστα δὲ καὶ πολὺ μεγαλυτέραν. Ἀλλ' ὅμως δὲν ἠμπορεῖ νὰ γίνεται πάντοτε αὐτό, οὔτε πάντοτε εἶναι δυνατὸν αὐτὰ νὰ συμβαίνουν. Καλά, περιφρονοῦμεν τοὺς

ἡμέρας καταφρονοῦμεν, ἰδοὺ εἴκοσιν, ἰδοὺ ἑκατόν· οὐκ ἀνάγκη πάντως ἀπελθεῖν, καὶ ἐμπεσεῖν εἰς τὰς τοῦ δικάζοντος χεῖρας; Ἀλλ' ἔχει παραμυθίαν ἡ ἀναβολή. Καὶ ποία παραμυθία, τὸ καθ' ἑκάστην ἡμέραν προσδοκᾶν κόλασιν καὶ 5 τιμωρίαν; Εἰ γὰρ βούλει παραμυθίαν τινὰ ἀπὸ τῆς ἀναβολῆς ταύτης λαβεῖν, λάβε τὴν ἀπὸ τῆς μετανοίας καρπούμενος διόρθωσιν. Καὶ γὰρ εἰ τὸ μέλλειν τὴν τιμωρίαν παραψυχήν τινα εἶναι νομίζεις, πολλῷ μᾶλλον κέρδος τὸ μὴ περιπεσεῖν τῇ τιμωρίᾳ.

10 *Καταχρησώμεθα τοίνυν τῇ μελλήσει ταύτῃ πρὸς τὸ παντελῶς ἀπαλλαγῆναι τῶν ἐπικειμένων δεινῶν. Οὐδὲ γὰρ φορτικόν, οὐδὲ ἐπαχθές τι τῶν ἐπιταχθέντων ἐστίν· ἀλλ' οὕτως εὔκολα πάντα καὶ ῥάδια, ὡς προαίρεσιν μόνον εἰσενεγκόντας γνησίαν πάντα δυνηθῆναι ἀνύσαι, κἂν μυρίων ὦ-15 μεν ὑπεύθυνοι πλημμελημάτων. Καὶ γὰρ ὁ Μανασσῆς μιάσματα ἄπειρα ἦν τετολμηκώς· καὶ γὰρ κατὰ τῶν ἁγίων τὰς χεῖρας ἐξέτεινε, καὶ τὰ βδελύγματα εἰς τὸν ναὸν εἰσήγαγε, καὶ φόνων τὴν πόλιν ἐνέπλησε, καὶ πολλὰ ἕτερα εἰργάσατο συγγνώμης μείζονα· ἀλλ' ὅμως μετὰ τὴν τοσαύτην 20 καὶ τηλικαύτην παρανομίαν, ἅπαντα ἀπενίψατο ἐκεῖνα. Πῶς καὶ τίνι τρόπῳ; Μετανοίᾳ καὶ συγγνώμῃ.*

5. Οὐ γάρ ἐστιν, οὐκ ἔστιν οὐδὲν ἁμάρτημα, ὅπερ οὐκ εἴκει καὶ παραχωρεῖ τῇ τῆς μετανοίας δυνάμει, μᾶλλον δὲ τῇ τοῦ Χριστοῦ χάριτι. Καὶ γὰρ ἂν μεταβαλώμεθα μόνον, 25 αὐτὸν ἔχομεν συνεφαπτόμενον ἡμῖν· κἂν θελήσῃς γενέσθαι καλός, οὐδεὶς ὁ κωλύων· μᾶλλον δὲ ἔστι μὲν ὁ κωλύων, ὁ διάβολος, οὐ μὴν ἰσχύει, σοῦ τὰ ἄριστα προαιρουμένου, καὶ

---

18. Α' Βασ. κεφ. 21.

λόγους του ἐπὶ δέκα ἡμέρας, ἐπὶ εἴκοσιν, ἐπὶ ἑκατόν· μὰ δὲν πρέπει τέλος πάντων νὰ ἐπιστρέψωμεν καὶ νὰ πέσωμεν εἰς τὰ χέρια αὐτοῦ ποὺ δικάζει; Ἴσως ὅμως παρέχει παρηγορίαν ἡ ἀναβολή. Καὶ ποία εἶναι ἡ παρηγορία, τὸ νὰ ἀναμένῃς καθημερινῶς κόλασιν καὶ τιμωρίαν; Διότι ἐὰν θέλῃς κάποιαν παρηγορίαν νὰ ἔχῃς ἀπὸ αὐτὴν τὴν ἀναβολήν, λάβε τὴν διόρθωσιν ποὺ προέρχεται ἀπὸ τὴν μετάνοιαν. Διότι καὶ ἂν νομίζῃς ὅτι ἡ ἀναβολὴ τῆς τιμωρίας ὅτι σοῦ παρέχει κάποιαν ἀνακούφισιν, πολὺ μεγαλύτερον εἶναι τὸ κέρδος τὸ νὰ μὴ ὑποπέσῃς εἰς τὴν τιμωρίαν.

Ἂς χρησιμοποιήσωμεν λοιπὸν αὐτὴν τὴν ἀναβολήν, ὥστε νὰ ἀπαλλαγῶμεν ἐντελῶς ἀπὸ τὰ ἐπικείμενα κακά. Διότι δὲν εἶναι κανένα ἀπὸ τὰ παραγγέλματά του οὔτε φορτικὸν οὔτε καὶ βαρύ, ἀλλ' εἶναι ὅλα τόσον εὔκολα καὶ εὐάρμοστα, ὥστε ἐὰν προσφέρωμεν μόνον γνησίαν προαίρεσιν θὰ ἠμπορέσωμεν νὰ τὰ ἐφαρμόσωμεν καὶ ἂν ἀκόμη εἴμεθα ὑπεύθυνοι μυρίων ἁμαρτημάτων. Διότι καὶ ὁ Μανασσῆς εἶχε διαπράξει ἄπειρα ἀνουσιουργήματα καθόσον καὶ ἥπλωσε τὰ χέρια του κατὰ τῶν ἁγίων, καὶ τὰ εἴδωλα εἰσήγαγεν εἰς τὸν ναόν, καὶ μὲ φόνους ἐγέμισε τὴν πόλιν, καὶ πολλὰ ἄλλα διέπραξε ποὺ ἦσαν μεγαλύτερα συγχωρήσεως[18]· ἀλλ' ὅμως μετὰ ἀπὸ τὴν τόσην καὶ τόσον μεγάλην παρανομίαν, ὅλα γενικῶς ἐκεῖνα τὰ ἁμαρτήματά του τὰ ἀπέπλυνε. Πῶς καὶ μὲ ποῖον τρόπον; Μὲ τὴν μετάνοιαν καὶ τὴν διάθεσίν του.

5. Διότι δὲν ὑπάρχει, δὲν ὑπάρχει κανὲν ἁμάρτημα, τὸ ὁποῖον νὰ μὴ ὑποχωρῇ καὶ νὰ μὴ παραμερίζῃ ἐμπρὸς εἰς τὴν δύναμιν τῆς μετανοίας, μᾶλλον δὲ ἐμπρὸς εἰς τὴν χάριν τοῦ Χριστοῦ. Διότι ἁπλῶς καὶ μόνον ἂν ἀλλάξωμεν διάθεσιν, ἔχομεν αὐτὸν συμβοηθόν μας· ἐὰν πάλιν θελήσῃς νὰ γίνῃς καλός, κανεὶς δὲν σ' ἐμποδίζει· μᾶλλον δὲ ὑπάρχει μὲν αὐτὸς ποὺ σ' ἐμποδίζει, δηλαδὴ ὁ διάβολος, ἀλλ' ὅμως δὲν ἔχει τὴν δύναμιν· λαμβάνεις τὴν ἀπόφασιν νὰ πράξῃς τὰ ἄριστα; ἔτσι, μὲ τὴν ἐνέργειάν σου αὐτήν, προσελ-

ταύτῃ τὸν Θεὸν ἐπισπωμένου πρὸς συμμαχίαν. Ἂν δὲ σὺ μὴ βουληθῇς, ἀλλ' ἀποπηδήσῃς, πῶς σου προστήσεται; Οὐδὲ γὰρ ἀνάγκῃ καὶ βίᾳ, ἀλλ' ἑκόντα βούλεται σώζεσθαι. Εἰ γὰρ αὐτὸς οἰκέτην ἔχων μισοῦντά σε καὶ ἀποστρεφόμενον,
5 καὶ συνεχῶς ἀποπηδῶντα καὶ φεύγοντα, οὐκ ἂν ἕλοιο κατέχειν, καὶ ταῦτα δεόμενος αὐτοῦ τῆς διακονίας· πολλῷ μᾶλλον ὁ Θεός, ὁ μὴ διὰ τὴν οἰκείαν χρείαν, ἀλλὰ διὰ τὴν σὴν σωτηρίαν πάντα ποιῶν, οὐκ ἂν ἕλοιτό σε πρὸς βίαν κατέχειν· ὥσπερ οὖν ἐὰν προαίρεσιν ἐπιδείξῃ μόνον, οὐκ ἂν
10 ἕλοιτό σέ ποτε προέσθαι, οὐδ' ἂν ὁτιοῦν ὁ διάβολος ποιῇ.

Ὥστε ἡμεῖς αἴτιοι τῆς ἀπωλείας τῆς ἡμετέρας ἐσμέν. Οὐδὲ γὰρ προσερχόμεθα αὐτῷ, οὐδὲ ἐντυγχάνομεν, οὐδὲ παρακαλοῦμεν, ὡς χρή· ἀλλὰ κἂν προσέλθωμεν, τοῦτο ποιοῦμεν οὐχ ὡς ὀφείλοντες λαβεῖν, οὐδὲ μετὰ τῆς προσηκού-
15 σης πίστεως, οὐδὲ ὡς ἀπαιτοῦντες, ἀλλὰ χασμώμενοι καὶ ἀναπεπτωκότες πάντα ποιοῦμεν. Καίτοιγε βούλεται ἀπαιτεῖσθαι παρ' ἡμῶν ὁ Θεός, καὶ χάριν ἔχει σοι τούτου πολλήν. Μόνος γὰρ οὗτος ὁ χρεώστης, ὅταν ἀπαιτῆται, χάριν ἔχει, καὶ ἃ μὴ ἐδανείσαμεν δίδωσι. Κἂν μὲν σφοδρῶς ἴδῃ
20 ἐπικείμενον τὸν ἀπαιτοῦντα, καὶ ἃ μὴ ἔλαβε παρ' ἡμῶν καταβάλλει· ἂν δὲ νωθρῶς, καὶ αὐτὸς διαναβάλλεται, οὐ διὰ τὸ μὴ βούλεσθαι δοῦναι, ἀλλ' ἐπειδὴ παρ' ἡμῶν ἡδέως ἔχει ἀπαιτεῖσθαι. Διὰ τοῦτό σοι καὶ ὑπόδειγμα εἶπεν ἐκείνου τοῦ φίλου τοῦ νύκτωρ παραγενομένου καὶ ἄρτον αἰτοῦντος,
25 καὶ τοῦ δικαστοῦ τοῦ τὸν Θεὸν μὴ φοβουμένου, μηδὲ ἀνθρώπους ἐντρεπομένου.

Καὶ οὐκ ἔστη μέχρι τῶν παραδειγμάτων, ἀλλὰ καὶ ἐπ' αὐτῶν αὐτὸ τῶν ἔργων ἔδειξεν, ἡνίκα τὴν Φοινίκισσαν ἐκείνην γυναῖκα τῆς μεγάλης δωρεᾶς ἐμπλήσας ἐξέπεμψε.

---

19. Πρβλ. Λουκᾶ 11, 5 ἑ.
20. Πρβλ. Λουκᾶ 18, 2 ἑ.

κύεις τὸν Θεὸν σύμμαχόν σου. Ἂν ὅμως σὺ δὲν θελήσῃς, ἀλλ' ἀποσκιρτήσῃς, πῶς θὰ σὲ προστατεύσῃ; Διότι θέλει νὰ σὲ σώσῃ ὄχι κατ' ἀνάγκην καὶ διὰ τῆς βίας, ἀλλὰ μὲ τὴν θέλησίν σου. Διότι ἐὰν σὺ ὁ ἴδιος, ἔχων ὑπηρέτην, ὁ ὁποῖος σὲ μισεῖ καὶ σὲ ἀποστρέφεται καὶ συνεχῶς ἀποσκιρτᾷ καὶ φεύγει, δὲν θὰ ἤθελες φυσικὰ νὰ τὸν κρατήσῃς κοντά σου, καὶ αὐτὰ παρὰ τὸ γεγονὸς ὅτι ἔχεις ἀνάγκην τῆς ὑπηρεσίας του, πολὺ περισσότερον ὁ Θεός, ὁ ὁποῖος ὅλα τὰ κάμνει ὄχι ἀπὸ ἰδικήν του ἀνάγκην, ἀλλὰ διὰ τὴν ἰδικήν σου σωτηρίαν, δὲν θὰ ἤθελε νὰ σὲ κρατᾷ διὰ τῆς βίας· ὅπως ἀκριβῶς πάλιν, ἐὰν μόνον ἐπιδείξῃς ἀγαθὴν διάθεσιν, δὲν θὰ ἤθελε σὲ ἐγκαταλείψει ποτέ, οὔτε καὶ ἂν ἀκόμη μεταχειρίζεται ὁ διάβολος τὰ πάντα.

Ὥστε ἡμεῖς εἴμεθα αἴτιοι τῆς καταστροφῆς μας. Διότι δὲν προσφεύγομεν εἰς αὐτόν, οὔτε τὸν συναναστρεφόμεθα, οὔτε τὸν παρακαλοῦμεν ὅπως πρέπει· ἀλλὰ καὶ ἂν καταφύγωμεν εἰς αὐτόν, αὐτὸ τὸ κάμνομεν ὄχι ὡσὰν ἐκείνους ποὺ ὀφείλουν νὰ λάβουν, οὔτε μὲ τὴν ἁρμόζουσαν πίστιν, οὔτε τὸ ζητοῦμεν ἐπιμόνως, ἀλλὰ τὸ κάμνομεν πάντοτε μὲ νωθρότητα καὶ μὲ ἀδιαφορίαν. Καὶ βέβαια ὁ Θεὸς θέλει νὰ ζητοῦμεν ἀπ' αὐτὸν καὶ εὐχαριστεῖται πάρα πολὺ μ' αὐτό. Διότι αὐτὸς εἶναι ὁ μοναδικὸς χρεωφειλέτης, ὁ ὁποῖος ὅταν τοῦ ζητοῦμεν, εὐχαριστεῖται καὶ μᾶς δίδει αὐτὰ ποὺ δὲν τοῦ ἐδανείσαμεν. Καὶ ἂν μὲν ἰδῇ αὐτὸν ποὺ ζητεῖ νὰ ἵσταται ἐμπρός του μὲ πολλὴν ἐπιμονήν, δίδει καὶ αὐτὰ ποὺ δὲν ἔλαβεν ἀπὸ ἡμᾶς· ἂν ὅμως τὸν ἰδῇ μὲ νωθρότητα καὶ ὁ ἴδιος ἀναβάλλει τὴν χορηγίαν, ὄχι ἐπειδὴ δὲν θέλει νὰ δώσῃ, ἀλλ' ἐπειδὴ τὸν εὐχαριστεῖ νὰ τοῦ τὰ ζητοῦμεν. Διὰ τοῦτο καὶ σοῦ ἀνέφερε τὸ παράδειγμα ἐκείνου τοῦ φίλου, ποὺ ἦλθε νύκτα καὶ ἐζήτει ἄρτον[19], καὶ τοῦ δικαστοῦ ποὺ δὲν ἐφοβεῖτο τὸν Θεόν, οὔτε ἐντρέπετο τοὺς ἀνθρώπους[20].

Καὶ δὲν ἐσταμάτησε μόνον εἰς τὰ παραδείγματα, ἀλλὰ τὸ ἀπέδειξεν αὐτὸ καὶ μὲ τὰ ἔργα του, ὅταν ἀπεμάκρυνεν ἐκείνην τὴν φοινίκισσαν γυναῖκα ἀφοῦ τὴν ἐγέμισε μὲ

Διὰ μὲν γὰρ ταύτης, ὅτι καὶ τὰ μὴ προσήκοντα τοῖς ἀπαιτοῦσι σφοδρῶς δίδωσιν, ἔδειξεν. «Οὐ γὰρ καλόν ἐστι», φησί, «λαβεῖν τὸν ἄρτον τῶν τέκνων καὶ δοῦναι τοῖς κυναρίοις». Ἀλλ' ὅμως ἔδωκεν, ἐπειδὴ σφόδρα αὐτὸν ἀπήτησε.
5 *Διὰ δὲ τῶν Ἰουδαίων ἐδήλωσεν, ὅτι τοῖς ῥαθυμοῦσιν οὐδὲ τὰ αὐτῶν δίδωσιν. Οὐκοῦν ἔλαβον ἐκεῖνοι οὐδέν, ἀλλὰ τὰ αὐτῶν ἀπώλεσαν. Καὶ οὗτοι μέν, ἐπειδὴ μὴ ᾔτησαν, οὐδὲ τὰ ἴδια ἔλαβον· ἐκείνη δέ, ἐπειδὴ σφοδρῶς ἐπετέθη, καὶ τὰ ἀλλότρια ἴσχυσεν ἐκδικῆσαι, καὶ τὰ τῶν τέκνων ἔλαβε*
10 *τὸ κυνάριον. Τοσοῦτον ἡ προσεδρία ἀγαθόν. Κἂν γὰρ κύων ᾖς, προσεδρεύων προτιμηθήσῃ τοῦ τέκνου ῥαθυμοῦντος· ὅσα γὰρ οὐκ ἀνύει ἡ φιλία, τοσαῦτα ἤνυσεν ἡ προσεδρεία. Μὴ τοίνυν λέγε, ὅτι ἐχθρός μού ἐστιν ὁ Θεός, καὶ οὐκ εἰσακούσεται. Εὐθέως σοι ἀποκρίνεται συνεχῶς ἐνοχλοῦντι· εἰ*
15 *καὶ μὴ διὰ τὸ εἶναι φίλον, ἀλλὰ διὰ τὸ προσεδρεύειν· καὶ οὔτε ἡ ἔχθρα, οὔτε ἡ ἀκαιρία, οὔτε ἄλλο οὐδὲν γίνεται κώλυμα. Μὴ εἴπῃς, οὐκ εἰμὶ ἄξιος, καὶ οὐκ εὔχομαι· καὶ γὰρ ἡ Συροφοινίκισσα τοιαύτη ἦν. Μὴ εἴπῃς, ὅτι πολλὰ ἥμαρτον, καὶ οὐ δύναμαι παρακαλέσαι τὸν ὠργισμένον· οὐ*
20 *γὰρ τὴν ἀξίαν ὁ Θεὸς σκοπεῖ, ἀλλὰ τὴν γνώμην. Εἰ γὰρ τὸν ἄρχοντα τὸν τὸν Θεὸν μὴ φοβούμενον, μηδὲ ἀνθρώπους αἰσχυνόμενον ἔκαμψεν ἡ χήρα· πολλῷ μᾶλλον τὸν ἀγαθὸν ἐπισπάσεται ἡ συνεχὴς ἔντευξις. Ὥστε κἂν μὴ φίλος ᾖς, κἂν μὴ τὰ ὀφειλόμενα ἀπαιτῇς, κἂν τὰ πατρῷα κατεδηδο-*
25 *κὼς ᾖς, καὶ πολὺν χρόνον ἐξ ὄψεως γενόμενος, κἂν ἄτιμος, κἂν πάντων ἔσχατος, κἂν ὀργιζομένῳ, κἂν ἀγανακτοῦντι προσέλθῃς· θέλησον μόνον εὔξασθαι καὶ ἐπανελθεῖν, καὶ*

---

21. Ματθ. 15, 26.

μεγάλην δωρεάν. Διότι δι' αὐτῆς ἔδειξεν, ὅτι δίδει εἰς αὐτοὺς ποὺ ζητοῦν μὲ ἐπιμονὴν καὶ αὐτὰ ποὺ δὲν τοὺς ἀνήκουν. «Διότι, λέγει, «δὲν εἶναι ὀρθὸν νὰ πάρῃς τὸν ἄρτον τῶν παιδιῶν καὶ νὰ τὸν δώσῃς εἰς τὰ σκυλιά»[21]· ἀλλ' ὅμως τὸν ἔδωσεν ἐπειδὴ τὸν ἐζήτησε μὲ μεγάλην ἐπιμονήν. Διὰ τῶν Ἰουδαίων δὲ κατέστησε φανερόν, ὅτι εἰς τοὺς ὀκνηροὺς δὲν δίδει οὔτε τὰ ἰδικά των. Ἐκεῖνοι λοιπὸν δὲν ἔλαβον τίποτε, ἀλλ' ἔχασαν καὶ τὰ ἰδικά των. Καὶ αὐτοὶ μέν, ἐπειδὴ δὲν ἐζήτησαν, δὲν ἔλαβαν οὔτε τὰ ἰδικά των, ἐκείνη ὅμως, ἐπειδὴ ἐπετέθη μὲ πολλὴν ἐπιμονήν, καὶ τὰ ξένα κατώρθωσε νὰ διεκδικήσῃ καὶ νὰ λάβῃ καὶ τὸ σκυλάκι ἔλαβεν αὐτὰ ποὺ ἀνῆκαν εἰς τὰ τέκνα. Τόσον μεγάλον ἀγαθὸν εἶναι ἡ ἐπιμονή. Διότι καὶ ἂν ἀκόμη εἶσαι σκύλος, ἐπιμένων θὰ προτιμηθῇς ἀπὸ τὸ τέκνον ποὺ εἶναι ὀκνηρόν· διότι ὅσα δὲν κατορθώνει ἡ φιλία, τόσον περισσότερα ἐπέτυχεν ἡ μετ' ἐπιμονῆς ζήτησις. Μὴ λέγῃς, λοιπόν, ὅτι 'ὁ Θεὸς εἶναι ἐχθρός μου καὶ δὲν θὰ μὲ εἰσακούσῃ'. Ἀμέσως σοῦ ἀπαντᾷ ὅταν συνεχῶς τὸν ἐνοχλῇς· ἂν καὶ ὄχι ἐπειδὴ εἶσαι φίλος του, ἀλλὰ ἐξ αἰτίας τῆς ἐπιμονῆς σου· καὶ οὔτε ἡ ἔχθρα, οὔτε ἡ ἀκατάλληλος περίστασις, οὔτε τίποτε ἄλλο γίνεται ἐμπόδιον. Νὰ μὴ εἰπῇς 'Δὲν εἶμαι ἄξιος καὶ δὲν προσεύχομαι'· διότι καὶ ἡ Συροφοινίκισσα τέτοια ἦτο. Νὰ μὴ εἰπῇς, ὅτι 'διέπραξα πολλὰ ἁμαρτήματα καὶ δὲν ἠμπορῶ νὰ παρακαλέσω τὸν ὠργισμένον Θεόν'· διότι ὁ Θεὸς δὲν ἐξετάζει τὴν ἀξίαν, ἀλλὰ τὴν διάθεσιν. Διότι ἐὰν τὸν ἄρχοντα ποὺ δὲν ἐφοβεῖτο τὸν Θεόν, οὔτε ποὺ δὲν ἐντρέπετο τοὺς ἀνθρώπους, τὸν ἐλύγισεν ἡ χήρα, πολὺ περισσότερον θὰ ἀποσπάσῃ τὸ ἀγαθὸν ἡ συνεχὴς παράκλησις. Ὥστε καὶ ἂν δὲν εἶσαι φίλος του, καὶ ἂν δὲν ζητῇς αὐτὰ ποὺ σοῦ ὀφείλει, καὶ ἂν ἔχῃς καταδαπανήσει τὰ πατρικά, καὶ ἀπουσίαζες ἐπὶ πολὺν χρόνον ἀπὸ κοντά του, καὶ ἂν εἶσαι περιφρονημένος, καὶ ἂν εἶσαι ὁ τελευταῖος ὅλων, καὶ ἂν προσέλθῃς τὴν στιγμὴν ποὺ εἶναι ὠργισμένος καὶ ἀγανακτισμένος, θέλησε μόνον νὰ προσευχηθῇς καὶ νὰ ἐπιστρέψῃς καὶ ὅλα

πάντα ἀπολήψῃ, καὶ τὴν ὀργὴν καὶ τὴν καταδίκην σβέσεις εὐθέως.

Ἀλλ' ἰδοὺ εὔχομαι, φησί, καὶ οὐδὲν γίνεται πλέον. Οὐ γὰρ εὔχῃ κατ' ἐκείνους· οἷον τὴν Συροφοινίκισσαν λέγω,
5 *καὶ τὸν φίλον τὸν ἀωρὶ παραγενόμενον, καὶ τὴν χήραν τὴν συνεχῶς ἐνοχλοῦσαν τὸν δικαστήν, καὶ τὸν υἱὸν τὸν τὰ πατρῷα καταναλώσαντα. Εἰ γὰρ οὕτως ηὔχου, ταχέως ἐπετύγχανες. Καὶ γὰρ εἰ καὶ ὑβρίσθη, Πατήρ ἐστι· καὶ εἰ ὤργισται, φιλόπαις ἐστί· καὶ ἓν ζητεῖ μόνον, οὐ δίκην λαβεῖν τῶν*
10 *ὕβρεων, ἀλλ' ἰδεῖν σε μεταμελόμενον καὶ παρακαλοῦντα.*

6. Ὄφελον καὶ ἡμεῖς οὕτω διεθερμάνθημεν, ὡς ἐκεῖνα τὰ σπλάγχνα πρὸς τὴν ἀγάπην διανίσταται τὴν ἡμετέραν. Ἀλλ' ἀφορμὴν ἐπιζητεῖ μόνον τοῦτο τὸ πῦρ· κἂν μικρὸν αὐτῷ παράσχῃς σπινθῆρα, ὁλόκληρον ἀνάπτεις φλόγα εὐερ-
15 *γεσίας. Οὐδὲ γὰρ ἐπειδὴ ὕβρισται, ἀγανακτεῖ, ἀλλ' ἐπειδὴ σὺ ὁ ὑβρίζων εἶ, καὶ ταύτῃ γινόμενος πάροινος. Εἰ γὰρ ἡμεῖς πονηροὶ ὄντες, τῶν παίδων ὑβριζόντων, ὑπὲρ ἐκείνων ἀλγοῦμεν, πολλῷ μᾶλλον ὁ Θεός, ὁ μηδὲ ὑβρισθῆναι δυνάμενος, ὑπὲρ σοῦ τοῦ ὑβρικότος ἀγανακτεῖ. Εἰ ἡμεῖς οἱ φύσει*
20 *ἀγαπῶντες, πολλῷ μᾶλλον ὑπὲρ φύσιν φιλόστοργος. «Εἰ γὰρ καὶ ἐπιλάθοιτο», φησί, «γυνὴ τὰ ἔκγονα τῆς κοιλίας αὐτῆς, ἀλλ' ἐγὼ οὐκ ἐπιλήσομαί σου».*

Προσέλθωμεν τοίνυν αὐτῷ καὶ εἴπωμεν· «Ναί, Κύριε· καὶ γὰρ τὰ κυνάρια ἐσθίει ἀπὸ τῶν ψυχίων τῶν πιπτόντων
25 *ἀπὸ τῆς τραπέζης τῶν κυρίων αὐτῶν». Προσέλθωμεν εὐκαίρως ἀκαίρως· μᾶλλον δὲ οὐδέποτέ ἐστιν ἀκαίρως προσελθεῖν· ἄκαιρον γὰρ τὸ μὴ διηνεκῶς προσιέναι. Τὸν γὰρ ἐπιθυμοῦντα διδόναι διαπαντὸς εὔκαιρον αἰτεῖν. Ὥσπερ γὰρ*

---

22. Ἡσ. 49, 15.
23. Ματθ. 15, 27.

θὰ τὰ ἀποκτήσῃς, καὶ ἀμέσως θὰ σβήσῃς τὴν ὀργὴν καὶ τὴν καταδίκην.

Ἀλλὰ νά, θὰ εἰπῇ κάποιος, προσεύχομαι καὶ δὲν γίνεται τίποτε πλέον. Διότι δὲν προσεύχεσαι ὅπως ἐκεῖνοι· ἐπὶ παραδείγματι ὡσὰν τὴν Συροφοινίκισσαν, καὶ τὸν φίλον ποὺ ἐπῆγεν εἰς ἀκατάλληλον ὥραν, καὶ τὴν χήραν ποὺ ἐνοχλοῦσε συνεχῶς τὸν δικαστήν, καὶ τὸν υἱὸν ποὺ κατέφαγε τὴν πατρικὴν περιουσίαν. Διότι ἐὰν ἔτσι προσηύχεσο, ἀμέσως θὰ τὸ ἐπιτύγχανες. Διότι καὶ ἂν ἀκόμη ὑβρίσθη, εἶναι πατέρας· καὶ ἐὰν ἔχῃ ὀργισθῇ, ἀγαπᾷ τὰ τέκνα του· καὶ ἕνα μόνον ζητεῖ, ὄχι νὰ πάρῃ ἐκδίκησιν διὰ τὰς ὕβρεις, ἀλλὰ νὰ σὲ ἰδῇ μετανοοῦντα καὶ νὰ τὸν παρακαλῇς.

6. Ἔπρεπε καὶ ἡμεῖς ἔτσι νὰ εἴχομεν θερμανθῆ, ὅπως ἐκεῖνα τὰ σπλάγχνα τὰ ὁποῖα προστρέχουν πρὸς τὴν ἰδικήν μας ἀγάπην. Ἀλλ' ὅμως ἀφορμὴν θέλει μόνον αὐτὴ ἡ φωτιά· καὶ ἂν δώσῃς εἰς αὐτὴν μικρὸν σπινθῆρα, ἀνάπτεις ὁλόκληρον φλόγα εὐεργεσίας. Διότι δὲν ἀγανακτεῖ ἐπειδὴ ἔχει ὑβρισθῆ, ἀλλ' ἐπειδὴ σὺ εἶσαι αὐτὸς ποὺ ὑβρίζεις καὶ ἔχεις γίνει ὡσὰν μέθυσος ἐξ αὐτῆς. Διότι ἐὰν ἡμεῖς ποὺ εἴμεθα πονηροί, ὅταν μᾶς ὑβρίζουν τὰ παιδιά μας, λυπούμεθα δι' ἐκεῖνα, πολὺ περισσότερον ὁ Θεός, ὁ ὁποῖος δὲν εἶναι δυνατὸν νὰ ὑβρίζεται, ἀγανακτεῖ ἐναντίον σοῦ ποὺ ὑβρίζεις. Ἐὰν ἡμεῖς ποὺ ἀγαπῶμεν ἐκ φύσεως, πολὺ περισσότερον ἀγαπᾷ αὐτὸς ποὺ εἶναι φιλόστοργος ὑπὲρ φύσιν. «Διότι καὶ ἂν ἐλησμόνησε», λέγει, «ἡ γυναίκα τὰ τέκνα τῆς κοιλίας της, ἐν τούτοις ἐγὼ δὲν θὰ σὲ λησμονήσω»[22].

Ἂς προσέλθωμεν λοιπὸν εἰς αὐτὸν καὶ ἂς εἰποῦμεν· «Ναί, Κύριε· διότι καὶ τὰ σκυλάκια τρῶνε ἀπὸ τὰ ψίχουλα ποὺ πίπτουν ἀπὸ τὴν τράπεζαν τῶν κυρίων των»[23]. Ἂς προσέλθωμεν ἐγκαίρως, ἀκαίρως· μᾶλλον δὲ ποτὲ δὲν εἶναι ἀκατάλληλος ἡ ὥρα διὰ νὰ προσέλθωμεν· διότι ἀκατάλληλος καιρὸς εἶναι τὸ συνεχῶς νὰ μὴ προσερχώμεθα. Διότι αὐτὸν ποὺ ἐπιθυμεῖ νὰ δίδῃ, πάντοτε εἶναι κατάλληλος καιρὸς νὰ τοῦ ζητῇς. Διότι ὅπως ἀκριβῶς οὐδέποτε εἶναι

τὸ ἀναπνεῖν οὐδέποτε ἄκαιρον, οὕτως οὐδὲ τὸ αἰτεῖν, ἀλλὰ τὸ μὴ αἰτεῖν ἄκαιρον. Καὶ γὰρ καθάπερ τῆς ἀναπνοῆς δεόμεθα ταύτης, οὕτω καὶ τῆς παρ' αὐτοῦ βοηθείας· κἂν θέλωμεν, ῥαδίως αὐτὸν ἐπισπασόμεθα. Καὶ τοῦτο δηλῶν ὁ προ-
5 *φήτης καὶ δεικνὺς τῆς εὐεργεσίας τὸ ἀεὶ παρεσκευασμένον, ἔλεγεν· «Ὡς ὄρθρον ἕτοιμον εὑρήσομεν αὐτόν». Ὁσάκις γὰρ ἂν προσέλθωμεν, ἀναμένοντα τὰ παρ' ἡμῶν ὀψόμεθα. Εἰ δὲ οὐδὲν ἀπὸ τῆς πηγαζούσης αὐτοῦ ἀρετῆς ἀρυόμεθα, ἡμέτερον τὸ ἔγκλημα ἅπαν. Τοῦτο γοῦν καὶ Ἰουδαίοις ἐγκαλῶν*
10 *ἔλεγε· «Τὸ δὲ ἔλεός μου ὡς νεφέλη πρωϊνή, καὶ ὡς δρόσος ὀρθρινὴ παραπορευομένη». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἐγὼ μὲν τὰ παρ' ἐμαυτοῦ ἅπαντα παρέσχον· ὑμεῖς δέ, ὥσπερ ἥλιος θερμὸς ἐπιὼν καὶ τὴν νεφέλην καὶ τὴν δρόσον διακρούεται καὶ ἀποκρύπτει, οὕτω διὰ τῆς πολλῆς πονηρίας*
15 *τὴν ἄφατον ἀνεστείλατε φιλοτιμίαν. Ὃ καὶ αὐτὸ πάλιν προνοίας ἐστίν. Ὅταν γὰρ καὶ ἀναξίους ἴδῃ τοῦ παθεῖν εὖ, ἐπέχει τὰς εὐεργεσίας, ἵνα μὴ ῥαθύμους ἡμᾶς ἐργάσηται. Ἂν δὲ μεταβαλώμεθα μικρόν, καὶ τοσοῦτον ὅσον γνῶναι ὅτι ἡμάρτομεν, ὑπὲρ τὰς πηγὰς ἀναβλύζει, ὑπὲρ τὸ πέλαγος*
20 *χεῖται· καὶ ὅσῳ ἂν πλείονα λάβῃς, τοσούτῳ μᾶλλον χαίρει· καὶ ταύτῃ πρὸς τὸ πλείονα δοῦναι διανίσταται πάλιν. Καὶ γὰρ πλοῦτον οἰκεῖον τὴν ἡμετέραν ἡγεῖται σωτηρίαν, καὶ τὸ δοῦναι δαψιλῶς τοῖς αἰτοῦσιν· ὅπερ οὖν καὶ ὁ Παῦλος δηλῶν ἔλεγε· «Πλουτῶν εἰς πάντας καὶ ἐπὶ πάντας τοὺς ἐπι-*
25 *καλουμένους αὐτόν». Ὅταν γὰρ μὴ αἰτήσωμεν, τότε ὀργίζεται· ὅταν μὴ αἰτήσωμεν, τότε ἀποστρέφεται. Διὰ τοῦτο*

24. Ὠσηὲ 6, 3.
25. Ὠσηὲ 6, 4.
26. Ρωμ. 10, 12.

ἄκαιρον τὸ νὰ ἀναπνέῃ κανείς, ἔτσι οὔτε τὸ νὰ ζητῇ κανείς, ἀλλὰ ἄκαιρον εἶναι τὸ νὰ μὴ ζητῇ. Διότι ὅπως ἀκριβῶς ἔχομεν ἀνάγκην αὐτῆς τῆς ἀναπνοῆς, ἔτσι ἔχομεν ἀνάγκην καὶ ἀπὸ τὴν βοήθειαν αὐτοῦ· καὶ ἐὰν θέλωμεν, εὐκόλως ἠμποροῦμεν αὐτὸν νὰ τὸν προσελκύσωμεν πρὸς τὸ μέρος μας. Καὶ αὐτὸ δηλώνων ὁ προφήτης, καὶ δεικνύων ὅτι πάντοτε εἶναι προετοιμασμένη ἡ εὐεργεσία, ἔλεγεν· «Ὅτι θὰ εὕρωμεν αὐτὸν ἕτοιμον τὸ πρωί»[24]. Διότι κάθε φορὰν ποὺ θὰ προσερχόμεθα θὰ ἰδῶμεν νὰ περιμένῃ τὰς παρακλήσεις μας. Ἐὰν δὲ δὲν παίρνωμεν τίποτε ἀπὸ τὴν πηγάζουσαν ἐξ αὐτοῦ ἀρετήν, ὅλον τὸ ἔγκλημα εἶναι ἰδικόν μας. Αὐτὸ λοιπὸν καταγγέλλων εἰς τοὺς Ἰουδαίους ἔλεγε· «Τὸ δὲ ἔλεός μου διέρχεται ἀπὸ ἐμπρός σας ὡσὰν πρωινὸν σύννεφον καὶ ὡσὰν πρωινὴ δροσιά»[25]. Αὐτὸ δὲ ποὺ λέγει ἔχει αὐτὴν τὴν σημασίαν· Ἐγὼ μὲν ὅλα τὰ ἰδικά μου σᾶς τὰ ἔδωσα, σεῖς δέ, ὅπως ἀκριβῶς ὁ θερμὸς ἥλιος ποὺ ἔρχεται καὶ ἀπομακρύνει καὶ ἀποκρύπτει καὶ τὸ σύννεφον καὶ τὴν δροσιάν, ἔτσι μὲ τὴν πολλὴν πονηρίαν κατηργήσατε τὴν ἀνεκδιήγητον γενναιοδωρίαν μου. Πρᾶγμα ποὺ καὶ αὐτὸ πάλιν εἶναι δεῖγμα τῆς προνοίας του. Διότι, ὅταν ἰδῇ, ἐνῷ εἴμεθα ἀνάξιοι, νὰ εὐεργετούμεθα, διακόπτει τὰς εὐεργεσίας του, διὰ νὰ μὴ μᾶς κάμῃ ὀκνηρούς. Ἂν ὅμως ἀλλάξωμεν ὀλίγον, καὶ μάλιστα τόσον, ὅσον ν' ἀναγνωρίσωμεν ὅτι ἡμαρτήσαμεν, τότε ἀναβλύζει περισσότερον ἀπὸ τὰς πηγὰς καὶ ἐκχύει περισσότερον ἀπὸ τὸ πέλαγος· καὶ ὅσον περισσότερα θὰ λάβῃς, τόσον πιὸ πολὺ χαίρεται· καὶ εἰς τὴν περίπτωσιν αὐτὴν προθυμοποιεῖται πάλιν διὰ νὰ δώσῃ περισσότερα. Καθόσον θεωρεῖ πλοῦτον ἰδικόν του τὴν ἰδικήν μας σωτηρίαν καὶ τὸ νὰ δίδῃ ἀφθόνως εἰς αὐτοὺς ποὺ ζητοῦν· πρᾶγμα λοιπὸν ποὺ καὶ ὁ Παῦλος δηλώνων ἔλεγε· «Δίδων τὴν χάριν του πλουσίως εἰς ὅλους ἐκείνους ποὺ τὸν ἐπικαλοῦνται»[26]. Διότι ὅταν δὲν ζητήσωμεν, τότε ὀργίζεται· ὅταν δὲν ζητήσωμεν, τότε μᾶς ἀποστρέφεται. Ἐξ αἰτίας αὐτοῦ ἔγινε πτωχός, διὰ νὰ μᾶς κάμῃ πλουσίους· καὶ

ἐπτώχευσεν, ἵνα ἡμᾶς πλουσίους ἐργάσηται· διὰ τοῦτο καὶ πάντα ὑπέστη ἐκεῖνα, ἵνα ἡμᾶς ἐκκαλέσηται πρὸς τὸ αἰτεῖν.

Μὴ τοίνυν ἀπογνῶμεν· ἀλλ' ἔχοντες τοσαύτας ἀφορμὰς καὶ χρηστὰς ἐλπίδας, κἂν καθ' ἑκάστην ἁμαρτάνωμεν τὴν 5 *ἡμέραν, προσίωμεν παρακαλοῦντες, δεόμενοι, τὴν ἄφεσιν τῶν πλημμελημάτων αἰτοῦντες. Οὕτω γὰρ καὶ πρὸς τὸ ἁμαρτάνειν ὀκνηρότεροι λοιπὸν ἐσόμεθα, καὶ τὸν διάβολον ἀποσοβήσομεν, καὶ τοῦ Θεοῦ τὴν φιλανθρωπίαν ἐκκαλεσόμεθα, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν, χάριτι καὶ φιλαν-* 10 *θρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

ἀκριβῶς δι᾿ αὐτὸ ὑπέφερεν ὅλα ἐκεῖνα, διὰ νὰ μᾶς προτρέψῃ νὰ ζητοῦμεν.

Ἑπομένως ἂς μὴ ἀπελπιζώμεθα, ἀλλ᾿ ἔχοντες τόσας ἀφορμὰς καὶ καλὰς ἐλπίδας, καὶ ἂν ἀκόμη ἁμαρτάνωμεν καθημερινῶς, ἂς προσερχώμεθα παρακαλοῦντες, ἱκετεύοντες, ζητοῦντες τὴν συγχώρησιν τῶν ἁμαρτημάτων μας. Διότι ἔτσι θὰ γίνωμεν πιὸ ὀκνηροὶ εἰς τὸ νὰ ἁμαρτάνωμεν, καὶ τὸν διάβολον θὰ ἐκδιώξωμεν, καὶ τὴν φιλανθρωπίαν τοῦ Θεοῦ θὰ ἀπαιτήσωμεν, καὶ θὰ ἐπιτύχωμεν τὰ μέλλοντα ἀγαθὰ μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΓ΄

Ματθ. 7, 1 - 23

«*Μὴ κρίνετε, ἵνα μὴ κριθῆτε*».

1. Τί οὖν; οὐ χρὴ τοῖς ἁμαρτάνουσιν ἐγκαλεῖν; Καὶ 5 *γὰρ ὁ Παῦλος τὸ αὐτὸ τοῦτό φησι· μᾶλλον δὲ κἀκεῖ ὁ Χριστὸς διὰ Παύλου, λέγων· «σὺ τί κρίνεις τὸν ἀδελφόν σου; καὶ σύ, τί ἐξουθενεῖς τὸν ἀδελφόν σου;». Καί, «σὺ τίς εἶ, ὁ κρίνων ἀλλότριον οἰκέτην;». Καὶ πάλιν· «ὥστε μὴ πρὸ καιροῦ τι κρίνετε, ἕως ἂν ἔλθῃ ὁ Κύριος». Πῶς οὖν* 10 *ἑτέρωθί φησιν· «ἔλεγξον, ἐπιτίμησον, παρακάλεσον»; καί, «τοὺς ἁμαρτάνοντας ἐνώπιον πάντων ἔλεγχε»; καὶ ὁ Χριστὸς δὲ τῷ Πέτρῳ· «ὕπαγε, ἔλεγξον αὐτὸν μεταξύ σου καὶ αὐτοῦ μόνου· κἂν παρακούσῃ, καὶ ἕτερον σαυτῷ πρόσθες· ἂν δὲ μηδὲ οὕτως ἐνδῷ, καὶ τῇ ἐκκλησίᾳ κατάγγειλον»; καὶ* 15 *τοσούτους ἐπέστησε τοὺς ἐπιτιμῶντας, καὶ οὐ μόνον τοὺς ἐπιτιμῶντας, ἀλλὰ καὶ κολάζοντας; Τὸν γὰρ οὐδενὸς τούτων ἀκούσαντα, ἐκέλευσεν ὡς ἐθνικὸν εἶναι καὶ τελώνην. Πῶς δὲ αὐτοῖς καὶ τὰς κλεῖς ἔδωκεν; Εἰ γὰρ μὴ μέλλουσι κρίνειν, ἁπάντων ἔσονται ἄκυροι, καὶ μάτην τοῦ δεσμεύ-* 20 *ειν καὶ τοῦ λύειν ἐξουσίαν εἰλήφασι. Καὶ ἄλλως δέ, εἰ τοῦτο κρατήσειεν, ἅπαντα οἰχήσεται, καὶ τὰ ἐν ταῖς ἐκκλησίαις, καὶ τὰ ἐν ταῖς πόλεσι καὶ τὰ ἐν ταῖς οἰκίαις. Καὶ γὰρ ὁ δεσπότης τὸν οἰκέτην καὶ ἡ δέσποινα τὴν θεραπαινίδα καὶ ὁ πατὴρ τὸν υἱὸν καὶ ὁ φίλος τὸν φίλον ἐὰν μὴ κρί-* 25 *νωσιν, ἐπιδώσει τὰ τῆς κακίας. Καὶ τί λέγω, ὁ φίλος τὸν φίλον; Τοὺς ἐχθροὺς ἐὰν μὴ κρίνωμεν, οὐδέποτε καταλῦσαι δυνησόμεθα τὴν ἔχθραν, ἀλλ' ἄνω καὶ κάτω πάντα γενήσεται.*

1. Ρωμ. 14, 10.
2. Ρωμ. 14, 4.
3. Α΄ Κορ. 4, 5.
4. Β΄ Τιμ. 4, 2.
5. Α΄ Τιμ. 5, 20.
6. Ματθ. 18, 15-17.

ΟΜΙΛΙΑ ΚΓ΄

Ματθ. 7, 1 - 23

«Μὴ κρίνετε διὰ νὰ μὴ κριθῆτε».

1. Τί λοιπόν; δὲν πρέπει νὰ ἐλέγχωμεν αὐτοὺς ποὺ ἁμαρτάνουν; Διότι καὶ ὁ Παῦλος αὐτὸ τὸ ἴδιο λέγει· μᾶλλον δὲ καὶ ἐκεῖ ὁ Χριστὸς διὰ τοῦ Παύλου λέγει· «Σὺ διατί κρίνεις τὸν ἀδελφόν σου; καὶ σὺ διατί περιφρονεῖς τὸν ἀδελφόν σου;»[1]· καί, «Σὺ ποῖος εἶσαι ποὺ κρίνεις ξένου ὑπηρέτην;»[2]. Καὶ πάλιν· «Ὥστε μὴ κρίνετε πρὶν ἔλθῃ ὁ καιρός, μέχρις ὅτου ἔλθῃ ὁ Κύριος»[3]. Καὶ εἰς ἄλλο μέρος πῶς λέγει· «Νὰ τὸν ἐλέγξῃς, νὰ τὸν ἐπιτιμήσῃς, νὰ τὸν ἐνθαρρύνῃς»;[4] καί, «Αὐτοὺς ποὺ ἁμαρτάνουν νὰ τοὺς ἐλέγχῃς παρουσίᾳ ὅλων»;[5] Καὶ ὁ Χριστὸς δὲ εἰς τὸν Πέτρον εἶπεν· «Πήγαινε καὶ νὰ ἐλέγξῃς αὐτὸν ὅταν θὰ εἶσθε μόνοι σας· καὶ ἂν δὲν συμμορφωθῇ πάρε μαζί σου καὶ ἄλλον· ἐὰν ὅμως οὔτε ἔτσι ὑποχωρήσῃ νὰ τὸν καταγγείλῃς καὶ εἰς τὴν ἐκκλησίαν»[6]· κα διατί τόσους ὥρισε τοὺς ἐλεγκτὰς καὶ ὄχι μόνον ἐλεγκτὰς ἀλλὰ καὶ τιμωρούς;[7] Διότι ἐκεῖνος ποὺ δὲν θ' ἀκούσῃ εἰς κανένα ἀπ' αὐτούς, ὥρισε νὰ θεωρῆται ὡς ἐθνικὸς καὶ τελώνης. Πῶς ὅμως ἔδωσεν εἰς αὐτοὺς καὶ τὰ κλειδιὰ τῶν οὐρανῶν;[8] Διότι ἐὰν δὲν πρόκειται νὰ κρίνουν, δὲν θὰ ἔχουν καμμίαν δύναμιν καὶ μάταια ἔλαβαν ἐξουσίαν τοῦ νὰ μὴ συγχωροῦν καὶ τοῦ νὰ συγχωροῦν ἁμαρτίας. Ἐξ ἄλλου δέ, ἐὰν αὐτὸ ἤθελεν ἰσχύσει, ὅλα θὰ ἀνατραποῦν, καὶ εἰς τὰς ἐκκλησίας καὶ εἰς τὰς πόλεις καὶ εἰς τὰς οἰκίας. Καθόσον ἐὰν δὲν κρίνουν ὁ κύριος τὸν δοῦλον καὶ ἡ κυρία τὴν ὑπηρέτριαν καὶ ὁ πατέρας τὸν υἱὸν καὶ ὁ φίλος τὸν φίλον, θὰ αὐξηθοῦν τὰ τῆς κακίας. Καὶ τί λέγω, ὁ φίλος τὸν φίλον; Ἐὰν δὲν κρίνωμεν τοὺς ἐχθρούς μας, δὲν θὰ ἠμπορέσωμεν οὐδέποτε νὰ καταργήσωμεν τὴν ἔχθραν, ἀλλ' ὅλα θὰ γίνουν ἄνω - κάτω.

---

7. Πρβλ. Ματθ. 18, 15-17.
8. Πρβλ. Ματθ. 16, 19.

Τί ποτ' οὖν ἐστι τὸ εἰρημένον; Προσέχωμεν μετὰ ἀκριβείας, ἵνα μὴ τὰ φάρμακα τῆς σωτηρίας καὶ τοὺς τῆς εἰρήνης νόμους νομίζῃ τις ἀνατροπῆς εἶναι καὶ συγχύσεως νόμους. Μάλιστα μὲν γὰρ καὶ διὰ τῶν ἑξῆς ἐνεδείξατο
5 *τοῖς νοῦν ἔχουσι τοῦ νόμου τούτου τὴν ἀρετήν, εἰπών· «τί βλέπεις τὸ κάρφος τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου, τὴν δὲ δοκὸν τὴν ἐν τῷ σῷ ὀφθαλμῷ οὐ κατανοεῖς;». Εἰ δὲ πολλοῖς τῶν ῥαθυμοτέρων ἀσαφέστερον ἔτι εἶναι δοκεῖ, ἄνωθεν αὐτὸ διαλῦσαι πειράσομαι. Ἐνταῦθα γάρ, ὡς ἔμοιγε*
10 *δοκεῖ, οὐχ ἁπλῶς ἅπαντα τὰ ἁμαρτήματα κελεύει μὴ κρίνειν, οὐδὲ ἁπλῶς ἀπαγορεύει τὸ τοιοῦτον ποιεῖν, ἀλλὰ τοῖς μυρίων γέμουσι κακῶν, καὶ ἄλλοις ὑπὲρ τῶν τυχόντων ἐπεμβαίνουσι. Δοκεῖ δέ μοι καὶ Ἰουδαίους ἐνταῦθα αἰνίττεσθαι, ὅτι πικροὶ τῶν πλησίον ὄντες κατήγοροι, μικρῶν ἕνεκεν καὶ*
15 *οὐδαμινῶν, αὐτοὶ τὰ μεγάλα ἀνεπαισθήτως ἡμάρτανον· ὃ καὶ πρὸς τῷ τέλει ὀνειδίζων αὐτοὺς ἔλεγεν, ὅτι «Δεσμεύετε φορτία βαρέα καὶ δυσβάστακτα, ὑμεῖς δὲ τῷ δακτύλῳ οὐ θέλετε κινῆσαι αὐτά»· καί, «Ἀποδεκατοῦτε τὸ ἡδύοσμον καὶ τὸ ἄνηθον, καὶ κατελίπετε τὰ βαρύτερα τοῦ νόμου, τὴν κρί-*
20 *σιν, καὶ τὸν ἔλεον, καὶ τὴν πίστιν». Δοκεῖ μὲν οὖν καὶ πρὸς τούτους ἀποτείνεσθαι, προαναστέλλων αὐτοὺς ἐν οἷς ἔμελλον τῶν μαθητῶν κατηγορεῖν. Εἰ γὰρ καὶ μηδὲν ἥμαρτον ἐκεῖνοι τοιοῦτον, ἀλλ' ὅμως ἐκείνοις πλημμελήματα ἐνομίζετο εἶναι· οἷον, τὸ Σάββατον μὴ τηρεῖν, τὸ χερσὶν ἀνίπτοις*
25 *ἐσθίειν, τὸ μετὰ τελωνῶν κατακεῖσθαι· ὃ καὶ ἀλλαχοῦ φησιν· «Οἱ τὸν κώνωπα διϋλίζοντες καὶ τὴν κάμηλον καταπίνοντες». Πλὴν καὶ κοινὸν τὸν περὶ τούτων τίθησι νόμον.*

---

9. Ματθ. 7, 3.
10. Ματθ. 23, 4.
11. Ματθ. 23, 23.
12. Ματθ. 23, 24.

Ποία λοιπὸν εἶναι ἡ σημασία αὐτῶν τῶν λόγων; Νὰ προσέχωμεν μὲ ἀκρίβειαν, διὰ νὰ μὴ νομίζῃ κανεὶς ὅτι τὰ φάρμακα τῆς σωτηρίας καὶ οἱ νόμοι τῆς εἰρήνης ὅτι εἶναι νόμοι ἀνατροπῆς καὶ συγχύσεως. Ἀκόμη περισσότερον δὲ καὶ διὰ τῶν ἑξῆς ἔκαμε φανερὰν τὴν ἀξίαν αὐτοῦ τοῦ νόμου εἰς αὐτοὺς ποὺ ἔχουν νοῦν, λέγων· «Διατί βλέπεις τὸ καρφὶ ποὺ ὑπάρχει εἰς τὸν ὀφθαλμὸν τοῦ ἀδελφοῦ σου, τὸ δὲ δοκάρι ποὺ ὑπάρχει εἰς τὸν ὀφθαλμόν σου δὲν τὸ ἀντιλαμβάνεσαι;»[9]. Ἐὰν δὲ φαίνεται εἰς πολλοὺς ἀπὸ τοὺς ἀδιαφόρους ὅτι εἶναι ἀκόμη ἀκατανόητον, θὰ προσπαθήσω νὰ τὸ ἐξηγήσω ἀπὸ τὴν ἀρχήν. Διότι ἐδῶ, καθὼς ἐγὼ νομίζω, δὲν παραγγέλλει ἁπλῶς νὰ μὴ κρίνῃ κανεὶς ὅλα τὰ ἁμαρτήματα, οὔτε ἁπλῶς ἀπαγορεύει νὰ κάμνῃ κανεὶς αὐτό, ἀλλ' ἐννοεῖ αὐτοὺς ποὺ εἶναι γεμᾶτοι ἀπὸ ἀμέτρητα κακὰ καὶ ἐλέγχουν ἄλλους διὰ τελείως ἀσήμαντα ἁμαρτήματα. Νομίζω δὲ ὅτι ὑπονοεῖ ἐδῶ καὶ τοὺς Ἰουδαίους, οἱ ὁποῖοι ἦσαν πικροὶ κατήγοροι τῶν πλησίον των διὰ μικρὰ καὶ μηδαμινὰ παραπτώματα, ἐνῷ οἱ ἴδιοι ἔκαμνον, χωρὶς καμμίαν συναίσθησιν, μεγάλα ἁμαρτήματα· δι' αὐτὸ τὸ πρᾶγμα ψέγων αὐτοὺς πρὸς τὸ τέλος τῆς ζωῆς του ἔλεγεν, ὅτι «Τοὺς φορτώνετε μὲ φορτία βαρέα καὶ δυσβάστακτα, σεῖς ὅμως δὲν θέλετε νὰ μετακινήσετε αὐτὰ οὔτε μὲ τὸν δάκτυλον»[10]· καί, «Δίδετε τὸ δέκατον ἀπὸ τὸν ἡδύοσμον καὶ τὸν ἄνηθον καὶ παραμελεῖτε τὰ σπουδαιότερα τοῦ νόμου, τὸ δίκαιον, τὴν ἀγάπην καὶ τὴν πίστιν»[11]. Φαίνεται λοιπὸν ὅτι ἀπευθύνεται καὶ πρὸς τοὺς Ἰουδαίους, συγκρατῶν αὐτοὺς ἀπὸ ἐκεῖνα διὰ τὰ ὁποῖα ἐπρόκειτο νὰ κατηγορήσουν τοὺς μαθητάς. Διότι καὶ ἂν ἀκόμη δὲν διέπραξαν ἐκεῖνοι κανένα τέτοιο ἁμάρτημα, ἐν τούτοις ἐθεωροῦντο ἀπὸ ἐκείνους ὅτι ἦσαν ἁμαρτήματα, τὸ ὅτι ἐπὶ παραδείγματι δὲν ἐτηροῦσαν τὸ Σάββατον, τὸ ὅτι ἔτρωγαν μὲ ἄπλυτα χέρια, τὸ ὅτι παρηκάθοντο εἰς τὴν ἰδίαν τράπεζαν μὲ τοὺς τελώνας· πρᾶγμα διὰ τὸ ὁποῖο καὶ ἀλλοῦ λέγει· «Σεῖς ποὺ στραγγίζετε τὸν κώνωπα καὶ καταπίνετε τὸν καραβόσχοινον»[12]. Πλὴν ὅμως ὁρίζει καὶ

Καὶ Κορινθίοις δὲ ὁ Παῦλος οὐχ ἁπλῶς ἐκέλευσε μὴ κρίνειν, ἀλλὰ τοὺς ὑπὲρ ἑαυτοὺς μὴ κρίνειν, καὶ δι' ὑπόθεσιν μὴ ὡμολογημένην· οὐχ ἁπλῶς τοὺς ἁμαρτάνοντας μὴ διορθοῦν. Καὶ οὐδὲ ἀδιορίστως ἅπασι τότε ἐπετίμα, ἀλλὰ μαθηταῖς περὶ διδασκάλων τοῦτο ποιοῦσιν ἐπέπληττε, καὶ τοῖς μυρίων κακῶν ὑπευθύνοις οὖσι, τοὺς ἀνευθύνους διαβάλλουσιν. Ὅπερ οὖν καὶ ὁ Χριστὸς ἐνταῦθα ᾐνίξατο· καὶ οὐχ ἁπλῶς ᾐνίξατο, ἀλλὰ καὶ πολὺν ἐπέστησε τὸν φόβον, καὶ τὴν κόλασιν ἀπαραίτητον. «Ἐν ᾧ γὰρ κρίματι κρίνετε, φησί, κριθήσεσθε». Οὐ γὰ ἐκεῖνον καταδικάζεις, φησίν, ἀλλὰ σαυτόν, καὶ φοβερόν σοι ποιεῖς τὸ δικαστήριον, καὶ ἀκριβεῖς τὰς εὐθύνας.

Ὥσπερ οὖν ἐν τῇ τῶν ἁμαρτημάτων ἀφέσει παρ' ἡμῶν αἱ ἀρχαί, οὕτω καὶ ἐν ταύτῃ τῇ κρίσει παρ' ἡμῶν τὰ μέτρα τῆς καταδίκης τίθεται. Οὐδὲ γὰρ ὀνειδίζειν δεῖ, οὐδὲ ἐπεμβαίνειν, ἀλλὰ νουθετεῖν· οὐ κακηγορεῖν, ἀλλὰ συμβουλεύειν· οὐδὲ μετὰ ἀπονοίας ἐπιτίθεσθαι, ἀλλὰ μετὰ φιλοστοργίας διορθοῦν. Οὐ γὰρ ἐκεῖνον, ἀλλὰ σαυτὸν ἐσχάτῃ παραδίδως τιμωρίᾳ, μὴ φειδόμενος αὐτοῦ, ἡνίκα ἂν δεήσῃ ψηφίζεσθαι περὶ τῶν πεπλημμελημένων αὐτῷ.

2. Ὁρᾷς πῶς αὗται αἱ δύο ἐντολαὶ καὶ κοῦφαι καὶ μεγάλων αἴτιαι ἀγαθῶν τοῖς πειθομένοις, ὥσπερ οὖν καὶ κακῶν τοῖς μὴ προσέχουσιν; Ὅ τε γὰρ ἀφιεὶς τῷ πλησίον, ἑαυτὸν πρὸ ἐκείνου τῶν ἐγκλημάτων ἀπήλλαξεν, οὐδὲν καμών· ὅ τε μετὰ φειδοῦς καὶ συγγνώμης τὰ πεπλημμελημένα ἑτέροις ἐξετάσας, πολὺν ἑαυτῷ τῆς συγγνώμης τὸν ἔρανον

---

13. Πρβλ. Ματθ. 6, 12-15.

κοινὸν νόμον περὶ αὐτῶν. Ἀλλὰ καὶ ὁ Παῦλος τοὺς Κορινθίους δὲν τοὺς παρήγγειλεν ἁπλῶς νὰ μὴ κρίνουν, ἀλλ' ἔδωσεν ἐντολὴν νὰ μὴ κρίνουν αὐτοὺς ποὺ προΐστανται αὐτῶν καὶ διὰ ὑπόθεσιν ποὺ δὲν ἔχει πλήρη ἀποδεικτικὰ στοιχεῖα. Δὲν εἶπε νὰ μὴ διορθώνουν γενικὰ αὐτοὺς ποὺ ἁμαρτάνουν. Καὶ οὔτε ἐπέπληττε τότε ὅλους ἀδιακρίτους, ἀλλὰ κατέκρινε τοὺς μαθητὰς ποὺ κάνουν αὐτὸ πρὸς τοὺς διδασκάλους, καὶ αὐτοὺς ποὺ κατηγοροῦν τοὺς ἀθώους, ἐνῷ οἱ ἴδιοι εἶναι ὑπεύθυνοι μυρίων κακῶν. Πρᾶγμα λοιπὸν ποὺ καὶ ὁ Χριστὸς ὑπηνίχθη ἐδῶ· καὶ ὄχι ἁπλῶς ὑπηνίχθη, ἀλλὰ καὶ ἐνέβαλε πολὺν φόβον καὶ ὅτι εἶναι ἀναπόφευκτος ἡ τιμωρία. «Μὲ ὅποιον κριτήριον κρίνετε», λέγει, «μ' αὐτὸ καὶ θὰ κριθῆτε». Διότι δὲν καταδικάζεις ἐκεῖνον, λέγει, ἀλλὰ τὸν ἑαυτόν σου, καὶ κάμνεις φοβερὸν διὰ σὲ τὸ δικαστήριον καὶ τὰς εὐθύνας βαρείας.

Ὅπως ἀκριβῶς λοιπὸν διὰ τὴν συγχώρησιν τῶν ἁμαρτημάτων ἀπὸ ἡμᾶς γίνεται ἡ ἀρχή[13], ἔτσι καὶ κατ' αὐτὴν τὴν κρίσιν ὁρίζονται ἀπὸ ἡμᾶς τοὺς ἰδίους τὰ κριτήρια τῆς καταδίκης. Διότι πρέπει οὔτε νὰ ὀνειδίζωμεν, οὔτε νὰ ἐλέγχωμεν, ἀλλὰ νὰ νουθετοῦμεν· ὄχι νὰ κατηγοροῦμεν, ἀλλὰ νὰ συμβουλεύωμεν· οὔτε νὰ ἐπιτιθέμεθα γεμᾶτοι ἀπὸ φθόνον, ἀλλὰ νὰ τοὺς διορθώνωμεν μὲ φιλοστοργίαν. Διότι δὲν παραδίδεις ἐκεῖνον, ἀλλὰ τὸν ἑαυτόν σου εἰς τὴν ἐσχάτην τιμωρίαν, μὴ εὐσπλαγχνιζόμενος αὐτόν, ὅταν χρειάζεται νὰ κρίνῃς τὰ ἁμαρτήματα ποὺ διέπραξεν αὐτός.

2. Βλέπεις πῶς αὐταὶ αἱ δύο ἐντολαὶ εἶναι καὶ εὔκολαι καὶ γίνονται αἰτία μεγάλων ἀγαθῶν εἰς αὐτοὺς ποὺ ἐφαρμόζουν αὐτάς, ὅπως πάλιν γίνονται αἰτία μεγάλων κακῶν εἰς αὐτοὺς ποὺ δὲν τὰς προσέχουν; Διότι καὶ αὐτὸς ποὺ συγχωρεῖ τὸν πλησίον, ἀπαλλάσσει, πρὶν ἀπὸ ἐκεῖνον, τὸν ἑαυτόν του ἀπὸ τὰ ἁμαρτήματά του χωρὶς κανένα κόπον, καὶ αὐτὸς ποὺ ἐξετάζει μὲ εὐσπλαγχνίαν καὶ ἐπιείκειαν τὰ ἁμαρτήματα τῶν ἄλλων, ἀποταμιεύει μὲ τὴν κρίσιν του αὐτὴν διὰ τὸν ἑαυτόν του μεγάλην βοήθειαν συγχωρή-

ἀπὸ τῆς ψήφου προαπέθετο. Τί οὖν; ἂν πορνεύῃ, φησί, μὴ εἴπω ὅτι κακὸν ἡ πορνεία, μηδὲ διορθώσωμαι τὸν ἀσελγαίνοντα; Διόρθωσον μέν, ἀλλὰ μὴ ὡς πολέμιος, μηδὲ ὡς ἐχθρὸς ἀπαιτῶν δίκην, ἀλλ' ὡς ἰατρὸς φάρμακα κα-
5 τασκευάζων. Οὐδὲ γὰρ εἶπε, μὴ παύσῃς ἁμαρτάνοντα, ἀλλά, μὴ κρίνῃς· τουτέστι, μὴ πικρὸς γίνου δικαστής. Ἄλλως δὲ οὐδὲ περὶ τῶν μεγάλων καὶ ἀπηγορευμένων, ὅπερ ἔφθην εἰπών, ἀλλὰ περὶ τῶν οὐδὲ δοκούντων εἶναι πλημμελημάτων τοῦτο εἴρηται. Διὸ καὶ ἔλεγε· «Τί βλέπεις τὸ κάρφος
10 τὸ ἐν τῷ ὀφθαλμῷ τοῦ ἀδελφοῦ σου;». Καὶ γὰρ πολλοὶ νῦν τοῦτο ποιοῦσι· κἂν ἴδωσι μοναχὸν περιττὸν ἱμάτιον ἔχοντα, τὸν νόμον αὐτῷ προβάλλονται τὸν δεσποτικόν, αὐτοὶ μυρία ἁρπάζοντες καὶ καθ' ἑκάστην πλεονεκτοῦντες τὴν ἡμέραν· κἂν ἴδωσι δαψιλεστέρας τροφῆς ἀπολαύοντα, πικροὶ γίνον-
15 ται κατήγοροι, καθ' ἡμέραν αὐτοὶ μεθύοντες καὶ κραιπαλῶντες, οὐκ εἰδότες ὅτι μετὰ τῶν οἰκείων ἁμαρτημάτων μεῖζον ἑαυτοῖς ἐντεῦθεν συνάγουσι τὸ πῦρ, καὶ πάσης ἑαυτοὺς ἀποστεροῦσιν ἀπολογίας. Ὅτι μὲν γὰρ δεῖ μετὰ ἀκριβείας ἐξετάζειν τὰ σά, σὺ πρῶτος νόμον ἔθηκας, οὕτω τοῖς τοῦ πλη-
20 σίον δικάσας. Μὴ τοίνυν βαρὺ νόμιζε εἶναι, εἰ καὶ αὐτὸς μέλλεις τοιαύτας ὑπέχειν εὐθύνας.

«Ὑποκριτά, ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου». Ἐνταῦθα τὴν ὀργὴν ἐνδείξασθαι βούλεται τὴν πολλήν, ἣν ἔχει πρὸς τοὺς τὰ τοιαῦτα ποιοῦντας. Καὶ γὰρ
25 ὅπουπερ ἂν βουληθῇ δεῖξαι τὸ ἁμάρτημα μέγα ὄν, καὶ πολλὴν τὴν ἐπ' αὐτῷ κόλασιν καὶ ὀργήν, ἀπὸ ὕβρεως ἄρχεται. Ὥσπερ οὖν καὶ πρὸς ἐκεῖνον τὸν τὰ ἑκατὸν δηνάρια ἀπαι-

σεως. Τί λοιπόν; ἐὰν κάποιος πορνεύῃ, λέγει, νὰ μὴ εἴπω ὅτι εἶναι κακὸν πρᾶγμα ἡ πορνεία, οὔτε νὰ διορθώσω αὐτὸν ποὺ κάμνει αἰσχρὰς πράξεις; Νὰ τὸν διορθώσῃς βέβαια, ἀλλ' ὅμως ὄχι ὡσὰν ἀντίπαλος, οὔτε ὡσὰν ἐχθρὸς ποὺ θέλει ἐκδίκησιν, ἀλλὰ ὡσὰν ἰατρὸς παρασκευάζων φάρμακα. Διότι δὲν εἶπε νὰ μὴ συγκρατήσῃς αὐτὸν ποὺ ἁμαρτάνει, ἀλλὰ νὰ μὴ τὸν κρίνῃς· δηλαδὴ νὰ μὴ γίνῃς αὐστηρὸς δικαστής. Ἄλλωστε αὐτὸ δὲν ἔχει λεχθῆ, ὅπως προηγουμένως εἶπα, διὰ τὰ μεγάλα καὶ ἀπηγορευμένα, ἀλλὰ δι' αὐτὰ ποὺ οὔτε κἂν θεωροῦνται ἁμαρτήματα. Διὰ τοῦτο καὶ ἔλεγε· «Διατί βλέπεις τὸ καρφὶ ποὺ ὑπάρχει μέσα εἰς τὸν ὀφθαλμὸν τοῦ ἀδελφοῦ σου;». Καθόσον πολλοὶ τώρα τὸ κάμνουν αὐτό· καὶ ἂν ἰδοῦν μοναχὸν νὰ ἔχῃ περιττὸν ἔνδυμα, προβάλλουν εἰς αὐτὸν τὸν νόμον τοῦ Κυρίου, ἐνῷ οἱ ἴδιοι ἁρπάζουν μύρια καὶ καθημερινῶς ἐπιδίδονται εἰς τὴν πλεονεξίαν· καὶ ἂν τὸν ἰδοῦν ν' ἀπολαμβάνῃ ἀφθονωτέραν τροφήν, γίνονται αὐστηροὶ κατήγοροι, ἐνῷ οἱ ἴδιοι καθημερινῶς μεθοῦν καὶ κάνουν ζωὴν ὀργιώδη, καὶ δὲν γνωρίζουν ὅτι μαζὶ μὲ τὰ ἰδικά των ἁμαρτήματα συγκεντρώνουν ἀπὸ τὴν πρᾶξιν των αὐτὴν διὰ τοὺς ἑαυτούς των μεγαλυτέραν φωτιὰν καὶ στεροῦν τοὺς ἑαυτούς των ἀπὸ κάθε ἀπολογίαν. Διότι τὸ ὅτι πρέπει νὰ ἐξετάζῃ τὰ ἰδικά σου μὲ ἀκρίβειαν, σὺ πρῶτος ἔθεσες τὸν νόμον, μὲ τὸ ὅτι ἐδίκασες κατ' αὐτὸν τὸν τρόπον τὰ σφάλματα τοῦ πλησίον σου. Ἑπομένως μὴ ἔχῃς τὴν ἐντύπωσιν ὅτι εἶναι βαρύ, ἐὰν καὶ σὺ ὁ ἴδιος πρόκειται νὰ ἀναλάβῃς τέτοιας εὐθύνας.

«Ὑποκριτά, βγάλε πρῶτα τὸ δοκάρι ἀπὸ τὸν ὀφθαλμόν σου». Μ' αὐτὰ θέλει νὰ δείξῃ τὴν μεγάλην ὀργήν του ἐναντίον αὐτῶν ποὺ κάμνουν αὐτοῦ τοῦ εἴδους τὰ πράγματα. Καθόσον βέβαια κάθε φορὰν ποὺ ἤθελε νὰ δείξῃ ὅτι τὸ ἁμάρτημα εἶναι μεγάλο καὶ ὅτι θὰ εἶναι δι' αὐτὸ μεγάλη ἡ τιμωρία καὶ ἡ ὀργή, ἀρχίζει ἀπὸ ὕβριν. Ὅπως ἀκριβῶς λοιπὸν καὶ πρὸς ἐκεῖνον ποὺ ἐζήτει τὰ ἑκατὸν δηνάρια ἔλεγε μὲ ἀγανάκτησιν· «Πονηρὲ δοῦλε, ὅλον ἐκεῖνο τὸ χρέος σου

τοῦντα ἀγανακτῶν ἔλεγε· «Πονηρὲ δοῦλε, πᾶσαν τὴν ὀφειλὴν ἐκείνην ἀφῆκά σοι»· οὕτω καὶ ἐνταῦθα, ὑποκριτά. Οὐ γὰρ κηδεμονίας ἡ τοιαύτη ψῆφος, ἀλλὰ μισανθρωπίας ἐστί· καὶ προσωπεῖον μὲν φιλανθρωπίας προβάλλεται, ἔργον δὲ
5 *ἐσχάτης πονηρίας πληροῖ, ὀνείδη περιττὰ καὶ ἐγκλήματα προστριβόμενος τοῖς πλησίον, καὶ διδασκάλου τάξιν ἁρπάζων, οὐδὲ μαθητὴς ἄξιος ὢν εἶναι· διὰ τοῦτο ὑποκριτὴν αὐτὸν ἐκάλεσεν. Ὁ γὰρ ἐν τοῖς ἑτέρων οὕτως ὢν πικρός, ὡς καὶ τὰ μικρὰ ἰδεῖν, πῶς ἐν τοῖς σοῖς οὕτω γέγονας ῥά-*
10 *θυμος, ὡς καὶ τὰ μεγάλα παραδραμεῖν; «Ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ σου».*

Ὁρᾷς, ὅτι οὐ κωλύει τὸ κρίνειν, ἀλλὰ κελεύει ἐκβάλλειν πρῶτον τὴν δοκὸν ἐκ τοῦ ὀφθαλμοῦ, καὶ τότε τὰ τῶν ἄλλων διορθοῦν; Καὶ γὰρ τὰ ἑαυτοῦ τις μᾶλλον οἶδεν, ἢ τὰ
15 *ἑτέρων· καὶ τὰ μείζονα μᾶλλον ὁρᾷ, ἢ τὰ ἐλάττω· καὶ ἑαυτὸν μᾶλλον φιλεῖ, ἢ τὸν πλησίον. Ὥστε εἰ κηδόμενος ποιεῖς, σαυτοῦ κήδου πρότερον, ἔνθα καὶ σαφέστερον καὶ μεῖζον τὸ ἁμάρτημα. Εἰ δὲ σαυτοῦ καταφρονεῖς, εὔδηλον ὅτι καὶ τὸν ἀδελφὸν οὐ κηδόμενος κρίνεις, ἀλλὰ μισῶν καὶ ἐκπομπεῦσαι*
20 *βουλόμενος. Εἰ γὰρ καὶ δέοι τοῦτον κρίνεσθαι, παρὰ τοῦ μηδὲν τοιοῦτον ἁμαρτάνοντος, οὐ παρὰ σοῦ. Ἐπειδὴ γὰρ μεγάλα καὶ ὑψηλὰ φιλοσοφίας ἐνέθηκε δόγματα, ἵνα μή τις λέγῃ, ὅτι τὰ τοιαῦτα φιλοσοφεῖν λόγοις εὔκολον, δεῖξαι βουλόμενος τὴν παρρησίαν, καὶ τὸ μηδενὶ τῶν εἰρημένων ὑπεύ-*
25 *θυνον εἶναι, ἀλλὰ πάντα κατορθωκέναι, ταύτην εἶπε τὴν παραβολήν. Καὶ γὰρ καὶ αὐτὸς ἔμελλε κρίνειν μετὰ ταῦτα. «Οὐαὶ ὑμῖν, γραμματεῖς καὶ Φαρισαῖοι, ὑποκριταί», λέγων· ἀλλ' οὐκ ἦν ὑπεύθυνος τοῖς εἰρημένοις· οὔτε γὰρ κάρφος*

---

14. Ματθ. 18, 32.
15. Ματθ. 23, 14.

σοῦ τὸ ἐχάρισα»[14]· ἔτσι καὶ ἐδῶ (ἀρχίζει μὲ τὸ) «Ὑποκριτά». Διότι αὐτοῦ τοῦ εἴδους ἡ κρίσις δὲν γίνεται ἀπὸ ἐνδιαφέρον, ἀλλὰ ἀπὸ μισανθρωπίαν· καὶ φέρει μὲν τὸ προσωπεῖον τῆς φιλανθρωπίας, διαπράττει ὅμως πρᾶξιν χειρίστης πονηρίας, ἀποδίδων εἰς τοὺς συνανθρώπους του περιττὰς ὕβρεις καὶ κατηγορίας, καὶ ἁρπάζων τὴν θέσιν τοῦ διδασκάλου, ἐνῷ δὲν εἶναι ἄξιος οὔτε διὰ μαθητής· ἀκριβῶς δι' αὐτὸ τὸν ὠνόμασεν ὑποκριτήν. Διότι σὺ ποὺ εἶσαι τόσον αὐστηρὸς πρὸς τοὺς ἄλλους, ὥστε νὰ βλέπῃς καὶ τὰ μικρὰ παραπτώματα, πῶς δείχνεις τόσην ἀδιαφορίαν διὰ τὰ ἰδικά σου, ὥστε νὰ παραβλέπῃς καὶ τὰ μεγάλα; «Βγάλε πρῶτα τὸ δοκάρι ἀπὸ τὸν ὀφθαλμόν σου».

Βλέπεις ὅτι δὲν ἀπαγορεύει τὸ νὰ κρίνῃ κανείς, ἀλλὰ προτρέπει πρῶτα νὰ βγάζῃ τὸ δοκάρι ἀπὸ τὸν ὀφθαλμόν του καὶ τότε νὰ διορθώνῃ τὰ παραπτώματα τῶν ἄλλων; Καθόσον κανεὶς γνωρίζει καλύτερα τὰ ἰδικά του παρὰ τῶν ἄλλων· καὶ βλέπει καλύτερα τὰ μεγαλύτερα παρὰ τὰ μικρότερα· καὶ ἀγαπᾷ περισσότερον τὸν ἑαυτόν του παρὰ τὸν πλησίον. Ὥστε ἐὰν τὸ κάμνῃς ἀπὸ φροντίδα, φρόντισε πρῶτα τὸν ἑαυτόν σου, ὅπου εἶναι καθαρώτερον καὶ μεγαλύτερον τὸ ἁμάρτημα. Ἐὰν ὅμως ἀδιαφορῇς διὰ τὸν ἑαυτόν σου, εἶναι ὁλοφάνερον ὅτι καὶ τὸν ἀδελφόν σου τὸν κρίνεις ὄχι ἀπὸ φροντίδα, ἀλλὰ ἐπειδὴ τὸν μισεῖς καὶ θέλεις νὰ τὸν ἐξευτελίσῃς. Διότι καὶ ἂν εἶναι ἀνάγκη αὐτὸς νὰ κριθῇ, νὰ μὴ γίνῃ αὐτὸ ἀπὸ σένα, ἀλλὰ ἀπὸ ἐκεῖνον ποὺ δὲν διέπραξε κανένα παρόμοιον ἁμάρτημα. Διότι ἐπειδὴ ὥρισε μεγάλα καὶ ὑψηλὰ δόγματα εὐσεβείας, διὰ νὰ μὴ λέγῃ κανεὶς ὅτι εἶναι εὔκολον νὰ φιλοσοφῇ μὲ λόγια τὰ παρόμοια πράγματα, θέλων νὰ δείξῃ τὴν παρρησίαν του καὶ ὅτι δὲν εἶναι ἔνοχος διὰ κανὲν ἀπὸ ὅσα ἐλέχθησαν, ἀλλ' ὅτι ὅλα τὰ ἔχει ἐπιτύχει, εἶπεν αὐτὴν τὴν παραβολήν. Διότι ἐπρόκειτο καὶ ὁ ἴδιος ἐν συνεχείᾳ νὰ κρίνῃ. Εἶπε λοιπόν· «Ἀλλοίμονόν σας, ὑποκριταὶ γραμματεῖς καὶ Φαρισαῖοι»[15]· ἀλλ' ὅμως δὲν ἦτο ἔνοχος διὰ παρόμοια μ' αὐτὰ ἁμαρτήμα-

ἐξέβαλεν οὔτε δοκὸν εἶχεν ἐπὶ τῶν ὀμμάτων, ἀλλὰ πάντων τούτων ὢν καθαρός, οὕτω τὰ πάντων διώρθου πλημμελήματα. Οὐδὲ γὰρ δεῖ, φησί, κρίνειν ἑτέρους, ὅταν τις τῶν αὐτῶν ὑπεύθυνος ᾖ. Καὶ τί θαυμάζεις, εἰ τὸν νόμον τοῦτον
5 *αὐτὸς ἔθηκεν, ὅπου γε καὶ ὁ λῃστὴς αὐτὸν ἐγίνωσκεν ἐπὶ τοῦ σταυροῦ, τῷ ἑτέρῳ λῃστῇ λέγων· «Οὐδὲ φοβῇ σὺ τὸν Θεόν, ὅτι ἐν τῷ αὐτῷ κρίματί ἐσμεν;»· τὰ αὐτὰ τῷ Χριστῷ νοήματα λέγων. Σὺ δὲ τὴν μὲν σαυτοῦ δοκὸν οὐ μόνον οὐκ ἐκβάλλεις, ἀλλ' οὐδὲ ὁρᾷς· τὸ δὲ ἑτέρου κάρφος οὐ μόνον*
10 *ὁρᾷς, ἀλλὰ καὶ κρίνεις, καὶ ἐκβάλλειν ἐπιχειρεῖς· ὥσπερ εἴ τις ὑδέρῳ συνεχόμενος χαλεπῷ, ἢ καὶ ἑτέρῳ τινὶ νοσήματι ἀνιάτῳ, τούτου μὲν ἀμελοίη, ἐγκαλοίη δὲ ἑτέρῳ φυσήματος ἀμελοῦντι μικροῦ. Εἰ δὲ κακὸν τὸ μὴ ὁρᾶν τὰ ἑαυτοῦ ἁμαρτήματα, διπλοῦν καὶ τριπλοῦν κακὸν τὸ καὶ ἑτέροις δι-*
15 *κάζειν, αὐτοὺς ἀναλγήτως ἐπὶ τῶν ὀφθαλμῶν περιφέροντας τὰς δοκούς. Καὶ γὰρ δοκοῦ βαρύτερον ἁμαρτία.*

3. Ὃ τοίνυν ἐκέλευσε διὰ τῶν εἰρημένων, τοῦτό ἐστι, τὸν ὑπεύθυνον ὄντα μυρίοις κακοῖς μὴ πικρὸν εἶναι δικαστὴν τῶν ἑτέροις πλημμελουμένων, καὶ μάλιστα ὅταν μι-
20 *κρὰ ταῦτα ᾖ· οὐ τὸ ἐλέγχειν, οὐδὲ τὸ διορθοῦν ἀνατρέπων, ἀλλὰ τὸ τῶν οἰκείων ἀμελεῖν κωλύων, καὶ τὸ τοῖς ἀλλοτρίοις ἐνάλλεσθαι. Καὶ γὰρ εἰς μεγάλην ἐπιδιδόναι κακίαν ἐποίει τοῦτο, διπλῆν πονηρίαν εἰσάγον. Ὁ γὰρ μελετήσας ἀμελεῖν μὲν τῶν ἑαυτοῦ μεγάλων ὄντων, ἐξετάζειν δὲ τὰ*
25 *ἑτέρων πικρῶς μικρὰ ὄντα καὶ εὐτελῆ, διπλῇ διεφθείρετο· τῷ τε τῶν οἰκείων καταφρονεῖν, τῷ τε ἔχθρας καὶ ἀπε-*

16. Λουκᾶ 23, 40.

τα· διότι οὔτε καρφὶ ἔβγαζεν, οὔτε δοκάρι εἶχεν εἰς τοὺς ὀφθαλμούς του, ἀλλ' ἐπειδὴ ἦτο καθαρὸς ἀπὸ ὅλα αὐτά, διώρθωνε τὰ ἁμαρτήματα ὅλων τῶν ἄλλων. Διότι, λέγει, οὔτε πρέπει κανεὶς νὰ κρίνῃ ἄλλους, ὅταν ὁ ἴδιος βαρύνεται μὲ τὰ ἴδια ἁμαρτήματα. Καὶ τί ἀπορεῖς, ἐὰν αὐτὸς ἔθεσεν αὐτὸν τὸν νόμον, καθ' ἣν στιγμὴν βέβαια καὶ ὁ λῃστής, ποὺ εὑρίσκετο ἐπάνω εἰς τὸν σταυρὸν τὸν ἐγνώριζε, λέγων εἰς τὸν ἄλλον λῃστήν· «οὔτε φοβᾶσαι σὺ τὸν Θεόν, καθόσον διὰ τὴν ἰδίαν καταδίκην εἴμεθα ἐδῶ;»[16], καὶ διεκήρυττε τὰ ἴδια νοήματα τοῦ Χριστοῦ. Σὺ ὅμως τὸ μὲν ἰδικό σου δοκάρι ὄχι μόνον δὲν τὸ βγάζεις, ἀλλ' οὔτε τὸ βλέπεις, ὅμως τὸ καρφὶ τοῦ ἄλλου ὄχι μόνον τὸ βλέπεις, ἀλλὰ καὶ τὸ κρίνεις καὶ προσπαθεῖς νὰ τὸ βγάλῃς· ὅπως ἀκριβῶς ἐὰν κάποιος πάσχων ἀπὸ φοβερὰν ὑδρωπικίαν ἢ καὶ ἀπὸ κάποιο ἄλλο ἀθεράπευτον νόσημα, ἀδιαφορεῖ μὲν δι' αὐτό, κατηγορεῖ δὲ κάποιον ἄλλον ποὺ ἀδιαφορεῖ διὰ μικρὸν ὄγκον. Ἐὰν δὲ εἶναι κακὸν πρᾶγμα τὸ νὰ μὴ βλέπωμεν τὰ ἰδικά μας ἁμαρτήματα, διπλοῦν καὶ τριπλοῦν κακὸν εἶναι νὰ κρίνωμεν τοὺς ἄλλους, ἐνῷ οἱ ἴδιοι περιφέρομεν χωρὶς νὰ τὸ αἰσθανώμεθα τὰ δοκάρια εἰς τοὺς ὀφθαλμούς μας. Καθόσον ἡ ἁμαρτία εἶναι βαρυτέρα ἀπὸ τὸ δοκάρι.

3. Ἡ ἐντολὴ λοιπὸν ποὺ ἔδωσε διὰ τῶν λεχθέντων σημαίνει τὸ ἑξῆς· αὐτὸς δηλαδὴ ποὺ εἶναι ἔνοχος διὰ μύρια κακὰ δὲν πρέπει νὰ εἶναι αὐστηρὸς δικαστὴς τῶν ἁμαρτημάτων τῶν ἄλλων καὶ πρὸ πάντων ὅταν αὐτὰ εἶναι μικρά· μ' αὐτὸ δὲν καταργεῖ τὸν ἔλεγχον, οὔτε τὴν διόρθωσιν, ἀλλ' ἀπαγορεύει τὸ νὰ ἀδιαφορῇ κανεὶς διὰ τὰ ἰδικά του καὶ νὰ διαλαλῇ τὰ ξένα παραπτώματα. Καθόσον αὐτὸ ἐπροξενοῦσε πολὺ μεγάλην κακίαν, ἀφοῦ εἰσήγαγε διπλῆν πονηρίαν. Διότι αὐτὸς ποὺ φροντίζει νὰ ἀδιαφορῇ μὲν διὰ τὰ ἰδικά του, ἂν καὶ εἶναι μεγάλα, νὰ κρίνῃ δὲ τῶν ἄλλων μὲ αὐστηρότητα, ἂν καὶ εἶναι μικρὰ καὶ ἀσήμαντα, βλάπτεται κατὰ διπλοῦν τρόπον· καὶ μὲ τὸ ὅτι ἀδιαφορεῖ διὰ τὰ ἰδικά του καὶ μὲ τὸ ὅτι ἐπιδεικνύει τὴν ἔχθραν καὶ τὴν ἀποστροφὴν

χθείας πρὸς ἅπαντας ἀναδέχεσθαι, καὶ εἰς ἐσχάτην ὠμότητα καὶ τὸ ἀσυμπαθὲς καθ' ἑκάστην ἀλείφεσθαι τὴν ἡμέραν.

Ταῦτ' οὖν ἅπαντα ἀνελὼν διὰ τῆς καλῆς ταύτης νομο-
5 *θεσίας, ἐπήγαγε πάλιν ἕτερον παράγγελμα, λέγων· «Μὴ δῶτε τὰ ἅγια τοῖς κυσί, μηδὲ ρίψητε τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων». Καίτοιγε προϊών, φησίν, ἐκέλευσεν· «Ὃ ἠκούσατε εἰς τὸ οὖς, κηρύξατε ἐπὶ τῶν δωμάτων». Ἀλλ' οὐδὲ τοῦτο ἐναντίον ἐστὶ τῷ προτέρῳ. Οὐδὲ γὰρ ἐκεῖ πᾶσιν*
10 *ἁπλῶς ἐπέταξεν εἰπεῖν, ἀλλ' οἷς δεῖ εἰπεῖν, μετὰ παρρησίας εἰπεῖν. Κύνας δὲ ἐνταῦθα τοὺς ἐν ἀσεβείᾳ ζῶντας ἀνιάτῳ, καὶ μεταβολῆς τῆς ἐπὶ τὸ κρεῖττον οὐκ ἔχοντας ἐλπίδα ᾐνίξατο, καὶ χοίρους τοὺς ἐν ἀκολάστῳ βίῳ διατρίβοντας διαπαντός, οὕσπερ ἅπαντας ἀναξίους ἔφησεν εἶναι τῆς τοι-*
15 *αύτης ἀκροάσεως. Τοῦτο γοῦν καὶ ὁ Παῦλος δηλῶν ἔλεγε· «Ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος· μωρία γὰρ αὐτῷ ἐστι». Καὶ πολλαχοῦ δὲ ἑτέρωθι βίου διαφθορὰν αἰτίαν φησὶν εἶναι τοῦ μὴ δέχεσθαι τὰ τελειότερα δόγματα. Διὸ κελεύει μὴ ἀναπετάσαι τὰς θύρας αὐτοῖς· καὶ*
20 *γὰρ θρασύτεροι γίνονται μετὰ τὸ μαθεῖν. Τοῖς μὲν γὰρ εὐγνώμοσι καὶ νοῦν ἔχουσιν ἐκκαλυπτόμενα σεμνὰ φαίνεται· τοῖς δὲ ἀναισθήτοις, ὅταν ἀγνοῆται μᾶλλον. Ἐπεὶ οὖν ἀπὸ τῆς φύσεως οὐ δύνανται αὐτὰ καταμαθεῖν, καλυπτέσθωσαν, φησίν, ἵνα κἂν ἀπὸ τῆς ἀγνοίας αἰδεσθῶσιν. Οὐδὲ γὰρ ὁ*
25 *χοῖρος οἶδε, τί ποτέ ἐστι μαργαρίτης. Οὐκοῦν ἐπειδὴ οὐκ οἶδε, μηδὲ ὁράτω, ἵνα μὴ καταπατήσῃ ἃ οὐκ οἶδεν. Οὐδὲν*

---

17. Ματθ. 10, 27.
18. Α' Κορ. 2, 14.

του πρὸς ὅλους γενικῶς καὶ ρυπαίνεται καθημερινῶς μὲ τὴν χειρίστην ὠμότητα καὶ ἀντιπαθητικότητα.

Καταργῶν λοιπὸν ὅλα αὐτὰ μ' αὐτὴν τὴν καλὴν νομοθεσίαν, ἐπρόσθεσε πάλιν ἄλλην ἐντολήν, λέγων· «Μὴ δίδετε τὰ ἅγια εἰς τοὺς σκύλους, οὔτε νὰ ρίπτετε τοὺς μαργαρίτας ἐμπρὸς εἰς τοὺς χοίρους». Μολονότι βέβαια εἰς τὴν συνέχειαν ἔδωσε ἐντολὴν καὶ εἶπεν· «Αὐτὸ ποὺ ἠκούσατε μὲ τὰ αὐτιά σας κρυφὰ νὰ τὸ κηρύξετε ἐπάνω ἀπὸ τὰς στέγας τῶν οἰκιῶν»[17]. Ἀλλ' ὅμως οὔτε αὐτὸ δὲν εἶναι ἀντίθετον μὲ τὸ προηγούμενον. Διότι οὔτε ἐκεῖ διέταξεν εἰς ὅλους γενικῶς νὰ κηρύξουν, ἀλλ' εἰς ὅσους πρέπει νὰ κηρύξουν καὶ μάλιστα νὰ κηρύξουν μὲ θάρρος. Σκύλους δὲ ἐδῶ ὀνομάζει αὐτοὺς ποὺ ζοῦν μέσα εἰς τὴν ἀθεράπευτον ἀσέβειαν καὶ ποὺ ἄφησε νὰ ἐννοηθῇ ὅτι δὲν ἔχουν ἐλπίδα ἀλλαγῆς πρὸς τὸ καλύτερον, χοίρους δὲ αὐτοὺς ποὺ συνεχῶς ζοῦν ζωὴν ἁμαρτωλήν, διὰ τοὺς ὁποίους βέβαια δι' ὅλους γενικῶς εἶπεν ὅτι εἶναι ἀνάξιοι αὐτῆς τῆς διδασκαλίας. Αὐτὸ λοιπὸν δηλώνων καὶ ὁ Παῦλος ἔλεγεν· «Ὁ δὲ ψυχικὸς ἄνθρωπος δὲν δέχεται τὰ τοῦ πνεύματος· διότι τὰ θεωρεῖ ὡς μωρίαν»[18]. Καὶ εἰς πολλὰς δὲ ἄλλας περιπτώσεις λέγει ὅτι ἡ διεφθαρμένη ζωὴ εἶναι ἡ αἰτία τοῦ νὰ μὴ δέχεται κανεὶς τὰ τελειότερα δόγματα. Διὰ τοῦτο προτρέπει νὰ μὴ ἀνοίγῃ κανεὶς τὰς θύρας εἰς αὐτούς, καθόσον γίνονται περισσότερον θρασεῖς ὅταν τὰ μάθουν. Διότι εἰς αὐτοὺς μὲν ποὺ εἶναι εὐγνώμονες καὶ εἶναι λογικοὶ φαίνονται ἀποκαλυπτόμενα τὰ δόγματα σεμνά, εἰς αὐτοὺς ὅμως ποὺ εἶναι ἀναίσθητοι εἶναι προτιμότερον νὰ μὴ τὰ γνωρίζουν. Ἐπειδὴ λοιπὸν ὡς ἐκ τῆς φύσεώς των δὲν ἠμποροῦν νὰ τὰ κατανοήσουν αὐτά, λέγει νὰ ἀποκρύπτωνται, μήπως καὶ τυχὸν τὰ σεβασθοῦν ἐξ αἰτίας τῆς ἀγνοίας των. Διότι οὔτε ὁ χοῖρος γνωρίζει ποία τέλος πάντων εἶναι ἡ ἀξία τοῦ μαργαρίτη. Ἐπειδὴ λοιπὸν δὲν γνωρίζει, οὔτε πρέπει νὰ τὸ βλέπῃ, διὰ νὰ μὴ καταπατήσῃ αὐτὰ ποὺ δὲν γνωρίζει. Διότι δὲν ἔχουν καμμίαν ὠφέλειαν, παρὰ μεγαλυτέραν ζημίαν αὐτοὶ ποὺ τὰ

γὰρ γίνεται πλέον, ἡ βλάβη μείζων τοῖς οὕτω διακειμένοις καὶ ἀκούουσι. Καὶ γὰρ τὰ ἅγια ἐμπαροινεῖται παρ' ἐκείνων, οὐκ εἰδότων τίνα ἐστὶ ταῦτα· καὶ ἐκεῖνοι μᾶλλον ἐπαίρονται καὶ ὁπλίζονται καθ' ἡμῶν. Τοῦτο γάρ ἐστι· «Μὴ καταπατήσωσι, καὶ στραφέντες ῥήξωσιν ὑμᾶς».

Καὶ μὴν οὕτως ἰσχυρὰ ἔδει εἶναι, φησίν, ὡς καὶ μετὰ τὸ μαθεῖν ἀνάλωτα μένειν, καὶ μὴ παρέχειν ἑτέροις λαβὰς καθ' ἡμῶν. Ἀλλ' οὐκ ἐκεῖνα παρέχει, ἀλλὰ τὸ χοίρους εἶναι τούτους· ὥσπερ οὖν καὶ ὁ μαργαρίτης καταπατούμενος, οὐκ ἐπειδὴ εὐκαταφρόνητός ἐστι, καταπατεῖται, ἀλλ' ἐπειδὴ εἰς χοίρους ἐνέπεσε. Καὶ καλῶς εἶπε· «Στραφέντες ῥήξωσιν». Ὑποκρίνονται γὰρ ἐπιείκειαν, ὥστε μαθεῖν· εἶτα ἐπειδὰν μάθωσιν, ἕτεροι ἀνθ' ἑτέρων γενόμενοι κωμῳδοῦσι, χλευάζουσι, γελῶσιν ὡς ἀπατηθέντας ἡμᾶς. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγε τῷ Τιμοθέῳ· «Ὃν καὶ σὺ φυλάσσου· λίαν γὰρ ἀνθέστηκε τοῖς ἡμετέροις λόγοις»· καὶ πάλιν ἀλλαχοῦ· «Τοὺς τοιούτους ἀποτρέπου»· καί· «Αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ δευτέραν νουθεσίαν παραιτοῦ». Οὐ τοίνυν παρ' ἐκείνων ὁπλίζονται, ἀλλ' αὐτοὶ ἀνόητοι ταύτῃ γίνονται, πλείονος ἀπονοίας πληρούμενοι. Διὰ τοῦτο οὐ μικρὸν κέρδος τὸ ἐν ἀγνοίᾳ μένειν αὐτούς· οὐδὲ γὰρ οὕτω καταφρονοῦσιν. Ἂν δὲ μάθωσι, διπλῆ ἡ ζημία. Αὐτοί τε γὰρ οὐδὲν ἐντεῦθεν καρπώσονται, ἀλλὰ καὶ βλαβήσονται μειζόνως, καὶ σοὶ μυρία παρέξουσι πράγματα.

Ἀκουέτωσαν οἱ πᾶσιν ἀναιδῶς συμπλεκόμενοι, καὶ τὰ σεμνὰ εὐκαταφρόνητα ποιοῦντες. Καὶ γὰρ τὰ μυστήρια διὰ

19. Β' Τιμ. 4, 15.
20. Β' Τιμ. 3, 5.
21. Τίτ. 3, 10.

ἀκούουν καὶ ζοῦν μὲ τέτοιαν ψυχικὴν διάθεσιν. Καθόσον τὰ ἅγια ἐμπαίζονται ἀπὸ ἐκείνους, ἐπειδὴ δὲν γνωρίζουν ποία εἶναι ἡ ἀξία αὐτῶν, καὶ ἐκεῖνοι δὲ γίνονται περισσότερον ἀλαζόνες καὶ ὁπλίζονται ἐναντίον μας. Αὐτὸ λοιπὸν σημαίνει τὸ «Μήπως καὶ τὰ καταπατήσουν καὶ ἀφοῦ στραφοῦν ξεσχίσουν καὶ σᾶς».

Καὶ ὅμως, θὰ εἰπῇ κάποιος, ἔπρεπεν αἱ ἀλήθειαι τῆς πίστεως νὰ εἶναι τόσον ἰσχυραί, ὥστε νὰ παραμένουν καὶ μετὰ τὴν ἐκμάθησιν ἀπρόσβληται καὶ νὰ μὴ δίδουν ἀφορμὰς εἰς ἄλλους ἐναντίον μας. Ὄχι, δὲν δίδουν ἐκεῖναι ἀφορμάς, ἀλλ' ἐπειδὴ αὐτοὶ εἶναι χοῖροι. Ὅπως ἀκριβῶς λοιπὸν καὶ ὁ μαργαρίτης ὅταν καταπατῆται, δὲν καταπατεῖται ἐπειδὴ εἶναι ἄξιος περιφρονήσεως, ἀλλ' ἐπειδὴ ἔπεσεν εἰς τοὺς χοίρους. Καὶ καλῶς εἶπε, «Μήπως στραφοῦν καὶ σᾶς ξεσχίσουν». Διότι ὑποκρίνονται ἐπιείκειαν μέχρι νὰ τὰς γνωρίσουν· ἔπειτα ὅταν τὰς γνωρίσουν ἀλλάζουν τότε ὄψιν καὶ τὰ ἐμπαίζουν, τὰ χλευάζουν, τὰ περιγελοῦν, ὡσὰν νὰ μᾶς ἔχουν ἐξαπατήσει. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγε, γράφων εἰς τὸν Τιμόθεον· «Ἀπὸ τὸν ὁποῖον καὶ σὺ νὰ προφυλάσσεσαι· διότι ἀντεστάθη πολὺ εἰς τοὺς λόγους μας»[19]· καὶ ἀλλοῦ πάλιν· «Αὐτοῦ τοῦ εἴδους τοὺς ἀνθρώπους νὰ τοὺς ἀποφεύγῃς»[20]· καί· «Τὸν αἱρετικὸν ἄνθρωπον νὰ τὸν ἀφήνῃς μετὰ ἀπὸ τὴν πρώτην καὶ δευτέραν συμβουλήν»[21]. Ἑπομένως δὲν ὁπλίζονται ἀπὸ τὰ δόγματα τῆς πίστεως, ἀλλ' οἱ ἴδιοι γίνονται ἐξ αἰτίας αὐτῆς τῆς νουθεσίας ἀνόητοι, καὶ καταλαμβάνονται ἀπὸ περισσοτέραν ἀπόγνωσιν. Διὰ τοῦτο δὲν εἶναι μικρὸν τὸ κέρδος τὸ νὰ παραμένουν αὐτοὶ εἰς ἄγνοιαν· διότι ἔτσι δὲν τὰ περιφρονοῦν. Ἂν ὅμως τὰ μάθουν ἡ ζημία εἶναι διπλῆ. Διότι καὶ αὐτοὶ δὲν θὰ καρπωθοῦν τίποτε ἀπ' αὐτό, ἀλλὰ καὶ θὰ ζημιωθοῦν ἀκόμη περισσότερον καὶ εἰς σὲ θὰ προξενήσουν μυρίας δυσκολίας.

Ἂς τὰ ἀκούσουν αὐτὰ αὐτοὶ ποὺ πλησιάζουν ὅλους γεμᾶτοι ἀπὸ ἀδιαντροπία καὶ καταφρονοῦν τὰ σεμνὰ πράγματα. Καὶ βέβαια διὰ τοῦτο ἐπιτελοῦμεν τὰ μυστήρια μὲ

τοῦτο τὰς θύρας κλείοντες ἐπιτελοῦμεν, καὶ τοὺς ἀμυήτους εἴργομεν, οὐκ ἐπειδὴ ἀσθένειαν κατέγνωμεν τῶν τελουμένων, ἀλλ' ἐπειδὴ ἀτελέστερον οἱ πολλοὶ πρὸς αὐτὰ ἔτι διάκεινται. Διὰ δὴ τοῦτο καὶ αὐτὸς ἐν παραβολαῖς πολλὰ τοῖς
5 *Ἰουδαίοις διελέγετο, ἐπειδὴ βλέποντες οὐκ ἔβλεπον. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἐκέλευσεν εἰδέναι, πῶς δεῖ ἑνὶ ἑκάστῳ ἀποκρίνεσθαι.*

«Αἰτεῖτε καὶ δοθήσεται ὑμῖν· ζητεῖτε, καὶ εὑρήσετε· κρούετε, καὶ ἀνοιγήσεται ὑμῖν». Ἐπειδὴ γὰρ μεγάλα ἐπέ-
10 *ταξε καὶ θαυμαστά, καὶ πάντων ἐκέλευσε τῶν παθῶν εἶναι ἀνωτέρους, καὶ πρὸς αὐτὸν ἤγαγε τὸν οὐρανόν, καὶ σπουδάζειν ἐπέταξεν, οὐκ ἀγγέλοις, οὐδὲ ἀρχαγγέλοις, ἀλλ' αὐτῷ τῷ τῶν ὅλων Δεσπότῃ κατὰ τὸ ἐγχωροῦν ὁμοίους γίνεσθαι, τοὺς δὲ μαθητὰς οὐκ αὐτοὺς μόνους ταῦτα κατορθοῦν,*
15 *ἀλλὰ καὶ ἑτέρους διορθοῦν ἐκέλευσε, καὶ διακρίνειν τοὺς πονηροὺς καὶ τοὺς οὐ τοιούτους, τοὺς κύνας καὶ τοὺς οὐ κύνας, (πολὺ δὲ τὸ ἐπικεκρυμμένον ἐν ἀνθρώποις), ἵνα μὴ λέγωσιν, ὅτι χαλεπὰ ταῦτα καὶ ἀφόρητα. Καὶ γὰρ ἐν τοῖς μετὰ ταῦτα ὁ Πέτρος ἐφθέγξατό τι τοιοῦτον εἰπών· «Τίς*
20 *δύναται σωθῆναι;». Καὶ πάλιν· «Εἰ οὕτως ἐστὶν ἡ αἰτία τοῦ ἀνθρώπου, οὐ συμφέρει γαμῆσαι».*

4. Ἵνα οὖν μὴ ταῦτα λέγωσι καὶ νῦν, μάλιστα μὲν καὶ διὰ τῶν ἔμπροσθεν ἀπέδειξεν εὔκολα ὄντα, λογισμοὺς τιθεὶς πολλοὺς καὶ συνεχεῖς, τοὺς δυναμένους πεῖσαι· λοιπὸν
25 *δὲ καὶ τὴν κορωνίδα ἐπάγει τῆς εὐκολίας, οὐ τὴν τυχοῦσαν ἐπινοῶν παραμυθίαν τοῖς πόνοις, τὴν ἀπὸ τῶν εὐχῶν τῶν καρτερικῶν συμμαχίαν. Οὐ γὰρ αὐτοὺς σπουδάζειν δεῖ μό-*

---

22. Ματθ. 19, 25.
23. Ματθ. 19, 10.

κλειστὰς τὰς θύρας καὶ ἀπομακρύνομεν τοὺς ἀμυήτους, ὄχι ἐπειδὴ ἀποδίδομεν ἀδυναμίαν εἰς αὐτὰ ποὺ ἐπιτελοῦνται, ἀλλ' ἐπειδὴ οἱ περισσότεροι ἄνθρωποι εἶναι ἀκόμη ἀτελεῖς διὰ νὰ τὰ κατανοήσουν. Διὰ τοῦτο βέβαια καὶ ὁ Χριστὸς πολλὲς φορὲς ἐδίδασκε μὲ παραβολὰς εἰς τοὺς Ἰουδαίους, ἐπειδὴ ἂν καὶ ἔβλεπαν, ἐν τούτοις δὲν κατενόουν. Διὰ τοῦτο καὶ ὁ Παῦλος προέτρεπε νὰ γνωρίζῃ πῶς πρέπει νὰ ἀπαντᾷ εἰς τὸν καθένα χωριστά.

«Νὰ ζητῆτε μὲ ἐπιμονὴν καὶ θὰ σᾶς δοθῇ· νὰ ἐρευνᾶτε καὶ θὰ εὕρετε· νὰ κτυπᾶτε τὴν θύραν καὶ θὰ σᾶς ἀνοιχθῇ». Ἐπειδὴ λοιπὸν ἐπρόσταξε μεγάλα καὶ θαυμαστὰ πράγματα, καὶ προέτρεψε νὰ εἶναι ἀνώτεροι ἀπὸ ὅλα τὰ πάθη καὶ τοὺς ὡδήγησε καὶ πρὸς αὐτὸν τὸν οὐρανόν, καὶ ἔδωσε ἐντολὴν νὰ προσπαθοῦν νὰ γίνουν ὅμοιοι, κατὰ τὸ δυνατόν, ὄχι μὲ τοὺς ἀγγέλους, οὔτε μὲ τοὺς ἀρχαγγέλους, ἀλλὰ μ' αὐτὸν τὸν Δεσπότην τῶν ὅλων, τοὺς δὲ μαθητάς του προέτρεψε νὰ ἐφαρμόζουν ὄχι μόνον αὐτά, ἀλλ' ἔδωσε ἐντολὴν καὶ ἄλλους νὰ διορθώνουν, καὶ νὰ ξεχωρίζουν τοὺς πονηροὺς ἀπὸ αὐτοὺς ποὺ δὲν εἶναι πονηροί, τοὺς σκύλους ἀπὸ αὐτοὺς ποὺ δὲν εἶναι σκύλοι (πολλὰ δὲ εἶναι αὐτὰ ποὺ ἔχουν ἀποκρυβῆ ἀπὸ τοὺς ἀνθρώπους), διὰ νὰ μὴ λέγουν ὅτι αὐτὰ εἶναι δύσκολα καὶ δυσβάστακτα. Διότι καὶ ὁ Πέτρος εἰς τὴν συνέχειαν διετύπωσε κάτι παρόμοιον, λέγων· «Ποῖος ἠμπορεῖ νὰ σωθῇ;»[22]· καὶ πάλιν· «Ἐὰν πράγματι ἔτσι ἔχουν τὰ πράγματα διὰ τὸν ἄνδρα, δὲν συμφέρει νὰ συνάψῃ γάμον»[23].

4. Διὰ νὰ μὴ λέγουν λοιπὸν αὐτὰ καὶ τώρα, καθόσον βέβαια μὲ ὅσα εἶπε προηγουμένως ἀπέδειξεν ὅτι εἶναι εὔκολαι αἱ ἐντολαί του, θέτων πολλοὺς καὶ ἰσχυροὺς συλλογισμούς, ποὺ εἶχαν τὴν δύναμιν νὰ πείσουν, εἰς τὴν συνέχειαν προσθέτει καὶ τὸ ἀποκορύφωμα τῆς εὐκολίας, ἐφευρίσκων ὄχι τυχαίαν παρηγορίαν εἰς τοὺς κόπους, ἤτοι τὴν συμμαχίαν ποὺ προέρχεται ἀπὸ τὰς ἐπιμόνους προσευχάς. Διότι, λέγει, δὲν πρέπει οἱ ἴδιοι νὰ προσπαθοῦν μόνον, ἀλλὰ

νους, φησίν, ἀλλὰ καὶ τὴν ἄνωθεν καλεῖν βοήθειαν· καὶ πάντως ἥξει καὶ παρέσται καὶ συνεφάψεται τῶν ἀγώνων ἡμῖν καὶ πάντα ποιήσει ῥάδια. Διὰ τοῦτο καὶ αἰτεῖν ἐκέλευσε, καὶ τὴν δόσιν ἐνηγγυήσατο. Πλὴν οὐχ ἁπλῶς αἰτεῖν
5 *ἐκέλευσεν, ἀλλὰ μετὰ προσεδρείας πολλῆς καὶ εὐτονίας. Τοῦτο γάρ ἐστι τό, ζητεῖτε. Καὶ γὰρ ὁ ζητῶν, πάντα ἐκβαλὼν τῆς διανοίας, πρὸς ἐκεῖνο γίνεται μόνον τὸ ζητούμενον, καὶ οὐδένα τῶν παρόντων ἐννοεῖ. Καὶ ἴσασι τοῦτο ὃ λέγω, ὅσοι ἢ χρυσίον ἢ οἰκέτας ἀπολέσαντες ἐπιζητοῦσιν. Ἀπὸ μὲν*
10 *οὖν τοῦ ζητεῖν, τοῦτο· ἀπὸ δὲ τοῦ κρούειν, τὸ μετὰ σφοδρότητος προσιέναι καὶ θερμῆς διανοίας ἐδήλωσε. Μὴ τοίνυν καταπέσῃς, ἄνθρωπε, μηδὲ ἐλάττονα ἐπιδείξῃ περὶ τὴν ἀρετὴν σπουδὴν τῆς περὶ τὰ χρήματα ἐπιθυμίας. Ἐκεῖνα μὲν γὰρ πολλάκις ζητήσας οὐχ εὗρες· ἀλλ' ὅμως καὶ ταῦτα*
15 *εἰδώς, ὅτι οὐ πάντως εὑρήσεις, πάντα κινεῖς ἐρεύνης τρόπον· ἐνταῦθα δὲ καὶ ἐπαγγελίαν ἔχων ὅτι λήψῃ πάντως, οὐδὲ τὸ πολλοστὸν τῆς σπουδῆς ἐκείνης ἐπιδείκνυσαι μέρος. Εἰ δὲ μὴ εὐθέως λαμβάνεις, μηδὲ οὕτως ἀπογνῷς. Διὰ γὰρ τοῦτο εἶπε, κρούετε, ἵνα δείξῃ ὅτι κἂν εὐθέως μὴ ἀνοί-*
20 *ξῃ τὴν θύραν, παραμένειν δεῖ. Εἰ δὲ ἀπιστεῖς μου τῇ ἀποφάσει, κἂν τῷ ὑποδείγματι πίστευσον. «Τίς γάρ ἐστιν ἐξ ὑμῶν», φησίν, «ὃν ὁ υἱὸς αὐτοῦ αἰτήσει ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ;». Ἐπ' ἀνθρώπων μὲν γάρ, ἂν συνεχῶς τοῦτο ποιῇς, καὶ ὀχληρὸς καὶ βαρὺς εἶναι δοκεῖς· ἐπὶ δὲ τοῦ*
25 *Θεοῦ, ὅταν μὴ τοῦτο ποιῇς, τότε παροξύνεις μειζόνως. Ἂν δὲ ἐπιμένῃς αἰτῶν, κἂν μὴ εὐθέως λάβῃς, λήψῃ πάντως.*

νὰ ζητοῦν καὶ τὴν ἄνωθεν βοήθειαν· καὶ ὁπωσδήποτε θὰ ἔλθῃ κοντά μας καὶ θὰ μᾶς συμπαρασταθῇ καὶ θὰ μᾶς βοηθήσῃ καὶ ὅλα θὰ τὰ κάμῃ εὔκολα. Διὰ τοῦτο ἔδωσεν ἐντολὴν καὶ νὰ ζητοῦμεν καὶ παρέσχε διαβεβαιώσεις ὅτι θὰ μᾶς δώσῃ. Πλὴν ὅμως ἐπρόσταξεν ὄχι ἁπλῶς νὰ ζητοῦμεν, ἀλλὰ μὲ πολλὴν ἐπιμονὴν καὶ δύναμιν. Διότι αὐτὴ εἶναι ἡ σημασία τοῦ «Νὰ ζητῆτε». Καθόσον αὐτὸς ποὺ ζητεῖ, ἀφοῦ ἐκδιώξῃ ἀπὸ τὴν σκέψιν του ὅλα, ἀποβλέπει μόνον πρὸς ἐκεῖνο ποὺ ἐπιζητεῖ καὶ δὲν σκέπτεται τίποτε ἀπὸ τὰ παρόντα. Καὶ αὐτὸ ποὺ λέγω τὸ γνωρίζουν ὅσοι ψάχνουν νὰ εὕρουν τὰ χρήματα ἢ τοὺς ὑπηρέτας ποὺ τοὺς ἔχασαν. Καὶ αὐτὰ λοιπὸν σχετικῶς μὲ τὸ νὰ ζητῇ κανείς· σχετικῶς δὲ μὲ τὸ νὰ κτυπᾷ κανεὶς τὴν θύραν εἶπεν ὅτι πρέπει νὰ προσέρχεται κανεὶς μὲ ὁρμητικότητα καὶ θερμὴν διάθεσιν. Ἑπομένως μὴ δείξῃς, ἄνθρωπέ μου, ἀδιαφορίαν, οὔτε νὰ ἐπιδείξῃς μικρότερον ἐνδιαφέρον διὰ τὴν ἀρετήν, ἀπὸ τὴν ἐπιθυμίαν διὰ τὰ χρήματα. Διότι ἐκεῖνα μὲν πολλὲς φορὲς ἂν καὶ τὰ ἐζήτησες δὲν τὰ εὗρες· ἀλλ' ὅμως ἂν καὶ γνωρίζεις ὅτι δὲν θὰ τὰ εὕρῃς ὁπωσδήποτε, ἐν τούτοις χρησιμοποιεῖς κάθε τρόπον ἐρεύνης· εἰς αὐτὴν ὅμως τὴν περίπτωσιν ἂν καὶ ἔχεις καὶ ὑπόσχεσιν, ὅτι ἐξάπαντος θὰ τὰ λάβῃς, δὲν ἐπιδεικνύεις οὔτε τὸ ἐλάχιστον μέρος ἐκείνου τοῦ ἐνδιαφέροντος. Ἐὰν δὲ δὲν λαμβάνῃς ἀμέσως δὲν πρέπει νὰ ἀπογοητευθῇς ἔτσι. Διότι διὰ τοῦτο εἶπε 'κρούετε', διὰ νὰ δείξῃ ὅτι καὶ ἂν δὲν ἀνοίξῃ ἀμέσως τὴν θύραν, πρέπει νὰ παραμένετε εἰς τὴν θέσιν σας. Ἐὰν δὲ δὲν πιστεύῃς εἰς τὴν ὑπόσχεσίν μου, πίστευσε τοὐλάχιστον εἰς τὸ παράδειγμα. «Διότι ποῖος ἀπὸ σᾶς εἶναι ἐκεῖνος», λέει, «ἀπὸ τὸν ὁποῖον ἐὰν θὰ ζητήσῃ ὁ υἱός του ἄρτον θὰ τοῦ δώσει λίθον;». Διότι ἐὰν μὲν αὐτὸ τὸ κάνῃς συνεχῶς πρὸς ἀνθρώπους νομίζεις ὅτι γίνεσαι καὶ ἐνοχλητικὸς καὶ βαρετός, ὅταν ὅμως αὐτὸ δὲν τὸ κάνῃς πρὸς τὸν Θεόν, τότε τὸν ἐξοργίζεις πάρα πολύ. Ἂν δὲ ἐπιμένῃς ὅταν ζητῇς, καὶ ἂν ἀκόμη δὲν λάβῃς ἀμέσως, ὁπωσδήποτε ὅμως θὰ λάβῃς. Διότι ἀκριβῶς δι'

Διὰ γὰρ τοῦτο κέκλεισται ἡ θύρα, ἵνα σε εἰς τὸ κρούειν ἐναγάγῃ· διὰ τοῦτο οὐκ εὐθέως ἐπινεύει, ἵνα αἰτήσῃς. Μένε τοίνυν ταῦτα ποιῶν, καὶ λήψῃ πάντως.

Ἵνα γὰρ μὴ λέγῃς· τί οὖν, ἂν αἰτήσω καὶ μὴ λάβω; 5 *ἐπετείχισέ σοι τὴν παραβολήν, λογισμοὺς πάλιν τιθείς, καὶ ἀπὸ τῶν ἀνθρωπίνων πραγμάτων εἰς τὸ περὶ τούτων θαρρεῖν ἐνάγων· δεικνὺς διὰ τούτων, ὅτι οὐκ αἰτεῖν χρὴ μόνον, ἀλλὰ καὶ ἃ χρὴ αἰτεῖν. «Τίς γάρ ἐστιν ἐξ ὑμῶν πατήρ, ὃν ὁ υἱὸς αὐτοῦ αἰτήσει ἄρτον, μὴ λίθον ἐπιδώσει αὐτῷ;». Ὥστε* 10 *ἂν μὴ λάβῃς, ἐπειδὴ λίθον αἰτεῖς, οὐ λαμβάνεις. Εἰ γὰρ καὶ υἱὸς εἶ, οὐκ ἀρκεῖ τοῦτο εἰς τὸ λαβεῖν· ἀλλὰ καὶ αὐτὸ μὲν οὖν τοῦτο κωλύει τὸ λαβεῖν, τὸν υἱὸν ὄντα, ἃ μὴ συμφέρει, αἰτεῖν. Καὶ σὺ τοίνυν μηδὲν αἰτήσῃς κοσμικόν, ἀλλὰ πνευματικὰ πάντα, καὶ λήψῃ πάντως. Καὶ γὰρ ὁ Σολομῶν,* 15 *ἐπειδήπερ ᾔτησεν ἅπερ αἰτῆσαι ἐχρῆν, ὅρα πῶς ταχέως ἔλαβε. Δύο τοίνυν εἶναι χρὴ τῷ εὐχομένῳ, καὶ τὸ αἰτεῖν σφοδρῶς, καὶ τὸ ἃ χρὴ αἰτεῖν· ἐπεὶ καὶ ὑμεῖς, φησί, κἂν πατέρες ἦτε, μένετε αἰτῆσαι τοὺς υἱούς· κἂν ἀσύμφορόν τι παρ᾽ ὑμῶν αἰτήσωσι, κωλύετε τὴν δόσιν· ὥσπερ οὖν ἐὰν* 20 *συμφέρον, ἐπινεύετε καὶ παρέχετε.*

Καὶ σὺ ταῦτα ἐννοῶν, μὴ ἀποστῇς, ἕως ἂν λάβῃς· ἕως ἂν εὕρῃς, μὴ ἀναχωρήσῃς· μὴ καταλύσῃς τὴν σπουδήν, ἕως ἂν ἀνοιχθῇ ἡ θύρα. Ἐὰν γὰρ μετὰ ταύτης προσέλθῃς τῆς διανοίας, καὶ εἴπῃς, ἐὰν μὴ λάβω, οὐκ ἀπέρχομαι, λήψῃ 25 *πάντως, ἐὰν τοιαῦτα αἰτῇς, οἷα καὶ τῷ αἰτουμένῳ δοῦναι*

αὐτὸ ἔχει κλείσει ἡ πόρτα, διὰ νὰ σὲ προτρέψῃ εἰς τὸ νὰ κτυπᾷς· διὰ τοῦτο δὲν σοῦ δίδει ἀμέσως, διὰ νὰ ζητήσῃς. Ἐπέμενε λοιπὸν νὰ κάμνῃς αὐτὸ καὶ θὰ λάβῃς ὁπωσδήποτε.

Διὰ νὰ μὴ μοῦ λέγῃς ὅμως· Τί λοιπόν, ἂν ζητήσω καὶ δὲν λάβω; σὲ περιεφρούρησε μὲ αὐτὴν τὴν παραβολήν, ἀφοῦ πάλιν ἔθεσε συλλογισμούς, καὶ σὲ ὡδήγησεν ἔτσι, βάσει τῶν ἀνθρωπίνων πραγμάτων, νὰ ἔχῃς ἐμπιστοσύνην καὶ δι' αὐτά· καὶ ἀπέδειξε μὲ αὐτά, ὅτι δὲν πρέπει μόνον νὰ ζητῇ κανείς, ἀλλὰ καὶ ὅτι πρέπει νὰ ζητῇ αὐτὰ ποὺ πρέπει. «Διότι ποῖος πατέρας ἀπὸ σᾶς εἶναι ἐκεῖνος ὁ ὁποῖος ἐὰν ὁ υἱός του τοῦ ζητήσῃ ἄρτον θὰ τοῦ δώσῃ λίθον;». Ὥστε ἐὰν δὲν λάβῃς, δὲν λαμβάνεις ἐπειδὴ ζητεῖς λίθον. Διότι καὶ ἂν ἀκόμη εἶσαι καὶ υἱός, δὲν εἶναι αὐτὸ ἀρκετὸν διὰ νὰ λάβῃς· ἀλλὰ καὶ αὐτὸν τοῦτο εἶναι ἐκεῖνο ποὺ τὸν ἐμποδίζει νὰ λάβῃ, τὸ ὅτι ζητεῖ, ἂν καὶ εἶναι υἱός, αὐτὰ ποὺ δὲν τοῦ συμφέρουν. Καὶ σὺ λοιπὸν νὰ μὴ ζητήσῃς τίποτε τὸ ἐγκόσμιον, ἀλλ' ὅλα τὰ αἰτήματά σου νὰ εἶναι πνευματικὰ καὶ νὰ εἶσαι βέβαιος πὼς θὰ λάβῃς ὁπωσδήποτε. Διότι καὶ ὁ Σολομῶν ἐπειδὴ ἀκριβῶς ἐζήτησεν αὐτὰ ἀκριβῶς ποὺ ἔπρεπε νὰ ζητήσῃ, βλέπε πῶς τὰ ἔλαβε ἀμέσως. Δύο λοιπὸν πρέπει νὰ εἶναι τὰ χαρακτηριστικὰ τοῦ προσευχομένου, καὶ τὸ νὰ ζητῇ μὲ ἐπιμονὴν μεγάλην, καὶ τὸ νὰ ζητῇ αὐτὰ ποὺ πρέπει· διότι καὶ σεῖς, λέγει, καὶ ἂν ἀκόμη εἶσθε πατέρες, περιμένετε νὰ σᾶς ζητήσουν οἱ υἱοί σας· καὶ ἂν ζητήσουν ἀπὸ σᾶς κάτι ἀσύμφορον, δὲν τοὺς τὸ δίδετε, ὅταν ὅμως κρίνετε ὅτι εἶναι συμφέρον συγκατατίθεσθε καὶ τὸ δίδετε.

Ἀφοῦ καὶ σὺ τὰ κατανοήσῃς αὐτὰ μὴ σταματήσῃς νὰ ζητῇς μέχρις ὅτου νὰ λάβῃς· μὴ ἀναχωρήσῃς μέχρις ὅτου νὰ εὕρῃς· μὴ ἐγκαταλείψῃς τὴν προσπάθειαν, μέχρι ποὺ νὰ ἀνοίξῃ ἡ θύρα. Διότι ἐὰν προσέλθῃς μὲ αὐτὴν τὴν διάθεσιν καὶ εἴπῃς, 'Ἐὰν δὲν λάβω δὲν φεύγω', θὰ λάβῃς ὁπωσδήποτε, ἐὰν ζητῇς τέτοια πράγματα, ποὺ καὶ πρέπει νὰ τὰ δώσῃ αὐτὸς ποὺ τοῦ τὰ ζητεῖς καὶ συμφέρουν εἰς σὲ ποὺ τὰ ζητεῖς. Ποῖα λοιπὸν εἶναι αὐτά; Τὸ νὰ ζητῇς ὅλα γενικῶς

πρέπει καὶ σοὶ τῷ αἰτοῦντι συμφέρει. Τίνα δέ ἐστι ταῦτα; Τὸ τὰ πνευματικὰ ζητεῖν ἅπαντα· τὸ ἀφέντα τοῖς πεπλημμεληκόσιν, οὕτω προσιέναι τὴν ἄφεσιν αἰτοῦντα· τὸ χωρὶς ὀργῆς καὶ διαλογισμῶν χεῖρας ἐπαίρειν ὁσίους. Ἂν οὕτως 5 *αἰτῶμεν, ληψόμεθα. Ὡς νῦν γε γέλως ἐστὶν ἡ αἴτησις ἡμῶν, καὶ μεθιόντων ἀνθρώπων ἢ νηφόντων. Τί οὖν, φησίν, ὅταν καὶ πνευματικὰ αἰτήσω, καὶ μὴ λάβω; Οὐ μετὰ σπουδῆς ἔκρουσας πάντως, ἢ σαυτὸν ἀνάξιον παρεσκεύασας τοῦ λαβεῖν, ἢ ταχέως ἀπέστης. Καὶ τίνος ἕνεκεν, φησί, μὴ εἶ-* 10 *πεν ἃ χρὴ αἰτεῖν; Καὶ μὴν εἶπεν ἅπαντα ἐν τοῖς ἔμπροσθεν, καὶ ἔδειξεν ὑπὲρ τίνων χρὴ προσιέναι. Μὴ τοίνυν λέγε, ὅτι προσῆλθον, καὶ οὐκ ἔλαβον. Οὐδαμοῦ γὰρ παρὰ τὸν Θεὸν τὸ μὴ λαβεῖν, τὸν οὕτω φιλοῦντα, ὡς καὶ πατέρας νικῆσαι, καὶ τοσοῦτον νικῆσαι, ὅσον τὴν πονηρίαν ταύτην ἡ ἀγαθότης.* 15 *«Εἰ γὰρ ὑμεῖς, πονηροὶ ὄντες, οἴδατε δόματα ἀγαθὰ διδόναι τοῖς τέκνοις ὑμῶν, πόσῳ μᾶλλον ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος». Ταῦτα δὲ ἔλεγεν, οὐ διαβάλλων τὴν ἀνθρωπίνην φύσιν, οὐδὲ κακίζων τὸ γένος, ἀλλὰ πρὸς ἀντιδιαστολὴν τῆς ἀγαθότητος τῆς αὐτοῦ, τὴν φιλοστοργίαν τὴν πατρικὴν πονηρίαν καλῶν·* 20 *τοσαύτη αὐτοῦ τῆς φιλανθρωπίας ἡ ὑπερβολή.*

5. Εἶδες λογισμὸν ἀπόρρητον, ἱκανὸν καὶ τὸν σφόδρα ἀπεγνωκότα πρὸς χρηστὰς διαναστῆσαι ἐλπίδας; Ἐνταῦθα μὲν οὖν ἀπὸ τῶν πατέρων τὴν ἀγαθότητα δείκνυσιν· ἐν δὲ τοῖς ἔμπροσθεν ἀπὸ τῶν μειζόνων ὧν ἔδωκεν, ἀπὸ τῆς ψυ- 25 *χῆς, ἀπὸ τοῦ σώματος· καὶ οὐδαμοῦ τὸ κεφάλαιον τῶν ἀγα-*

24. Α΄ Τιμ. 2, 8.

τὰ πνευματικά· τὸ νὰ συγχωρῇς αὐτοὺς ποὺ ἔχουν ἁμαρτήσει καὶ ἀκολούθως νὰ προσέρχεσαι νὰ ζητήσῃς τὴν συγχώρησιν διὰ τὰ ἰδικά σου· τὸ νὰ ὑψώνῃς ἁγνὰς χεῖρας, χωρὶς ὀργὴν καὶ διαλογισμούς[24]. Ἐὰν ζητοῦμεν κατ' αὐτὸν τὸν τρόπον θὰ λάβωμεν. Διότι τώρα βέβαια τὸ αἴτημά μας εἶναι γελοῖον καὶ ὁμοιάζει μὲ αἴτημα ἀνθρώπων μεθυσμένων παρὰ σωφρώνων. Τί λοιπόν, λέγει, ὅταν ζητήσω καὶ πνευματικὰ καὶ δὲν λάβω; Ὁπωσδήποτε δὲν ἐκτύπησες μὲ προθυμίαν καὶ ἐπιμονήν, ἢ κατέστησες τὸν ἑαυτόν σου ἀνάξιον διὰ νὰ λάβῃ, ἢ ἀνεχώρησες ἀμέσως. Καὶ ἐξ αἰτίας τίνος, λέγει, δὲν ὥρισεν αὐτὰ ποὺ πρέπει νὰ ζητῶ; Καὶ βέβαια τὰ ὥρισεν ὅλα εἰς τὰ προηγούμενα καὶ ἀνέφερε διὰ ποῖα πρέπει νὰ προσέρχεται κανεὶς πρὸς τὸν Θεόν. Μὴ λέγῃς λοιπὸν ὅτι 'προσῆλθα' καὶ δὲν ἔλαβα. Διότι οὐδέποτε θὰ συμβῇ νὰ μὴ λάβῃς ἐξ αἰτίας τοῦ Θεοῦ, τοῦ ὁποίου τόσον μεγάλη εἶναι ἡ ἀγάπη του, ὥστε νὰ ξεπεράσῃ τοὺς φυσικοὺς γονεῖς, καὶ τόσον πολὺ νὰ τοὺς ξεπεράσῃ, ὅσον ἡ ἀγαθότης ξεπερνᾷ αὐτὴν τὴν πονηρίαν. «Διότι ἐὰν σεῖς, ποὺ εἶσθε πονηροί, γνωρίζετε νὰ δίδετε καλὰ πράγματα εἰς τὰ τέκνα σας, πολὺ περισσότερον θὰ τὸ πράξῃ αὐτὸ ὁ Πατήρ σας ὁ οὐράνιος». Αὐτὰ δὲ τὰ ἔλεγεν ὄχι διὰ νὰ κατηγορήσῃ τὴν ἀνθρωπίνην φύσιν, οὔτε διὰ νὰ ψέξῃ τὸ γένος τῶν ἀνθρώπων, ἀλλά, πρὸς διάκρισιν τῆς ἰδικῆς του ἀγαθότητος, ὀνομάζει τὴν πατρικὴν φιλοστοργίαν πονηρίαν· τόσον μεγάλη εἶναι ἡ ὑπεροχὴ τῆς φιλανθρωπίας του.

5. Εἶδες συλλογισμὸν ἀκατονόμαστον, ἱκανὸν νὰ ἐμπνεύσῃ ἀγαθὰς ἐλπίδας καὶ εἰς αὐτὸν ποὺ εὑρίσκεται εἰς πάρα πολὺ μεγάλην ἀπόγνωσιν; Καὶ ἐδῶ μὲν ἀποδεικνύει τὴν ἀγαθότητά του, συγκρίνων τὸν ἑαυτόν του πρὸς τοὺς φυσικοὺς πατέρας, ἐνῷ προηγουμένως τὸ ἔπραξεν αὐτὸ ἀπὸ τὰ μεγάλα ποὺ μᾶς ἔδωσεν, ἀπὸ τὴν ψυχὴν καὶ ἀπὸ τὸ σῶμα· καὶ πουθενὰ δὲν ἀναφέρει τὸ κυριώτερον ἀπὸ τὰ ἀγαθά, οὔτε παρουσιάζει εἰς τὸ μέσον τὴν ἰδικήν του παρουσίαν. Αὐτὸς λοιπὸν ποὺ ἔσπευσε νὰ παραδώσῃ τὸν Υἱόν του εἰς

θῶν τίθησιν, οὐδὲ εἰς μέσον παράγει τὴν ἑαυτοῦ παρουσίαν· ὁ γὰρ οὕτω τὸν Υἱὸν πρὸς σφαγὴν ἐκδοῦναι σπεύσας, πῶς οὐ πάντα ἡμῖν χαριεῖται; Οὐδέπω γὰρ ἦν ἐκβεβηκός. Ἀλλ' ὁ μὲν Παῦλος τοῦτο τίθησιν, οὕτω λέγων· «Ὅς γε τοῦ ἰδίου 5 Υἱοῦ οὐκ ἐφείσατο, πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται;». Αὐτὸς δὲ ἀπὸ τῶν ἀνθρωπίνων αὐτοῖς ἔτι διαλέγεται.

Εἶτα δεικνὺς ὅτι οὔτε εὐχῇ δεῖ θαρρεῖν, ἀμελοῦντας τῶν καθ' ἑαυτούς, οὔτε σπουδάζοντας τῇ οἰκείᾳ μόνον πι-10 στεύειν σπουδῇ, ἀλλὰ καὶ τὴν ἄνωθεν ἐπιζητεῖν βοήθειαν, καὶ τὰ παρ' ἑαυτῶν συνεισφέρειν, συνεχῶς τοῦτο κἀκεῖνο τίθησι. Καὶ γὰρ παραινέσας πολλά, καὶ εὔχεσθαι ἐδίδαξε, καὶ διδάξας εὔχεσθαι, πάλιν ἐπὶ τὴν παραίνεσιν τῶν πρακτέων ἦλθεν· εἶτα ἀπ' ἐκείνου πάλιν ἐπὶ τὸ δεῖν εὔχεσθαι συνεχῶς, 15 εἰπών· αἰτεῖτε, καὶ ζητεῖτε, καὶ κρούετε· καὶ ἐντεῦθεν πάλιν ἐπὶ τὸ δεῖν καὶ αὐτοὺς σπουδαίους εἶναι· «Πάντα» γάρ, φησίν, «ὅσα ἐὰν θέλητε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς»· ἐν βραχεῖ πάντα ἀνακεφαλαιούμενος, καὶ δεικνὺς ὅτι σύντομος ἡ ἀρετή, καὶ ῥᾳδία, καὶ πᾶσι γνώ-20 ριμος. Καὶ οὐδὲ ἁπλῶς εἶπε, πάντα ὅσα ἂν θέλητε· ἀλλά, «Πάντα οὖν ὅσα ἂν θέλητε». Τὸ γάρ, οὖν, τοῦτο οὐχ ἁπλῶς προσέθηκεν, ἀλλ' αἰνιττόμενος· εἰ βούλεσθε, φησίν, ἀκούεσθαι, μετ' ἐκείνων ὧν εἶπον καὶ ταῦτα ποιεῖτε. Ποῖα δὴ ταῦτα; «Ὅσα ἂν βούλησθε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι».

25 Εἶδες πῶς ἔδειξε καὶ ἐντεῦθεν, ὅτι μετὰ τῆς εὐχῆς καὶ πολιτείας ἡμῖν ἀκριβοῦς δεῖ; Καὶ οὐκ εἶπεν, ὅσα θέλεις γενέσθαι σοι παρὰ τοῦ Θεοῦ, ταῦτα ποίει εἰς τὸν πλησίον· ἵνα μὴ λέγῃς, καὶ πῶς δυνατόν; ἐκεῖνος Θεός, ἐγὼ δὲ ἄν-

---

25. Ρωμ. 8, 32.

τοιαύτην σφαγήν, πῶς δὲν θὰ χαρίσῃ εἰς ἡμᾶς τὰ πάντα; Βέβαια αὐτὸ δὲν εἶχεν ἀκόμη συμβῆ. Ἀλλ' ὁ μὲν Παῦλος ἀναφέρει αὐτό, λέγων τὰ ἑξῆς· «Αὐτὸς βεβαίως ποὺ δὲν ἐλυπήθη τὸν Υἱόν του πῶς δὲν θὰ χαρίσῃ εἰς ἡμᾶς μαζὶ μ' αὐτὸν καὶ τὰ πάντα;»[25]. Ἐνῷ ὁ Χριστὸς τοὺς ἐδίδασκεν ἀκόμη ἐπὶ τῇ βάσει τῶν ἀνθρωπίνων δεδομένων.

Ἐν συνεχείᾳ, δεικνύων ὅτι οὔτε πρέπει νὰ στηρίζωνται εἰς τὴν προσευχήν, ἐνῷ θὰ ἀδιαφοροῦν διὰ τοὺς ἑαυτούς των, οὔτε πάλιν ἐπιδεικνύοντες ἐνδιαφέρον νὰ στηρίζωνται μόνον εἰς τὴν ἰδικήν των προσπάθειαν, ἀλλὰ καὶ νὰ ζητοῦν τὴν βοήθειαν τοῦ Θεοῦ, καὶ νὰ καταβάλλουν κάθε δυνατὴν προσπάθειαν, τονίζει συνεχῶς καὶ τὸ ἕνα καὶ τὸ ἄλλο. Πράγματι λοιπὸν ἀφοῦ ἔδωσε πολλὰς συμβουλὰς καὶ ἐδίδαξε νὰ προσευχώμεθα, ἀφοῦ ἐδίδαξεν ὅτι πρέπει νὰ προσευχώμεθα, ἐπανῆλθε καὶ πάλιν εἰς τὸ νὰ μᾶς προτρέψῃ νὰ πράττωμεν αὐτὰ ποὺ πρέπει. Ἐν συνεχείᾳ δὲ αὐτῶν ἐδίδαξε καὶ πάλιν ὅτι πρέπει νὰ προσευχώμεθα συνεχῶς, εἰπὼν «ζητεῖτε καὶ ἐρευνᾶτε καὶ κτυπᾶτε». Καὶ πάλιν ἀπὸ ἐδῶ ἐπιστρέφει εἰς τὸ νὰ μᾶς διδάξῃ ὅτι πρέπει νὰ εἴμεθα ἐνάρετοι· «Ὅλα λοιπόν», λέγει, «ὅσα θέλετε νὰ κάνουν εἰς σᾶς οἱ ἄνθρωποι, κάμνετε καὶ σεῖς τὰ ἴδια εἰς αὐτούς», ἀνακεφαλαιώνων ἐν συντομίᾳ ὅλα καὶ δεικνύων ὅτι ἡ ἀρετὴ εἶναι σύντομος καὶ εὔκολος καὶ εἰς ὅλους γνωστή. Καὶ δὲν εἶπεν ἁπλῶς 'ὅλα ὅσα θέλετε', ἀλλά, «Ὅλα λοιπὸν ὅσα θέλετε». Διότι αὐτὸ τὸ 'λοιπὸν' δὲν τὸ ἐπρόσθεσεν ἁπλῶς καὶ ὡς ἔτυχεν, ἀλλὰ ὑπονοῶν κάτι· ἐὰν θέλετε, λέγει, νὰ εἰσακούωνται αἱ προσευχαί σας, πρέπει μαζὶ μὲ τὰ προηγούμενα νὰ πράττετε καὶ αὐτά. Ποῖα λοιπὸν εἶναι αὐτά; «Ὅσα θέλετε νὰ κάμνουν εἰς σᾶς οἱ ἄνθρωποι».

Βλέπεις πῶς ἔδειξε καὶ μ' αὐτὰ τὰ λόγια ὅτι πρέπει νὰ ὑπάρχῃ μαζὶ μὲ τὴν προσευχὴν καὶ ἐνάρετος ζωή; Καὶ δὲν εἶπεν 'ὅσα θέλεις νὰ σοῦ κάνῃ ὁ Θεός, αὐτὰ νὰ κάμνῃς καὶ σὺ εἰς τὸν πλησίον', διὰ νὰ μὴ λέγῃς· 'Καὶ πῶς εἶναι δυνατόν; ἐκεῖνος εἶναι Θεὸς ἐνῷ ἐγὼ εἶμαι ἄνθρωπος'· ἀλλ' εἶ-

θρωπος· ἀλλ', ὅσα ἂν θέλῃς γενέσθαι σοι παρὰ τοῦ ὁμοδούλου, ταῦτα καὶ αὐτὸς περὶ τὸν πλησίον ἐπιδείκνυσο. Τί τούτου κουφότερον; τί δικαιότερον; Εἶτα καὶ τὸ ἐγκώμιον πρὸ τῶν ἐπάθλων μέγιστον. «Οὗτος γάρ ἐστιν ὁ νόμος,
5 *καὶ οἱ προφῆται». Ὅθεν δῆλον, ὅτι κατὰ φύσιν ἡμῖν ἡ ἀρετή, καὶ οἴκοθεν τὰ δέοντα ἅπαντες ἴσμεν, καὶ οὐχ οἷόν τε εἰς ἄγνοιαν οὐδέποτε καταφυγεῖν.*

«Εἰσέλθετε διὰ τῆς στενῆς πύλης, ὅτι πλατεῖα ἡ πύλη καὶ εὐρύχωρος ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν, καὶ
10 *πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς καὶ στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ζωὴν καὶ ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν». Καὶ μὴν μετὰ ταῦτα ἔλεγεν· «Ὁ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστι»· καὶ ἐν τοῖς ἔναγχος δὲ εἰρημένοις τὸ αὐτὸ ἠνίξατο·*
15 *πῶς οὖν ἐνταῦθα στενὴν αὐτὴν εἶναί φησι, καὶ τεθλιμμένην; Μάλιστα μὲν ἐὰν προσέχῃς, καὶ ἐνταῦθα δείκνυσι πολὺ κούφην οὖσαν, καὶ ῥαδίαν, καὶ εὔκολον. Καὶ πῶς, φησίν, ἡ στενὴ καὶ τεθλιμμένη, ῥᾳδία; Ὅτι ὁδός ἐστι καὶ πύλη· ὥσπερ οὖν καὶ ἡ ἑτέρα, κἂν πλατεῖα, κἂν εὐρύχωρος, καὶ αὐτὴ ὁ-*
20 *δὸς καὶ πύλη. Τούτων δὲ οὐδὲν μόνιμον, ἀλλὰ πάντα παροδεύεται, καὶ τὰ λυπηρὰ καὶ τὰ χρηστὰ τοῦ βίου. Καὶ οὐ ταύτῃ μόνον ῥᾴδια τὰ τῆς ἀρετῆς, ἀλλὰ καὶ τῷ τέλει πάλιν εὐκολώτερα γίνεται. Οὐ γὰρ τὸ παροδεύεσθαι τοὺς πόνους καὶ τοὺς ἱδρῶτας, ἀλλὰ καὶ τὸ εἰς χρηστὸν τέλος ἀπαντᾶν (εἰς*
25 *ζωὴν γὰρ τελευτᾷ) ἱκανὸν παραμυθήσασθαι τοὺς ἀγωνιζομένους. Ὥστε καὶ τὸ πρόσκαιρον τῶν πόνων, καὶ τὸ διηνεκὲς τῶν στεφάνων, καὶ τὸ ταῦτα μὲν εἶναι πρῶτα, ἐκεῖνα δὲ μετὰ ταῦτα, μεγίστη τῶν πόνων γένοιτ' ἂν παραμυθία.*

---

26. Ματθ. 11, 30.

πεν, 'ὅσα θέλεις νὰ σοῦ κάνῃ ὁ σύνδουλός σου, αὐτὰ νὰ πράττῃς καὶ σὺ ὁ ἴδιος εἰς τὸν πλησίον σου. Τί πρᾶγμα εἶναι εὐκολώτερον ἀπὸ αὐτό; τί πιὸ δικαιότερον; Εἰς τὴν συνέχειαν καὶ τὸ ἐγκώμιον, πρὶν ἀπὸ τὰ ἔπαθλα, εἶναι πολὺ μεγάλον. Διότι «Αὐτὸς εἶναι ὁ νόμος καὶ οἱ προφῆται». Ἐξ αὐτοῦ εἶναι ὁλοφάνερον, ὅτι ἡ ἀρετὴ εἶναι συνδεδεμένη μὲ τὴν φύσιν μας καὶ ἀπὸ μόνοι μας γνωρίζομεν ὅλοι τὰ πρέποντα καὶ δὲν εἶναι δυνατὸν ποτὲ νὰ ἐπικαλεσθοῦμεν ἄγνοιαν.

«Νὰ εἰσέρχεσθε ἀπὸ τὴν στενὴν πύλην, διότι εἶναι πλατεῖα ἡ πύλη καὶ εὐρύχωρος ἡ ὁδὸς ποὺ ὁδηγεῖ εἰς τὴν καταστροφὴν καὶ πολλοὶ εἶναι ἐκεῖνοι ποὺ εἰσέρχονται ἀπ' αὐτήν. Ἐνῷ εἶναι στενὴ ἡ πύλη καὶ στενόχωρος ἡ ὁδὸς ποὺ ὁδηγεῖ εἰς τὴν ζωὴν καὶ εἶναι ὀλίγοι ἐκεῖνοι ποὺ τὴν εὑρίσκουν». Καὶ ὅμως εἰς τὴν συνέχειαν ἔλεγεν· «Ὁ ζυγός μου εἶναι μαλακὸς καὶ τὸ φορτίον μου ἐλαφρόν»[26]· τὸ ἴδιο δὲ ὑπῃνίχθη καὶ μὲ ὅσα εἶπε προηγουμένως· πῶς λοιπὸν ἐδῶ λέγει ὅτι αὐτὴ εἶναι στενὴ καὶ στενόχωρος; Ἐὰν ὅμως προσέξῃς περισσότερον θὰ ἰδῇς καὶ ἐδῶ νὰ λέγῃ ὅτι εἶναι πολὺ ἐλαφρὰ καὶ εὐάρμοστος καὶ εὔκολος. Καὶ πῶς, θὰ εἰπῇ κάποιος, ἡ στενὴ καὶ στενόχωρος εἶναι εὔκολος; Διότι εἶναι ὁδὸς καὶ πύλη· ὅπως ἀκριβῶς δηλαδὴ καὶ ἡ ἄλλη ἂν καὶ εἶναι πλατεῖα, ἂν καὶ εἶναι εὐρύχωρος, ἔτσι καὶ αὐτὴ εἶναι ὁδὸς καὶ πύλη. Τίποτε ὅμως ἀπ' αὐτὰ δὲν εἶναι μόνιμον, ἀλλὰ τὰ πάντα παρέρχονται, καὶ τὰ λυπηρὰ καὶ τὰ καλὰ τῆς ζωῆς. Καὶ δὲν εἶναι ὡς πρὸς αὐτὸ μόνον εὔκολα τὰ τῆς ἀρετῆς, ἀλλὰ καὶ ἀπὸ τὸ τέλος των πάλιν γίνονται πιὸ εὐκολωτέρα. Ὄχι μόνον ἐπειδὴ παρέρχονται οἱ κόποι καὶ οἱ ἱδρῶτες, ἀλλὰ καὶ τὸ ὅτι καταλήγουν εἰς αἴσιον τέλος (διότι καταλήγουν εἰς ζωήν), ποὺ εἶναι ἱκανὸν νὰ παρηγορήσῃ αὐτοὺς ποὺ ἀγωνίζονται. Ὥστε καὶ τὸ ὅτι οἱ κόποι εἶναι πρόσκαιροι ἐνῷ οἱ στέφανοι παντοτινοί, καὶ τὸ ὅτι αὐτὰ μὲν προηγοῦνται ἐνῷ ἐκεῖνα ἀκολουθοῦν, θὰ ἠμποροῦσε νὰ ἀποτελέσῃ πάρα πολὺ μεγάλην παρηγορίαν

Διὸ καὶ ὁ Παῦλος ἐλαφρὰν τὴν θλῖψιν ἐκάλεσεν, οὐ διὰ τὴν φύσιν τῶν γινομένων, ἀλλὰ διὰ τὴν προαίρεσιν τῶν ἀγωνιζομένων, καὶ τὴν τῶν μελλόντων ἐλπίδα. «Τὸ γὰρ ἐλαφρὸν τῆς θλίψεως», φησίν, «αἰώνιον βάρος δόξης κατεργάζεται, μὴ σκοπούντων ἡμῶν τὰ βλεπόμενα, ἀλλὰ τὰ μὴ βλεπόμενα». Εἰ γὰρ τὰ κύματα καὶ τὰ πελάγη τοῖς ναύταις, καὶ αἱ σφαγαὶ καὶ τὰ τραύματα τοῖς στρατιώταις, καὶ οἱ χειμῶνες καὶ οἱ κρυμοὶ τοῖς γεωργοῖς, καὶ τοῖς πυκτεύουσιν αἱ δριμεῖαι πληγαί, κοῦφα καὶ φορητὰ πάντα διὰ τὴν ἐλπίδα τῶν ἐπάθλων τῶν ἐπικήρων καὶ ἀπολλυμένων· πολλῷ μᾶλλον ὅταν ὁ οὐρανὸς προκείμενος ᾖ, καὶ τὰ ἀπόρρητα ἀγαθά, καὶ τὰ ἀθάνατα ἔπαθλα, οὐδενός τις αἰσθήσεται τῶν παρόντων δεινῶν.

6. Εἰ δέ τινες αὐτὴν καὶ οὕτως ἐπίπονον εἶναι νομίζουσι, τῆς αὐτῶν ῥαθυμίας ἡ ὑπόνοια μόνον. Ὅρα γοῦν πῶς καὶ ἑτέρωθεν αὐτὴν εὔκολον ποιεῖ, κελεύων μὴ συμπλέκεσθαι τοῖς κυσί, μηδὲ ἐκδιδόναι ἑαυτοὺς τοῖς χοίροις, καὶ φυλάττεσθαι ἀπὸ τῶν ψευδοπροφητῶν, καὶ πανταχόθεν αὐτοὺς ἐναγωνίους ἐργαζόμενος. Καὶ αὐτὸ δὲ τὸ στενὴν καλέσαι μέγιστον εἰς τὸ ποιῆσαι αὐτὴν εὔκολον συνεβάλετο· νήφειν γὰρ αὐτοὺς παρεσκεύαζεν. Ὥσπερ οὖν ὁ Παῦλος, ὅταν λέγῃ, «Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα», οὐχ ἵνα καταβάλῃ, ἀλλ' ἵνα διεγείρῃ τὰ φρονήματα τῶν στρατιωτῶν, τοῦτο ποιεῖ· οὕτω δὴ καὶ αὐτὸς ἀφυπνίζων τοὺς ὁδοιπόρους, τραχεῖαν ἐκάλεσε τὴν ὁδόν. Καὶ οὐ ταύτῃ μόνον νήφειν παρεσκεύασεν, ἀλλὰ καὶ τῷ προσθεῖναι, ὅτι καὶ πολλοὺς ἔχει τοὺς ὑποσκελίζοντας· καὶ τὸ δὴ χαλεπώτερον,

---

27. Β' Κορ. 4, 17. 18.
28. 'Εφ. 6, 12.

εἰς τοὺς κόπους. Διὰ τοῦτο καὶ ὁ Παῦλος ὠνόμασε τὴν θλῖψιν ἐλαφράν, ὄχι ἐξ αἰτίας τῆς φύσεως τῶν πραγμάτων, ἀλλὰ ἐξ αἰτίας τῆς προαιρέσεως αὐτῶν ποὺ ἀγωνίζονται καὶ τῆς μελλοντικῆς ἐλπίδος. «Διότι τὸ ἐλαφρὸν τῆς θλίψεως», λέγει, «προετοιμάζει τὸ αἰώνιον βάρος τῆς δόξης, ἀρκεῖ νὰ μὴ θέτωμεν ὡς σκοπόν μας αὐτὰ ποὺ βλέπονται, ἀλλ' αὐτὰ ποὺ δὲν βλέπονται»[27]. Διότι ἐὰν τὰ κύματα καὶ τὰ πελάγη διὰ τοὺς ναύτας, καὶ αἱ σφαγαὶ καὶ τὰ τραύματα διὰ τοὺς στρατιώτας, καὶ οἱ χειμῶνες καὶ οἱ παγετοὶ διὰ τοὺς γεωργούς, καὶ δι' αὐτοὺς ποὺ πυγμαχοῦν αἱ σκληραὶ πληγαί, ὅλα αὐτὰ ἐὰν εἶναι ἐλαφρὰ καὶ ἀνεκτικὰ ἐξ αἰτίας τῆς ἐλπίδος τῶν προσκαίρων καὶ φθαρτῶν βραβείων, πολὺ περισσότερον ὅταν ὁ οὐρανὸς ἁπλώνεται ἔμπροσθέν μας μαζὶ μὲ τὰ ἀπόρρητα ἀγαθὰ καὶ τὰ ἀθάνατα βραβεῖα, δὲν θὰ αἰσθανθῇ κανεὶς κανένα ἀπὸ τὰ παρόντα κακά.

6. Ἐὰν δὲ μερικοὶ καὶ παρὰ ταῦτα τὴν θεωροῦν ἐπίπονον, ἡ γνώμη των αὐτὴ πηγάζει ἀπὸ τὴν ὀκνηρίαν των καὶ μόνον. Βλέπε λοιπὸν πῶς καὶ μὲ ἄλλον τρόπον τὴν κάμνει εὔκολον, προτρέπων νὰ μὴ συμπλέκωνται μὲ τοὺς σκύλους, οὔτε νὰ ἐμπιστεύωνται τοὺς ἑαυτούς των εἰς τοὺς χοίρους, καὶ νὰ προφυλάσσωνται ἀπὸ τοὺς ψευδοπροφήτας καὶ μὲ τὸ ὅτι δι' ὅλων γενικῶς τοὺς ἐμβάλλει εἰς ἀγωνίαν διαρκῆ. Καὶ τὸ ὅτι δὲ τὴν ὠνόμασε στενὴν συνέβαλε τὰ μέγιστα εἰς τὸ νὰ τὴν κάμῃ αὐτὴν εὔκολον· διότι τοὺς προητοίμασε νὰ εἶναι ἄγρυπνοι. Ὅπως ἀκριβῶς λοιπὸν ὁ Παῦλος ὅταν λέγῃ «ὅτι δὲν εἶναι ἡ πάλη μας πρὸς αἷμα καὶ σάρκα»[28], τὸ κάμνει αὐτὸ ὄχι διὰ νὰ ἐξασθενήσῃ ἀλλὰ διὰ νὰ ἀφυπνίσῃ τὰ φρονήματα τῶν στρατιωτῶν, ἔτσι λοιπὸν καὶ αὐτὸς ὠνόμασε τὴν ὁδὸν δύσκολον διὰ νὰ ἀφυπνίσῃ τοὺς ὁδοιπόρους. Καὶ δὲν προετοίμασεν αὐτοὺς νὰ εἶναι ἄγρυπνοι μὲ αὐτὰ καὶ μόνον ποὺ τοὺς εἶπεν, ἀλλὰ καὶ προσέθεσεν ἐπὶ πλέον εἰς αὐτὰ τὸ γεγονὸς ὅτι ἔχει πολλοὺς ποὺ τοὺς ὑπονομεύουν καὶ τὸ φοβερώτερον βέβαια εἶναι, ὅτι αὐτοὶ δὲν προσβάλλουν φανερά, ἀλλὰ κρύπτοντες τοὺς ἑ-

ὅτι οὐδὲ φανερῶς προσβάλλουσιν, ἀλλὰ κρύπτοντες ἑαυτούς· τοιοῦτον γὰρ τῶν ψευδοπροφητῶν τὸ γένος. Ἀλλὰ μὴ τοῦτο ἴδῃς, φησίν, ὅτι τραχεῖα καὶ στενή, ἀλλὰ ποῦ τελευτᾷ· μηδ' ὅτι πλατεῖα καὶ εὐρύχωρος ἡ ἐναντία, ἀλλὰ ποῦ καταστρέ-
5 *φει. Ταῦτα δὲ πάντα λέγει, διεγείρων ἡμῶν τὴν προθυμίαν· ὥσπερ οὖν καὶ ἀλλαχοῦ ἔλεγεν, ὅτι «Βιασταὶ ἁρπάζουσιν αὐτήν». Ὁ γὰρ ἀγωνιζόμενος, ἐπειδὰν ἴδῃ σαφῶς τὸν ἀγωνοθέτην θαυμάζοντα τὸ ἐπίπονον τῶν ἀγωνισμάτων, προθυμότερος γίνεται. Μὴ τοίνυν ἀλύωμεν, ὅταν πολλὰ ἡμῖν*
10 *ἐντεῦθεν συμβαίνῃ λυπηρά. Τεθλιμμένη γὰρ ἡ ὁδός, καὶ στενὴ ἡ πύλη, ἀλλ' οὐχ ἡ πόλις. Διὰ δὴ τοῦτο οὐδὲ ἐνταῦθα ἄνεσιν χρὴ προσδοκᾶν, οὐδὲ ἐκεῖ λυπηρόν τι λοιπὸν ἐκδέχεσθαι.*

Εἰπὼν δέ, ὅτι «Ὀλίγοι εἰσὶν οἱ εὑρίσκοντες αὐτήν»,
15 *πάλιν ἐνταῦθα καὶ τὴν τῶν πολλῶν ῥαθυμίαν ἐδήλωσε, καὶ τοὺς ἀκούοντας ἐπαίδευσε μὴ ταῖς τῶν πολλῶν εὐημερίαις προσέχειν, ἀλλὰ τοῖς τῶν ὀλίγων πόνοις. Οἱ γὰρ πλείους, φησίν, οὐ μόνον αὐτὴν οὐ βαδίζουσιν, ἀλλ' οὐδὲ αἱροῦνται· ὅπερ ἐσχάτης κατηγορίας ἐστίν. Ἀλλ' οὐ τοῖς πολλοῖς δεῖ*
20 *προσέχειν, οὐδὲ ἐντεῦθεν θορυβεῖσθαι, ἀλλὰ ζηλοῦν τοὺς ὀλίγους, καὶ πανταχόθεν ἑαυτοὺς συγκροτοῦντας οὕτως αὐτὴν βαδίζειν. Καὶ γὰρ πρὸς τῷ στενὴν εἶναι, πολλοὶ καὶ οἱ ὑποσκελίζοντες τὴν ἐκεῖσε φέρουσάν εἰσιν ὁδόν. Διὸ καὶ ἐπήγαγε· «Προσέχετε ἀπὸ τῶν ψευδοπροφητῶν· ἐλεύσονται*
25 *γὰρ πρὸς ὑμᾶς ἐν ἐνδύμασι προβάτων, ἔσωθεν δέ εἰσι λύκοι ἅρπαγες». Ἰδοὺ μετὰ τῶν κυνῶν καὶ χοίρων ἕτερον εἶδος ἐνέδρας καὶ ἐπιβουλῆς, πολὺ χαλεπώτερον ἐκείνου. Οἱ μὲν γὰρ ὡμολογημένοι καὶ φανεροί, οὗτοι δὲ συνεσκιασμένοι. Διὸ καὶ ἐκείνων μὲν ἀπέχεσθαι ἐκέλευσε, τούτους*

---

29. Ματθ. 11, 12.

αυτούς των· διότι τέτοιο εἶναι τὸ γένος τῶν ψευδοπροφητῶν. Ἀλλά, λέγει, μὴ προσέχῃς αὐτό, τὸ ὅτι δηλαδὴ εἶναι δύσκολος καὶ στενή, ἀλλὰ ποῦ καταλήγει· οὔτε τὸ ὅτι ἡ ἀντίθετός της εἶναι πλατεῖα καὶ εὐρύχωρος, ἀλλὰ τὴν καταστροφὴν ποὺ προκαλεῖ. Ὅλα δὲ αὐτὰ τὰ λέγει διὰ νὰ ἀφυπνίσῃ τὴν προθυμίαν μας· ὅπως ἀκριβῶς λοιπὸν καὶ εἰς ἄλλο σημεῖον ἔλεγεν ὅτι «Βιασταὶ ἁρπάζουν αὐτήν»[29]. Διότι αὐτὸς ποὺ ἀγωνίζεται, ὅταν διαπιστώσῃ ὅτι ὁ ἀγωνοθέτης θαυμάζει τὰς δυσκολίας τῶν ἀγωνισμάτων, γίνεται πιὸ πρόθυμος. Ἑπομένως ἂς μὴ καταλαμβανώμεθα ἀπὸ στενοχωρίαν, ὅταν μᾶς συμβαίνουν κατὰ τὴν ἐδῶ ζωήν μας πολλὰ δυσάρεστα. Διότι ἡ ὁδὸς εἶναι στενόχωρος καὶ ἡ πύλη στενή, ὄχι ὅμως καὶ ἡ πόλις. Διὰ τοῦτο λοιπὸν οὔτε ἐδῶ πρέπει νὰ περιμένωμεν ἄνεσιν, οὔτε ἐκεῖ νὰ ἀναμένωμεν ὅτι θὰ δοκιμάσωμεν κάποιο λυπηρόν.

Εἰπὼν δέ, «ὀλίγοι εἶναι ἐκεῖνοι ποὺ τὴν εὑρίσκουν», πάλιν ἐδῶ ἐδήλωσε καὶ τὴν ὀκνηρίαν τῶν πολλῶν καὶ τοὺς ἀκροατάς του ἐδίδαξε νὰ μὴ προσέχουν τὰς εὐημερίας τῶν πολλῶν, ἀλλὰ τοὺς κόπους τῶν ὀλίγων. Διότι οἱ περισσότεροι, λέγει, ὄχι μόνον δὲν βαδίζουν αὐτήν, ἀλλ' οὔτε τὴν προτιμοῦν· πρᾶγμα διὰ τὸ ὁποῖον εἶναι ἄξιοι ἐσχάτης κατηγορίας. Ἀλλὰ δὲν πρέπει νὰ προσέχωμεν τοὺς πολλούς, οὔτε ἀπ' αὐτὸ νὰ θορυβούμεθα, ἀλλὰ νὰ μιμούμεθα τοὺς ὀλίγους καὶ ἀφοῦ ἐξοπλίζωμεν ἔτσι τοὺς ἑαυτούς μας νὰ βαδίζωμεν αὐτὴν ἐπὶ τῇ βάσει ὅλων αὐτῶν. Καθόσον ἐκτὸς ἀπὸ τὸ ὅτι αὐτὴ εἶναι στενή, εἶναι καὶ πολλοὶ αὐτοὶ ποὺ ὑπονομεύουν τὴν ὁδὸν ποὺ ὁδηγεῖ πρὸς τὰ ἐκεῖ. Διὰ τοῦτο καὶ ἐπρόσθεσε· «Νὰ προσέχετε ἀπὸ τοὺς ψευδοπροφήτας· διότι θὰ ἔλθουν πρὸς σᾶς μὲ ἐνδύματα προβάτων, ἐνῷ μέσα των εἶναι λύκοι ἁρπακτικοί». Νά, μαζὶ μὲ τοὺς σκύλους καὶ τοὺς χοίρους ὑπάρχει καὶ ἄλλο εἶδος ἐνέδρας καὶ σκευωρίας πολὺ πιὸ φοβερὸν ἀπὸ ἐκεῖνο. Διότι ἐκεῖνοι μὲν εἶναι ἀναγνωρισμένοι καὶ φανεροί, ἐνῷ αὐτοὶ εἶναι κεκαλυμμένοι. Διὰ τοῦτο καὶ ἐπρόσταξεν ἐκείνους μὲν νὰ τοὺς ἀποφεύγω-

δὲ καὶ διασκέπτεσθαι μετὰ ἀκριβείας, ὡς οὐκ ἐνὸν ἐκ πρώτης αὐτοὺς ἰδεῖν προσβολῆς. Διὸ καὶ ἔλεγε, προσέχετε, πρὸς τὴν διάγνωσιν αὐτῶν ἀκριβεστέρους ποιῶν.

Εἶτα, ἵνα μὴ στενὴν ἀκούσαντες καὶ τεθλιμμένην, καὶ 5 *ὅτι ἐναντίαν τοῖς πολλοῖς δεῖ βαδίζειν, καὶ χοίρους φυλάττεσθαι καὶ κύνας, καὶ μετὰ τούτων ἕτερον πονηρότερον γένος τοῦτο τὸ τῶν λύκων· ἵνα μὴ τῷ πλήθει τῶν λυπηρῶν καταπέσωσι, μέλλοντες καὶ ἐναντίαν τοῖς πολλοῖς ἰέναι, καὶ μετὰ τούτων πάλιν καὶ τὴν ὑπὲρ τούτων ἔχειν φροντίδα,* 10 *ἀνέμνησε τῶν ἐπὶ τῶν πατέρων αὐτῶν γενομένων, ψευδοπροφήτας καλέσας· καὶ γὰρ καὶ τότε τοιαῦτα συνέβαινε. Μὴ τοίνυν θορυβεῖσθε, φησίν· οὐδὲν γὰρ καινὸν οὐδὲ ξένον συμβήσεται. Τῇ γὰρ ἀληθείᾳ παρυφίστησιν ἀεὶ τὴν ἀπάτην ὁ διάβολος.*

15 *Ψευδοπροφήτας δὲ ἐνταῦθα οὐ τοὺς αἱρετικοὺς αἰνίττεσθαί μοι δοκεῖ, ἀλλὰ τοὺς βίου μὲν ὄντας διεφθαρμένου, προσωπεῖον δὲ ἀρετῆς περικειμένους, οὓς τῇ τῶν ἐπιθετῶν προσηγορίᾳ καλεῖν εἰώθασιν οἱ πολλοί. Διὸ καὶ ἐπήγαγε λέγων· «Ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς».* 20 *Παρὰ γὰρ αἱρετικοῖς ἔστι πολλάκις καὶ βίον εὑρεῖν· παρὰ δὲ τούτους, οἷς εἶπον, οὐδαμῶς.*

Τί οὖν, φησίν, ἂν καὶ ἐν τούτοις ὑποκρίνωνται; Ἀλλὰ ἁλώσονται ῥᾳδίως. Τοιαύτη γὰρ ἡ τῆς ὁδοῦ ταύτης φύσις, ἣν ἐκέλευσα βαδίζειν, ἐπίπονος καὶ μοχθηρά· ὁ δὲ ὑποκρι- 25 *τὴς πονεῖν οὐκ ἂν ἕλοιτο, ἀλλ' ἐπιδείκνυσθαι μόνον· διὸ καὶ ἐλέγχεται ῥᾳδίως. Ἐπειδὴ γὰρ εἶπεν, ὅτι «Ὀλίγοι εἰσὶν*

---

30. Πρβλ. Λουκᾶ 21, 9.

μεν, αὐτοὺς δὲ νὰ τοὺς ἐξετάζωμεν μὲ προσοχὴν καὶ ἀκρίβειαν, διότι δὲν εἶναι δυνατὸν αὐτοὺς νὰ τοὺς διαπιστώσωμεν ἀπὸ τὴν πρώτην προσβολήν. Διὰ τοῦτο καὶ ἔλεγε «προσέχετε» διὰ νὰ μᾶς κάμῃ πιὸ προσεκτικοὺς εἰς τὴν ἀναγνώρισίν των.

Ἀκολούθως δέ, ἐπειδὴ ἤκουσαν ὅτι εἶναι στενὴ καὶ στενόχωρος καὶ ὅτι πρέπει νὰ βαδίζουν ἀντίθετα πρὸς τοὺς πολλούς, καὶ νὰ προφυλάσσωνται ἀπὸ τοὺς χοίρους καὶ τοὺς σκύλους καὶ μαζὶ μὲ αὐτοὺς νὰ προφυλάσσωνται καὶ ἀπὸ ἄλλο πιὸ πονηρὸν γένος, ἀπὸ τὸ γένος τῶν λύκων, διὰ νὰ μὴ χάσουν τὸ θάρρος των ἀπὸ τὸ πλῆθος τῶν λυπηρῶν πραγμάτων, ἐφ' ὅσον ἐπρόκειτο νὰ βαδίσουν ἀντίθετα πρὸς τοὺς πολλούς, καὶ νὰ ἔχουν μαζὶ μὲ αὐτὰ καὶ τὴν φροντίδα δι' αὐτούς, τοὺς ὑπενθύμισεν αὐτοὺς ποὺ ἐνεφανίσθησαν κατὰ τὴν ἐποχὴν τῶν πατέρων των, ὀνομάσας αὐτοὺς ψευδοπροφήτας· καθόσον καὶ τότε συνέβαιναν τέτοια πράγματα. «Μὴ ταράσσεσθε λοιπόν»[30], λέγει· διότι δὲν θὰ συμβῇ τίποτε τὸ νέον οὔτε τὸ παράδοξον. Διότι ὁ διάβολος πάντοτε ἀντιπαρατάσσει εἰς τὴν ἀλήθειαν τὴν ἀπάτην.

Εἰς αὐτὴν δὲ τὴν περίπτωσιν νομίζω, λέγων ψευδοπροφήτας δὲν ὑπαινίσσεται τοὺς αἱρετικούς, ἀλλὰ αὐτοὺς ποὺ ζοῦν μὲν ζωὴν διεφθαρμένην, ἀλλ' ὅμως φοροῦν τὸ προσωπεῖον τῆς ἀρετῆς, τοὺς ὁποίους συνηθίζουν οἱ πολλοὶ ἄνθρωποι νὰ τοὺς ὀνομάζουν ἀπατεῶνας. Διὰ τοῦτο καὶ ἐπρόσθεσε, λέγων· «Θὰ ἀναγνωρίσετε αὐτοὺς ἀπὸ τοὺς καρπούς των». Διότι μεταξὺ τῶν αἱρετικῶν εἶναι δυνατὸν πολλὲς φορὲς νὰ εὕρῃ κανεὶς καὶ ἐνάρετον ζωήν, εἰς αὐτοὺς ὅμως, διὰ τοὺς ὁποίους εἶπα, κατ' οὐδένα τρόπον.

Τί λοιπόν, θὰ εἰπῇ κάποιος, ἂν ὑποκρίνωνται καὶ εἰς αὐτά; Ἀλλὰ θ' ἀποκαλυφθοῦν εὔκολα. Διότι τέτοια εἶναι ἡ φύσις αὐτῆς τῆς ὁδοῦ, τὴν ὁποίαν ἐπρόσταξα νὰ βαδίζετε, ἐπίπονος καὶ ταλαίπωρος, ὁ δὲ ὑποκριτὴς δὲν θὰ ἤθελε νὰ κοπιάζῃ, ἀλλὰ μόνον νὰ ἐπιδεικνύεται· διὰ τοῦτο καὶ ἀποκαλύπτεται εὔκολα. Ἐπειδὴ λοιπὸν εἶπεν, ὅτι «ὀλίγοι

οἱ εὑρίσκοντες αὐτήν», ἐκκαθαίρει πάλιν αὐτοὺς ἀπὸ τῶν οὐχ εὑρισκόντων μέν, ὑποκρινομένων δέ, κελεύων μὴ τοὺς τὰ προσωπεῖα περικειμένους μόνον ὁρᾶν, ἀλλὰ τοὺς μετὰ ἀληθείας μετιόντας αὐτήν.

Καὶ τίνος ἕνεκεν οὐ καταδήλους αὐτοὺς ἐποίησε, φησίν, ἀλλ' ἡμᾶς εἰς τὴν ἔρευναν ἐνέβαλεν; Ἵνα γρηγορῶμεν, καὶ ἐναγώνιοι διαπαντὸς ὦμεν, μὴ τοὺς φανεροὺς μόνον, ἀλλὰ καὶ τοὺς κρυπτομένους ἐχθροὺς φυλαττόμενοι· οὕσπερ οὖν καὶ ὁ Παῦλος αἰνιττόμενος ἔλεγεν, ὅτι «Τῇ χρηστολογίᾳ ἐξαπατῶσι τὰς καρδίας τῶν ἀκάκων». Μὴ τοίνυν θορυβώμεθα, ἐπειδὰν πολλοὺς ἴδωμεν τοιούτους καὶ νῦν ὄντας. Καὶ γὰρ καὶ τοῦτο προεῖπεν ἄνωθεν ὁ Χριστός.

7. Καὶ ὅρα τὴν ἡμερότητα. Οὐδὲ γὰρ εἶπε, κολάσατε αὐτούς, ἀλλά, μὴ βλαβῆτε παρ' αὐτῶν, μὴ ἀφύλακτοι αὐτοῖς περιπέσητε. Εἶτα, ἵνα μὴ λέγῃς, ὅτι ἀδύνατον ἐπιγνῶναι ροὺς ποιεῖν, οὐδὲ δένδρον σαπρὸν καρποὺς καλοὺς ποιεῖν». πίνου τίθησιν, οὕτω λέγων· «Μήτι συλλέγουσιν ἀπὸ ἀκανθῶν σταφυλάς, ἢ ἀπὸ τριβόλων σῦκα; Οὕτω πᾶν δένδρον ἀγαθὸν καρποὺς καλοὺς ποιεῖ· τὸ δὲ σαπρὸν δένδρον καρποὺς πονηροὺς ποιεῖ. Οὐ δύναται δένδρον ἀγαθὸν καρποὺς πονηροὺς ποιεῖν, οὐδὲ δένδρον σαπρὸν καρποὺς καλοὺς ποιεῖν». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐδὲν ἔχουσιν ἥμερον, οὐδὲ γλυκύ· μέχρι τῆς δορᾶς τὸ πρόβατον· διὸ καὶ εὔκολος ἡ διάγνωσις. Καὶ ἵνα μηδὲ τὸ τυχὸν ἐνδοιάζῃς, φυσικαῖς ἀνάγκαις παραβάλλει τὰ οὐκ ἐγχωροῦντα ἄλλως γενέσθαι. Ὅπερ καὶ ὁ Παῦλος ἔλεγε· «Τὸ γὰρ φρόνημα τῆς σαρκός, θάνατος· τῷ γὰρ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται· οὐδὲ γὰρ δύναται». Εἰ δὲ δεύτερον τὸ αὐτὸ τίθησιν,

31. Ρωμ. 16, 18.
32. Ρωμ. 8, 6. 7.

εἶναι ἐκεῖνοι ποὺ τὴν εὑρίσκουν», τοὺς ξεχωρίζει πάλιν ἀπὸ αὐτοὺς ποὺ δὲν τὴν εὑρίσκουν μέν, ἀλλ' ὅμως ὑποκρίνονται, προτρέπων νὰ μὴ προσέχουν μόνον αὐτοὺς ποὺ φοροῦν τὰ προσωπεῖα, ἀλλ' αὐτοὺς ποὺ βαδίζουν αὐτὴν πραγματικά.

Καὶ διατί, θὰ ἐρωτήσῃ κάποιος, δὲν ἀπεκάλυψεν αὐτούς, ἀλλ' ἔβαλεν ἡμᾶς εἰς τὴν ἔρευναν; Διὰ νὰ ἐπαγρυπνοῦμεν καὶ νὰ ἀγωνιζώμεθα συνεχῶς, προφυλασσόμενοι ὄχι ἀπὸ τοὺς φανεροὺς μόνον, ἀλλὰ καὶ ἀπὸ τοὺς κρυφοὺς ἐχθρούς, διὰ τοὺς ὁποίους ὑπαινισσόμενος καὶ ὁ Παῦλος ἔλεγεν, ὅτι «Μὲ τοὺς ἀγαθοὺς λόγους ἐξαπατοῦν τὰς καρδίας τῶν ἀνθρώπων»[31]. Ἑπομένως ἂς μὴ μᾶς κυριεύῃ ὁ φόβος, ὅταν θὰ ἴδοῦμεν πολλοὺς νὰ εἶναι σήμερα τέτοιοι, καθόσον καὶ αὐτὸ τὸ προεῖπεν ὁ Χριστὸς προηγουμένως.

7. Πρόσεξε καὶ τὴν ἠπιότητά του. Διότι δὲν εἶπε 'Τιμωρήσατε αὐτούς', ἀλλά, 'Νὰ μὴ βλαβῆτε ἀπὸ αὐτούς, μὴ τυχὸν πέσετε εἰς αὐτοὺς ἀφύλακτοι'. Ἔπειτα, διὰ νὰ μὴ λέγῃς, ὅτι εἶναι ἀδύνατον νὰ διακρίνῃς αὐτούς, ἀναφέρει πάλιν συλλογισμὸν ἀπὸ ἀνθρώπινον παράδειγμα, λέγων τὰ ἑξῆς· «Μήπως μαζεύουν σταφύλια ἀπὸ τὰ ἀγκάθια ἢ ἀπὸ τριβόλους σῦκα; Ἔτσι, κάθε καλὸν δένδρον παράγει καλοὺς καρποὺς τὸ δὲ σάπιον δένδρον παράγει καρποὺς κακούς. Δὲν εἶναι δυνατὸν δένδρον καλὸν νὰ παράγῃ καρποὺς κακούς, οὔτε δένδρον σάπιον νὰ παράγῃ καρποὺς καλούς». Ἡ σημασία αὐτῶν τῶν λόγων εἶναι ἡ ἑξῆς. Δὲν ἔχουν τίποτε τὸ ἥμερον, οὔτε τὸ γλυκύ· διότι τὸ πρόβατον φθάνει μέχρι τὸ δέρμα· διὰ τοῦτο καὶ εἶναι εὔκολος ἡ ἀναγνώρισις. Καὶ διὰ νὰ μὴ ἔχῃς οὔτε καὶ ἐλαχίστην ἀμφιβολίαν, τὰ παραβάλλει μὲ τὰς φυσικὰς ἐκείνας ἀνάγκας ποὺ δὲν εἶναι δυνατὸν νὰ συμβοῦν κατ' ἄλλον τρόπον. Πρᾶγμα ποὺ καὶ ὁ Παῦλος ἔλεγε· «Τὸ φρόνημα λοιπὸν τῆς σαρκὸς εἶναι θάνατος· διότι δὲν ὑποτάσσεται εἰς τὸν νόμον τοῦ Θεοῦ· οὔτε βέβαια καὶ ἠμπορεῖ»[32]. Ἐὰν δὲ ἐκ δευτέρου ἀναφέρει τὸ ἴδιο πρᾶγμα, αὐτὸ δὲν ἀποτελεῖ ταυτολογίαν. Διό-

οὐκ ἔστι ταυτολογία. Ἵνα γὰρ μή τις εἴπῃ, ὅτι τὸ πονηρὸν δένδρον φέρει μὲν καρποὺς πονηρούς, φέρει δὲ καὶ ἀγαθούς, καὶ δύσκολον ποιεῖ τὴν διάγνωσιν, διπλῆς τῆς φορᾶς οὔσης· οὐκ ἔστι, φησί, τοῦτο· πονηροὺς γὰρ φέρει μόνον, καὶ ἀγαθοὺς οὐκ ἄν ποτε ἐνέγκοι· ὥσπερ οὖν καὶ τὸ ἐναντίον. Τί οὖν; οὐκ ἔστιν ἀνὴρ ἀγαθός, γινόμενος πονηρός; Καὶ τοὐναντίον πάλιν ἐστί, καὶ πολλῶν ὁ βίος τοιούτων γέμει παραδειγμάτων. Ὁ δὲ Χριστὸς οὐ τοῦτο λέγει, ὅτι τὸν πονηρὸν ἀμήχανον μεταβαλέσθαι, ἢ τὸν ἀγαθὸν οὐκ ἔνι μεταπεσεῖν· ἀλλ', ἕως ἂν ᾖ πονηρίᾳ συζῶν, οὐ δυνήσεται καρπὸν ἀγαθὸν ἐνεγκεῖν. Μεταβαλεῖν μὲν γὰρ εἰς ἀρετὴν δύναται πονηρὸς ὤν· μένων δὲ ἐν πονηρίᾳ, καρπὸν οὐκ οἴσει καλόν. Τί οὖν; ὁ Δαυῒδ οὐκ ἀγαθὸς ὢν πονηρὸν καρπὸν ἤνεγκεν; Οὐχὶ μένων ἀγαθός, ἀλλὰ μεταβληθείς· ὡς εἴγε ἔμενεν ὅπερ ἦν διηνεκῶς, οὐκ ἂν καρπὸν τοιοῦτον ἤνεγκεν. Οὐ γὰρ δὴ μένων ἐν τῇ ἕξει τῆς ἀρετῆς ἐτόλμησεν ἅπερ ἐτόλμησε.

Ταῦτα δὲ καὶ τοὺς ἁπλῶς διαβάλλοντας ἐπιστομίζων ἔλεγε, καὶ τῶν κατηγόρων χαλινῶν τὰ στόματα. Ἐπειδὴ γὰρ πολλοὶ τοὺς ἀγαθοὺς ἀπὸ τῶν πονηρῶν ὑποπτεύουσι, πάσης ἀποστερῶν αὐτοὺς ἀπολογίας τοῦτο εἴρηκεν. Οὐδὲ γὰρ ἂν ἔχοις εἰπεῖν, ὅτι ἠπάτημαι καὶ παρελογίσθην· καὶ γὰρ ἀκριβῆ σοι παρέσχον τὴν ἀπὸ τῶν ἔργων διάγνωσιν, καὶ προστάξας βαδίζειν ἐπὶ τὰς πράξεις, καὶ μὴ πάντα ἁπλῶς συνταράττειν. Εἶτα ἐπειδὴ κολάζειν μὲν αὐτοὺς οὐκ ἐκέλευσε, φυλάττεσθαι δὲ μόνον, ὁμοῦ καὶ τοὺς ἐπηρεαζομένους παρ' αὐτῶν παραμυθούμενος, κἀκείνους φοβῶν καὶ μεταβάλλων, ἐπετείχισεν αὐτοῖς τὴν παρ' αὐτοῦ κόλασιν, εἰπὼν ὅτι «Πᾶν

τι διὰ νὰ μὴ εἰπῇ κανείς, ὅτι τὸ πονηρὸν δένδρον παράγει μὲν καρποὺς πονηρούς, παράγει ὅμως καὶ καλούς, καὶ γίνεται ἔτσι δύσκολος ἡ διάγνωσις, ἐπειδὴ εἶναι δύο εἰδῶν ἡ καρποφορία. Δὲν εἶναι δυνατόν, λέγει, αὐτό· διότι παράγει μόνον πονηροὺς καρπούς, καὶ δὲν εἶναι δυνατὸν ποτὲ νὰ παράγῃ καὶ καλούς· ὅπως ἀκριβῶς λοιπὸν καὶ τὸ ἀντίθετον. Τί λοιπόν; δὲν εἶναι δυνατὸν ἕνας ἀγαθὸς ἄνθρωπος νὰ γίνῃ πονηρός; Καὶ τὸ ἀντίθετον πάλιν ἠμπορεῖ νὰ συμβῇ καὶ εἶναι γεμάτη ἡ ζωὴ ἀπὸ πολλὰ τέτοια παραδείγματα. Ὁ Χριστὸς ὅμως δὲν λέγει αὐτό, ὅτι δηλαδὴ εἶναι ἀδύνατον ν' ἀλλάξῃ ὁ πονηρὸς ἢ ὅτι ὁ ἀγαθὸς δὲν εἶναι δυνατὸν νὰ γίνῃ πονηρός, ἀλλὰ δὲν θὰ ἠμπορέσῃ νὰ παράγῃ καρπόν, ὅσον χρόνον θὰ ζῇ μὲ τὴν πονηρίαν. Διότι εἶναι μὲν δυνατόν, ἐνῷ εἶναι πονηρὸς νὰ μεταβληθῇ καὶ νὰ γίνῃ ἐνάρετος, παραμένων ὅμως εἰς τὴν πονηρίαν δὲν θὰ παράγῃ καρπὸν καλόν. Τί λοιπόν; ὁ Δαυῒδ δὲν παρήγαγε καρπὸν πονηρὸν ἂν καὶ ἦτο ἀγαθός; Ὄχι παραμένων ἀγαθός, ἀλλὰ ὅταν μετεβλήθη· διότι ἐὰν διαρκῶς παρέμενεν ἀγαθός, δὲν θὰ ἦτο δυνατὸν νὰ παράγῃ τέτοιον καρπόν. Διότι δὲν θὰ ἐτόλμα νὰ διαπράξῃ αὐτὰ ποὺ διέπραξεν ἐὰν παρέμενεν εἰς τὴν κατάστασιν τῆς ἀρετῆς.

Αὐτὰ δὲ τὰ ἔλεγε καὶ διὰ ν' ἀποστομώσῃ τοὺς ἁπλῶς συκοφαντοῦντας καὶ διὰ νὰ κλείσῃ τὰ στόματα τῶν κακολόγων. Ἐπειδὴ δηλαδὴ πολλοὶ βλέπουν ὕποπτα τοὺς ἀγαθοὺς ποὺ προέρχονται ἀπὸ τοὺς πονηρούς, τὸ εἶπεν αὐτὸ διὰ νὰ τοὺς ἀφαιρέσῃ κάθε δικαιολογίαν. Οὔτε βέβαια θὰ ἠμπορῇς νὰ εἰπῇς ὅτι ἔχω ἐξαπατηθῇ καὶ ἐσκέφθην ἐσφαλμένα, καιθ' ὅσον σοῦ ἔδωσα τὴν ἀκριβῆ διάγνωσιν ἀπὸ τὰ ἔργα, καὶ σὲ ἐπρόσταξα νὰ βαδίζῃς πρὸς τὰς πράξεις καὶ νὰ μὴ τὰ κάνῃς ὅλα γενικῶς ἄνω - κάτω. Ἔπειτα ἐπειδὴ δὲν εἶπε νὰ τοὺς τιμωροῦν, ἀλλὰ μόνον νὰ προφυλάσσωνται ἀπ' αὐτούς, διὰ νὰ ἐνθαρρύνῃ καὶ ἐκείνους ποὺ ἐβλάπτοντο ἀπὸ αὐτοὺς καὶ διὰ νὰ ἐκφοβίσῃ καὶ νὰ τοὺς κάνῃ καὶ ἐκείνους ν' ἀλλάξουν ζωήν, τοὺς προέβαλε τὴν ἐκ μέ-

δένδρον μὴ ποιοῦν καρπὸν καλόν, ἐκκόπτεται καὶ εἰς πῦρ βάλλεται». Εἶτα ἀνεπαχθέστερον ποιῶν τὸν λόγον, ἐπήγαγεν· «Ἄρα οὖν ἀπὸ τῶν καρπῶν αὐτῶν ἐπιγνώσεσθε αὐτούς»· ἵνα μὴ προηγουμένην τὴν ἀπειλὴν δόξῃ εἰσάγειν,
5 *ἀλλ' ἐν τάξει παραινέσεως καὶ συμβουλῆς κατασείειν αὐτῶν τὴν διάνοιαν. Ἐνταῦθά μοι καὶ Ἰουδαίους αἰνίττεσθαι δοκεῖ, τοιούτους καρποὺς ἐπιδεικνυμένους. Διὸ καὶ τῶν Ἰωάννου ῥημάτων ὑπέμνησε, διὰ τῶν αὐτῶν ὀνομάτων τὴν τιμωρίαν αὐτοῖς ὑπογράψας. Καὶ γὰρ καὶ ἐκεῖνος ταῦτα ἔ-*
10 *λεγεν, ἀξίνης καὶ δένδρου κοπτομένου καὶ πυρὸς ἀσβέστου πρὸς αὐτοὺς μεμνημένος.*

Καὶ δοκεῖ μὲν μία τις εἶναι τιμωρία, τὸ κατακαίεσθαι· εἰ δέ τις ἀκριβῶς ἐξετάσειε, δύο αὗται κολάσεις εἰσίν. Ὁ γὰρ καιόμενος καὶ τῆς βασιλείας ἐκπίπτει πάντως· αὕτη δὲ
15 *ἐκείνης χαλεπωτέρα ἡ τιμωρία. Καὶ οἶδα μὲν ὅτι πολλοὶ τὴν γέενναν μόνον πεφρίκασιν· ἐγὼ δὲ τὴν ἔκπτωσιν τῆς δόξης ἐκείνης πολὺ τῆς γεέννης κόλασιν πικροτέραν εἶναί φημι. Εἰ δὲ μὴ δυνατὸν παραστῆσαι τῷ λόγῳ, θαυμαστὸν οὐδέν. Οὐδὲ γὰρ ἴσμεν ἐκείνων τῶν ἀγαθῶν τὴν μακαριό-*
20 *τητα, ἵνα καὶ τὴν ἀθλιότητα τὴν ἀπὸ τῆς στερήσεως αὐτῶν σαφῶς ἴδωμεν· ἐπεὶ Παῦλος ὁ ταῦτα σαφῶς εἰδώς, οἶδεν ὅτι τὸ ἐκπεσεῖν τῆς τοῦ Χριστοῦ δόξης πάντων ἐστὶ χαλεπώτερον. Καὶ τοῦτο εἰσόμεθα τότε, ὅταν εἰς αὐτὴν τὴν πεῖραν ἐμπέσωμεν.*

25 *8. Ἀλλὰ μήποτε τοῦτο πάθοιμεν, ὦ μονογενὲς τοῦ Θεοῦ παῖ, μηδὲ λάβοιμέν ποτέ τινα πεῖραν τῆς ἀνηκέστου ταύτης κολάσεως. Ὅσον γάρ ἐστι κακὸν ἐκπεσεῖν τῶν ἀγαθῶν ἐ-*

---

33. Ματθ. 3, 10.
34. Γαλ. 5, 4.

ρους του τιμωρίαν, λέγων ὅτι «Κάθε δένδρον ποὺ δὲν παράγει καλὸν καρπὸν κόπτεται καὶ ρίπτεται εἰς τὴν φωτιάν». Ἀκολούθως κάμνων τὸν λόγον ὀλιγώτερον δυσάρεστον, ἐπρόσθεσεν· «Ὥστε λοιπὸν θὰ τοὺς ἀναγνωρίσετε ἀπὸ τοὺς καρπούς των», διὰ νὰ μὴ φανῇ ὅτι παρουσιάζει τὴν ἀπειλὴν προηγουμένην, ἀλλ' ὅτι ἐν εἴδει παραινέσεως καὶ συμβουλῆς κατασείει τὴν σκέψιν αὐτῶν. Ἐδῶ μοῦ φαίνεται ὅτι ὑπαινίσσεται καὶ τοὺς Ἰουδαίους, οἱ ὁποῖοι παρουσιάζουν τέτοιους καρπούς. Διὰ τοῦτο ὑπενθύμισε καὶ τοὺς λόγους τοῦ Ἰωάννου, περιγράψας εἰς αὐτοὺς τὴν τιμωρίαν μὲ τὰς ἰδίας λέξεις. Καθόσον καὶ ἐκεῖνος τὰ ἴδια ἔλεγεν, ὑπενθυμίζων εἰς αὐτοὺς τὴν ἀξίναν καὶ τὸ δένδρον ποὺ κόπτεται καὶ τὴν ἄσβεστον φωτιάν[33].

Καὶ φαίνεται μὲν ὅτι μία εἶναι ἡ τιμωρία, ὅτι δηλαδὴ θὰ καίωνται συνεχῶς· ἐὰν ὅμως ἐξετάσῃ κανεὶς μὲ ἀκρίβειαν τοὺς λόγους αὐτοὺς θὰ διαπιστώσῃ ὅτι πρόκειται διὰ δύο τιμωρίας. Διότι αὐτὸς ποὺ καίεται ὁπωσδήποτε ἐκδιώκεται καὶ ἀπὸ τὴν βασιλείαν· αὐτὴ δὲ ἡ τιμωρία εἶναι πολὺ πιὸ χειρότερη ἀπὸ ἐκείνην. Καὶ γνωρίζω μὲν ὅτι πολλοὶ νοιώθουν φρίκην μόνον διὰ τὴν γέενναν τοῦ πυρός, ὅμως ἐγὼ νομίζω ὅτι εἶναι πολὺ πιὸ πικρὴ ἀπὸ τὴν τιμωρίαν τῆς γεέννης ἡ ἀπώλεια ἐκείνης τῆς δόξης. Ἐὰν δὲ δὲν εἶναι δυνατὸν νὰ τὴν παρουσιάσω μὲ λόγια δὲν εἶναι καθόλου παράξενον. Διότι οὔτε γνωρίζομεν τὴν μακαριότητα ἐκείνων τῶν ἀγαθῶν διὰ νὰ ἀντιληφθοῦμεν ἐπακριβῶς καὶ τὴν ἀθλιότητα ἀπὸ τὴν στέρησιν αὐτῶν· ἐπειδὴ καὶ ὁ Παῦλος, ποὺ εἶχεν ἀκριβῆ γνῶσιν αὐτῶν, λέγει ὅτι εἶναι τὸ πιὸ χειρότερον ἀπὸ ὅλα τὸ νὰ ἐκπέσῃ κανεὶς ἀπὸ τὴν δόξαν τοῦ Χριστοῦ[34]. Καὶ αὐτὸ θὰ τὸ διαπιστώσωμεν ὅταν θ' ἀποκτήσωμεν πεῖραν καὶ αὐτῆς τῆς καταστάσεως.

8. Ἀλλ' εἴθε νὰ μὴ πάθωμεν οὐδέποτε αὐτό, μονογενὲς Υἱὲ τοῦ Θεοῦ, οὔτε νὰ λάβωμεν ποτὲ κάποιαν πεῖραν αὐτῆς τῆς ἀθεραπεύτου τιμωρίας. Βέβαια πόσον κακὸν εἶναι τὸ νὰ ἐκπέσῃ κανεὶς ἀπὸ ἐκεῖνα τὰ ἀγαθὰ δὲν εἶναι μὲν

κείνων, σαφῶς μὲν εἰπεῖν οὐκ ἔνι· πλήν, ὡς ἂν οἷός τε ὦ, βιάσομαι καὶ φιλονεικήσω δι' ὑποδείγματος ὑμῖν αὐτὸ κἂν κατὰ μικρὸν ποιῆσαι φανερόν. Ὑποθώμεθα γὰρ παιδίον εἶναι θαυμαστόν, καὶ μετὰ τῆς ἀρετῆς καὶ τὴν βασιλείαν τῆς 5 *οἰκουμένης ἔχειν, καὶ οὕτως εἶναι ἐνάρετον πανταχοῦ, ὡς δύνασθαι ἅπαντας ἐν φιλοστοργίᾳ πατρικῆς καταστῆσαι διαθέσεως. Τί τοίνυν οὐκ ἂν οἴεσθε τὸν πατέρα τὸν τούτου παθεῖν ἂν ἡδέως, ὥστε μὴ ἐκπεσεῖν αὐτοῦ τῆς ὁμιλίας; τί δὲ ἢ μικρὸν ἢ μέγα κακὸν οὐκ ἂν δέξασθαι, ὥστε ὁρᾶν* 10 *καὶ ἀπολαύειν αὐτοῦ; Τοῦτο τοίνυν καὶ ἐπὶ τῆς δόξης ἐκείνης λογιζώμεθα. Οὐ γὰρ οὕτω πατρὶ παιδίον, κἂν μυριάκις ἐνάρετον ᾖ, ποθεινόν ἐστι καὶ ἐπέραστον, ὡς τῶν ἀγαθῶν ἡ λῆξις ἐκείνων, καὶ τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι. Ἀφόρητον καὶ ἡ γέεννα, καὶ ἡ* 15 *κόλασις ἐκείνη. Πλὴν κἂν μυρίας τις θῇ γεέννας, οὐδὲν τοιοῦτον ἐρεῖ, οἷον τὸ τῆς μακαρίας δόξης ἐκπεσεῖν ἐκείνης, τὸ μισηθῆναι παρὰ τοῦ Χριστοῦ, τὸ ἀκοῦσαι ὅτι οὐκ οἶδα ὑμᾶς, τὸ ἐγκληθῆναι ὅτι πεινῶντα αὐτὸν ἰδόντες οὐκ ἐθρέψαμεν. Καὶ γὰρ μυρίους βέλτιον ὑπομεῖναι κεραυ-* 20 *νούς, ἢ τὸ πρόσωπον ἐκεῖνο τὸ ἥμερον ἰδεῖν ἀποστρεφόμενον ἡμᾶς, καὶ τὸν γαληνὸν ὀφθαλμὸν οὐκ ἀνεχόμενον εἰς ἡμᾶς βλέπειν. Εἰ γὰρ αὐτὸς ἐχθρὸν ὄντα με καὶ μισοῦντα αὐτὸν καὶ ἀποστρεφόμενον οὕτως ἐδίωξεν, ὡς μηδὲ ἑαυτοῦ φείσασθαι, ἀλλ' ἐκδοῦναι ἑαυτὸν εἰς θάνατον· ὅταν μετὰ πάντα* 25 *ἐκεῖνα μηδὲ ἄρτον αὐτὸν ἀξιώσω λιμώττοντα, ποίοις λοιπὸν αὐτὸν ὀφθαλμοῖς ὄψομαι;*

Σκόπει δὲ αὐτοῦ καὶ ἐνταῦθα τὴν ἡμερότητα. Οὐδὲ γὰρ

35. Φιλιπ. 1, 23.
36. Ματθ. 25, 12.
37. Ματθ. 25, 35.

δυνατὸν νὰ τὸ περιγράψῃ κανεὶς ἐπακριβῶς, πλὴν ὅμως, ὅσον μοῦ εἶναι δυνατόν, θὰ καταβάλω ὅλην τὴν δύναμίν μου καὶ θὰ προσπαθήσω διὰ παραδείγματος νὰ κάμω αὐτὸ φανερὸν εἰς σᾶς ἔστω καὶ κατ' ἐλάχιστον. Ἂς ὑποθέσωμεν λοιπὸν ὅτι ὑπάρχει κάποιο ἀξιοθαύμαστον παιδί, ποὺ μαζὶ μὲ τὴν ἀρετὴν ἔχει καὶ τὴν βασιλείαν τῆς οἰκουμένης, καὶ ἔτσι εἶναι ἡ ἀρετή του γνωστὴ εἰς ὅλους, ὥστε νὰ ἠμπορῇ εἰς ὅλους νὰ δημιουργήσῃ τὴν διάθεσιν τῆς πατρικῆς φιλοστοργίας. Τί λοιπὸν νομίζετε ὅτι εἶναι ἐκεῖνο ποὺ δὲν θὰ τὸ ἐδέχετο μὲ εὐχαρίστησιν ὁ πατέρας του, ὥστε νὰ μὴ στερηθῇ τὴν συντροφιάν του; Ποῖον μικρὸν ἢ μεγάλον κακὸν δὲν θὰ ἤθελε δεχθῇ, ὥστε νὰ βλέπῃ καὶ νὰ εὐχαριστῆται μὲ αὐτό; Αὐτὸ λοιπὸν ἂς ἀναλογιζώμεθα καὶ δι' ἐκείνην τὴν δόξαν. Διότι δὲν εἶναι τόσον περιπόθητον καὶ ἀξιαγάπητον τὸ παιδὶ ἀπὸ τὸν πατέρα, καὶ ἂν ἀκόμη εἶναι πάρα πολὺ ἐνάρετον, ὅσον ἐκείνη ἡ λῆξις ἐκείνων τῶν ἀγαθῶν καὶ τὸν ν' ἀποθάνῃ κανεὶς καὶ νὰ εἶναι κοντὰ εἰς τὸν Χριστόν[35]. Ἐνῷ εἶναι ἀνυπόφορος καὶ ὁ τόπος τῆς κολάσεως καὶ ἡ τιμωρία ἐκείνη. Πλὴν ὅμως καὶ ἂν κανεὶς προσθέσῃ μυρίας γεέννας δὲν θὰ ἠμπορέσῃ νὰ εἰπῇ κάτι τὸ παρόμοιον, ὅπως λόγῳ χάριν τὸ νὰ ἐκπέσωμεν ἀπὸ τὴν μακρὰν ἐκείνην δόξαν, τὸ νὰ ἀκούσωμεν τὸ «Δὲν σᾶς γνωρίζω»[36], τὸ νὰ κατηγορηθοῦμεν ὅτι τὸν εἴδαμεν νὰ πεινᾷ καὶ δὲν τοῦ ἐδώσαμεν νὰ φάγῃ[37]. Καὶ βέβαια θὰ ἦτο προτιμότερον νὰ ὑπομείνωμεν μυρίους κεραυνοὺς παρὰ νὰ ἰδοῦμεν ἐκεῖνο τὸ ἥμερον πρόσωπον νὰ μᾶς ἀποστρέφεται καὶ τὸν ἤρεμον ἐκεῖνον ὀφθαλμὸν νὰ μὴ ἀνέχεται νὰ βλέπῃ πρὸς ἡμᾶς. Διότι ἐὰν αὐτὸς ἂν καὶ ἤμουν ἐχθρός του καὶ τὸν ἐμισοῦσα καὶ τὸν ἀπεστρεφόμουν , μὲ ἠγάπησεν, ὥστε νὰ μὴ λυπηθῇ οὔτε καὶ τὸν ἑαυτόν του, ἀλλὰ νὰ παραδώσῃ τὸν ἑαυτόν του εἰς τὸν θάνατον, μὲ τί μάτια λοιπὸν θὰ τὸν ἀντικρύσω, ὅταν μετὰ ἀπὸ ὅλα ἐκεῖνα δὲν καταδέχομαι οὔτε ἄρτον νὰ τοῦ προσφέρω;

Πρόσεξε δὲ καὶ ἐδῶ τὴν πραότητα αὐτοῦ. Διότι δὲν

λέγει τὰς εὐεργεσίας, οὐδ' ὅτι τὸν τοσαῦτα ὠφελήσαντα περιεῖδες. Οὐδὲ γὰρ λέγει· ἐμὲ τὸν ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναί σε παραγαγόντα, τὸν ψυχὴν ἐμπνεύσαντα, καὶ ἐπιστήσαντά σε πᾶσι τοῖς ἐν τῇ γῇ, τὸν διὰ σὲ γῆν καὶ οὐρανὸν καὶ θάλατταν καὶ ἀέρα καὶ πάντα τὰ ὄντα ποιήσαντα, τὸν ἀτιμασθέντα παρὰ σοῦ, καὶ τοῦ διαβόλου ἀτιμότερον εἶναι δόξαντα, καὶ μηδὲ οὕτως ἀποστάντα, ἀλλὰ μυρία μετὰ ταῦτα ἐπινοήσαντα, τὸν ἑλόμενον γενέσθαι δοῦλον, τὸν ῥαπισθέντα καὶ ἐμπτυσθέντα, τὸν σφαγέντα, τὸν ἀποθανόντα θάνατον τὸν αἴσχιστον, τὸν καὶ ἄνω ὑπὲρ σοῦ ἐντυγχάνοντα, τὸν πνεῦμά σοι χαριζόμενον, τὸν βασιλείας σε καταξιοῦντα, τὸν τὰ τοιαῦτα ἐπαγγελλόμενον, τὸν κεφαλήν σου βουληθέντα εἶναι, καὶ νυμφίον, καὶ ἱμάτιον, καὶ οἶκον, καὶ ῥίζαν, καὶ τροφήν, καὶ πόμα, καὶ ποιμένα, καὶ βασιλέα, καὶ ἀδελφόν, ακὶ κληρονόμον καὶ συγκληρονόμον σε ἑλόμενον, τὸν ἀπὸ σκότους εἰς ἐξουσίαν φωτὸς ἀγαγόντα. Ταῦτα γὰρ καὶ πλείονα τούτων ἔχων εἰπεῖν, οὐδὲν τούτων λέγει· ἀλλὰ τί; Μόνον αὐτὸ τὸ ἁμάρτημα. Καὶ ἐνταῦθα δείκνυσι τὴν ἀγάπην, καὶ τὸν πόθον ὃν ἔχει περὶ σὲ ἐνδείκνυται. Οὐδὲ γὰρ εἶπε, πορεύεσθε εἰς τὸ πῦρ τὸ ἡτοιμασμένον ὑμῖν, ἀλλά, «Τὸ ἡτοιμασμένον τῷ διαβόλῳ. Καὶ πρότερον λέγει ἃ ἠδίκησαν, καὶ οὐδὲ οὕτως ὑπομένει πάντα εἰπεῖν, ἀλλ' ὀλίγα. Καὶ πρὸ τούτων ἐκείνους καλεῖ τοὺς κατωρθωκότας, ἵνα δείξῃ καὶ ἐντεῦθεν δίκαια ἐγκαλῶν. Πόσης οὖν κολάσεως τὰ ῥήματα ταῦτα οὐ χαλεπώτερα; Εἰ γὰρ ἄνθρωπόν τις εὐεργέτην λιμώττοντα ἰδών, οὐκ ἂν περιΐδοι· εἰ δὲ καὶ περιΐδοι, ὀνειδιζόμενος ἕλοιτο μᾶλλον καταδῦναι εἰς τὴν γῆν, ἢ ἐπὶ δύο ἢ τριῶν φίλων ταῦτα ἀκοῦσαι· τί πεισόμεθα ἡμεῖς ἐπὶ τῆς οἰκουμέ-

38. Πρβλ. Ματθ. 25, 42-46.
39. Ματθ. 25, 41.

ἀναφέρει τὰς εὐεργεσίας του, οὔτε ὅτι περιεφρόνησες αὐτὸν ποὺ τόσον σὲ ὠφέλησεν. Οὔτε βέβαια λέγει· Ἐμὲ ποὺ σ' ἔφερα εἰς τὴν ὕπαρξιν ἐκ τοῦ μὴ ὄντος, ποὺ σοῦ ἐνεφύσησα τὴν ψυχὴν καὶ σὲ κατέστησα ἐπιστάτην ὅλων τῶν ἐπὶ τῆς γῆς, ποὺ πρὸς χάριν σου ἐδημιούργησα τὴν γῆν καὶ τὸν οὐρανὸν καὶ τὴν θάλασσαν καὶ τὸν ἀέρα καὶ ὅλα τὰ ὄντα, ποὺ περιεφρονήθην ἀπὸ σὲ καὶ ἐθεωρήθην ὅτι εἶμαι ἀτιμότερος ἀκόμη καὶ τοῦ διαβόλου, καὶ ποὺ οὔτε ἔτσι ἀπεμακρύνθην, ἀλλ' ἐπενόησα μετὰ ταῦτα μυρίους τρόπους, ποὺ κατεδέχθην νὰ γίνω δοῦλος, νὰ μαστιγωθῶ καὶ νὰ ἐμπτυσθῶ, νὰ θυσιασθῶ καὶ νὰ ὑποστῶ τὸν πιὸ ἀτιμωτικὸν θάνατον, ποὺ εὑρισκόμενος εἰς τὸν οὐρανὸν προσεύχομαι διὰ σέ, ποὺ σοῦ ἐχάρισα τὸ ἅγιον Πνεῦμα, ποὺ σὲ κατέστησα ἄξιον τῆς βασιλείας καὶ σοῦ ἔδωσα τόσας ὑποσχέσεις, ποὺ ἠθέλησα νὰ εἶμαι ἡ κεφαλή σου καὶ νυμφίος καὶ ἱμάτιον καὶ οἶκος καὶ ρίζα καὶ τροφὴ καὶ ποτὸν καὶ ποιμὴν καὶ βασιλεὺς καὶ ἀδελφός σου καὶ σὲ ἐξέλεξα ὡς κληρονόμον καὶ συγκληρονόμον, ποὺ σὲ ὡδήγησα ἀπὸ τὸ σκότος εἰς τὸ βασίλειον τοῦ φωτός. Διότι ἂν καὶ ἔχει νὰ εἰπῇ ὅλα αὐτὰ καὶ περισσότερα ἀπὸ αὐτά, δὲν λέγει τίποτε ἀπὸ αὐτά· ἀλλὰ τὶ λέγει; Ὁμιλεῖ μόνον δι' αὐτὸ τὸ ἁμάρτημα[38]. Καὶ ἐδῶ δείχνει τὴν ἀγάπην καὶ φανερώνει τὸν πόθον ποὺ ἔχει δι' ἐσένα. Πράγματι δὲν εἶπε, 'πηγαίνετε εἰς τὸ πῦρ ποὺ ἔχει ἑτοιμασθῇ διὰ σᾶς', ἀλλὰ «αὐτὸ ποὺ ἔχει ἑτοιμασθῇ διὰ τὸν διάβολον»[39]. Καὶ κατ' ἀρχὴν λέγει τὰς ἀδικίας ποὺ διέπραξαν, καὶ οὔτε πάλιν ἐπιμένει νὰ τ' ἀναφέρῃ ὅλα, ἀλλ' ὀλίγα. Καὶ πρὶν ἀπὸ αὐτοὺς καλεῖ ἐκείνους ποὺ διέπρεψαν εἰς τὴν ἀρετήν, διὰ νὰ δείξῃ καὶ ἀπὸ ἐδῶ ὅτι δικαίως τοὺς κατηγορεῖ. Ἀπὸ πόσην λοιπὸν κόλασιν αὐτὰ τὰ λόγια δὲν εἶναι φοβερώτερα; Διότι ἐὰν κάποιος, βλέπων πεινασμένον ἄνθρωπον ποὺ τὸν ηὐεργέτησε, δὲν εἶναι δυνατὸν νὰ τὸν παραβλέψῃ, ἐὰν δὲ τὸν παρέβλεπε, κατηγορούμενος θὰ προτιμοῦσε μᾶλλον νὰ βυθισθῇ μέσα εἰς τὴν γῆν παρὰ νὰ τὰ ἀκούσῃ αὐτὰ ἀπὸ δύο ἢ τρεῖς φίλους, τί θὰ πάθωμεν ἡ-

νης ἁπάσης ταῦτα ἀκούοντες, ἅπερ οὐδ' ἂν τότε εἶπεν, εἰ μὴ ὑπὲρ τῶν καθ' ἑαυτὸν ἀπολογήσασθαι ἔσπευδεν; Ὅτι γὰρ οὐκ ὀνειδίζων αὐτὰ προέφερεν, ἀλλ' ἀπολογούμενος, καὶ ὑπὲρ τοῦ δεῖξαι, ὅτι οὐ μάτην οὐδὲ εἰκῇ πρὸς αὐτοὺς ἔλεγε,
5 *«Πορεύεσθε ἀπ' ἐμοῦ», δῆλον ἐκ τῶν ἀφάτων εὐεργεσιῶν. Εἰ γὰρ ἐβούλετο ὀνειδίσαι, πάντα ἂν ἐκεῖνα εἰς μέσον ἤγαγε· νυνὶ δὲ ἅπερ ἔπαθε λέγει μόνον.*

9. Φοβηθῶμεν τοίνυν, ἀγαπητοί, τὸ ταῦτα ἀκοῦσαι τὰ ῥήματα. Οὐκ ἔστι παίγνιον ὁ βίος· μᾶλλον δὲ ὁ μὲν παρὼν
10 *βίος παίγνιον, τὰ δὲ μέλλοντα οὐ παίγνια. Τάχα δὲ οὐδὲ παίγνιον μόνον ὁ βίος, ἀλλὰ καὶ τούτου χεῖρον. Οὐ γὰρ εἰς γέλωτα τελευτᾷ, ἀλλὰ καὶ πολλὴν φέρει τὴν βλάβην τοῖς μὴ μετὰ ἀκριβείας τὰ καθ' ἑαυτοὺς οἰκονομεῖν βουλομένοις. Τί γὰρ παίδων, εἰπέ μοι, διεστήκαμεν τῶν παιζόν-*
15 *των καὶ οἰκίας οἰκοδομούντων ἡμεῖς οἱ τὰς λαμπρὰς οἰκίας οἰκοδομοῦντες; τί δὲ ἀριστοποιουμένων αὐτῶν ἡμεῖς οἱ τρυφῶντες; Οὐδέν, πλὴν ὅσον μετὰ κολάσεως ταῦτα πράττομεν. Εἰ δὲ οὐδέπω συνορῶμεν τὴν εὐτέλειαν τῶν γινομένων, θαυμαστὸν οὐδέν· οὔπω γὰρ ἄνδρες γεγόναμεν· ὅταν δὲ γε-*
20 *νώμεθα, εἰσόμεθα ὅτι ταῦτα πάντα παιδικά. Ἐπεὶ καὶ ἐκείνων γινόμενοι ἄνδρες καταγελῶμεν· παῖδες δὲ ὄντες περισπούδαστα νομίζομεν εἶναι, καὶ ὄστρακα καὶ πηλὸν συνάγοντες, τῶν τοὺς μεγάλους ἀνιστώντων περιβόλους οὐκ ἔλαττον φρονοῦμεν. Ἀλλ' ὅμως εὐθέως ἀπόλλυται καὶ κα-*
25 *ταπίπτει, καὶ οὔτε ἑστῶτά που χρήσιμα γένοιτ' ἂν ἡμῖν, ὥσπερ οὖν οὐδὲ αὗται αἱ λαμπραὶ οἰκίαι. Τὸν γὰρ τοῦ οὐρα-*

---

40. Ματθ. 25, 41.

μεῖς, ἀκούοντες αὐτὰ ἐνώπιον ὅλης τῆς οἰκουμένης, αὐτὰ τὰ ὁποῖα οὔτε τότε θὰ ἔλεγεν ἐὰν δὲν ἔσπευδε ν' ἀπολογηθῇ διὰ τὰς κατηγορίας ἐναντίον του; Τὸ ὅτι τὰ ἔλεγεν αὐτὰ ὄχι μὲ σκοπὸν νὰ τοὺς κατηγορήσῃ, ἀλλὰ ἀπολογούμενος καὶ διὰ νὰ δείξῃ ὅτι ὄχι ἀδίκως οὔτε κατὰ τύχην ἔλεγε πρὸς αὐτοὺς «Φύγετε ἀπὸ κοντά μου»[40], γίνεται φανερὸν ἀπὸ τὰς ἀπεριγράπτους εὐεργεσίας του. Διότι ἐὰν ἤθελε νὰ κατηγορήσῃ θὰ ἀνέφερεν ὅλα ἐκεῖνα τὰ ἁμαρτήματά των· τώρα ὅμως λέγει μόνον ἐκεῖνα τὰ ὁποῖα ἔπαθεν ὁ ἴδιος.

9. Ἂς φοβηθῶμεν λοιπόν, ἀγαπητοί, τὸ νὰ ἀκούσωμεν αὐτὰ τὰ λόγια. Δὲν εἶναι ἡ ζωὴ παιχνίδι· μᾶλλον δέ, ἡ μὲν παροῦσα ζωὴ εἶναι παιχνίδι, τὰ μελλοντικὰ ὅμως δὲν εἶναι παιχνίδια. Ἴσως ὅμως ἡ ζωὴ δὲν εἶναι μόνον παιχνίδι, ἀλλὰ προξενεῖ καὶ πολλὴν ζημίαν εἰς αὐτοὺς ποὺ δὲν θέλουν μὲ ἀκρίβειαν νὰ ρυθμίζουν τὴν ζωήν των. Διότι, εἰπέ μου, ὡς πρὸς τί διαφέρομεν ἀπὸ τὰ παιδιὰ ποὺ παίζουν καὶ κτίζουν οἰκίας, ἡμεῖς οἱ ὁποῖοι κτίζομεν τὰς λαμπρὰς οἰκίας; ὡς πρὸς τί δὲ ἡμεῖς ποὺ κάνομεν τρυφηλὴν ζωὴν ἀπὸ αὐτοὺς ποὺ ἁπλῶς γευματίζουν; Δὲν διαφέρομεν ὡς πρὸς τίποτε, ἐκτὸς ἀπὸ τὸ ὅτι κάμνομεν αὐτὰ κατὰ τρόπον ἄξιον νὰ τιμωρηθῶμεν. Ἐὰν δὲ δὲν ἀντιλαμβανώμεθα ἀκόμη τὴν εὐτέλειαν τῶν πράξεών μας δὲν εἶναι καθόλου ἀξιοθαύμαστον· διότι δὲν ἔχομεν γίνει ἀκόμη ἄνδρες· ὅταν ὅμως θὰ γίνωμεν, θὰ διαπιστώσωμεν ὅτι ὅλα αὐτὰ εἶναι παιδικά. Πράγματι τὰ περιγελῶμεν καὶ ἐκεῖνα, ὅταν γίνωμεν ἄνδρες, ἐνῷ ὅσον καιρὸν εἴμεθα παιδιὰ τὰ θεωροῦμεν πολὺ ἀξιόλογα, καὶ ἂν καὶ μαζεύομεν κόκκαλα καὶ πηλόν, δὲν θεωροῦμεν ὅτι τὸ ἔργον μας εἶναι κατώτερον ἀπὸ αὐτοὺς ποὺ ἀνυψώνουν τὰ μεγάλα τείχη. Ἀλλ' ὅμως ἀμέσως καταστρέφονται καὶ κομματιάζονται, καὶ οὔτε βέβαια θὰ ἠμποροῦσαν νὰ μᾶς εἶναι χρήσιμα ἐὰν διετηροῦντο, ὅπως ἀκριβῶς βέβαια δὲν μᾶς ὠφελοῦν οὔτε αἱ λαμπραὶ οἰκίαι. Διότι δὲν θὰ ἠμποροῦσαν νὰ δεχθοῦν τὸν πολίτην τοῦ οὐρανοῦ,

νοῦ πολίτην οὐκ ἂν δύναιντο δέξασθαι, οὐδ' ἂν ἀνάσχοιτο μεῖναι ἐν αὐταῖς ὁ τὴν ἄνω πατρίδα ἔχων· ἀλλ' ὥσπερ ἡμεῖς τοῖς ποσὶ ταῦτα καθαιροῦμεν, οὕτω κἀκεῖνος τῷ φρονήματι καταστρέφει. Καὶ καθάπερ ἡμεῖς τῶν παίδων ἐπὶ 5 τῇ καταστροφῇ κλαιόντων καταγελῶμεν· οὕτω καὶ οὗτοι, ταῦτα ὀδυρομένων ἡμῶν, οὐ γελῶσι μόνον, ἀλλὰ καὶ κλαίουσιν· ἐπειδὴ καὶ συμπαθῆ αὐτῶν τὰ σπλάγχνα, καὶ πολλὴ ἐντεῦθεν ἡ βλάβη.

Γενώμεθα τοίνυν ἄνδρες. Μέχρι τίνος χαμαὶ συρόμεθα, 10 ἐπὶ λίθοις καὶ ξύλοις μέγα φρονοῦντες; μέχρι τίνος παίζομεν; Καὶ εἴτε μόνον ἐπαίζομεν· νυνὶ δὲ καὶ τὴν ἑαυτῶν προδίδομεν σωτηρίαν· καὶ καθάπερ τὰ παιδία, ὅταν τὴν ἐν τούτοις σχολὴν ἀγάγῃ τῶν γραμμάτων ἀμελήσαντα, ἐσχάτας ὑπομένουσι πληγάς· οὕτω καὶ ἡμεῖς ἐν τούτοις ἅπασαν τὴν 15 σπουδὴν καταναλίσκοντες, καὶ τὰ πνευματικὰ ἀπαιτούμενοι μαθήματα τότε διὰ τῶν ἔργων, καὶ οὐκ ἔχοντες παρασχεῖν, τὴν ἐσχάτην δώσομεν τιμωρίαν. Καὶ οὐδεὶς ὁ ἐξαιρούμενος· κἂν πατὴρ ᾖ, κἂν ἀδελφός, κἂν ὁστισοῦν. Ἀλλὰ ταῦτα μὲν οἰχήσεται πάντα, ἡ δὲ ἐξ αὐτῶν γινομένη βάσανος ἀθά- 20 νατος μένει καὶ διηνεκής· ὅπερ οὖν καὶ ἐπὶ τῶν παίδων γίνεται, τὰ μὲν παιδικὰ ἀθύρματα τοῦ πατρὸς διὰ τὴν ῥαθυμίαν αὐτῶν τέλεον ἀφανίζοντος, αὐτοὺς δὲ εἰς τὸ κλαίειν διηνεκῶς καθιστῶντος. Καὶ ἵνα μάθῃς, ὅτι ταῦτα τοιαῦτά ἐστιν, ὃ μάλιστα πάντων εἶναι δοκεῖ περισπούδαστον, τὸν 25 πλοῦτον εἰς μέσον ἀγάγωμεν, καὶ ἀντιθῶμεν αὐτῷ ψυχῆς ἀρετὴν ἣν ἂν θέλῃς, καὶ τότε αὐτοῦ μάλιστα ὄψει τὴν εὐτέλειαν. Θῶμεν τοίνυν ἀνθρώπους εἶναι δύο· καὶ οὔπω λέγω περὶ πλεονεξίας, ἀλλὰ περὶ δικαίου πλούτου τέως· καὶ τῶν δύο τούτων, ὁ μὲν συναγέτω χρήματα, καὶ πλείτω θάλατταν, 30 καὶ γεωργείτω γῆν, καὶ πολλοὺς ἑτέρους ἐμπορίας εὑρισκέ-

οὔτε θὰ ἠμποροῦσε νὰ ὑποφέρῃ νὰ παραμείνῃ ἐντὸς αὐτῶν αὐτὸς ποὺ ἔχει τὴν οὐράνιον πατρίδα. Ἀλλ' ὅπως ἀκριβῶς ἡμεῖς αὐτὰ τὰ καταστρέφομεν μὲ τὰ πόδια μας, ἔτσι καὶ ἐκεῖνος τὰ καταστρέφει μὲ τὸ φρόνημα. Καὶ ὅπως ἀκριβῶς ἡμεῖς γελοῦμεν ποὺ τὰ παιδιὰ κλαίουν μὲ τὴν καταστροφήν των, ἔτσι καὶ αὐτοὶ ὄχι μόνον γελοῦν ποὺ θρηνοῦμεν ἡμεῖς δι' αὐτά, ἀλλὰ καὶ κλαίουν· ἐπειδὴ καὶ ἡ καρδία του εἶναι εὐσπλαγχνικὴ καὶ ἡ βλάβη ἐξ αἰτίας αὐτοῦ μεγάλη.

Ἂς γίνωμεν λοιπὸν ἄνδρες. Μέχρι πότε θὰ συρώμεθα κάτω, ἔχοντες ἐστραμμένην τὴν προσοχήν μας εἰς τοὺς λίθους καὶ τὰ ξύλα; μέχρι πότε θὰ παίζωμεν; Καὶ μακάρι νὰ ἐπαίζαμεν μόνον· τώρα ὅμως προδίδομεν καὶ τὴν σωτηρίαν μας· καὶ ὅπως ἀκριβῶς τὰ παιδιὰ ὑφίστανται βαρείας τιμωρίας, ὅταν παραμελοῦντα τὰ γράμματα, συγκεντρώνουν ὅλην τὴν φροντίδα των εἰς αὐτά, ἔτσι καὶ ἡμεῖς καταδαπανοῦντες εἰς αὐτὰ ὅλην μας τὴν φροντίδα, ὅταν θὰ μᾶς ζητηθῇ νὰ παρουσιάσωμεν τὰ πνευματικά μας ἔργα, ἐπειδὴ δὲν θὰ ἔχωμεν νὰ ἐπιδείξωμεν τίποτε, θὰ ὑποστοῦμεν τὴν χειρίστην τιμωρίαν. Καὶ κανεὶς δὲν θὰ ἐξαιρεθῇ· εἴτε πατέρας, εἴτε εἶναι ἀδελφός, εἴτε εἶναι ὁποιοσδήποτε ἄλλος. Ἀλλὰ αὐτὰ μὲν ὅλα θὰ περάσουν, ἡ τιμωρία ὅμως ποὺ θὰ προέλθῃ ἀπ' αὐτὰ θὰ μένῃ ἀθάνατος καὶ θὰ εἶναι ἀδιάκοπος· πρᾶγμα λοιπὸν ποὺ συμβαίνει καὶ εἰς τὰ παιδιά, καθόσον ὁ πατέρας των ἐξαφανίζει ἐξ αἰτίας τῆς ὀκνηρίας των ἐξ ὁλοκλήρου τὰ παιδικὰ παιχνίδια, αὐτὰ δὲ κλαίουν συνεχῶς. Καὶ διὰ ν' ἀντιληφθῇς ὅτι αὐτὰ εἶναι τέτοιου εἴδους, ἂς πάρωμεν ὡς παράδειγμα αὐτὸ ποὺ θεωρεῖται τὸ σπουδαιότερον ἀπὸ ὅλα, δηλαδὴ τὸν πλοῦτον, καὶ ἂς τὸν συγκρίνωμεν μὲ ὁποιαν ἀρετὴν τῆς ψυχῆς θέλεις καὶ τότε θὰ διαπιστώσῃς τελείως τὸ ἀσήμαντον αὐτοῦ. Ἂς ὑποθέσωμεν λοιπὸν ὅτι ἔχομεν δύο ἀνθρώπους· καὶ οὐδόλως ὁμιλῶ διὰ πλεονεξίαν, ἀλλὰ διὰ τὸν δίκαιον κατ' ἀρχὴν πλοῦτον· καὶ ἀπὸ αὐτοὺς τοὺς δύο ὁ μὲν ἕνας συγκεντρώνει χρήματα, ταξιδεύει εἰς τὴν θάλασσαν, καλλιεργεῖ τὴν γῆν καὶ ἐξευρίσκει πολλοὺς

τω τρόπους· καίτοιγε οὐκ οἶδα εἰ ταῦτα ποιῶν δύναται δικαίως κερδαίνειν· πλὴν ἀλλ' ἔστω καὶ ὑποκείσθω δίκαια κέρδη κερδαίνειν αὐτόν, καὶ ἀγροὺς ὠνεῖσθαι καὶ ἀνδράποδα καὶ ὅσα τοιαῦτα, καὶ μηδεμία προσέστω τούτοις ἀδικία· ὁ δὲ ἕτερός τις τοσαῦτα κεκτημένος, πωλείτω ἀγρούς, πωλείτω οἰκίας, καὶ σκεύη χρυσᾶ καὶ ἀργυρᾶ, καὶ παρεχέτω τοῖς δεομένοις, ἐπαρκείτω τοῖς πενομένοις, θεραπευέτω νοσοῦντας, τοὺς ἐν ἀνάγκῃ λυέτω, τοὺς ἀπὸ δεσμῶν ἐκβαλλέτω, τοὺς ἐν μετάλλοις ἐλευθερούτω, τοὺς ἀπὸ βρόχων καταγέτω, τοὺς αἰχμαλώτους λυέτω τῆς τιμωρίας. Τίνος οὖν βούλεσθε μερίδος εἶναι; Καὶ οὐδέπω τὰ μέλλοντα, ἀλλὰ τέως τὰ ἐνταῦθα εἰρήκαμεν. Τίνος οὖν εἶναι βούλεσθε; τοῦ συνάγοντος χρυσίον, ἢ τοῦ λύοντος συμφοράς; τοῦ τοὺς ἀγροὺς ὠνουμένου, ἢ τοῦ λιμένα κατασκευάζοντος ἑαυτὸν τῇ τῶν ἀνθρώπων φύσει; τοῦ τὸ πολὺ περιβεβλημένου χρυσίον, ἢ τοῦ μυρίαις εὐφημίαις ἐστεφανωμένου; Οὐχ ὁ μὲν ἀγγέλῳ τινὶ προσέοικεν ἐξ οὐρανοῦ καταβάντι πρὸς τὴν τῶν λοιπῶν ἀνθρώπων διόρθωσιν, ὁ δὲ οὐδὲ ἀνθρώπῳ, ἀλλὰ παιδίῳ τινὶ μάτην καὶ ἁπλῶς πάντα συνάγοντι; Εἰ δὲ τὸ δικαίως χρηματίζεσθαι οὕτω καταγέλαστον καὶ ἀνοίας ἐσχάτης, ὅταν μηδὲ τὸ δικαίως προσῇ, πῶς οὐ πάντων ἀθλιώτερος ὁ τοιοῦτος; Εἰ γὰρ ὁ γέλως τοσοῦτος, ὅταν καὶ γέεννα προσῇ καὶ βασιλείας ἔκπτωσις, πόσων ἂν εἴη θρήνων ἄξιος, καὶ ζῶν καὶ τετελευτηκώς;

10. Ἀλλὰ καὶ ἕτερον βούλει τῆς ἀρετῆς μεταχειρισώμεθα μέρος; Οὐκοῦν ἀγάγωμεν πάλιν ἕτερον ἄνθρωπον ἐν

ἄλλους τρόπους ἐμπορίας· ἂν καὶ βέβαια δὲν γνωρίζω ἐὰν εἶναι δίκαιον τὸ κέρδος ποὺ ἀποκομίζει ἀπ' αὐτὰς τὰς πράξεις του. Ὑποθέτομεν ὅμως ὅτι αὐτὸς κερδίζει δίκαια κέρδη, καὶ ἀγοράζει ἀγροὺς καὶ δούλους καὶ ὅσα ἄλλα παρόμοια, καὶ δὲν ὑπάρχει καμμία ἀδικία εἰς αὐτά. Ὁ δὲ ἄλλος ὑποθέτομεν ὅτι ἔχει τόσα πολλὰ καὶ πωλεῖ ἀγρούς, πωλεῖ οἰκίας καὶ χρυσᾶ καὶ ἀργυρᾶ σκεύη, καὶ δίδει εἰς αὐτοὺς ποὺ ἔχουν ἀνάγκην, βοηθεῖ τοὺς πτωχούς, θεραπεύει τοὺς ἀσθενεῖς, βοηθεῖ αὐτοὺς ποὺ ἔχουν ἀνάγκην, ἐλευθερώνει τοὺς φυλακισμένους, ἐλευθερώνει τοὺς ἐργαζομένους εἰς τὰ μεταλλεῖα, ἐλευθερώνει τοὺς ὁδηγουμένους εἰς τὴν ἀγχόνην, ἐλευθερώνει τοὺς αἰχμαλώτους ἀπὸ τὴν τιμωρίαν. Εἰς ποῖον λοιπὸν μέρος θέλετε ν' ἀνήκετε; Καὶ δὲν ἀνέφερα ἀκόμη τὰ μελλοντικά, ἀλλὰ πρῶτα ἀνέφερα αὐτὰ ποὺ συμβαίνουν ἐδῶ. Μὲ ποῖον λοιπὸν θέλετε νὰ εἶσθε; μὲ αὐτὸν ποὺ συγκεντρώνει χρυσὸν ἢ μὲ αὐτὸν ποὺ ἀνακουφίζει συμφοράς; μὲ αὐτὸν ποὺ ἀγοράζει ἀγροὺς ἢ μὲ αὐτὸν ποὺ κάμνει τὸν ἑαυτόν του λιμένα διὰ τὴν ἀνθρωπίνην φύσιν; μὲ αὐτὸν ποὺ περιβάλλεται ἀπὸ χρυσὸν ἢ μὲ αὐτὸν ποὺ εἶναι ἐστεφανωμένος μὲ χιλιάδας ἐπαίνους; Δὲν ὁμοιάζει ὁ μὲν ἕνας μὲ κάποιον ἄγγελον ποὺ κατέβη ἀπὸ τὸν οὐρανὸν διὰ τὴν διόρθωσιν τῶν ὑπολοίπων ἀνθρώπων, ὁ δὲ ἄλλος οὔτε μὲ ἄνθρωπον, ἀλλὰ μὲ κάποιο παιδὶ ποὺ συγκεντρώνει ὅλα χωρὶς σκοπὸν καὶ ἄδικα; Ἐὰν δὲ τὸ ν' ἀποκτᾷ κανεὶς χρήματα μὲ δίκαια μέσα εἶναι ἄξιον χλευασμοῦ καὶ ἀπόδειξις ἐσχάτης ἀνοησίας, ὅταν δὲν συνοδεύῃ τὸ δίκαιον τὰ πλούτη του, πῶς ὁ τοιοῦτος δὲν εἶναι πιὸ ἄθλιος ἀπὸ ὅλους; Διότι ἐὰν ὁ χλευασμὸς εἶναι τόσος μεγάλος, ὅταν καὶ ἡ γέεννα προστεθῇ καὶ ἡ ἔκπτωσις ἀπὸ τὴν βασιλείαν, πόσων θρήνων θὰ ἠμποροῦσε νὰ εἶναι ἄξιος ἕνας τέτοιος ἄνθρωπος καὶ ὅσον θὰ ζῇ καὶ ὅταν θὰ ἀποθάνῃ;

10. Ἀλλὰ θέλεις νὰ λάβωμεν ὡς παράδειγμα καὶ μίαν ἄλλην ἀρετήν; Λοιπὸν ἂς λάβωμεν πάλιν ἕνα ἄλλον ἄνθρωπον ποὺ εὑρίσκεται εἰς τὴν ἐξουσίαν καὶ διατάσσει ὅ-

δυναστείᾳ ὄντα, πᾶσιν ἐπιτάττοντα, ἀξίωμα περιβεβλημένον μέγα, κήρυκα ἔχοντα λαμπρὸν καὶ ζώνην καὶ ῥαβδούχους, καὶ πολὺν τὸν τῆς θεραπείας χορόν. Οὐχὶ δοκεῖ τοῦτο μέγα εἶναι καὶ μακαριστόν; Φέρε οὖν, καὶ τούτῳ πάλιν ἀντιθῶ-
5 *μεν ἕτερον, τὸν ἀνεξίκακον καὶ πρᾶον καὶ ταπεινὸν καὶ μακρόθυμον· καὶ οὗτος ὑβριζέσθω, τυπτέσθω, καὶ φερέτω εὐκόλως, καὶ τοὺς τὰ τοιαῦτα ποιοῦντας εὐλογείτω. Τίς οὖν ὁ θαυμαστός, εἰπέ μοι; ὁ πεφυσιωμένος καὶ φλεγμαίνων ἢ ὁ κατεσταλμένος; Οὐχὶ ὁ μὲν ἔοικε πάλιν ταῖς ἄνω δυνάμεσι*
10 *ταῖς πολλὴν ἐχούσαις τὴν ἀπάθειαν, ὁ δὲ φύσῃ σπωμένῃ, ἢ ὕδερον ἀνθρώπῳ ἔχοντι, καὶ πολλὴν τὴν φλεγμονήν; καὶ ὁ μὲν ἰατρῷ πνευματικῷ, ὁ δὲ τὰς γνάθους φυσῶντι παιδίῳ καταγελάστῳ; Τί γὰρ μέγα φρονεῖς, ἄνθρωπε; ὅτι ὑψηλὸς ἐπὶ ὀχήματος φέρῃ; ὅτι σε ζεῦγος ἡμιόνων ἕλκει; Καὶ τί*
15 *τοῦτο; Τοῦτο γὰρ καὶ ἐπὶ ξύλων καὶ ἐπὶ λίθων γινόμενον ἴδοι τις ἄν. Ἀλλ' ὅτι καλὰ περιβέβλησαι ἱμάτια; Ἀλλ' ὅρα τὸν ἀρετὴν ἀντὶ ἱματίων ἐνδεδυμένον, καὶ ὄψει σαυτὸν μὲν χόρτῳ ἐοικότα σηπομένῳ, ἐκεῖνον δὲ δένδρῳ θαυμαστὸν φέροντι καρπόν, καὶ πολλὴν τοῖς ὁρῶσι παρέχοντι τὴν εὐφρο-*
20 *σύνην. Σὺ μὲν γὰρ τροφὴν σκωλήκων περιφέρεις καὶ σητῶν, οἳ, ἂν ἐπιθῶνταί σοι, ταχέως σε γυμνὸν ποιήσουσι τοῦ κόσμου τούτου (καὶ γὰρ καὶ ἱμάτια καὶ χρυσὸς καὶ ἄργυρος, τὰ μὲν σκωλήκων νήματα, τὰ δὲ γῆ καὶ κόνις, καὶ πάλιν γῆ, καὶ πλέον οὐδέν), ὁ δὲ ἀρετὴν περιβεβλημένος τοιαύτην ἔ-*
25 *χει στολήν, ἣν οὐ μόνον σῆτες, ἀλλ' οὐδὲ αὐτὸς ὁ θάνατος λυμήνασθαι δύναται· καὶ μάλα εἰκότως. Οὐ γὰρ ἀπὸ γῆς ἔχουσι τὴν ἀρχὴν αὗται τῆς ψυχῆς αἱ ἀρεταί, ἀλλὰ πνεύ-*

λους, ποὺ περιβάλλεται ἀπὸ μεγάλο ἀξίωμα καὶ ἔχει λαμπρὸν κήρυκα καὶ ζώνην καὶ ραβδούχους καὶ μέγα πλῆθος ὑπηρετῶν. Δὲν θεωρεῖται αὐτὸ ὅτι εἶναι πρᾶγμα μεγάλο καὶ ἀξιομακάριστον; Ἐμπρός, λοιπόν, ἂς ἀντιπαραθέσωμεν εἰς αὐτὸν κάποιον ἄλλον, ποὺ εἶναι ἀνεξίκακος καὶ πρᾷος καὶ ταπεινόφρων καὶ μακρόθυμος· καὶ αὐτὸς ἂς ὑποθέσωμεν ὅτι ὑβρίζεται, κτυπᾶται, ὅλα τὰ ἀνέχεται εὐκόλως καὶ εὐλογεῖ αὐτοὺς ποὺ τοῦ κάμνουν ὅλα αὐτά. Εἰπέ μου λοιπὸν ποῖος εἶναι ὁ ἀξιοθαύμαστος; αὐτὸς ποὺ εἶναι ὑπερήφανος καὶ ἐγωϊστὴς ἢ αὐτὸς ποὺ εἶναι ταπεινόφρων; Δὲν ὁμοιάζει ὁ μὲν ἕνας πάλιν μὲ τὰς οὐρανίους δυνάμεις ποὺ ἔχουν μεγάλην ἀπάθειαν, ὁ δὲ πρῶτος μὲ ἄνθρωπον ἀνάλαφρον ἢ μὲ ἄνθρωπον ποὺ ἔχει ὕδερον καὶ ποὺ ἐρεθίζεται πάρα πολύ, καὶ ὁ μὲν ἕνας ὁμοιάζει μὲ ἰατρὸν πνευματικόν, ὁ δὲ ἄλλος μὲ παιδὶ γελοῖον ποὺ φουσκώνει τὰ μάγουλά του; Διατί μεγαλοφρονεῖς, ἄνθρωπέ μου; διὰ τὸ ὅτι φέρεσαι ἐπάνω εἰς ὄχημα; διὰ τὸ ὅτι σὲ σύρει ζεῦγος ἡμιόνων; Καὶ τί ἀξίαν ἔχει αὐτό; Διότι αὐτὸ θὰ ἠμποροῦσε νὰ τὸ ἰδῇ κανεὶς καὶ εἰς τὰ ξύλα καὶ εἰς τοὺς λίθους. Ἀλλὰ τὸ κάμνεις αὐτὸ μήπως ἐπειδὴ φορᾷς ἐνδύματα; Πρόσεξε ὅμως αὐτὸν ποὺ φορᾷ τὴν ἀρετὴν ἀντὶ ἐνδυμάτων καὶ θὰ ἰδῇς τὸν μὲν ἑαυτόν σου νὰ ὁμοιάζῃ μὲ χόρτον ποὺ σήπεται, ἐκεῖνον δὲ μὲ δένδρον ποὺ παράγει καρπὸν ἀξιοθαύμαστον καὶ ποὺ χαρίζει πολλὴν εὐφροσύνην εἰς ἐκείνους ποὺ τὸν βλέπουν. Διότι σὺ μὲν φέρεις τροφὴν σκωλήκων καὶ σκόρων, ποὺ ἂν σοῦ ἐπιτεθοῦν ἀμέσως θὰ σὲ ἀπογυμνώσουν ἀπὸ αὐτοῦ τοῦ εἴδους τὸν στολισμὸν (καθόσον καὶ τὰ ἐνδύματα καὶ ὁ χρυσὸς καὶ ὁ ἄργυρος, τὰ μὲν εἶναι κλωσταὶ σκωλήκων, τὰ δὲ γῆ καὶ σκόνη ποὺ καὶ πάλιν γῆ θὰ γίνουν, καὶ τίποτε παραπάνω), αὐτὸς ὅμως ποὺ εἶναι ἐνδεδυμένος μὲ τὴν ἀρετὴν ἔχει τέτοιαν στολήν, τὴν ὁποίαν ὄχι μόνον σκόροι ἀλλ' οὔτε αὐτὸς ὁ θάνατος ἠμπορεῖ νὰ καταστρέψῃ· καὶ εἶναι πολὺ φυσικὸν αὐτό. Διότι αὐταὶ αἱ ἀρεταὶ τῆς ψυχῆς δὲν ἔχουν τὴν ἀρχήν των εἰς τὴν γῆν, ἀλλ' εἶναι καρ-

ματός εἰσι καρπός· διὸ οὐδὲ σκωλήκων ὑπόκεινται στόμασι. Καὶ γὰρ ἐν οὐρανῷ τὰ ἱμάτια ταῦτα ὑφαίνεται, ὅπου οὐ σής, οὐ σκώληξ, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. Τί τοίνυν βέλτιον, εἰπέ μοι; πλουτεῖν ἢ πένεσθαι; ἐν δυναστείᾳ εἶναι ἢ ἐν ἀ-
5 *τιμίᾳ; ἐν τρυφῇ ἢ ἐν λιμῷ; Εὔδηλον, ὅτι ἐν τιμῇ καὶ τρυφῇ καὶ πλούτῳ. Οὐκοῦν εἰ τὰ πράγματα βούλει καὶ μὴ τὰ ὀνόματα, τὴν γῆν ἀφεὶς καὶ τὰ ἐν αὐτῇ, μεθορμίζου πρὸς τὸν οὐρανόν· τὰ μὲν γὰρ ἐνταῦθα σκιά, τὰ δὲ ἐκεῖ πράγματα ἀκίνητα καὶ πεπηγότα καὶ πᾶσιν ἀχείρωτα.*

10 *Ἑλώμεθα τοίνυν αὐτὰ μετὰ ἀκριβείας ἁπάσης, ἵνα καὶ τοῦ θορύβου τῶν ἐνταῦθα ἀπαλλαγῶμεν, καὶ πρὸς τὸν γαληνὸν ἐκεῖνον καταπλεύσαντες λιμένα, μετὰ πολλῶν τῶν φορτίων φανῶμεν, καὶ ἀφάτου τοῦ τῆς ἐλεημοσύνης πλούτου· οὗ γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ*
15 *τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

πὸς τοῦ πνεύματος· διὰ τοῦτο δὲν ὑπόκεινται εἰς τὰ στόματα τῶν σκωλήκων. Καθόσον αὐτὰ τὰ ἐνδύματα ὑφαίνονται εἰς τὸν οὐρανόν, ὅπου δὲν ὑπάρχει οὔτε σκόρος, οὔτε σκώληξ, οὔτε κανὲν ἄλλο παρόμοιον. Εἰπέ μου τί εἶναι καλύτερον; νὰ εἶσαι πλούσιος ἢ πτωχός; νὰ ἔχῃς ἐξουσίαν ἢ χωρὶς τιμάς; νὰ ζῇς τρυφηλὴν ζωὴν ἢ νὰ πεινᾷς; Εἶναι ὁλοφάνερον ὅτι εἶναι προτιμώτερον νὰ ζῇς μὲ τιμὴν καὶ τρυφηλότητα καὶ μὲ πλοῦτον. Λοιπὸν ἐὰν τὰ πράγματα θέλεις καὶ ὄχι τὰ ὀνόματα, νὰ ἀφήσῃς τὴν γῆν καὶ τὰ ἀνήκοντα εἰς αὐτὴν καὶ νὰ στραφῇς πρὸς τὸν οὐρανόν· διότι αὐτὰ μὲν ποὺ συμβαίνουν ἐδῶ εἶναι σκιά, ὅμως τὰ ἐκεῖ πράγματα εἶναι ἀμετακίνητα, καὶ σταθερὰ τοποθετημένα καὶ κανεὶς δὲν ἠμπορεῖ νὰ τὰ ἁρπάξῃ.

Ἂς προτιμήσωμεν λοιπὸν αὐτὰ ἐξ ὁλοκλήρου διὰ νὰ ἀπαλλαγῶμεν καὶ ἀπὸ τὸν θόρυβον τῶν ἐδῶ, καὶ ἀφοῦ καταπλεύσωμεν πρὸς ἐκεῖνον τὸν ἤρεμον λιμένα νὰ παρουσιασθῶμεν μὲ πολλὰ φορτία καὶ μὲ ἀπερίγραπτον τὸν πλοῦτον τῆς ἐλεημοσύνης, τὸν ὁποῖον μακάρι νὰ συμβῇ νὰ ἐπιτύχωμεν ὅλοι ἡμεῖς μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΔ΄

Ματθ. 7, 24 - 27

«Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε, εἰσελεύσεται εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τοῦ
5 *Πατρός μου τοῦ ἐν οὐρανοῖς».*

1. Διὰ τί μὴ εἶπεν, ἀλλ' ὁ ποιῶν τὸ θέλημα τὸ ἐμόν; Ὅτι τέως ἀγαπητὸν ἦν καὶ τοῦτο πρότερον δέξασθαι· καὶ γὰρ πολὺ μέγα ἦν πρὸς τὴν ἀσθένειαν τὴν ἐκείνων. Ἄλλως δὲ καὶ τοῦτο δι' ἐκείνου ἠνίξατο. Μετὰ δὲ τούτων κἀκεῖνό
10 *ἐστιν εἰπεῖν, ὅτι οὐδέ ἐστιν ἕτερον θέλημα τοῦ Υἱοῦ παρὰ τὸ τοῦ Πατρός.*

Ἐνταῦθα δέ μοι τῶν Ἰουδαίων μάλιστα καθάπτεσθαι δοκεῖ, ἐν τοῖς δόγμασι τιθεμένων τὸ πᾶν, καὶ τοῦ βίου πρόνοιαν οὐδεμίαν ποιουμένων. Διὸ καὶ ὁ Παῦλος αὐτοῖς ἐγ-
15 *καλεῖ λέγων· «Ἴδε σὺ Ἰουδαῖος ἐπονομάζῃ καὶ ἐπαναπαύῃ τῷ νόμῳ καὶ καυχᾶσαι ἐν Θεῷ καὶ γινώσκεις τὸ θέλημα»· ἀλλ' οὐδέν σοι πλέον ἐντεῦθεν, ὅταν ἡ τοῦ βίου καὶ τῶν ἔργων ἐπίδειξις μὴ παρῇ.*

Αὐτὸς δὲ οὐ μέχρι τούτων ἔστη, ἀλλὰ καὶ τὸ πολλῷ
20 *πλέον εἶπε. «Πολλοὶ γὰρ ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· Κύριε, Κύρε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν;». Οὐ γὰρ δὴ μόνον, φησίν, ὁ πίστιν ἔχων, τοῦ βίου ἠμελημένου, τῶν οὐρανῶν ἐκβάλλεται, ἀλλὰ κἂν μετὰ τῆς πίστεως σημεῖα πολλὰ πεποιηκὼς ᾖ καὶ οὐδὲν ἀγαθὸν ἐργασάμενος, καὶ οὗ-*
25 *τος ὁμοίως τῶν ἱερῶν εἴργεται προθύρων ἐκείνων. «Πολλοὶ γὰρ ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· Κύριε, Κύριε, οὐ τῷ*

---

1. Ρωμ. 2, 17-18.

ΟΜΙΛΙΑ ΚΔ΄

Ματθ. 7, 24 - 27

«Δὲν θὰ εἰσέλθῃ εἰς τὴν βασιλείαν τῶν οὐρανῶν ὁ καθένας ποὺ μοῦ λέγει, Κύριε, Κύριε, ἀλλ' ἐκεῖνος ποὺ ἐκτελεῖ τὸ θέλημα τοῦ Πατρός μου, ὁ ὁποῖος εἶναι εἰς τοὺς οὐρανούς».

1. Διατί δὲν εἶπεν, Ἀλλ' αὐτὸς ποὺ ἐκτελεῖ τὸ ἰδικόν μου θέλημα; Ἐπειδὴ εἰς τὴν ἀρχὴν ἦτο ἀρκετὸν νὰ δεχθοῦν αὐτὸ πρῶτον, καθόσον ἦτο πολὺ μεγάλον λόγῳ τῆς πνευματικῆς ἀδυναμίας των. Ἐξ ἄλλου δὲ ὑπενήχθη καὶ αὐτὸ διὰ μέσου αὐτοῦ ποὺ εἶπε. Μαζὶ δὲ μὲ αὐτὰ εἶναι δυνατὸν νὰ λεχθῇ καὶ αὐτό, ὅτι δηλαδὴ δὲν ὑπάρχει ἄλλο θέλημα τοῦ Υἱοῦ, παρὰ τὸ θέλημα τοῦ Πατρός.

Εἰς τὸ σημεῖον αὐτὸ νομίζω ὅτι κατηγορεῖ ἰδίως τοὺς Ἰουδαίους, οἱ ὁποῖοι ἐστήριζαν τὸ πᾶν εἰς τὰ δόγματα καὶ δὲν ἐφρόντιζαν καθόλου διὰ τὸν τρόπον τῆς ζωῆς των. Διὰ τοῦτο καὶ ὁ Παῦλος κατηγορεῖ αὐτοὺς λέγων· Ἰδοὺ σὺ ὀνομάζεσαι Ἰουδαῖος καὶ ἐπαναπαύεσαι ἐπάνω εἰς τὸν νόμον καὶ ὑπερηφανεύεσαι θεωρῶν ἰδικόν σου τὸν Θεόν, καὶ γνωρίζεις τὸ θέλημα τοῦ Θεοῦ»[1]· ἀλλὰ δὲν ἔχεις καμμίαν πλέον ὠφέλειαν ἀπ' αὐτό, ὅταν δὲν ἔχῃς νὰ ἐπιδείξῃς τὴν ζωήν σου καὶ τὰ ἔργα σου.

Αὐτὸς ὅμως δὲν ἠρκέσθη μόνον εἰς αὐτά, ἀλλ' ἐπροχώρησε πολὺ περισσότερον. «Διότι πολλοὶ θὰ μοῦ εἰποῦν κατ' ἐκείνην τὴν ἡμέραν· Κύριε, Κύριε, δὲν ἐπροφητεύσαμεν ἐπικαλούμενοι τὸ ὄνομά σου;». Διότι βεβαίως, λέγει, δὲν ἐκβάλλεται ἀπὸ τοὺς οὐρανοὺς μόνον αὐτὸς ποὺ ἔχει πίστιν καὶ παραμελεῖ τὸν βίον του, ἀλλὰ καὶ ἂν ἀκόμη μαζὶ μὲ τὴν πίστιν του ἔχῃ ἐπιτελέσει πολλὰ θαύματα, δὲν διέπραξεν ὅμως καμμίαν ἀγαθὴν πρᾶξιν, καὶ αὐτὸς ὁμοίως ἐμποδίζεται ἀπὸ ἐκεῖνα τὰ ἱερὰ πρόθυρα. «Διότι πολλοὶ θὰ μοῦ εἰποῦν κατ' ἐκείνην τὴν ἡμέραν· Κύριε, Κύριε, δὲν ἐπροφητεύσαμεν διὰ τῆς πίστεώς μας εἰς τὸ ὄνομά σου;».

σῷ ὀνόματι προεφητεύσαμεν;». Ὁρᾷς πῶς λανθανόντως ἑαυτὸν συνεισάγει λοιπόν, ἐπειδὴ τὴν πᾶσαν ἀπήρτισε δημηγορίαν, καὶ δείκνυσιν ἑαυτὸν ὄντα κριτήν; Ὅτι μὲν γὰρ κόλασις ἐκδέξεται τοὺς ἁμαρτάνοντας, ἐν τοῖς ἔμπροσθεν ἔ-
5 δειξε· τίς δὲ καὶ ὁ κολάζων, ἐνταῦθα λοιπὸν ἐκκαλύπτει. Καὶ οὐκ εἶπε φανερῶς, ὅτι ἐγώ εἰμι· ἀλλὰ «Πολλοὶ ἐροῦσί μοι», τὸ αὐτὸ τοῦτο πάλιν κατασκευάζων. Εἰ γὰρ μὴ αὐτὸς ἦν ὁ κριτής, πῶς ἂν πρὸς αὐτοὺς εἶπε· «Καὶ τότε ὁμολογήσω αὐτοῖς· ἀποχωρεῖτε ἀπ' ἐμοῦ, οὐδέποτε ἔγνων ὑμᾶς». Οὐ-
10 χὶ μόνον ἐν τῷ καιρῷ τῆς κρίσεως, ἀλλ' οὐδὲ τότε, ἡνίκα ἐθαυματουργεῖτε, φησί.

Διὰ τοῦτο καὶ τοῖς μαθηταῖς ἔλεγε· «Μὴ χαίρετε, ὅτι τὰ δαιμόνια ὑμῖν ὑποτάσσεται, ἀλλ' ὅτι τὰ ὀνόματα ὑμῶν γέγραπται ἐν τοῖς οὐρανοῖς». Καὶ πανταχοῦ πολλὴν κελεύει
15 τοῦ βίου σπουδὴν ποιεῖσθαι. Οὐ γάρ ἐστιν ἄνθρωπον ὀρθῶς βιοῦντα καὶ πάντων ἀπηλλαγμένον τῶν παθῶν, περιοφθῆναί ποτε· ἀλλὰ κἂν πλανώμενος τύχῃ, ταχέως αὐτὸν ὁ Θεὸς πρὸς τὴν ἀλήθειαν ἐπισπάσεται.

Ἀλλ' εἰσί τινες οἵ φασιν, ὅτι ψευδόμενοι οὗτοι ταῦτα
20 ἔλεγον· διόπερ οὐδὲ ἐσώθησαν, φησίν. Οὐκοῦν τὸ ἐναντίον οὗ βούλεται κατασκευάζει. Καὶ γὰρ βούλεται ἐνταῦθα δεῖξαι, ὅτι ἡ πίστις οὐδὲν ἰσχύει χωρὶς ἔργων. Εἶτα ἐπιτείνων αὐτά, προσέθηκε καὶ τὰ σημεῖα, δηλῶν ὅτι οὐ μόνον ἡ πίστις, ἀλλ' οὐδὲ ἡ τῶν σημείων ἐπίδειξις ὀνίνησί τι τὸν θαυ-
25 ματουργοῦντα ἀρετῆς χωρίς. Εἰ δὲ μὴ ἐποίησαν, πῶς ἂν ἐδυνήθη τοῦτο συστῆναι ἐνταῦθα; Ἄλλως δὲ οὐδ' ἂν ἐτόλμησαν, τῆς κρίσεως παρούσης, πρὸς αὐτὸν ταῦτα εἰπεῖν. Καὶ αὐτὴ δὲ ἡ ἀπόκρισις καὶ τὸ κατ' ἐρώτησιν λέγειν, δεί-

---

2. Λουκᾶ 10, 20.

Βλέπεις πῶς εἰσάγει εἰς τὴν συνέχειαν κατὰ τρόπον ἀπαρατήρητον τὸν ἑαυτόν του, ὅταν ὡλοκλήρωσεν ὅλην τὴν ὁμιλίαν του, καὶ ὑποδεικνύει τὸν ἑαυτόν του ὅτι εἶναι κριτής; Διότι τὸ ὅτι μὲν θὰ τιμωρηθοῦν αὐτοὶ ποὺ ἁμαρτάνουν τὸ ἐφανέρωσεν εἰς τὰ προηγούμενα· ποῖος ὅμως εἶναι αὐτὸς ποὺ τιμωρεῖ, τὸ ἀποκαλύπτει εἰς τὴν συνέχειαν ἐδῶ. Καὶ δὲν εἶπε κατὰ τρόπον φανερὸν ὅτι 'Ἐγὼ εἶμαι', ἀλλὰ «Πολλοὶ θὰ μοῦ εἰποῦν», δηλῶν καὶ πάλιν τὸ ἴδιο πρᾶγμα. Διότι ἐὰν αὐτὸς δὲν ἦτο ὁ κριτὴς πῶς θὰ ἠμποροῦσε νὰ εἰπῇ πρὸς αὐτούς· «Καὶ τότε θὰ διακηρύξω πρὸς αὐτούς· φύγετε ἀπὸ ἐμέ, διότι οὐδέποτε σᾶς ἀνεγνώρισα διὰ ἰδικούς μου»; Ὄχι μόνον κατὰ τὸν καιρὸν τῆς κρίσεως, λέγει, ἀλλὰ οὔτε τότε ὅταν ἐκάμνετε θαύματα ἐν τῷ ὀνόματί μου.

Διὰ τοῦτο καὶ ἔλεγεν εἰς τοὺς μαθητάς· «Μὴ χαίρεσθε ἐπειδὴ τὰ δαιμόνια ὑποτάσσονται εἰς σᾶς, ἀλλ' ἐπειδὴ τὰ ὀνόματά σας ἔχουν γραφῆ εἰς τοὺς οὐρανούς»[2]. Καὶ παντοῦ δίδει ἐντολὴν νὰ φροντίζουν πάρα πολὺ τὸν τρόπον τῆς ζωῆς των. Διότι δὲν εἶναι δυνατὸν ἄνθρωπος ποὺ ζῇ ὀρθῶς καὶ εἶναι ἀπηλλαγμένος ἀπὸ ὅλα τὰ πάθη νὰ τὸν παραβλέψῃ ποτὲ ὁ Θεός, ἀλλὰ καὶ ἂν ἀκόμη συμβῇ νὰ πλανηθῇ, ἀμέσως ὁ Θεὸς θὰ τὸν ἐπαναφέρῃ πρὸς τὴν ἀλήθειαν.

Ἀλλ' ὑπάρχουν μερικοὶ οἱ ὁποῖοι λέγουν, ὅτι αὐτοὶ τὰ ἔλεγον αὐτὰ λέγοντες ψέματα· διὰ τοῦτο ἀκριβῶς, λέγει, δὲν ἐσώθησαν. Λοιπὸν ὁ Ἰησοῦς παρουσιάζει ἐδῶ τὸ ἀντίθετον ἀπὸ αὐτὸ ποὺ θέλει νὰ εἶναι οἱ ἄνθρωποι. Καθόσον θέλει ἐδῶ νὰ ἀποδείξῃ, ὅτι ἡ πίστις χωρὶς τὰ ἔργα δὲν ἔχει καμμίαν δύναμιν. Εἰς τὴν συνέχειαν ἐνισχύων τὴν ἰδέαν αὐτὴν προσέθεσε καὶ τὰ θαύματα, καθιστῶν φανερὸν ὅτι ὄχι μόνον ἡ πίστις, ἀλλὰ οὔτε ἡ ἐπίδειξις τῶν θαυμάτων θὰ ὠφελήσουν εἰς τίποτε αὐτὸν ποὺ ἐπιτελεῖ θαύματα χωρὶς ἀρετήν. Ἐὰν δὲ δὲν ἐθαυματούργησαν, πῶς ἦτο δυνατὸν αὐτὸ τὸ πρᾶγμα νὰ λεχθῇ ἐδῶ; Ἄλλωστε οὔτε θὰ ἦτο δυνατὸν νὰ τολμήσουν νὰ εἰποῦν πρὸς αὐτὸν αὐτά, παρούσης τῆς κρίσεως. Καὶ αὐτὴ ὅμως ἡ ἀπάντησις καὶ τὸ ὅτι ἀ-

σῷ ὀνόματι προεφητεύσαμεν;». Ὁρᾷς πῶς λανθανόντως ἑαυτὸν συνεισάγει λοιπόν, ἐπειδὴ τὴν πᾶσαν ἀπήρτισε δημηγορίαν, καὶ δείκνυσιν ἑαυτὸν ὄντα κριτήν; Ὅτι μὲν γὰρ κόλασις ἐκδέξεται τοὺς ἁμαρτάνοντας, ἐν τοῖς ἔμπροσθεν ἔδειξε· τίς δὲ καὶ ὁ κολάζων, ἐνταῦθα λοιπὸν ἐκκαλύπτει. Καὶ οὐκ εἶπε φανερῶς, ὅτι ἐγώ εἰμι· ἀλλὰ «Πολλοὶ ἐροῦσί μοι», τὸ αὐτὸ τοῦτο πάλιν κατασκευάζων. Εἰ γὰρ μὴ αὐτὸς ἦν ὁ κριτής, πῶς ἂν πρὸς αὐτοὺς εἶπε· «Καὶ τότε ὁμολογήσω αὐτοῖς· ἀποχωρεῖτε ἀπ' ἐμοῦ, οὐδέποτε ἔγνων ὑμᾶς». Οὐχὶ μόνον ἐν τῷ καιρῷ τῆς κρίσεως, ἀλλ' οὐδὲ τότε, ἡνίκα ἐθαυματουργεῖτε, φησί.

Διὰ τοῦτο καὶ τοῖς μαθηταῖς ἔλεγε· «Μὴ χαίρετε, ὅτι τὰ δαιμόνια ὑμῖν ὑποτάσσεται, ἀλλ' ὅτι τὰ ὀνόματα ὑμῶν γέγραπται ἐν τοῖς οὐρανοῖς». Καὶ πανταχοῦ πολλὴν κελεύει τοῦ βίου σπουδὴν ποιεῖσθαι. Οὐ γάρ ἐστιν ἄνθρωπον ὀρθῶς βιοῦντα καὶ πάντων ἀπηλλαγμένον τῶν παθῶν, περιοφθῆναί ποτε· ἀλλὰ κἂν πλανώμενος τύχῃ, ταχέως αὐτὸν ὁ Θεὸς πρὸς τὴν ἀλήθειαν ἐπισπάσεται.

Ἀλλ' εἰσί τινες οἵ φασιν, ὅτι ψευδόμενοι οὗτοι ταῦτα ἔλεγον· διόπερ οὐδὲ ἐσώθησαν, φησίν. Οὐκοῦν τὸ ἐναντίον οὗ βούλεται κατασκευάζει. Καὶ γὰρ βούλεται ἐνταῦθα δεῖξαι, ὅτι ἡ πίστις οὐδὲν ἰσχύει χωρὶς ἔργων. Εἶτα ἐπιτείνων αὐτά, προσέθηκε καὶ τὰ σημεῖα, δηλῶν ὅτι οὐ μόνον ἡ πίστις, ἀλλ' οὐδὲ ἡ τῶν σημείων ἐπίδειξις ὀνίνησί τι τὸν θαυματουργοῦντα ἀρετῆς χωρίς. Εἰ δὲ μὴ ἐποίησαν, πῶς ἂν ἐδυνήθη τοῦτο συστῆναι ἐνταῦθα; Ἄλλως δὲ οὐδ' ἂν ἐτόλμησαν, τῆς κρίσεως παρούσης, πρὸς αὐτὸν ταῦτα εἰπεῖν. Καὶ αὐτὴ δὲ ἡ ἀπόκρισις καὶ τὸ κατ' ἐρώτησιν λέγειν, δεί-

---

2. Λουκᾶ 10, 20.

Βλέπεις πῶς εἰσάγει εἰς τὴν συνέχειαν κατὰ τρόπον ἀπαρατήρητον τὸν ἑαυτόν του, ὅταν ὡλοκλήρωσεν ὅλην τὴν ὁμιλίαν του, καὶ ὑποδεικνύει τὸν ἑαυτόν του ὅτι εἶναι κριτής; Διότι τὸ ὅτι μὲν θὰ τιμωρηθοῦν αὐτοὶ ποὺ ἁμαρτάνουν τὸ ἐφανέρωσεν εἰς τὰ προηγούμενα· ποῖος ὅμως εἶναι αὐτὸς ποὺ τιμωρεῖ, τὸ ἀποκαλύπτει εἰς τὴν συνέχειαν ἐδῶ. Καὶ δὲν εἶπε κατὰ τρόπον φανερὸν ὅτι 'Ἐγὼ εἶμαι', ἀλλὰ «Πολλοὶ θὰ μοῦ εἰποῦν», δηλῶν καὶ πάλιν τὸ ἴδιο πρᾶγμα. Διότι ἐὰν αὐτὸς δὲν ἦτο ὁ κριτὴς πῶς θὰ ἠμποροῦσε νὰ εἰπῇ πρὸς αὐτούς· «Καὶ τότε θὰ διακηρύξω πρὸς αὐτούς· φύγετε ἀπὸ ἐμέ, διότι οὐδέποτε σᾶς ἀνεγνώρισα διὰ ἰδικούς μου»; Ὄχι μόνον κατὰ τὸν καιρὸν τῆς κρίσεως, λέγει, ἀλλὰ οὔτε τότε ὅταν ἐκάμνετε θαύματα ἐν τῷ ὀνόματί μου.

Διὰ τοῦτο καὶ ἔλεγεν εἰς τοὺς μαθητάς· «Μὴ χαίρεσθε ἐπειδὴ τὰ δαιμόνια ὑποτάσσονται εἰς σᾶς, ἀλλ' ἐπειδὴ τὰ ὀνόματά σας ἔχουν γραφῆ εἰς τοὺς οὐρανούς»[2]. Καὶ παντοῦ δίδει ἐντολὴν νὰ φροντίζουν πάρα πολὺ τὸν τρόπον τῆς ζωῆς των. Διότι δὲν εἶναι δυνατὸν ἄνθρωπος ποὺ ζῇ ὀρθῶς καὶ εἶναι ἀπηλλαγμένος ἀπὸ ὅλα τὰ πάθη νὰ τὸν παραβλέψῃ ποτὲ ὁ Θεός, ἀλλὰ καὶ ἂν ἀκόμη συμβῇ νὰ πλανηθῇ, ἀμέσως ὁ Θεὸς θὰ τὸν ἐπαναφέρῃ πρὸς τὴν ἀλήθειαν.

Ἀλλ' ὑπάρχουν μερικοὶ οἱ ὁποῖοι λέγουν, ὅτι αὐτοὶ τὰ ἔλεγον αὐτὰ λέγοντες ψέματα· διὰ τοῦτο ἀκριβῶς, λέγει, δὲν ἐσώθησαν. Λοιπὸν ὁ Ἰησοῦς παρουσιάζει ἐδῶ τὸ ἀντίθετον ἀπὸ αὐτὸ ποὺ θέλει νὰ εἶναι οἱ ἄνθρωποι. Καθόσον θέλει ἐδῶ νὰ ἀποδείξῃ, ὅτι ἡ πίστις χωρὶς τὰ ἔργα δὲν ἔχει καμμίαν δύναμιν. Εἰς τὴν συνέχειαν ἐνισχύων τὴν ἰδέαν αὐτὴν προσέθεσε καὶ τὰ θαύματα, καθιστῶν φανερὸν ὅτι ὄχι μόνον ἡ πίστις, ἀλλὰ οὔτε ἡ ἐπίδειξις τῶν θαυμάτων θὰ ὠφελήσουν εἰς τίποτε αὐτὸν ποὺ ἐπιτελεῖ θαύματα χωρὶς ἀρετήν. Ἐὰν δὲ δὲν ἐθαυματούργησαν, πῶς ἦτο δυνατὸν αὐτὸ τὸ πρᾶγμα νὰ λεχθῇ ἐδῶ; Ἄλλωστε οὔτε θὰ ἦτο δυνατὸν νὰ τολμήσουν νὰ εἰποῦν πρὸς αὐτὸν αὐτά, παρούσης τῆς κρίσεως. Καὶ αὐτὴ ὅμως ἡ ἀπάντησις καὶ τὸ ὅτι ἀ-

κνυσιν αὐτοὺς πεποιηκότας. Ἐπειδὴ γὰρ ἐναντίον τῇ προσδοκίᾳ τὸ τέλος εἶδον, καὶ ἐνταῦθα μὲν θαυμαστοὶ ἦσαν παρὰ πᾶσι θαυματουργοῦντες, ἐκεῖ δὲ ὁρῶσιν ἑαυτοὺς λοιπὸν κολαζομένους, ὡς ἐκπληττόμενοι καὶ θαυμάζοντες λέγουσι·
5 *«Κύριε, οὐχὶ ἐν τῷ σῷ ὀνόματι προεφητεύσαμεν;»· πῶς οὖν ἡμᾶς ἀποστρέφῃ νῦν; τί βούλεται τὸ ξένον καὶ παράδοξον τοῦτο τέλος;*

Ἀλλ' ἐκεῖνοι μὲν θαυμάζουσιν, ὅτι τοιαῦτα θαυματουργήσαντες ἐκολάσθησαν· σὺ δὲ μὴ θαύμαζε. Ἡ γὰρ χάρις
10 *πᾶσα τῆς τοῦ δεδωκότος δωρεᾶς· ἐκεῖνοι δὲ οὐδὲν παρ' ἑαυτῶν εἰσήνεγκαν· διὸ καὶ κολάζεσθαι δίκαιοι, ὅτι περὶ τὸν οὕτω τιμήσαντα, ὡς καὶ ἀναξίοις δοῦναι τὴν χάριν, ἀγνώμονες γεγόνασι καὶ ἀναίσθητοι.*

Τί οὖν, φησίν, ἐργαζόμενοι τὴν ἀνομίαν, τοιαῦτα ἐ-
15 *ποίουν; Τινὲς μέν φασιν, ὅτι οὐκ ἐν τῷ καιρῷ, ἐν ᾧ ταῦτα ἐθαυματούργουν καὶ ἠνόμουν, ἀλλ' ὕστερον μετεβάλοντο καὶ τὴν ἀνομίαν ἐποίουν. Ἀλλ' ἐὰν τοῦτο ᾖ, πάλιν τὸ σπουδαζόμενον οὐχ ἵσταται. Ὃ γὰρ δεῖξαι ἐσπούδακε, τοῦτό ἐστιν· ὅτι οὔτε πίστις, οὔτε θαύματα ἰσχύει, βίου μὴ παρόντος· ὅπερ*
20 *οὖν καὶ ὁ Παῦλος ἔλεγεν· «Ἐὰν ἔχω πίστιν, ὥστε ὄρη μεθιστάνειν, καὶ εἰδῶ τὰ μυστήρια πάντα καὶ πᾶσαν τὴν γνῶσιν, ἀγάπην δὲ μὴ ἔχω, οὐδέν εἰμι».*

Τίνες οὖν εἰσιν οὗτοι; φησί. Πολλοὶ τῶν πιστευσάντων ἔλαβον χαρίσματα, οἷς ἦν ὁ τὰ δαιμόνια ἐκβάλλων, καὶ οὐκ
25 *ὢν μετ' αὐτοῦ, οἷς ἦν ὁ Ἰούδας· καὶ γὰρ καὶ οὗτος, πονηρὸς ὤν, χάρισμα εἶχε. Καὶ ἐν τῇ παλαιᾷ δὲ τοῦτο εὕροι*

---

3. Πρβλ. Ματθ. 7, 21-23.
4. Α' Κορ. 13, 2.

παντᾷ κατόπιν ἐρωτήσεως, ἀποδεικνύουν ὅτι αὐτοὶ ἐθαυματούργησαν[3]. Ἐπειδή, δηλαδή, εἶδαν τὸ τέλος των ἀντίθετον ἀπὸ ὅ,τι ἀνέμεναν, καὶ ὅτι ἐδῶ μὲν ἦσαν ἀξιοθαύμαστοι ἀπὸ ὅλους ἐπιτελοῦντες θαύματα, ἐνῷ ἐκεῖ βλέπουν τοὺς ἑαυτούς των νὰ τιμωροῦνται εἰς τὴν συνέχειαν, καταλαμβανόμενοι ἀπὸ ἔκπληξιν καὶ θαυμασμὸν λέγουν· «Κύριε, δὲν ἐπροφητεύσαμεν διὰ τῆς πίστεώς μας εἰς τὸ ὄνομά σου;»· πῶς λοιπὸν τώρα μᾶς ἀποστρέφεσαι; τί θέλει αὐτὸ τὸ περίεργον καὶ παράδοξον τέλος;

Ἀλλ' ἐκεῖνοι μὲν θαυμάζουν ἐπειδὴ ἐτιμωρήθησαν, μολονότι ἔκαμαν τέτοια θαύματα, σὺ ὅμως μὴ θαυμάζῃς. Διότι ἡ χάρις προέρχεται ὁλόκληρος ἀπὸ τὴν δωρεὰν αὐτοῦ ποὺ τὴν δίδει· ἐκεῖνοι ὅμως δὲν προσέφεραν τίποτε ἀπὸ τοὺς ἑαυτούς των· διὰ τοῦτο καὶ δικαίως τιμωροῦνται, ἐπειδὴ ἀπεδείχθησαν ἀγνώμονες καὶ ἀναίσθητοι πρὸς αὐτὸν ποὺ τοὺς ἐτίμησεν ἔτσι, ὁ ὁποῖος δίδει καὶ εἰς τοὺς ἀναξίους τὴν χάριν.

Τί λοιπόν, θὰ ἔλεγε κάποιος, ἐπιτελοῦσαν τέτοια θαύματα καθ' ἣν στιγμὴν ἐζοῦσαν βίον ἄνομον; Μερικοὶ μὲν λέγουν, ὅτι δὲν παρενόμουν καθ' ὃν χρόνον ἐπιτελοῦσαν αὐτὰ τὰ θαύματα ἀλλ' ὕστερον μετεβλήθησαν καὶ διέπραξαν τὴν ἀνομίαν. Ἀλλ' ἐὰν αὐτὸ συμβαίνῃ, πάλι δὲν ἀληθεύει τὸ ἐξεταζόμενον θέμα. Διότι αὐτὸ ποὺ προσεπάθησε νὰ δείξῃ ὁ Ἰησοῦς εἶναι αὐτό· ὅτι δὲν ἔχουν ἰσχὺν οὔτε ἡ πίστις, οὔτε τὰ θαύματα ἐὰν δὲν ὑπάρχῃ ἐνάρετος βίος· πρᾶγμα ποὺ καὶ ὁ Παῦλος ἔλεγεν· «Ἐὰν ἔχω πίστιν, ὥστε νὰ μετακινῶ βουνά, καὶ ἐὰν γνωρίσω ὅλα τὰ μυστήρια καὶ ὁλόκληρον τὴν γνῶσιν καὶ δὲν ἔχω ἀγάπην, δὲν εἶμαι τίποτε»[4].

Ποῖοι λοιπὸν εἶναι αὐτοί; θὰ ἔλεγε κάποιος. Πολλοὶ ἀπὸ αὐτοὺς ποὺ ἐπίστευσαν ἔλαβαν χαρίσματα, ὅπως ἦτο αὐτὸς ποὺ ἐκβάλλει τὰ δαιμόνια καὶ δὲν εἶναι ἰδικός του ὅπως ἐπὶ παραδείγματι ὁ Ἰούδας· καθόσον καὶ αὐτὸς εἶχε χάρισμα ἂν καὶ ἦτο πονηρός. Καὶ εἰς τὴν Π. Διαθήκην δὲ

τις ἄν, εἰς ἀναξίους τὴν χάριν ἐνεργήσασαν πολλάκις, ἵνα ἑτέρους εὐεργετήσῃ. Ἐπειδὴ γὰρ οὐ πάντες πρὸς πάντα ἐπιτηδείως εἶχον, ἀλλ' οἱ μὲν ἦσαν βίου καθαροῦ, πίστιν δὲ οὐ τοσαύτην εἶχον, οἱ δὲ τοὐναντίον· κἀκείνους διὰ τούτων
5 *προτρέπει, ὥστε πολλὴν ἐπιδείξασθαι πίστιν, καὶ τούτους διὰ τῆς ἀφάτου ταύτης δωρεᾶς ὥστε γενέσθαι βελτίους ἐξεκαλεῖτο.*

2. Διὸ καὶ μετὰ πολλῆς τῆς δαψιλείας τὴν χάριν ἐδίδου. «Δυνάμεις γάρ», φησί, «πολλὰς ἐποιήσαμεν». Ἀλλ' ὁ-
10 *μολογήσω αὐτοῖς τότε, ὅτι οὐκ οἶδα ὑμᾶς. Νῦν μὲν γὰρ νομίζουσιν εἶναί μοι φίλοι· τότε δὲ εἴσονται, ὅτι οὐχ ὡς φίλοις ἔδωκα.*

Καὶ τί θαυμάζεις εἰ ἀνδράσι πεπιστευκόσι μὲν εἰς αὐτόν, βίον δὲ οὐκ ἔχουσι τῇ πίστει συμβαίνοντα, χαρίσματα
15 *δέδωκεν, ὅπου γε καὶ εἰς τοὺς ἀμφοτέρων τούτων ἐκπεπτωκότας εὑρίσκεται ἐνεργῶν; Καὶ γὰρ ὁ Βαλαὰμ καὶ πίστεως καὶ πολιτείας ἀρίστης ἀλλότριος ἦν· ἀλλ' ὅμως ἐνήργησεν εἰς αὐτὸν ἡ χάρις διὰ τὴν ἑτέρων οἰκονομίαν. Καὶ ὁ Φαραὼ τοιοῦτος· ἀλλ' ὅμως κἀκείνῳ τὰ μέλλοντα ἔδειξε. Καὶ ὁ*
20 *Ναβουχοδονόσορ παρανομώτατος, καὶ τούτῳ πάλιν τὰ μετὰ πολλὰς ὕστερον ἐσόμενα γενεὰς ἀπεκάλυψε. Καὶ τῷ παιδὶ πάλιν τῷ ἐκείνου νικῶντι τὸν πατέρα τῇ παρανομίᾳ, τὰ μέλλοντα ἔδειξε, θαυμαστὰ καὶ μεγάλα οἰκονομῶν πράγματα. Ἐπεὶ οὖν καὶ τότε ἀρχὰς τὸ κήρυγμα εἶχε καὶ πολλὴν ἔδει*
25 *γενέσθαι τῆς δυνάμεως αὐτοῦ τὴν ἐπίδειξιν, πολλοὶ καὶ τῶν ἀναξίων δῶρα ἐλάμβανον. Ἀλλ' ὅμως ἀπὸ τῶν σημείων τούτων οὐδὲν ἐκέρδαναν ἐκεῖνοι, ἀλλὰ καὶ μᾶλλον κολάζον-*

---

5. Βαλαάμ· υἱὸς τοῦ Βαιώρ, ἐκ Φαθουρὰ τῆς Μεσοποταμίας, μάντις τὸ ἐπάγγελμα. Σχετικῶς βλ. Ἀριθ. 22, 5 ἑ. - 31, 20, Ἰη. Ναυῆ 13, 22, Β' Πέτρου 2, 15, Ἀποκ. 2, 14, Ἰούδα 11.

6. Προβλ. Ἀριθ. 22, 1 ἑ. 23, 1 ἑ. καὶ 22, 21-35.

7. Γέν. 41, 1 ἑ. ὅπου γίνεται λόγος διὰ τὸ ὄνειρον τοῦ Φαραώ.

8. Δαν. 2, 28, ὅπου περιγράφεται τὸ ὄνειρον τοῦ Ναβουχοδονόσορος.

θὰ ἠμποροῦσε κανεὶς νὰ εὕρῃ αὐτό, ὅπου ἡ χάρις πολλὰς φορὰς ἐνήργησε εἰς ἀναξίους ἀνθρώπους διὰ νὰ εὐεργετήσῃ ἄλλους. Ἐπειδὴ βεβαίως δὲν ἦσαν ὅλοι ἄξιοι ὡς πρὸς ὅλα, ἀλλ' οἱ μὲν εἶχαν καθαρὸν βίον, δὲν εἶχαν ὅμως καὶ ἀνάλογον πίστιν, εἰς ἄλλους δὲ συνέβαινε τὸ ἀντίθετον, προτρέπει καὶ ἐκείνους διὰ μέσου αὐτῶν, ὥστε νὰ ἐπιδείξουν πολλὴν πίστιν, καὶ προσκαλεῖ αὐτοὺς ὥστε νὰ γίνουν καλύτεροι μὲ τὴν βοήθειαν τῆς ἀνεκδιηγήτου αὐτῆς δωρεᾶς.

2. Διὰ τοῦτο καὶ ἔδιδε μὲ πολλὴν ἀφθονίαν τὴν χάριν του. Διότι, λέγει, «Ἐκάμαμεν πολλὰ θαύματα». Ἀλλὰ θὰ εἰπῶ τότε εἰς αὐτούς, ὅτι 'Δὲν σᾶς γνωρίζω'. Διότι τώρα μὲν νομίζουν ὅτι εἶναι φίλοι μου, τότε ὅμως θὰ γνωρίσουν, ὅτι δὲν τοὺς ἔδωσα τὴν χάριν μου ἐπειδὴ ἦσαν φίλοι μου.

Καὶ διατί θαυμάζεις ἐὰν ἔδωσε χαρίσματα εἰς ἄνδρας ποὺ ἔχουν μὲν πιστεύσει εἰς αὐτόν, ὅμως δὲν ἔχουν βίον ποὺ νὰ συμφωνῇ μὲ τὴν πίστιν των, ἀφοῦ βεβαίως καὶ εἰς τὰ δύο αὐτὰ ἤδη τῶν ἀνθρώπων ἐνεργῇ ὁ Κύριος καὶ ὅταν αὐτοὶ στεροῦνται κάθε ἀγαθότητος; Διότι βέβαια καὶ ὁ Βαλαὰμ[5] ἦτο ἄσχετος καὶ μὲ τὴν πίστιν καὶ μὲ τὸν ἐνάρετον βίον, ἀλλ' ὅμως ἐνήργησεν εἰς αὐτὸν ἡ χάρις διὰ νὰ εὐεργετήσῃ ἄλλους[6]. Καὶ ὁ Φαραὼ ἦτο παρόμοιος, ἀλλ' ὅμως καὶ εἰς ἐκεῖνον ἔδειξε τὰ μέλλοντα νὰ συμβοῦν[7]. Καὶ ὁ Ναβουχοδονόσορ ἦτο ὁ πλέον παράνομος, καὶ ὅμως καὶ εἰς αὐτὸν ἐφανέρωσεν αὐτὰ ποὺ θὰ συνέβαινον ὕστερον ἀπὸ πολλὰς γενεάς[8]. Καὶ εἰς τὸν υἱὸν ἐκείνου πάλιν, ποὺ ὑπερέβαλε τὸν πατέρα του ὡς πρὸς τὴν παρανομίαν, ἐφανέρωσε τὰ μέλλοντα νὰ συμβοῦν, ἐπιτελῶν θαυμαστὰ καὶ μεγάλα πράγματα[9]. Ἐπειδὴ λοιπὸν τότε τὸ κήρυγμα εὑρίσκετο εἰς τὴν ἀρχήν του καὶ ἦτο ἀνάγκη νὰ κάμῃ μεγάλην ἐπίδειξιν τῆς δυνάμεώς του, ἐλάμβανον δῶρα καὶ πολλοὶ ἀπὸ τοὺς ἀναξίους. Ἀλλ' ὅμως ἀπὸ αὐτὰ τὰ σημεῖα δὲν ὠφελοῦντο εἰς τίποτε ἐκεῖνοι, ἀλλὰ μᾶλλον ἐτιμωροῦντο. Διὰ

9. Δαν. 2, 1 ἑ., ὅπου γίνεται ἡ περιγραφὴ τῶν μυστηριωδῶν λέξεων (Θεκέλ, φάρες), τὰς ἑρμηνευθείσας ὑπὸ τοῦ Δανιήλ.

ται. Διὸ καὶ τὸ φοβερὸν ἐκεῖνο ῥῆμα εἶπεν αὐτοῖς· «Οὐδέποτε ἔγνων ὑμᾶς». Πολλοὺς γὰρ καὶ ἐντεῦθεν ἤδη μισεῖ καὶ πρὸ τῆς κρίσεως ἀποστρέφεται.

Φοβηθῶμεν τοίνυν, ἀγαπητοί, καὶ πολλὴν ἐπιμέλειαν 5 *ποιησώμεθα βίου, μηδὲ νομίζωμεν ἔλαττον ἔχειν, ἐπειδὴ σημεῖα οὐ ποιοῦμεν νῦν. Οὐδὲν γὰρ ἐκ τούτου πλέον ἔσται ἡμῖν ποτε, ὥσπερ οὖν οὐδὲ ἔλαττον ἐκ τοῦ μὴ ποιεῖν, ἐὰν ἀρετῆς ἐπιμελώμεθα πάσης. Τῶν μὲν γὰρ σημείων αὐτοὶ ὀφειλέται ἐσμέν, τοῦ δὲ βίου καὶ τῶν πράξεων τὸν Θεὸν* 10 *ἔχομεν ὀφειλέτην.*

Ἐπειδὴ τοίνυν πάντα ἀπήρτισε καὶ περὶ ἀρετῆς διελέχθη μετὰ ἀκριβείας ἁπάσης καὶ τοὺς ὑποκρινομένους αὐτὴν ἔδειξε διαφόρους ὄντας, τούς τε νηστεύοντας πρὸς ἐπίδειξιν καὶ εὐχομένους, τούς τε ἐν δορᾷ προβάτων παραγε- 15 *νομένους, τούς τε λυμαινομένους αὐτήν, οὓς καὶ χοίρους καὶ κύνας ἐκάλεσε, δεικνὺς λοιπὸν πόσον μὲν τῆς ἀρετῆς καὶ ἐνταῦθα τὸ κέρδος, πόσον δὲ τῆς κακίας τὸ βλάβος, φησί· «Πᾶς οὖν ὅστις ἀκούει μου τοὺς λόγους τούτους, καὶ ποιεῖ αὐτούς, ὁμοιωθήσεται ἀνδρὶ φρονίμῳ». Ἃ μὲν γὰρ οἱ μὴ* 20 *ποιοῦντες, κἂν σημεῖα ἐργάζωνται, πείσονται, ἀκηκόατε· δεῖ δὲ ὑμᾶς εἰδέναι, καὶ τίνων οἱ πειθόμενοι τοῖς εἰρημένοις ἅπασιν ἀπολαύσονται, οὐκ ἐν τῷ μέλλοντι αἰῶνι μόνον, ἀλλὰ καὶ ἐνταῦθα.*

«Πᾶς» γάρ, φησίν, «ὅστις ἀκούει μου τοὺς λόγους τού- 25 *τους καὶ ποιεῖ αὐτούς, ὁμοιωθήσεται ἀνδρὶ φρονίμῳ». Εἶδες πῶς ποικίλλει τὸν λόγον, ποτὲ μὲν λέγων, «Οὐ πᾶς ὁ λέγων μοι, Κύριε, Κύριε», καὶ ἑαυτὸν ἐκκαλύπτων· ποτὲ δὲ λέ-*

τοῦτο καὶ εἶπεν ἐκεῖνον τὸν φοβερὸν λόγον εἰς αὐτούς· «Οὐδέποτε σᾶς ἀνεγνώρισα διὰ ἰδικούς μου». Διότι πολλοὺς καὶ ἀπὸ ἐδῶ ἤδη τοὺς μισεῖ καὶ τοὺς ἀποστρέφεται πρὸ τῆς κρίσεως.

Ἂς φοβηθῶμεν λοιπόν, ἀγαπητοί, καὶ ἂς καταβάλωμεν μεγάλην φροντίδα διὰ τὸν τρόπον τῆς ζωῆς μας, καὶ ἂς μὴ νομίζωμεν ὅτι ἔχομεν λάβει ὀλιγωτέραν χάριν ἐπειδὴ δὲν κάμνομεν τώρα θαύματα. Διότι δὲν εἴχαμεν ποτὲ ὠφεληθῆ ὡς πρὸς τίποτε περισσότερον ἐξ αὐτοῦ, ὅπως ἀκριβῶς λοιπὸν οὔτε μᾶς μειώνει τὸ γεγονὸς ὅτι δὲν θαυματουργοῦμεν ἐὰν φροντίζωμεν διὰ τὴν ἀρετὴν γενικῶς. Διότι διὰ μὲν τὰ θαύματα εἴμεθα οἱ ἴδιοι ὀφειλέται, διὰ τὸν βίον ὅμως καὶ τὰς πράξεις μας ἔχομεν ὀφειλέτην τὸν Θεόν.

Ὅταν λοιπὸν ὡλοκλήρωσε τὸν λόγον του δι' ὅλα καὶ ὡμίλησε διὰ τὴν ἀρετὴν ἐν γένει μὲ πᾶσαν ἀκρίβειαν, καὶ ἀπέδειξε πόσον ἄσχετοι εἶναι πρὸς αὐτὴν καὶ αὐτοὶ ποὺ νηστεύουν καὶ προσεύχονται πρὸς ἐπίδειξιν, καὶ αὐτοὶ ποὺ περιφέρονται μὲ τὸ δέρμα τῶν προβάτων, καὶ αὐτοὶ ποὺ βλάπτουν αὐτήν, τοὺς ὁποίους ὠνόμασε χοίρους καὶ σκύλους, δεικνύων εἰς τὴν συνέχειαν πόσον εἶναι τὸ κέρδος ἀπὸ τὴν ἀρετὴν ἐδῶ καὶ πόση ἡ ζημία ἀπὸ τὴν κακίαν, λέγει· «Ὁ καθένας λοιπὸν ποὺ ἀκούει αὐτοὺς τοὺς λόγους καὶ πράττει αὐτούς, θὰ ὁμοιωθῇ μὲ φρόνιμον ἄνδρα». Ἠκούσατε λοιπὸν αὐτὰ ποὺ θὰ πάθουν ἐκεῖνοι ποὺ δὲν ἐκτελοῦν τὰς ἐντολὰς τοῦ Θεοῦ καὶ ἂν ἀκόμη ἐπιτελοῦν σημεῖα. Πρέπει ὅμως νὰ γνωρίσετε καὶ τί θὰ ἀπολαύσουν αὐτοὶ ποὺ θὰ πιστεύσουν εἰς ὅλα γενικῶς ποὺ ἐλέχθησαν, ὄχι μόνον εἰς τὴν μέλλουσαν ζωήν, ἀλλὰ καὶ εἰς τὴν ἐδῶ.

Διότι, λέγει, «Ὁ καθένας ποὺ ἀκούει τοὺς λόγους μου αὐτοὺς καὶ τοὺς πράττει, θὰ ὁμοιωθῇ μὲ ἄνδρα φρόνιμον». Εἶδες πῶς ποικίλλει τὸν λόγον, ἄλλοτε μὲν λέγων, «Ὄχι ὁ καθένας ποὺ μὲ λέγει, Κύριε, Κύριε», καὶ συγχρόνως ἀποκαλύπτων τὸν ἑαυτόν του, ἄλλοτε δὲ λέγων, «Αὐτὸς ποὺ ἐκτελεῖ τὸ θέλημα τοῦ Πατρός μου», εἰσάγων καὶ πάλιν

γων, «Ὁ ποιῶν τὸ θέλημα τοῦ Πατρός μου»· καὶ πάλιν κριτὴν ἑαυτὸν εἰσάγων· «Πολλοὶ γὰρ ἐροῦσί μοι ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, Κύριε, Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν; καὶ ἐρῶ, οὐκ οἶδα ὑμᾶς». Καὶ ἐνταῦθα πάλιν δείκνυσιν ἑ-
5 *αυτὸν τὴν ἐξουσίαν ἔχοντα τοῦ παντός· διὸ καὶ ἔλεγεν· «Ὅστις ἀκούει μου τοὺς λόγους τούτους».*

Ἐπειδὴ γὰρ πάντα περὶ τῶν μελλόντων διελέχθη καὶ βασιλείαν λέγων καὶ μισθὸν ἄφατον καὶ παράκλησιν καὶ ὅσα τοιαῦτα, βούλεται καὶ ἐντεῦθεν αὐτοῖς δοῦναι τοὺς καρποὺς
10 *καὶ δεῖξαι πόση καὶ κατὰ τὸν παρόντα βίον ἡ ἰσχὺς τῆς ἀρετῆς. Τίς οὖν ἐστιν ἡ ἰσχύς; Τὸ μετὰ ἀσφαλείας ζῆν, τὸ μηδενὶ τῶν δεινῶν εὐχείρωτον εἶναι, τὸ πάντων ἀνώτερον ἑστάναι τῶν ἐπηρεαζόντων· οὗ τί γένοιτ' ἂν ἴσον; Τοῦτο γὰρ οὐδὲ αὐτὸς ὁ τὸ διάδημα περικείμενος ἑαυτῷ κατα-*
15 *σκευάσαι δύναιτ' ἄν, ἀλλ' ὁ ἀρετὴν μετιών. Αὐτὸς γὰρ μόνος μετὰ πολλῆς κέκτηται τῆς περιουσίας, ἐν τῷ τῶν παρόντων εὐρίπῳ πραγμάτων πολλῆς ἀπολαύων γαλήνης. Τὸ γὰρ δὴ θαυμαστὸν τοῦτό ἐστιν, ὅτι οὐκ εὐδίας οὔσης, ἀλλὰ σφοδροῦ τοῦ χειμῶνος καὶ πολλῆς τῆς ταραχῆς καὶ συνε-*
20 *χῶν τῶν πειρασμῶν, αὐτὸς οὐδὲ μικρὸν σαλευθῆναι δύναται. «Κατέβη γὰρ ἡ βροχή», φησίν, «ἦλθον οἱ ποταμοί, ἔπνευσαν οἱ ἄνεμοι καὶ προσέπεσον τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἔπεσε· τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν». Βροχὴν ἐνταῦθα καὶ ποταμοὺς καὶ ἀνέμους μεταφορικῶς τὰς ἀνθρωπίνας*
25 *λέγων συμφορὰς καὶ δυσπραγίας, οἷον συκοφαντίας, ἐπιβουλάς, πένθη, θανάτους, οἰκείων ἀποβολάς, ἀλλοτρίων ἐπηρείας, πάντα ὅσα ἂν εἴποι τις τὰ ἐν τῷ βίῳ κακά. Ἀλλ' οὐδενὶ εἴκει, φησίν, ἡ τοιαύτη ψυχή· τὸ δὲ αἴτιον, ὅτι ἐπὶ*

τὸν ἑαυτόν του ὡς κριτήν· «Διότι πολλοὶ θὰ μοῦ εἰποῦν κατ' ἐκείνην τὴν ἡμέραν, Κύριε, Κύριε, δὲν ἐπροφητεύσαμεν ἐπικαλούμενοι τὸ ὄνομά σου; Καὶ θὰ τοὺς εἰπῶ· 'Δὲν σᾶς ἀναγνωρίζω'». Καὶ ἐδῶ πάλιν παρουσιάζει τὸν ἑαυτόν του ὡς ἔχοντα τὴν ἐξουσίαν τοῦ παντός· διὰ τοῦτο καὶ ἔλεγεν· «Ὁ καθένας ποὺ ἀκούει αὐτοὺς τοὺς λόγους μου».

Ἀφοῦ λοιπὸν ἔκανε λόγον δι' ὅλα τὰ μελλοντικὰ ἀγαθά, ἀφοῦ ὡμίλησε δηλαδὴ διὰ τὴν βασιλείαν, καὶ διὰ μισθὸν ἀπερίγραπτον, καὶ διὰ παρηγορίαν, καὶ δι' ὅλα τὰ παρόμοια, θέλει καὶ ἀπὸ ἐδῶ νὰ δώσῃ εἰς αὐτοὺς τοὺς καρποὺς τῶν ἔργων των καὶ νὰ δείξῃ πόση εἶναι καὶ κατὰ τὴν παροῦσαν ζωὴν ἡ δύναμις τῆς ἀρετῆς Ποία λοιπὸν εἶναι ἡ δύναμίς της; Τὸ ὅτι ζῇ κανεὶς μὲ ἀσφάλειαν, τὸ ὅτι δὲν καταβάλλεται εὐκόλως ἀπὸ κανένα κακόν, τὸ ὅτι στέκεται ἐπάνω ἀπὸ ὅλα ποὺ ἐπηρεάζουν· πρᾶγμα μὲ τὸ ὁποῖο τί θὰ ἠμποροῦσε νὰ ἐξισωθῇ; Διότι αὐτὸ οὔτε αὐτὸς ποὺ φορᾷ τὸ στέμμα ἠμπορεῖ νὰ τὸ ἐξασφαλίσῃ διὰ τὸν ἑαυτόν του, παρὰ μόνον αὐτὸς ποὺ εἶναι ἐνάρετος. Διότι μόνον αὐτὸς ὑπερέχει εἰς μεγάλον βαθμὸν ἔναντι τῶν ἄλλων, ἀπολαύων μεγάλην γαλήνην ἐντὸς τῆς ἀσταθείας τῶν παρόντων πραγμάτων. Διότι βέβαια τὸ ἀξιοθαύμαστον εἶναι αὐτό, ὅτι ἐνῷ δὲν ὑπάρχει καλοκαιρία, ἀλλὰ σφοδρὸς χειμών, καὶ εἶναι πολὺ μεγάλη ἡ τρικυμία καὶ οἱ πειρασμοὶ συνεχεῖς, αὐτὸς δὲν εἶναι δυνατὸν οὔτε κατ' ἐλάχιστον νὰ σαλευθῇ. «Διότι κατέβη», λέγει, «ἡ βροχή, ἦλθαν οἱ ποταμοί, ἐφύσησαν οἱ ἄνεμοι καὶ ἔπεσαν μὲ ὁρμὴν ἐπάνω εἰς ἐκείνην τὴν οἰκίαν καὶ δὲν ἔπεσε· διότι εἶχε θεμελιωθῆ ἐπάνω εἰς τὴν πέτραν». Ἐδῶ βροχὴν καὶ ποταμοὺς καὶ ἀνέμους ὀνομάζει μεταφορικῶς τὰς ἀνθρωπίνας συμφορὰς καὶ δυστυχίας, ὡς ἐπὶ παραδείγματι τὰς συκοφαντίας, τὰς ἐπιβουλάς, τὰ πένθη, τοὺς θανάτους, τὰς ἀπωλείας τῶν συγγενῶν, τὰς περιφρονήσεις τῶν ξένων, ὅλα δηλαδὴ τὰ κακὰ ποὺ θὰ ἠμποροῦσε κανεὶς νὰ ἀναφέρῃ εἰς τὴν παροῦσαν ζωήν. Ἀλλ' εἰς οὐδέν, λέγει, ὑποχωρεῖ ἡ παρομοία ψυχή· ἡ αἰτία δὲ εἶναι, τὸ ὅτι ἔ-

τῆς πέτρας τεθεμελίωται. Πέτραν δὲ τὴν ἀσφάλειαν τῆς ἑαυτοῦ διδασκαλίας καλεῖ. Καὶ γὰρ πέτρας ἰσχυρότερα τὰ προστάγματα, ὑψηλότερον πάντων ποιοῦντα τῶν ἀνθρωπίνων κυμάτων. Ὁ γὰρ ταῦτα μετὰ ἀκριβείας φυλάττων, οὐκ ἀν-
5 *θρώπων περιέσται μόνον ἐπηρεαζόντων, ἀλλὰ καὶ αὐτῶν τῶν δαιμόνων ἐπιβουλευόντων αὐτῷ.*

3. Καὶ ὅτι οὐ κόμπος τὰ εἰρημένα, μάρτυς ἡμῖν ὁ Ἰώβ, πάσας δεξάμενος τοῦ διαβόλου τὰς προσβολὰς καὶ μείνας ἀκίνητος· μαρτυρήσειαν δ' ἂν καὶ οἱ ἀπόστολοι, τῶν κυμάτων
10 *τῆς οἰκουμένης προσρηγνυμένων αὐτοῖς, καὶ δήμων καὶ τυράννων, καὶ οἰκείων καὶ ἀλλοτρίων, καὶ δαιμόνων καὶ διαβόλου, καὶ πάσης μηχανῆς κινηθείσης, πέτρας στερρότερον στάντες, καὶ ταῦτα πάντα διαλύσαντες.*

Τί τοίνυν τοῦ βίου τούτου μακαριώτερον γένοιτ' ἄν;
15 *Τοῦτο γὰρ οὐ πλοῦτος, οὐ σώματος ἰσχύς, οὐ δόξα, οὐ δυναστεία, οὐκ ἄλλο οὐδὲν ὑποσχέσθαι δυνήσεται, ἀλλ' ἡ τῆς ἀρετῆς κτῆσις μόνη. Οὐ γάρ ἐστιν, οὐκ ἔστι βίον εὑρεῖν ἕτερον κακῶν ἐλεύθερον ἁπάντων, ἀλλ' ἢ τοῦτον μόνον. Καὶ μάρτυρες ὑμεῖς, οἱ τὰς ἐν τοῖς βασιλείοις εἰδότες ἐπιβουλάς,*
20 *οἱ τοὺς θορύβους καὶ τὰς ταραχὰς τὰς ἐν ταῖς τῶν πλουτούντων οἰκίαις. Ἀλλ' οὐκ ἐν τοῖς ἀποστόλοις τοιοῦτον οὐδέν. Τί οὖν; οὐδὲν γέγονε τοιοῦτον, οὐδὲ ἔπαθόν τι δεινὸν παρ' οὐδενὸς ἐκεῖνοι; Τὸ γὰρ θαυμαστὸν τοῦτο μάλιστα πάντων ἐστίν, ὅτι πολλὰς μὲν ὑπέμειναν ἐπιβουλάς, καὶ πολλοὶ*
25 *κατερράγησαν ἐπ' αὐτῶν οἱ χειμῶνες, τὴν δὲ ψυχὴν αὐτῶν οὐ περιέτρεψαν, οὐδὲ εἰς ἀθυμίαν ἐνέβαλον· ἀλλὰ γυμνοῖς σώμασι παλαίοντες ἐκράτησαν καὶ περιεγένοντο.*

χει θεμελιωθῇ ἐπάνω εἰς πέτραν. Πέτραν δὲ ὀνομάζει τὴν ἀσφάλειαν ποὺ παρέχει ἡ διδασκαλία του. Καθόσον τὰ προστάγματα εἶναι ἰσχυρότερα ἀπὸ τὴν πέτραν καὶ τοποθετοῦν τὸν ἄνθρωπον ὑψηλότερον ἀπὸ ὅλα τὰ ἀνθρώπινα κύματα. Διότι αὐτὸς ποὺ φυλάσσει αὐτὰ μὲ ἀκρίβειαν, ὄχι μόνον θὰ διασωθῇ ἀπὸ τοὺς ἀνθρώπους ποὺ θέλουν νὰ τὸν βλάψουν, ἀλλὰ καὶ ἀπὸ αὐτοὺς τοὺς δαίμονας ποὺ τὸν ἐπιβουλεύονται.

3. Καὶ τὸ ὅτι τὰ ὅσα ἐλέχθησαν δὲν εἶναι μεγάλα λόγια, μάρτυς μας εἶναι ὁ Ἰώβ, ὁ ὁποῖος ἂν καὶ ἐδέχθη ὅλας τὰς προσβολὰς τοῦ διαβόλου, ἔμεινεν ἀμετακίνητος· θὰ ἠμποροῦσαν δὲ νὰ τὸ ἐπιβεβαιώσουν καὶ οἱ ἀπόστολοι, ἐπὶ τῶν ὁποίων ἂν καὶ προσέκρουσαν τὰ κύματα τῆς οἰκουμένης, καὶ δῆμοι καὶ τύραννοι, καὶ συγγενεῖς καὶ ξένοι, καὶ δαίμονες καὶ ὁ διάβολος, καὶ ἐκινήθη ἐναντίον των ὅλη ἡ μηχανορραφία, ἀπεδείχθησαν πιὸ στερεοὶ ἀπὸ τὴν πέτραν καὶ τὰ διέλυσαν ὅλα αὐτά.

Τί λοιπὸν θὰ ἠμποροῦσε νὰ εἶναι πιὸ ἀξιομακάριστον ἀπὸ αὐτὴν τὴν ζωήν; Διότι αὐτὸ οὔτε ὁ πλοῦτος, οὔτε ἡ δύναμις τοῦ σώματος, οὔτε ἡ δόξα, οὔτε ἡ ἐξουσία, οὔτε τίποτε ἄλλο θὰ ἠμπορέσῃ νὰ τὸ παράσχῃ, ἀλλὰ μόνον ἡ ἀπόκτησις τῆς ἀρετῆς. Διότι δὲν ὑπάρχει, δὲν εἶναι δυνατὸν νὰ εὕρῃ κανεὶς ἄλλον βίον ἐλεύθερον ἀπὸ ὅλα τὰ κακὰ παρὰ μόνον αὐτόν. Καὶ μάρτυρες εἶσθε σεῖς, οἱ ὁποῖοι γνωρίζετε τὰς σκευωρίας εἰς τὰ βασιλικὰ ἀνάκτορα, καὶ τοὺς θορύβους καὶ τὰς ταραχὰς ποὺ συμβαίνουν εἰς τὰς οἰκίας τῶν πλουσίων. Ἀλλὰ εἰς τοὺς ἀποστόλους δὲν συνέβη τίποτε τὸ παρόμοιον. Τί λοιπόν; δὲν συνέβη τίποτε τὸ παρόμοιον, οὔτε ἔπαθον ἐκεῖνοι κανένα κακὸν ἀπὸ κανένα; Διότι τὸ πλέον ἀξιοθαύμαστον ἀπὸ ὅλα εἶναι αὐτό, ὅτι ὑπέμειναν μὲν πολλὰς σκευωρίας καὶ πολλοὶ χειμῶνες προσέκρουσαν ἐπάνω των, ὅμως δὲν διέφθειραν τὴν ψυχήν των, οὔτε τοὺς ἔκαμαν νὰ λιποψυχήσουν· ἀλλ' ἐνῷ ἠγωνίζοντο μὲ γυμνὰ σώματα ἐπεκράτησαν καὶ διεσώθησαν.

Καὶ σὺ τοίνυν, ἐὰν θέλῃς ταῦτα ποιεῖν μετὰ ἀκριβείας, πάντων καταγελάσῃ. Κἂν γὰρ ᾖς ὠχυρωμένος τῇ τῶν παραινέσεων τούτων φιλοσοφίᾳ, οὐδέν σε λυπῆσαι δυνήσεται. Τί γάρ σε βλάψει ὁ βουλόμενος ἐπιβουλεύειν; Χρήματά σου 5 *ἀφαιρήσεται; Ἀλλὰ καὶ πρὸ τῆς ἀπειλῆς τῆς ἐκείνων ἐκελεύσθης αὐτῶν καταφρονεῖν, καὶ μετὰ τοσαύτης ἀπέχεσθαι τῆς ὑπερβολῆς, ὡς μηδὲ παρὰ τοῦ δεσπότου τί ποτε τοιοῦτον αἰτεῖν. Ἀλλ' εἰς δεσμωτήριον ἐμβάλλει; Ἀλλὰ πρὸ τοῦ δεσμωτηρίου οὕτω ζῆν ἐκελεύσθης, ὡς καὶ παντὶ ἐ-* 10 *σταυρῶσθαι τῷ κόσμῳ. Ἀλλὰ λέγει κακῶς; Ἀλλὰ καὶ ταύτης ἀπήλλαξέ σε τῆς ὀδύνης ὁ Χριστός, πολύν σοι ἀπονητὶ τῆς ἀνεξικακίας ἐπαγγελλόμενος μισθόν, καὶ οὕτω σε καθαρὸν τῆς ἐντεῦθεν ὀργῆς καὶ λύπης ποιήσας, ὡς καὶ κελεῦσαι ὑπὲρ αὐτῶν εὔχεσθαι. Ἀλλ' ἐλαύνει καὶ μυρίοις σε περι-* 15 *βάλλει κακοῖς; Ἀλλὰ λαμπρότερόν σοι ποιεῖ τὸν στέφανον. Ἀλλ' ἀναιρεῖ καὶ κατασφάττει; Καὶ διὰ τοῦτο τὰ μέγιστά σε ὠφελεῖ πάλιν, τὰ τῶν μαρτύρων σοι ἔπαθλα κατασκευάζων καὶ ταχύτερον εἰς τὸν ἀκύμαντον λιμένα παραπέμπων καὶ μείζονος ἀμοιβῆς ὑπόθεσίν σοι παρέχων καὶ τὴν κοι-* 20 *νὴν δίκην πραγματεύεσθαί σε παρασκευάζων. Ὃ δὴ καὶ μάλιστα πάντων ἐστὶ θαυμαστότερον· ὅτι οὐ μόνον οὐδὲν παραβλάπτουσιν οἱ ἐπιβουλεύοντες, ἀλλὰ καὶ εὐδοκιμωτέρους ποιοῦσι τοὺς ἐπηρεαζομένους. Οὗ τί γένοιτ' ἂν ἴσον, τοιοῦτον ἑλέσθαι βίον, οἷος μόνος οὗτός ἐστιν;*

25 *Ἐπειδὴ γὰρ εἶπε στενὴν καὶ τεθλιμμένην τὴν ὁδόν, κἀντεῦθεν παραμυθούμενος τοὺς πόνους, δείκνυσι πολλὴν αὐτῆς οὖσαν τὴν ἀσφάλειαν, πολλὴν τὴν ἡδονήν, ὥσπερ οὖν*

Καὶ σὺ λοιπὸν ἐὰν θελήσῃς νὰ πράξῃς αὐτὰ μὲ ἀκρίβειαν θὰ τὰ ὑπερνικήσῃς, διότι θὰ τὰ εὕρῃς γελοῖα. Διότι ἐφ' ὅσον θὰ εἶσαι κατωχυρωμένος μὲ τὴν φιλοσοφίαν αὐτῶν τῶν παραινέσεων δὲν θὰ ἠμπορέσῃ τίποτε νὰ σὲ λυπήσῃ. Διότι εἰς τί θὰ σὲ βλάψῃ αὐτὸς ποὺ σὲ ἐπιβουλεύεται; Θὰ σοῦ ἀφαιρέσῃ χρήματα; Ἀλλὰ καὶ πρὶν ἀπὸ τὴν ἀπειλὴν ἐκείνου ἔλαβες τὴν ἐντολὴν νὰ περιφρονῇς αὐτὰ καὶ νὰ ἀπέχῃς τόσον πολὺ ἀπὸ τὴν ὑπερβολήν, ὥστε οὔτε ἀπὸ τὸν Κύριον νὰ ζητῇς ποτὲ κάτι παρόμοιον. Μήπως θὰ σὲ κλείσῃ εἰς τὴν φυλακήν; Ἀλλὰ πρὶν ἀπὸ τὴν φυλακὴν ἔλαβες ἐντολὴν νὰ ζῇς κατὰ τέτοιον τρόπον ὡσὰν νὰ ἔχῃς σταυρωθῆ δι' ὁλόκληρον τὸν κόσμον. Ἀλλὰ μήπως σὲ κακολογεῖ; Ὅμως ὁ Χριστὸς σὲ ἀπήλλαξε καὶ ἀπὸ αὐτὴν τὴν ὀδύνην, ὑποσχεθεὶς εἰς σὲ πολὺν τὸν χωρὶς κόπον μισθὸν τῆς ἀνεξικακίας, καὶ ἔτσι σὲ κατέστησε καθαρὸν ἀπὸ τὴν ὀργὴν καὶ τὴν λύπην ποὺ προέρχονται ἀπὸ αὐτὰς τὰς συκοφαντίας, ὥστε νὰ σὲ προτρέψῃ νὰ προσεύχεσαι καὶ ὑπὲρ τῶν ἐχθρῶν σου. Μήπως σὲ ἐκδιώκει καὶ σὲ ἀπειλεῖ μὲ ἀμέτρητα κακά; Ἀλλὰ τότε σοῦ κάνει λαμπρότερον τὸν στέφανον. Μήπως σὲ φονεύει καὶ σὲ κατασφάζει; Καὶ μὲ αὐτὸ πάλιν σὲ ὠφελεῖ τὰ μέγιστα, προετοιμάζων εἰς σὲ τὰ ἔπαθλα τῶν μαρτύρων, καὶ σὲ ἀποστέλλει πιὸ γρήγορα εἰς τὸν γαλήνιον λιμένα καὶ σοῦ παρέχει εὐκαιρίαν διὰ μεγαλυτέραν ἀμοιβὴν καὶ σὲ προετοιμάζει ν' ἀπαλλαγῆς κατὰ τὴν κοινὴν δίκην. Καὶ αὐτὸ ἀκριβῶς, βέβαια, εἶναι τὸ πιὸ ἀξιοθαύμαστον ἀπὸ ὅλα· διότι ὄχι μόνον δὲν σὲ παραβλάπτουν εἰς τίποτε αὐτοὶ ποὺ σὲ ἐπιβουλεύονται, ἀλλὰ καὶ κάμνουν πιὸ εὐδοκίμους αὐτοὺς ποὺ δέχονται τὰς ἐπιβουλάς. Τί θὰ ἦτο δυνατὸν νὰ ἐξισωθῇ μὲ αὐτό, δηλαδὴ τὸ νὰ ἐκλέξῃ κανεὶς τέτοιον βίον, ποὺ παρόμοιός του δὲν ὑπάρχει;

Ἐπειδὴ λοιπὸν εἶπεν ὅτι εἶναι στενὴ καὶ στενόχωρος ἡ ὁδός, διὰ τὸν λόγον αὐτὸν θέλων νὰ δώσῃ παρηγορίαν εἰς τοὺς πόνους δεικνύει ὅτι εἶναι πολὺ μεγάλη ἡ ἀσφάλειά της, καὶ πολὺ μεγάλη ἡ ἡδονή της, ὅπως ἀκριβῶς λοιπὸν

καὶ τῆς ἐναντίας πολλὴν τὴν σαθρότητα καὶ τὴν ζημίαν. Καθάπερ γὰρ τῆς ἀρετῆς κἀντεῦθεν ἔδειξε τὰ ἔπαθλα, οὕτω καὶ τῆς κακίας τὰ ἐπίχειρα. Καὶ γὰρ ὅπερ ἀεὶ λέγω, τοῦτο καὶ νῦν ἐρῶ, δι' ἀμφοτέρων πανταχοῦ κατασκευάζει τῶν ἀκροατῶν τὴν σωτηρίαν, διά τε τοῦ ζήλου τῆς ἀρετῆς, διά τε τοῦ τῆς κακίας μίσους. Ἐπειδὴ γὰρ ἔμελλόν τινες εἶναι, τὰ μὲν λεγόμενα θαυμάζοντες, τὴν δὲ διὰ τῶν ἔργων οὐ παρέχοντες ἐπίδειξιν, προκαταλαμβάνων αὐτοὺς φοβεῖ λέγων, ὅτι εἰ καὶ καλὰ τὰ εἰρημένα, οὐκ ἀρκεῖ εἰς ἀσφάλειαν ἡ ἀκρόασις, ἀλλὰ δεῖ καὶ τῆς διὰ τῶν ἔργων ὑπακοῆς, καὶ τὸ πᾶν ἐν τούτῳ μάλιστά ἐστι.

Καὶ ἐνταῦθα καταλύει τὸν λόγον, τὸν φόβον αὐτοῖς ἐνακμάζοντα ἀφείς. Ὥσπερ γὰρ ἐπὶ τῆς ἀρετῆς οὐκ ἀπὸ τῶν μελλόντων προέτρεψε μόνον, βασιλείαν εἰπὼν καὶ οὐρανοὺς καὶ μισθὸν ἄφατον καὶ παράκλησιν καὶ τὰ μυρία ἀγαθά, ἀλλὰ καὶ ἀπὸ τῶν παρόντων, τὸ στερρὸν καὶ ἀκίνητον ἐνδειξάμενος τῆς πέτρας· οὕτω καὶ ἐπὶ τῆς κακίας οὐκ ἀπὸ τῶν προσδοκωμένων φοβεῖ μόνον, οἷον τοῦ κοπτομένου δένδρου καὶ τοῦ πυρὸς τοῦ ἀσβέστου καὶ τοῦ μὴ εἰσελθεῖν εἰς τὴν βασιλείαν καὶ τοῦ λέγειν, «Οὐκ οἶδα ὑμᾶς», ἀλλὰ καὶ ἀπὸ τῶν παρόντων, τῆς πτώσεως λέγω τῆς κατὰ τὴν οἰκίαν. Διὸ καὶ ἐμφαντικώτερον τὸν λόγον ἐποίησεν, ἐπὶ παραβολῆς αὐτὸ γυμνάζων. Οὐδὲ γὰρ ἦν εἰπεῖν ἴσον, ὅτι ἀχείρωτος ἔσται ὁ ἐνάρετος καὶ εὐάλωτος ὁ πονηρὸς καὶ πέτραν θεῖναι καὶ οἰκίαν καὶ ποταμοὺς καὶ βροχὴν καὶ ἄνεμον καὶ ὅσα τοιαῦτα. «Καὶ πᾶς ὁ ἀκούων μου τοὺς λόγους τούτους», φησί, «καὶ μὴ ποιῶν αὐτούς, ὁμοιωθήσεται ἀνδρὶ μωρῷ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν ψάμμον».

καὶ τῆς ἀντιθέτου ὁδοῦ ὅτι εἶναι πολὺ μεγάλη ἡ σαθρότης καὶ ἡ ζημία. Διότι ὅπως ἀκριβῶς ἔδειξε, μὲ ὅσα εἶπε, τὰ ἔπαθλα τῆς ἀρετῆς ἔτσι ἐφανέρωσε καὶ τὰ ἀποτελέσματα τῆς κακίας. Καὶ μάλιστα αὐτὸ ποὺ πάντοτε λέγω, αὐτὸ καὶ τώρα θὰ εἰπῶ, ὅτι δηλαδὴ καὶ μὲ τὰ δύο συνεχῶς προετοιμάζει τὴν σωτηρίαν τῶν ἀκροατῶν, καὶ μὲ τὸν ζῆλον τῆς ἀρετῆς καὶ μὲ τὸ μῖσος διὰ τὴν κακίαν. Διότι ἐπειδὴ ἐπρόκειτο νὰ ὑπάρχουν ὡρισμένοι, ποὺ τὰ μὲν λεγόμενα θὰ τὰ ἐθαύμαζαν, ὅμως δὲν ἐπεδείκνυαν καὶ ἔργα, καταλαμβάνων αὐτοὺς ἐκ τῶν προτέρων τοὺς ἐκφοβίζει λέγων, ὅτι ἂν καὶ εἶναι καλὰ τὰ ὅσα ἐλέχθησαν, ἐν τούτοις δὲν εἶναι ἀρκετὰ διὰ τὴν σωτηρίαν τὸ νὰ τὰ ἀκούῃ αὐτὰ κανεὶς μόνον, ἀλλὰ χρειάζεται καὶ ἡ ὑπακοὴ ποὺ ἐκδηλώνεται μὲ τὰ ἔργα, καὶ ὅτι τὸ πᾶν μάλιστα ἐξαρτᾶται ἀπ' αὐτά.

Καὶ εἰς τὸ σημεῖον αὐτὸ τελειώνει τὸν λόγον, ἀφοῦ ἄφησεν αὐτοὺς μὲ τὸν φόβον εἰς πλήρη ἄνθησιν. Διότι ὅπως ἀκριβῶς δὲν προέτρεψεν διὰ τὴν ἀρετὴν μόνον ἀπὸ τὰ μελλοντικὰ ἀγαθά, μὲ τὸ νὰ ὑποσχεθῇ βασιλείαν καὶ οὐρανοὺς καὶ ἀνεκδιήγητον μισθόν, καὶ παρηγορίαν, καὶ τὰ πάσης φύσεως ἀγαθά, ἀλλὰ παρεκίνησε καὶ ἀπὸ τὰ παρόντα δείξας τὸ σταθερὸν καὶ ἀμετακίνητον τῆς πέτρας, ἔτσι καὶ εἰς τὴν περίπτωσιν τῆς κακίας δὲν ἐκφοβίζει μόνον ἀπὸ τὰ ἀναμενόμενα, ἐπὶ παραδείγματι ἀπὸ τὸ δένδρον ποὺ κόπτεται, ἀπὸ τὸ πῦρ τὸ ἄσβεστον, καὶ τὸ ὅτι δὲν θὰ εἰσέλθουν εἰς τὴν βασιλείαν καὶ μὲ τοὺς λόγους «Δὲν σᾶς ἀναγνωρίζω», ἀλλὰ τοὺς ἐκφοβίζει καὶ μὲ τὰ παρόντα, ἐννοῶ τὸ παράδειγμα τῆς πτώσεως τῆς οἰκίας. Διὰ τοῦτο καὶ ἔκαμε τὸν λόγον του πιὸ ἐκφραστικόν, μὲ τὸ νὰ ὁμιλήσῃ κατὰ τρόπον παραβολικόν. Διότι δὲν ἦτο τὸ ἴδιο πρᾶγμα νὰ εἰπῇ ἁπλῶς ὅτι ὁ ἐνάρετος θὰ εἶναι ἀκατάβλητος ἐνῷ ὁ πονηρὸς θὰ εἶναι εὐάλωτος, καὶ τὸ νὰ ἀναφέρῃ πέτραν καὶ οἰκίαν καὶ ποταμοὺς καὶ βροχὴν καὶ ἄνεμον καὶ ὅλα τὰ παρόμοια. «Καὶ ὁ καθένας ποὺ ἀκούει αὐτοὺς τοὺς λόγους μου», λέγει, «καὶ δὲν τοὺς ἐκτελεῖ, θὰ ὁμοιωθῇ μὲ ἄνδρα μωρόν, ὁ ὁποῖος ἔ-

Καλῶς δὲ μωρὸν ἐκάλεσε τοῦτον. Τί γὰρ ἂν γένοιτο ἀνοητότερον τοῦ οἰκίαν οἰκοδομοῦντος ἐπὶ τῆς ψάμμου καὶ τὸν μὲν πόνον ὑπομένοντος, τοῦ δὲ καρποῦ καὶ τῆς ἀναπαύσεως ἀποστερουμένου καὶ ἀντὶ τούτου κόλασιν ὑπομένοντος; Ὅτι
5 *γὰρ καὶ οἱ κακίαν μετιόντες κάμνουσι, παντί που δῆλόν ἐστι· καὶ γὰρ καὶ ὁ ἅρπαξ καὶ ὁ μοιχὸς καὶ ὁ συκοφάντης πολλὰ πονοῦσι καὶ ταλαιπωροῦνται, ὥστε τὴν αὐτῶν κακίαν εἰς τέλος ἀγαγεῖν· ἀλλ᾽ οὐ μόνον οὐδὲν ἀπὸ τῶν πόνων τούτων καρποῦνται τὸ κέρδος, ἀλλὰ καὶ πολλὴν ὑπομένουσι τὴν ζη-*
10 *μίαν. Ἐπεὶ καὶ ὁ Παῦλος τοῦτο αἰνιττόμενος ἔλεγεν· «Ὁ σπείρων εἰς τὴν σάρκα αὐτοῦ, ἐκ τῆς σαρκὸς αὐτοῦ θερίσει φθοράν». Τούτῳ ἐοίκασι καὶ οἱ ἐπὶ τῆς ψάμμου οἰκοδομοῦντες· οἷον οἱ ἐπὶ πορνείᾳ, οἱ ἐπὶ ἀσελγείᾳ, οἱ ἐπὶ μέθῃ, οἱ ἐπὶ θυμῷ, οἱ ἐπὶ τοῖς ἄλλοις ἅπασι.*

15 *4. Τοιοῦτος ἦν ὁ Ἀχαάβ, ἀλλ᾽ οὐ τοιοῦτος ὁ Ἠλίας. Καὶ γὰρ παράλληλα θέντες τὴν ἀρετὴν καὶ τὴν κακίαν, ἀκριβέστερον εἰσόμεθα τὸ διάφορον. Ὁ μὲν γὰρ ἐπὶ τῆς πέτρας ᾠκοδόμησεν, ὁ δὲ ἐπὶ τῆς ψάμμου· διὸ καὶ βασιλεὺς ὢν ἐδεδοίκει καὶ ἔτρεμε τὸν προφήτην, τὸν τὴν μηλωτὴν*
20 *ἔχοντα μόνον. Τοιοῦτοι οἱ Ἰουδαῖοι, ἀλλ᾽ οὐχ οἱ ἀπόστολοι· διὸ καὶ ὀλίγοι ὄντες καὶ δεδεμένοι, τῆς πέτρας ἐνεδείκνυντο τὸ στερρόν· ἐκεῖνοι δὲ καὶ πολλοὶ καὶ ὡπλισμένοι, τῆς ψάμμου τὸ ἀσθενές. Καὶ γὰρ ἔλεγον· «Τί ποιήσομεν τοῖς ἀνθρώποις τούτοις;». Ὁρᾷς ἐν ἀπορίᾳ ὄντας, οὐ τοὺς*
25 *ὑποχειρίους καὶ δεδεμένους, ἀλλὰ τοὺς κατέχοντας καὶ δεσμεύοντας; οὗ τί γένοιτ᾽ ἂν καινότερον; Σὺ κατέχεις καὶ*

---

10. Γαλ. 6, 8.
11. Πρβλ. Γ΄ Βασ. 16, 29 ἑ.
12. Ὁ Ἠλίας.
13. Ὁ Ἀχαάβ.
14. Πράξ. 4, 16.

χει οἰκοδομήσει τὴν οἰκίαν του ἐπάνω εἰς τὴν ἄμμον». Ὀρθῶς δὲ ὠνόμασεν αὐτὸν μωρόν. Διότι τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ πιὸ ἀνόητον ἀπὸ τὸ νὰ οἰκοδομῇ κανεὶς τὴν οἰκίαν του ἐπάνω εἰς τὴν ἄμμον, καὶ τὸν μὲν πόνον νὰ τὸν ὑπομένῃ, νὰ στερῆται ὅμως τοῦ καρποῦ καὶ τῆς ἀναπαύσεως, καὶ νὰ ὑπομένῃ ἀντὶ αὐτοῦ τιμωρίαν; Διότι τὸ ὅτι κουράζονται καὶ οἱ ἀσχολούμενοι μὲ τὴν κακίαν εἶναι βεβαίως φανερὸν εἰς τὸν καθένα· καθόσον καὶ αὐτὸς ποὺ ἁρπάζει, καὶ ὁ μοιχός, καὶ ὁ συκοφάντης ὑποβάλλονται εἰς μεγάλον πόνον καὶ ταλαιπωρίας, διὰ νὰ φέρουν εἰς πέρας τὴν κακίαν των· ἀλλ' ὄχι μόνον δὲν ἀποκομίζουν κανὲν κέρδος ἀπὸ αὐτοὺς τοὺς πόνους, ἀλλὰ ὑφίστανται καὶ πολλὴν ζημίαν. Διὰ τοῦτο καὶ ὁ Παῦλος ὑπαινισσόμενος αὐτὸ ἔλεγεν· «Αὐτὸς ποὺ σπείρει εἰς τὴν σάρκα του θὰ θερίσῃ ἀπὸ τὰ ἔργα τῆς σαρκός του φθοράν»[10]. Μὲ αὐτὸν ὁμοιάζουν καὶ αὐτοὶ ποὺ οἰκοδομοῦν ἐπάνω εἰς τὴν ἄμμον· ὡς ἐπὶ παραδείγματι οἱ ἀσχολούμενοι μὲ τὴν πορνείαν, αὐτοὶ ποὺ ἀσελγοῦν, αὐτοὶ ποὺ μεθοῦν, ποὺ ὀργίζονται, καὶ οἱ ἀσχολούμενοι μὲ ὅλα τὰ ἄλλα κακά.

4. Τέτοιος ἦτο ὁ Ἀχαάβ[11], ἀλλὰ δὲν ἦτο τέτοιος ὁ Ἠλίας. Καὶ βεβαίως ἐὰν θέσωμεν παράλληλα τὴν ἀρετὴν καὶ τὴν κακίαν, θὰ γνωρίσωμεν τὴν διαφορὰν ἀκριβέστερον. Διότι ὁ μὲν ἕνας[12] ἔχει οἰκοδομίσει ἐπάνω εἰς τὴν πέτραν, ὁ δὲ ἄλλος[13] ἐπάνω εἰς τὴν ἄμμον· διὰ τοῦτο ἂν καὶ ἦτο βασιλεὺς ἐφοβεῖτο καὶ ἔτρεμε τὸν προφήτην ποὺ εἶχε μόνον τὴν μηλωτήν. Τέτοιοι ἦσαν οἱ Ἰουδαῖοι, ἀλλ' ὄχι ὅμως οἱ ἀπόστολοι· διὰ τοῦτο ἂν καὶ ἦσαν ὀλίγοι καὶ δεμένοι, ἐφανέρωναν τὸ σταθερὸν τῆς πέτρας· ἐκεῖνοι δὲ ἂν καὶ ἦσαν πολλοὶ καὶ ὡπλισμένοι, ἐφανέρωναν τὸ ἀδύναμον τῆς ἄμμου. Καὶ διὰ τοῦτο ἔλεγαν· «Τί νὰ κάμωμεν μὲ αὐτοὺς τοὺς ἀνθρώπους;»[14]. Βλέπεις εὑρίσκονται εἰς ἀπορίαν ὄχι οἱ αἰχμάλωτοι καὶ οἱ δεμένοι, ἀλλ' αὐτοὶ ποὺ τοὺς κρατοῦν καὶ τοὺς ἔχουν φυλακισμένους; Ποῖο πρᾶγμα θὰ ἠμποροῦσε νὰ εἶναι πιὸ πρωτοφανές; Σὺ εἶσαι ὁ κύριος καὶ κατα-

διαπορεῖς; Καὶ μάλα εἰκότως. Ἐπειδὴ γὰρ ἐπὶ τῆς ψάμμου πάντα ᾠκοδόμησαν, διὰ τοῦτο καὶ ἀσθενέστεροι πάντων ἦσαν. Διὰ τοῦτο καὶ πάλιν ἔλεγον· «Τί ποιεῖτε βουλόμενοι ἐπαγαγεῖν ἐφ' ἡμᾶς τὸ αἷμα τοῦ ἀνθρώπου τούτου;».
5 *Τί φησι; Σὺ μαστίζεις καὶ σὺ φοβῇ; σὺ ἐπηρεάζεις καὶ σὺ δέδοικας; σὺ κρίνεις καὶ σὺ τρέμεις; Οὕτως ἀσθενὴς ἡ κακία. Ἀλλ' οὐχ οἱ ἀπόστολοι οὕτως, ἀλλὰ πῶς; «Οὐ δυνάμεθα ἡμεῖς ἃ εἴδομεν καὶ ἠκούσαμεν μὴ λαλεῖν». Εἶδες φρόνημα ὑψηλόν; εἶδες πέτραν κυμάτων καταγελῶσαν; εἶ-*
10 *δες οἰκίαν ἄσειστον; Καὶ τὸ δὴ θαυμαστότερον, ὅτι οὐ μόνον οὐδὲ ἐγίνοντο αὐτοὶ δειλοὶ δι' ὧν ἐπεβουλεύοντο, ἀλλ' ὅτι καὶ πλεῖον ἐλάμβανον θάρσος, κἀκείνους εἰς μείζονα ἐνέβαλον ἀγωνίαν. Καὶ γὰρ ὁ τὸν ἀδάμαντα πλήττων, αὐτός ἐστιν ὁ πληττόμενος, καὶ ὁ τὰ κέντρα λακτίζων, αὐτός ἐστιν*
15 *ὁ κεντούμενος, καὶ τὰ χαλεπὰ δεχόμενος τραύματα· καὶ ὁ τοῖς ἐναρέτοις ἐπιβουλεύων, αὐτός ἐστιν ὁ κινδυνεύων. Ἡ γὰρ κακία τοσούτῳ μᾶλλον ἀσθενεστέρα γίνεται, ὅσῳπερ ἂν πρὸς τὴν ἀρετὴν παρατάττηται. Καὶ καθάπερ ὁ πῦρ ἐν ἱματίῳ δεσμῶν, τὴν μὲν φλόγα οὐκ ἔσβεσε, τὸ δὲ ἱμάτιον*
20 *ἐδαπάνησεν· οὕτως ὁ τοῖς ἐναρέτοις ἐπηρεάζων καὶ κατέχων καὶ δεσμεύων, ἐκείνους μὲν λαμπροτέρους εἰργάσατο, ἑαυτὸν δὲ ἠφάνισε. Καὶ γὰρ ὅσα ἂν δεινὰ πάθῃς ἐπιεικῶς ζῶν, τοσούτῳ γέγονας ἰσχυρότερος· ὅσῳ γὰρ τιμῶμεν φιλοσοφίαν, τοσούτῳ μᾶλλον οὐδενὸς δεησόμεθα· καὶ ὅσῳ ἂν*
25 *μηδενὸς δεηθῶμεν, τοσούτῳ μᾶλλον ἰσχυροὶ γινόμεθα καὶ πάντων ἀνώτεροι.*

Τοιοῦτος ἦν ὁ Ἰωάννης· διὸ ἐκεῖνον μὲν οὐδεὶς ἐλύπει, αὐτὸς δὲ ἐλύπει τὸν Ἡρώδην· καὶ ὁ μὲν μηδὲν ἔχων,

---

15. Πράξ. 5, 28.
16. Πράξ. 4, 20.

λαμβάνεσαι ἀπὸ ἀπορίαν; Καὶ πολὺ φυσικά. Ἐπειδὴ βεβαίως ὅλα τὰ ἔκτισαν ἐπάνω εἰς τὴν ἄμμον διὰ τοῦτο ἦσαν καὶ πιὸ ἀνίσχυροι ἀπὸ ὅλους. Καὶ διὰ τοῦτο πάλιν ἔλεγαν· «Τί κάνετε θέλοντες νὰ ρίψετε πρὸς ἡμᾶς τὸ αἷμα αὐτοῦ τοῦ ἀνθρώπου;»[15]. Τί λέγει; Σὺ μαστιγώνεις καὶ σὺ φοβεῖσαι; σὺ ἀσκεῖς βίαν καὶ σὺ φοβεῖσαι; σὺ κρίνεις καὶ σὺ τρέμεις; Τόσον ἀδύναμος εἶναι ἡ κακία. Δὲν ἦσαν ὅμως τέτοιοι οἱ ἀπόστολοι· ἀλλὰ πῶς ἦσαν; «Δὲν ἠμποροῦμεν ἡμεῖς αὐτὰ ποὺ εἴδαμεν καὶ ἠκούσαμεν νὰ μὴ τὰ κηρύττωμεν»[16]. Εἶδες φρόνημα ὑψηλόν; εἶδες πέτραν νὰ περιπαίζῃ τὰ κύματα; εἶδες οἰκίαν ἀσάλευτον; Καὶ τὸ πλέον θαυμαστὸν βεβαίως εἶναι, ὅτι ὄχι μόνον δὲν ἐγίνοντο αὐτοὶ δειλοὶ δι' ὅσων ἐπεβουλεύοντο, ἀλλ' ὅτι ἐλάμβανον καὶ περισσότερον θάρρος, καὶ ἐνέσπειραν εἰς τοὺς διώκτας των μεγαλυτέραν ἀγωνίαν. Καθόσον αὐτὸς ποὺ κτυπᾷ τὸ διαμάντι, κτυπᾶται αὐτὸς ὁ ἴδιος, καὶ αὐτὸς ποὺ κλωτσᾷ τὰ καρφιὰ αὐτὸς ὁ ἴδιος πληγώνεται καὶ δέχεται τὰ βαρέα τραύματα· καὶ αὐτὸς ποὺ ἐπιβουλεύεται τοὺς ἐναρέτους κινδυνεύει αὐτὸς ὁ ἴδιος. Διότι ἡ κακία τόσον περισσότερον ἀσθενεστέρα γίνεται, ὅσον πιὸ πολὺ ἀντιμάχεται τὴν ἀρετήν. Καὶ ὅπως ἀκριβῶς αὐτὸς ποὺ φυλακίζει φωτιὰν εἰς ἕνα ἔνδυμα τὴν μὲν φλόγα δὲν σβήνει τὸ δὲ ἔνδυμα τὸ καταστρέφει, ἔτσι καὶ αὐτὸς ποὺ ἀπειλεῖ τοὺς ἐναρέτους καὶ τοὺς συλλαμβάνει καὶ τοὺς φυλακίζει, ἐκείνους μὲν τοὺς καθιστᾷ περισσότερον λαμπρούς, τὸν δὲ ἑαυτόν του τὸν ἐξαφανίζει. Καθόσον ὅσον πιὸ πολλὰ κακὰ ἤθελες πάθει σὺ ποὺ ζῇς ἐνάρετον ζωήν, τόσον πιὸ ἰσχυρὸς γίνεσαι· διότι ὅσον περισσότερον τιμῶμεν τὴν εὐσέβειαν τόσον περισσότερον δὲν θὰ ἔχωμεν τὴν ἀνάγκην οὐδενός· καὶ ὅσον περισσότερον δὲν ἔχομεν τὴν ἀνάγκην κανενός, τόσον περισσότερον ἰσχυροὶ γινόμεθα καὶ ἀνώτεροι ἀπὸ ὅλους.

Τέτοιος ἦτο ὁ Ἰωάννης. Διὰ τοῦτο ἐκεῖνον μὲν δὲν τὸν ἐπίκρανε κανείς, αὐτὸς δὲ ἐπίκρανε τὸν Ἡρώδην· καὶ ὁ μὲν ἕνας χωρὶς νὰ ἔχῃ τίποτε ἐξηγέρθη ἐναντίον αὐτοῦ

κατεξανέστη τοῦ κρατοῦντος· ὁ δὲ διάδημα καὶ ἁλουργίδα καὶ μυρίαν φαντασίαν περιβεβλημένος, τρέμει καὶ δέδοικε τὸν πάντων γεγυμνωμένον, καὶ οὐδὲ ἀποτετμημένον τὴν κεφαλὴν ἀδεῶς ἰδεῖν ἐδύνατο. Ὅτι γὰρ καὶ μετὰ τελευτὴν
5 *ἀκμάζοντα εἶχε τὸν φόβον, ἄκουσον τί φησιν· «Οὗτός ἐστιν ὁ Ἰωάννης, ὃν ἀνεῖλον ἐγώ». Τὸ δέ, ἀνεῖλον, οὐκ ἐπαιρομένου ἦν, ἀλλὰ τὸν φόβον παραμυθουμένου καὶ πείθοντος τὴν ψυχὴν τῶν ταραττομένην ἀναμνησθῆναι, ὅτι αὐτὸς αὐτὸν ἔσφαξε. Τοσαύτη τῆς ἀρετῆς ἡ ἰσχύς, ὅτι καὶ μετὰ*
10 *τελευτὴν τῶν ζώντων ἐστὶ δυνατωτέρα. Διὰ δὴ τοῦτο καὶ ἡνίκα ἔζη, οἱ τὰ πολλὰ κεκτημένοι χρήματα πρὸς αὐτὸν ἐρχόμενοι ἔλεγον· «Τί ποιήσομεν;». Τοσαῦτα ἔχετε καὶ παρὰ τοῦ μηδὲν ἔχοντος βούλεσθε μαθεῖν τῆς ὑμετέρας εὐημερίας τὴν ὁδόν; παρὰ τοῦ πένητος οἱ πλουτοῦντες; παρὰ τοῦ μηδὲ*
15 *οἰκίαν ἔχοντος οἱ στρατευόμενοι;*

Τοιοῦτος καὶ ὁ Ἠλίας ἦν· διὸ καὶ μετὰ τῆς αὐτῆς παρρησίας τῷ δήμῳ διελέγετο. Ὁ μὲν γὰρ ἔλεγε, «Γεννήματα ἐχιδνῶν», οὗτος δέ, «Ἕως πότε χωλανεῖτε ἐπ' ἀμφοτέραις ταῖς ἰγνύαις ὑμῶν;». Καὶ ὁ μὲν ἔλεγεν, «Ἐφό-
20 *νευσας καὶ ἐκληρονόμησας», ὁ δὲ ἔλεγεν, «Οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου». Εἶδες τὴν πέτραν; εἶδες τὴν ψάμμον; πῶς εὐκόλως καταπίπτει; πῶς εἴκει ταῖς συμφοραῖς; πῶς περιτρέπεται, κἂν μετὰ βασιλέως κἂν μετὰ πλήθους ᾖ κἂν μετὰ δυναστείας; Ἁπάντων*
25 *γὰρ τοὺς μετιόντας αὐτὴν ἀναισθητοτέρους ποιεῖ. Καὶ οὐδὲ ἁπλῶς καταπίπτει, ἀλλὰ μετὰ πολλῆς τῆς συμφορᾶς. «Καὶ γὰρ ἦν», φησίν, «ἡ πτῶσις αὐτῆς μεγάλη». Οὐδὲ γὰρ ὑπὲρ τῶν τυχόντων ὁ κίνδυνος, ἀλλ' ὑπὲρ ψυχῆς, ὑπὲρ ἐκπτώσεως οὐρανῶν καὶ τῶν ἀθανάτων ἐκείνων ἀγαθῶν. Μᾶλλον*
30 *δὲ καὶ πρὸ ἐκείνων, πάντων ἀθλιώτερον ὁ ταύτην διώκων*

---

17. Ματθ. 14, 2. Πρβλ. Λουκᾶ 9, 9.
18. Λουκᾶ 3, 10.
19. Πρβλ. Λουκᾶ 3, 14.
20. Λουκᾶ 3, 7.
21. Γ΄ Βασ. 18, 21.
22. Γ΄ Βασ. 20, 19.
23. Μάρκ. 6, 18.

πού τὸν εἶχε φυλακισμένον, ὁ δὲ ἄλλος ἂν καὶ περιεβάλλετο διάδημα καὶ ἁλουργίδα καὶ πάρα πολλὴν μεγαλοπρέπειαν, τρέμει καὶ φοβεῖται αὐτὸν πού εἶναι γυμνὸς ἀπὸ ὅλα καὶ οὔτε ἠμποροῦσε νὰ τὸν ἰδῇ ἀφόβως καὶ μὲ κομμένην τὴν κεφαλήν του. Τὸ ὅτι βεβαίως καὶ μετὰ τὸν θάνατον τοῦ Ἰωάννου εἶχε συνεχῶς καὶ μεγαλύτερον φόβον, ἄκουσε τί λέγει· «Αὐτὸς εἶναι ὁ Ἰωάννης τὸν ὁποῖον ἐφόνευσα ἐγώ»[17]. Τὸ δὲ «ἐφόνευσα» δὲν σημαίνει ἔπαρσιν, ἀλλὰ τὸν φόβον αὐτοῦ πού θέλει νὰ παρηγορηθῇ καὶ θέλει νὰ πείσῃ τὴν ταραγμένην ψυχήν του, νὰ ἐνθυμηθῇ ὅτι αὐτὸς τὸν ἔσφαξε. Τόση εἶναι ἡ δύναμις τῆς ἀρετῆς, ὥστε καὶ μετὰ τὸν θάνατον εἶναι πιὸ ἰσχυρὴ ἀπὸ τοὺς ζῶντας. Διὰ τοῦτο βεβαίως καὶ ὅταν ἔζη, αὐτοὶ πού εἶχον πολλὰ χρήματα ἐρχόμενοι πρὸς αὐτὸν ἔλεγον· «Τί νὰ κάμωμεν;»[18]. Τόσα ἔχετε καὶ θέλετε νὰ μάθετε τὴν ὁδὸν τῆς ἰδικῆς σας εὐημερίας ἀπὸ αὐτὸν πού δὲν ἔχει τίποτε; ἀπὸ τὸν πτωχὸν οἱ πλούσιοι; ἀπὸ αὐτὸν πού δὲν ἔχει οὔτε οἰκίαν οἱ ἀξιωματοῦχοι;[19].

Τέτοιος ἦτο καὶ ὁ Ἠλίας· διὰ τοῦτο καὶ μὲ τὸ ἴδιον θάρρος ὡμιλοῦσεν εἰς τὸν λαόν. Διότι ὁ μὲν ἕνας ἔλεγεν· «Ἀπόγονοι τῶν ἐχιδνῶν»[20], αὐτὸς δέ· «μέχρι πότε θὰ κωτσαίνεται καὶ ὡς πρὸς τὰ δύο πόδια σας;»[21]. Καὶ ὁ μὲν ἔλεγεν· «Ἐφόνευσες καὶ ἐκληρονόμησες»[22], ὁ δὲ ἄλλος ἔλεγε· «Δὲν σοῦ ἐπιτρέπεται νὰ ἔχῃς τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου Φιλίππου»[23]. Εἶδες τὴν πέτραν; εἶδες τὴν ἄμμον; πῶς καταρρέει τόσον εὔκολα; πῶς ὑποχωρεῖ εἰς τὰς συμφοράς; πῶς μεταβάλλεται καὶ ἂν ἀκόμη εἶναι μαζὶ μὲ τὸν βασιλέα, καὶ ἂν ἀκόμη εἶναι μὲ τὸν λαόν, καὶ ἂν ἀκόμη εἶναι μὲ τὴν ἐξουσίαν; Διότι κάνει αὐτοὺς πού βαδίζουν μαζί της περισσότερον ἀναισθήτους ἀπὸ ὅλους. Καὶ ὄχι ἁπλῶς καταρρέει ἀλλὰ μαζὶ μὲ πολλὴν συμφοράν, Διότι, λέγει, «ἦτο μεγάλη ἡ πτῶσις της». Διότι ὁ κίνδυνος δὲν εἶναι διὰ τυχαῖα πράγματα, ἀλλὰ διὰ τὴν ψυχήν, διὰ τὴν ἔκπτωσιν ἀπὸ τοὺς οὐρανοὺς καὶ τὰ ἀθάνατα ἐκεῖνα ἀγαθά. Μᾶλλον δὲ καὶ πρὶν ἀπὸ ἐκεῖνα θὰ κάνῃ τὴν πιὸ ἀθλίαν ζωὴν ἀπὸ

*βιώσεται βίον, ἀθυμίαις διηνεκέσι, δειλίαις, φροντίσιν, ἀ-
γωνίαις συζῶν· ὅπερ οὖν καί τις σοφὸς αἰνιττόμενος ἔλεγε·
«Φεύγει ἀσεβής, οὐδενὸς διώκοντος». Οἱ γὰρ τοιοῦτοι τὰς
σκίας τρέμουσι, τοὺς φίλους ὑποπτεύουσι, τοὺς ἐχθρούς, τοὺς
5 οἰκέτας τοὺς εἰδότας, τοὺς οὐκ εἰδότας αὐτούς, καὶ πρὸ τῆς
κολάσεως ἐνταῦθα τὴν ἐσχάτην τίνουσι κόλασιν.*

*Καὶ ταῦτα πάντα δηλῶν ὁ Χριστὸς ἔλεγε· «Καὶ ἦν ἡ
πτῶσις αὐτῆς μεγάλη», εἰς τὸ προσῆκον τέλος κατακλείων
τὰ καλὰ ταῦτα παραγγέλματα καὶ τοὺς σφόδρα ἀπίστους πεί-
10 θων καὶ ἀπὸ τῶν παρόντων φεύγειν κακίαν. Εἰ γὰρ καὶ
μείζων ὁ περὶ τῶν μελλόντων λόγος, ἀλλὰ τοὺς παχυτέρους
οὗτος μᾶλλον ἱκανὸς κατασχεῖν καὶ ἀπαγαγεῖν τῆς πονη-
ρίας. Διὸ καὶ εἰς αὐτὸ κατέληξεν, ὥστε ἔναυλον εἶναι τὴν
ὠφέλειαν αὐτοῖς.*

15 *Πάντα τοίνυν ταῦτα συνειδότες, καὶ τὰ παρόντα καὶ τὰ
μέλλοντα, φύγωμεν κακίαν, ζηλώσωμεν ἀρετήν, ἵνα μὴ μά-
την μηδὲ εἰκῇ κάμνωμεν, ἀλλὰ καὶ τῆς ἐνταῦθα ἀπολαύ-
σωμεν ἀσφαλείας καὶ τῆς ἐκεῖ μετάσχωμεν δόξης· ἧς γέ-
νοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ
20 Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς
τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

---

24. Παρμ. 28, 1.

ὅλους αὐτὸς ποὺ τὴν ἐπιδιώκει, ζῶν μαζὶ μὲ συνεχῆ λιποψυχίαν, δειλίαν, φροντίδας, ἀγωνίας, πρᾶγμα λοιπὸν ποὺ καὶ κάποιος σοφὸς ὑπαινισσόμενος ἔλεγε· «Φεύγει ὁ ἀσεβὴς χωρὶς νὰ τὸν καταδιώκῃ κανείς»[24]. Διότι οἱ ἄνθρωποι αὐτοῦ τοῦ εἴδους τρέμουν τὰς σκιάς, ὑποπτεύονται τοὺς φίλους, τοὺς ἐχθρούς, τοὺς δούλους, αὐτοὺς ποὺ τοὺς γνωρίζουν, αὐτοὺς ποὺ δὲν τοὺς γνωρίζουν, καὶ πρὶν ἀπὸ τὴν κόλασιν ἐδῶ εἰς τὴν γῆν πληρώνουν τὴν μεγαλυτέραν τιμωρίαν. Καὶ ὅλα αὐτὰ δηλώνων ὁ Χριστὸς ἔλεγε· «Καὶ ἦτο ἡ πτῶσις της μεγάλη», κατακλείων τὰ καλὰ αὐτὰ παραγγέλματα μὲ τὸ κατάλληλον τέλος καὶ πείθων τοὺς πάρα πολὺ ἀπίστους ν' ἀποφεύγουν τὴν κακίαν ἐπὶ τῇ βάσει τῶν παρόντων πραγμάτων. Διότι μολονότι ὁ λόγος διὰ τὰ μελλοντικὰ εἶναι πολὺ πιὸ ἀνώτερος, ἐν τούτοις εἶναι περισσότερον ἱκανὸς νὰ ἀναχαιτίσῃ τοὺς παχυτέρους πνευματικῶς καὶ νὰ τοὺς ἀπομακρύνῃ ἀπὸ τὴν πονηρίαν. Διὰ τοῦτο καὶ ἐτελείωσε τὸν λόγον μὲ αὐτό, ὥστε νὰ εἶναι εἰς αὐτοὺς ἔντονος ἡ ὠφέλεια.

Ἀφοῦ λοιπὸν τὰ κατανοήσωμεν ὅλα αὐτά, καὶ τὰ παρόντα καὶ τὰ μέλλοντα, ἂς ἀποφεύγωμεν τὴν κακίαν, καὶ ἂς γίνωμεν ζηλωταὶ τῆς ἀρετῆς, διὰ νὰ μὴ ἐνεργοῦμεν εἰς τὰ χαμένα, οὔτε χωρὶς σκοπόν, ὥστε νὰ ἀπολαύσωμεν καὶ τὴν ἐπίγειον ἀσφάλειαν καὶ νὰ μετάσχωμεν τῆς ἐκεῖ δόξης, τὴν ὁποίαν εἴθε νὰ συμβῇ ὅλοι μας νὰ τὴν ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΕ΄

Ματθ. 7, 28 - 8, 4

«Καὶ ἐγένετο, ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τοὺς λόγους τούτους, ἐξεπλήσσοντο οἱ ὄχλοι ἐπὶ τῇ διδαχῇ αὐτοῦ».

5 *1.* Καὶ μὴν ἀκόλουθον ἦν ἀλγεῖν αὐτοὺς πρὸς τὸ φορτικὸν τῶν εἰρημένων καὶ ναρκᾶν πρὸς τὸ ὕψος τῶν ἐπιτεταγμένων· νῦν δὲ τοσαύτη ἡ ἰσχὺς τοῦ διδάσκοντος ἦν, ὡς πολλοὺς αὐτῶν καὶ ἑλεῖν καὶ εἰς θαῦμα μέγιστον ἐμβαλεῖν, καὶ πεῖσαι διὰ τὴν ἡδονὴν τῶν εἰρημένων, μηδὲ παυομένου 10 τοῦ λέγειν ἀποστῆναι λοιπόν. Οὐδὲ γὰρ ἐπειδὴ ἐκ τοῦ ὄρους κατέβη, ἀπέστησαν οἱ ἀκροαταί, ἀλλὰ καὶ οὕτω τὸ θέατρον ἅπαν ἠκολούθησε· τοσοῦτον ἐνέθηκεν αὐτοῖς τῶν εἰρημένων ἔρωτα.

Ἐξεπλήσσοντο δὲ αὐτοῦ μάλιστα τὴν ἐξουσίαν. Οὐ γὰρ 15 εἰς ἕτερον ἀναφέρων, ὡς ὁ προφήτης καὶ Μωϋσῆς, ἔλεγεν ἅπερ ἔλεγεν, ἀλλὰ πανταχοῦ ἑαυτὸν ἐνδεικνύμενος εἶναι τὸν τὸ κῦρος ἔχοντα. Καὶ γὰρ νομοθετῶν συνεχῶς προσετίθει· «Ἐγὼ δὲ λέγω ὑμῖν»[1]· καὶ τῆς ἡμέρας ἀναμιμνήσκων ἐκείνης, ἑαυτὸν ἐδείκνυ τὸν δικάζοντα εἶναι, καὶ διὰ τῶν 20 κολάσεων καὶ διὰ τῶν τιμῶν. Καίτοι καὶ ἐντεῦθεν θορυβηθῆναι εἰκὸς ἦν. Εἰ γὰρ διὰ τῶν ἔργων ὁρῶντες ἐπιδεικνύμενον αὐτὸν τὴν ἐξουσίαν ἐλίθαζον οἱ γραμματεῖς καὶ ἤλαυνον· ὅπου ῥήματα ἦν μόνον τοῦτο ἐμφαίνοντα, πῶς οὐκ εἰκὸς ἦν αὐτοὺς σκανδαλίζεσθαι, καὶ μάλιστα ὁπότε ἐν προ25 οιμίοις ταῦτα ἐλέγετο καὶ πρὶν ἢ πεῖραν αὐτὸν δεδωκέναι τῆς ἑαυτοῦ δυνάμεως; Ἀλλ᾿ ὅμως οὐδὲν τούτων ἔπασχον· ὅταν γὰρ ψυχὴ καὶ διάνοια εὐγνώμων ᾖ, ῥᾳδίως πείθεται τοῖς τῆς ἀληθείας λόγοις. Διὰ δὴ τοῦτο ἐκεῖνοι μέν, καὶ

---

1. Πρβλ. Ματθ. 5, 22. 28. 32. 39. 44.

ΟΜΙΛΙΑ ΚΕ΄

Ματθ. 7, 28 - 8, 4

«Καὶ συνέβη, ὅταν ὁ Ἰησοῦς ἐτελείωσεν αὐτοὺς τοὺς λόγους, τὰ πλήθη ἔμειναν κατάπληκτα ἀπὸ τὴν διδασκαλίαν του».

1. Καὶ βεβαίως φυσικὸν ἦτο νὰ στενοχωρηθοῦν ἀπὸ τοὺς ἐνοχλητικοὺς λόγους καὶ νὰ περιέλθουν εἰς κατάστασιν νάρκης ἐξ αἰτίας τοῦ ὑψηλοῦ νοήματος τῶν παραγγελμάτων. Ὅμως τώρα τόσον μεγάλη ἦτο ἡ δύναμις τοῦ διδασκάλου, ὥστε πολλοὺς ἀπὸ τοὺς ἀκροατάς του τοὺς ᾐχμαλώτισε καὶ τοὺς κατέστησεν ἐκθάμβους καὶ τοὺς ἔπεισε μὲ τὴν γλυκύτητα τῶν λόγων του, μὲ ἀποτέλεσμα νὰ μὴ φεύγουν ἀπὸ κοντά του καὶ ὅταν ἐτελείωσε τὴν ὁμιλίαν του. Διότι οὔτε ὅταν κατέβη ἀπὸ τὸ ὄρος ἀπεμακρύνθησαν οἱ ἀκροαταί, ἀλλὰ καὶ τότε ὅλο τὸ πλῆθος τὸν ἠκολούθησε· τόσον μεγάλην ἀγάπην τοὺς ἐνέπνευσε διὰ τοὺς λόγους του. Κυρίως ὅμως κατεπλάγησαν ἀπὸ τὴν ἐξουσίαν του. Διότι αὐτὰ ποὺ ἐδίδασκε τὰ ἐδίδασκεν ὄχι ἀναφερόμενος πρὸς ἄλλον, ὅπως ἔπραττεν ὁ προφήτης καὶ ὁ Μωϋσῆς, ἀλλὰ παντοῦ ἐπαρουσιάζετο ὅτι αὐτὸς εἶχε τὸ κῦρος ἀφ' ἑαυτοῦ. Καθόσον νομοθετῶν συνεχῶς προσέθετεν· «Ἐγὼ δὲ σᾶς λέγω»[1], καὶ ὑπενθυμίζων ἐκείνην τὴν ἡμέραν ἐπαρουσίαζε τὸν ἑαυτόν του ὡς δικαστὴν καὶ διὰ τὰς τιμωρίας καὶ διὰ τὰς τιμάς. Ἂν καὶ ἦτο φυσικὸν καὶ νὰ θορυβηθοῦν ἀπὸ αὐτό. Διότι ἐὰν τὸν ἐλιθοβολοῦσαν οἱ γραμματεῖς καὶ κατελαμβάνοντο ἀπὸ μανίαν βλέποντες αὐτὸν νὰ παρουσιάζῃ τὴν ἐξουσίαν του διὰ τῶν ἔργων, πῶς δὲν ἦτο φυσικὸν νὰ σκανδαλίζωνται αὐτοὶ ποὺ ἐφανέρωνεν αὐτὴν μόνον μὲ τοὺς λόγους του, καὶ μάλιστα ὅταν ἔλεγεν αὐτὰ εἰς τὴν ἀρχὴν τῆς ἀποστολῆς του καὶ προτοῦ αὐτοὶ νὰ γνωρίσουν τὴν δύναμίν του; Ἀλλ' ὅμως δὲν ἔπαθον τίποτε ἀπὸ αὐτά. Διότι ὅταν ἡ ψυχὴ καὶ ὁ νοῦς εἶναι πλήρεις ἀπὸ εὐσέβειαν, εὐκόλως πιστεύουν εἰς τοὺς λόγους τῆς ἀληθείας. Διὰ τοῦτο, βέβαια,

τῶν σημείων ἀνακηρυττόντων αὐτοῦ τὴν δύναμιν, ἐσκανδαλίζοντο· οὗτοι δὲ λόγων ψιλῶν ἀκούοντες, ἐπείθοντο καὶ ἠκολούθουν. Τοῦτο γοῦν καὶ ὁ εὐαγγελιστὴς αἰνιττόμενος ἔλεγεν, ὅτι «Ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί»· οὐχὶ τῶν
5 *ἀρχόντων τινές, οὐδὲ τῶν γραμματέων, ἀλλ' ὅσοι κακίας ἦσαν ἀπηλλαγμένοι, καὶ γνώμην εἶχον ἀδέκαστον. Διὰ παντὸς δὲ τοῦ εὐαγγελίου τούτους ὁρᾷς αὐτῷ προσηλωμένους. Καὶ γὰρ ἡνίκα ἔλεγε, μετὰ σιγῆς ἤκουον, οὐδὲν παρεμβάλλοντες, οὐδὲ διακόπτοντες τὴν ἀκολουθίαν, οὐδὲ ἀποπει-*
10 *ρώμενοι καὶ λαβὴν ἐπιθυμοῦντες εὑρεῖν, καθάπερ οἱ Φαρισαῖοι· καὶ μετὰ τὴν δημηγορίαν ἠκολούθουν πάλιν θαυμάζοντες.*

Σὺ δέ μοι σκόπει τοῦ δεσπότου τὴν σύνεσιν, πῶς ποικίλλει τὴν ὠφέλειαν τῶν παρόντων, ἀπὸ θαυμάτων εἰς λό-
15 *γους ἐμβαίνων, καὶ πάλιν ἀπὸ τῆς τῶν λόγων διδασκαλίας εἰς θαύματα μεταβαίνων. Καὶ γὰρ πρὶν ἢ ἀναβῆναι εἰς τὸ ὄρος, πολλοὺς ἐθεράπευσε, προοδοποιῶν τοῖς λεγομένοις· καὶ μετὰ τὸ τὴν μακρὰν ταύτην ἀπαρτίσαι δημηγορίαν, πάλιν ἐπὶ θαύματα ἔρχεται, βεβαιῶν ἐκ τῶν γινομένων τὰ εἰρη-*
20 *μένα. Ἐπειδὴ γὰρ ὡς ἐξουσίαν ἔχων ἐδίδασκεν, ἵνα μὴ νομισθῇ κόμπος εἶναι καὶ αὐθαδιασμὸς οὗτος τῆς διδασκαλίας ὁ τρόπος, καὶ ἐν τοῖς ἔργοις τὸ αὐτὸ τοῦτο ποιεῖ, ὡς ἐξουσίαν ἔχων θεραπεύειν, ἵνα μηκέτι θορυβῶνται ὁρῶντες αὐτὸν οὕτω διδάσκοντα, ὁπότε καὶ τὰ θαύματα οὕτως*
25 *ἐποίει.*

«Καταβάντι γὰρ αὐτῷ ἀπὸ τοῦ ὄρους, προσῆλθε λεπρὸς λέγων· Κύριε, ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι». Πολλὴ ἡ σύνεσις καὶ ἡ πίστις τοῦ προσελθόντος. Οὐ γὰρ διέκοψε τὴν διδασκαλίαν, οὐδὲ ἔτεμε τὸ θέατρον, ἀλλ' ἀνέμεινε τὸν

---

2. Προβλ. Ματθ. 4, 23-24.

οἱ μὲν γραμματεῖς, ἂν καὶ τὰ θαύματα διεκήρυτταν τὴν δύναμίν του, ἐσκανδαλίζοντο, αὐτοὶ δὲ μολονότι ἤκουαν ἁπλοῦς λόγους, ἐπίστευαν καὶ τὸν ἀκολουθοῦσαν. Αὐτὸ λοιπὸν ὑπαινισσόμενος καὶ ὁ εὐαγγελιστὴς ἔλεγεν, ὅτι «Τὸν ἠκολούθησαν πολλὰ πλήθη λαοῦ». Ὄχι μερικοὶ ἀπὸ τοὺς ἄρχοντας, οὔτε ἀπὸ τοὺς γραμματεῖς, ἀλλ' ὅσοι ἦσαν ἀπηλλαγμένοι ἀπὸ τὴν κακίαν καὶ εἶχον ἀμερόληπτον γνώμην. Διὰ μέσου δὲ ὅλου τοῦ Εὐαγγελίου βλέπεις αὐτοὺς νὰ εἶναι ἀφωσιωμένοι εἰς αὐτόν. Διότι καὶ ὅταν ὡμιλοῦσε τὸν ἤκουαν σιωπηλοί, χωρὶς καμμίαν παρέμβασιν, οὔτε διακόπτοντες τὴν παρακολούθησιν, καὶ οὔτε προσεπάθουν νὰ εὕρουν ἀφορμὴν πρὸς κατηγορίαν, ὅπως ἀκριβῶς ἔκαναν οἱ Φαρισαῖοι· καὶ μετὰ τὴν διδασκαλίαν τὸν ἀκολουθοῦσαν πάλιν μὲ θαυμασμόν.

Σὺ ὅμως πρόσεξε τὴν σύνεσιν τοῦ Κυρίου, πῶς δηλαδὴ ποικίλλει τὴν ὠφέλειαν αὐτῶν ποὺ ἦσαν παρόντες, μεταβαίνων ἀπὸ τὰ θαύματα εἰς τοὺς λόγους, καὶ πάλιν ἀπὸ τὴν διδασκαλίαν τῶν λόγων μεταβαίνων εἰς τὰ θαύματα. Καθόσον προτοῦ ἀνεβῇ εἰς τὸ ὄρος ἐθεράπευσε πολλούς[2], προετοιμάζων τὸν δρόμον δι' ὅσα θὰ ἔλεγε· καὶ μετὰ τὴν ὁλοκλήρωσιν τῆς μακρᾶς αὐτῆς διδασκαλίας, πάλιν ἔρχεται εἰς τὰ θαύματα, ἐπιβεβαιώνων τὴν ἀλήθειαν τῶν λόγων μὲ τὰ ἔργα. Διότι ἐπειδὴ ἐδίδασκεν ὡς ἔχων ἐξουσίαν; διὰ νὰ μὴ θεωρηθῇ ὅτι αὐτὸς ὁ τρόπος τῆς διδασκαλίας εἶναι κομπασμὸς καὶ αὐθάδεια, κάνει τὸ ἴδιο καὶ εἰς τὰ ἔργα του, θεραπεύει δηλαδὴ ὡς ἔχων ὁ ἴδιος ἐξουσίαν, ὥστε οὐδέποτε νὰ θορυβῶνται βλέποντες αὐτὸν νὰ διδάσκῃ κατ' αὐτὸν τὸν τρόπον, ἀφοῦ κατὰ τὸν ἴδιον τρόπον ἐνεργοῦσε καὶ τὰ θαύματα.

«Διότι μόλις κατέβη ἀπὸ τὸ ὄρος τὸν ἐπλησίασε κάποιος λεπτὸς λέγων· Κύριε, ἐὰν θέλῃς ἠμπορεῖς νὰ μὲ καθαρίσῃς ἀπὸ τὴν λέπραν». Μεγάλη ἡ σύνεσις καὶ ἡ πίστις αὐτοῦ ποὺ προσῆλθε. Διότι δὲν διέκοψε τὴν διδασκαλίαν, οὔτε διέσχισε τὸ πλῆθος τῶν ἀκροατῶν, ἀλλ' ἐπερίμενε τὴν κατάλ-

προσήκοντα καιρόν, καὶ καταβάντι αὐτῷ προσέρχεται. Καὶ οὐχ ἁπλῶς, ἀλλὰ μετὰ πολλῆς τῆς θερμότητος καὶ πρὸ τῶν γονάτων αὐτὸν παρακαλεῖ, ὥς ἕτερός φησιν εὐαγγελιστής, καὶ μετὰ γνησίας τῆς πίστεως καὶ τῆς προσηκούσης περὶ
5 *αὐτοῦ δόξης. Οὐδὲ γὰρ εἶπεν, ἐὰν ἀξιώσῃς τὸν Θεόν· οὐδέ, ἐὰν εὔξῃ· ἀλλ', «Ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι». Οὐδὲ εἶπε· Κύριε, καθάρισον· ἀλλ' αὐτῷ τὸ πᾶν ἐπιτρέπει, καὶ Κύριον ποιεῖ τῆς διορθώσεως καὶ τὴν ἐξουσίαν αὐτῷ μαρτυρεῖ ἅπασαν.*

10 *Τί οὖν, φησίν, εἰ ἐσφαλμένη ἡ δόξα τοῦ λεπροῦ ἦν; Καταλῦσαι αὐτὴν ἐχρῆν καὶ ἐπιτιμῆσαι καὶ διορθῶσαι. Ἆρ' οὖν τοῦτο ἐποίησεν; Οὐδαμῶς· ἀλλὰ καὶ τοὐναντίον ἅπαν, καὶ συνίστησι καὶ βεβαιοῖ τὸ εἰρημένον. Διά τοι τοῦτο οὐδὲ εἶπε, καθάρθητι· ἀλλά, «Θέλω, καθαρίσθητι»· ἵνα μηκέτι τῆς*
15 *ὑπονοίας τῆς ἐκείνου, ἀλλὰ τῆς γνώμης τῆς αὐτοῦ τὸ δόγμα γένηται. Ἀλλ' οὐχ οἱ ἀπόστολοι οὕτως, ἀλλὰ πῶς; Ἐπειδὴ ὁ δῆμος ἐξεπλήττετο ἅπας, ἔλεγον· «Τί προσέχετε ἡμῖν, ὡς ἰδίᾳ δυνάμει ἢ ἐξουσίᾳ πεποιηκόσι τοῦ περιπατεῖν αὐτόν;». Ὁ δὲ Δεσπότης, καίτοι πολλὰ μέτρια φθεγξάμενος πολλά-*
20 *κις, καὶ καταδεέστερα τῆς αὐτοῦ δόξης, ὥστε πῆξαι τὸ δόγμα ἐνταῦθα τῶν ἐκπληττομένων αὐτὸν ἐπὶ τῇ ἐξουσίᾳ, τί φησι; «Θέλω, καθαρίσθητι». Καίτοι τοσαῦτα καὶ τηλικαῦτα ποιήσας σημεῖα, οὐδαμοῦ φαίνεται τοῦτο εἰρηκὼς τὸ ῥῆμα.*

2. Ἐνταῦθα μέντοι ὥστε κυρῶσαι τὴν ὑπόνοιαν καὶ τοῦ
25 *δήμου παντὸς καὶ τοῦ λεπροῦ τὴν περὶ τῆς ἐξουσίας, διὰ τοῦτο προσέθηκε, θέλω. Καὶ οὐκ εἶπε μὲν τοῦτο, οὐκ ἐποίησε δέ· ἀλλὰ καὶ τὸ ἔργον εὐθέως ἠκολούθησεν. Εἰ δὲ μὴ καλῶς ἔλεγεν, ἀλλὰ βλασφημία ἦν τὸ εἰρημένον, ἔδει δια-*

---

3. Πρβλ. Μάρκ. 1, 40.
4. Πρβλ. Πράξ. 3, 1 ἑ .
5. Πρβλ. Πράξ. 3, 12.

ληλον ὥραν, καὶ μόλις κατέβη τότε προσῆλθε. Καὶ δὲν τὸν ἐπλησίασεν ἁπλῶς, ἀλλὰ προσῆλθε μὲ πολλὴν θερμὴν πίστιν, καὶ ἀφοῦ ἐγονάτισεν τὸν παρακαλεῖ, καθὼς λέγει ἄλλος εὐαγγελιστής[3], καὶ μὲ ἀληθινὴν πίστιν καὶ μὲ τὴν ἁρμόζουσαν περὶ αὐτοῦ γνώμην. Διότι δὲν εἶπεν 'Ἐὰν ζητήσῃς ἀπὸ τὸν Θεόν', οὔτε 'Ἐὰν προσευχηθῇς', ἀλλά, «Ἐὰν θέλῃς, ἠμπορεῖς νὰ μὲ καθαρίσῃς». Οὔτε εἶπε 'Κύριε, καθάρισέ με', ἀλλὰ τὸ πᾶν τὸ ἀφήνει εἰς τὴν διάθεσιν αὐτοῦ, καὶ τὸν κάνει κύριον τῆς θεραπείας καὶ ἀναγνωρίζει ὅτι ὅλη ἡ ἐξουσία ἀνήκει εἰς αὐτόν.

Τί λοιπὸν θὰ συνέβαινεν, θὰ ἔλεγε κάποιος, ἐὰν ἦτο ἐσφαλμένη ἡ γνώμη τοῦ λεπροῦ; Ἔπρεπε νὰ τὴν ἀπορρίψῃ καὶ νὰ τὸν ἐπιπλήξῃ καὶ νὰ τὸν διορθώσῃ. Μήπως λοιπὸν ἔκαμεν αὐτό; Καθόλου, ἀλλ' ὅλως ἀντιθέτως καὶ παραδέχεται καὶ ἐπιβεβαιώνει τὸ λεχθέν. Διὰ τοῦτο βεβαίως δὲν εἶπε 'καθαρίσου', ἀλλὰ «θέλω, νὰ καθαρισθῇς», διὰ νὰ μὴ προέρχεται τὸ δόγμα περὶ τῆς δυνάμεως αὐτοῦ ἀπὸ τὴν γνώμην τοῦ λεπροῦ, ἀλλὰ ἀπὸ τὴν ἰδικήν του γνώμην. Οἱ ἀπόστολοι ὅμως δὲν ἐνεργοῦσαν ἔτσι· ἀλλὰ πῶς; Ἐπειδὴ ὅλο τὸ πλῆθος κατελαμβάνετο ἀπὸ ἔκπληξιν[4] ἔλεγον· «Τί μᾶς προσέχετε, ὡσὰν μὲ τὴν ἰδικήν μας δύναμιν ἢ ἐξουσίαν νὰ ἔχωμεν κάνει αὐτὸν νὰ περπατῇ;»[5]. Ὁ Κύριος ὅμως, ἂν καὶ πολλὰς φορὰς ὡμίλησε μὲ μετριοπάθειαν καὶ εἶπε πράγματα κατώτερα ἀπὸ τὴν δόξαν του, εἰς τὴν περίπτωσιν αὐτὴν τί λέγει διὰ νὰ σταθεροποιήσῃ τὸ δόγμα εἰς αὐτοὺς ποὺ ἐξεπλήσσοντο μὲ τὴν ἐξουσίαν του; «Θέλω, νὰ καθαρισθῇς». Ἂν καὶ ἔκανε τόσα καὶ τέτοιου εἴδους θαύματα, πουθενὰ δὲν φαίνεται νὰ λέγῃ αὐτὸν τὸν λόγον.

2. Ἐδῶ ὅμως ἐπειδὴ ἤθελε νὰ ἐπιβεβαιώσῃ καὶ τὴν γνώμην ὁλοκλήρου τοῦ πλήθους καὶ τοῦ λεπροῦ σχετικὰ μὲ τὴν ἐξουσίαν του, διὰ τοῦτο προσέθεσε τὸ «θέλω». Καὶ δὲν εἶπε βέβαια αὐτὸ χωρὶς νὰ ἀκολουθήσῃ πρᾶξις, ἀλλὰ καὶ ἡ πρᾶξις ἠκολούθησεν ἀμέσως. Ἐὰν ὅμως δὲν ἦσαν σωστὰ τὰ λόγια του, ἀλλ' ἦτο βλασφημία αὐτὸ ποὺ εἶπεν, ἔ-

κοπῆναι τὸ ἔργον. Νυνὶ δὲ καὶ εἶξεν ἡ φύσις ἐπιταττομένη καὶ μετὰ τοῦ προσήκοντος τάχους καὶ μείζονος ἢ ὁ εὐαγγελιστὴς εἶπε. Καὶ γάρ τό, εὐθέως, πολὺ βραδύτερόν ἐστι τοῦ τάχους τοῦ κατὰ τὸ ἔργον γεγενημένου.

5 *Οὐχ ἁπλῶς δὲ εἶπε, «Θέλω, καθαρίσθητι», ἀλλὰ καὶ «Τὴν χεῖρα ἐκτείνας ἥψατο», ὃ δὴ μάλιστα ἄξιον ζητήσεως. Τίνος γὰρ ἕνεκεν θελήματι καθαίρων αὐτὸν καὶ λόγῳ, τὴν τῆς χειρὸς προσέθηκεν ἀφήν; Ἐμοὶ δοκεῖ δι' οὐδὲν ἕτερον, ἀλλ' ἵνα δείξῃ καὶ ἐντεῦθεν, ὅτι οὐχ ὑπόκειται τῷ νόμῳ,*
10 *ἀλλ' ἐπίκειται· καὶ ὅτι τῷ καθαρῷ λοιπὸν οὐδὲν ἀκάθαρτον. Διὰ δὴ τοῦτο Ἐλισσαῖος μὲν οὐδὲ ἑώρα τὸν Νεεμάν, ἀλλὰ καὶ σκανδαλισθέντα ἰδών, ἐπειδὴ μὴ ἐξῆλθε καὶ ἥψατο, τηρῶν τοῦ νόμου τὴν ἀκρίβειαν, οἴκοι μέν, καὶ πέμπει πρὸς τὸν Ἰορδάνην αὐτὸν λουσόμενον. Ὁ δὲ Δεσπότης δεικνὺς*
15 *ὅτι οὐχ ὡς δοῦλος, ἀλλ' ὡς Κύριος θεραπεύει, καὶ ἅπτεται. Οὐ γὰρ ἡ χεὶρ ἀπὸ τῆς λέπρας ἐγένετο ἀκάθαρτος, ἀλλὰ τὸ σῶμα τὸ λεπρὸν ἀπὸ τῆς χειρὸς τῆς ἁγίας καθίστατο καθαρόν. Οὐ γὰρ δὴ μόνον σώματα παρεγένετο θεραπεύσων, ἀλλὰ καὶ ψυχὴν εἰς φιλοσοφίαν ἐνάξων. Ὥσπερ οὖν χερσὶν ἀνί-*
20 *πτοις ἐσθίειν οὐκέτι λοιπὸν ἐκώλυσε, τὸν ἄριστον ἐκεῖνον εἰσάγων νόμον, τὸν περὶ τῆς τῶν βρωμάτων ἀδιαφορίας· οὕτω δὴ καὶ ἐνταῦθα λοιπὸν παιδεύων, ὅτι τῆς ψυχῆς ἐπιμελεῖσθαι χρή, καὶ τῶν ἔξωθεν ἀπαλλαγέντας καθαρμῶν ἐκείνην ἀποσμήχειν, καὶ τὴν αὐτῆς λέπραν δεδοικέναι μόνην,*
25 *ὅπερ ἐστὶν ἁμαρτία (τὸ γὰρ λεπρὸν εἶναι οὐδὲν κώλυμα εἰς ἀρετήν)· πρῶτος αὐτὸς ἅπτεται τοῦ λεπροῦ καὶ οὐδεὶς*

---

6. Νεεμὰν ἢ Ναιμάν· ἔζησεν ἐπὶ τῆς ἐποχῆς τοῦ προφήτου Ἐλισσαίου, ὑπὸ τοῦ ὁποίου ἐθεραπεύθη ἐκ τῆς λέπρας ποὺ ἔπασχε (Δ' Βασ. 5, 1 ἑ.).
7. Πρβλ. Δ' Βασ. 5, 1 ἑ.

πρεπε νὰ διακόψῃ τὸ ἔργον. Τώρα ὅμως καὶ ἐφάνη νὰ ὑπακούῃ ἡ φύσις καὶ μὲ τὴν πρέπουσαν ταχύτητα, καὶ μάλιστα μεγαλυτέραν ἀπὸ ὅ,τι εἶπεν ὁ εὐαγγελιστής. Καθόσον τὸ «εὐθέως» εἶναι πολὺ βραδύτερον ἀπὸ τὴν ταχύτητα μὲ τὴν ὁποίαν ἔλαβε χώραν ἡ πρᾶξις.

Δὲν εἶπε δὲ ἁπλῶς «Θέλω, καθαρίσου», ἀλλὰ καὶ «ἀφοῦ ἅπλωσε τὸ χέρι του τὸν ἤγγισε», πρᾶγμα πού, βέβαια, εἶναι κατ' ἐξοχὴν ἄξιον διὰ συζήτησιν. Διότι ἐξ αἰτίας ποίου πράγματος, καθαρίζων αὐτὸν μὲ τὸ θέλημά του καὶ τὸν λόγον του προσέθεσε καὶ τὸ ἄγγιγμα μὲ τὸ χέρι του; Ἐγὼ νομίζω ὄχι διὰ τίποτε ἄλλο, ἀλλὰ διὰ νὰ δείξῃ καὶ μ' αὐτό, ὅτι δὲν εὑρίσκεται κάτω ἀπὸ τὴν ἐξουσίαν τοῦ νόμου, ἀλλ' ἐπάνω ἀπ' αὐτόν, καὶ ὅτι εἰς τὸν καθαρὸν πλέον δὲν ὑπάρχει τίποτε ἀκάθαρτον. Διὰ τοῦτο βέβαια, ὁ μὲν Ἐλισσαῖος δὲν ἔβλεπε τὸν Νεεμάν[6], ἀλλὰ καὶ ὅταν τὸν εἶδε νὰ ἐξοργίζεται, ἐπειδὴ δὲν ἐξῆλθε πρὸς προϋπάντησίν του καὶ οὔτε τὸν ἤγγισεν, ἐφαρμόζων πιστὰ τὴν διαταγὴν τοῦ νόμου, παραμένει εἰς τὸν οἶκον του καὶ στέλλει αὐτὸν εἰς τὸν Ἰορδάνην διὰ νὰ λουσθῇ[7]. Ὁ δὲ Κύριος, δεικνύων ὅτι θεραπεύει ὄχι ὡσὰν δοῦλος, ἀλλ' ὡς Κύριος, ἐπὶ πλέον τὸν ἀγγίζει. Διότι τὸ χέρι του δὲν ἔγινεν ἀκάθαρτον ἀπὸ τὴν λέπραν, ἀλλὰ τὸ σῶμα τὸ λεπρὸν ἔγινε καθαρὸν ἀπὸ τὸ ἅγιον χέρι του. Διότι δὲν ἦλθε, βέβαια, νὰ θεραπεύσῃ μόνον σώματα, ἀλλὰ νὰ ὁδηγήσῃ καὶ τὴν ψυχὴν εἰς τὴν ἀναζήτησιν τῆς ἀληθείας. Ὅπως ἀκριβῶς λοιπὸν δὲν ἀπηγόρευσε πλέον νὰ τρώγῃ κανεὶς μὲ ἄνιπτα χέρια, θεσπίζων τὸν ἄριστον ἐκεῖνον νόμον περὶ τοῦ ὅτι τὰ φαγητὰ δὲν ἔχουν καμμίαν σημασίαν, ἔτσι λοιπὸν καὶ ἐδῶ διδάσκει, ὅτι πρέπει νὰ φροντίζωμεν μόνον διὰ τὴν ψυχὴν καὶ ἀφοῦ ἀπαλλαγῶμεν ἀπὸ τοὺς ἐξωτερικοὺς καθαρμοὺς νὰ καθαρίζωμεν αὐτήν, καὶ νὰ φοβούμεθα μόνον τὴν λέπραν αὐτῆς, δηλαδὴ τὴν ἁμαρτίαν (διότι τὸ νὰ εἶναι κανεὶς λεπρὸς δὲν ἐμποδίζει καθόλου εἰς τὴν ἄσκησιν τῆς ἀρετῆς). Πρῶτος αὐτὸς ἀγγίζει τὸν λεπρὸν καὶ κανεὶς δὲν τὸν κατηγορεῖ.

ἐγκαλεῖ. Οὐδὲ γὰρ ἦν διεφθαρμένον τὸ δικαστήριον, οὐδὲ ὑπὸ φθόνου κατεχόμενοι οἱ θεαταί. Διὰ τοῦτο οὐ μόνον οὐκ ἐπέσκηψαν, ἀλλὰ καὶ ἐξεπλάγησαν τὸ θαῦμα καὶ παρεχώρησαν, ἀπό τε τῶν εἰρημένων, ἀπό τε τῶν γινομένων τὴν 5 ἀμήχανον αὐτοῦ δύναμιν προσκυνήσαντες.

Θεραπεύσας τοίνυν αὐτοῦ τὸ σῶμα, κελεύει «Μηδενὶ εἰπεῖν, ἀλλὰ δεῖξαι ἑαυτὸν τῷ ἱερεῖ καὶ προσενεγκεῖν τὸ δῶρον, ὃ προσέταξε Μωϋσῆς, εἰς μαρτυρίαν αὐτοῖς». Τινὲς μὲν οὖν φασιν, ὅτι διὰ τοῦτο ἐκέλευσε μηδενὶ εἰπεῖν, ἵνα 10 μὴ κακουργήσωσι περὶ τὴν διάκρισιν τοῦ καθαρμοῦ, σφόδρα ἀνοήτως τοῦτο ὑποπτεύοντες. Οὐ γὰρ οὕτως ἐκάθηρεν, ὡς καὶ ἀμφισβητήσιμον εἶναι τὸν καθαρμόν· ἀλλὰ μηδενὶ εἰπεῖν κελεύει, διδάσκων τὸ ἀκόμπαστον καὶ ἀφιλότιμον. Καίτοιγε ᾔδει, ὅτι οὐ πεισθήσεται ἐκεῖνος, ἀλλ' ἀνακηρύξει τὸν εὐεργέτην· 15 ἀλλ' ὅμως τὸ αὐτοῦ ποιεῖ.

Πῶς οὖν ἀλλαχοῦ κελεύει εἰπεῖν; φησίν. Οὐχὶ ἑαυτῷ περιπίπτων, οὐδὲ ἐναντιούμενος, ἀλλὰ παιδεύων εὐγνώμονας εἶναι. Οὐδὲ γὰρ ἐκεῖ ἀνακηρύττειν ἑαυτὸν ἐκέλευσεν, ἀλλὰ δοῦναι δόξαν τῷ Θεῷ· διὰ μὲν τοῦ λεπροῦ τούτου ἀ-20 τύφους ἡμᾶς παρασκευάζων καὶ ἀκενοδόξους, διὰ δὲ ἐκείνου, εὐχαρίστους καὶ εὐγνώμονας εἶναι, καὶ παιδεύων πανταχοῦ τῶν γινομένων τὴν εὐφημίαν ἀναφέρειν τῷ Δεσπότῃ. Ἐπειδὴ γὰρ ὡς τὰ πολλὰ οἱ ἄνθρωποι νοσοῦντες μὲν μέμνηνται τοῦ Θεοῦ, τῆς δὲ ἀρρωστίας ἀπαλλαγέντας ῥαθυμότεροι

8. Τὰ ὑπὸ τοῦ νόμου προστασσόμενα ἤτοι δύο ἀμνοὶ καὶ ἓν πρόβατον μετὰ σεμιδάλεως καὶ ἐλαίου οἱ πλούσιοι καὶ ἕνα ἀμνὸν μὲ δύο τρυγόνας ἢ δύο νεοσσοὺς μὲ ὀλίγην σεμίδαλιν μετὰ ἐλαίου οἱ πτωχοὶ (Λευϊτ. 14, 1 ἑ.).
9. Πρβλ. Λευϊτ. 14, 1 ἑ.
10. Λουκᾶ 17, 18.

Διότι οὔτε ἦτο διεφθαρμένον τὸ δικαστήριον, οὔτε κατείχοντο οἱ θεαταὶ τοῦ θαύματος ἀπὸ φθόνον. Διὰ τοῦτο ὄχι μόνον δὲν τὸν κατηγόρησαν, ἀλλὰ καὶ ἐξεπλάγησαν μὲ τὸ θαῦμα καὶ συγκατετέθησαν καὶ προσεκύνησαν τὴν ἀκαταγώνιστον αὐτοῦ δύναμιν, παρακινηθέντες εἰς τοῦτο καὶ ἀπὸ τοὺς λόγους καὶ ἀπὸ τὰ γεγονότα.

Ἀφοῦ λοιπὸν ἐθεράπευσε τὸ σῶμα αὐτοῦ τὸν διατάσσει «νὰ μὴ εἰπῇ εἰς οὐδένα, ἀλλὰ νὰ δείξῃ τὸν ἑαυτόν του εἰς τὸν ἱερέα καὶ νὰ προσφέρῃ τὸ δῶρον[8] ποὺ διέταξεν ὁ Μωϋσῆς[9] εἰς ἀπόδειξιν τῆς ὑπακοῆς του». Μερικοί, λοιπόν, λέγουν, ὅτι διὰ τοῦτο τὸν διέταξε νὰ μὴ τὸ εἰπῇ εἰς οὐδένα, διὰ νὰ μὴ δυσπιστήσουν ὅταν θὰ ἐξέταζαν τὸν καθαρμόν. Αὐτὴ ὅμως εἶναι πολὺ ἀνόητος σκέψις. Διότι δὲν τὸν ἐκαθάρισεν ἔτσι, ὥστε νὰ εἶναι ὑπὸ ἀμφισβήτησιν ὁ καθαρμός, ἀλλὰ τὸν διατάσσει νὰ μὴ τὸ εἰπῇ εἰς οὐδένα, διδάσκων ἔτσι τὴν ἀποφυγὴν τῆς ὑπερηφανείας καὶ τῆς φιλοδοξίας. Μολονότι, βέβαια, ἐγνώριζεν ὅτι δὲν θὰ ὑπακούσῃ ὁ λεπρός, ἀλλὰ θὰ διακηρύξῃ τὸν εὐεργέτην, ἐν τούτοις ὅμως πράττει αὐτὸ ποὺ ἔπρεπε.

Πῶς, λοιπόν, θὰ εἰπῇ κάποιος, εἰς ἄλλην περίπτωσιν διατάσσει νὰ διακηρύττουν τὸ θαῦμα; Δὲν συγκρούεται μὲ τὸν ἑαυτόν του, οὔτε ἀντιτίθεται, ἀλλὰ μᾶς διδάσκει νὰ εἴμεθα εὐγνώμονες. Διότι οὔτε εἰς τὰς περιπτώσεις ἐκείνας διέταξε διὰ νὰ διακηρύσσουν τὸν ἑαυτόν του, ἀλλὰ διὰ νὰ δοξασθῇ ὁ Θεός[10]. Ἔτσι διὰ μὲν τοῦ λεπροῦ τούτου μᾶς προετοιμάζει νὰ εἴμεθα ταπεινόφρονες καὶ χωρὶς ματαιοδοξίαν, διὰ δὲ τοῦ ἄλλου λεπροῦ νὰ εὐχαριστοῦμεν καὶ νὰ εἴμεθα εὐγνώμονες πρὸς τὸν Θεὸν καὶ ἀκόμη μᾶς προτρέπει νὰ δοξάζωμεν τὸν Κύριον πάντοτε καὶ διὰ ὁποιοδήποτε γεγονός. Ἐπειδὴ λοιπὸν ὡς ἐπὶ τὸ πλεῖστον οἱ ἄνθρωποι ὅταν μὲν εἶναι ἀσθενεῖς ἐνθυμοῦνται τὸν Θεόν, ὅταν δὲν ἀπαλλαγοῦν ἀπὸ τὴν ἀσθένειαν γίνονται πιὸ ἀδιάφοροι, διὰ νὰ μᾶς προτρέψῃ νὰ προσευχώμεθα εἰς τὸν Κύριον ἀδιακόπως

γίνονται, κελεύων διηνεκῶς καὶ νοσοῦντας καὶ ὑγιαίνοντας προσέχειν τῷ Δεσπότῃ, φησί· «Δὸς δόξαν τῷ Θεῷ».

Τίνος δὲ ἕνεκεν καὶ δεῖξαι ἑαυτὸν ἐκέλευσε τῷ ἱερεῖ, καὶ δῶρον προσενεγκεῖν; Πάλιν τὸν νόμον ἐνταῦθα ἀναπλη- 5 *ρῶν. Οὐδὲ γὰρ πανταχοῦ αὐτὸν παρέλυεν, οὐδὲ πανταχοῦ ἐφύλαττεν· ἀλλὰ ποτὲ μὲν τοῦτο ἐποίει, ποτὲ δὲ ἐκεῖνο· τούτῳ μὲν τῇ μελλούσῃ φιλοσοφίᾳ προοδοποιῶν, ἐκείνῳ δὲ τὴν ἀναίσχυντον τῶν Ἰουδαίων τέως κατέχων γλῶτταν καὶ συγκαταβαίνων αὐτῶν τῇ ἀσθενείᾳ.*

10 *Καὶ τί θαυμάζεις, εἴγε ἐν προοιμίοις αὐτὸς τοῦτο ἐποίησεν, ὅπου γε καὶ οἱ ἀπόστολοι μετὰ τὸ κελευσθῆναι εἰς τὰ ἔθνη ἀπελθεῖν καὶ τὰς θύρας ἀνοιγῆναι τῆς κατὰ τὴν οἰκουμένην διδασκαλίας καὶ τὸν νόμον ἐγκλεισθῆναι καὶ ἀνανεωθῆναι τὰ προστάγματα καὶ τὰ παλαιὰ ἀναπαύσασθαι* 15 *ἅπαντα, φαίνονται ποτὲ μὲν τηροῦντες τὸν νόμον, ποτὲ δὲ αὐτὸν παρατρέχοντες; Καὶ τί τοῦτο, φησί, πρὸς τὴν τοῦ νόμου συντελεῖ φυλακήν, τὸ εἰπεῖν, «Δεῖξον σεαυτὸν τῷ ἱερεῖ»; Οὐ τὸ τυχόν. Καὶ γὰρ νόμος ἦν παλαιός, τὸν λεπρὸν καθαρθέντα μὴ ἑαυτῷ τὴν δοκιμασίαν ἐπιτρέπειν τοῦ καθαρι-* 20 *σμοῦ, ἀλλὰ φαίνεσθαι τῷ ἱερεῖ καὶ τοῖς ὀφθαλμοῖς τοῖς ἐκείνου παρέχειν τὴν ἀπόδειξιν καὶ ἀπὸ τῆς ψήφου ταύτης ἐγκρίνεσθαι τοῖς καθαροῖς. Εἰ γὰρ μὴ εἶπεν ὁ ἱερεύς, ὅτι κεκάθαρται ὁ λεπρός, ἔτι μετὰ τῶν ἀκαθάρτων ἔμενεν ἔξω τῆς παρεμβολῆς. Διό φησι, «Δεῖξον σεαυτὸν τῷ ἱερεῖ καὶ* 25 *προσένεγκε τὸ δῶρον, ὃ προσέταξε Μωϋσῆς». Οὐκ εἶπεν, ὃ προστάσσω ἐγώ· ἀλλὰ τέως παραπέμπει τῷ νόμῳ, πανταχόθεν ἀπορράπτων αὐτῶν τὰ στόματα. Ἵνα γὰρ μὴ λέγωσιν, ὅτι τῶν ἱερέων τὴν δόξαν ἥρπασε, τὸ μὲν ἔργον αὐτὸς*

---

11. Πρβλ. Λευϊτ. 14, 1 ἑ.

καὶ ὅταν εἴμεθα ἀσθενεῖς καὶ ὅταν ὑγιαίνωμεν, λέγει· «Δῶσε δόξαν εἰς τὸν Θεόν».

Διὰ ποῖον ὅμως λόγον διέταξε καὶ νὰ δείξῃ τὸν ἑαυτόν του εἰς τὸν ἱερέα καὶ νὰ προσφέρῃ τὸ δῶρον; Εἰς τὴν περίπτωσιν αὐτὴν ἐφαρμόζει πάλιν τὸν νόμον. Διότι οὔτε τὸν κατήργει πάντοτε, οὔτε τὸν ἐφήρμοζε παντοῦ, ἀλλ' ἄλλοτε μὲν ἔπραττε τὸ πρῶτον, ἄλλοτε δὲ τὸ δεύτερον. Μὲ τὴν μὴ ἐφαρμογήν του προετοίμαζε τὴν μελλοντικὴν γνῶσιν τῆς ἀληθείας, ἐνῷ μὲ τὴν ἐφαρμογήν του ἔθετε φραγμὸν εἰς τὴν ἀδιάντροπον γλῶσσαν τῶν Ἰουδαίων καὶ ἐδείκνυεν ἐπιείκειαν εἰς τὴν πνευματικὴν ἀδυναμίαν των.

Καὶ διατί ἀπορεῖς ἐὰν ὁ Κύριος ἔπραξεν αὐτὸ εἰς τὴν ἀρχὴν τῆς ἀποστολῆς του, καθ' ἣν στιγμήν, βέβαια, καὶ οἱ ἀπόστολοι μετὰ τὴν ἐντολὴν ποὺ ἔλαβαν νὰ ἀπέλθουν εἰς τὰ ἔθνη καὶ νὰ ἀνοίξουν τὰς θύρας τῆς διδασκαλίας εἰς τὴν οἰκουμένην καὶ νὰ περιορίσουν τὸν νόμον καὶ νὰ ἀνανεώσου τὰ παραγγέλματα καὶ νὰ ἀτονίσουν ὅλα τὰ παλαιά, φαίνονται ἄλλοτε μὲν νὰ τηροῦν τὸν νόμον, ἄλλοτε δὲ νὰ τὸν παραβλέπουν; Καὶ κατὰ πόσον, θὰ ἠρώτα κανείς, αὐτὸ συντελεῖ εἰς τὴν φύλαξιν τοῦ νόμου, τὸ ὅτι εἶπε δηλαδὴ «Δεῖξε τὸν ἑαυτόν σου εἰς τὸν ἱερέα»; Συντελεῖ, φυσικά, ὄχι ὀλίγον. Καθόσον ὑπῆρχε παλαιὸς νόμος[11], ἐφ' ὅσον ὁ λεπρὸς ἤθελε καθαρισθῇ νὰ μὴ ἐμπιστεύεται εἰς τὸν ἑαυτόν του τὴν δοκιμασίαν τοῦ καθαρισμοῦ, ἀλλὰ νὰ παρουσιάζεται εἰς τὸν ἱερέα καὶ νὰ παρουσιάζῃ εἰς τὰ μάτια αὐτοῦ τὴν ἀπόδειξιν, καὶ νὰ ἐγκρίνεται ἡ εἴσοδός του εἰς τοὺς καθαροὺς μὲ τὴν ἀπόφασιν αὐτοῦ. Διότι ἐὰν δὲν ἔλεγεν ὁ ἱερεύς, ὅτι ἔχει καθαρισθῇ ὁ λεπρός, ἔμενεν ἀκόμη μαζὶ μὲ τοὺς ἀκαθάρτους ἔξω ἀπὸ τὸν χῶρον τῶν καθαρῶν. Διὰ τοῦτο λέγει «Δεῖξε τὸν ἑαυτόν σου εἰς τὸν ἱερέα καὶ πρόσφερε τὸ δῶρον ποὺ διέταξεν ὁ Μωϋσῆς». Δὲν εἶπεν 'Αὐτὸ ποὺ διατάσσω ἐγώ', ἀλλ' ἀκόμη παραπέμπει εἰς τὸν νόμον, κλείων ἀπὸ παντοῦ τὰ στόματα αὐτῶν. Διότι διὰ νὰ μὴ λέγουν ὅτι ἥρπασε τὴν δόξαν τῶν ἱερέων, τὴν μὲν πρᾶξιν

ἐπλήρωσε, τὴν δὲ δοκιμασίαν ἐκείνοις ἐπέτρεψε καὶ κριτὰς αὐτοὺς ἐκάθισε τῶν οἰκείων θαυμάτων. Τοσοῦτον γὰρ ἀπέχω μάχεσθαι, φησίν, ἢ Μωϋσῇ ἢ τοῖς ἱερεῦσιν, ὅτι καὶ τοὺς παρ' ἐμοῦ εὐεργετηθέντας εἰς τὸ πείθεσθαι ἐκείνοις ἐνάγω.

5 *3. Τί δέ ἐστιν, «Εἰς μαρτύριον αὐτοῖς»; Εἰς ἔλεγχον, εἰς ἀπόδειξιν, εἰς κατηγορίαν, ἐὰν ἀγνωμονῶσιν. Ἐπειδὴ γὰρ ἔλεγον, ὡς πλάνον καὶ ἀπατεῶνα διώκομεν, ὡς ἀντίθεον καὶ παράνομον· σύ μοι μαρτυρήσεις, φησί, κατ' ἐκεῖνον τὸν καιρόν, ὅτι οὐ παράνομος ἐγώ. Καὶ γὰρ θεραπεύσας σε*

10 *παραπέμπω τῷ νόμῳ καὶ τῇ τῶν ἱερέων δοκιμασίᾳ· ὅπερ τιμῶντος ἦν τὸν νόμον καὶ θαυμάζοντος τὸν Μωϋσέα καὶ οὐκ ἐναντιουμένου τοῖς παλαιοῖς δόγμασιν. Εἰ δὲ μηδὲν ἔμελλον κερδαίνειν, κἀντεῦθεν μάλιστα τὴν πρὸς τὸν νόμον αὐτοῦ καταμαθεῖν ἐστι τιμήν, ὅτι καὶ προειδὼς οὐδὲν καρ-*

15 *πωσομένους, τὰ αὐτοῦ πάντα ἐπλήρου. Καὶ γὰρ προῄδει τοῦτο αὐτὸ καὶ προεῖπεν. Οὐδὲ γὰρ εἶπεν, εἰς διόρθωσιν αὐτῶν, οὐδὲ εἰς διδασκαλίαν· ἀλλ', «Εἰς μαρτύριον αὐτοῖς», τουτέστιν, εἰς κατηγορίαν καὶ εἰς ἔλεγχον καὶ εἰς μαρτυρίαν, ὅτι τὰ παρ' ἐμοῦ πάντα γέγονε· καὶ προειδὼς ἀδιορθώ-*

20 *τους μένοντας, οὐδὲ οὕτως ἐνέλιπον ἅπερ ποιῆσαι ἐχρῆν· ἐκεῖνοι δὲ τὴν οἰκείαν ἔμενον διατηροῦντες κακίαν. Τοῦτο γοῦν καὶ ἀλλαχοῦ φησι· «Κηρυχθήσεται τὸ εὐαγγέλιον τοῦτο ἐν ὅλῳ τῷ κόσμῳ εἰς μαρτύριον πᾶσι τοῖς ἔθνεσι καὶ τότε ἥξει τὸ τέλος»· τοῖς ἔθνεσι, τοῖς οὐχ ὑπακούουσι, τοῖς οὐ*

25 *πειθομένοις. Ἵνα γὰρ μή τις λέγῃ, καὶ τίνος ἕνεκεν πᾶσι κηρύττεις, εἰ μὴ πάντες μέλλουσι πείθεσθαι; ἵνα τὰ ἐμαυ-*

---

12. Δηλαδὴ ὁ μωσαϊκὸς νόμος.
13. Ματθ. 24, 14.

τὴν ἔκαμεν αὐτός, τὴν ἐξέτασιν ὅμως τὴν ἄφησεν εἰς τοὺς ἱερεῖς καὶ κατέστησεν αὐτοὺς κριτὰς τῶν ἰδικῶν του θαυμάτων. Διότι, λέγει, τόσον πολὺ ἀποφεύγω νὰ μάχωμαι μὲ τὸν Μωϋσῆν[12] ἢ τοὺς ἱερεῖς, ὥστε καὶ αὐτοὺς ποὺ εὐηργετήθησαν ἀπὸ ἐμὲ νὰ τοὺς στέλλω εἰς αὐτοὺς πρὸς ἐπιβεβαίωσιν τῆς θεραπείας των.

3. Τί σημαίνει ὅμως «εἰς μαρτύριον αὐτοῖς»; Σημαίνει διὰ νὰ εἶναι ἔλεγχος, ἀπόδειξις καὶ κατηγορία δι' αὐτούς, ἐὰν εἶναι δύσπιστοι. Ἐπειδὴ δηλαδὴ ἔλεγαν ὅτι τὸν διώκομεν ἐπειδὴ εἶναι πλάνος καὶ ἀπατεών, ἐπειδὴ εἶναι ἐνάντιος πρὸς τὸν Θεὸν καὶ παράνομος, σὺ θὰ μαρτυρήσῃς, λέγει, διὰ μὲ κατ' ἐκεῖνον τὸν καιρόν, ὅτι ἐγὼ δὲν ἤμουν παράνομος. Καθόσον ἀφοῦ σὲ ἐθεράπευσα σὲ παραπέμπω εἰς τὸν νόμον καὶ διὰ νὰ σὲ ἐξετάσουν οἱ ἱερεῖς· πρᾶγμα ποὺ σημαίνει ὅτι ἐτίμα τὸν νόμον καὶ ἐθαύμαζε τὸν Μωϋσῆν καὶ ὅτι δὲν ἦτο ἀντίθετος πρὸς τὰ παλαιὰ δόγματα. Ἂν καὶ δὲν ἐπρόκειτο ἐξ αὐτοῦ νὰ ὠφεληθοῦν καθόλου οἱ ἱερεῖς, παρὰ ταῦτα καὶ ἀπ' αὐτὴν τὴν ἐνέργειάν του εἶναι δυνατὸν νὰ γνωρίσῃς τὸν σεβασμὸν αὐτοῦ πρὸς τὸν νόμον, διότι μολονότι προεγνώριζεν ὅτι δὲν θὰ κερδίσουν αὐτοὶ τίποτε, ἐφήρμοζεν ὅλας τὰς ἐντολὰς αὐτοῦ. Καθόσον προεγνώριζεν αὐτὸ τὸ πρᾶγμα καὶ τὸ προεῖπεν. Διότι δὲν εἶπε, διὰ νὰ διορθωθοῦν αὐτοὶ ἢ διὰ νὰ διδαχθοῦν, ἀλλὰ «εἰς μαρτύριον αὐτοῖς», δηλαδὴ διὰ νὰ εἶναι κατηγορία καὶ ἔλεγχος καὶ μαρτυρία ὅτι ἔγιναν ὅλα ἀπὸ ἐμέ. Καὶ μολονότι προεγνώριζα ὅτι θὰ παραμείνουν ἀδιόρθωτοι, δὲν παρέλειψα καὶ πάλι νὰ πράξω ὅσα ἔπρεπε νὰ πράξω. Ἐκεῖνοι ὅμως ἔμεναν σταθεροὶ εἰς τὴν κακίαν των. Αὐτὸ λοιπὸν λέγει καὶ εἰς ἄλλο σημεῖον· «Θὰ κηρυχθῇ αὐτὸ τὸ Εὐαγγέλιον εἰς ὅλον τὸν κόσμον πρὸς μαρτυρίαν δι' ὅλα τὰ ἔθνη, καὶ τότε θὰ ἔλθῃ τὸ τέλος»[13] διὰ τὰ ἔθνη, δι' αὐτοὺς ποὺ δὲν ὑπακούουν, δι' αὐτοὺς ποὺ δὲν πιστεύουν. Διότι διὰ νὰ μὴ λέγῃ κανείς· 'Μὰ διὰ ποῖον λόγον κηρύσσεις τότε εἰς ὅλους, ἐὰν πρόκειται νὰ μὴ πιστεύσουν ὅλοι'; Διὰ νὰ γίνῃ φανερὸν ὅτι ἐγὼ ἔκανα ὅ,τι

του πάντα φανῶ πεποιηκὼς καὶ μηδεὶς ἔχῃ μετὰ ταῦτα ἐγκαλεῖν, ὡς οὐκ ἀκηκοώς. Καταμαρτυρήσει γὰρ αὐτῶν αὐτὴ ἡ κήρυξις καὶ οὐκ ἂν ἔχοιεν μετὰ ταῦτα εἰπεῖν, ὅτι οὐκ ἠκούσαμεν· πρὸς γὰρ τὰ πέρατα τῆς οἰκουμένης ὁ λόγος
5 *ἐξέβη τῆς εὐσεβείας.*

Ταῦτα οὖν ἐννοοῦντες καὶ ἡμεῖς, τὰ παρ' ἑαυτῶν ἅπαντα πληρῶμεν εἰς τοὺς πλησίον καὶ τῷ Θεῷ διαπαντὸς εὐχαριστῶμεν. Καὶ γὰρ ἄτοπον, ἔργῳ τῆς εὐεργεσίας αὐτοῦ καθ' ἑκάστην ἀπολαύοντας τὴν ἡμέραν, μηδὲ λόγῳ χάριν
10 *ὁμολογεῖν, καὶ ταῦτα τῆς ὁμολογίας πάλιν ἡμῖν τὴν ὠφέλειαν φερούσης. Οὐδὲ γὰρ αὐτὸς δεῖται τῶν ἡμετέρων τινός, ἀλλ' ἡμεῖς δεόμεθα τῶν ἐκείνου ἁπάντων. Καὶ γὰρ ἡ εὐχαριστία ἐκείνῳ μὲν οὐδὲν προστίθησιν, ἡμᾶς δὲ οἰκειοτέρους αὐτῷ κατασκευάζει. Εἰ γὰρ ἀνθρώπων εἰς μνή-*
15 *μην λαβόντες εὐεργεσίας, θερμαινόμεθα μειζόνως τῷ φίλτρῳ· πολλῷ μᾶλλον τοῦ Δεσπότου μεμνημένοι διηνεκῶς τῶν κατορθωμάτων τῶν εἰς ἡμᾶς, σπουδαιότεροι πρὸς τὰς ἐντολὰς τὰς ἐκείνου ἐσόμεθα. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγεν· «Εὐχάριστοι γίνεσθε». Φυλακὴ γὰρ εὐεργεσίας ἀ-*
20 *ρίστη ἡ τῆς εὐεργεσίας μνήμη, καὶ διηνεκὴς εὐχαριστία. Διὰ δὴ τοῦτο καὶ τὰ φρικώδη μυστήρια καὶ πολλῆς γέμοντα τῆς σωτηρίας, τὰ καθ' ἑκάστην τελούμενα σύναξιν, εὐχαριστία καλεῖται, ὅτι πολλῶν ἐστιν εὐεργετημάτων ἀνάμνησις, καὶ τὸ κεφάλαιον τῆς τοῦ Θεοῦ προνοίας ἐνδείκνυται*
25 *καὶ διὰ πάντων παρασκευάζει εὐχαριστεῖν. Εἰ γὰρ τὸ γεννηθῆναι ἐκ Παρθένου θαῦμα μέγα καὶ ἐκπληττόμενος ὁ εὐαγγελιστὴς ἔλεγε, «Τοῦτο δὲ ὅλον γέγονε»· τὸ καὶ σφαγῆναι ποῦ θήσομεν; εἰπέ μοι. Εἰ γὰρ τὸ γεννηθῆναι «Τοῦτο ὅλον» καλεῖται, τὸ σταυρωθῆναι καὶ τὸ αἷμα ἐκχεῖν καὶ τὸ ἑαυ-*

---

14. Ψαλμ. 18, 5.
15. Κολ. 3, 15.
16. Ματθ. 1, 22.

ἔπρεπε νὰ κάνω καὶ νὰ μὴ ἠμπορῇ κανεὶς εἰς τὸ μέλλον νὰ μὲ κατηγορήσῃ ὅτι δὲν τὰ ἤκουσε. Διότι θὰ τοὺς κατηγορήσῃ τὸ ἴδιο τὸ κήρυγμα καὶ δὲν θὰ ἠμποροῦν ἐν συνεχείᾳ νὰ εἰποῦν, ὅτι 'δὲν ἠκούσαμεν'· διότι μέχρι τὸ τέρμα τῆς οἰκουμένης ἔφθασεν ὁ λόγος τῆς εὐσεβείας[14].

Ἔχοντες, λοιπόν, αὐτὰ ὑπ' ὄψιν καὶ ἡμεῖς ἂς πράττωμεν ὅλας τὰς ὑποχρεώσεις μας πρὸς τοὺς πλησίον καὶ ἂς εὐχαριστοῦμεν συνεχῶς τὸν Θεόν. Διότι θὰ ἦτο παράλογον, ἐνῷ ἀπολαμβάνομεν καθημερινῶς τὴν εὐεργεσίαν αὐτοῦ ἐμπράκτως, νὰ μὴ τὸν εὐγνωμονοῦμεν ἔστω καὶ μὲ τὸν λόγον, καὶ μάλιστα ὅταν ἔχωμεν ὠφέλειαν καὶ πάλιν ἀπ' αὐτὴν τὴν ὁμολογίαν. Διότι ὁ Θεὸς δὲν ἔχει ἀνάγκην ἀπὸ τίποτε ἰδικόν μας, ἐνῷ ἡμεῖς ἔχομεν ἀνάγκην ἀπὸ ὅλα τὰ ἰδικά του. Καθόσον ἡ εὐχαριστία δὲν προσθέτει εἰς αὐτὸν τίποτε, ἡμᾶς ὅμως μᾶς κάμει περισσότερον ἰδικούς του. Διότι ἐὰν ἐνθυμούμενοι τὰς εὐεργεσίας ποὺ μᾶς ἔκαναν οἱ ἄνθρωποι γίνεται ὑπερβολικὰ θερμὴ ἡ ἀγάπη μας δι' αὐτούς, πολὺ περισσότερον ἐνθυμούμενοι συνεχῶς τὰ ὅσα συνέβησαν εἰς ἡμᾶς ἐκ μέρους τοῦ Θεοῦ, θὰ γίνωμεν πιὸ πρόθυμοι εἰς τὸ νὰ ἐκτελοῦμεν τὰς ἐντολάς του. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγεν· «Νὰ γίνεσθε εὐγνώμονες»[15]. Διότι ὁ πιὸ ἄριστος φύλαξ τῆς εὐεργεσίας εἶναι ἡ ἀνάμνησις τῆς εὐεργεσίας καὶ ἡ συνεχὴς εὐχαριστία. Διὰ τοῦτο, βέβαια, καὶ τὰ προκαλοῦντα φρίκην μυστήρια, ἀπὸ τὰ ὁποῖα ἐν ἀφθονίᾳ προσφέρεται ἡ σωτηρία καὶ ποὺ τελοῦνται εἰς κάθε σύναξιν, ὀνομάζονται Εὐχαριστία, διότι ἀποτελεῖ ἀνάμνησιν πολλῶν εὐεργεσιῶν καὶ δείχνει τὸ ἀποκορύφωμα τῆς προνοίας τοῦ Θεοῦ δι' ἡμᾶς καὶ γενικὰ μᾶς προετοιμάζει ἀπὸ κάθε ἄποψιν νὰ εὐχαριστοῦμεν τὸν Θεόν. Διότι ἐὰν τὸ νὰ γεννηθῇ ὁ Κύριος ἀπὸ τὴν Παρθένον ἦτο μέγα θαῦμα καὶ ἔλεγεν ὁ εὐαγγελιστὴς καταλαμβανόμενος ἀπὸ ἔκπληξιν, «ὅλον δὲ αὐτὸ τὸ θαῦμα ἔγινε»[16], τὸ γεγονὸς ὅτι ἐθυσιάσθη, εἰπέ μου, πῶς νὰ τὸ χαρακτηρήσωμεν; Διότι ἐὰν τὸ ὅτι ἐγεννήθη ὀνομάζεται «τοῦτο ὅλον», τὸ ὅτι ἐσταυρώθη

τὸν δοῦναι ἡμῖν εἰς ἑστίασιν καὶ εὐωχίαν πνευματικήν, τί ἂν κληθείη;

Εὐχαριστοῦμεν τοίνυν αὐτῷ διηνεκῶς καὶ ῥημάτων καὶ ἔργων τῶν ἡμετέρων προηγείσθω τοῦτο. Εὐχαριστῶμεν
5 *δὲ μὴ ὑπὲρ τῶν οἰκείων μόνων, ἀλλὰ καὶ ὑπὲρ τῶν ἀλλοτρίων ἀγαθῶν· οὕτω γὰρ καὶ τὴν βασκανίαν ἀνελεῖν δυνησόμεθα, καὶ τὴν ἀγάπην ἐπισφίγξαι καὶ γνησιωτέραν ποιῆσαι. Οὐδὲ γὰρ δυνήσῃ βασκῆναι λοιπὸν ἐκείνοις, ὑπὲρ ὧν εὐχαριστεῖς τῷ Δεσπότῃ. Διὸ δὴ καὶ ὁ ἱερεὺς ὑπὲρ τῆς οἰ-*
10 *κουμένης, ὑπὲρ τῶν προτέρων, ὑπὲρ τῶν νῦν, ὑπὲρ τῶν γεννηθέντων ἔμπροσθεν, ὑπὲρ τῶν μετὰ ταῦτα ἐσομένων εἰς ἡμᾶς εὐχαριστεῖν κελεύει, τῆς θυσίας προκειμένης ἐκείνης. Τοῦτο γὰρ ἡμᾶς καὶ τῆς γῆς ἀπαλλάττει καὶ πρὸς τὸν οὐρανὸν μετατίθησι καὶ ἀγγέλους ἐξ ἀνθρώπων ποιεῖ. Καὶ*
15 *γὰρ καὶ ἐκεῖνοι χορὸν στησάμενοι, ὑπὲρ τῶν εἰς ἡμᾶς ἀγαθῶν εὐχαριστοῦσι τῷ Θεῷ, λέγοντες· «Δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία». Καὶ τί πρὸς ἡμᾶς τοὺς οὐκ ἐπὶ γῆς, οὐδὲ ἀνθρώπους; Μάλιστα μὲν οὖν πρὸς ἡμᾶς· οὕτω γὰρ ἐπαιδεύθημεν τοὺς συνδού-*
20 *λους φιλεῖν, ὡς καὶ τὰ ἐκείνων ἀγαθὰ ἡμέτερα εἶναι νομίζειν.*

4. Διὸ καὶ Παῦλος πανταχοῦ τῶν ἐπιστολῶν ὑπὲρ τῶν τῆς οἰκουμένης εὐχαριστεῖ κατορθωμάτων. Καὶ ἡμεῖς τοίνυν ὑπὲρ τῶν οἰκείων καὶ ὑπὲρ τῶν ἀλλοτρίων καὶ ὑπὲρ μι-
25 *κρῶν καὶ ὑπὲρ μεγάλων διηνεκῶς εὐχαριστῶμεν. Κἂν γὰρ μικρὸν ᾖ τὸ δοθέν, μέγα γίνεται τῷ παρὰ τοῦ Θεοῦ δεδόσθαι· μᾶλλον δὲ οὐδὲν μικρὸν τῶν παρ᾽ ἐκείνου, οὐ τῷ παρ᾽*

17. Λουκᾶ 2, 14.

καὶ ἔχυσε τὸ αἷμά του καὶ ἔδωσεν εἰς ἡμᾶς τὸν ἑαυτόν του διὰ πνευματικὴν τροφὴν καὶ εὐωχίαν, πῶς θὰ ἠμποροῦσε νὰ ὀνομασθῇ;

Ἂς εὐχαριστοῦμεν λοιπὸν τὸν Θεὸν συνεχῶς καὶ ἂς προηγῆται αὐτὴ ἡ εὐχαριστία ἀπὸ κάθε λόγον καὶ πρᾶξιν μας. Νὰ τὸν εὐχαριστοῦμεν δὲ ὄχι μόνον διὰ τὰ ἰδικά μας, ἀλλὰ καὶ διὰ τὰ ξένα ἀγαθά· διότι ἔτσι θὰ ἠμπορέσωμεν καὶ τὸν φθόνον νὰ ἐκριζώσωμεν καὶ νὰ συσφίξωμεν τὴν ἀγάπην καὶ νὰ τὴν κάμωμεν περισσότερον εἰλικρινῆ. Διότι δὲν θὰ ἠμπορέσῃς εἰς τὸ ἑξῆς νὰ φθονήσῃς ἐκείνους διὰ τοὺς ὁποίους εὐχαριστεῖς τὸν Θεόν. Διὰ τοῦτο ἀκριβῶς καὶ ὁ ἱερεὺς μᾶς προτρέπει, καθ' ἣν ὥραν τελεῖται ἡ θυσία ἐκείνη, νὰ εὐχαριστοῦμεν τὸν Θεὸν δι' ὁλόκληρον τὴν οἰκουμένην, δι' ὅσα προηγήθησαν, διὰ τὰ παρόντα, δι' ὅσα συνέβησαν εἰς τὸ παρελθὸν καὶ διὰ τὰ μέλλοντα νὰ συμβοῦν. Διότι αὐτὴ ἡ εὐχαριστία καὶ μᾶς ἀπαλλάσσει ἀπὸ τὴν γῆν, καὶ μᾶς μεταφέρει εἰς τὸν οὐρανὸν καὶ μᾶς μεταμορφώνει ἀπὸ ἀνθρώπους εἰς ἀγγέλους. Καθόσον καὶ ἐκεῖνοι στήνουν χορὸν καὶ εὐχαριστοῦν τὸν Θεὸν διὰ τὰ ἀγαθὰ ποὺ μᾶς ἐχάρισε, λέγοντες· «Ἂς εἶναι δοξασμένος ὁ ἐν ὑψίστοις Θεός, καὶ εἰς τὴν γῆν νὰ ὑπάρχῃ εἰρήνη, μεταξὺ δὲ τῶν ἀνθρώπων φιλαλληλία»[17]. Καὶ τί σχέσιν ἔχουν πρὸς ἡμᾶς οἱ μὴ κατοικοῦντες εἰς τὴν γῆν, οὔτε εἶναι ἄνθρωποι; Συνεπῶς ἀπευθύνεται κυρίως πρὸς ἡμᾶς. Διότι ἔτσι ἐδιδάχθημεν νὰ ἀγαπῶμεν τοὺς συνανθρώπους μας, ὥστε νὰ θεωροῦμεν ὡς ἰδικά μας καὶ τὰ ἀγαθὰ ἐκείνων.

4. Διὰ τοῦτο καὶ ὁ Παῦλος εἰς πλεῖστα σημεῖα τῶν ἐπιστολῶν του εὐχαριστεῖ τὸν Θεὸν διὰ τὰ κατορθώματά του ἐπὶ ὁλοκλήρου τῆς οἰκουμένης. Καὶ ἡμεῖς λοιπὸν ἂς εὐχαριστοῦμεν συνεχῶς τὸν Θεὸν καὶ διὰ τὰ ἰδικά μας ἀγαθὰ καὶ διὰ τὰ ἀγαθὰ τῶν ξένων καὶ διὰ τὰ μικρὰ καὶ διὰ τὰ μεγάλα. Διότι καὶ ἂν ἀκόμη εἶναι μικρὸν αὐτὸ ποὺ μᾶς ἐδόθη, γίνεται μέγα διότι ἐδόθη ἀπὸ τὸν Θεόν· μᾶλλον δὲ τίποτε ἀπὸ αὐτὰ ποὺ δίδονται ἀπὸ

ἐκείνου μόνον παρέχεσθαι, ἀλλὰ καὶ αὐτῇ τῇ φύσει. Καὶ ἵνα τὰ ἄλλα πάντα παρῶ, ἃ τὴν ἄμμον νικᾷ τῷ πλήθει· τί ἴσον τῆς ὑπὲρ ἡμῶν γενομένης οἰκονομίας; Ὃ γὰρ ἦν αὐτῷ τιμιώτερον ἁπάντων, ὁ μονογενὴς παῖς, τοῦτον ἔδωκεν
5 *ὑπὲρ ἡμῶν τῶν ἐχθρῶν· καὶ οὐκ ἔδωκε μόνον, ἀλλὰ καὶ μετὰ τὸ δοῦναι τράπεζαν ἡμῖν αὐτὸν παρέθηκε, πάντα αὐτὸς τὰ ὑπὲρ ἡμῶν ποιῶν, καὶ τὸ δοῦναι καὶ τὸ εὐχαρίστους ὑπὲρ τούτων ποιῆσαι. Ἐπειδὴ γὰρ ὡς τὰ πολλὰ ἀχάριστός ἐστιν ὁ ἄνθρωπος, πανταχοῦ αὐτὸς ἀναδέχεται καὶ κατασκευάζει τὰ*
10 *ὑπὲρ ἡμῶν. Καὶ ὅπερ ἐπὶ τῶν Ἰουδαίων ἐποίησεν, ἀπὸ τόπων καὶ χρόνων καὶ ἑορτῶν ἀναμιμνήσκων αὐτοὺς τῶν εὐεργεσιῶν, τοῦτο καὶ ἐνταῦθα εἰργάσατο, ἀπὸ τοῦ τρόπου τῆς θυσίας εἰς διηνεκῆ τῆς ὑπὲρ τούτων εὐεργεσίας μνήμην ἡμᾶς ἐμβάλλων. Οὕτως οὐδεὶς ἐσπούδακε δοκίμους γενέ-*
15 *σθαι καὶ μεγάλους καὶ διὰ πάντων εὐγνώμονας, ὡς ὁ ποιήσας ἡμᾶς Θεός. Διὰ τοῦτο καὶ ἄκοντας ἡμᾶς εὐεργετεῖ πολλάκις καὶ ἀγνοοῦντας τὰ πλείονα. Εἰ δὲ θαυμάζεις τὸ εἰρημένον, οὐκ ἐπὶ τῶν τυχόντων τινός, ἀλλ' ἐπὶ τοῦ μακαρίου Παύλου δείκνυμί σοι τοῦτο συμβάν. Καὶ γὰρ ὁ μακάριος*
20 *ἐκεῖνος πολλὰ κινδυνεύων καὶ θλιβόμενος, πολλάκις παρεκάλει τὸν Θεόν, ἀποστῆναι αὐτοῦ τοὺς πειρασμούς· ἀλλ' ὅμως οὐ τῇ αἰτήσει αὐτοῦ, ἀλλὰ τῇ λυσιτελείᾳ προσεῖχεν ὁ Θεός· καὶ τοῦτο δεικνὺς ἔλεγεν· «Ἀρκεῖ σοι ἡ χάρις μου·*

---

18. Β' Κορ. 12, 9.

τὸν Θεὸν δὲν εἶναι μικρὸν ὄχι μόνον ἐπειδὴ παρέχεται ἀπὸ αὐτόν, ἀλλὰ καὶ αὐτὸ καθ' ἑαυτὸ λόγῳ τῆς φύσεώς του. Καὶ διὰ νὰ παραλείψω ὅλα τὰ ἄλλα, ποὺ εἶναι περισσότερα ὡς πρὸς τὸ πλῆθος καὶ ἀπὸ τὴν ἄμμον. Ποῖο πρᾶγμα ἠμπορεῖ νὰ ἐξισωθῇ μὲ τὴν οἰκονομίαν τοῦ Θεοῦ ὑπὲρ ἡμῶν; Διότι αὐτὸ ποὺ ἦτο δι' αὐτὸν τὸ πιὸ πολύτιμον ἀπὸ ὅλα, ὁ μονογενὴς Υἱός του δηλαδή; αὐτὸν ἔδωσεν ὑπὲρ ἡμῶν τῶν ἐχθρῶν του· καὶ ὄχι μόνον τὸν ἔδωσεν, ἀλλὰ καὶ μετὰ ἀπὸ αὐτὸ παρέθεσεν αὐτὸν εἰς ἡμᾶς ὡς εἰς τράπεζαν καὶ ἔτσι ἔπραξεν ὅλα πρὸς χάριν μας, καὶ μᾶς τὸν προσέφερε δηλαδή, καὶ ἠθέλησε νὰ μᾶς καταστήσῃ εὐγνώμονας δι' ὅλα αὐτά. Ἐπειδή, δηλαδή, ὡς ἐπὶ τὸ πλεῖστον, ὁ ἄνθρωπος εἶναι ἀχάριστος πάντοτε, ὁ ἴδιος ἀναλαμβάνει καὶ πράττει ὅ,τι εἶναι διὰ τὸ συμφέρον μας. Καὶ αὐτὸ ἀκριβῶς ποὺ ἔκαμεν εἰς τὴν περίπτωσιν τῶν Ἰουδαίων, ὑπενθυμίζων εἰς αὐτοὺς τὰς εὐεργεσίας του μέσῳ τοποθεσιῶν, ἐποχῶν καὶ ἑορτῶν, τὸ ἴδιο πράττει καὶ εἰς τὴν περίπτωσιν αὐτήν, μὲ τὸ νὰ μᾶς κάνῃ νὰ τὸν εὐγνωμονοῦμεν συνεχῶς διὰ τὰς εὐεργεσίας του μὲ τὸν τρόπον ποὺ τελεῖται ἡ θυσία του. Κανεὶς δὲν ἐφρόντισε τόσον πολὺ ὥστε νὰ γίνωμεν ἄξιοι καὶ μεγάλοι καὶ εὐγνώμονες μέσῳ ὅλων αὐτῶν, ὅσον ὁ Θεὸς ποὺ μᾶς ἐδημιούργησε. Διὰ τοῦτο καὶ πολλὰς φορὰς μᾶς εὐεργετεῖ καὶ παρὰ τὴν θέλησίν μας καὶ ὡς ἐπὶ τὸ πλεῖστον χωρὶς νὰ τὸ γνωρίζωμεν. Ἐὰν δὲ ἀπορῇς μὲ αὐτὸ ποὺ λέγω, θὰ σοῦ ἀποδείξω ὅτι αὐτὸ συνέβη ὄχι εἰς κάποιον ἀπὸ τοὺς τυχαίους ἀλλ' εἰς αὐτὸν τὸν μακάριον Παῦλον. Καθόσον ὁ μακάριος ἐκεῖνος ἐπειδὴ ἀντεμετώπιζε πολλοὺς κινδύνους καὶ ἐδοκίμαζε πολλὰς στενοχωρίας, πολλὰς φορὰς παρεκάλει τὸν Θεὸν νὰ τὸν ἀπαλλάξῃ ἀπὸ αὐτοὺς τοὺς πειρασμούς· ἀλλ' ὅμως ὁ Θεὸς δὲν ἐπρόσεχε τὴν παράκλησιν αὐτοῦ ἀλλὰ τὴν ὠφέλειάν του· καὶ δεικνύων αὐτὸ ἔλεγε· «Σοῦ εἶναι ἀρκετὴ ἡ χάρις μου· διότι ἡ δύναμίς μου ἀναδεικνύεται τελεία ὅταν ὁ ἄνθρωπος εἶναι ἀσθενής»[18]. Ὥστε πρὶν ἀποκα-

ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται». Ὥστε πρὶν εἰπεῖν αὐτῷ τὴν αἰτίαν, ἄκοντα εὐεργετεῖ καὶ οὐκ εἰδότα.

Τί οὖν μέγα αἰτεῖ, ἀντὶ τῆς τοσαύτης κηδεμονίας εὐχαρίστους κελεύων εἶναι; Πειθώμεθα τοίνυν, καὶ πανταχοῦ 5 τοῦτο διατηρῶμεν. Καὶ γὰρ τοὺς Ἰουδαίους οὐδὲν οὕτως ἀπώλεσεν, ὡς τὸ ἀχαρίστους εἶναι, καὶ τὰς πολλὰς καὶ ἐπαλλήλους ἐκείνας πληγὰς οὐδὲν ἕτερον ἢ τοῦτο ἐπήγαγε· μᾶλλον δὲ καὶ πρὸ τῶν πληγῶν τὴν ψυχὴν αὐτῶν τοῦτο ἀπώλεσε καὶ διέφθειρεν. «Ἀχαρίστου γὰρ ἐλπὶς ὡς τέχνη 10 χειμέριος», φησίν· οὕτω ναρκᾶν καὶ νεκροῦσθαι τὴν ψυχὴν ποιεῖ, ὥσπερ ἐκείνη τὰ σώματα. Τοῦτο δὲ γίνεται ἐξ ἀπονοίας, καὶ τοῦ νομίζειν ἑαυτὸν ἄξιον εἶναί τινος. Ὁ δὲ συντετριμμένος, οὐχ ὑπὲρ ἀγαθῶν μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν ἐναντίων δοκούντων εἶναι, εὐχαριστίας εἴσεται τῷ Θεῷ, 15 καὶ ὅσα ἂν πάθῃ, οὐδὲν ἡγήσεται ἀνάξιον πεπονθέναι.

Καὶ ἡμεῖς τοίνυν, ὅσῳ ἂν πρὸς ἀρετὴν ἐπιδῶμεν, τοσούτῳ μᾶλλον ἑαυτοὺς συντρίψωμεν· ἐπεὶ καὶ τοῦτο μάλιστα ἀρετή. Ὥσπερ γὰρ ὅσῳπερ ἂν ὀξύτερον ἴδωμεν, τοσούτῳ μᾶλλον μανθάνομεν ὅσον διεστήκαμεν τοῦ οὐρανοῦ· οὕτως 20 ὅσῳ ἂν ἐπιδῶμεν πρὸς ἀρετήν, τοσούτῳ μᾶλλον παιδευόμεθα εἰδέναι τοῦ Θεοῦ τὸ μέσον τὸ πρὸς ἡμᾶς. Οὐ μικρὸν δὲ τοῦτο μέρος φιλοσοφίας, δυνηθῆναι συνιδεῖν τὴν ἀξίαν τὴν ἡμετέραν. Οὗτος γὰρ μάλιστά ἐστιν ὁ ἑαυτὸν εἰδώς, ὁ μηδὲν εἶναι ἑαυτὸν νομίζων. Διὰ δὴ τοῦτο καὶ ὁ Δαυῒδ 25 καὶ ὁ Ἀβραάμ, ὅτε πρὸς τὴν ἄκραν ἀνέβησαν τῆς ἀρετῆς κορυφήν, τότε μάλιστα τοῦτο κατώρθωσαν· καὶ ὁ μὲν γῆν

---

19. Σοφ. Σολ. 16, 29.

λύψη εἰς αὐτὸν τὴν αἰτίαν τὸν εὐεργετεῖ χωρὶς τὴν θέλησίν του καὶ χωρὶς νὰ τὸ γνωρίζῃ.

Τί μεγάλο λοιπὸν ζητεῖ, προτρέπων ἡμᾶς νὰ εἴμεθα εὐγνώμονες ἔναντι αὐτῆς τῆς τόσον μεγάλης κηδεμονίας του; Ἂς ὑπακούσωμεν λοιπὸν εἰς τὴν προσταγήν του καὶ ἂς τὴν ἐφαρμόζωμεν πάντοτε εἰς τὴν ζωήν μας. Καθόσον τοὺς Ἰουδαίους τίποτε δὲν τοὺς κατέστρεψε τόσον, ὅσον ἡ ἀχαριστία αὐτῶν, καὶ τὰς πολλὰς καὶ διαδοχικὰς ἐκείνας πληγὰς δὲν τὰς ἐπέφερε τίποτε ἄλλο, παρὰ ἡ ἀχαριστία των, μᾶλλον δὲ καὶ πρὶν ἀπὸ τὰς πληγὰς αὐτὴ διέφθειρε τὴν ψυχὴν αὐτῶν καὶ τὴν κατέστρεψε. «Διότι», λέγει, «ἡ ἐλπὶς τοῦ ἀχαρίστου ὁμοιάζει μὲ χειμερινὴν πάχνην»[19], ναρκώνει καὶ νεκρώνει τὴν ψυχὴν ἔτσι, ὅπως ἀκριβῶς καὶ ἐκείνη τὰ σώματα. Αὐτὸ δὲ συμβαίνει ἀπὸ ἐγωϊσμὸν καὶ ἐπειδὴ θεωρεῖ κανεὶς τὸν ἑαυτόν του ὅτι εἶναι ἄξιος διὰ κάτι. Ὁ ταπεινόφρων ὅμως εὐχαριστεῖ τὸν Θεὸν ὄχι μόνον διὰ τὰ ἀγαθὰ ποὺ τοῦ δίδει, ἀλλὰ καὶ δι' ἐκεῖνα ποὺ θεωροῦνται κακά, καὶ ὅσα ἂν ἤθελε πάθει, δὲν θὰ νομίσῃ διὰ κανένα ὅτι τὸ ἔπαθεν ἀναξίως.

Καὶ ἡμεῖς, λοιπόν, ὅσον περισσότερον θὰ προοδεύωμεν εἰς τὴν ἀρετήν, τόσον περισσότερον ἂς ταπεινώνωμεν τοὺς ἑαυτούς μας· ἐπειδὴ αὐτὸ κατ' ἐξοχὴν εἶναι ἡ ἀρετή. Διότι ὅπως ἀκριβῶς, ὅσον πιὸ προσεκτικὰ παρατηρήσομεν, τόσον περισσότερον διαπιστώνομεν τὴν ἀπόστασίν μας ἀπὸ τὸν οὐρανόν, ἔτσι καὶ ὅσον πιὸ πολὺ ἐπιδιδόμεθα εἰς τὴν ἀρετὴν τόσον περισσότερον διαπιστώνομεν τὴν ἀπόστασιν ποὺ ὑπάρχει ἀνάμεσα εἰς τὸν Θεὸν καὶ εἰς ἡμᾶς. Ἀλλ' ὅμως δὲν εἶναι μικρὰ ἀπόδειξις εὐσεβείας τὸ νὰ ἠμπορέσωμεν νὰ γνωρίσωμεν τὴν ἰδικήν μας ἀξίαν. Διότι αὐτὸς εἶναι ἐκεῖνος ποὺ γνωρίζει καλύτερα τὸν ἑαυτόν του, αὐτὸς ποὺ θεωρεῖ τὸν ἑαυτόν του ὅτι δὲν εἶναι τίποτε. Διὰ τοῦτο βεβαίως καὶ ὁ Δαυῒδ καὶ ὁ Ἀβραάμ, ὅταν ἀνέβησαν εἰς τὴν τελευταίαν κορυφὴν τῆς ἀρετῆς, τότε ἀκριβῶς τὸ ἐπέτυχαν αὐτό. Καὶ ὁ μὲν πρῶτος ὠνόμαζε τὸν ἑαυτόν του χῶμα

καὶ σποδόν, ὁ δὲ σκώληκα ἑαυτὸν ἐκάλει· καὶ πάντες δὲ οἱ ἅγιοι ὁμοίως τούτους ἑαυτοὺς ταλανίζουσιν· ὡς ὅ γε πρὸς ἀλαζονείαν αἱρόμενος, ἐκεῖνός ἐστιν ὁ μάλιστα πάντων ἑαυτὸν ἀγνοῶν. Διὸ καὶ κατὰ τὴν κοινὴν συνήθειαν ἔθος 5 *ἡμῖν λέγειν περὶ τῶν ὑπερηφάνων· οὐκ οἶδεν ἑαυτόν, ἀγνοεῖ ἑαυτόν. Ὁ δὲ ἑαυτὸν ἀγνοῶν, τίνα γινώσεται; Ὥσπερ γὰρ ὁ ἑαυτὸν εἰδώς, ἅπαντα εἴσεται· οὕτως ὁ τοῦτο μὴ εἰδώς, οὐδὲ τὰ ἄλλα εἴσεται. Τοιοῦτος ἦν ἐκεῖνος ὁ λέγων· «Ἐπάνω τῶν οὐρανῶν θήσω τὸν θρόνον μου». Ἐπειδὴ γὰρ* 10 *ἠγνόησεν ἑαυτόν, καὶ τὰ ἄλλα πάντα ἠγνόησεν. Ἀλλ᾽ οὐχ ὁ Παῦλος· ἀλλ᾽ ἔκτρωμα ἑαυτὸν καὶ τῶν ἁγίων ἔσχατον ἐκάλει, καὶ οὐδὲ τῆς προσηγορίας ἄξιον ἑαυτὸν εἶναι ἐνόμιζε τῶν ἀποστόλων, μετὰ τοσαῦτα καὶ τηλικαῦτα κατορθώματα.*

Τοῦτον τοίνυν ζηλώσωμεν καὶ μιμησώμεθα. Μιμησό- 15 *μεθα δέ, ἂν τῆς γῆς καὶ τῶν ἐν τῇ γῇ ἀπαλλαγῶμεν πραγμάτων. Οὐδὲν γὰρ οὕτως ἀγνοεῖν ἑαυτὸν ποιεῖ, ὡς τὸ τοῖς βιωτικοῖς προσηλῶσθαι· οὐδὲν οὕτω πάλιν τοῖς βιωτικοῖς προσηλῶσθαι πράγμασι παρασκευάζει, ὡς τὸ ἀγνοεῖν ἑαυτόν· ἀλλήλων γὰρ ταῦτα ἐξήρτηται. Ὥσπερ γὰρ ὁ τῆς δό-* 20 *ξης ἐρῶν τῆς ἔξωθεν, καὶ μεγάλα τὰ παρόντα ἡγούμενος, κἂν μυρία φιλονεικῇ, οὐ συγχωρεῖται ἑαυτὸν κατιδεῖν· οὕτως ὁ τούτων ὑπερορῶν ῥαδίως ἑαυτὸν εἴσεται· ἑαυτὸν δὲ μαθών, ὁδῷ καὶ ἐπὶ τὰ ἄλλα πάντα βαδιεῖται μέρη τῆς ἀρετῆς.*

---

20. Γεν. 18, 27.
21. Ψαλμ. 21, 7.
22. Ἠσ. 14, 13.

καὶ στάχτην[20], ὁ δὲ δεύτερος σκώληκα[21]· καὶ ὅλοι δὲ οἱ ἅγιοι καθ' ὅμοιον τρόπον μὲ αὐτὰς τὰς λέξεις ἐλεεινολογοῦν τοὺς ἑαυτούς των. Διότι, βέβαια, αὐτὸς ποὺ ὑπερηφανεύεται, ἐκεῖνος εἶναι περισσότερον ἀπὸ ὅλους ποὺ δὲν γνωρίζει τὸν ἑαυτόν του. Διὰ τοῦτο κατὰ τὴν κοινὴν συνήθειαν συνηθίζομεν νὰ λέγωμεν περὶ τῶν ὑπερηφάνων· 'Δὲν γνωρίζει τὸν ἑαυτόν του, ἀγνοεῖ τὸν ἑαυτόν του'. Αὐτὸς δὲ ποὺ ἀγνοεῖ τὸν ἑαυτόν του, ποῖον ἄλλον ἠμπορεῖ νὰ γνωρίσῃ; Διότι ὅπως ἀκριβῶς αὐτὸς ποὺ γνωρίζει τὸν ἑαυτόν του, θὰ ἠμπορέσῃ νὰ γνωρίσῃ ὅλα γενικῶς, ἔτσι καὶ αὐτὸς ποὺ δὲν γνωρίζει αὐτόν, οὔτε τὰ ἄλλα θὰ γνωρίσῃ. Τέτοιος ἦτο ἐκεῖνος ποὺ λέγει· «Ἐπάνω ἀπὸ τὸν οὐρανὸν θὰ τοποθετήσω τὸν θρόνον μου»[22]. Ἐπειδὴ δηλαδὴ δὲν ἐγνώρισε τὸν ἑαυτόν του, καὶ ὅλα τὰ ἄλλα δὲν τὰ ἐγνώρισεν. Ὁ Παῦλος ὅμως δὲν ἐφέρετο κατ' αὐτὸν τὸν τρόπον, ἀλλὰ ὠνόμαζε τὸν ἑαυτόν του ἔκτρωμα καὶ τελευταῖον ἀπὸ τοὺς ἁγίους, καὶ δὲν ἐθεώρει τὸν ἑαυτὸν ἄξιον νὰ φέρῃ τὸ ὄνομα τῶν ἀποστόλων καὶ μάλιστα μετὰ ἀπὸ τόσα καὶ τέτοιου εἴδους κατορθώματα.

Αὐτοῦ λοιπὸν ἂς γίνωμεν ζηλωταὶ καὶ ἂς τὸν μιμηθῶμεν. Θὰ τὸν μιμηθῶμεν δὲ ἐὰν ἀπαλλαγῶμεν ἀπὸ τὴν γῆν καὶ τὰ πράγματα τῆς γῆς. Διότι τίποτε δὲν κάνει τὸν ἄνθρωπον νὰ ἀγνοῇ τόσον τὸν ἑαυτόν του, ὅσον τὸ νὰ προσηλώνεται εἰς τὰ βιωτικὰ πράγματα· καὶ τίποτε πάλιν δὲν τὸν κάνει νὰ προσηλώνεται τόσον εἰς τὰ βιωτικὰ πράγματα, ὅσον τὸ νὰ ἀγνοῇ τὸν ἑαυτόν του· ἐπειδὴ αὐτὰ ἐξαρτῶνται τὸ ἕνα ἀπὸ τὸ ἄλλο. Διότι ὅπως ἀκριβῶς αὐτὸς ποὺ ἀγαπᾷ ὑπερβολικὰ τὴν κοσμικὴν δόξαν καὶ θεωρεῖ μεγάλα τὰ παρόντα πράγματα δὲν ἠμπορεῖ νὰ κατανοήσῃ τὸν ἑαυτόν του καὶ ἂν ἀκόμη καταβάλλῃ μυρίας προσπαθείας, κατὰ τὸν ἴδιον τρόπον καὶ αὐτὸς ποὺ περιφρονεῖ τὰ ἐπίγεια πράγματα θὰ γνωρίσῃ εὔκολα τὸν ἑαυτόν του· ὅταν δὲ γνωρίσῃ τὸν ἑαυτόν του τροχάδην θὰ προχωρήσῃ καὶ εἰς ὅλα τὰ ἄλλα μέρη τῆς ἀρετῆς.

Ἵνα οὖν τὴν καλὴν ταύτην μάθωμεν ἐπιστήμην, ἀπαλλαγέντες τῶν ἐπικήρων ἁπάντων τῶν πολλὴν ἐν ἡμῖν ποιούντων τὴν φλόγα, καὶ μαθόντες ἑαυτῶν τὴν εὐτέλειαν, πᾶσαν ἐπιδειξώμεθα ταπεινοφροσύνην καὶ φιλοσοφίαν, ἵνα καὶ
5 *τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾽ οὗ τῷ Πατρί δόξα, κράτος, τιμή, σὺν τῷ ἁγίῳ καὶ ἀγαθῷ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

Ὥστε λοιπὸν διὰ νὰ γνωρίσωμεν αὐτὴν τὴν καλὴν ἐπιστήμην, ἀφοῦ ἀπαλλαγοῦμεν ἀπὸ ὅλα τὰ φθαρτὰ ποὺ ἐμβάλλουν μέσα μας μεγάλην φλόγαν, καὶ ἀφοῦ κατανοήσωμεν τὴν εὐτέλειαν αὐτῶν, ἂς ἐπιδείξωμεν ὅλην τὴν ταπεινοφροσύνην καὶ τὴν εὐσέβειάν μας, διὰ νὰ ἐπιτύχωμεν καὶ τὰ παρόντα καὶ τὰ μελλοντικὰ ἀγαθά, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μετὰ τοῦ ὁποίου ἀνήκει ἡ δόξα, ἡ δύναμις καὶ ἡ τιμὴ εἰς τὸν Πατέρα μαζὶ μὲ τὸ ἅγιον καὶ ἀγαθὸν Πνεῦμα τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΣΤ΄

Ματθ. 8, 5 - 13

*«Εἰσελθόντι δὲ αὐτῷ εἰς Καπερναούμ, προσῆλθεν αὐτῷ ἑκατόνταρχος, παρακαλῶν αὐτόν, καὶ λέγων· Κύριε, ὁ παῖς
5 μου βέβληται ἐν τῇ οἰκίᾳ παραλυτικός, δεινῶς βασανιζόμενος».*

*1. Ὁ μὲν λεπρὸς καταβάντι ἀπὸ τοῦ ὄρους προσῆλθεν· ὁ δὲ ἑκατόνταρχος οὗτος εἰσελθόντι εἰς τὴν Καπερναούμ. Τίνος οὖν ἕνεκεν οὔτε οὗτος, οὔτε ἐκεῖνος εἰς τὸ ὄρος ἀνέ-
10 βησαν; Οὐ διὰ ῥᾳθυμίαν· καὶ γὰρ ἀμφοτέρων ἡ πίστις θερμή· ἀλλ' ὥστε μὴ ἐγκόψαι τὴν διδασκαλίαν. Προσελθὼν δέ φησιν· «Ὁ παῖς μου βέβληται ἐν τῇ οἰκίᾳ παραλυτικός, δεινῶς βασανιζόμενος». Τινὲς μὲν οὖν φασιν, ὅτι ἀπολογούμενος καὶ τὴν αἰτίαν εἴρηκε, δι' ἣν αὐτὸν οὐκ ἤγαγεν. Οὐ-
15 δὲ γὰρ δυνατὸν ἦν, φησί, παραλελυμένον καὶ βασανιζόμενον καὶ πρὸς ἐσχάτας ὄντα ἀναπνοὰς φοράδην κομίζειν. Ὅτι γὰρ καὶ ἀποπνεῖν ἔμελλεν, ὁ Λουκᾶς φησιν, ὅτι καὶ «Ἔμελλε τελευτᾶν». Ἐγὼ δὲ τοῦ μεγάλην αὐτὸν ἔχειν πίστιν τοῦτο σημεῖον εἶναί φημι, καὶ πολλῷ μείζονα τῶν διὰ τοῦ
20 στέγους χαλασάντων. Ἐπειδὴ γὰρ ᾔδει σαφῶς, ὅτι καὶ ἐπίταγμα ἀρκεῖ μόνον εἰς τὴν ἀνάστασιν τοῦ κειμένου, περιττὸν εἶναι ἐνόμισεν αὐτὸν ἀγαγεῖν.*

*Τί οὖν ὁ Ἰησοῦς; Ὃ μηδαμοῦ πρότερον ἐποίησεν, ἐνταῦθα ποιεῖ. Πανταχοῦ γὰρ ἑπόμενος τῇ προαιρέσει τῶν
25 ἱκετευόντων, ἐνταῦθα καὶ ἐπιπηδᾷ, καὶ οὐχὶ θεραπεῦσαι ἐπαγγέλλεται μόνον, ἀλλὰ καὶ παραγενέσθαι εἰς τὴν οἰκίαν. Ποιεῖ δὲ τοῦτο, ἵνα μάθωμεν τὴν ἀρετὴν τοῦ ἑκατοντάρχου. Εἰ γὰρ μὴ τοῦτο ἐπηγγείλατο, ἀλλ' εἶπεν, ὕπαγε, ἰαθήτω ὁ*

---

1. Ἦτο ρωμαῖος ἀξιωματοῦχος.
2. Λουκᾶ 7, 2.
3. Πρβλ. Μαρκ. 2, 1-12.

ΟΜΙΛΙΑ ΚΣΤ'

Ματθ. 8, 5 - 13

«Μόλις εἰσῆλθεν εἰς τὴν Καπερναοὺμ προσῆλθεν εἰς αὐτὸν κάποιος ἑκατόνταρχος[1] παρακαλῶν αὐτὸν καὶ λέγων· Κύριε, ὁ δοῦλός μου εἶναι κατάκοιτος εἰς τὴν οἰκίαν μου ἀπὸ παράλυσιν καὶ ὑποφέρει πάρα πολὺ βαρειά».

1. Ὁ μὲν λεπρὸς προσῆλθεν εἰς τὸν Ἰησοῦν ὅταν κατέβη ἀπὸ τὸ ὄρος, ὁ δὲ ἑκατόνταρχος αὐτὸς μόλις εἰσῆλθεν εἰς τὴν Καπερναούμ. Ἐξ αἰτίας ποίου πράγματος λοιπὸν οὔτε αὐτός, οὔτε ἐκεῖνος ἀνέβησαν εἰς τὸ ὄρος; Ὄχι ἀπὸ ὀκνηρίαν, καθόσον καὶ τῶν δύο ἡ πίστις ἦτο θερμή, ἀλλὰ διὰ νὰ μὴ διακόψουν τὴν διδασκαλίαν. Ἀφοῦ δὲ προσῆλθε λέγει· «ὁ δοῦλος μου εἶναι κατάκοιτος εἰς τὴν οἰκίαν μου πάσχων ἀπὸ παράλυσιν καὶ ὑποφέρει βαρειά». Μερικοὶ λοιπὸν λέγουν ὅτι διὰ νὰ δικαιολογηθῇ εἶπε καὶ τὴν αἰτίαν διὰ τὴν ὁποίαν δὲν ἔφερεν αὐτὸν μαζί του. Διότι δὲν ἦτο δυνατόν, λέγουν, νὰ τὸν φέρῃ σηκωτόν, καθ' ἣν στιγμὴν ἦτο παράλυτος καὶ ἐβασανίζετο καὶ εὑρίσκετο εἰς τὸ τέλος τῆς ζωῆς του. Τὸ ὅτι ἐπρόκειτο νὰ ἀποθάνῃ μᾶς τὸ λέγει ὁ Λουκᾶς διὰ τῶν λέξεων «ἐπρόκειτο νὰ ἀποθάνῃ»[2]. Ἐγὼ ὅμως λέγω ὅτι αὐτὸ εἶναι ἀπόδειξις τῆς μεγάλης πίστεως ποὺ εἶχε καὶ ποὺ ἦτο πολὺ μεγαλυτέρα τῆς πίστεως ἐκείνων ποὺ κατέβασαν τὸν ἄλλον παραλυτικὸν μέσῳ τῆς χαλασμένης σκεπῆς[3]. Διότι ἐπειδὴ ἐγνώρισε πολὺ καλὰ ὅτι ἀρκεῖ καὶ μόνον πρόσταγμά του διὰ νὰ σηκωθῇ ὁ κατάκοιτος, ἐθεώρησεν ὅτι εἶναι περιττὸν νὰ τὸν μεταφέρῃ ἐκεῖ.

Τί ἔκανε λοιπὸν ὁ Ἰησοῦς; Αὐτὸ ποὺ δὲν ἔκανε πουθενὰ ἀλλοῦ προηγουμένως τὸ κάμνει ἐδῶ. Διότι πάντοτε ἠκολούθει τὴν παράκλησιν αὐτῶν ποὺ τὸν ἱκέτευαν, ἐδῶ ὅμως καὶ προχωρεῖ βιαστικὰ καὶ δὲν ὑπόσχεται μόνον νὰ τὸν θεραπεύσῃ, ἀλλὰ καὶ νὰ μεταβῇ εἰς τὴν οἰκίαν του. Τὸ πράττει δὲ αὐτὸ διὰ νὰ γνωρίσωμεν τὴν ἀρετὴν τοῦ ἑκατοντάρχου. Διότι ἐὰν δὲν ὑπέσχετο αὐτό, ἀλλ' ἔλεγε 'Πή-

παῖς σου· οὐδὲν ἂν τούτων ἔγνωμεν. Τοῦτο γοῦν καὶ ἐπὶ τῆς Φοινικίσσης ἀπεναντίας ἐποίησε γυναικός. Ἐνταῦθα μὲν γὰρ μὴ καλούμενος εἰς τὴν οἰκίαν, αὐτεπάγγελτός φησιν ἥξειν, ἵνα μάθῃς τοῦ ἑκατοντάρχου τὴν πίστιν καὶ τὴν πολ-
5 *λὴν ταπεινοφροσύνην· ἐπὶ δὲ τῆς Φοινικίσσης καὶ ἀρνεῖται τὴν δόσιν, καὶ ἐπιμένουσαν ἐξαπορεῖ. Σοφὸς γὰρ ὢν καὶ εὐμήχανος ἰατρός, διὰ τῶν ἐναντίων τὰ ἐναντία κατασκευάζειν οἶδε. Καὶ ἐνταῦθα μὲν διὰ τῆς αὐτεπαγγέλτου παρουσίας, ἐκεῖ δὲ διὰ τῆς ἐπιτεταμένης ὑπερθέσεως καὶ παραι-*
10 *τήσεως τὴν πίστιν ἐκκαλύπτει τῆς γυναικός. Οὕτω καὶ ἐπὶ τοῦ Ἀβραὰμ ποιεῖ λέγων· «Οὐ μὴ κρύψω ἀπὸ τοῦ παιδός μου Ἀβραάμ»· ἵνα μάθῃς ἐκείνου τὴν φιλοστοργίαν, καὶ τὴν ὑπὲρ Σοδόμων πρόνοιαν. Καὶ ἐπὶ τοῦ Λὼτ ἀρνοῦνται εἰσελθεῖν πρὸς αὐτὸν οἱ πεμφθέντες, ἵνα τοῦ δικαίου μάθῃς τῆς*
15 *φιλοξενίας τὸ μέγεθος.*

Τί οὖν ὁ ἑκατόνταρχός φησιν; «Οὐκ εἰμὶ ἱκανός, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς». Ἀκούσωμεν ὅσοι τὸν Χριστὸν μέλλομεν ὑποδέχεσθαι· δυνατὸν γὰρ αὐτὸν ὑποδέχεσθαι καὶ νῦν. Ἀκούσωμεν καὶ ζηλώσωμεν, καὶ μετὰ τοσαύτης
20 *δεξώμεθα τῆς σπουδῆς· καὶ γὰρ ὅταν πένητα ὑποδέξῃ πεινῶντα καὶ γυμνόν, ἐκεῖνον ὑπεδέξω καὶ ἔθρεψας. «Ἀλλ' εἰπὲ λόγῳ μόνον, καὶ ἰαθήσεται ὁ παῖς μου». Ὅρα καὶ τοῦτον, ὥσπερ τὸν λεπρόν, τὴν προσήκουσαν περὶ αὐτοῦ δόξαν ἔχοντα. Οὐδὲ γὰρ οὗτος εἶπε, παρακάλεσον· οὐδὲ εἶπεν,*
25 *εὖξαι καὶ ἱκέτευσον· ἀλλ' ἐπίταξον μόνον. Εἶτα δεδοικὼς μὴ μετριάζων ἐνανεύσῃ, φησί· «Καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν, ἔχων ὑπ' ἐμαυτὸν στρατιώτας· καὶ λέγω τού-*

---

4. Μάρκ. 7, 25-30.
5. Γεν. 18, 17.
6. Πρβλ. Γεν. 18, 23 ἑ.
7. Πρβλ. Γεν. 19, 1 ἑ.

γαινε, θὰ θεραπευθῇ ὁ δοῦλός σου', δὲν θὰ ἐγνωρίζαμεν τίποτε ἀπὸ αὐτά. Αὐτὸ βεβαίως ἔπραξε καὶ εἰς τὴν περίπτωσιν τῆς Φοινικίσσης γυναικὸς ποὺ ἐνήργησεν ὅλως ἀντιθέτως. Διότι ἐδῶ μὲν ἂν καὶ δὲν προσκαλεῖται εἰς τὴν οἰκίαν, λέγει μόνος του ὅτι θὰ μεταβῇ, διὰ νὰ πληροφορηθῇς τὴν πίστιν τοῦ ἑκατοντάρχου καὶ τὴν μεγάλην του ταπεινοφροσύνην· εἰς τὴν περίπτωσιν ὅμως τῆς Φοινικίσσης καὶ ἀρνεῖται τὴν θεραπείαν καὶ ἀπορεῖ ποὺ ἐπιμένει[4]. Διότι ὡσὰν σοφὸς καὶ ἐπινοητικὸς ἰατρὸς ποὺ εἶναι, γνωρίζει νὰ πράττῃ τὰ ἀντίθετα ἀπὸ τὰ ἀντίθετα. Καὶ ἐδῶ μὲν μὲ τὴν αὐτεπάγγελτον παρουσίαν του, ἐκεῖ δὲ ἀποκαλύπτει τὴν πίστιν τῆς γυναικὸς μὲ τὴν παρατεταμένην ἐπιμονὴν καὶ ἔνθερμον παράκλησιν. Ἔτσι ἐνεργεῖ καὶ εἰς τὴν περίπτωσιν τοῦ Ἀβραὰμ λέγων, «Δὲν θὰ τὸ ἀποκρύψω ἀπὸ τὸν δοῦλόν μου Ἀβραάμ»[5], διὰ νὰ πληροφορηθῇς τὴν φιλοστοργίαν ἐκείνου καὶ τὴν πρόνοιάν του ὑπὲρ τῶν Σοδόμων[6]. Καὶ εἰς τὴν περίπτωσιν τοῦ Λὼτ οἱ ἀποσταλέντες ἀρνοῦνται νὰ εἰσέλθουν εἰς τὸν οἶκόν του, διὰ νὰ γνωρίσῃς τὸ μέγεθος τῆς φιλοξενίας τοῦ δικαίου ἐκείνου[7].

Τί λέγει λοιπὸν ὁ ἑκατόνταρχος; «Δὲν εἶμαι ἄξιος νὰ εἰσέλθῃς εἰς τὴν οἰκίαν μου». Ἂς τὸ ἀκούσωμεν ὅσοι πρόκειται νὰ ὑποδεχθῶμεν τὸν Χριστόν· διότι εἶναι δυνατὸν νὰ τὸν ὑποδεχθῶμεν καὶ σήμερα. Ἂς τὸ ἀκούσωμεν καὶ ἂς γίνωμεν ζηλωταί του καὶ ἂς τὸ δεχθῶμεν μὲ τὴν ἰδίαν πίστιν· καθόσον ὅταν ὑποδέχεσαι πτωχὸν ποὺ πεινᾷ καὶ εἶναι γυμνός, εἶναι ὡσὰν νὰ ὑποδέχεσαι καὶ φιλοξενεῖς ἐκεῖνον. «Ἀλλ' εἰπὲ μόνον ἕνα λόγον καὶ θὰ θεραπευθῇ ὁ δοῦλός μου». Πρόσεξε ὅτι καὶ αὐτός, ὅπως ἀκριβῶς καὶ ὁ λεπρός, ἔχει τὴν ἁρμόζουσαν γνώμην δι' αὐτόν. Διότι οὔτε αὐτὸς εἶπε 'Παρακάλεσε τὸν Θεόν', οὔτε εἶπε, 'Προσευχήσου καὶ ἱκέτευσέ τον', ἀλλὰ 'Πρόσταξε μόνον'. Ἔπειτα φοβούμενος μήπως ἀρνηθῇ μετριάζων τὴν παράκλησίν του λέγει· «Διότι καὶ ἐγὼ ποὺ εἶμαι ἄνθρωπος καὶ εὑρίσκομαι ὑπὸ τὴν ἐξουσίαν ἄλλων, ἔχω ὑπὸ τὰς διαταγάς μου στρατιώτας, καὶ

τῳ, πορεύθητι, καὶ πορεύεται· καὶ τῷ ἄλλῳ, ἔρχου, καὶ ἔρχεται· καὶ τῷ δούλῳ μου, ποίησον τοῦτο, καὶ ποιεῖ».

Καὶ τί τοῦτο, φησίν, εἰ ὁ ἑκατοντάρχης ὑπώπτευσεν οὕτω; Τὸ γὰρ ζητούμενον, εἰ ὁ Χριστὸς τοῦτο ἀπεφήνατο 5 καὶ ἐκύρωσε. Καλῶς καὶ σφόδρα λέγεις συνετῶς. Οὐκοῦν ἴδωμεν τοῦτο αὐτό· καὶ εὑρήσομεν, ὅπερ ἐπὶ τοῦ λεπροῦ γέγονε, τοῦτο καὶ ἐνταῦθα γεγενημένον. Ὥσπερ γὰρ ὁ λεπρὸς εἶπεν, «Ἐὰν θέλῃς» (καὶ οὐκ ἀπὸ τοῦ λεπροῦ διϊσχυριζόμεθα μόνον περὶ τῆς ἐξουσίας, ἀλλὰ καὶ ἀπὸ τῆς τοῦ 10 Χριστοῦ φωνῆς· οὐ γὰρ μόνον οὐ κατέλυσε τὴν ὑπόνοιαν, ἀλλὰ καὶ ἐβεβαίωσε μειζόνως, ὃ περιττὸν ἦν εἰπεῖν προσθείς, καὶ εἰπών, «Θέλω, καθαρίσθητι», ἵνα κυρώσῃ τὸ δόγμα τὸ ἐκείνου), οὕτω δὴ καὶ ἐνταῦθα σκοπεῖν δίκαιον, εἴ τι τοιοῦτον γέγονε· καὶ γὰρ εὑρήσομεν τὸ αὐτὸ τοῦτο πάλιν συμ15 βεβηκός. Τοιαῦτα γὰρ τοῦ ἑκατοντάρχου εἰρηκότος καὶ μαρτυρήσαντος ἐξουσίαν τοσαύτην, οὐ μόνον οὐκ ἐνεκάλεσεν, ἀλλὰ καὶ ἀπεδέξατο, καὶ πλέον τι ἐποίησεν ἢ ἀπεδέξατο. Οὐδὲ γὰρ εἶπεν ὁ εὐαγγελιστής, ὅτι ἐπῄνεσε τὸ εἰρημένον μόνον, ἀλλὰ καὶ ἐπίτασιν δηλῶν τοῦ ἐπαίνου φησίν, ὅτι καὶ 20 ἐθαύμασε· καὶ οὐδὲ ἁπλῶς ἐθαύμασεν, ἀλλὰ καὶ τοῦ δήμου παντὸς παρόντος, καὶ τοῖς ἄλλοις ὑπόδειγμα δέδωκεν, ὥστε αὐτὸν ζηλοῦν.

Ὁρᾷς πῶς ἕκαστος τῶν μαρτυρησάντων αὐτῷ ἐξουσίαν θαυμάζεται; Καὶ ἐξεπλήττοντο οἱ ὄχλοι ἐπὶ τῇ διδα25 χῇ αὐτοῦ, ὅτι ὡς ἐξουσίαν ἔχων ἐδίδασκε· καὶ οὐ μόνον οὐκ ἐνεκάλεσεν, ἀλλὰ καὶ λαβὼν αὐτοὺς κατῆλθε, καὶ δι' ὧν

---

8. Ματθ. 7, 28-29.

λέγω εἰς αὐτὸν 'Πήγαινε', καὶ πηγαίνει, καὶ εἰς τὸν ἄλλον '"Ελα', καὶ ἔρχεται, καὶ εἰς τὸν δοῦλόν μου 'Κάμε αὐτό', καὶ τὸ κάνει».

Καὶ τί σημασία ἔχει αὐτό, θὰ εἰπῇ κάποιος, ἐὰν ὁ ἑκατόνταρχος περιέγραψεν αὐτὸ μὲ τέτοιαν παρομοίωσιν; Διότι αὐτὸ ποὺ ἐρευνῶμεν εἶναι ἐὰν ὁ Χριστὸς τὸ ἀπεδέχθη αὐτὸ καὶ τὸ ἐπεκύρωσεν. Εἶναι ὀρθὸν καὶ πολὺ φρόνιμον αὐτὸ ποὺ λέγεις. Λοιπὸν ἂς τὸ ἐρευνήσωμεν αὐτό, καὶ θὰ διαπιστώσωμεν αὐτὸ ἀκριβῶς ποὺ συνέβη εἰς τὴν περίπτωσιν τοῦ λεπροῦ, αὐτὸ νὰ ἔχῃ συμβῇ καὶ ἐδῶ. Διότι ὅπως ἀκριβῶς ὁ λεπρὸς εἶπεν «Ἐὰν θέλῃς» (καὶ δὲν βασιζόμεθα μόνον εἰς τὰ λόγια τοῦ λεπροῦ σχετικῶς μὲ τὴν ἐξουσίαν τοῦ Χριστοῦ, ἀλλὰ καὶ εἰς τοὺς λόγους τοῦ Χριστοῦ· διότι ὄχι μόνον δὲν ἀπέρριψε τὴν ὑπόνοιάν του, ἀλλὰ καὶ τὴν ἐπεβεβαίωσε περισσότερον, μὲ τὸ νὰ προσθέσῃ αὐτὸ ποὺ ἦτο περιττὸν νὰ εἰπῇ, λέγων τὸ «Θέλω, καθαρίσου», διὰ νὰ ἐπικυρώσῃ τὴν πίστιν ἐκείνου), ἔτσι καὶ ἐδῶ, βέβαια, εἶναι δίκαιον νὰ ἐξετάσωμεν ἐὰν συνέβη κάτι παρόμοιον· καὶ πράγματι θὰ διαπιστώσωμεν νὰ ἔχῃ συμβῇ τὸ ἴδιο πρᾶγμα. Διότι ἀφοῦ εἶπεν ὁ ἑκατόνταρχος αὐτὰ τὰ λόγια καὶ παρεδέχθη τόσην ἐξουσίαν, ὄχι μόνον δὲν τὸν ἐκατηγόρησεν, ἀλλὰ καὶ τὸν ἐπεδοκίμασε καὶ ἔκαμε κάτι ἐπὶ πλέον ἀπὸ τὴν ἐπιδοκιμασίαν. Διότι δὲν εἶπεν ὁ εὐαγγελιστής, ὅτι μόνον ἐπήνεσε τὰ λόγια του, ἀλλὰ δηλώνων καὶ ἐπέκτασιν τοῦ ἐπαίνου λέγει ὅτι καὶ ἐθαύμασε· καὶ δὲν ἐθαύμασεν ἁπλῶς ἀλλὰ παρουσίᾳ ὁλοκλήρου τοῦ πλήθους τὸν παρουσίασε καὶ εἰς τοὺς ἄλλους ὡς ὑπόδειγμα, ὥστε νὰ τὸν μιμηθοῦν.

Βλέπεις πῶς θαυμάζεται ὁ καθένας ἀπὸ αὐτοὺς ποὺ ὡμολόγησαν τὴν ἐξουσίαν του; Καὶ κατελαμβάνετο ἀπὸ ἔκπληξιν τὸ πλῆθος μὲ τὴν διδασκαλίαν του, διότι ἐδίδασκεν ὡς ἔχων ἰδίαν ἐξουσίαν[8] καὶ ὄχι μόνον δὲν τοὺς ἐπέπληξε δι' αὐτὴν τὴν γνώμην των, ἀλλὰ καὶ ἀφοῦ ἔλαβεν αὐτοὺς κατέβη ἀπὸ τὸ ὄρος καὶ μὲ τὸν τρόπον μὲ τὸν ὁποῖον

τὸν λεπρὸν ἐκάθηρεν, ἐκύρωσεν αὐτῶν τὴν γνώμην. Πάλιν ἔλεγεν ἐκεῖνος· «Ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι»· καὶ οὐ μόνον οὐκ ἐπετίμησεν, ἀλλὰ καὶ θεραπεύων αὐτὸν οὕτως, ὡς ἐκεῖνος εἶπεν, ἐκάθηρε. Πάλιν ὁ ἑκατοντάρχης οὗτός
5 φησιν· «Εἰπὲ λόγῳ μόνον καὶ ἰαθήσεται ὁ παῖς μου»· καὶ θαυμάζων αὐτὸν ἔλεγεν· «Οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον».

2. Ἵνα δὲ καὶ ἐκ τοῦ ἐναντίον τοῦτο μάθῃς· ἐπειδὴ ἡ Μάρθα τούτων οὐδὲν εἶπεν, ἀλλὰ τοὐναντίον, ὅτι «Ὅσα ἂν
10 αἰτήσῃ τὸν Θεόν, δώσει σοι», οὐ μόνον οὐκ ἐπῃνέθη, καίτοι καὶ γνώριμος οὖσα καὶ ἀγαπητὴ καὶ τῶν σφόδρα περὶ αὐτὸν ἐσπουδακότων, ἀλλὰ καὶ ἐπετιμήθη καὶ διωρθώθη παρ' αὐτοῦ, ὡς οὐ καλῶς εἰρηκυῖα. Καὶ γὰρ ἔλεγεν αὐτῇ· «Οὐκ εἶπόν σοι, ὅτι ἐὰν πιστεύσῃς, ὄψει τὴν δόξαν τοῦ Θεοῦ;»,
15 ὡς μηδέπω πιστευσάσῃ ἐγκαλῶν. Καὶ πάλιν, ἐπειδὴ ἔλεγεν, «Ὅσα ἂν αἰτήσῃ τὸν Θεόν, δώσει σοι», ἀπάγων τῆς τοιαύτης ὑπονοίας αὐτήν, καὶ διδάσκων ὅτι παρ' ἑτέρου οὐ δέεται λαβεῖν, ἀλλ' αὐτός ἐστιν ἡ πηγὴ τῶν ἀγαθῶν, φησίν· «Ἐγώ εἰμι ἡ ἀνάστασις καὶ ἡ ζωή»· τουτέστιν, οὐκ
20 ἀναμένω δέξασθαι ἐνέργειαν, ἀλλ' οἴκοθεν πάντα ἐργάζομαι. Ὅθεν τὸν ἑκατοντάρχην καὶ θαυμάζει καὶ τοῦ δήμου παντὸς προτίθησι καὶ τῇ τῆς βασιλείας δόσει τιμᾷ καὶ τοὺς ἄλλους εἰς τὸν αὐτὸν ζῆλον καλεῖ. Καὶ ἵνα μάθῃς ὅτι διὰ τοῦτο ταῦτα εἶπεν, ἵνα καὶ τοὺς ἄλλους παιδεύσῃ πιστεύειν
25 οὕτως, ἄκουσον τοῦ εὐαγγελιστοῦ τὴν ἀκρίβειαν, πῶς αὐτὸ ᾐνίξατο· «Στραφεὶς γάρ», φησίν, «ὁ Ἰησοῦς εἶπε τοῖς ἀκολουθοῦσιν αὐτῷ· οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον». Ἆρα τὸ μεγάλα περὶ αὐτοῦ φαντάζεσθαι, τοῦτο μά-

---

9. Ἰω. 11, 22.
10. Ἰω. 11, 40.
11. Ἰω. 11, 25.

ἐκαθάρισε τὸν λεπρὸν ἐπεβεβαίωσε τὴν πίστιν αὐτῶν. Ὁ δὲ λεπρός, πάλιν, ἔλεγεν· «Ἐὰν θέλῃς, ἠμπορεῖς νὰ μὲ καθαρίσῃς»· καὶ ὄχι μόνον δὲν τὸν ἐπετίμησεν, ἀλλὰ καὶ θεραπεύων αὐτὸν τὸν ἐκαθάρισεν ἔτσι ὅπως εἶπεν ἐκεῖνος. Ὁ ἑκατόνταρχος, πάλιν, λέγει τὰ ἑξῆς· «Εἰπὲ μόνον ἕνα λόγον καὶ θὰ θεραπευθῇ ὁ δοῦλός μου», ὁ δὲ Ἰησοῦς θαυμάζων αὐτὸν ἔλεγεν· «Οὔτε μεταξὺ τῶν Ἰσραηλιτῶν εὗρον τόσον μεγάλην πίστιν».

2. Καὶ διὰ νὰ διαπιστώσῃς τὸ ἴδιο πρᾶγμα καὶ ἀπὸ ἀντίθετον περίπτωσιν πρόσεξε τοῦτο· Ἐπειδὴ ἡ Μάρθα δὲν εἶπε τίποτε τὸ παρόμοιον, ἀλλ' ἀντιθέτως εἶπεν ὅτι «Ὅσα ἤθελες ζητήσει ἀπὸ τὸν Θεὸν θὰ σοῦ τὰ δώσῃ»[9], ὄχι μόνον δὲν ἐπῃνέθη, μολονότι καὶ γνωστὴ ἦτο καὶ ἀγαπητὴ καὶ ἀπὸ τοὺς πλέον ἀφωσιωμένους μαθητάς του, ἀλλὰ καὶ ἐπετιμήθη καὶ διωρθώθη ἀπὸ αὐτόν, διότι δὲν εἶχεν ὁμιλήσει ὀρθά. Καθόσον ἔλεγε πρὸς αὐτήν· «Δὲν σοῦ εἶπα, ὅτι ἐὰν πιστεύσῃς θὰ ἴδῃς τὴν δόξαν τοῦ Θεοῦ;»[10], ἐπιπλήττων αὐτὴν ὡσὰν ἀκόμη νὰ μὴ εἶχε πιστεύσει. Καὶ ἀκόμη ἐπειδὴ ἔλεγεν, «Ὅσα ἐὰν ἤθελες ζητήσει ἀπὸ τὸν Θεὸν θὰ σοῦ τὰ δώσῃ», ἀπομακρύνων αὐτὴν ἀπὸ τὴν ἀντίληψιν αὐτοῦ τοῦ εἴδους καὶ διδάσκων ὅτι δὲν ἔχει ἀνάγκην νὰ λάβῃ ἀπὸ ἄλλον, ἀλλ' ὅτι αὐτὸς εἶναι ἡ πηγὴ τῶν ἀγαθῶν λέγει· «Ἐγὼ εἶμαι ἡ ἀνάστασις καὶ ἡ ζωή»[11]· δηλαδὴ 'Δὲν περιμένω ἀπὸ ἄλλον νὰ δεχθῶ ἐνέργειαν, ἀλλὰ κατ' ἰδίαν δύναμιν πράττω τὰ πάντα'. Διὰ τοῦτο καὶ θαυμάζει τὸν ἑκατοντάρχην, καὶ τὸν παρουσιάζει εἰς ὅλον τὸ πλῆθος, καὶ τὸν τιμᾷ μὲ τὴν ὑπόσχεσιν ὅτι θὰ τοῦ δώσῃ τὴν βασιλείαν, καὶ τοὺς ἄλλους προσκαλεῖ νὰ ἐπιδείξουν τὸν ἴδιον ζῆλον. Καὶ διὰ νὰ πληροφορηθῇς ὅτι μ' αὐτὸν τὸν σκοπὸν τὰ εἶπε αὐτά, διὰ νὰ διδάξῃ καὶ τοὺς ἄλλους δηλαδὴ νὰ πιστεύουν ὁμοίως, ἄκουσε τοῦ εὐαγγελιστοῦ τοὺς καταλλήλους λόγους διὰ τῶν ὁποίων ὑπῃνίχθη αὐτό· διότι λέγει «Στραφεὶς ὁ Ἰησοῦς εἶπεν εἰς αὐτοὺς ποὺ τὸν ἀκολουθοῦσαν· οὔτε μεταξὺ τῶν Ἰσραηλιτῶν δὲν εὗρον τόσην πίστιν». Ἐπομένως

λιστα πίστεως, καὶ βασιλείας καὶ τῶν ἄλλων πρόξενον ἀγαθῶν. Οὐδὲ γὰρ μέχρι λόγων αὐτῷ γέγονεν ὁ ἔπαινος, ἀλλὰ καὶ τὸν νοσοῦντα ὑγιῆ ἀπέδωκεν ἀντὶ τῆς πίστεως καὶ λαμπρὸν αὐτῷ πλέκει τὸν στέφανον καὶ μεγάλας ἐπαγ-
5 *γέλλεται δωρεάς, οὕτω λέγων· «Πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσι καὶ ἀνακλιθήσονται εἰς τοὺς κόλπους Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ· οἱ δὲ υἱοὶ τῆς βασιλείας ἐκβληθήσονται ἔξω». Ἐπειδὴ γὰρ πολλὰ ἐπεδείξατο θαύματα, μετὰ πλείονος αὐτοῖς λοιπὸν διαλέγεται παρρησίας. Εἶ-*
10 *τα, ἵνα μή τις νομίσῃ κολακείας εἶναι τὰ ῥήματα, ἀλλὰ μάθωσιν ἅπαντες, ὅτι οὕτω διέκειτο ὁ ἑκατοντάρχης, φησίν· «Ὕπαγε· ὡς ἐπίστευσας γενηθήτω σοι». Καὶ εὐθέως τὸ ἔργον ἠκολούθησε μαρτυροῦν τῇ προαιρέσει. «Καὶ ἰάθη ὁ παῖς αὐτοῦ ἀπὸ τῆς ὥρας ἐκείνης». Ὅπερ καὶ ἐπὶ τῆς*
15 *Συροφοινικίσσης συνέβη· καὶ γὰρ ἐκείνη φησίν· «Ὦ γύναι, μεγάλη σου ἡ πίστις· γενηθήτω σοι ὡς θέλεις. Καὶ ἰάθη ἡ θυγάτηρ αὐτῆς».*

Ἐπειδὴ δὲ καὶ ὁ Λουκᾶς τοῦτο τὸ θαῦμα ἀπαγγέλλων παρεντίθησιν ἕτερα πλείονα, ἃ δοκεῖ διαφωνίαν ἐμφαί-
20 *νειν, ἐπιλῦσαι καὶ ταῦτα ἀναγκαῖον ὑμῖν. Τί οὖν φησιν ὁ Λουκᾶς; Ἔπεμψε πρεσβυτέρους τῶν Ἰουδαίων πρὸς αὐτόν, παρακαλῶν αὐτὸν ἐλθεῖν. Ὁ δὲ Ματθαῖός φησιν, ὅτι αὐτὸς προσελθὼν ἔλεγεν, ὅτι οὐκ εἰμὶ ἄξιος. Καί τινες μέν φασιν, ὅτι οὐκ ἔστιν οὗτος ἐκεῖνος, εἰ καὶ πολλὰ ἐοικότα*
25 *ἔχει. Περὶ μὲν γὰρ ἐκείνου φησίν, ὅτι «Καὶ τὴν συναγωγὴν ἡμῶν ἔκτισε, καὶ τὸ ἔθνος ἀγαπᾷ», περὶ δὲ τούτου αὐτός φησιν ὁ Ἰησοῦς· «Οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον». Καὶ ἐπ' ἐκείνου μὲν οὐκ εἶπεν, «Ὅτι πολλοὶ ἥξουσιν*

---

12. Ματθ. 15, 28.
13. Προβλ. Λουκᾶ 7, 1-10
14. Προβλ. Ματθ. 8, 5-13. Λουκᾶ 7, 1-10.
15. Λουκᾶ 7, 3.
16. Προβλ. Ματθ. 8, 5.
17. Λουκᾶ 7, 5.

τὸ νὰ σκέπτεται κανεὶς δι' αὐτὸν μεγάλα πράγματα, αὐτὸ κατ' ἐξοχὴν εἶναι ἀπόδειξις τῆς πίστεως καὶ ἀφορμὴ νὰ κληρονομήσῃ τὴν βασιλείαν καὶ τὰ ἄλλα ἀγαθὰ τοῦ οὐρανοῦ. Διότι ὁ ἔπαινός του διὰ τὸν ἑκατόνταρχον δὲν ἐσταμάτησε μόνον εἰς τὰ λόγια, ἀλλὰ ἀντὶ τῆς πίστεως καὶ τὸν ἀσθενῆ τὸν παρέδωσεν ὑγιῆ, καὶ πλέκει δι' αὐτὸν λαμπρὸν στέφανον καὶ τοῦ ὑπόσχεται μεγάλας δωρεὰς λέγων τὰ ἑξῆς· «Πολλοὶ θὰ ἔλθουν ἀπὸ τὴν ἀνατολὴν καὶ τὴν δύσιν καὶ θὰ καθίσουν εἰς τοὺς κόλπους τοῦ Ἀβραὰμ καὶ τοῦ Ἰσαὰκ καὶ τοῦ Ἰακώβ, οἱ υἱοὶ ὅμως τῆς βασιλείας θὰ πεταχθοῦν ἔξω». Ἐπειδὴ λοιπὸν ἔκανε πολλὰ θαύματα, εἰς τὴν συνέχειαν τοὺς διδάσκει μὲ μεγαλυτέραν παρρησίαν. Ἔπειτα, διὰ νὰ μὴ νομίσῃ κανεὶς ὅτι αὐτὰ εἶναι λόγια κολακείας, ἀλλὰ διὰ νὰ γνωρίσουν ὅλοι γενικῶς ὅτι εἶχε τοιαύτην ψυχικὴν διάθεσιν λέγει· «Πήγαινε· ἂς σοῦ γίνῃ ὅπως ἐπίστευσες». Καὶ ἀμέσως ἐπηκολούθησεν ἡ πρᾶξις τῆς θεραπείας ἐπιβεβαιώνουσα τὴν προαίρεσιν αὐτοῦ. «Καὶ ἀπὸ τὴν στιγμὴν ἐκείνην ἐθεραπεύθη ὁ δοῦλός του». Πρᾶγμα ποὺ ἀκριβῶς συνέβη καὶ εἰς τὴν Συροφοινίκισσαν· καθόσον λέγει καὶ εἰς ἐκείνην· «Γυναῖκα, ἡ πίστις σου εἶναι μεγάλη· ἂς σοῦ γίνῃ ὅπως ἐπιθυμεῖς. Καὶ ἐθεραπεύθη ἡ θυγατέρα της»[12].

Ἐπειδὴ ὅμως καὶ ὁ Λουκᾶς[13] περιγράφων αὐτὸ τὸ θαῦμα προσθέτει καὶ πολλὰ ἄλλα, τὰ ὁποῖα φαίνεται νὰ διαφωνοῦν, εἶναι ἀνάγκη νὰ σᾶς ἐξηγήσω καὶ αὐτά[14]. Τί λέγει λοιπὸν ὁ Λουκᾶς; Ἀπέστειλε ὁ ἑκατόνταρχος Ἰουδαίους πρεσβυτέρους πρὸς αὐτόν, καὶ τὸν παρεκάλει νὰ ἔλθῃ[15]. Ὁ δὲ Ματθαῖος λέγει, ὅτι ὁ ἴδιος ἀφοῦ προσῆλθεν ἔλεγεν, ὅτι «Δὲν εἶμαι ἄξιος»[16]. Καὶ μερικοὶ μὲν λέγουν, ὅτι αὐτὸς δὲν εἶναι ἴδιος μὲ ἐκεῖνον ἂν καὶ ἔχει πολλὰς ὁμοιότητας. Διότι δι' ἐκεῖνον λέγει, ὅτι «Καὶ τὴν συναγωγήν μας ἔκτισε καὶ τὸ ἔθνος ἀγαπᾷ»[17], δι' αὐτὸν ὅμως ὁ ἴδιος ὁ Ἰησοῦς λέγει· «Οὔτε μεταξὺ τῶν Ἰσραηλιτῶν εὗρον τόσην πίστιν». Καὶ εἰς τὴν περίπτωσιν ἐκείνου μὲν δὲν εἶπεν ὅτι «Πολλοὶ θὰ

ἀπὸ ἀνατολῶν», ὅθεν εἰκὸς Ἰουδαῖον αὐτὸν εἶναι. Τί οὖν ἐροῦμεν; Ὅτι αὕτη μὲν εὔκολος ἡ λύσις· τὸ δὲ ζητούμενον, εἰ ἀληθής.

Ἐμοὶ δοκεῖ οὗτος ἐκεῖνος εἶναι. Πῶς οὖν, φησίν,
5 *ὁ μὲν Ματθαῖος λέγει, ὅτι αὐτὸς εἶπεν, «Οὐκ εἰμὶ ἄξιος, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς»· ὁ δὲ Λουκᾶς, ὅτι ἔπεμψεν ἵνα ἔλθῃ; Ἐμοὶ δοκεῖ τὴν κολακείαν τὴν Ἰουδαϊκὴν αἰνίττεσθαι ἡμῖν ὁ Λουκᾶς, καὶ ὅτι οἱ ἐν συμφορᾷ ἀκατάστατοι ὄντες πολλὰ μεταβουλεύονται. Εἰκὸς γὰρ τὸν ἑκατόνταρχον*
10 *βουλόμενον ἀπελθεῖν κωλυθῆναι ὑπὸ τῶν Ἰουδαίων, κολακευόντων αὐτὸν καὶ λεγόντων, ὅτι ἡμεῖς ἀπελθόντες ἄξομεν αὐτόν. Ὅρα γοῦν αὐτῶν καὶ τὴν παράκλησιν κολακείας οὖσαν μεστήν. «Ἀγαπᾷ γὰρ τὸ ἔθνος ἡμῶν», φησί, «καὶ τὴν συναγωγὴν αὐτὸς ᾠκοδόμησεν»· οὐδὲ ἴσασιν ὅθεν ἐπαινοῦσι*
15 *τὸν ἄνδρα. Δέον γὰρ εἰπεῖν, ὅτι ἐβουλήθη μὲν αὐτὸς ἐλθεῖν καὶ παρακαλέσαι, ἡμεῖς δὲ ἐκωλύσαμεν, τὴν συμφορὰν ἰδόντες καὶ τὸ πτῶμα τὸ ἐπὶ τῆς οἰκίας κείμενον, καὶ οὕτω παραστῆσαι τῆς πίστεως αὐτοῦ τὸ μέγεθος· τοῦτο μὲν οὐ λέγουσιν· οὐδὲ γὰρ ἤθελον διὰ τὸ βασκαίνειν ἐκκαλύψαι τοῦ*
20 *ἀνδρὸς τὴν πίστιν· ἀλλ' ᾑροῦντο μᾶλλον συσκιάσαι τὴν ἀρετήν, ὑπὲρ οὗ τὴν ἱκεσίαν ἦλθον ποιησόμενοι, ἵνα μὴ δόξῃ μέγας τις εἶναι ὁ παρακαλούμενος, ἢ τὴν πίστιν ἀνακηρύξαντες τὴν ἐκείνου, ἀνύσαι τοῦτο, δι' ὅπερ ἦσαν ἀφιγμένοι. Ἱκανὸν γὰρ ἡ βασκανία πηρῶσαι διάνοιαν. Ἀλλ' ὁ τὰ ἀ-*
25 *πόρρητα εἰδὼς καὶ ἀκόντων αὐτῶν ἐκεῖνον ἀνεκήρυξε. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, ἄκουσον αὐτοῦ τοῦ Λουκᾶ πάλιν αὐτὸ ἑρμηνεύοντος. Αὐτὸς γὰρ οὕτω φησίν, ὅτι «Οὐ μακρὰν ἀπέχοντος αὐτοῦ ἔπεμψε λέγων· ὦ Κύριε, μὴ σκύλλου· οὐ*

---

18. Πρβλ. Λουκᾶ 7, 3.
19. Λουκᾶ 7, 5.

ἔλθουν ἀπὸ τὴν ἀνατολήν», πρᾶγμα ποὺ σημαίνει ὅτι ἐκεῖνος ἦτο Ἰουδαῖος. Τί λοιπὸν θὰ εἴπουμεν; Ὅτι αὐτὴ μὲν εἶναι εὔκολος λύσις, παραμένει ὅμως νὰ ἐξετάσωμεν ἐὰν αὐτὴ εἶναι ἀληθινή.

Ἐγὼ νομίζω ὅτι αὐτὸς εἶναι ἴδιος μὲ ἐκεῖνον. Μὰ τότε, θὰ ἔλεγε κανείς, διατί ὁ Ματθαῖος λέγει, ὅτι αὐτὸς εἶπεν «Δὲν εἶμαι ἄξιος νὰ εἰσέλθῃς εἰς τὴν οἰκίαν μου», ὁ δὲ Λουκᾶς ὅτι ἔστειλε καὶ τὸν ἐκάλεσε νὰ ἔλθῃ εἰς τὴν οἰκίαν του[18]; Ἐγὼ νομίζω ὅτι ὁ Λουκᾶς ὑπονοεῖ τὴν κολακείαν τῶν Ἰουδαίων καὶ ὅτι αὐτοὶ ποὺ ζοῦν ὑπὸ τὴν σκιὰν κάποιας συμφορὰς εὐκόλως ἀλλάσσουν γνώμην. Διότι ἦτο φυσικὸν ὁ ἑκατόνταρχος νὰ ἠθέλησε νὰ μεταβῇ καὶ νὰ καλέσῃ τὸν Ἰησοῦν καὶ νὰ ἠμποδίσθη ἀπὸ τοὺς Ἰουδαίους ποὺ τὸν ἐκολάκευσαν λέγοντες, ὅτι 'θὰ ὑπάγωμεν ἡμεῖς καὶ θὰ σοῦ φέρωμεν αὐτόν'. Πρόσεξε λοιπὸν ὅτι καὶ ἡ παράκλησίς των εἶναι γεμάτη ἀπὸ κολακείαν. «Διότι ἀγαπᾷ τὸ ἔθνος μας», λέγουν, «καὶ αὐτὸς ἔκτισε τὴν συναγωγήν»[19]. Οὔτε γνωρίζουν διὰ ποῖον λόγον ἐπαινοῦν τὸν ἄνδρα. Διότι τὸ ὀρθὸν ἦτο νὰ εἰποῦν, 'Ἠθέλησε μὲν αὐτὸς νὰ ἔλθῃ καὶ νὰ σὲ παρακαλέσῃ, ἡμεῖς ὅμως τὸν ἠμποδίσαμεν βλέποντες τὴν συμφορὰν καὶ τὸ πτῶμα νὰ εἶναι κατάκοιτον, καὶ ἔτσι νὰ παρουσιάσουν τὸ μέγεθος τῆς πίστεως τοῦ ἑκατοντάρχου. Ὅμως δὲν τὸ λέγουν αὐτό, διότι δὲν ἤθελον νὰ ἀποκαλύψουν τὴν πίστιν τοῦ ἀνδρὸς ἐξ αἰτίας τοῦ φθόνου των, ἀλλ' ἐπροτιμοῦσαν μᾶλλον νὰ ἐπισκιάσουν τὴν ἀρετὴν ἐκείνου πρὸς χάριν τοῦ ὁποίου ἦλθαν νὰ τὸν παρακαλέσουν, διὰ νὰ μὴ φανῇ ὅτι ἦτο κάποιος σπουδαῖος ὁ παρακαλῶν, παρὰ διακηρύσσοντες τὴν πίστιν ἐκείνου νὰ ἐπιτύχουν αὐτὸ διὰ τὸ ὁποῖον εἶχαν ἔλθει. Διότι ὁ φθόνος εἶναι ἱκανὸς νὰ σκοτίσῃ τὸν νοῦν. Ἀλλ' ὁ Κύριος ποὺ γνωρίζει τὰ ἀπόκρυφα ἐπῄνησεν ἐκεῖνον καὶ χωρὶς αὐτοὶ νὰ τὸ θέλουν. Καὶ τὸ ὅτι αὐτὸ εἶναι ἀληθές, ἄκουσε τὸν Λουκᾶν πάλιν ποὺ ἑρμηνεύει αὐτό. Διότι αὐτὸς λέγει τὰ ἑξῆς, ὅτι «Ἐνῷ δὲν εὑρίσκετο μακρυὰ ἔστειλεν ἀνθρώπους καὶ τοῦ εἶπαν· Κύριε,

γάρ εἰμι ἄξιος, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς». Ὅτε γὰρ ἀπηλλάγη τῆς ἐπαχθείας αὐτῶν, τότε πέμπει λέγων· μὴ νομίσῃς ὅτι δι' ὄκνον οὐ παρεγενόμην, ἀλλ' ἐμαυτὸν ἀνάξιον εἶναι ἐνόμισα τοῦ δέξασθαί σε ἐν τῇ οἰκίᾳ.

5 *3. Εἰ δὲ ὁ μὲν Ματθαῖός φησι μὴ διὰ τῶν φίλων, ἀλλὰ δι' ἑαυτοῦ τοῦτο αὐτὸν εἰρηκέναι, οὐδὲν τοῦτο ποιεῖ· τὸ γὰρ ζητούμενον, εἰ τὴν προθυμίαν ἑκάτερος παρέστησε τοῦ ἀνδρός, καὶ ὅτι τὴν προσήκουσαν περὶ τοῦ Χριστοῦ δόξαν εἶχεν. Εἰκὸς δὲ καὶ αὐτὸν μετὰ τὸ πέμψαι τοὺς φίλους*

10 *παραγενόμενον ταῦτα εἰπεῖν. Εἰ δὲ μὴ εἶπε τοῦτο ὁ Λουκᾶς, ἀλλ' οὐδὲ ἐκεῖνο ὁ Ματθαῖος· ὅπερ οὐ μαχομένων ἑαυτοῖς ἦν, ἀλλὰ τὰ ὑπ' ἀλλήλων παραλιμπανόμενα ἀναπληρούντων μᾶλλον. Ὅρα δὲ αὐτοῦ πῶς καὶ ἑτέρωθεν τὴν πίστιν ὁ Λουκᾶς ἀνεκήρυξεν εἰπών, ὅτι ἔμελλε τελευτᾶν ὁ*

15 *παῖς. Ἀλλ' ὅμως οὐδὲ τοῦτο εἰς ἀπόγνωσιν αὐτὸν ἐνέβαλεν, οὐδὲ ἀπελπίσαι παρεσκεύασεν· ἀλλὰ καὶ οὕτως ἤλπισε περιέσεσθαι. Εἰ δὲ ὁ μὲν Ματθαῖός φησι τὸν Χριστὸν εἰρηκέναι, «Οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον», καὶ ταύτῃ δηλοῦν οὐκ ὄντα αὐτὸν Ἰσραηλίτην· ὁ δὲ Λουκᾶς, ὅτι*

20 *ᾠκοδόμησε τὴν συναγωγήν· οὐδὲ τοῦτο ἐναντίον. Δυνατὸν γὰρ καὶ Ἰουδαῖον οὐκ ὄντα, καὶ τὴν συναγωγὴν οἰκοδομῆσαι καὶ τὸ ἔθνος ἀγαπᾶν.*

Σὺ δέ μοι μὴ ἁπλῶς ἐξέταζε τὰ εἰρημένα παρ' αὐτοῦ, ἀλλὰ καὶ τὴν ἀρχὴν αὐτοῦ προστίθει, καὶ τότε ὄψει τὴν ἀ-

25 *ρετὴν τοῦ ἀνδρός. Καὶ γὰρ πολὺς ὁ τῦφος τῶν ἐν ἀρχαῖς ὄντων, καὶ οὐδὲ ἐν συμφοραῖς καταβαίνουσιν. Ὁ γοῦν παρὰ τῷ Ἰωάννῃ κείμενος ἕλκει αὐτὸν πρὸς τὴν οἰκίαν, καί φησι·*

---

20. Λουκᾶ 7, 6.
21. Πρβλ. Λουκᾶ 7, 6.
22. Πρβλ. Λουκᾶ 7, 2.
23. Πρβλ. Λουκᾶ 7, 5.
24. «Κατάβηθι», δηλ. ἀπὸ τὴν Κανᾶ εἰς τὴν Καπερναούμ. Πρβλ. Ἰω. 4, 46-47.

μὴ ἐνοχλῆσαι; διότι δὲν εἶμαι ἄξιος νὰ εἰσέλθῃς εἰς τὸν οἶκον μου»[20]. Ὅταν δηλαδὴ ἀπηλλάγη ἀπὸ τὴν ἐνόχλησιν αὐτῶν τότε στέλλει ἀνθρώπους καὶ τοῦ λέγει· 'Μὴ νομίσῃς ὅτι δὲν ἦλθα λόγῳ ὀκνηρίας, ἀλλ' ἐπειδὴ ἔκρινα τὸν ἑαυτόν μου ὅτι εἶμαι ἀνάξιος νὰ σὲ δεχθῶ εἰς τὴν οἰκίαν μου.

3. Ἐὰν δὲ ὁ μὲν Ματθαῖος λέγῃ ὅτι εἶπεν αὐτὸ εἰς αὐτὸν ὄχι διὰ τῶν φίλων[21] ἀλλ' ὁ ἴδιος αὐτοπροσώπως, αὐτὸ δὲν ἔχει καμμίαν σημασίαν· διότι αὐτὸ ποὺ ἐρευνοῦμεν εἶναι ἐὰν παρουσίασεν ὁ καθένας τὴν προθυμίαν τοῦ ἀνδρὸς καὶ ἐὰν εἶχεν τὴν πρέπουσαν γνώμην περὶ τοῦ Χριστοῦ. Εἶναι φυσικὸν δὲ νὰ ἦλθε καὶ αὐτὸς μετὰ τὴν ἀποστολὴν τῶν φίλων του καὶ νὰ εἶπε αὐτά. Ἐὰν ὅμως δὲν τὸ ἀνέφερεν αὐτὸ ὁ Λουκᾶς, ἀλλ' οὔτε ὁ Ματθαῖος ἐκεῖνο, αὐτὸ δὲν σημαίνει ὅτι ἀντιφάσκουν μεταξύ των, ἀλλὰ μᾶλλον ὅτι συμπληρώνει ὁ ἕνας ὅ,τι παρέλειψεν ὁ ἄλλος. Πρόσεξε δὲ πῶς καὶ μὲ ἄλλον τρόπον διεκήρυξεν τὴν πίστιν αὐτοῦ ὁ Λουκᾶς λέγων, ὅτι ἐπρόκειτο νὰ ἀποθάνῃ ὁ δοῦλός του[22]. Ἀλλ' ὅμως οὔτε αὐτὸ τὸν ὡδήγησεν εἰς ἀπόγνωσιν, οὔτε τὸν ἔκαμε νὰ ἀπελπισθῇ, ἀλλὰ καὶ εἰς αὐτὴν τὴν κατάστασιν ἤλπιζεν ὅτι θὰ ἐπιζήσῃ. Ἐὰν ὅμως ὁ μὲν Ματθαῖος λέγῃ ὅτι ὁ Χριστὸς εἶπεν ὅτι «Οὔτε μεταξὺ τῶν Ἰσραηλιτῶν εὗρον τόσον μεγάλην πίστιν», λόγια ποὺ φανερώνουν ὅτι αὐτὸς δὲν ἦτο Ἰσραηλίτης, ὁ δὲ Λουκᾶς λέγῃ, ὅτι ἔκτισε τὴν συναγωγήν[23], οὔτε αὐτὸ δηλώνει ἀντίφασιν. Διότι ἦτο δυνατὸν καὶ Ἰουδαῖος νὰ μὴ ἦτο καὶ τὴν συναγωγὴν νὰ οἰκοδομήσῃ καὶ τὸ ἔθνος νὰ ἀγαπᾷ.

Σὺ ὅμως, παρακαλῶ, μὴ ἐξετάζῃς ἁπλῶς τὰ λόγια τοῦ ἑκατοντάρχου, ἀλλὰ πρόσθεσε καὶ τὸ ἀξίωμα αὐτοῦ καὶ τότε θὰ ἴδῃς τὴν ἀρετὴν τοῦ ἀνδρός. Καθόσον εἶναι μεγάλη ἡ ἀλαζονεία αὐτῶν ποὺ εἶναι εἰς τὴν ἐξουσίαν καὶ οὔτε εἰς τὰς συμφορὰς ταπεινώνονται. Ὁ ἀναφερόμενος λοιπὸν ἀπὸ τὸν Ἰωάννην ἀξιωματοῦχος φέρει τὸν Κύριον εἰς τὴν οἰκίαν του καὶ λέγει «Κατέβα[24], διότι πρόκειται τὸ παιδί μου

«Κατάβηθι· μέλλει γάρ μου τὸ παιδίον τελευτᾶν». Ἀλλ' οὐχ οὕτως οὗτος· ἀλλὰ καὶ ἐκείνου καὶ τῶν διὰ τοῦ στέγους καθέντων τὴν κλίνην πολὺ βελτίων. Οὐ γὰρ σωματικὴν παρουσίαν ἐπιζητεῖ, οὐδὲ ἐγγὺς τοῦ ἰατροῦ τὸν κάμνοντα 5 *ἤνεγκεν· ὅπερ οὐ μικρὰ φανταζομένου ἦν περὶ αὐτοῦ, ἀλλὰ θεοπρεπῆ τὴν ὑπόνοιαν ἔχοντος· καί φησιν· «Εἰπὲ λόγῳ μόνον». Καὶ οὐδὲ ἐν ἀρχῇ λέγει, «Εἰπὲ λόγῳ», ἀλλὰ μόνον τὸ πάθος διηγεῖται· οὐδὲ γὰρ προσεδόκησεν ἀπὸ πολλῆς ταπεινοφροσύνης εὐθέως ἐπινεύσειν τὸν Χριστόν, καὶ τὴν* 10 *οἰκίαν ἐπιζητήσειν. Διὰ τοῦτο, ὅτε ἤκουσεν αὐτοῦ λέγοντος, «Ἐγὼ ἐλθὼν θεραπεύσω αὐτόν», τότε φησίν, «Εἰπὲ λόγῳ». Καὶ οὐδὲ τὸ πάθος αὐτὸν συνέχεεν, ἀλλὰ καὶ ἐν συμφορᾷ φιλοσοφεῖ, οὐ πρὸς τὴν ὑγίειαν τοσοῦτον ὁρῶν τοῦ παιδός, ὅσον πρὸς τὸ μὴ δόξαι μηδὲν ἀνευλαβὲς ποιεῖν. Καίτοιγε οὐκ* 15 *αὐτὸς ἠνάγκασεν, ἀλλ' ὁ Χριστὸς ἐπηγγείλατο· ἀλλὰ καὶ οὕτω δέδοικε μή ποτε δόξῃ τὴν ἀξίαν ὑπερβαίνειν τὴν ἑαυτοῦ καὶ βαρὺ πρᾶγμα ἐφέλκεσθαι.*

Εἶδες αὐτοῦ τὴν σύνεσιν; Σκόπει τῶν Ἰουδαίων τὴν ἄνοιαν λεγόντων· «Ἄξιός ἐστιν ᾧ παρέξει τὴν χάριν». Δέον 20 *γὰρ ἐπὶ τὴν φιλανθρωπίαν καταφυγεῖν τοῦ Ἰησοῦ, οἱ δὲ τὴν ἀξίαν τούτου προβάλλονται, καὶ οὐδὲ ὅθεν προβάλλεσθαι δεῖ ἴσασιν. Ἀλλ' οὐκ ἐκεῖνος οὕτως· ἀλλὰ καὶ σφόδρα ἑαυτὸν ἀνάξιον εἶναι ἔφη, οὐ μόνον τῆς εὐεργεσίας, ἀλλὰ καὶ τοῦ τῇ οἰκίᾳ δέξασθαι τὸν Κύριον. Διὰ τοῦτο καὶ εἰπών, «Ὁ* 25 *παῖς μου βέβληται», οὐκ ἐπήγαγεν, εἰπέ, δεδοικὼς μὴ ἀνάξιος εἴη τοῦ τυχεῖν τῆς δωρεᾶς· ἀλλὰ τὴν συμφορὰν ἀπήγγειλε μόνον. Ἐπειδὴ δὲ εἶδε τὸν Χριστὸν φιλοτιμούμενον,*

---

25. Πρβλ. Ἰω. 4, 49.
26. Πρβλ. Μάρκ. 2, 1-2.
27. Ματθ. 8, 8. Λουκᾶ 7, 7.
28. Λουκᾶ 7, 4.

ν' ἀποθάνῃ»[25]. Δὲν συμβαίνει ὅμως τὸ ἴδιο μὲ τὸν ἑκατόνταρχον αὐτῆς τῆς διηγήσεως, ἀλλὰ καὶ ἀπὸ ἐκεῖνον καὶ ἀπὸ αὐτοὺς ποὺ κατέβασαν ἀπὸ τὴν χαλασμένην σκεπὴν τὸ κρεββάτι[26] αὐτὸς συμπεριφέρεται πολὺ καλύτερα. Διότι δὲν ζητεῖ τὴν σωματικὴν παρουσίαν τοῦ Ἰησοῦ, οὔτε μετέφερε τὸν ἀσθενῆ πλησίον τοῦ ἰατροῦ, πρᾶγμα ποὺ σημαίνει ὅτι δὲν ἐσκέπτετο δι' αὐτὸν μικρὰ πράγματα, ἀλλ' ἐπίστευεν, ὅτι ἦτο θεόσταλτος· διὰ τοῦτο καὶ λέγει· «Εἰπὲ μόνον ἕνα λόγον»[27]. Καὶ δὲν λέγει εἰς τὴν ἀρχὴν «Εἰπὲ ἕνα λόγον», ἀλλ' ἀρχικῶς περιγράφει μόνον τὴν ἀσθένειαν· διότι οὔτε ἐπερίμενε, λόγῳ τῆς μεγάλης ταπεινοφροσύνης του, ἀμέσως νὰ συναινέσῃ ὁ Χριστὸς καὶ νὰ θελήσῃ νὰ ἔλθῃ εἰς τὴν οἰκίαν του. Διὰ τοῦτο μόλις ἤκουσε τοὺς λόγους τοῦ Κυρίου, «Ἐγὼ θὰ ἔλθω καὶ θὰ τὸν θεραπεύσω», τότε λέγει, «Εἰπὲ ἕνα λόγον». Οὔτε καὶ ἡ ἀσθένεια τοῦ ἐπροξένησε σύγχυσιν, ἀλλὰ καὶ μέσα εἰς τὴν συμφοράν του φιλοσοφεῖ, προσέχων ὄχι τόσον εἰς τὴν ὑγείαν τοῦ δούλου του, ὅσον πρὸς τὸ νὰ μὴ φανῇ νὰ πράττῃ τίποτε τὸ ἀσεβές. Μολονότι, βέβαια, δὲν τὸν ἐξηνάγκασε νὰ ἔλθῃ εἰς τὴν οἰκίαν του, ἀλλ' ὁ Χριστὸς ὑπεσχέθη αὐτὸ παρὰ ταῦτα καὶ πάλιν φοβεῖται μὴ τυχὸν φανῇ νὰ ὑπερτιμᾷ τὴν ἰδικήν του ἀξίαν καὶ ἐπισύρῃ ἐναντίον του βαρὺ παράπτωμα.

Εἶδες τὴν σύνεσίν του; Πρόσεξε καὶ τὴν μωρίαν τῶν Ἰουδαίων οἱ ὁποῖοι λέγουν· «Τοῦ ἀξίζει νὰ τοῦ παράσχῃς τὴν χάριν»[28]. Διότι ἐνῷ ἔπρεπε νὰ προσφύγουν εἰς τὴν φιλανθρωπίαν τοῦ Ἰησοῦ, αὐτοὶ ὅμως προβάλλουν τὴν ἀξίαν τοῦ ἑκατοντάρχου, καὶ οὔτε γνωρίζουν πῶς πρέπει νὰ διατυπώσουν τὸ αἴτημά των. Ὅμως δὲν συμβαίνει τὸ ἴδιο μὲ ἐκεῖνον· ἀλλὰ καὶ εἶπεν ὅτι εἶναι ὁ ἴδιος πολὺ ἀνάξιος ὄχι μόνον νὰ δεχθῇ τὴν εὐεργεσίαν, ἀλλὰ καὶ νὰ δεχθῇ τὸν Κύριον εἰς τὴν οἰκίαν του. Διὰ τοῦτο καὶ εἰπὼν «ὁ δοῦλός μου εἶναι ἀσθενὴς» δὲν προσέθεσε τὸ 'Εἰπέ', φοβηθεὶς μήπως ἦτο ἀνάξιος νὰ δεχθῇ τὴν δωρεάν, ἀλλὰ ἀνέφερε μόνον τὴν συμφοράν. Ὅταν πάλιν εἶδε τὸν Χριστὸν νὰ δεί-

οὐδὲ οὕτως ἐπεπήδησεν, ἀλλ' ἔτι μένει τὸ ἑαυτῷ προσῆκον διατηρῶν μέτρον.

Εἰ δὲ λέγει τις, τίνος ἕνεκεν οὐκ ἀντετίμησεν αὐτὸν ὁ Χριστός; ἐκεῖνο ἂν εἴποιμεν, ὅτι καὶ σφόδρα αὐτὸν ἀντε-
5 *τίμησε· πρῶτον μέν, τῷ δεῖξαι τὴν γνώμην, ὅπερ ἐκ τοῦ μάλιστα μὴ ἐλθεῖν αὐτὸν εἰς τὴν οἰκίαν ἐφάνη· δεύτερον δέ, τῷ εἰς τὴν βασιλείαν αὐτὸν εἰσαγαγεῖν, καὶ προτιμῆσαι παντὸς τοῦ ἔθνους τοῦ Ἰουδαϊκοῦ. Ἐπειδὴ γὰρ καὶ τοῦ δέξασθαι τὸν Χριστὸν εἰς τὴν οἰκίαν ἀνάξιον ἑαυτὸν ἐποίησε, καὶ βασι-*
10 *λείας γέγονεν ἄξιος, καὶ τοῦ τῶν καλῶν ἐπιτυχεῖν, ὧν ἀπήλαυσεν ὁ Ἀβραάμ.*

Καὶ τίνος ἕνεκεν ὁ λεπρός, φησί, μείζονα τούτων ἐπιδειξάμενος, οὐκ ἐπῃνέθη; Οὐδὲ γὰρ εἶπεν ἐκεῖνος, εἰπὲ λόγῳ, ἀλλ' ὃ πολλῷ μεῖζον ἦν, θέλησον μόνον· ὃ περὶ τοῦ
15 *Πατρός φησιν ὁ προφήτης, ὅτι «Πάντα ὅσα ἠθέλησεν, ἐποίησεν». Ἀλλὰ κἀκεῖνος ἐπῃνέθη. Ὅταν γὰρ εἴπῃ, «Προσένεγκε τὸ δῶρον, ὃ προσέταξε Μωϋσῆς, εἰς μαρτύριον αὐτοῖς», οὐδὲν ἕτερόν φησιν ἢ ὅτι σὺ κατηγορήσεις αὐτῶν, ἐξ ὧν ἐπίστευσας. Ἄλλως δὲ οὐκ ἦν ἴσον Ἰουδαῖον ὄντα*
20 *πιστεῦσαι, καὶ ἔξωθεν τοῦ ἔθνους. Ὅτι γὰρ οὐκ ἦν Ἰουδαῖος ὁ ἑκατοντάρχης, καὶ ἀπὸ τοῦ ἑκατοντάρχης εἶναι δῆλον καὶ ἀπὸ τοῦ εἰρῆσθαι, «Οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον».*

4. Καὶ πολὺ μέγα ἦν, ἄνθρωπον ἐκτὸς ὄντα τοῦ Ἰου-
25 *δαϊκοῦ καταλόγου τοσαύτην λαβεῖν ἔννοιαν. Καὶ γὰρ ἐφαντάσθη, ὥς ἔμοιγε δοκεῖ, τὰς ἐν τῷ οὐρανῷ στρατιάς· ἢ ὅτι αὐτῷ τὰ πάθη οὕτως ἐστὶν ὑποτεταγμένα, καὶ θάνατος, καὶ τὰ*

---

29. Πρβλ. Ματθ. 8, 13. Λουκᾶ 7, 10.
30. Ψαλμ. 113, 11.
31. Ματθ. 8, 4.

χνῃ προθυμίαν, οὔτε καὶ τότε ἐπροχώρησε μὲ ὁρμήν, ἀλλὰ καὶ πάλιν συγκρατεῖται μέσα εἰς τὸν χῶρον τῆς πρεπούσης μετριοπαθείας του.

Ἐὰν ὅμως ἤθελεν εἰπεῖ κάποιος 'Διὰ ποῖον λόγον δὲν ἀνταπέδωσε τὴν τιμὴν ὁ Χριστὸς εἰς αὐτόν'; θὰ ἠμπορούσαμεν νὰ εἴπουμεν αὐτό, ὅτι τοῦ ἀνταπέδωσε καὶ μάλιστα μεγάλην τιμήν. Πρῶτον μέν, μὲ τὸ ὅτι ἐφανέρωσε τὴν πίστιν του, πρᾶγμα ποὺ κατ' ἐξοχὴν ἔγινε φανερὸν ἀπὸ τοῦ ὅτι δὲν μετέβη ὁ ἴδιος εἰς τὴν οἰκίαν του[29]. Δεύτερον δέ, μὲ τὸ ὅτι τὸν εἰσήγαγεν εἰς τὴν βασιλείαν καὶ τὸν ἐπροτίμησεν ἀπὸ ὅλον τὸ Ἰουδαϊκὸν ἔθνος. Διότι ἐπειδὴ ἐθεώρησε τὸν ἑαυτόν του ἀνάξιον νὰ δεχθῇ τὸν Χριστὸν εἰς τὴν οἰκίαν του, καὶ ἄξιος ἐκρίθη τῆς βασιλείας τῶν οὐρανῶν καὶ ἐπέτυχε τὰ καλὰ ποὺ ἀπήλαυσεν ὁ Ἀβραάμ.

Καὶ διατί, θὰ ἔλεγε κανείς, καὶ ὁ λεπρὸς δὲν ἐπῃνέθη ἂν καὶ ἐπέδειξε μεγαλυτέραν πίστιν ἀπὸ τὸν ἑκατόνταρχον; Διότι δὲν εἶπεν ἐκεῖνος «Εἰπὲ ἕνα λόγον», ἀλλὰ αὐτὸ ποὺ ἦτο πολὺ μεγαλύτερον 'Θέλησον μόνον'· πρᾶγμα ποὺ ὁ Προφήτης λέγει περὶ τοῦ Πατρός, ὅτι «Ὅλα ὅσα ἠθέλησε τὰ ἐδημιούργησεν»[30]. Ἀλλὰ καὶ ἐκεῖνος ἐπῃνέθη. Διότι ὅταν λέγῃ «Πρόσφερε τὸ δῶρον ποὺ διέταξεν ὁ Μωϋσῆς ὡς μαρτυρίαν εἰς αὐτούς»[31], δὲν λέγει τίποτε ἄλλο παρὰ αὐτό, ὅτι 'Σὺ θὰ κατηγορήσῃς αὐτοὺς ἐξ ὅσων ἐπίστευσας'. Ἐξ ἄλλου δὲ δὲν ἦτο τὸ ἴδιο πρᾶγμα νὰ πιστεύσῃ ἕνας Ἰουδαῖος καὶ ἕνας ἐκτὸς τοῦ ἔθνους τῶν Ἰουδαίων. Διότι τὸ ὅτι δὲν ἦτο Ἰουδαῖος ὁ ἑκατόνταρχος φαίνεται καὶ ἀπὸ τὸ ὅτι ἦτο ἑκατοντάρχης καὶ ἀπὸ τὰ λόγια ποὺ εἶπεν· «Οὔτε μεταξὺ τῶν Ἰσραηλιτῶν εὗρον τόσον μεγάλην πίστιν».

4. Καὶ ἦτο, βέβαια, πολὺ σπουδαῖον πρᾶγμα ἕνας ἄνθρωπος ἐκτὸς τοῦ Ἰουδαϊκοῦ ἔθνους νὰ φθάσῃ εἰς τόσον ὑψηλὴν ἔννοιαν περὶ τοῦ Χριστοῦ. Καθόσον, ὅπως ἐγὼ πιστεύω, ἐφαντάσθη τὰς οὐρανίους στρατιὰς ἢ ὅτι εἰς αὐτὸν ἔτσι ὑποτάσσονται τὰ πάθη καὶ ὁ θάνατος καὶ ὅλα τὰ ἄλλα,

ἄλλα πάντα, ὡς αὐτῷ οἱ στρατιῶται. Διὸ καὶ ἔλεγε· «Καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν τασσόμενος»· τουτέστι, σὺ Θεός, ἐγὼ ἄνθρωπος· ἐγὼ ὑπ' ἐξουσίαν, σὺ δὲ οὐχ ὑπ' ἐξουσίαν. Εἰ τοίνυν ἐγώ, ἄνθρωπος καὶ ὑπ' ἐξουσίαν
5 *ὤν, τοσαῦτα δύναμαι· πολλῷ μᾶλλον αὐτός, καὶ Θεὸς ὢν καὶ οὐχ ὑπ' ἐξουσίαν. Μετὰ γὰρ ὑπερβολῆς αὐτὸν θέλει πεῖσαι, ὅτι οὐχ ὡς ὅμοιον διδοὺς ὑπόδειγμα ταῦτα λέγει, ἀλλ' ὡς σφόδρα ὑπερέχον. Εἰ γὰρ ἐγὼ ὁμότιμος ὢν τοῖς ἐπιταττομένοις, φησί, καὶ ὑπ' ἐξουσίαν ὤν, ὅμως διὰ τὴν μι-*
10 *κρὰν τῆς ἀρχῆς ὑπεροχὴν τοσαῦτα δύναμαι, καὶ οὐδεὶς ἀντερεῖ, ἀλλ' ἅπερ ἐπιτάσσω, ταῦτα γίνεται, κἂν διάφορα ᾖ τὰ ἐπιτάγματα («Λέγω γὰρ τούτῳ, πορεύου, καὶ πορεύεται· καὶ ἄλλῳ, ἔρχου, καὶ ἔρχεται»), πολλῷ μᾶλλον αὐτὸς δυνήσῃ. Τινὲς δὲ καὶ οὕτως ἀναγινώσκουσι τοῦτο τὸ χωρίον·*
15 *«Εἰ γὰρ ἐγὼ ἄνθρωπος ὤν», καὶ μεταξὺ στίξαντες ἐπάγουσιν, «Ὑπὸ ἐξουσίαν ἔχων ὑπ' ἐμαυτὸν στρατιώτας».*

Σὺ δέ μοι σκόπει, πῶς ἔδειξεν ὅτι καὶ θανάτου κρατεῖν δύναται ὡς δούλου, καὶ ἐπιτάττειν ὡς Δεσπότης. Ὅταν γὰρ εἴπῃ, ὅτι «Ἔρχου, καὶ ἔρχεται», καὶ «Πορεύου, καὶ πορεύε-
20 *ται», τοῦτο λέγει, ὅτι ἂν κελεύσῃς μὴ ἐλθεῖν τὴν τελευτὴν ἐπ' αὐτόν, οὐχ ἥξει. Εἶδες πῶς ἦν πιστός; Ὃ γὰρ ἔμελλεν ἅπασιν φανερὸν ὕστερον ἔσεσθαι, τοῦτο οὗτος ἤδη κατάδηλον κατέστησεν, ὅτι καὶ θανάτου καὶ ζωῆς ἐξουσίαν ἔχει, καὶ κατάγει εἰς πύλας ᾅδου καὶ ἀνάγει. Καὶ οὐ περὶ στρα-*
25 *τιωτῶν εἶπε μόνον, ἀλλὰ καὶ περὶ δούλων· ὅπερ ἦν μείζονος ὑπακοῆς. Ἀλλ' ὅμως καὶ τοσαύτην πίστιν ἔχων, ἔτι ἀνάξι-*

---

32. Καὶ ἔτσι ἡ διαφορὰ εἶναι ἀσήμαντος.

ὅπως οἱ στρατιῶται εἰς αὐτόν. Διὰ τοῦτο καὶ ἔλεγε· «Διότι καὶ ἐγὼ ποὺ εἶμαι ἕνας ἄνθρωπος καὶ εἶμαι κάτω ἀπὸ ἐξουσίαν· δηλαδὴ 'Σὺ εἶσαι Θεός, ἐνῷ ἐγὼ ἄνθρωπος· ἐγὼ εἶμαι ὑπὸ τὴν ἐξουσίαν ἄλλων, ἐνῷ σὺ δὲν εἶσαι ὑπὸ ἐξουσίαν ἄλλων. Ἐάν, λοιπόν, ἐγώ, ποὺ εἶμαι ἄνθρωπος καὶ ὑπὸ ἐξουσίαν, ἠμπορῶ νὰ κάμω τόσον μεγάλα πράγματα, πολὺ περισσότερον αὐτὸς ποὺ εἶναι καὶ Θεὸς καὶ δὲν εἶναι ὑπὸ ἐξουσίαν ἄλλων. Θέλει, δηλαδή, νὰ τὸν πείσῃ εἰς μέγα βαθμόν, ὅτι δὲν τὰ λέγει ὅλα αὐτὰ διὰ νὰ παρουσιάσῃ ἕνα παρόμοιο παράδειγμα, ἀλλ' ὅτι ὁ Κύριος ὑπερέχει εἰς μέγα βαθμόν. Διότι ἐὰν ἐγώ, λέγει, ποὺ εἶμαι ἰσότιμος μὲ αὐτοὺς ποὺ διατάσσω καὶ ποὺ εὑρίσκομαι ὑπὸ ἐξουσίαν, ὅμως λόγῳ τῆς μικρᾶς αὐτῆς ὑπεροχῆς τῆς ἀρχῆς ἠμπορῶ τόσον σπουδαῖα πράγματα νὰ πράξω καὶ δὲν φέρει κανεὶς ἀντίρρησιν, ἀλλὰ αὐτὰ ποὺ διατάσσω, αὐτὰ γίνονται, καὶ ἂν ἀκόμη εἶναι διαφόρου εἴδους τὰ παραγγέλματα (Διότι λέγω εἰς αὐτόν; πήγαινε, καὶ πηγαίνει, καὶ εἰς τὸν ἄλλον, ἔλα, καὶ ἔρχεται), πολὺ περισσότερα αὐτὸς ἠμπορεῖ νὰ πράξῃ. Μερικοὶ δὲ ἀναγινώσκουν ἔτσι αὐτὸ τὸ χωρίον· «Διότι ἐὰν ἐγώ, ποὺ εἶμαι ἄνθρωπος», καί, θέτοντες σημεῖον στίξεως ἀνάμεσα, προσθέτουν, «ἔχω ὑπὸ τὴν ἐξουσίαν μου στρατιώτας»[32].

Σὺ ὅμως, παρακαλῶ, πρόσεξε πῶς ὁ ἑκατόνταρχος ἔδειξεν ὅτι ὁ Ἰησοῦς ἠμπορεῖ νὰ ἐξουσιάσῃ τὸν θάνατον ὡσὰν ἕναν δοῦλον, καὶ νὰ τὸν διατάσσῃ ὡσὰν δεσπότης του. Διότι ὅταν λέγῃ, «Ἔλα, καὶ ἔρχεται», καὶ «πήγαινε, καὶ πηγαίνει», αὐτὸ ἐννοεῖ, ὅτι δηλαδὴ 'Ἂν διατάξῃς νὰ μὴ ἔλθῃ ὁ θάνατος εἰς τὸν δοῦλόν μου, δὲν θὰ ἔλθῃ'. Εἶδες κατὰ ποῖον τρόπον ἦτο πιστός; Διότι αὐτὸ ποὺ ἐπρόκειτο ἀργότερον νὰ γίνῃ εἰς ὅλους φανερόν, αὐτὸ αὐτὸς ἤδη ἔκαμεν ὁλοφάνερον, ὅτι ἔχει ἐξουσίαν καὶ ἐπὶ τοῦ θανάτου καὶ ἐπὶ τῆς ζωῆς, καὶ ὁδηγεῖ κάτω εἰς τὰς πύλας τοῦ Ἅδου καὶ ἀνεβάζει ἀπὸ ἐκεῖ. Καὶ δὲν ἔκαμε λόγον μόνον περὶ στρατιωτῶν, ἀλλὰ καὶ περὶ δούλων, πρᾶγμα ποὺ ἦτο δεῖγμα μεγαλυτέρας ὑπακοῆς. Ἀλλ' ὅμως ἂν καὶ εἶχε τόσον μεγάλην

ον ἑαυτὸν εἶναι ἐνόμιζεν. Ὁ δὲ Χριστὸς δεικνύς, ὅτι ἄξιός ἐστι τοῦ εἰσελθεῖν εἰς τὴν οἰκίαν αὐτοῦ, πολλῷ μείζονα ἐποίησε, θαυμάζων αὐτὸν καὶ ἀνακηρύττων καὶ πλείονα διδοὺς ὧν ᾔτησε. Καὶ γὰρ ἦλθεν ὑγίειαν ζητῶν τῷ παιδὶ 5 *σωματικήν, καὶ βασιλείαν λαβὼν ἀπῆλθεν.*

Εἶδες πῶς ἤδη ἐπεπλήρωτο τό, «Ζητεῖτε τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν»; Ἐπειδὴ γὰρ πολλὴν πίστιν ἐπεδείξατο καὶ ταπεινοφροσύνην, καὶ τὸν οὐρανὸν ἔδωκε καὶ τὴν ὑγίειαν αὐτῷ προσέθηκε· καὶ οὐ 10 *τούτῳ μόνον ἐτίμησεν, ἀλλὰ καὶ τῷ δεῖξαι, τίνων ἐκβαλλομένων αὐτὸς εἰσάγεται. Καὶ γὰρ ἐντεῦθεν ἤδη λοιπὸν πᾶσι ποιεῖ γνώριμον, ὅτι ἀπὸ πίστεως ἡ σωτηρία, οὐκ ἀπὸ ἔργων τῶν κατὰ νόμον. Διόπερ οὐκ Ἰουδαίοις μόνον, ἀλλὰ καὶ ἔθνεσι τὸ τῆς δωρεᾶς ταύτης προκείσεται· καὶ ἐκείνοις* 15 *μᾶλλον ἢ τούτοις. Μὴ γὰρ δὴ νομίσητε, φησίν, ὅτι ἐπὶ τούτου γέγονε τοῦτο μόνον· καὶ γὰρ ἐπὶ τῆς οἰκουμένης ἁπάσης τοῦτο ἔσται. Τοῦτο δὲ ἔλεγε, περὶ τῶν ἐθνῶν προφητεύων καὶ χρηστὰς αὐτοῖς ὑποτείνων ἐλπίδας. Καὶ γὰρ ἦσαν καὶ ἀπὸ Γαλιλαίας ἀκολουθοῦντες τῆς τῶν ἐθνῶν. Ταῦτα δὲ* 20 *ἔλεγε, τούς τε ἐθνικοὺς οὐκ ἀφιεὶς ἀπογνῶναι, τῶν τε Ἰουδαίων καθαιρῶν τὰ φρονήματα. Ὥστε δὲ μὴ προστῆναι τὸ λεγόμενον τοῖς ἀκούουσι, μηδὲ παρασχεῖν αὐτῆς λαβὴν μηδεμίαν, οὔτε προηγουμένως τὸν περὶ τῶν ἐθνῶν εἰσάγει λόγον, ἀλλ' ἀφορμὴν λαβὼν ἀπὸὸ τοῦ ἑκατοντάρχου, οὔτε* 25 *γυμνὸν τὸ ὄνομα τῶν ἐθνῶν τίθησιν. Οὐ γὰρ εἶπε, πολλοὶ τῶν ἐθνῶν· ἀλλά, «Πολλοὶ ἀπὸ ἀνατολῶν καὶ δυσμῶν»· ὅ-*

33. Ματθ. 6, 33.
34. Πρβλ. Ματθ. 4, 15. 18 καὶ 8, 1.

πίστιν ἐθεώρει τὸν ἑαυτόν του ἀνάξιον ἀκόμη. Ὁ Χριστὸς ὅμως, δεικνύων ὅτι εἶναι ἄξιος νὰ εἰσέλθῃ εἰς τὴν οἰκίαν του, ἔκαμε πολὺ πιὸ μεγάλα πράγματα, διότι καὶ τὸν ἐθαύμασε, καὶ διεκήρυξε τὴν πίστιν του, καὶ τοῦ ἔδωσε περισσότερα ἀπὸ αὐτὰ ποὺ ἐζήτησε. Καθόσον ἦλθεν ζητῶν σωματικὴν ὑγείαν διὰ τὸν δοῦλόν του καὶ ἔφυγεν ἀφοῦ ἔλαβε τὴν βασιλείαν τῶν οὐρανῶν.

Εἶδες πῶς ἤδη ἀπεδεικνύετο ἀληθινὸν τὸ «Ζητεῖτε τὴν βασιλείαν τῶν οὐρανῶν καὶ ὅλα αὐτὰ θὰ σᾶς δοθοῦν ὡς ἐπὶ πλέον»[33]; Διότι, ἐπειδὴ ἐπέδειξε πολλὴν πίστιν καὶ ταπεινοφροσύνην καὶ τὸν οὐρανὸν τοῦ ἔδωσε καὶ τὴν ὑγείαν τοῦ δούλου του προσέθεσε· καὶ δὲν τὸν ἐτίμησε μόνον μὲ αὐτό, ἀλλὰ καὶ μὲ τὸ νὰ δείξῃ ποῖοι εἶναι ἐκεῖνοι ποὺ ἀποβάλλονται ἀπὸ τὴν βασιλείαν τῶν οὐρανῶν καὶ εἰσάγεται αὐτός. Καθόσον ἐξ αὐτοῦ πλέον καθιστᾷ εἰς ὅλους γνωστόν, ὅτι σώζεται κανεὶς διὰ τῆς πίστεως καὶ ὄχι ἀπὸ τὴν φύλαξιν τῶν διατάξεων τοῦ Μωσαϊκοῦ νόμου. Διὰ τοῦτο ἀκριβῶς ὄχι μόνον εἰς τοὺς Ἰουδαίους, ἀλλὰ καὶ εἰς τοὺς ἐθνικοὺς θὰ δοθῇ αὐτὴ ἡ δωρεὰ ὡς βραβεῖον· καὶ μᾶλλον εἰς ἐκείνους παρὰ εἰς αὐτούς. Διότι μὴ νομίσετε, βέβαια, λέγει, ὅτι αὐτὸ συνέβη ἀποκλειστικὰ καὶ μόνον διὰ τὸν ἑκατόνταρχον, καθόσον τοῦτο θὰ συμβῇ καὶ εἰς ὅλην τὴν οἰκουμένην. Αὐτὸ δὲ τὸ ἔλεγε προφητεύων διὰ τὰ ἔθνη καὶ δίδων ἀγαθὰς ἐλπίδας εἰς αὐτούς. Καθόσον ὑπῆρχαν πολλοὶ ἀπὸ τὰ μέρη τῆς Γαλιλαίας ὅπου διέμεναν πολλοὶ ἐθνικοί[34]. Αὐτὰ δὲ τὰ ἔλεγε καὶ διὰ νὰ προφυλάξῃ τοὺς ἐθνικοὺς ἀπὸ τὴν ἀπογοήτευσιν καὶ διὰ νὰ ἐξυγιάνῃ τὸ φρόνημα τῶν Ἰουδαίων. Διὰ νὰ μὴ προσβάλουν τὰ λόγια του αὐτοὺς ποὺ τὸν ἤκουαν, καὶ διὰ νὰ μὴ δώσῃ εἰς αὐτοὺς καμμίαν ἀφορμὴν διὰ κατηγορίαν, δὲν ὁμιλεῖ προηγουμένως διὰ τοὺς ἐθνικούς, παρὰ μόνον ὅταν ἔλαβεν ἀφορμὴν ἀπὸ τὸν ἑκατόνταρχον, χωρίς, φυσικά, καὶ πάλιν ν' ἀναφέρῃ καθαρὰ τὸ ὄνομα τῶν ἐθνικῶν. Διότι δὲν εἶπε 'Πολλοὶ ἀπὸ τοὺς ἐθνικούς', ἀλλὰ «Πολλοὶ ἀπὸ τὴν ἀνατολὴν καὶ τὴν δύσιν»,

περ ἦν δηλοῦντος τὰ ἔθνη, οὐ προσίστατο δὲ οὕτω τοῖς ἀκούουσι· συνεσκιασμένον γὰρ ἦν τὸ λεχθέν. Οὐ ταύτῃ δὲ μόνον παραμυθεῖται τὴν δοκοῦσαν εἶναι τῆς διδασκαλίας καινοτομίαν, ἀλλὰ καὶ τῷ τοὺς κόλπους Ἀβραὰμ ἀντὶ τῆς βασιλείας εἰπεῖν. Οὐδὲ γὰρ ἐκεῖνο γνώριμον αὐτοῖς τὸ ὄνομα ἦν, καὶ μειζόνως αὐτοὺς ἔδακνεν ὁ Ἀβραὰμ εἰς τὸ μέσον τεθείς. Διὸ καὶ ὁ Ἰωάννης οὐδὲν εὐθέως περὶ γεέννης εἶπεν, ἀλλ' ὃ μάλιστα αὐτοὺς ἐλύπει φησίν· «Μὴ δόξητε λέγειν, ὅτι παῖδές ἐσμεν τοῦ Ἀβραάμ». Μετὰ δὲ τούτων καὶ ἕτερον κατασκευάζει, τὸ μὴ δόξαι ἐναντίος τις εἶναι τῇ παλαιᾷ πολιτείᾳ. Ὁ γὰρ τοὺς πατριάρχας θαυμάζων, καὶ λῆξιν ἀγαθῶν τοὺς ἐκείνων κόλπους καλῶν, ἐκ πολλῆς τῆς περιουσίας καὶ ταύτην ἀναιρεῖ τὴν ὑπόνοιαν.

Μηδεὶς οὖν μίαν εἶναι νομιζέτω τὴν ἀπειλήν· διπλῆ γάρ ἐστι καὶ τούτοις ἡ κόλασις, κἀκείνοις ἡ εὐφροσύνη· τούτοις μέν, οὐχ ὅτι ἐξέπεσον, ἀλλ' ὅτι τῶν ἰδίων ἐξέπεσον· ἐκείνοις δέ, οὐχ ὅτι ἐπέτυχον, ἀλλ' ὅτι ὧν οὐ προσεδόκων ἐπέτυχον· καὶ τρίτη μετὰ τούτων, ὅτι τὰ ἐκείνων ἔλαβον οὗτοι. Υἱοὺς δὲ βασιλείας φησίν, οἷς ἡ βασιλεία ἦν ἡτοιμασμένη· ὃ καὶ μάλιστα αὐτοὺς ἔδακνε. Δείξας γὰρ εἰς κόλπους ὄντας τῇ ἐπαγγελίᾳ καὶ τῇ ὑποσχέσει, τότε ἐξάγει. Εἶτα, ἐπειδὴ ἀπόφασις ἦν τὸ εἰρημένον, πιστοῦται αὐτὸ τῷ σημείῳ· ὥσπερ οὖν καὶ τὰ σημεῖα ἀπὸ τῆς προρρήσεως τῆς μετὰ ταῦτα γεγενημένης δείκνυσιν.

---

35. Ματθ. 3, 9.

πρᾶγμα ποὺ ἐφανέρωνε τὸ ὄνομα τῶν ἐθνικῶν, δὲν ἐσκανδάλιζεν ὅμως ἔτσι αὐτοὺς ποὺ τὸν ἤκουαν, διότι ἦτο κεκαλυμμένος ὁ λόγος του. Καὶ δὲν καλύπτει μόνον μ' αὐτὸν τὸν τρόπον τὴν σκέψιν ὅτι ἡ διδασκαλία ἦτο μία καινοτομία, ἀλλὰ καὶ μὲ τὸ ὅτι ἀνέφερεν ἀντὶ τῆς βασιλείας τοὺς κόλπους τοῦ 'Αβραάμ. Διότι οὔτε αὐτὸ τὸ ὄνομα ἦτο γνωστὸν εἰς τοὺς ἐθνικούς, καὶ περισσότερον ἐπληγώνοντο οἱ 'Ιουδαῖοι μὲ τὸ ὅτι ἀνεφέρετο τὸ ὄνομα τοῦ 'Αβραάμ. Διὰ τοῦτο καὶ ὁ 'Ιωάννης δὲν εἶπε τίποτε εὐθέως περὶ γεέννης, ἀλλ' εἶπεν αὐτὸ ποὺ περισσότερον ἐστενοχωροῦσεν αὐτούς· «Μὴ νομίσετε ὅτι ἠμπορεῖτε νὰ λέγετε, ὅτι εἴμεθα παιδιὰ τοῦ 'Αβραάμ»[35]. Μαζὶ δὲ μὲ αὐτὰ φροντίζει καὶ διὰ κάτι ἄλλο, τὸ νὰ μὴ νομισθῇ, δηλαδή, ὅτι εἶναι ἀντίθετος μὲ τὸν νόμον τῆς Π. Διαθήκης. Διότι αὐτὸς ποὺ θαυμάζει τοὺς πατριάρχας καὶ ὀνομάζει τοὺς κόλπους ἐκείνων τέλος τῶν ἀγαθῶν, μὲ πολλὴν δύναμιν ἀναιρεῖ καὶ αὐτὴν τὴν ὑποψίαν.

Κανεὶς λοιπὸν ἂς μὴ νομίζῃ ὅτι εἰς τοὺς λόγους αὐτοὺς ἡ ἀπειλὴ εἶναι μία· διότι εἶναι διπλῆ καὶ εἰς τοὺς 'Ιουδαίους ἡ τιμωρία καὶ ἡ εὐφροσύνη εἰς τοὺς ἐθνικούς. Εἰς μὲν τοὺς 'Ιουδαίους ὄχι ἐπειδὴ ἐξέπεσαν τῆς βασιλείας τῶν οὐρανῶν, ἀλλ' ἐπειδὴ ἐξέπεσαν ἀπὸ αὐτὴν ποὺ ἦτο ἰδική των· εἰς τοὺς ἐθνικοὺς δὲ ὄχι ἐπειδὴ ἀπέκτησαν ἀγαθὰ ἁπλῶς, ἀλλ' ἐπειδὴ τὰ ἀπέκτησαν αὐτὰ χωρὶς νὰ τὰ περιμένουν. Καὶ ἕνα τρίτον ποὺ συνέβη μεταξὺ αὐτῶν εἶναι ὅτι οἱ ἐθνικοὶ ἔλαβαν τὰ ἀγαθὰ ποὺ ἀνῆκαν εἰς τοὺς 'Ιουδαίους. Υἱοὺς δὲ τῆς βασιλείας ὀνομάζει αὐτοὺς διὰ τοὺς ὁποίους ἦτο προητοιμασμένη ἡ βασιλεία τῶν οὐρανῶν· πρᾶγμα ποὺ τοὺς ἐπλήγωνε κατ' ἐξοχήν. 'Αφοῦ λοιπὸν τοὺς ἔδειξεν ὅτι σύμφωνα μὲ τὴν ἐπαγγελίαν καὶ τὴν ὑπόσχεσιν εὑρίσκοντο εἰς τοὺς κόλπους τοῦ 'Αβραάμ, εἰς τὴν συνέχειαν τοὺς ἀπομακρύνει. Ἔπειτα ἐπειδὴ αὐτὸ ποὺ ἐλέχθη ἦτο ἀσαφές, ἐπιβεβαιώνεται αὐτὸ μὲ τὸ θαῦμα· ὅπως ἀκριβῶς, βέβαια, καὶ τὰ θαύματα ἐπαληθεύει μὲ τὴν προφητείαν ποὺ ἐλέχθη σχετικῶς μὲ αὐτά.

5. Ὁ τοίνυν ἀπιστῶν τῇ ὑγιείᾳ τῇ γενομένῃ τῷ παιδὶ τότε, ἀπὸ τῆς προφητείας τῆς ἐξελθούσης σήμερον πιστευέτω κἀκεῖνο. Καὶ γὰρ καὶ ἡ προφητεία καὶ πρό τῆς ἐκβάσεως ἀπὸ τοῦ σημείου τοῦ τότε δήλη πᾶσιν ἐγένετο. Διά τοι
5 *τοῦτο πρότερον ταῦτα προαναφωνήσας, τότε τὸν παραλελυμένον ἀνέστησεν, ἵνα τὰ μέλλοντα ἀπὸ τῶν παρόντων πιστώσηται καὶ τὸ ἔλαττον ἀπὸ τοῦ μείζονος. Τὸ μὲν γὰρ ἐναρέτους ἀπολαύειν τῶν ἀγαθῶν, καὶ τοὺς ἐναντίους τὰ λυπηρὰ ὑπομένειν, οὐδὲν ἀπεικός, ἀλλὰ κατὰ λόγον καὶ*
10 *κατὰ ἀκολουθίαν, νόμων ἐγίνετο· τὸ δὲ παρειμένον σφίγξαι καὶ νεκρὸν ἀναστῆσαι, μεῖζον ἢ κατὰ φύσιν ἦν. Ἀλλ' ὅμως εἰς τὸ μέγα τοῦτο καὶ θαυμαστὸν οὐ μικρὸν καὶ ὁ ἑκατοντάρχης συνεισήνεγκεν· ὅπερ οὖν καὶ ὁ Χριστὸς δηλῶν ἔλεγεν· «Ὕπαγε, καὶ ὡς ἐπίστευσας γενηθήτω σοι». Εἶδες πῶς ἀνε-*
15 *κήρυξεν ἡ τοῦ παιδὸς ὑγίεια καὶ τὴν τοῦ Χριστοῦ δύναμιν καὶ τὴν τοῦ ἑκατοντάρχου πίστιν καὶ τὸ μέλλον ἐπιστώσατο; Μᾶλλον δὲ πάντα τὴν τοῦ Χριστοῦ δύναμιν ἀνεκήρυττεν. Οὐδὲ γὰρ τὸ σῶμα διωρθώσατο μόνον τοῦ παιδός, ἀλλὰ καὶ τὴν τοῦ ἑκατοντάρχου ψυχὴν εἰς τὴν πίστιν διὰ τῶν θαυ-*
20 *μάτων αὐτὸς ἐφελκύσατο.*

Σὺ δὲ μὴ τοῦτο σκόπει μόνον, ὅτι οὗτος ἐπίστευσε καὶ ὅτι ἐκεῖνος ἰάθη, ἀλλὰ καὶ τὸ τάχος θαύμασον. Καὶ γὰρ τοῦτο δηλῶν ὁ εὐαγγελιστὴς ἔλεγε· «Καὶ ἰάθη ὁ παῖς αὐτοῦ ἐν τῇ ὥρᾳ ἐκείνῃ»· ὥσπερ οὖν καὶ ἐπὶ τοῦ λεπροῦ εἶπεν, ὅτι
25 *εὐθέως ἐκαθαρίσθη. Οὐδὲ γὰρ τῷ θεραπεύειν, ἀλλὰ καὶ τῷ παραδόξως τοῦτο ποιεῖν, καὶ ἐν ἀκαρεῖ ῥοπῇ, τὴν δύναμιν ἐπεδείκνυτο. Καὶ οὐ ταύτῃ μόνον ὠφέλει, ἀλλὰ καὶ τῷ συνεχῶς ἐν τῇ τῶν θαυμάτων ἐπιδείξει τοὺς περὶ τῆς βασιλείας*

---

36. Πρβλ. Λουκᾶ 7, 2.
37. Ματθ. 8, 2.

5. Αὐτὸς λοιπὸν ποὺ δὲν πιστεύει τὴν θεραπείαν ποὺ συνέβη εἰς τὸν δοῦλον τότε ἂς πιστεύσῃ εἰς τὸ θαῦμα ἐκεῖνο, καθόσον ἐπαληθεύθη σήμερον ἡ προφητεία του. Διότι, καὶ ἡ προφητεία ἔγινε πρὶν ἀπὸ τὸ ἀποτέλεσμα φανερὴ εἰς ὅλους ἀπὸ τὸ τότε θαῦμα. Διὰ τοῦτο, βέβαια, ἀφοῦ προηγουμένως προεῖπεν αὐτά, ἐν συνεχείᾳ ἐθεράπευσε τὸν παραλυτικόν, διὰ νὰ γίνουν πιστευτὰ τὰ μέλλοντα νὰ συμβοῦν ἀπὸ τὰ παρόντα καὶ τὸ μικρότερον διὰ μέσου τοῦ μεγαλυτέρου. Διότι τὸ νὰ ἀπολαμβάνουν οἱ μὲν ἐνάρετοι τὰ ἀγαθὰ οἱ δὲ ἀντίθετοι νὰ ὑπομένουν τὰ λυπηρά, δὲν φανερώνει τίποτε ἄλλο ἀλλ' ὅτι συνέβαινεν αὐτὸ κατὰ τρόπον φυσικὸν καὶ ἦτο ἀποτέλεσμα τῶν φυσικῶν νόμων· τὸ νὰ ἐνδυναμώσῃ ὅμως τὸ σῶμα τοῦ παραλυτικοῦ καὶ νὰ ἀναστήσῃ τὸν νεκρὸν[36] ἦτο κάτι μεγαλύτερον ἀπὸ φυσικόν. Ἀλλ' ὅμως εἰς τὴν μεγάλην αὐτὴν καὶ θαυμαστὴν ἐνέργειαν προσέφερε πάρα πολλὰ καὶ ὁ ἑκατόνταρχος· καὶ ἀκριβῶς αὐτὸ θέλων νὰ δηλώσῃ καὶ ὁ Χριστὸς ἔλεγε· «Πήγαινε, καὶ ἂς σοῦ γίνῃ ὅπως ἐπίστευσες». Εἶδες πῶς διεκήρυξεν ἡ ὑγεία τοῦ δούλου καὶ τὴν δύναμιν τοῦ Χριστοῦ καὶ τὴν πίστιν τοῦ ἑκατοντάρχου καὶ ἐπεβεβαίωσεν αὐτὸ ποὺ θὰ συνέβαινεν εἰς τὸ μέλλον; Μᾶλλον δὲ ὅλα διεκήρυτταν τὴν δύναμιν τοῦ Χριστοῦ. Διότι δὲν ἐθεράπευσε μόνον τὸ σῶμα τοῦ δούλου, ἀλλὰ καὶ τὴν ψυχὴν τοῦ ἑκατοντάρχου προσείλκυσεν εἰς τὴν πίστιν διὰ τῶν θαυμάτων αὐτῶν.

Σὺ ὅμως μὴ προσέχῃς μόνον αὐτό, τὸ ὅτι δηλαδὴ ἐπίστευσεν αὐτὸς καὶ τὸ ὅτι ἐθεραπεύθη ἐκεῖνος, ἀλλὰ θαύμασε καὶ τὴν ταχύτητα μὲ τὴν ὁποίαν συνέβησαν. Καθόσον διὰ νὰ δηλώσῃ αὐτὸ ὁ εὐαγγελιστὴς ἔλεγε· «Καὶ ἐθεραπεύθη ὁ δοῦλός του τὴν ἰδίαν ἐκείνην στιγμήν»· ὅπως ἀκριβῶς λοιπὸν εἶπεν καὶ εἰς τὴν περίπτωσιν τοῦ λεπροῦ, ὅτι «Ἀμέσως ἐκαθαρίσθη»[37]. Διότι ὄχι μόνον ἡ θεραπεία, ἀλλὰ καὶ τὸ ὅτι αὐτὴ ἔγινε κατὰ τρόπον παράδοξον καὶ ἐν ριπῇ ὀφθαλμοῦ, ἐφανέρωνε τὴν δύναμίν του. Καὶ δὲν ὠφελοῦσε μόνον μὲ αὐτήν, ἀλλὰ καὶ μὲ τὸ ὅτι συνεχῶς κατὰ τὴν ἐπί-

παρανοίγειν λόγους, καὶ πάντας ἐφέλκεσθαι πρὸς αὐτήν. Καὶ γὰρ οὓς ἐκβάλειν ἠπείλει, οὐχ ἵνα ἐκβάλῃ ἠπείλει, ἀλλ' ἵνα τῷ φόβῳ πρὸς αὐτὴν διὰ τῶν ῥημάτων ἐπισπάσηται. Εἰ δὲ μηδὲ ἐντεῦθεν ἐκέρδαναν, αὐτῶν τὸ ἔγκλημα ἅπαν καὶ
5 *πάντων τῶν τὰ τοιαῦτα νοσούντων. Οὐδὲ γὰρ ἐπὶ Ἰουδαίων μόνον τοῦτο συμβὰν ἴδοι τις ἄν, ἀλλὰ καὶ ἐπὶ τῶν πιστευσάντων. Καὶ γὰρ ὁ Ἰούδας υἱὸς βασιλείας ἦν, καὶ ἤκουσε μετὰ τῶν μαθητῶν, «Ἐπὶ δώδεκα θρόνους καθιεῖσθε», ἀλλὰ γέγονεν υἱὸς γεέννης· ὁ δὲ Αἰθίοψ, βάρβαρος ἄνθρωπος ὤν,*
10 *καὶ τῶν ἀπὸ ἀνατολῶν καὶ δυσμῶν, μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ἀπολαύσεται τῶν στεφάνων. Τοῦτο καὶ ἐφ' ἡμῶν γίνεται νῦν. «Πολλοὶ γὰρ ἔσονται», φησί, «πρῶτοι ἔσχατοι, καὶ ἔσχατοι πρῶτοι». Τοῦτο δὲ λέγει, ἵνα μήτε ἐκεῖνοι ῥαθυμῶσιν, ὡς οὐ δυνάμενοι ἐπανελθεῖν, μήτε οὗτοι*
15 *θαρρῶσιν, ὡς ἑστῶτες. Τοῦτο καὶ ὁ Ἰωάννης ἄνωθεν προαναφωνῶν ἔλεγε· «Δύναται ὁ Θεὸς ἐκ τῶν λίθων τούτων ἐγεῖραι τέκνα τῷ Ἀβραάμ». Ἐπειδὴ γὰρ τοῦτο ἔμελλε γίνεσθαι, προανακηρύττεται πόρρωθεν, ὥστε μηδένα τῷ ξένῳ τοῦ πράγματος θορυβηθῆναι. Ἀλλ' ἐκεῖνος μὲν ὡς ἐνδε-*
20 *χόμενον αὐτὸ λέγει· πρῶτος γὰρ ἦν· ὁ δὲ Χριστὸς ὡς πάντως ἐσόμενον, τὴν ἀπὸ τῶν ἔργων ἀπόδειξιν παρέχων.*

Μὴ τοίνυν θαρρῶμεν οἱ ἑστῶτες, ἀλλὰ λέγωμεν ἑαυτοῖς· «Ὁ δοκῶν ἑστάναι, βλεπέτω μὴ πέσῃ»· μηδὲ ἀπογινώσκω-

---

38. Ματθ. 19, 28.
39. Πρβλ. Πράξ. 8, 26-39.
40. Δηλ. εἰδωλολάτρης, ἐθνικός.
41. Ματθ. 19, 30.
42. Ματθ. 3, 9.
43. Α' Κορ. 10, 12.

δειξιν τῶν θαυμάτων ἀνέπτυσσεν λόγους περὶ τῆς βασιλείας τῶν οὐρανῶν καὶ προσείλκυεν ὅλους πρὸς αὐτήν. Διότι καὶ αὐτοὺς ποὺ ἀπειλοῦσεν ὅτι θὰ τοὺς ἐκβάλῃ, τοὺς ἀπειλοῦσεν ὄχι διὰ νὰ τοὺς ἐκβάλῃ, ἀλλὰ διὰ νὰ τοὺς προσελκύσῃ πρὸς αὐτὴν ἐκφοβίζων αὐτοὺς μὲ τοὺς λόγους. Ἐὰν ὅμως οὔτε καὶ ἔτσι ὠφελοῦντο, αὐτῶν εἶναι ὅλη ἡ εὐθύνη καὶ ὅλων ἐκείνων ποὺ πάσχουν ἀπὸ τὴν ἰδίαν ἀσθένειαν. Διότι αὐτὸ θὰ τὸ ἔβλεπε κανεὶς νὰ συμβαίνῃ ὄχι μόνον μεταξὺ τῶν Ἰουδαίων, ἀλλὰ καὶ μεταξὺ αὐτῶν ποὺ ἐπίστευσαν εἰς τὸν Χριστόν. Διότι καὶ ὁ Ἰούδας ἦτο υἱὸς τῆς βασιλείας καὶ ἤκουσε μαζὶ μὲ τοὺς μαθητὰς «Θὰ καθίσετε ἐπάνω εἰς δώδεκα θρόνους»[38], ἀλλ' ἔγινεν υἱὸς τῆς γεέννης· ὁ Αἰθίοψ[39] ὅμως, ἂν καὶ ἦτο βάρβαρος[40] ἄνθρωπος καὶ ἀπὸ αὐτοὺς ποὺ κατήγοντο ἀπὸ τὴν ἀνατολὴν καὶ τὴν δύσιν, θὰ ἀπολαύσῃ τοὺς στεφάνους μαζὶ μὲ τὸν Ἀβραάμ, τὸν Ἰσαὰκ καὶ τὸν Ἰακώβ. Αὐτὸ συμβαίνει σήμερα καὶ εἰς ἡμᾶς. Διότι, λέγει, «Πολλοὶ θὰ γίνουν ἀπὸ πρῶτοι τελευταῖοι καὶ ἀπὸ τελευταῖοι πρῶτοι»[41]. Αὐτὸ δὲ τὸ λέγει, ὥστε καὶ οἱ ἁμαρτωλοὶ νὰ μὴ χάνουν τὸ θάρρος των, μὲ τὴν σκέψιν ὅτι τάχα δὲν ἠμποροῦν νὰ ἐπιστρέψουν εἰς τὸν Θεόν, καὶ οἱ πιστοὶ νὰ μὴ παίρνουν θάρρος, ὅτι τάχα εἶναι ἀμετακίνητοι. Αὐτὸ διακηρύττων καὶ ὁ Ἰωάννης προηγουμένως ἔλεγεν· «Ἠμπορεῖ ὁ Θεὸς καὶ ἀπὸ αὐτοὺς τοὺς λίθους νὰ ἀναστήσῃ τέκνα διὰ τὸν Ἀβραάμ»[42]. Ἐπειδή, δηλαδή, ἐπρόκειτο αὐτὸ νὰ συμβῇ, προλέγεται πρὸ πολλοῦ χρόνου, ὥστε κανεὶς νὰ μὴ θορυβηθῇ ἀπὸ τὸ παράξενον τοῦ πράγματος. Ἀλλ' ἐκεῖνος μὲν λέγει αὐτὸ ὡς κάτι ποὺ ἐνδεχομένως νὰ συμβῇ· διότι προηγήθη τοῦ Χριστοῦ· ὁ Χριστὸς ὅμως ὡς κάτι ποὺ θὰ συμβῇ ὁπωσδήποτε, παρέχων τὴν ἀπόδειξιν ἀπὸ τὰς πράξεις του.

Ἂς μὴ ἔχωμεν λοιπὸν εἰς τὸν ἑαυτόν μας μεγάλην ἐμπιστοσύνην ἡμεῖς οἱ πιστοί, ἀλλὰ νὰ λέγωμεν εἰς τοὺς ἑαυτούς μας. «Αὐτὸς ποὺ νομίζει ὅτι στέκεται σταθερὸς ἂς προσέχῃ μήπως πέσῃ»[43]. Οὔτε νὰ καταλαμβανώμεθα ἀπὸ

μεν οἱ κείμενοι, ἀλλὰ λέγωμεν ἑαυτοῖς· «Μὴ ὁ πίπτων οὐκ ἀνίσταται;». Καὶ γὰρ πολλοὶ εἰς αὐτὴν τοῦ οὐρανοῦ τὴν κορυφὴν ἀνελθόντες καὶ πᾶσαν τὴν καρτερίαν ἐπιδειξάμενοι καὶ τὰς ἐρήμους κατειληφότες καὶ οὐδὲ γυναῖκα ὄναρ ἰδόν-
5 *τες, ῥαθυμήσαντες μικρὸν ὑπεσκελίσθησαν καὶ πρὸς αὐτὸ ἦλθον τῆς κακίας τὸ βάραθρον. Ἕτεροι δὲ πάλιν ἐκεῖθεν πρὸς τὸν οὐρανὸν ἀνέβησαν, καὶ ἀπὸ τῆς σκηνῆς καὶ τῆς ὀρχήστρας πρὸς τὴν ἀγγελικὴν μετετάξαντο πολιτείαν· καὶ τοσαύτην ἐπεδείξαντο τὴν ἀρετήν, ὡς δαίμονας ἀπελάσαι*
10 *καὶ πολλὰ ἄλλα σημεῖα τοιαῦτα ἐργάσασθαι. Καὶ τούτων μὲν πλήρεις εἰσὶν αἱ Γραφαί, πλήρης δὲ ὁ βίος τῶν παραδειγμάτων ἡμῖν. Καὶ πόρνοι καὶ μαλακοὶ τὰ Μανιχαίων ἐμφράττουσι στόματα, οἳ τὴν κακίαν ἀκίνητον εἶναί φασι, τῷ διαβόλῳ τελούμενοι, καὶ τὰς τῶν σπουδάζειν βουλομένων χεῖρας*
15 *ἐκλύοντες καὶ τὴν ζωὴν ἅπασαν ἀνατρέποντες. Οἱ γὰρ ταῦτα πείθοντες, οὐ πρὸς τὰ μέλλοντα παραβλάπτουσι μόνον, ἀλλὰ καὶ ἐνταῦθα πάντα ἄνω καὶ κάτω ποιοῦσι, τό γε αὐτῶν μέρος. Πότε γὰρ ἐπιμελήσεταί τις ἀρετῆς τῶν ἐν κακίᾳ ζώντων, ὅταν ἀδύνατον τὴν πρὸς ἐκείνην ἐπάνοδον εἶναι νομίζῃ*
20 *καὶ τὴν ἐπὶ τὸ βέλτιον μεταβολήν; Εἰ γὰρ νῦν, καὶ νόμων ὄντων καὶ κολάσεων ἠπειλημένων καὶ δόξης τοὺς πολλοὺς ἐκκαλουμένης καὶ γεέννης προσδοκωμένης καὶ βασιλείας ἐπηγγελμένης καὶ τῶν κακῶν ὀνειδιζομένων καὶ τῶν καλῶν ἐγκωμιαζομένων, μόλις αἱροῦνταί τινες τοὺς ὑπὲρ τῆς ἀ-*
25 *ρετῆς ἱδρῶτας· ἂν ταῦτα πάντα ἀνέλῃς, τί τὸ κωλῦον πάντα ἀπολέσθαι καὶ διαφθαρῆναι;*

6. Συνειδότες τοίνυν τὴν κακουργίαν τὴν διαβολικήν,

---

44. Ἰερ. 8, 4.
45. Μανιχαῖοι· ἦσαν ὀπαδοὶ τῆς θρησκείας τοῦ ἐκ Περσίας Μάνεντος, ἥτις προῆλθεν ἐκ τῆς περσικῆς διαρχίας τοῦ φωτὸς καὶ τοῦ σκότους, ὅπου ἀπέδιδεν ἀντιστοίχως τὸ ἀγαθὸν καὶ τὸ κακόν. Ἀργότερα προσέλαβε καὶ στοιχεῖα ἐκ τοῦ Χριστιανισμοῦ. Ὁ Μάνης ἦτο ὁ ὑπεσχημένος παράκλητος. Διὰ περισσότερα βλ. Ἠθ. Θρησκ. Ἐγκυκλ. τ. 8, 573-579.

ἀπόγνωσιν ὅσοι πίπτομεν, ἀλλὰ νὰ λέγωμεν εἰς τοὺς ἑαυτούς μας· «Μήπως αὐτὸς ποὺ πίπτει δὲν σηκώνεται καὶ πάλιν»[44]. Καθόσον πολλοὶ ἂν καὶ ἀνέβησαν εἰς αὐτὴν τὴν κορυφὴν τοῦ οὐρανοῦ καὶ ἐπέδειξαν ὅλην τὴν ὑπομονήν, καὶ μολονότι κατέλαβαν τὰς ἐρήμους καὶ δὲν εἶδαν οὔτε εἰς τὸ ὄνειρόν των γυναῖκα, ἐπειδὴ πρὸς στιγμὴν ἔδειξαν ὀκνηρίαν παρηγκωνίσθησαν καὶ ἔπεσαν εἰς αὐτὸ τὸ βάραθρον τῆς κακίας. Ἄλλοι δὲ πάλιν ἀπὸ ἐκεῖ ἀνέβησαν εἰς τὸν οὐρανόν, καὶ ἀπὸ τὸ θέατρον καὶ τὴν ὀρχήστραν μετεπήδησαν πρὸς τὴν ἀγγελικὴν πολιτείαν· καὶ τόσην ἀρετὴν ἐπέδειξαν, ὥστε νὰ ἐκδιώξουν δαίμονας καὶ νὰ κάμουν πολλὰ ἄλλα παρόμοια θαύματα. Καὶ αἱ μὲν Γραφαὶ εἶναι γεμᾶται ἀπὸ αὐτούς, ἡ δὲ ζωή μας εἶναι γεμάτη ἀπὸ αὐτὰ τὰ παραδείγματα. Ἔτσι καὶ πόρνοι καὶ ἀσήμαντοι κλείνουν τὰ στόματα τῶν Μανιχαίων[45], οἱ ὁποῖοι λέγουν ὅτι ἡ κακία εἶναι ἀκίνητος καὶ εὑρίσκονται ὑπὸ τὴν κυριαρχίαν τοῦ διαβόλου, καὶ παραλύουν τὰ χέρια αὐτῶν ποὺ θέλουν ν' ἀγωνισθοῦν διὰ τὸ καλὸν καὶ ἀνατρέπουν ἔτσι ὅλην τὴν ζωήν. Διότι αὐτοὶ ποὺ πιστεύουν εἰς αὐτὰ καὶ τὰ μεταδίδουν δὲν βλάπτουν μόνον ὡς πρὸς τὰ μελλοντικὰ ἀγαθά, ἀλλὰ καὶ ἐδῶ ὅλα τὰ κάνουν ἄνω - κάτω, ὅσον, βέβαια, ἐξαρτᾶται ἀπ' αὐτούς. Διότι πότε κανεὶς ἀπὸ αὐτοὺς ποὺ ζοῦν εἰς τὴν κακίαν θὰ φροντίσῃ διὰ τὴν ἀρετήν, ὅταν πιστεύῃ ὅτι εἶναι ἀδύνατος ἡ ἐπάνοδος πρὸς ἐκείνην καὶ ἡ μεταβολὴ πρὸς τὸ καλύτερον; Διότι ἐὰν τώρα ποὺ ὑπάρχουν καὶ νόμοι, καὶ ἀπειλαὶ περὶ τιμωριῶν, καὶ δόξα ποὺ διεγείρει τοὺς περισσοτέρους, καὶ γεέννα τοῦ πυρὸς ἀναμενομένη, καὶ βασιλεία τῶν οὐρανῶν ποὺ μᾶς ἔχει ὑποσχεθῆ, καὶ ὀνειδίζονται οἱ κακοὶ ἐνῷ ἐγκωμιάζονται οἱ καλοί, μόλις καὶ μετὰ δυσκολίας μερικοὶ προτιμοῦν τοὺς ἱδρῶτας ὑπὲρ τῆς ἀρετῆς, ἐὰν ὅλα αὐτὰ τὰ ἀφαιρέσῃς ποῖο εἶναι ἐκεῖνο ποὺ θὰ ἐμποδίσῃ νὰ χαθοῦν ὅλα καὶ νὰ διαφθαροῦν;

6. Ἀφοῦ λοιπὸν συνειδητοποιήσωμεν τὴν διαβολικὴν

καὶ ὅτι καὶ τοῖς ἔξω νομοθέταις καὶ τοῖς τοῦ Θεοῦ χρησμοῖς καὶ τοῖς τῆς φύσεως λογισμοῖς καὶ τῇ κοινῇ πάντων ἀνθρώπων δόξῃ καὶ βαρβάροις καὶ Σκύθαις καὶ Θρᾳξὶ καὶ πᾶσιν ἁπλῶς ἀπεναντίας οὗτοι καὶ οἱ τὰ τῆς εἱμαρμένης δόγματα 5 νομοθετεῖν ἐπιχειροῦντες, νήφωμεν, ἀγαπητοί, καὶ πᾶσιν ἐκείνοις ἐρρῶσθαι εἰπόντες, ὁδεύωμεν διὰ τῆς στενῆς ὁδοῦ, καὶ θαρροῦντες καὶ δεδοικότες· δεδοικότες μέν, διὰ τοὺς ἑκατέρωθεν κρημνούς· θαρροῦντες δέ, διὰ τὸν προηγούμενον ἡμῶν Ἰησοῦν. Ὁδεύωμεν νήφοντες καὶ ἐγρηγορότες. Κἂν 10 γὰρ μικρόν τις ἀπονυστάξῃ, κατηνέχθη ταχέως. Οὐ γάρ ἐσμεν ἀκριβέστεροι τοῦ Δαυΐδ, ὃς μικρὸν ὀλιγωρήσας πρὸς αὐτὸ κατεκρημνίσθη τῆς ἁμαρτίας τὸ βάραθρον. Ἀλλ' ἀνέστη ταχέως. Μὴ τοίνυν ὅτι ἥμαρτεν ἴδῃς μόνον, ἀλλ' ὅτι καὶ τὴν ἁμαρτίαν ἀπενίψατο. Διὰ γὰρ τοῦτο τὴν ἱστορίαν ἐκείνην 15 ἀνέγραψεν, οὐχ ἵνα πεσόντα θεάσῃ, ἀλλ' ἵνα ἀναστάντα θαυμάσῃς· ἵνα μάθῃς, ἐπειδὰν πέσῃς, πῶς ἀνίστασθαι χρή. Καθάπερ γὰρ οἱ ἰατροὶ τῶν νοσημάτων τὰ χαλεπώτατα ἐκλεγόμενοι ταῖς βίβλοις ἐγγράφουσι, καὶ τῆς τοιαύτης διορθώσεως τὴν μέθοδον διδάσκουσιν, ἵνα ἐν τοῖς μείζοσι γυ- 20 μνασάμενοι, ῥᾳδίως τῶν ἐλαττόνων περιγένωνται· οὕτω δὴ καὶ ὁ Θεὸς τὰ μέγιστα τῶν ἁμαρτημάτων εἰς μέσον ἤγαγεν, ἵνα καὶ οἱ τὰ μικρὰ πταίοντες δι' ἐκείνων ῥᾳδίαν τὴν τούτων διόρθωσιν εὕρωσιν. Εἰ γὰρ ἐκεῖνα ἔσχεν ἴασιν, πολλῷ μᾶλλον τὰ ἐλάττονα.

25 *Ἴδωμεν τοίνυν πῶς καὶ ἠρρώστησε, πῶς καὶ ἀνέστη*

---

46. Εἱμαρμένη· οὕτω ἐκαλεῖτο ἡ τύχη τοῦ κάθε ἀνθρώπου εἰς τὸν κόσμον μὲ ὅλας τὰς περιπετείας της· μὲ ἄλλα λόγια ἡ ἀναπότρεπτος μοῖρα, τὸ πεπρωμένον· Ἐπίσης ἐκαλεῖτο καὶ ἡ προσωποποιημένη ὑπερτάτη δύναμις ἡ ἄρχουσα ἐν τῇ φύσει καὶ ρυθμίζουσα τὰς πράξεις τῶν ἀνθρώπων. Ἡ πίστις εἰς τὴν εἱμαρμένην καλεῖται «μοιροκρατία», ἔναντι τῆς ὁποίας ὁ Χριστιανισμὸς ἀντιτάσσει τὴν πίστιν εἰς τὴν πρόνοιαν τοῦ Θεοῦ, καθ' ἣν τίποτε δὲν συμβαίνει τυχαίως, ἀλλὰ

κακουργίαν καὶ ὅτι ὅλοι αὐτοὶ ποὺ ἐπιχειροῦν νὰ νομοθετοῦν τὴν περὶ τῆς εἱμαρμένης[46] διδασκαλίαν ἀντιτίθενται καὶ πρὸς τοὺς μὴ Χριστιανοὺς νομοθέτας καὶ πρὸς τοὺς νόμους τοῦ Θεοῦ καὶ πρὸς τὴν λογικὴν τῆς φύσεως καὶ πρὸς τὴν κοινὴν ἀντίληψιν ὅλων γενικῶς τῶν ἀνθρώπων καὶ πρὸς αὐτοὺς τοὺς βαρβάρους, δηλαδή, καὶ πρὸς τοὺς Σκύθας καὶ τοὺς Θράκας, ἂς ἐπαγρυπνῶμεν, ἀγαπητοί μου, καὶ ἀφοῦ ἀποφύγωμεν ὅλους ἐκείνους ἂς βαδίζωμεν καὶ μὲ θάρρος καὶ μὲ φόβον διὰ τῆς στενῆς ἐκείνης ὁδοῦ. Μὲ φόβον μὲν ἐξ αἰτίας τῶν κρημνῶν ποὺ ὑπάρχουν καὶ ἀπὸ τὰ δύο μέρη, μὲ θάρρος δὲ ἐπειδὴ προηγεῖται ἀπὸ ἡμᾶς ὁ Ἰησοῦς. Ἂς βαδίζωμεν μὲ πνευματικὴν διαύγειαν καὶ ἄγρυπνοι. Ἐπειδὴ ἔστω καὶ ὀλίγον νὰ νυστάξῃ κανεὶς ἀμέσως θὰ καταποντισθῇ. Διότι δὲν εἴμεθα προσεκτικότεροι ἀπὸ τὸν Δαυΐδ, ὁ ὁποῖος ἀμελήσας μόνον ὀλίγον κατεκρημνίσθη μέσα εἰς αὐτὸ τὸ βάραθρον τῆς ἁμαρτίας. Ἀλλ' ἀμέσως ἐσηκώθη. Μὴ βλέπῃς λοιπὸν μόνον τὸ ὅτι ἡμάρτησεν, ἀλλὰ καὶ τὸ ὅτι ἀπέπλυνε τὴν ἁμαρτίαν του. Διότι ἡ Γραφὴ ἀκριβῶς δι' αὐτὸ περιέλαβεν αὐτὴν τὴν ἱστορίαν, ὄχι διὰ νὰ πληροφορηθῇς τὴν πτῶσιν του, ἀλλὰ διὰ νὰ θαυμάσῃς τὴν ἀνόρθωσίν του· διὰ νὰ διδαχθῇς πῶς πρέπει νὰ σηκώνεσαι ὅταν συμβῇ νὰ πέσῃς. Διότι, ὅπως ἀκριβῶς οἱ ἰατροί, ἀφοῦ ἐκλέξουν τὰ φοβερώτερα ἀπὸ τὰ νοσήματα τὰ γράφουν εἰς τὰ βιβλία καὶ διδάσκουν τὴν μέθοδον τῆς θεραπείας αὐτῶν, ὥστε μὲ τὸ νὰ εἶναι ἠσκημένοι εἰς τὰ βαρύτερα νὰ ἠμποροῦν εὐκόλως νὰ θεραπεύωνται ἀπὸ τὰ ἐλαφρότερα, ἔτσι, βέβαια, καὶ ὁ Θεὸς τὰ μεγαλύτερα ἀπὸ τὰ ἁμαρτήματα τὰ ἀπεκάλυψε διὰ νὰ ἠμποροῦν, μέσῳ αὐτῶν, νὰ ἐπιτύχουν εὐκόλως τὴν διόρθωσιν τῶν μικρῶν πταισμάτων των. Διότι ἐὰν ἐθεραπεύθησαν ἐκεῖνα πολὺ περισσότερον θὰ θεραπευθοῦν τὰ μικρότερα.

Ἂς ἰδοῦμεν λοιπὸν καὶ πῶς ἡμάρτησε καὶ πῶς ἐθερα-

τὰ πάντα εὑρίσκονται ὑπὸ τὴν προστασίαν τοῦ Θεοῦ καὶ μάλιστα ἡ ἀνθρωπίνη ὕπαρξις.

ταχέως ὁ μακάριος ἐκεῖνος. Τίς οὖν τῆς ἀρρωστίας ὁ τρόπος ἦν; Ἐμοίχευσε καὶ ἐφόνευσεν. Οὐδὲ γὰρ ἐγκαλύπτομαι λαμπρᾷ ταῦτα ἀνακηρύττων τῇ φωνῇ. Εἰ γὰρ τὸ Πνεῦμα τὸ ἅγιον οὐκ ἐνόμισεν αἰσχύνην, ταύτην ἀναθεῖναι πᾶσαν τὴν 5 *ἱστορίαν, πολλῷ μᾶλλον οὐδὲ ἡμᾶς συσκιάζειν χρή. Διόπερ οὐ μόνον αὐτὰ ἀνακηρύττω, ἀλλὰ καὶ ἕτερον προστίθημι. Καὶ γὰρ ὅσοι ταῦτα κρύπτουσιν, οὗτοι μάλιστα τὴν ἀρετὴν συσκιάζουσι τὴν ἐκείνου· καὶ ὥσπερ οἱ τὸν πόλεμον σιγῶντες τοῦ Γολιὰθ οὐ μικρῶν αὐτὸν ἀποστεροῦσι στεφάνων, οὕτω* 10 *καὶ οἱ ταύτην παρατρέχοντες τὴν ἱστορίαν.*

Ἆρα οὐ δοκεῖ παράδοξον εἶναι τὸ λεγόμενον; Οὐκοῦν ἀναμείνατε μικρόν, καὶ τότε εἴσεσθε ὅτι δικαίως ταῦτα ἡμῖν εἴρηται. Διὰ γὰρ τοῦτο αὔξω τὸ ἁμάρτημα καὶ παραδοξότερον ποιῶ τὸν λόγον, ἵνα ἐκ πλείονος τῆς περιουσίας τὰ 15 *φάρμακα κατασκευάσω. Τί οὖν ἐστιν ὃ προστίθημι; Τὴν ἀρετὴν τοῦ ἀνδρός· ὃ μεῖζον ποιεῖ καὶ τὸ ἔγκλημα. Οὐ γὰρ ὁμοίως πάντα ἐπὶ πάντων κρίνεται. «Δυνατοὶ γάρ», φησί, «δυνατῶς ἐτασθήσονται»· καί, «Ὁ εἰδὼς τὸ θέλημα τοῦ Κυρίου αὐτοῦ καὶ μὴ ποιῶν, δαρήσεται πολλάς». Ὥστε ἡ* 20 *πλείων γνῶσις πλείονός ἐστι κολάσεως ὑπόθεσις. Διὰ δὴ τοῦτο ὁ ἱερεὺς τὰ αὐτὰ τοῖς ἀρχομένοις ἁμαρτάνων, οὐ τὰ αὐτὰ πείσεται, ἀλλὰ πολλῷ χαλεπώτερα. Τάχα ὁρῶντες τὴν κατηγορίαν αὐξανομένην, τρέμετε καὶ δεδοίκατε, καὶ θαυμάζετέ με ὡς κατὰ κρημνῶν ἐρχόμενον. Ἀλλ' ἐγὼ οὕτω* 25 *θαρρῶ ὑπὲρ τοῦ δικαίου, ὅτι καὶ περαιτέρω πρόειμι· ὅσῳ γὰρ ἂν αὔξω τὸ ἔγκλημα, τοσούτῳ μᾶλλον δεῖξαι δυνήσομαι τὸ ἐγκώμιον τοῦ Δαυΐδ.*

47. Πρβλ. Β' Βασ. 11-12.
48. Σοφ. Σολ. 6, 6.
49. Λουκᾶ 12, 47.

πεύθη ἀμέσως ὁ μακάριος ἐκεῖνος Δαυΐδ. Ποία λοιπὸν ἦτο ἡ ἀρρώστια του; Ἐμοίχευσε καὶ ἐφόνευσε. Διότι δὲν αἰσθάνομαι ἐντροπὴν διακηρύσσων αὐτὰ μὲ δυνατὴν φωνήν. Διότι ἐὰν τὸ Πνεῦμα τὸ ἅγιον δὲν ἐθεώρησεν ἐντροπὴν νὰ παραθέσῃ ὅλην αὐτὴν τὴν ἱστορίαν[47], πολὺ περισσότερον οὔτε ἡμεῖς πρέπει νὰ τὴν ἐπισκιάζωμεν. Διὰ τοῦτο ἀκριβῶς δὲν διακηρύσσω μόνον αὐτὰ ἀλλὰ προσθέτω καὶ κάτι ἄλλο. Ὅτι, δηλαδή, ὅσοι ἀποκρύπτουν αὐτά, αὐτοὶ κατ' ἐξοχὴν ἐπικαλύπτουν τὴν ἀρετὴν ἐκείνου· καὶ ὅπως ἀκριβῶς αὐτοὶ ποὺ ἀποσιωποῦν τὸν πόλεμον τοῦ Γολιὰθ τὸν ἀποστεροῦν ὄχι ἀπὸ μικρὰ στεφάνια, τὸ ἴδιο πράττουν καὶ αὐτοὶ ποὺ παραλείπουν αὐτὴν τὴν ἱστορίαν.

Δὲν φαίνεται, λοιπόν, ὅτι εἶναι παράξενον αὐτὸ ποὺ ἐλέχθη; Δείξατε ὅμως ὀλίγην ὑπομονὴν καὶ τότε θὰ διαπιστώσετε ὅτι αὐτὰ δικαίως ἐλέχθησαν. Διότι διὰ τοῦτο αὐξάνω τὸ ἁμάρτημα καὶ κάνω πιὸ παράδοξον τὸν λόγον μου, διὰ νὰ παρασκευάσω τὰ φάρμακα μὲ περισσοτέραν ἀφθονίαν. Ποῖο λοιπὸν εἶναι αὐτὸ ποὺ προσθέτω; Τὴν ἀρετὴν τοῦ ἀνδρός, πρᾶγμα ποὺ κάνει μεγαλύτερον καὶ τὸ ἁμάρτημα. Διότι εἰς ὅλας τὰς περιπτώσεις δὲν κρίνονται ὅλα καθ' ὅμοιον τρόπον· διότι, λέγει, «Οἱ ἰσχυροὶ θὰ κριθοῦν μὲ μεγαλυτέραν αὐστηρότητα»[48]· καί· «Αὐτὸς ποὺ γνωρίζει τὸ θέλημα τοῦ κυρίου του καὶ δὲν τὸ πράττει θὰ τιμωρηθῇ πολὺ αὐστηρά»[49]. Ὥστε ἡ περισσοτέρα γνῶσις γίνεται αἰτία διὰ μεγαλυτέραν τιμωρίαν. Καὶ ἀκριβῶς δι' αὐτὸ ἐὰν ἱερεὺς ἤθελε διαπράξει τὰ ἴδια ἁμαρτήματα μὲ τὸ ποίμνιόν του, δὲν θὰ τιμωρηθῇ τὸ ἴδιο, ἀλλὰ πολὺ φοβερώτερα. Ἴσως ὅμως, βλέποντες νὰ αὐξάνῃ ἡ κατηγορία, νὰ τρέμετε καὶ νὰ φοβῆσθε καὶ νὰ μὲ ἐκλαμβάνετε κατάπληκτοι ὡς κάποιον ποὺ βαδίζει κατ' εὐθεῖαν εἰς τὸν κρημνόν. Ἀλλ' ὅμως ἐγὼ ἔχω τόσην ἐμπιστοσύνην εἰς τὴν ἀρετὴν τοῦ δικαίου ποὺ μὲ κάνει νὰ προχωρῶ πιὸ πέρα· διότι ὅσον θὰ αὐξήσω τὸ ἁμάρτημα, τόσον περισσότερον σπουδαῖον θὰ ἠμπορέσω νὰ παρουσιάσω τὸ ἐγκώμιον τοῦ Δαυΐδ.

Καὶ τί τούτων πλέον ἐστί, φησίν, εἰπεῖν; Πάνυ γε πλέον. Ὥσπερ γὰρ ἐπὶ τοῦ Κάιν οὐ φόνος μόνον τὸ γενόμενον ἦν, ἀλλὰ καὶ πολλῶν φόνων χεῖρον· οὐ γὰρ ἀλλότριον, ἀλλ' ἀδελφόν, καὶ ἀδελφὸν οὐκ ἠδικηκότα, ἀλλ' ἠδικημένον ἐφόνευσεν, οὐ μετὰ πολλοὺς φονέας, ἀλλὰ πρῶτος τὸ μίσος εὑρών· οὕτω δὴ καὶ ἐνταῦθα οὐ φόνος ἦν μόνον τὸ τόλμημα· οὐ γὰρ ὁ τυχὼν ἦν ἀνὴρ ὁ πεποιηκώς, ἀλλὰ προφήτης· καὶ οὐ τὸν ἠδικηκότα, ἀλλὰ τὸν ἠδικημένον ἀναιρεῖ· καὶ γὰρ ἠδίκητο ἐν τοῖς καιρίοις, τῆς γυναικὸς ἁρπαγείσης· ἀλλ' ὅμως μετ' ἐκεῖνο καὶ τοῦτο προσέθηκεν.

Εἴδετε πῶς οὐκ ἐφεισάμην τοῦ δικαίου; πῶς οὐδὲ μεθ' ὑποστολῆς τινος εἶπον τὰ πεπλημμελημένα αὐτῷ; Ἀλλ' ὅμως οὕτως ὑπὲρ τῆς ἀπολογίας θαρρῶ, ὅτι μετὰ τοσοῦτον ὄγκον τοῦ ἁμαρτήματος ἐβουλόμην παρεῖναι καὶ Μανιχαίους τοὺς μάλιστα ταῦτα κωμῳδοῦντας, καὶ τοὺς τὰ Μαρκίωνος νοσοῦντας, ἵνα ἐκ περιουσίας αὐτῶν ἐμφράξω τὰ στόματα. Ἐκεῖνοι μὲν γὰρ λέγουσιν, ὅτι ἐφόνευσε καὶ ἐμοίχευσεν· ἐγὼ δὲ οὐ τοῦτο λέγω μόνον, ἀλλὰ καὶ διπλοῦν τὸν φόνον ἀπέφηνα, ἀπό τε τοῦ ἠδικημένου, ἀπό τε τῆς ποιότητος τοῦ προσώπου τοῦ πεπλημμεληκότος.

7. Οὐ γάρ ἐστιν ἴσον πνεύματος ἀξιωθέντα καὶ τοσαῦτα εὐεργετηθέντα καὶ τηλικαύτην ἐσχηκότα παρρησίαν καὶ ἐν ἡλικίᾳ τοιαύτῃ τοιαῦτα τολμᾶν, καὶ τούτων πάντων χωρὶς τὸ αὐτὸ τοῦτο ποιεῖν. Ἀλλ' ὅμως καὶ ταύτῃ μάλιστα θαυμα-

50. Μαρκίων· κατήγετο ἀπὸ τὴν Σινώπην τοῦ Πόντου, υἱὸς ἐπισκόπου καὶ ὑπῆρξε μαθητὴς τοῦ Βασιλείδου. Ἔζησε τὸν 6' αἰ. καὶ ὑπῆρξε μέγας γνωστικός. Ἐδίδασκεν ὅτι ὁ ὕψιστος ἀγαθὸς Θεὸς τῆς Π. Διαθήκης ἔστειλε τὸν υἱόν του τὸν Χριστὸν διὰ ν' ἀπαλλάξῃ τὸν ἄνθρωπον ἀπὸ τὴν τυραννίαν τοῦ δευτέρου Θεοῦ, τοῦ δημιουργοῦ τοῦ κόσμου. Ὁ Χριστὸς εἶχε κατ' αὐτὸν φαινομενικὸν σῶμα. Ἡ πίστις εἰς τὸν Χριστὸν ἀποτελεῖ ὅρον διὰ τὴν μακαριότητα. Ἀπέρριπτε τὴν Π. Διαθήκην καὶ ἐκ τῆς Καινῆς ἐδέχετο τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον καὶ 10 ἐπιστολάς, πλὴν τῶν Ποιμαντικῶν καὶ τῆς πρὸς Ἑβραίους. Ἦτο αὐστηρῶν ἀρχῶν. Κατεπολεμήθη ὑπὸ τῆς Ἐκ-

Θὰ ἐρωτήσῃ λοιπὸν κάποιος· τί παραπάνω ἀπὸ αὐτὰ ἠμπορεῖς νὰ ἀναφέρῃς; Καὶ βέβαια ὑπάρχουν πάρα πολλά. Διότι ὅπως ἀκριβῶς εἰς τὴν περίπτωσιν τοῦ Κάϊν αὐτὸ ποὺ συνέβη δὲν ἦτο ἁπλοῦς φόνος, ἀλλὰ καὶ ἀπὸ πολλοὺς φόνους χειρότερον, ἐπειδὴ δὲν ἐφόνευσε ξένον, ἀλλὰ τὸν ἀδελφόν του, καὶ ἀδελφὸν μάλιστα ποὺ δὲν τὸν εἶχεν ἀδικήσει, ἀλλ' εἶχεν ἀδικηθῆ, καὶ ὄχι μετὰ ἀπὸ πολλοὺς φονέας, ἀλλὰ πρῶτος ἐφεῦρεν αὐτὸς τὸ βδέλυγμα, ἔτσι, βέβαια, καὶ ἐδῶ δὲν ἦτο μόνον φόνος τὸ ἐγχείρημα· διότι δὲν ἦτο κάποιος τυχαῖος ὁ ἄνδρας ποὺ ἔπραξεν αὐτό, ἀλλὰ προφήτης· καὶ δὲν φονεύει αὐτὸν ποὺ εἶχεν ἀδικήσει, ἀλλὰ αὐτὸν ποὺ εἶχεν ἀδικηθῆ· διότι πράγματι τὸν εἶχεν ἀδικήσει κατὰ τρόπον θανάσιμον, διότι τοῦ ἥρπαξε τὴν γυναῖκα του· ἀλλ' ὅμως μετὰ ἀπὸ ἐκεῖνο προσέθεσε καὶ τὸν φόνον.

Βλέπετε πῶς δὲν ἐλυπήθην τὸ δίκαιον; πῶς περιέγραψα τὰ ἁμαρτήματά του χωρὶς κανένα περιορισμόν; Ἀλλ' ὅμως ἔχω τόσην πεποίθησιν εἰς τὴν ἀπολογίαν, ὥστε μετὰ ἀπὸ τὸ τόσον βάρος τοῦ ἁμαρτήματος θὰ ἤθελα νὰ παρευρίσκωνται ἐδῶ καὶ οἱ Μανιχαῖοι, ποὺ αὐτοὶ κυρίως διακωμῳδοῦν ὅλα αὐτά, καθὼς καὶ οἱ πλανημένοι ὀπαδοὶ τοῦ Μαρκίωνος[50], διὰ νὰ τοὺς κλείσω τελείως τὰ στόματα. Διότι ἐκεῖνοι μὲν λέγουν ὅτι ἐφόνευσε καὶ ἐμοίχευσεν, ἐγὼ ὅμως λέγω ὄχι μόνον αὐτό, ἀλλὰ καὶ διπλοῦν ἐφανέρωσα τὸν φόνον, καὶ ἀπὸ τὸ ὅτι ἐφονεύθη ὁ ἀδικηθεὶς καὶ ἀπὸ τὴν ποιότητα τοῦ προσώπου ποὺ διέπραξε τὸν φόνον.

7. Διότι δὲν εἶναι τὸ ἴδιο πρᾶγμα, αὐτὸς ποὺ ἠξιώθη νὰ λάβῃ τὸ Πνεῦμα καὶ ἔτυχε τόσων πολλῶν εὐεργεσιῶν καὶ εἶχε τὸ κῦρος καὶ εὑρίσκετο εἰς τέτοιαν ἡλικίαν νὰ διαπράττῃ παρόμοια πράγματα μὲ ἐκεῖνον ποὺ δὲν ἔχει κανένα ἀπὸ ὅλα αὐτὰ τὰ πλεονεκτήματα. Ἀλλ' ὅμως κυρίως ὡς πρὸς αὐτὸ εἶναι ἀξιοθαύμαστος ὁ γενναῖος ἐκεῖνος ἄνδρας,

---

κλησίας μὲ πολὺ πεῖσμα. Διὰ περισσότερα βλ. Ἠθ. καὶ Θρησκ. Ἐγκυκλ. τ. 8, 743-748.

στός ἐστιν ὁ γενναῖος ἐκεῖνος ἀνήρ, ὅτι εἰς αὐτὸν τὸν πυθμένα τῆς κακίας καταπεσών, οὐκ ἀνέπεσεν, οὐδὲ ἀπέγνω, οὐδὲ ἔρριψεν ἑαυτὸν ὕπτιον, οὕτω παρὰ τοῦ διαβόλου καιρίαν λαβὼν πληγήν, ἀλλὰ ταχέως, μᾶλλον δὲ εὐθέως καὶ μετὰ
5 *πολλῆς τῆς σφοδρότητος καιριωτέραν ἔδωκεν ἢ ἔλαβε τὴν πληγήν. Καὶ ταὐτὸν γέγονεν, οἷον ἂν εἰ ἐν πολέμῳ καὶ παρατάξει βαρβάρου τινὸς εἰς ἀριστέως καρδίαν ἐμπήξαντος δόρυ, ἢ κατὰ τοῦ ἥπατος ἀφέντος βέλος, καὶ δεύτερον τῷ προτέρῳ τραῦμα προσθέντος ἐκείνου καιριώτερον, πεσὼν*
10 *καὶ αἵματι πολλῷ περιρρεόμενος πάντοθεν ὁ τὰς χαλεπὰς ταύτας λαβὼν πληγάς, καὶ ἀνασταίη ταχέως, καὶ δόρυ κατὰ τοῦ τοξεύσαντος ἀφεὶς νεκρὸν ἐπὶ τοῦ πεδίου δείξειεν εὐθέως. Οὕτω δὴ καὶ ἐνταῦθα, ὅσῳ ἂν μείζονα εἴπῃς τὴν πληγήν, τοσούτῳ θαυμαστοτέραν δεικνύεις τοῦ πληγέντος*
15 *τὴν ψυχήν, ὅτι ἴσχυσε μετὰ τὸ χαλεπὸν τοῦτο τραῦμα καὶ ἀναστῆναι καὶ στῆναι ἐν αὐτῷ τῷ τῆς φάλαγγος μετώπῳ καὶ τὸν τρώσαντα κατενεγκεῖν. Τοῦτο δὲ ἡλίκον ἐστίν, ἴσασι μάλιστα ὅσοι χαλεπαῖς περιπίπτουσιν ἁμαρτίαις. Οὐ γὰρ οὕτω γενναίας καὶ νεανικῆς ἐστι ψυχῆς ὀρθὰ βαδίζειν καὶ*
20 *διόλου τρέχειν, (ἔχει γὰρ ἡ τοιαύτη συνοδοιπόρον τὴν ἀγαθὴν ἐλπίδα, ἀλείφουσαν, διεγείρουσαν, νευροῦσαν, προθυμοτέραν ἐργαζομένην), ὡς τὸ μετὰ τοὺς μυρίους στεφάνους καὶ τὰ πολλὰ τρόπαια καὶ τὰς νίκας, τὴν ἐσχάτην ὑπομείνασαν ζημίαν, δυνηθῆναι πάλιν ἐπιλαβέσθαι τῶν αὐτῶν δρό-*
25 *μων. Καὶ ἵνα σαφέστερον ὃ λέγω γένηται, καὶ ἕτερον τοῦ προτέρου οὐδὲν ἔλαττον παραδείγματος εἰς μέσον ὑμῖν ἀγαγεῖν πειράσομαι. Ἐννόησον γάρ μοί τινα κυβερνήτην μυρία διαλαβόντα πελάγη, μετὰ τὸ τὴν θάλασσαν διαπλεῦσαι*

ὅτι, ἂν καὶ κατέπεσεν εἰς αὐτὸν τὸν πυθμένα τῆς κακίας, δὲν ἔχασε τὸ θάρρος του, οὔτε κατελήφθη ἀπὸ ἀπόγνωσιν, οὔτε ἄφησε τὸν ἑαυτόν του πεσμένον, ἂν καὶ ἐδέχθη θανατηφόρον πλῆγμα παρὰ τοῦ διαβόλου, ἀλλὰ ταχέως, μᾶλλον δὲ εὐθέως καὶ μὲ πολλὴν σφοδρότητα ἔδωσε περισσότερον θανατηφόρον πλῆγμα ἀπ' αὐτὸ ποὺ ἐδέχθη. Καὶ συνέβη ἐδῶ τὸ ἴδιο μὲ ἐκεῖνο ποὺ συμβαίνει εἰς τὸν πόλεμον καὶ κατὰ τὴν ὥραν τῆς μάχης, ὅταν κάποιος βάρβαρος καρφώσῃ τὸ δόρυ του εἰς τὴν καρδίαν κάποιου γενναίου στρατιώτου ἢ τοῦ ρίψῃ βέλος εἰς τὸ ἧπαρ καὶ ἔτσι τοῦ προσθέσει δεύτερον τραῦμα περισσότερον θανατηφόρον ἀπὸ τὸ πρῶτον, καὶ μολονότι εἶναι πεσμένος καὶ βρέχεται μὲ πολὺ αἷμα ἀπὸ ὅλα τὰ μέρη αὐτὸς ποὺ ἐδέχθη αὐτὰ τὰ φοβερὰ πλήγματα, ξαφνικὰ σηκώνεται καὶ ρίπτει δόρυ ἐναντίον ἐκείνου ποὺ τὸν ἐτόξευσε καὶ τὸν ἀφήνει εὐθέως νεκρὸν εἰς τὸ πεδίον τῆς μάχης. Ἔτσι βεβαίως καὶ ἐδῶ, ὅσον μεγαλυτέραν ἤθελες παρουσιάσει τὴν πληγὴν τόσον περισσότερον ἀξιοθαύμαστον παρουσιάζεις τὴν ψυχὴν ἐκείνου ποὺ ἐπλήγη, ἐπειδὴ εὗρε τὴν δύναμιν, μετὰ τὸ βαρὺ αὐτὸ τραῦμα, καὶ νὰ σηκωθῇ καὶ νὰ λάβῃ θέσιν εἰς τὴν γραμμὴν τῆς πολεμικῆς φάλαγγος καὶ νὰ καταβάλῃ αὐτὸν ποὺ τὸν ἐπλήγωσε. Πόσον μεγάλο δὲ εἶναι αὐτὸ τὸ γνωρίζουν πρὸ παντὸς ὅσοι ὑποπίπτουν εἰς βαρείας ἁμαρτίας. Διότι δὲν εἶναι τὸ ἴδιο πρᾶγμα μιὰ γενναία καὶ νεανικὴ ψυχὴ νὰ βαδίζῃ ὀρθὰ καὶ νὰ τρέχῃ διαρκῶς, (διότι ἡ τοιαύτη ψυχὴ ἔχει ὡς συνοδοιπόρον τὴν ἀγαθὴν ἐλπίδα ποὺ τὴν ἀλείφει, τὴν διεγείρει, τὴν ἐνδυναμώνει καὶ τὴν κάνει περισσότερον πρόθυμον), καὶ μία ψυχὴ ποὺ μετὰ ἀπὸ τὰ ἀμέτρητα βραβεῖα καὶ τὰς νίκας νὰ ὑποστῇ τὴν χειροτέραν ζημίαν καὶ νὰ ἠμπορέσῃ πάλιν νὰ συνεχίσῃ τοὺς ἰδίους ἀγῶνας. Καὶ διὰ νὰ γίνῃ περισσότερον σαφὲς αὐτὸ ποὺ λέγω θὰ προσπαθήσω νὰ σᾶς παρουσιάσω καὶ ἄλλο παράδειγμα ὄχι κατώτερον τοῦ προηγουμένου. Σκέψου λοιπὸν κάποιον κυβερνήτην ποὺ διῆλθε μύρια πελάγη, μετὰ τὸν διάπλουν ὁλοκλήρου τῆς θαλάσσης, μετὰ

ἅπασαν, μετὰ τοὺς πολλοὺς χειμῶνας καὶ τοὺς σκοπέλους καὶ τὰ κύματα, πολὺν ἔχοντα τὸν φόρτον, ἐν αὐτῷ καταποντιζόμενον τῷ στόματι τοῦ λιμένος, καὶ γυμνῷ μόλις τῷ σώματι τὸ χαλεπὸν τοῦτο διαφυγόντα ναυάγιον· πῶς πρὸς τὴν
5 θάλασσαν διακεῖσθαι εἰκὸς καὶ τὴν ναυτιλίαν καὶ τοὺς τοιούτους πόνους; Ἆρα αἱρήσεταί ποτε ὁ τοιοῦτος, εἰ μὴ σφόδρα γενναίας εἴη ψυχῆς, αἰγιαλὸν ἰδεῖν ἢ πλοῖον ἢ λιμένα; Οὐκ ἔγωγε οἶμαι· ἀλλ' ἐγκαλυψάμενος κείσεται, νύκτα τὴν ἡμέραν ὁρῶν καὶ πρὸς πάντα ἀπαγορεύων· καὶ μᾶλ-
10 λον αἱρήσεται προσαιτῶν ζῆν ἢ τῶν αὐτῶν ἅψασθαι πόνων. Ἀλλ' οὐχ ὁ μακάριος οὗτος τοιοῦτος· ἀλλὰ τοιοῦτον ναυάγιον ὑπομείνας, μετὰ τοὺς μυρίους πόνους καὶ ἱδρῶτας ἐκείνους, οὐκ ἔμεινεν ἐγκεκαλυμμένος, ἀλλὰ καὶ τὸ πλοῖον καθείλκυσε καὶ τὰ ἱστία πετάσας καὶ τὸ πηδάλιον μεταχει-
15 ρίσας, τῶν αὐτῶν ἅπτεται πόνων, καὶ πλείονα τὸν πλοῦτον εἰργάσατο πάλιν.

Εἰ δὲ τὸ στῆναι θαυμαστὸν οὕτω καὶ τὸ μὴ κεῖσθαι διόλου πεσόντα, τὸ καὶ ἀναστῆναι καὶ τοιαῦτα ἐργάσασθαι, πόσων οὐκ ἂν εἴη στεφάνων ἄξιον; Καίτοιγε πολλὰ ἦν τὰ
20 εἰς ἀπόγνωσιν αὐτὸν ἐμβάλλοντα· καὶ πρῶτον, τὸ μέγεθος τοῦ ἁμαρτήματος· δεύτερον, τὸ μὴ ἐν προοιμίοις τῆς ζωῆς, ὅτε καὶ πλείους αἱ ἐλπίδες, ἀλλὰ πρὸς τῷ τέλει ταῦτα παθεῖν. Οὐδὲ γὰρ ὁ ἔμπορος ἀπὸ λιμένος ἐξελθὼν εὐθέως καὶ ναυάγιον ὑπομείνας, ὁμοίως ἀλγεῖ τῷ μετὰ μυρίας ἐμπορίας
25 προσαράσσοντι σκοπέλῳ. Τρίτον, τὸ πολὺν ἤδη συνειληχότα πλοῦτον τοῦτο παθεῖν. Καὶ γὰρ οὐ μικρὰ ἀπέκειτο αὐτῷ φορτία τότε· οἷον τὰ κατὰ τὴν πρώτην ἡλικίαν, ἡνίκα ἐποί-

τὰς πολλὰς τρικυμίας καὶ τοὺς σκοπέλους καὶ τὰ κύματα, ἐπειδὴ εἶχε πολὺ φορτίον, νὰ καταβυθίζεται εἰς αὐτὴν τὴν εἴσοδον τοῦ λιμένος καὶ νὰ διασώζεται μόλις καὶ μετὰ βίας ἀπὸ τὸ φοβερὸν αὐτὸ ναυάγιον μὲ γυμνὸν τὸ σῶμα. Ποία θὰ ἠμποροῦσε νὰ εἶναι ἡ διάθεσίς του διὰ τὴν θάλασσαν, τὴν ναυτιλίαν καὶ τοὺς τοιούτου εἴδους ἐν γένει πόνους; Ἆρά γε θὰ θελήσῃ ποτὲ αὐτὸς ὁ ἄνθρωπος, ἐὰν δὲν ἔχῃ πάρα πολὺ γενναίαν ψυχήν, ν' ἀντικρύσῃ θάλασσαν ἢ πλοῖον ἢ λιμένα; Ἐγὼ τουλάχιστον νομίζω ὄχι· ἀλλὰ ξαπλωμένος εἰς τὸ κρεββάτι καὶ σκεπασμένος θὰ βλέπῃ τὴν ἡμέραν ὡσὰν νύκτα, ἐγκαταλείπων καὶ λησμονῶν τὰ πάντα. Καὶ μᾶλλον θὰ προτιμήσῃ νὰ ζῇ ὡς ἐπαίτης παρὰ νὰ πλησιάσῃ αὐτοὺς τοὺς πόνους. Ὅμως δὲν ἦτο τέτοιος ὁ μακάριος αὐτὸς Δαυΐδ· ἀλλὰ μολονότι ὑπέστη τέτοιο ναυάγιον, μετὰ τοὺς μυρίους ἐκείνους πόνους καὶ ἱδρῶτας δὲν ἔμεινε σκεπασμένος εἰς τὸ κρεββάτι του, ἀλλὰ καὶ τὸ πλοῖον ἔρριψεν εἰς τὴν θάλασσαν, καὶ ἀφοῦ ἤνοιξε τὰ πανιὰ καὶ ἔπιασε τὸ πηδάλιον εἰς τὰ χέρια του ἐπεχείρισε τοὺς ἰδίους πόνους καὶ πάλιν συνεκέντρωσε περισσότερον πνευματικὸν πλοῦτον.

Ἐὰν λοιπὸν τὸ νὰ παραμένῃ κανεὶς ἀσάλευτος καὶ τὸ νὰ μὴ μένῃ πεσμένος, ὅταν πέσῃ, εἶναι τόσον ἄξιον θαυμασμοῦ, πόσους στεφάνους δὲν θὰ ἤξιζε τὸ νὰ σηκωθῇ καὶ νὰ πράξῃ παρόμοια κατορθώματα; Καί, βέβαια, πολλὰ ἦσαν ἐκεῖνα ποὺ τὸν ὡδήγησαν εἰς ἀπόγνωσιν. Καὶ πρῶτα-πρῶτα τὸ μέγεθος τοῦ ἁμαρτήματος· δεύτερον τὸ ὅτι δὲν συνέβη αὐτὸ εἰς τὴν ἀρχὴν τῆς ζωῆς του, τότε ποὺ ἦσαν περισσότεραι καὶ αἱ ἐλπίδες, ἀλλὰ συνέβη νὰ τὰ πάθῃ αὐτὰ πρὸς τὸ τέλος τῆς ζωῆς του. Διότι οὔτε ὁ ἔμπορος, ποὺ ναυαγεῖ μόλις ἐξέλθῃ ἀπὸ τὸν λιμένα, λυπεῖται καθ' ὅμοιον τρόπον μὲ ἐκεῖνον ποὺ προσκρούει εἰς σκόπελον μετὰ ἀπὸ μύρια ταξίδια. Τρίτον, τὸ ὅτι ἔπαθεν αὐτὸ ἐνῷ ἤδη εἶχε συγκεντρώσει πολὺν πλοῦτον. Καθόσον τότε δὲν ἦσαν μικρὰ τὰ φορτία ποὺ ἦσαν ὑπὸ τὴν ἐξουσίαν του· ὅπως ἐπὶ παραδείγματι τὰ ὅσα συνέβησαν κατὰ τὴν νεανικὴν ἡλικίαν του ὅταν ἦτο βοσκός· τὰ

μαινε· τὰ κατὰ τὸν Γολιάθ, ὅτε τὸ λαμπρὸν τρόπαιον ἔστησε· τὰ κατὰ τὴν φιλοσοφίαν τὴν ἐπὶ τοῦ Σαούλ. Καὶ γὰρ τὴν εὐαγγελικὴν ἐπεδείκνυτο μακροθυμίαν, μυριάκις τὸν ἐχθρὸν εἰς χεῖρας ἑλὼν καὶ φεισάμενος διηνεκῶς· καὶ μᾶλλον ἑ-
5 *λόμενος ἐκπεσεῖν πατρίδος καὶ ἐλευθερίας καὶ αὐτῆς τῆς ζωῆς, ἢ τὸν ἀδίκως ἐπιβουλεύοντα ἀνελεῖν. Καὶ μετὰ τὴν βασιλείαν δὲ οὐ μικρὰ ἦν αὐτῷ τὰ κατωρθωμένα. Μετὰ δὲ τῶν εἰρημένων, καὶ ἡ παρὰ τῶν πολλῶν ὑπόληψις, καὶ τὸ λαμπρᾶς οὕτω δόξης ἐκπεσεῖν, οὐ τὸν τυχόντα ἐποίει θόρυ-*
10 *βον. Οὐδὲ γὰρ οὕτως αὐτὸν ἐκαλλώπιζεν ἡ πορφύρα, ὡς κατήσχυνεν ἡ τῆς ἁμαρτίας κηλίς.*

8. Ἴστε δὲ πάντως ἡλίκον ἐστὶν ἁμαρτήματα ἐκπομπεύεσθαι, καὶ πῶς μεγάλης δεῖται ψυχῆς ὁ τοιοῦτος, ὥστε μετὰ τὴν τῶν πολλῶν κατηγορίαν καὶ τὸ μάρτυρας ἔχειν τοσού-
15 *τους τῶν οἰκείων πλημμελημάτων, μὴ ἀναπεσεῖν. Ἀλλ' ὅμως ἅπαντα ταῦτα ὁ γενναῖος ἐκεῖνος τῆς ψυχῆς ἐξελκύσας τὰ βέλη, οὕτως ἔλαμψε μετὰ ταῦτα, οὕτως ἔσμηξε τὴν κηλῖδα, οὕτως ἐγένετο καθαρός, ὡς τῶν ἐκγόνων τῶν αὐτοῦ καὶ τελευτήσας τὰ ἁμαρτήματα παραμυθήσασθαι· καὶ ὅ-*
20 *περ ἐλέγετο περὶ τοῦ Ἀβραάμ, καὶ περὶ τούτου φαίνεται ὁ Θεὸς λέγων· μᾶλλον δὲ πολλῷ πλέον περὶ τούτου. Ἐπὶ μὲν γὰρ τοῦ πατριάρχου φησίν, ὅτι «Ἐμνήσθην τῆς διαθήκης τῆς πρὸς Ἀβραάμ»· ἐνταῦθα δὲ οὐ, τῆς διαθήκης, φησίν, ἀλλὰ πῶς; «Διὰ Δαυῒδ τὸν παῖδά μου ὑπερασπιῶ τῆς πόλε-*
25 *ως ταύτης». Καὶ τὸν Σολομῶντα δὲ διὰ τὴν πρὸς ἐκεῖνον εὔνοιαν οὐκ ἀφῆκε τηλικαύτην ἁμαρτήσαντα ἁμαρτίαν τῆς βασιλείας ἐκπεσεῖν. Καὶ τοσαύτη ἦν ἡ δόξα τοῦ ἀνδρός,*

---

51. Προβλ. Ἐξ. 2, 24.
52. Ἠσ. 37, 35.

συμβάντα είς τὸν ἀγῶνά του κατὰ τοῦ Γολιάθ, ὅταν ἔστησε τὸ λαμπρὸν ἐκεῖνο τρόπαιον, καὶ ἡ μεγαλοψυχία τὴν ὁποίαν ἔδειξεν εἰς τὸν Σαούλ. Διότι πράγματι ἐπέδειξε τὴν εὐαγγελικὴν μακροθυμίαν, διότι τὸν εὐσπλαγχνίζετο συνεχῶς ἂν καὶ μυρίας φορὰς εἶχε συλλάβει εἰς τὰ χέρια του τὸν ἐχθρόν· καὶ ἐπροτίμησε μᾶλλον νὰ χάσῃ τὴν πατρίδα του καὶ τὴν ἐλευθερίαν του καὶ αὐτὴν τὴν ζωήν του παρὰ νὰ φονεύσῃ αὐτὸν ποὺ τὸν ἐπεβουλεύθη ἀδίκως. Καὶ μετὰ τὴν βασιλείαν δὲ δὲν ἦσαν μικρὰ τὰ κατορθώματά του. Μαζὶ δὲ μὲ τὰ ὅσα ἐλέχθησαν καὶ ἡ ἐκτίμησις τῶν περισσοτέρων ἀνθρώπων πρὸς αὐτὸν καὶ τὸ ὅτι ἐξέπεσεν ἀπὸ τὸ μεγαλεῖον του, τοῦ προεκάλουν ἀσφαλῶς πολλὴν ταραχήν. Διότι οὔτε ἡ πορφύρα τοῦ ἔδιδε τόσην χαράν, ὅσον τὸν ἐντρόπιαζεν ἡ κηλὶς τῆς ἁμαρτίας.

8. Γνωρίζετε ὅμως ὁπωσδήποτε πόσον τρομερὸν πρᾶγμα εἶναι νὰ διασύρωνται τὰ ἁμαρτήματα καὶ ὅτι χρειάζεται ὁ τοιοῦτος ἄνθρωπος νὰ ἔχῃ μεγάλην ψυχήν, ὥστε, μετὰ τὴν κατηγορίαν τοῦ πλήθους καὶ τοὺς τόσους πολλοὺς μάρτυρας τῶν παραπτωμάτων του ποὺ εἶχε νὰ μὴ περιέλθῃ εἰς ἀληθινὴν ἀπόγνωσιν. Ἀλλ' ὅμως ὅλα αὐτὰ τὰ βέλη τῆς ψυχῆς ἀφοῦ τὰ ἔσυρεν ἔξω ὁ γενναῖος ἐκεῖνος ἄνδρας, τόσον ἔλαμψεν εἰς τὴν συνέχειαν, τόσον ἀπέπλυνε τὴν κηλῖδα καὶ τόσον καθαρὸς ἔγινεν, ὥστε νὰ παρηγοροῦνται οἱ ἀπόγονοί του μετὰ τὸν θάνατόν του διὰ τὰ ἁμαρτήματά των· καὶ αὐτὸ ἀκριβῶς ποὺ ἐλέγετο διὰ τὸν Ἀβραὰμ φαίνεται νὰ τὸ λέγῃ ὁ Θεὸς καὶ δι' αὐτόν· μᾶλλον δὲ πολὺ περισσότερον δι' αὐτόν. Διότι εἰς τὴν περίπτωσιν τοῦ Πατριάρχου λέγει, ὅτι «Ἐνεθυμήθην τὴν διαθήκην ποὺ ἔκαμα μαζὶ μὲ τὸν Ἀβραάμ»[51], ἐδῶ ὅμως λέγει, ὄχι τῆς διαθήκης, ἀλλὰ τί; «Ἐξ αἰτίας τοῦ δούλου μου Δαυῒδ θὰ ὑπερασπισθῶ αὐτὴν τὴν πόλιν»[52]. Καὶ τὸν Σολομῶντα δὲ ἐξ αἰτίας τῆς εὐνοίας του πρὸς ἐκεῖνον δὲν τὸν ἄφησε νὰ ἐκπέσῃ τῆς βασιλείας του ἂν καὶ διέπραξε τόσον μεγάλην ἁμαρτίαν. Καὶ τόσον μεγάλη ὑπῆρξεν ἡ δόξα τοῦ ἀνδρός, ὥστε ὁ Πέτρος μετὰ

ὥστε τὸν Πέτρον μετὰ τοσαῦτα ἔτη πρὸς Ἰουδαίους δημηγοροῦντα οὕτω λέγειν· «Ἐξὸν εἰπεῖν μετὰ παρρησίας πρὸς ὑμᾶς περὶ τοῦ πατριάρχου Δαυΐδ, ὅτι καὶ ἐτελεύτησε καὶ ἐτάφη». Καὶ ὁ Χριστὸς δὲ τοῖς Ἰουδαίοις διαλεγόμενος,
5 *δείκνυσιν αὐτὸν μετὰ τὴν ἁμαρτίαν πνεύματος ἠξιωμένον τοσοῦτον, ὡς καὶ περὶ τῆς αὐτοῦ θεότητος ἀξιωθῆναι προφητεῦσαι πάλιν· καὶ ἐντεῦθεν αὐτοὺς ἐπιστομίζων ἔλεγε· «Πῶς οὖν Δαυῒδ ἐν Πνεύματι Κύριον αὐτὸν καλεῖ, λέγων· εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου;». Καὶ*
10 *ὅπερ ἐπὶ τοῦ Μωϋσέως γέγονε, τοῦτο καὶ ἐπὶ τοῦ Δαυΐδ. Καθάπερ γὰρ τὴν Μαρίαν, καὶ ἄκοντος τοῦ Μωϋσέως, ἐκόλασεν ὁ Θεὸς διὰ τὴν εἰς τὸν ἀδελφὸν ὕβριν, ἐπειδὴ σφόδρα ἐφίλει τὸν ἅγιον· οὕτω καὶ τούτῳ παρὰ τοῦ παιδὸς ὑβρισθέντι ταχέως ἤμυνε, καὶ ταῦτα μὴ βουλομένῳ.*

15 *Ἱκανὰ μὲν οὖν καὶ ταῦτα, μᾶλλον δὲ πρὸ τῶν ἄλλων ταῦτα ἱκανὰ δεῖξαι τὴν ἀρετὴν τοῦ ἀνδρός. Ὅταν γὰρ ὁ Θεὸς ψηφίζηται, οὐδὲν δεῖ πλέον περιεργάζεσθαι. Εἰ δὲ βούλεσθε κατ᾽ εἶδος αὐτοῦ τὴν φιλοσοφίαν μαθεῖν, ἔξεστιν ὑμῖν ἐπελθοῦσι τὴν ἱστορίαν τὴν μετὰ τὴν ἁμαρτίαν, ἰδεῖν*
20 *αὐτοῦ τὴν παρρησίαν τὴν πρὸς τὸν Θεόν, τὴν εὔνοιαν, τὴν τῆς ἀρετῆς ἐπίδοσιν, τὴν εἰς ἐσχάτας ἀναπνοὰς ἀκρίβειαν.*

Ταῦτ᾽ οὖν ἔχοντες τὰ παραδείγματα, νήφωμεν καὶ σπουδάζωμεν μὴ καταπίπτειν· εἰ δέ ποτε καὶ πέσομεν, μὴ κεῖσθαι. Οὐδὲ γὰρ ἵνα ὑμᾶς εἰς ῥαθυμίαν ἐμβάλω, τὰ τοῦ Δαυῒδ
25 *ἁμαρτήματα εἶπον· ἀλλ᾽ ἵνα πλείονα φόβον ἐργάσωμαι. Εἰ*

---

53. Πράξ. 2, 29.
54. Ματθ. 22, 43-44.
55. Βλ. Α΄, Β΄ Βασ. καὶ Γ΄ Βασ. 1-2. Α΄ καὶ Β΄ Παραλ., Ψαλμούς, Ρούθ.

ἀπὸ τόσα χρόνια ὁμιλῶν πρὸς τοὺς Ἰουδαίους νὰ λέγῃ τὰ ἑξῆς· «Ἠμπορῶ νὰ σᾶς εἰπῶ μὲ παρησίαν διὰ τὸν πατριάρχην Δαυΐδ, ὅτι καὶ ἀπέθανε καὶ ἐτάφη»[53]. Ἀλλὰ καὶ ὁ Χριστός, ὁμιλῶν πρὸς τοὺς Ἰουδαίους, παρουσιάζει αὐτὸν ὅτι ἠξιώθη, μετὰ τὴν ἁμαρτίαν του, νὰ λάβῃ τόσην δωρεὰν τοῦ ἁγίου Πνεύματος, ὥστε νὰ ἀξιωθῇ νὰ προφητεύσῃ πάλιν καὶ διὰ τὴν ἰδικήν του θεότητα· καὶ κλείων τὰ στόματα αὐτῶν ἐξ αὐτοῦ τοῦ γεγονότος ἔλεγε· «Πῶς λοιπὸν ὁ Δαυΐδ πληρούμενος ἀπὸ τὸ Πνεῦμα ὀνομάζει αὐτὸν Κύριον λέγων· Εἶπεν ὁ Κύριος εἰς τὸν Κύριόν μου· Κάθισε εἰς τὰ δεξιά μου;»[54]. Καὶ ἀκριβῶς αὐτὸ ποὺ συνέβη μὲ τὸν Μωϋσῆν αὐτὸ συνέβη καὶ μὲ τὸν Δαυΐδ. Διότι ὅπως ἀκριβῶς τὴν Μαρίαν, ἐν ἀγνοίᾳ τοῦ Μωϋσέως, τὴν ἐτιμώρησεν ὁ Θεὸς ἐξ αἰτίας τῆς ὕβρεώς της πρὸς τὸν ἀδελφόν της, ἐπειδὴ ἠγάπα πάρα πολὺ τὸν ἅγιον, ἔτσι καὶ τὸν Δαυΐδ, ὅταν ἐκινδύνευσεν ἀπὸ τὸν υἱόν του ἀμέσως τὸν ἐβοήθησε, καὶ μάλιστα χωρὶς τὴν θέλησίν του.

Εἶναι λοιπὸν ἀρκετὰ καὶ αὐτά, μᾶλλον δὲ αὐτὰ εἶναι περισσότερον ἱκανὰ ἀπὸ τὰ ἄλλα διὰ νὰ δείξουν τὴν ἀρετὴν τοῦ ἀνδρός. Διότι ὅταν ὁ Θεὸς ἀποφασίζῃ, δὲν χρειάζεται πλέον νὰ ἐξετάζῃ κανεὶς τὸ θέμα. Ἐὰν ὅμως θέλετε νὰ γνωρίσετε καὶ τὰ ἐπὶ μέρους τῆς εὐσεβείας τοῦ Δαυΐδ, ἠμπορεῖτε νὰ ἐξετάσετε λεπτομερῶς τὴν ἱστορίαν ποὺ περιγράφει τὴν ζωήν του μετὰ ἀπὸ τὴν ἁμαρτίαν του, ὅπου θὰ ἰδῆτε τὴν παρρησίαν αὐτοῦ πρὸς τὸν Θεόν, τὴν εὔνοιαν τοῦ Θεοῦ πρὸς αὐτόν, τὴν πρόοδόν του εἰς τὴν ἀρετὴν καὶ τὴν κατὰ τὰς τελευταίας ἡμέρας τῆς ζωῆς του εὐσέβειάν του[55].

Ἔχοντες λοιπὸν ὑπ' ὄψιν αὐτὰ τὰ παραδείγματα ἂς διατηροῦμεν τὴν πνευματικήν μας διαύγειαν καὶ ἂς προσπαθοῦμεν νὰ μὴ πίπτωμεν εἰς τὸ βάραθρον τῆς ἁμαρτίας. Ἐὰν ὅμως ποτὲ ἠθέλαμεν πέσει, νὰ μὴ παραμένωμεν κατάκοιτοι. Διότι οὔτε σᾶς ἀνέφερα τὰ ἁμαρτήματα τοῦ Δαυΐδ διὰ νὰ σᾶς κάνω νὰ εἶσθε ἀδιάφοροι, ἀλλὰ διὰ νὰ σᾶς ἐμ-

γὰρ ὁ δίκαιος ἐκεῖνος ῥαθυμήσας μικρόν, τοιαῦτα ἐδέξατο τραύματα, τί πεισόμεθα ἡμεῖς καθ' ἑκάστην ὀλιγωροῦντες; Μὴ τοίνυν ὅτι ἔπεσεν ἴδῃς καὶ ῥαθυμήσῃς· ἀλλ' ἐννόησον πόσα καὶ μετὰ ταῦτα εἰργάσατο, πόσους θρήνους ἐπεδείξατο,
5 *πόσην μετάνοιαν, τὰς νύκτας ταῖς ἡμέραις προστιθείς, πηγὰς δακρύων ἀφιείς, τὴν κλίνην λούων τοῖς δάκρυσι, πρὸς τούτοις σάκκον περιβαλλόμενος. Εἰ δὲ ἐκεῖνος τοσαύτης ἐδεήθη τῆς ἐπιστροφῆς πότε δυνησόμεθα σωθῆναι ἡμεῖς, μετὰ τοσαῦτα ἁμαρτήματα ἀναλγήτως διακείμενοι; Ὁ μὲν γὰρ*
10 *πολλὰ ἔχων κατορθώματα ῥᾳδίως ἂν καὶ ἐντεῦθεν τὰ ἁμαρτήματα συσκιάσειεν· ὁ δὲ γυμνός, ὅπου ἂν δέξηται βέλος, καιρίαν δέχεται πληγήν.*

Ἵν' οὖν μὴ τοῦτο γένηται, ὁπλίσωμεν ἑαυτοὺς ἀγαθοῖς ἔργοις, κἂν προσγένηταί τι πλημμέλημα, ἀπονιψώμεθα·
15 *ἵνα καταξιωθῶμεν, εἰς δόξαν Θεοῦ ζήσαντες τὸν παρόντα βίον, τῆς μελλούσης ἀπολαῦσαι ζωῆς· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

βάλω περισσότερον φόβον. Διότι ἐὰν ἐκεῖνος ὁ δίκαιος, ἐπειδὴ ἠδιαφόρησεν ὀλίγον μόνον, ἐδέχθη τέτοιου εἴδους τραύματα, τί θὰ πάθωμεν ἡμεῖς ποὺ καθημερινῶς ἀμελοῦμεν; Μὴ προσέξῃς, λοιπόν, μόνον τὸ ὅτι ἔπεσε καὶ ἀδιαφορήσεις, ἀλλὰ σκέψου καὶ πόσα ἔπραξεν εἰς τὴν συνέχειαν, πόσους θρήνους ἐπέδειξε, πόσην μετάνοιαν, τὸ ὅτι προσέθεσεν εἰς τὰς ἡμέρας καὶ τὰς νύκτας, τὰς πηγὰς τῶν δακρύων ποὺ ἔχυσε, τὸ λούσιμον τῆς κλίνης του μὲ τὰ δάκρυά του, καὶ ἐπὶ πλέον τὸν σάκκον τῆς μετανοίας ποὺ περιεβλήθη. Ἐὰν δὲ ἐκεῖνος εἶχεν ἀνάγκην ἀπὸ τόσον μεγάλην ἐπιστροφήν, πότε θὰ ἠμπορέσωμεν νὰ σωθῶμεν ἡμεῖς, ποὺ ἐξακολουθοῦμεν νὰ εἴμεθα ἀναίσθητοι μετὰ ἀπὸ τόσα ἁμαρτήματα; Διότι αὐτὸς ποὺ ἔχει πολλὰ κατορθώματα, εὐκόλως θὰ ἠμποροῦσε μὲ αὐτὰ νὰ καλύψῃ τὰ ἁμαρτήματά του, ὁ γυμνὸς ὅμως ἀπὸ ἔργα ἀρετῆς, ὅπου καὶ ἂν δεχθῇ τὸ βέλος, ἡ πληγὴ ποὺ δέχεται εἶναι θανατηφόρος.

Διὰ νὰ μὴ συμβῇ λοιπὸν αὐτό, ἂς ὁπλίσωμεν τοὺς ἑαυτούς μας μὲ ἀγαθὰ ἔργα, καὶ ἂν συμβῇ κάποιο ἁμάρτημα, ἂς τὸ ἀποπλύνωμεν, ὥστε νὰ ἀξιωθῶμεν, ἀφοῦ ζήσωμεν τὸν παρόντα βίον μας εἰς δόξαν τοῦ Θεοῦ, νὰ ἀπολαύσωμεν καὶ τὴν μέλλουσαν ζωήν, τὴν ὁποίαν εἴθε νὰ συμβῇ νὰ ἐπιτύχωμεν ὅλοι μας, διὰ τῆς χάριτος καὶ τῆς φιλανθρωπίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΖ'

Ματθ. 8, 14 - 22

«Καὶ ἐλθὼν ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν Πέτρου, εἶδε τὴν πενθερὰν αὐτοῦ βεβλημένην καὶ πυρέσσουσαν· καὶ ἥψατο 5 *τῆς χειρὸς αὐτῆς, καὶ ἀφῆκεν αὐτὴν ὁ πυρετός· καὶ ἠγέρθη, καὶ διηκόνει αὐτῷ».*

1. Ὁ δὲ Μᾶρκος καί, εὐθέως, προσέθηκε, βουλόμενος καὶ τὸν χρόνον δηλῶσαι· οὗτος δὲ μόνον τὸ σημεῖον τέθεικε, τὸν χρόνον οὐκ ἐπισημηνάμενος. Καὶ οἱ μὲν ἄλλοι φασίν, ὅτι 10 *καὶ παρεκάλεσεν αὐτὸν ἡ κατακειμένη· οὗτος δὲ καὶ τοῦτο ἐσίγησε. Τοῦτο δὲ οὐκ ἔστι διαφωνίας, ἀλλὰ τὸ μὲν συντομίας, τὸ δὲ ἀκριβοῦς ἐξηγήσεως. Ἀλλὰ τίνος ἕνεκεν εἰσῆλθεν εἰς τὴν οἰκίαν τοῦ Πέτρου; Ἐμοὶ δοκεῖ, τρυφῆς μεταληψόμενος· τοῦτο γοῦν ἐδήλωσεν εἰπών· «Ἀνέστη, καὶ* 15 *διηκόνει αὐτῷ». Παρὰ γὰρ τοῖς μαθηταῖς κατήγετο, ὥσπερ καὶ παρὰ Ματθαίῳ, ὅτε αὐτὸν ἐκάλεσε, τιμῶν αὐτοὺς καὶ προθυμοτέρους ταύτῃ ποιῶν.*

Σὺ δέ μοι σκόπει καὶ ἐνταῦθα τοῦ Πέτρου τὴν αἰδῶ τὴν πρὸς αὐτόν. Ἔχων γὰρ τὴν πενθερὰν οἴκοι κειμένην 20 *καὶ πυρέσσουσαν σφοδρῶς, οὐχ εἵλκυσεν αὐτὸν εἰς τὴν οἰκίαν, ἀλλ' ἔμεινε καὶ τὴν διδασκαλίαν ἀπαρτισθῆναι καὶ τοὺς ἄλλους θεραπευθῆναι πάντας καὶ τότε αὐτὸν εἰσελθόντα παρεκάλεσεν. Οὕτως ἐξ ἀρχῆς ἐπαιδεύετο τὰ τῶν ἄλλων ἑαυτοῦ προτιθέναι. Οὐκοῦν οὐδ' αὐτὸς μόνον εἰσάγει, ἀλλ' αὐ-* 25 *τὸς αὐτομάτως ἐπέβη, μετὰ τὸ εἰπεῖν τὸν ἑκατόνταρχον, «Οὐκ εἰμὶ ἄξιος, ἵνα μου ὑπὸ τὴν στέγην εἰσέλθῃς», δεικνὺς ὅσον ἐχαρίζετο τῷ μαθητῇ. Καίτοι ἐννόησον οἷα ἦν τὰ δώματα τῶν ἁλιέων τούτων· ἀλλ' ὅμως οὐκ ἀπηξίου ὑπὸ τὰς καλύ-*

---

1. Μάρκ. 1, 29.
2. Πρβλ. Μάρκ. 1, 30. Λουκᾶ 4, 38.
3. Πρβλ. Ματθ. 9, 9-10.
4. Ματθ. 8, 8.

ΟΜΙΛΙΑ ΚΖ΄

Ματθ. 8, 14 - 22

«Καὶ ὅταν ἦλθεν εἰς τὴν οἰκίαν τοῦ Πέτρου, εἶδε τὴν πενθεράν του κατάκοιτον καὶ μὲ πυρετόν· καὶ ἔπιασε τὸ χέρι αὐτῆς καὶ ἀμέσως τὴν ἄφησεν ὁ πυρετός· καὶ ἐσηκώθη καὶ τοὺς ὑπηρετοῦσεν».

1. Ὁ μὲν Μᾶρκος προσέθεσε καὶ «εὐθέως»[1], θέλων νὰ φανερώσῃ καὶ τὸν χρόνον, αὐτὸς δὲ ἀνέφερε μόνον τὸ θαῦμα χωρὶς νὰ σημειώσῃ τὸν χρόνον. Καὶ οἱ μὲν ἄλλοι λέγουν, ὅτι καὶ παρεκάλεσε τὸν Ἰησοῦν ἡ κατάκοιτος»[2], αὐτὸς δὲ καὶ αὐτὸ τὸ ἀπεσιώπησεν. Αὐτὸ δὲ δὲν σημαίνει διαφωνίαν, ἀλλὰ τὸ μὲν ἕνα συνέβη χάριν συντομίας, τὸ δὲ ἄλλο πρὸς ἀκριβῆ ἐξήγησιν. Ἀλλὰ διὰ ποῖον λόγον εἰσῆλθεν εἰς τὴν οἰκίαν τοῦ Πέτρου; Ἐγὼ νομίζω, διὰ νὰ φάγῃ. Τὸ ἐφανέρωσε δὲ αὐτὸ λέγων τὰ ἑξῆς· «Ἐσηκώθη καὶ ὑπηρέτει αὐτόν». Διότι ἐπήγαινεν εἰς τὰς οἰκίας τῶν μαθητῶν του, ὅπως συνέβη νὰ ἐπισκεφθῇ καὶ τὴν οἰκίαν τοῦ Ματθαίου, ὅταν τὸν ἐκάλεσε διὰ μαθητήν του[3], διὰ νὰ τοὺς τιμήσῃ ἔτσι καὶ νὰ τοὺς κάνῃ μὲ αὐτὸ περισσότερον προθύμους.

Σὺ ὅμως πρόσεξε, παρακαλῶ, καὶ εἰς αὐτὴν τὴν περίπτωσιν τὸν σεβασμὸν τοῦ Πέτρου πρὸς αὐτόν. Διότι ἂν καὶ εἶχε τὴν πενθεράν του εἰς τὴν οἰκίαν του κατάκοιτον καὶ μὲ πυρετὸν μεγάλον, δὲν τὸν ἀκάλεσεν εἰς τὴν οἰκίαν του, ἀλλ' ἐπερίμενε νὰ τελειώσῃ καὶ τὴν διδασκαλίαν καὶ νὰ θεραπεύσῃ ὅλους τοὺς ἄλλους, καὶ τότε παρεκάλεσεν αὐτὸν νὰ μεταβῇ εἰς τὴν οἰκίαν του. Ἔτσι ἐδιδάσκετο ἀπὸ τὴν ἀρχὴν τὰ προτάσσῃ πρὶν ἀπὸ τὰ ἰδικά του πράγματα τῶν ἄλλων. Καί, βέβαια, δὲν τὸν ὁδηγεῖ ὁ Πέτρος εἰς τὴν οἰκίαν, ἀλλ' ὁ ἴδιος οἰκειοθελῶς εἰσῆλθε μετὰ ἀπὸ τοὺς λόγους τοῦ ἑκατοντάρχου· «Δὲν εἶμαι ἄξιος νὰ εἰσέλθῃς εἰς τὴν οἰκίαν μου»[4], δεικνύων ἔτσι τὴν εὔνοιάν του πρὸς τὸν μαθητήν του. Καὶ βέβαια, σκέψου τί λογῆς ἦσαν αἱ οἰκίαι αὐτῶν τῶν ἁλιέων· ἀλλ' ὅμως δὲν ἀπαξιοῦσε νὰ εἰσέρχεται εἰς τὰς πτω-

βας αὐτῶν εἰσιέναι τὰς εὐτελεῖς, παιδεύων σε διὰ πάντων τὸν ἀνθρώπινον καταπατεῖν τῦφον. Καὶ ποτὲ μὲν λόγοις θεραπεύει μόνον, ποτὲ δὲ καὶ τὴν χεῖρα ἐκτείνει, ποτὲ δὲ ἀμφότερα ταῦτα ποιεῖ, εἰς ὄψιν ἄγων τὴν ἰατρείαν. Οὐ γὰρ 5 *ἐβούλετο ἀεὶ μεθ' ὑπερβολῆς θαυματουργεῖν. Ἔδει γὰρ τέως λανθάνειν καὶ μάλιστα ἐπὶ τῶν μαθητῶν· καὶ γὰρ ἐκ πολλῆς ἡδονῆς πάντα ἂν ἐκήρυξαν. Καὶ τοῦτο δῆλον ἐξ ὧν καὶ μετὰ τὸ ἐλθεῖν εἰς τὸ ὄρος ἐδέησε τοῦ παραγγεῖλαι αὐτοῖς, ἵνα μηδενὶ εἴπωσιν.*

10 *Ἁψάμενος τοίνυν τοῦ σώματος, οὐχὶ τὸν πυρετὸν ἔσβεσε μόνον, ἀλλὰ καὶ καθαρὰν τὴν ὑγίειαν ἀπέδωκεν. Ἐπειδὴ γὰρ τὸ νόσημα εὐτελὲς ἦν, τῷ τρόπῳ τῆς ἰατρείας τὴν δύναμιν ἐπεδείκνυτο· ὅπερ οὐκ ἂν εἰργάσατο τέχνη ἰατρική. Ἴστε γὰρ ὅτι καὶ μετὰ τὴν ἀπαλλαγὴν τῶν πυρετῶν πολλοῦ* 15 *δεῖ χρόνου πάλιν τοῖς κάμνουσιν, ὥστε εἰς τὴν προτέραν ὑγίειαν ἐπανελθεῖν. Ἀλλὰ τότε ὁμοῦ πάντα ἐγένετο. Καὶ οὐκ ἐνταῦθα μόνον, ἀλλὰ καὶ ἐπὶ τῆς θαλάττης. Οὐδὲ γὰρ ἐκεῖ τοὺς ἀνέμους ἔπαυσε μόνον καὶ τὸν χειμῶνα, ἀλλὰ καὶ τὸν σάλον εὐθέως ἔστησεν, ὅπερ καὶ τοῦτο ξένον ἦν·* 20 *εἰ γὰρ καὶ ἡ ζάλη λήξειε, μέχρι πολλοῦ μένει τὰ ὕδατα σαλευόμενα. Ἀλλ' οὐκ ἐπὶ τοῦ Χριστοῦ οὕτως, ἀλλ' ὁμοῦ πάντα ἐλύετο· ὅπερ οὖν καὶ ἐπὶ τῆς γυναικὸς γέγονε. Διὰ τοῦτο καὶ ἐμφαίνων αὐτὸ ὁ εὐαγγελιστὴς ἔλεγεν· «Ἀνέστη καὶ διηκόνει αὐτῷ»· ὃ καὶ τῆς τοῦ Χριστοῦ δυνάμεως σημεῖον ἦν,* 25 *καὶ τῆς διαθέσεως τῆς γυναικός, ἣν περὶ τὸν Χριστὸν ἐπεδείκνυτο. Καὶ ἕτερον δέ τι μετὰ τούτων ἐντεῦθεν ἂν κατίδοιμεν, ὅτι καὶ τῇ ἑτέρων πίστει χαρίζεται ὁ Χριστὸς τὴν*

---

5. Προβλ. Ματθ. 17, 9.

χικὰς αὐτὰς καλύβας αὐτῶν, διὰ νὰ σὲ διδάξῃ δι' ὅλων αὐτῶν νὰ καταπατῇς τὴν ἀνθρωπίνην ἀλαζονείαν. Καὶ ἄλλοτε μὲ θεραπεύει μόνον μὲ λόγια, ἄλλοτε δὲ ἁπλώνει καὶ τὸ χέρι του, καὶ ἄλλοτε πάλιν πράττει καὶ τὰ δύο αὐτά, πραγματοποιῶν ἔτσι τὴν θεραπείαν. Διότι δὲν ἤθελε πάντοτε νὰ θαυματουργῇ ἔτσι ποὺ νὰ γίνεται ἀντιληπτὴ ἡ θεότης του, καθόσον ἔπρεπεν ἀκόμη νὰ μὴ γίνεται αὐτὴ ἀντιληπτὴ καὶ πρὸ πάντων ἀπὸ τοὺς μαθητάς του, διότι λόγῳ τῆς ὑπερβολικῆς χαρᾶς των θὰ τὰ διεκήρυσσαν ὅλα. Καὶ αὐτὸ γίνεται φανερὸν καὶ ἀπὸ ὅσα τοὺς εἶπε μετὰ τὴν ἀνάβασίν του εἰς τὸ ὅρος καὶ ἐχρειάσθη νὰ τοὺς παραγγείλῃ νὰ μὴ τὰ εἰποῦν εἰς οὐδένα[5].

Ὅταν ἤγγισε, λοιπόν, τὸ σῶμα της, δὲν ἔσβησε μόνον τὸν πυρετόν, ἀλλὰ καὶ τῆς ἐχάρισε τελείως τὴν ὑγείαν της. Διότι ἐπειδὴ ἡ ἀσθένεια ἦτο ἀσήμαντος μὲ τὸν τρόπον τῆς θεραπείας ἀπέδειξε τὴν δύναμίν του, πρᾶγμα τὸ ὁποῖο δὲν θὰ ἠμποροῦσε νὰ κάμῃ ἡ ἰατρικὴ τέχνη. Διότι γνωρίζετε ὅτι καὶ μετὰ τὴν ἀπαλλαγὴν τῶν πυρετῶν χρειάζεται πολὺς χρόνος πάλιν εἰς τοὺς ἀσθενεῖς, ὥστε νὰ ἐπανέλθουν εἰς τὴν ἀρχικήν των ὑγείαν. Ἀλλὰ τότε συνετελέσθησαν ὅλα μαζί. Καὶ αὐτὸ συνέβη ὄχι μόνον ἐδῶ, ἀλλὰ καὶ ὅταν ἦσαν εἰς τὴν θάλασσαν. Διότι οὔτε ἐκεῖ κατέπαυσε τοὺς ἀνέμους μόνον καὶ τὴν κακοκαιρίαν, ἀλλὰ καὶ τὴν τρικυμίαν τῆς θαλάσσης ἐσταμάτησε, πρᾶγμα ποὺ καὶ αὐτὸ ἦτο παράξενον· διότι καὶ ἂν ἀκόμη σταματήσῃ ἡ τρικυμία, ἐπὶ πολὺν χρόνον παραμένουν τὰ νερὰ ταρασσόμενα. Ὅμως δὲν συνέβη μὲ τὸν Χριστὸν τὸ ἴδιον, ἀλλὰ ὅλα μαζὶ ἐσταμάτησαν· πρᾶγμα λοιπὸν ποὺ συνέβη καὶ μὲ τὴν γυναῖκα. Διὰ τοῦτο καὶ ὁ εὐαγγελιστὴς δεικνύων αὐτὸ ἔλεγεν· «Ἐσηκώθη καὶ τὸν ὑπηρέτει», τὸ ὁποῖο ἦτο καὶ ἀπόδειξις τῆς δυνάμεως τοῦ Χριστοῦ καὶ τῆς διαθέσεως τῆς γυναικός, τὴν ὁποίαν ἔτρεφε διὰ τὸν Χριστόν. Καὶ κάτι ἄλλο μαζὶ μὲ αὐτὰ θὰ ἠμπορούσαμεν ἀπὸ αὐτὸ νὰ διαπιστώσωμεν, ὅτι δηλαδὴ καὶ μὲ τὴν πίστιν τῶν ἄλλων ὁ Χριστὸς χαρίζει τὴν ὑγείαν εἰς

ἑτέρων διόρθωσιν· (καὶ γὰρ καὶ ἐνταῦθα ἕτεροι αὐτὸν παρεκάλεσαν, ὡς καὶ ἐπὶ τοῦ παιδὸς ἑκατοντάρχου)· χαρίζεται δέ, ὅταν μὴ ἀπιστῇ θεραπεύεσθαι μέλλων, ἀλλ' ἢ διὰ νόσον μὴ δύνηται πρὸς αὐτὸν ἰέναι, ἢ δι' ἄγνοιαν μηδὲν μέγα
5 *περὶ αὐτοῦ φαντάζηται, ἢ διὰ ἡλικίαν ἄωρον.*

«Ὀψίας δὲ γενομένης, προσήνεγκαν αὐτῷ δαιμονιζομένους πολλούς, καὶ ἐξέβαλε τὰ πνεύματα ἀπ' αὐτῶν λόγῳ, καὶ πάντας τοὺς κακῶς ἔχοντας ἐθεράπευσεν, ὅπως πληρωθῇ τὸ ὑπὸ τοῦ προφήτου Ἠσαΐου λεχθέν, ὅτι τὰς ἀσθενείας
10 *ἡμῶν ἔλαβε καὶ τὰς νόσους ἐθεράπευσεν».*

Εἶδες τὸ πλῆθος εἰς πίστιν αὐξανόμενον λοιπόν; Οὐδὲ γὰρ τοῦ καιροῦ κατεπείγοντος ἀναχωρεῖν ἠνείχοντο· οὐδὲ γὰρ ἄκαιρον εἶναι ἐνόμιζον ἐν ἑσπέρᾳ προσάγειν τοὺς ἀρρώστους αὐτῶν. Σὺ δέ μοι σκόπει, πόσον πλῆθος θεραπευο-
15 *μένων παρατρέχουσιν οἱ εὐαγγελισταί, οὐχὶ καθ' ἕνα λέγοντες ἡμῖν καὶ διηγούμενοι, ἀλλ' ἑνὶ ῥήματι ἄφατον θαυμάτων ὑπερβαίνοντες. Εἶτα ἵνα μὴ πάλιν τὸ μέγεθος τοῦ θαύματος εἰς ἀπιστίαν ἐμβάλῃ, εἴγε δῆμον τοσοῦτον καὶ ποικίλα νοσήματα ἐν μιᾷ καιροῦ ῥοπῇ ἔλυσε καὶ διώρθωσεν,*
20 *ἐπάγει τὸν προφήτην μαρτυροῦντα τοῖς γινομένοις, μεγάλην πανταχοῦ τὴν ἀπὸ τῶν Γραφῶν ἀπόδειξιν ἡμῖν οὖσαν δεικνύς, καὶ τῶν σημείων αὐτῶν οὐκ ἐλάττονα· καί φησιν, ὅτι καὶ Ἠσαΐας ταῦτα εἶπεν, ὅτι «Τὰς ἀσθενείας ἡμῶν ἔλαβε καὶ τὰς νόσους ἐβάστασεν». Οὐκ εἶπεν, ἔλυσεν· ἀλλ', «Ἔλαβε*
25 *καὶ ἐβάστασεν»· ὃ περὶ ἁμαρτιῶν μᾶλλον εἰρῆσθαί μοι δοκεῖ*

ἄλλους (καθόσον καὶ ἐδῶ ἄλλοι τὸν παρεκάλεσαν, ὅπως καὶ εἰς τὴν περίπτωσιν τοῦ ἑκατοντάρχου)· χαρίζει δὲ τὴν ὑγείαν, ὅταν δὲν ἀπιστῇ αὐτὸς ποὺ πρόκειται νὰ θεραπευθῇ, ἀλλὰ ἢ δὲν ἠμπορεῖ ἐξ αἰτίας τῆς νόσου νὰ μεταβῇ πρὸς αὐτὸν ἢ λόγῳ ἀγνοίας δὲν ἠμπορεῖ νὰ σκεφθῇ τίποτε τὸ πνευματικῶς ἀνώτερον ἢ εὑρίσκεται ἀκόμη εἰς ἀνώριμον ἡλικίαν.

«Ὅταν δὲ ἔγινεν ἑσπέρα, τοῦ ἔφεραν πολλοὺς δαιμονιζομένους καὶ ἔβγαλε τὰ πονηρὰ πνεύματα ἀπὸ αὐτοὺς μὲ ἕνα λόγον, καὶ ἐθεράπευσεν ὅλους τοὺς ἀσθενεῖς, διὰ νὰ ἐκπληρωθῇ αὐτὸ ποὺ εἶπεν ὁ προφήτης Ἠσαΐας, ὅτι δηλαδὴ 'Αὐτὸς ἀνέλαβε τὰς ἀσθενείας μας καὶ ἐβάστασε τὰς νόσους μας'».

Εἶδες λοιπὸν ὅτι ηὔξανε συνεχῶς ἡ πίστις τοῦ πλήθους; Διότι δὲν ἤθελε νὰ φύγῃ μακρυὰ ἀπὸ τὸν Χριστόν, ἂν καὶ ἡ ὥρα ἦτο περασμένη, καθόσον δὲν ἐθεώρει ἀκατάλληλον τὴν ὥραν διὰ νὰ φέρῃ τοὺς ἀσθενεῖς του κατὰ τὴν ἑσπέραν. Σὺ ὅμως, παρακαλῶ, σκέψου πόσον πλῆθος θεραπευθέντων παραλείπουν οἱ εὐαγγελισταί, οἱ ὁποῖοι δὲν μᾶς λέγουν οὔτε μᾶς περιγράφουν τὸ καθένα ξεχωριστά, ἀλλὰ μὲ μίαν λέξιν παρατρέχουν ἀπερίγραπτον πέλαγος θαυμάτων. Ἀκολούθως δὲ διὰ νὰ μὴ ὁδηγήσῃ τὸ πλῆθος τῶν θαυμάτων εἰς ἀπιστίαν, καθόσον, βέβαια, τόσους ἀνθρώπους καὶ τόσα νοσήματα ἐθεράπευσε καὶ διώρθωσεν ἐντὸς ἐλαχίστου χρόνου, ἐπικαλεῖται τὸν προφήτην, ὁ ὁποῖος ἐπιβεβαιώνει τὰ ὅσα συνέβησαν, διὰ νὰ δείξῃ ὅτι ἡ Γραφὴ μᾶς παρέχει πολλὰς ἀποδείξεις διὰ ὅλας τὰς περιπτώσεις, ποὺ δὲν εἶναι κατώτεραι ἀπὸ τὰ θαύματα· καὶ λέγει, ὅτι καὶ ὁ Ἠσαΐας τὰ προεῖπεν αὐτά, ὅτι δηλαδὴ «Αὐτὸς ἀνέλαβε τὰς ἀσθενείας μας καὶ ἐβάστασε τὰς νόσους μας». Δὲν εἶπεν 'Ἔλυσεν', ἀλλ' «ἔλαβε καὶ ἐβάστασεν»· πρᾶγμα ποὺ νομίζω ὅτι ἐλέχθη ὑπὸ τοῦ προφήτου μᾶλλον διὰ τὰς ἁμαρτίας, συμφώνως πρὸς τοὺς λόγους τοῦ Ἰωάννου· «Νὰ

τῷ προφήτῃ συμφώνως Ἰωάννῃ τῷ λέγοντι· «Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου».

2. Πῶς οὖν ἐνταῦθα αὐτὸ περὶ νοσημάτων τίθησιν ὁ εὐαγγελιστής; Ἢ κατὰ ἱστορίαν τὴν μαρτυρίαν ἀναγινώσκων, 5 ἢ δηλῶν ὅτι τὰ πλείονα τῶν νοσημάτων ἐξ ἁμαρτημάτων ἐστὶ ψυχικῶν. Εἰ γὰρ τὸ κεφάλαιον, αὐτὸς ὁ θάνατος, ἐξ ἁμαρτίας ἔσχε τὴν ῥίζαν καὶ τὴν ὑπόθεσιν, πολλῷ μᾶλλον καὶ τῶν νοσημάτων τὰ πολλά· ἐπεὶ καὶ αὐτὸ τὸ παθητοὺς εἶναι ἡμᾶς ἐκεῖθε γέγονεν· «Ἰδὼν δὲ ὁ Ἰησοῦς πολλοὺς 10 ὄχλους περὶ αὐτόν, ἐκέλευσεν ἀπελθεῖν εἰς τὸ πέραν».

Εἶδες πάλιν τὸ ἀκόμπαστον; Οἱ μὲν γὰρ ἄλλοι φασίν, ὅτι τοῖς δαίμοσιν ἐπετίμα, ἵνα μὴ εἴπωσιν ὅτι αὐτός ἐστιν· οὗτος δέ φησιν, ὅτι τοὺς ὄχλους διωθεῖται. Ἐποίει δὲ τοῦτο, ὁμοῦ τε μετριάζειν ἡμᾶς παιδεύων, ὁμοῦ τε τὸν φθόνον πα- 15 ραμυθούμενος τὸν Ἰουδαϊκὸν καὶ διδάσκων ἡμᾶς μηδὲν πρὸς ἐπίδειξιν ποιεῖν. Οὐ γὰρ δὴ σώματα ἐθεράπευε μόνον, ἀλλὰ καὶ τὴν ψυχὴν διώρθου, καὶ φιλοσοφεῖν ἐπαίδευε, δι' ἀμφοτέρων ἑαυτὸν δεικνύς, καὶ τῷ λύειν τὰ νοσήματα καὶ τῷ μηδὲν πρὸς ἐπίδειξιν ποιεῖν. Καὶ γὰρ ἦταν αὐτῷ 20 προσηλωμένοι, φιλοῦντες αὐτὸν καὶ θαυμάζοντες, καὶ ὁρᾶν εἰς αὐτὸν βουλόμενοι. Τίς γὰρ ἂν ἀπέστη τοιαῦτα θαυματουργοῦντος; τίς οὐκ ἂν καὶ τὸ πρόσωπον ἠθέλησεν ἁπλῶς ἰδεῖν καὶ τὸ στόμα τὸ τοιαῦτα φθεγγόμενον; Οὐδὲ γὰρ θαυματουργῶν ἦν θαυμαστὸς μόνον, ἀλλὰ καὶ φαινόμενος ἁπλῶς 25 πολλῆς ἔγεμε χάριτος· καὶ τοῦτο ὁ προφήτης δηλῶν ἔλεγεν· «Ὡραῖος κάλλει παρὰ τοὺς υἱοὺς τῶν ἀνθρώπων». Εἰ

6. Ἰω. 1, 29.
7. Πρβλ. Λουκᾶ 4, 41.
8. Πρβλ. Ματθ. 12, 16.

ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ ὁποῖος μεταφέρει τὴν ἁμαρτίαν τοῦ κόσμου»[6].

2. Διατί, λοιπόν, ὁ εὐαγγελιστὴς τὸ χρησιμοποιεῖ αὐτὸ ἐδῶ διὰ τὰ νοσήματα; Ἢ ἀναφέρει τὴν μαρτυρίαν ἁπλῶς διὰ τὴν ἱστορίαν ἢ θέλει νὰ δηλώσῃ ὅτι τὰ περισσότερα ἀπὸ τὰ σωματικὰ νοσήματα προέρχονται ἀπὸ ψυχικὰ νοσήματα. Διότι ἐὰν τὸ σπουδαιότερον νόσημα, αὐτὸς ὁ θάνατος, δηλαδή, ἔχῃ τὴν ρίζαν καὶ τὴν αἰτίαν του εἰς τὴν ἁμαρτίαν, πολλῷ μᾶλλον τὰ περισσότερα ἀπὸ τὰ νοσήματα. Πρὸς τούτοις εἰς τὴν ἁμαρτίαν ὀφείλεται καὶ τὸ ὅτι πάσχομεν. «Ἐπειδὴ δὲ ὁ Ἰησοῦς εἶδε πολὺ πλῆθος ἀνθρώπων γύρω ἀπὸ αὐτόν, ἔδωσεν ἐντολὴν νὰ περάσουν εἰς τὴν ἀντικρυνὴν ὄχθην».

Εἶδες πάλιν τὴν μετριοφροσύνην του; Διότι οἱ μὲν ἄλλοι εὐαγγελισταὶ λέγουν, ὅτι ἐξεδίωκε τὰ δαιμόνια διὰ νὰ μὴ φανερώσουν ὅτι αὐτὸς εἶναι ὁ ἀναμενόμενος[7], ἐνῷ ὁ Ματθαῖος λέγει ὅτι τὴν ἰδίαν ἐντολὴν ἔδιδε καὶ εἰς τὰ πλήθη[8]. Τὸ ἔκανε δὲ αὐτὸ καὶ διὰ νὰ μᾶς διδάξῃ νὰ εἴμεθα μετριόφρονες, καὶ διὰ νὰ μετριάσῃ τὸν ἰουδαϊκὸν φθόνον, καὶ νὰ μᾶς διδάξῃ νὰ μὴ πράττωμεν τίποτε πρὸς ἐπίδειξιν. Διότι, βέβαια, δὲν ἐθεράπευε μόνον τὰ σώματα, ἀλλὰ καὶ τὴν ψυχὴν διώρθωνε καὶ ἐδίδασκε νὰ ἐρευνᾷ κανεὶς λογικῶς, δεικνύων ὡς ὑπόδειγμα καὶ μὲ τὰ δύο τὸν ἑαυτόν του, καὶ μὲ τὴν θεραπείαν, δηλαδή, τῶν νοσημάτων καὶ μὲ τὸ ὅτι δὲν ἔπραττε τίποτε πρὸς ἐπίδειξιν. Καθόσον ὑπῆρχαν ἄνθρωποι προσηλωμένοι εἰς αὐτόν, ποὺ τὸν ἀγαποῦσαν καὶ τὸν ἐθαύμαζαν, καὶ ἤθελαν νὰ τὸν βλέπουν συνεχῶς. Διότι ποῖος θὰ ἤθελε νὰ ἀπομακρυνθῇ ἀπὸ αὐτὸν ποὺ ἐνεργοῦσε τέτοιου εἴδους θαύματα; ποῖος δὲν θὰ ἤθελε νὰ ἰδῇ ἁπλῶς καὶ μόνον τὸ πρόσωπον καὶ τὸ στόμα τὸ ὁποῖον ἐδίδασκε τέτοια πράγματα; Διότι δὲν ἐθαυμάζετο μόνον διὰ τὰ θαύματά του, ἀλλὰ καὶ ἡ ἁπλῆ παρουσία του προσέδιδε πολλὴν χάριν· καὶ αὐτὸ δηλώνων ὁ Προφήτης ἔλεγεν· «Ἦτο πάρα πολὺ ὡραῖος ὡς πρὸς τὴν ὄψιν μεταξὺ ὅλων τῶν υἱῶν

δὲ ὁ Ἡσαΐας λέγει, «Οὐκ εἶχεν εἶδος οὐδὲ κάλλος», ἢ πρὸς τὴν τῆς θεότητος δόξαν τὴν ἀπόρρητον καὶ ἄφραστον τοῦτό φησιν· ἢ τὰ ἐν τῷ πάθει συμβάντα διηγούμενος, καὶ τὴν ἀτιμίαν ἣν ὑπέμεινεν ἐν τῷ καιρῷ τοῦ σταυροῦ, καὶ τὴν 5 εὐτέλειαν ἣν παρὰ πάντα τὸν βίον ἐπεδείξατο διὰ πάντων.

Οὐ πρότερον δὲ ἐκέλευσεν ἀπελθεῖν εἰς τὸ πέραν, ἕως οὗ ἐθεράπευσεν. Ἢ γὰρ ἂν οὐδὲ ἠνέσχοντο. Ὥσπερ οὖν ἐν τῷ ὄρει οὐχὶ δημηγοροῦντι παρέμενον μόνον, ἀλλὰ καὶ σιγῆς οὔσης ἠκολούθουν· οὕτω καὶ ἐνταῦθα οὐχὶ θαυματουρ-10 γοῦντι προσήδρευον, ἀλλὰ καὶ παυσαμένῳ πάλιν καὶ ἀπὸ τοῦ προσώπου πολλὴν τὴν ὠφέλειαν δεχόμενοι. Εἰ γὰρ Μωϋσῆς δεδοξασμένον τὸ πρόσωπον εἶχε, καὶ Στέφανος ὡς ἀγγέλου, ἐννόησον τὸν κοινὸν Δεσπότην οἷον εἰκὸς φαίνεσθαι τότε. Τάχα πολλοὶ νῦν εἰς ἐπιθυμίαν ἐνέπεσον τοῦ τὴν εἰ-15 κόνα ἐκείνην ἰδεῖν· ἀλλ' ἂν ἐθέλωμεν, πολλῷ βελτίονα ὀψόμεθα ἐκείνης. Ἂν γὰρ μετὰ παρρησίας τὸν παρόντα διανύσωμεν βίον, ἐπὶ τῶν νεφελῶν αὐτὸν δεξόμεθα, ἀπαντήσαντες ἐν ἀθανάτῳ καὶ ἀφθάρτῳ σώματι. Θέα δὲ πῶς αὐτοὺς οὐχ ἁπλῶς ἐλαύνει, ἵνα μὴ πλήξῃ. Οὐ γὰρ εἶπεν, ἀνα-20 χωρήσατε· ἀλλ' εἰς τὸ πέραν ἐκέλευσεν ἀπελθεῖν, προσδοκίαν διδοὺς τοῦ πάντως ἥξειν ἐκεῖ.

Καὶ οἱ μὲν ὄχλοι τοσαύτην ἐπεδείξαντο τὴν ἀγάπην, καὶ μετὰ πολλῆς ἠκολούθουν τῆς διαθέσεως· εἷς δέ τις χρημάτων δοῦλος καὶ πολλὴν ἔχων τὴν ἀπόνοιαν, «Προσελθὼν 25 φησι· διδάσκαλε, ἀκολουθήσω σοι, ὅπου δ' ἂν ἀπέρχῃ». Εἶδες πόσος ὁ τῦφος; Ἅτε γὰρ οὐκ ἀξιῶν μετὰ τοῦ ὄχλου

9. Ψαλμ. 44, 3.
10. Ἠσ. 53, 2.
11. Πρβλ. Ματθ. 8, 1.
12. Πρβλ. Πράξ. 6, 15.
13. Ματθ. 9, 19.

τῶν ἀνθρώπων»[9]. Ἐὰν δὲ ὁ Ἠσαΐας λέγῃ ὅτι «Δὲν εἶχεν ἐξωτερικὴν ὄψιν οὔτε κάλλος»[10], ἢ τὸ λέγει αὐτὸ ἐννοῶν τὴν ἀπόρρητον καὶ ἀνέκφραστον δόξαν τῆς θεότητος ἢ διηγεῖται τὰ ὅσα συνέβησαν κατὰ τὴν ὥραν τοῦ πάθους του, καὶ τὴν ἀτίμωσιν ποὺ ὑπέμεινε κατὰ τὴν ὥραν τοῦ σταυροῦ καὶ τὴν ἁπλότητα τὴν ὁποίαν ἔδειξεν δι᾽ ὅλων καθ᾽ ὅλην τὴν ζωήν του.

Δὲν ἔδωσεν δὲ ἐντολὴν προηγουμένως διὰ νὰ ἀναχωρήσουν εἰς τὴν ἀντικρυνὴν ὄχθην παρὰ μόνον ὅταν ἐθεράπευσε τοὺς ἀσθενεῖς. Διότι ὁπωσδήποτε δὲν θὰ ἠμποροῦσαν νὰ τὸ ὑποφέρουν αὐτό. Ὅπως ἀκριβῶς λοιπὸν εἰς τὸ ὄρος δὲν παρέμεναν ἐκεῖ μόνον ὅταν ἐδίδασκεν, ἀλλὰ τὸν ἀκολουθοῦσαν καὶ ὅταν ἐσιώπησεν[11], ἔτσι καὶ ἐδῶ δὲν ἔμειναν πλησίον του ἐν ὅσῳ ἐνεργοῦσε θαύματα μόνον, ἀλλὰ καὶ ὅταν ἔπαυσε νὰ θεραπεύῃ πάλιν τὸν ἠκολούθουν, καὶ ἀπεκόμιζαν μεγάλην ὠφέλειαν ἀπὸ τὸ ἀντίκρυσμα τοῦ προσώπου του. Διότι ἐὰν τὸ πρόσωπον τοῦ Μωϋσέως ἦτο πλῆρες ἀπὸ δόξαν, καὶ τοῦ Στεφάνου ἀγγελικόν[12], σκέψου τὸ πρόσωπον τοῦ Κυρίου ποίαν ὄψιν ἦτο φυσικὸν νὰ παρουσίαζε τότε. Καὶ ἴσως πολλοὶ τώρα ἐκυριεύθησαν ἀπὸ τὴν ἐπιθυμίαν νὰ ἰδοῦν τὴν μορφὴν ἐκείνην· ἀλλ᾽ ἂν θέλωμεν θὰ ἰδοῦμεν πολὺ πιὸ ὡραίαν ἀπὸ ἐκείνην. Διότι ἐὰν διανύσωμεν τὴν παροῦσαν ζωὴν μὲ παρρησίαν, θὰ τὸν ὑποδεχθοῦμεν ἐπάνω εἰς τὰς νεφέλας, ὅπου θὰ τὸν συναντήσωμεν μὲ ἀθάνατον καὶ ἄφθαρτον σῶμα. Πρόσεξε ὅμως ὅτι δὲν τοὺς ἀπομακρύνει τελείως ἀπὸ πλησίον του διὰ νὰ μὴ τοὺς λυπήσῃ. Διότι δὲν εἶπεν 'Ἀναχωρήσατε', ἀλλ᾽ ἔδωσεν ἐντολὴν νὰ περάσουν εἰς τὴν ἀντικρυνὴν ὄχθην, δίδων εἰς αὐτοὺς ἐλπίδα ὅτι ὁπωσδήποτε θὰ μεταβῇ ἐκεῖ.

Καὶ τὸ μὲν πλῆθος ἐπέδειξε τόσην μεγάλην ἀγάπην δι᾽ αὐτὸν καὶ τὸν ἠκολούθει μὲ πολλὴν προθυμίαν. Κάποιος ὅμως δοῦλος τῶν χρημάτων, ποὺ ἦτο πάρα πολὺ ἀλαζών, «Ἀφοῦ τὸν ἐπλησίασε λέγει· Διδάσκαλε, θὰ σὲ ἀκολουθήσω ὅπου καὶ ἂν μεταβῇς»[13]. Εἶδες πόση ἡ ἀλαζονεία του;

ἀριθμεῖσθαι, ἀλλ' ἐνδεικνύμενος ὅτι ὑπὲρ τοὺς πολλούς ἐστιν αὐτός, οὕτω πρόσεισι. Τοιαῦτα γὰρ τὰ ἤθη τὰ Ἰουδαϊκά· ἀκαίρου παρρησίας ἐστὶν ἀνάπλεα. Οὕτω καὶ ἄλλος μετὰ ταῦτα πάντων σιγώντων αὐτὸς ἀναπηδήσας, φησί· «Ποία
5 *ἐντολὴ πρώτη;». Ἀλλ' ὅμως οὐκ ἐπετίμησεν ὁ Δεσπότης τῇ ἀκαίρῳ παρρησίᾳ, παιδεύων ἡμᾶς καὶ τοὺς τοιούτους φέρειν. Διὰ τοῦτο οὐκ ἐλέγχει φανερῶς τοὺς πονηρὰ βουλομένους· πρὸς δὲ τὴν ὑπόνοιαν αὐτῶν ἀποκρίνεται αὐτοῖς μόνοις καταλιμπάνων εἰδέναι τὸν ἔλεγχον, καὶ διπλῇ αὐ-*
10 *τοὺς ὠφελῶν, τῷ τε δηλῶσαι ὅτι οἶδε τὰ ἐν τῷ συνειδότι, καὶ τῷ μετὰ τὴν ἐπίδειξιν ταύτην χαρίσασθαι τὸ λαθεῖν, καὶ δοῦναι πάλιν, εἰ βούλοιντο, ἑαυτοὺς ἀνακτήσασθαι· ὃ δὴ καὶ ἐπὶ τούτου ποιεῖ. Οὗτος γὰρ ἰδὼν τὰ πολλὰ σημεῖα καὶ πολλοὺς ἐπισυρομένους, προσεδόκησε χρηματίζεσθαι ἐκ τῶν*
15 *τοιούτων θαυμάτων· διόπερ καὶ ἀκολουθῆσαι ἔσπευδε. Καὶ πόθεν τοῦτο δῆλον; Ἀπὸ τῆς ἀποκρίσεως, ἧς ὁ Χριστὸς ποιεῖται, οὐ πρὸς τὴν ἐρώτησιν τῶν ῥημάτων, ἀλλὰ πρὸς τὴν γνώμην τῆς διανοίας ἀπαντῶν. Τί γάρ; φησί· χρήματα προσδοκᾷς ἀκολουθῶν ἐμοὶ συλλέγειν; εἶτα οὐχ ὁρᾷς ὅτι*
20 *οὔτε καταγώγιόν μοί ἐστιν, οὐδὲ τοσοῦτον ὅσον τοῖς ὄρνισιν; «Αἱ γὰρ ἀλώπεκες», φησί, «φωλεοὺς ἔχουσι καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις· ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνῃ». Ταῦτα δὲ οὐκ ἦν ἀποτρεπομένου, ἀλλ' ἐλέγχοντος μὲν τὴν πονηρὰν γνώμην,*
25 *παρέχοντος δέ, εἰ βούλοιτο, μετὰ τῆς τοιαύτης προσδοκίας ἀκολουθεῖν. Καὶ ἵνα μάθῃς αὐτοῦ τὴν πονηρίαν, ἀκούσας*

---

14. Ματθ. 22, 36.

Ἐπειδή, δηλαδή, ἀπαξιοῦσε νὰ περιληφθῇ εἰς τὸ πλῆθος, θέλων νὰ ἀποδείξῃ ὅτι αὐτὸς εὑρίσκεται ἐπάνω ἀπὸ τοὺς ἄλλους, τὸν πλησιάζει μὲ αὐτὰς τὰς διαθέσεις. Τέτοια, βέβαια, εἶναι τὰ ἰουδαϊκὰ ἤθη· εἶναι γεμᾶτα ἀπὸ ψεύτικον εὐσεβισμόν. Ἔτσι καὶ ἄλλος ἕνας εἰς τὴν συνέχειαν, ἐνῷ ὅλοι ἐσιώπουν, ἀφοῦ τὸν ἐπλησίασε, λέγει· «ποία εἶναι ἡ πρώτη ἐντολή;»[14]. Ἀλλ' ὅμως ὁ Κύριος δὲν τὸν ἔψεξε διὰ τὴν ἀνάρμοστον παρρησίαν του, διὰ νὰ μᾶς διδάξῃ νὰ ἀνεχώμεθα καὶ τοὺς ἀνθρώπους αὐτοῦ τοῦ εἴδους. Διὰ τοῦτο δὲν ἐλέγχει φανερὰ αὐτοὺς ποὺ σκέπτονται πονηρά. Δίδει ἀπάντησιν εἰς τὴν ἀλαζονείαν αὐτῶν, ἀφήνων αὐτοὺς μόνοι νὰ κάνουν τὸν ἔλεγχον, καὶ ἔτσι τοὺς ὠφελεῖ κατὰ διπλοῦν τρόπον, καὶ μὲ τὸ ὅτι φανερώνει ὅτι γνωρίζει τὰς ἐνδομύχους σκέψεις των, καὶ μὲ τὸ ὅτι μετὰ ἀπὸ αὐτὸν τὸν ἔλεγχον τοὺς ἀφήνει νὰ διαφύγουν τὴν προσοχὴν τῶν ἄλλων, καὶ τοὺς δίδει πάλιν, ἐὰν θέλουν, τὴν δυνατότητα νὰ ἐπανορθώσουν τοὺς ἑαυτούς των. Πρᾶγμα, βέβαια, ποὺ κάνει καὶ εἰς αὐτόν. Διότι αὐτός, βλέπων τὰ πολλὰ θαύματα καὶ πολλοὺς νὰ σύρωνται κυριολεκτικὰ ἀπὸ πίσω του, ἤλπισε ν' ἀποκτήσῃ χρήματα ἀπὸ τὰ θαύματα αὐτοῦ τοῦ εἴδους· διὰ τοῦτο ἀκριβῶς καὶ ἐβιάζετο νὰ τὸν ἀκολουθήσῃ.

Καὶ ἀπὸ ποῦ γίνεται αὐτὸ φανερόν; Ἀπὸ τὴν ἀπάντησιν ποὺ τοῦ δίδει ὁ Χριστός, ὁ ὁποῖος ἀπαντᾷ ὄχι εἰς τὴν ἐρώτησιν τῶν λόγων του, ἀλλὰ εἰς τὴν σκέψιν τῆς διανοίας του. Τί δηλαδή; λέγει· περιμένεις χρήματα νὰ συγκεντρώνῃς μὲ τὸ νὰ μὲ ἀκολουθήσῃς; ἀλλὰ δὲν βλέπεις ὅτι οὔτε κατάλυμα ἔχω, οὔτε καὶ ὡσὰν αὐτὸ ποὺ ἔχουν τὰ ὄρνια; «Διότι αἱ ἀλεποῦδες», λέγει, «ἔχουν φωλεάς, καὶ τὰ πτηνὰ τοῦ οὐρανοῦ κατοικίας· ὅμως ὁ Υἱὸς τοῦ ἀνθρώπου δὲν ἔχει ποῦ νὰ κλίνῃ τὴν κεφαλήν του». Αὐτὰ δὲν τὰ ἔλεγε διὰ νὰ τὸν ἀπομακρύνῃ, ἀλλὰ διὰ νὰ ἐλέγξῃ μὲν τὴν πονηρὰν σκέψιν του, καὶ νὰ τοῦ δώσῃ τὴν εὐκαιρίαν, ἐὰν ἤθελε, νὰ τὸν ἀκολουθήσῃ μὲ αὐτὰς τὰς προσδοκίας ὅμως. Καὶ διὰ νὰ γνωρίσῃς τὴν πονηρίαν του, μολονότι ἤκουσεν

ταῦτα καὶ ἐλεγχθεὶς οὐκ εἶπεν, ἕτοιμός εἰμι ἀκολουθῆσαι.

3. Καὶ πολλαχοῦ δὲ ἀλλαχοῦ τοῦτο φαίνεται ποιῶν ὁ Χριστός· φανερῶς μὲν οὐκ ἐλέγχει, ἀπὸ δὲ τῆς ἀποκρίσεως δηλοῖ τὴν γνώμην τῶν προσιόντων. Καὶ γὰρ ἐκείνῳ τῷ λέ-
5 *γοντι, «Διδάσκαλε ἀγαθέ», καὶ προσδοκήσαντι διὰ τῆς κολακίας αὐτὸν ἐπισπάσασθαι, πρὸς τὴν γνώμην ἀπεκρίνατο λέγων· «Τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθός, εἰ μὴ ὁ Θεός». Καὶ ὅτε ἔλεγον αὐτῷ, «Ἰδοὺ ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ζητοῦσί σε», ἐπειδὴ ἀνθρώπινόν τι ἔπασχον,*
10 *οὐκ ἀκοῦσαί τι τῶν χρησίμων βουλόμενοι, ἀλλ' ἐπιδείξασθαι ὅτι προσήκουσιν αὐτῷ, καὶ ταύτῃ κενοδοξῆσαι, ἄκουσον τί φησιν· «Τίς ἐστιν ἡ μήτηρ μου καὶ τίνες εἰσὶν οἱ ἀδελφοί μου;». Καὶ αὐτοῖς πάλιν τοῖς ἀδελφοῖς λέγουσιν αὐτῷ, «Φανέρωσον σεαυτὸν τῷ κόσμῳ», καὶ βουλομένοις ἐν-*
15 *τεῦθεν κενοδοξεῖν, ἔλεγεν· «Ὁ ὑμέτερος καιρός», φησίν, «ἀεὶ ἕτοιμος, ὁ δὲ ἐμὸς οὔπω πάρεστι».*

Καὶ ἀπὸ τῶν ἐναντίων δὲ τοῦτο ποιεῖ, ὡς ἐπὶ τοῦ Ναθαναήλ, λέγων· «Ἴδε ἀληθῶς Ἰσραηλίτης, ἐν ᾧ δόλος οὐκ ἔστι». Καὶ πάλιν· «Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ ἃ ἀ-
20 *κούετε καὶ βλέπετε». Οὐδὲ γὰρ ἐνταῦθα πρὸς τὰ ῥήματα, ἀλλὰ πρὸς τὴν γνώμην τοῦ πέμψαντος ἀπεκρίνατο. Καὶ τῷ δήμῳ δὲ πάλιν ὁμοίως πρὸς τὸ συνειδὸς διαλέγεται, λέγων· «Τί ἐξήλθετε εἰς τὴν ἔρημον ἰδεῖν;». Ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς ὡς περὶ εὐκόλου καὶ εὐριπίστου τινὸς διάκεισθαι*

---

15. Λουκᾶ 18, 18.
16. Λουκᾶ 18, 19.
17. Ματθ. 12, 47.
18. Ματθ. 12, 48.
19. Ἰω. 7, 4.
20. Ἰω. 7, 6. Καιρός· πρόκειται διὰ τὴν ὥραν τῆς σταυρώσεως καὶ τοῦ θανάτου τοῦ Κυρίου.
21. Μαθητὴς τοῦ Κυρίου ἀπὸ τὴν Κανᾶ, ὀνομαζόμενος ἀπὸ τοὺς συνοπτικοὺς εὐαγγελιστὰς Βαρθολομαῖος. Πρβλ. Ἰω. 1, 44 ἑ. 21, 2. Πράξ. 1, 13. Εἰς τὸν Κύριον τὸν ἔφερεν ὁ Φίλιππος.
22. Ἰω. 1, 48.

αὐτὰ καὶ ἠλέγχθη δὲν εἶπεν Ἐἶμαι ἕτοιμος νὰ σὲ ἀκολουθήσω.

3. Καὶ εἰς πολλὰς δὲ ἄλλας περιπτώσεις αὐτὸ φαίνεται νὰ κάνῃ ὁ Χριστός. Δὲν ἐλέγχει μὲν φανερά, ὅμως καθιστᾷ φανερὰν τὴν διάθεσιν τῶν προσερχομένων ἀπὸ τὴν ἀπάντησιν ποὺ δίδει. Διότι καὶ εἰς ἐκεῖνον ποὺ εἶπε, «Διδάσκαλε ἀγαθέ»[15], καὶ ἤλπιζε μὲ τὴν κολακείαν νὰ κερδίσῃ τὴν εὔνοιάν του ἀπήντησε πρὸς τὴν διάθεσίν του λέγων· «Τί μὲ ὀνομάζεις ἀγαθόν; κανεὶς δὲν εἶναι ἀγαθὸς παρὰ μόνον ἕνας, ὁ Θεός[16]. Καὶ ὅταν ἔλεγαν πρὸς αὐτόν, «Νά, σὲ ζητοῦν ἡ μητέρα σου καὶ τὰ ἀδέλφια σου»[17], ἐπειδὴ ἐπάθαιναν κάτι τι τὸ ἀνθρώπινον, μὲ τὸ νὰ μὴ θέλουν νὰ ἀκούσουν κάτι τι τὸ ὠφέλιμον ἀπὸ αὐτόν, ἀλλὰ νὰ δείξουν ὅτι εἶναι συγγενεῖς του καὶ κατ' αὐτὸν τὸν τρόπον νὰ φανοῦν ὅτι ματαιοδοξοῦν, ἄκουσε τί λέγει· «Ποία εἶναι ἡ μητέρα μου καὶ ποῖοι οἱ ἀδελφοί μου;»[18]. Καὶ εἰς αὐτοὺς πάλιν τοὺς ἀδελφούς του ποὺ ἔλεγαν εἰς αὐτόν, «Φανέρωσε τὸν ἑαυτόν σου εἰς τὸν κόσμον»[19] καὶ ἤθελαν ἐξ αὐτοῦ νὰ ματαιοδοξοῦν, ἔλεγεν· «ὁ ἰδικός σας καιρός, λέγει, εἶναι πάντοτε ἕτοιμος, ὁ ἰδικός μου ὅμως δὲν ἦλθεν ἀκόμη»[20].

Καὶ ἀπὸ τὰ ἀντίθετα δὲ κάμνει τὸ ἴδιο, ὅπως εἰς τὴν περίπτωσιν τοῦ Ναθαναήλ[21], λέγων· «Νὰ ἀληθινὸς Ἰσραηλίτης, εἰς τὸν ὁποῖον δὲν ὑπάρχει δόλος»[22]. Καὶ πάλιν· «Πηγαίνετε καὶ ἀναγγείλατε εἰς τὸν Ἰωάννην αὐτὰ ποὺ ἀκούετε καὶ βλέπετε»[23]. Διότι οὔτε ἐδῶ ἀπαντᾷ εἰς τὴν ἐρώτησιν, ἀλλὰ εἰς τὴν σκέψιν αὐτοῦ ποὺ τοὺς ἔστειλεν[24]. Ἀλλὰ καὶ μὲ τὸ πλῆθος τοῦ λαοῦ πάλιν συνομιλῶν ἀπευθύνεται πρὸς τὴν συνείδησίν του λέγων· «Τί ἐξήλθατε νὰ ἰδῆτε εἰς τὴν ἔρημον;»[25]. Διότι, ἐπειδὴ φυσικὸν ἦτο νὰ θεωροῦν αὐτοὶ τὸν Ἰωάννην ὡσὰν κάποιον ἀσταθῆ καὶ εὐκόλως ἀλλάσσοντα γνώμην ἄνθρωπον, διορθώνων αὐτὴν τὴν σκέψιν λέ-

---

23. Ματθ. 11, 4. Λουκᾶ 7, 22.
24. Προβλ. Ματθ. 11, 2.
25. Ματθ. 11, 7. Λουκᾶ 7, 24.

τοῦ Ἰωάννου, ταύτην διορθούμενος τὴν ὑποψίαν, φησί· «Τί ἐξήλθετε εἰς τὴν ἔρημον ἰδεῖν; κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον; ἢ ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον;», δι᾽ ἀμφοτέρων δηλῶν, ὅτι οὔτε οἴκοθέν ἐστιν εὐρίπιστος,
5 *οὔτε ὑπὸ τρυφῆς τινος μαλακισθήσεται. Οὕτω τοίνυν καὶ ἐνταῦθα πρὸς τὴν γνώμην τὴν ἀπόκρισιν ποιεῖται. Καὶ ὅρα πῶς καὶ ἐν τούτῳ πολὺ τὸ μέτριον ἐνδείκνυται. Οὐδὲ γὰρ εἶπεν, ὅτι ἔχω μέν, καταφρονῶ δέ· ἀλλ᾽ ὅτι οὐχ ἔχω. Εἶδες ὅση μετὰ τῆς συγκαταβάσεως ἡ ἀκρίβεια; Ὡς ὅταν ἐσθίῃ*
10 *καὶ πίνῃ, ὅταν φαίνηται ἀπεναντίας τῷ Ἰωάννῃ ποιῶν, καὶ τοῦτο τῆς τῶν Ἰουδαίων ἕνεκα σωτηρίας ποιεῖ, μᾶλλον δὲ τῆς οἰκουμένης ἁπάσης, ὁμοῦ μὲν τῶν αἱρετικῶν ἐμφράττων τὰ στόματα, ὁμοῦ δὲ καὶ τοὺς τότε ἐκ περιουσίας βουλόμενος ἐπισπάσασθαι.*

15 *«Ἕτερος δέ τις», φησίν, «εἶπεν αὐτῷ· Κύριε, ἐπίτρεψόν μοι πρῶτον ἀπελθεῖν, καὶ θάψαι τὸν πατέρα μου». Εἶδες τὸ διάφορον; πῶς ὁ μὲν ἀναισχύντως φησίν, «Ἀκολουθήσω σοι, ὅπου ἂν ἀπέρχῃ», οὗτος δέ, καίτοι ὅσιον πρᾶγμα αἰτῶν, φησίν, «Ἐπίτρεψόν μοι»; Ἀλλ᾽ οὐκ ἐπέτρεψεν· ἀλλά*
20 *φησιν· «Ἄφες τοὺς νεκροὺς θάψαι τοὺς ἑαυτῶν νεκρούς, σὺ δέ μοι ἀκολούθει». Πανταχοῦ γὰρ τῇ γνώμῃ προσεῖχε. Καὶ τίνος ἕνεκεν οὐκ ἐπέτρεψε; φησίν. Ὅτι καὶ οἱ ἐκεῖνο πληρώσοντες ἦσαν καὶ οὐκ ἔμελλεν ἄταφος μένειν· καὶ τοῦτον τῶν ἀναγκαιοτέρων ἀπάγεσθαι οὐκ ἐχρῆν. Εἰπὼν δέ,*
25 *«Τοὺς ἑαυτῶν νεκρούς», δείκνυσιν ὅτι οὗτος οὐκ ἔστιν αὐτοῦ νεκρός. Καὶ γὰρ τῶν ἀπίστων, ὡς ἔγωγε οἶμαι, ἦν ὁ τετελευτηκώς.*

Εἰ δὲ θαυμάζεις τὸν νεανίσκον, ὅτι ὑπὲρ πράγματος οὕτως ἀναγκαίου τὸν Ἰησοῦν ἠρώτησε καὶ οὐκ αὐτομάτως
30 *ἀπῆλθε, πολλῷ μᾶλλον θαύμασον, ὅτι καὶ κωλυθεὶς ἔμεινεν.*

---

26. Ματθ. 11, 7-8.

γει· «Τί ἐξήλθατε νὰ ἰδῆτε εἰς τὴν ἔρημον; κάλαμον σαλευόμενον ὑπὸ τοῦ ἀνέμου; ἢ ἄνθρωπον ἐνδεδυμένον μὲ ἁπαλᾶ ἐνδύματα;»[26], δηλώνων καὶ μὲ τὰ δύο, ὅτι οὔτε ἐκ φύσεως ἀλλάσσει εὐκόλως γνώμην, οὔτε πάλιν θὰ γίνῃ μαλθακὸς ἐὰν ἡ ζωή του γίνῃ τρυφηλή. Ἔτσι λοιπὸν καὶ ἐδῶ ἀπαντᾷ εἰς τὴν διάθεσιν. Καὶ πρόσεξε πῶς πάλιν καὶ εἰς τὴν περίπτωσιν αὐτὴν δείχνει ὅλην τὴν μετριοφροσύνην του. Διότι οὔτε εἶπεν, ὅτι 'Ἔχω μέν, ὅμως περιφρονῶ', ἀλλ' ὅτι 'Δὲν ἔχω'. Εἶδες πόση συγκατάβασις ὑπάρχει μαζὶ μὲ τὴν ἀκριβολογίαν; Ὥστε καὶ ὅταν τρώγῃ καὶ πίνῃ, καὶ φαίνεται νὰ ἐνεργῇ ἀντιθέτως πρὸς τὸν Ἰωάννην, καὶ αὐτὸ τὸ κάνει ἐξ αἰτίας τῆς σωτηρίας τῶν Ἰουδαίων, μᾶλλον δὲ ὁλοκλήρου τῆς οἰκουμένης, καὶ ἀφ' ἑνὸς μὲν κλείει τὰ στόματα τῶν αἱρετικῶν, ἀφ' ἑτέρου δὲ θέλει νὰ προσελκύσῃ τοὺς συγχρόνους του ἀπὸ τὰ ὑλικὰ ἀγαθὰ πρὸς τὴν διδασκαλίαν του.

Κάποιος ἄλλος δέ, λέγει, εἶπεν εἰς αὐτόν· «Κύριε, ἐπίτρεψέ με πρῶτα νὰ ἀπέλθω καὶ νὰ θάψω τὸν πατέρα μου». Βλέπεις τὴν διαφοράν; πῶς ὁ μὲν λέγει μὲ τόσην θρασύτητα «Θὰ σὲ ἀκολουθήσω ὅπου καὶ ἂν ὑπάγῃς», αὐτὸς ὅμως, μολονότι ἐζήτει δίκαιον πρᾶγμα, λέγει· «Ἐπίτρεψέ με»; Ὅμως δὲν τὸν ἐπέτρεψεν· ἀλλὰ λέγει· «Ἄφησε τοὺς πνευματικῶς νεκροὺς νὰ θάψουν τοὺς ἰδικούς των νεκρούς, σὺ ὅμως ἀκολούθησέ με». Διότι παντοῦ ἐπρόσεχεν εἰς τὴν σκέψιν. Καὶ διατί δὲν τὸν ἐπέτρεψε; θὰ εἰπῇ κανείς. Διότι καὶ ὑπῆρχαν αὐτοὶ ποὺ θὰ ἐκτελοῦσαν ἐκείνην τὴν πρᾶξιν, καὶ δὲν ἐπρόκειτο νὰ μείνῃ ἄταφος· καὶ αὐτὸς δὲν ἔπρεπε νὰ ἀπομακρυνθῇ ἀπὸ τὰ πλέον ἀναγκαῖα. Λέγων δέ, «τοὺς ἰδικούς των νεκρούς», δεικνύει ὅτι αὐτὸς δὲν ἦτο ἰδικός του νεκρός. Καθόσον, ὅπως ἐγὼ τουλάχιστον νομίζω, αὐτὸς ποὺ ἀπέθανεν ἦτο ἀπὸ τοὺς ἀπίστους.

Ἐὰν δὲ θαυμάζῃς τὸν νεανίσκον ἐπειδὴ ἠρώτησε τὸν Ἰησοῦν διὰ τέτοιο ἀναγκαῖον πρᾶγμα, καὶ δὲν ἔφυγεν αὐθόρμητα, πολὺ περισσότερον θαύμασε, ὅτι ἔμεινεν ὅταν ἠμ-

*Ἆρ' οὖν οὐκ ἦν ἀχαριστίας ἐσχάτης, φησί, τὸ μὴ παραγενέσθαι θαπτομένου τοῦ πατρός; Εἰ μὲν ἀπὸ ῥαθυμίας ἐποίησεν, ἀχαριστίας ἦν· εἰ δέ, ὥστε μὴ ἐγκόψαι ἔργον ἀναγκαιότερον, τὸ ἀπελθεῖν μάλιστα ἀγνωμοσύνης ἦν τῆς ἐσχάτης.
5 Καὶ γὰρ ὁ Ἰησοῦς ἐκώλυσεν αὐτόν, οὐχὶ καταφρονεῖν τῆς εἰς τοὺς γεγεννηκότας τιμῆς κελεύων, ἀλλὰ δεικνὺς ὅτι οὐδὲν τῶν οὐρανίων πραγμάτων ἡμῖν ἀναγκαιότερον εἶναι χρή, καὶ ὅτι μετὰ σπουδῆς ἁπάσης τούτων ἔχεσθαι δεῖ, καὶ οὐδὲ μικρὸν ἀναβάλλεσθαι, κἂν σφόδρα ἀπαραίτητα καὶ κατε-
10 πείγοντα ᾖ τὰ ἐφέλκοντα. Τί γὰρ ἀναγκαιότερον ἂν εἴη τοῦ θάψαι πατέρα; τί δὲ εὐκολώτερον; Οὐδὲ γὰρ χρόνον πολὺν ἀναλῶσαι ἦν. Εἰ δὲ μηδὲ ὅσον εἰς ταφὴν πατρὸς καιρὸν ἀναλῶσαι δεῖ, οὐδὲ τοσοῦτον ἀπολιμπάνεσθαι τῶν πνευματικῶν ἀσφαλές· ἐννόησον τίνος ἂν εἴημεν ἄξιοι οἱ πάντα τὸν χρό-
15 νον ἀφιστάμενοι τῶν τῷ Χριστῷ προσηκόντων πραγμάτων καὶ τὰ σφόδρα εὐτελῆ τῶν ἀναγκαίων προτιθέντες καὶ μηδενὸς κατεπείγοντος ῥαθυμοῦντες. Καὶ ἐντεῦθεν δὲ τῆς διδασκαλίας τὴν φιλοσοφίαν θαυμάζειν χρή, ὅτι σφόδρα αὐτὸν προσήλωσε τῷ λόγῳ· καὶ μετὰ τούτου τῶν μυρίων ἀπήλ-
20 λαξε κακῶν; οἷον θρήνων καὶ πένθους καὶ τῶν ἐντεῦθεν ἐκδεχομένων. Μετὰ γὰρ τὸ θάψαι ἀνάγκη λοιπὸν ἦν καὶ διαθήκας περιεργάζεσθαι, καὶ κλήρου διανομήν, καὶ τὰ ἄλλα ὅσα τούτοις ἕπεται ἅπαντα· καὶ οὕτω κύματα ἐκ κυμάτων αὐτὸν διαδεχόμενα πορρωτάτω τοῦ τῆς ἀληθείας ἀπῆγε
25 λιμένος. Διὰ τοῦτο αὐτὸν ἕλκει καὶ ἑαυτῷ προσηλοῖ. Εἰ*

ποδίσθη νὰ φύγῃ. Ἆρα, λοιπόν, δὲν ἦτο αὐτὸ δεῖγμα μεγίστης ἀχαριστίας θὰ εἰπῇ κανεὶς τὸ νὰ μὴ παρευρεθῇ εἰς τὴν ταφὴν τοῦ πατέρα του; Ἐὰν μὲν τὸ ἔκαμεν ἀπὸ ἀδιαφορίαν, ἦτο ἀχαριστία, ἐὰν ὅμως διὰ νὰ μὴ διακόψῃ ἔργον πιὸ ἀναγκαῖον, ἡ ἀναχώρησις ὁπωσδήποτε θὰ ἦτο ἀγνωμοσύνη εἰς τὸν ἔσχατον βαθμόν. Καθόσον ὁ Ἰησοῦς ἠμπόδισεν αὐτὸν ὄχι διὰ νὰ μᾶς προτρέψῃ νὰ περιφρονοῦμεν τὴν τιμὴν πρὸς τοὺς γονεῖς μας, ἀλλὰ διὰ νὰ δείξῃ, ὅτι πρέπει τίποτε νὰ μὴ θεωρῶμεν ἀναγκαιότερον ἀπὸ τὰ οὐράνια πράγματα καὶ ὅτι πρέπει νὰ ἐπιζητοῦμεν αὐτὰ μὲ ὁλόκληρον τὸν ζῆλόν μας, καὶ νὰ μὴ ἀναβάλλωμεν οὐδὲ κατ' ἐλάχιστον, καὶ ἂν ἀκόμη αὐτὰ ποὺ μᾶς ἑλκύουν εἶναι πάρα πολὺ ἀπαραίτητα καὶ κατεπείγοντα. Διότι τί πιὸ ἀναγκαῖον θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ ἀπὸ τοῦ νὰ θάψῃ τὸν πατέρα; τί δὲ πιὸ εὔκολον; Διότι οὔτε ἐχρειάζετο νὰ ἐξοδεύσῃ πολὺν χρόνον. Ἐὰν ὅμως δὲν ἐπιτρέπεται νὰ διαθέτωμεν οὔτε ὅσος καιρὸς χρειάζεται διὰ τὴν ταφὴν τοῦ πατέρα, οὔτε εἶναι τόσον πολὺ ἀσφαλὲς νὰ ἀφήνωμεν τὰ πνευματικὰ ἔστω καὶ δι' ὀλίγον, σκέψου ποίας τιμωρίας θὰ ἠμπορούσαμεν νὰ εἴμεθα ἄξιοι ἡμεῖς ποὺ ἔχομεν ἀπομακρυνθῇ τελείως ἀπὸ τὰ πράγματα ἐκεῖνα ποὺ ἁρμόζουν εἰς τὸν Χριστὸν καὶ ἔχομεν θέσει ὡς πρῶτα τὰ ἀσήμαντα πράγματα καὶ ὄχι τὰ ἀναγκαῖα καὶ ἀδιαφοροῦμεν δι' αὐτὰ χωρὶς τίποτε νὰ μᾶς βιάζῃ. Ἐξ αἰτίας αὐτοῦ δὲ πρέπει νὰ θαυμάζῃ κανεὶς τὴν φιλοσοφίαν τῆς διδασκαλίας του, διότι προσήλωσεν αὐτὸν πάρα πολὺ εἰς τὸν λόγον, καὶ συγχρόνως τὸν ἀπήλλαξεν ἀπὸ ἀμέτρητα κακά, ὅπως, ἐπὶ παραδείγματι, ἀπὸ θρήνους, ἀπὸ τὸ πένθος καὶ ὅσα ἄλλα πηγάζουν ἀπὸ αὐτό. Διότι μετὰ τὴν ταφὴν ἔπρεπε, βέβαια, νὰ ἐξετάζουν καὶ τὴν διαθήκην καὶ νὰ διανέμουν τὴν κληρονομίαν αὐτοῦ ποὺ ἀπέθανε καὶ γενικῶς νὰ ἀσχολοῦνται μὲ ὅλα τὰ ἐπακόλουθα αὐτῶν· καὶ ἔτσι καθὼς θὰ ἐδέχετο τὰ κτυπήματα τῶν κυμάτων ποὺ θὰ διεδέχοντο τὸ ἕνα τὸ ἄλλο θὰ τὸν ἀπεμάκρυναν πάρα πολὺ μακριὰ ἀπὸ τὸν λιμένα τῆς ἀληθείας. Διὰ τοῦτο τὸν προσ-

δὲ ἔτι θαυμάζεις καὶ θορυβῇ, ὅτι οὐ συνεχωρήθη παραγενέσθαι τῇ ταφῇ τοῦ πατρός, ἐννόησον ὅτι πολλοὶ τοὺς κακῶς ἔχοντας, κἂν πατὴρ κἂν μήτηρ ᾖ κἂν παιδίον κἂν ἄλλος ὁστισοῦν τῶν προσηκόντων ὁ τετελευτηκώς, οὐκ ἀφιᾶσι μαθεῖν, οὐδὲ ἐπὶ τὸ μνῆμα ἀκολουθῆσαι· καὶ οὐκ ἐγκαλοῦμεν ταύτῃ αὐτοῖς ὠμότητα, οὐδὲ ἀπανθρωπίαν· καὶ μάλα εἰκότως. Τοὐναντίον γὰρ ἂν ὠμότητος ἦν, τὸ οὕτω διακειμένους ἐπὶ τὸ πένθος ἐξαγαγεῖν.

Εἰ δὲ τὸ τοὺς προσήκοντας πενθῆσαι καὶ συντριβῆναι τὴν διάνοιαν κακόν, πολλῷ μᾶλλον τὸ τῶν πνευματικῶν ἀπάγεσθαι λόγων. Διὰ δὴ τοῦτο καὶ ἀλλαχοῦ ἔλεγεν· «Οὐδεὶς βαλὼν τὴν χεῖρα αὐτοῦ ἐπ' ἄροτρον καὶ στραφεὶς εἰς τὰ ὀπίσω, εὔθετός ἐστιν ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν». Καὶ γὰρ πολλῷ βέλτιον βασιλείαν ἀνακηρύττειν καὶ ἑτέρους ἀνασπᾶν ἀπὸ θανάτου, ἢ τὸν οὐδὲν ὠφελούμενον νεκρὸν θάπτειν· καὶ μάλιστα ὅταν ὦσιν οἱ ταῦτα πληρώσοντες ἅπαντα.

Οὐδὲν οὖν ἕτερον ἐντεῦθεν μανθάνομεν, ἀλλ' ἢ ὅτι οὐδὲ τὸν τυχόντα καιρὸν παραπολλύναι χρή, κἂν μυρία τὰ κατεπείγοντα ᾖ, ἀλλὰ πάντων καὶ τῶν ἀναγκαιούντων τὰ πνευματικὰ προτιθέναι, καὶ εἰδέναι, τί μὲν ζωή, τί δὲ θάνατος. Πολλοὶ γὰρ καὶ τῶν ζῆν δοκούντων νεκρῶν οὐδὲν διαφέρουσιν, ὅταν ἐν κακίᾳ ζῶσι· μᾶλλον δὲ καὶ ἐκείνων

27. Λουκᾶ 9, 62.

ελκύει καὶ τὸν προσηλώνει εἰς τὸν ἑαυτόν του. Ἐὰν ἐξακολουθῇς ὅμως νὰ ἀπορῇς καὶ νὰ ἀνησυχῇς ἐπειδὴ δὲν τοῦ ἐπετράπη νὰ παρευρεθῇ εἰς τὴν ταφὴν τοῦ πατέρα του, σκέψου ὅτι πολλοὶ ἄνθρωποι δὲν ἀφήνουν τοὺς ἀσθενεῖς νὰ πληροφορηθοῦν τὸν θάνατον εἴτε τοῦ πατρός, εἴτε τῆς μητέρας, εἴτε τοῦ παιδιοῦ των, εἴτε ὁποιουδήποτε ἄλλου ἀποθανόντος ἐκ τῶν συγγενῶν των, οὔτε τοὺς ἐπιτρέπουν νὰ τοὺς ἀκολουθήσουν μέχρι τὸν τάφον των. Καὶ παρ' ὅλα αὐτὰ δὲν τοὺς κατηγοροῦμεν διὰ σκληρότητα, οὔτε καὶ διὰ ἀπανθρωπίαν· καὶ πάρα πολὺ ὀρθῶς. Διότι ἀντιθέτως θὰ ἦτο ἀπάνθρωπος πρᾶξις τὸ νὰ τοὺς ἐπιτρέψουν νὰ παρευρεθοῦν εἰς τὸ πένθος ἐνῷ θὰ εὑρίσκωνται εἰς αὐτὴν τὴν κατάστασιν.

4. Ἐὰν δὲ εἶναι κακὸν πρᾶγμα τὸ νὰ πενθήσῃ κανεὶς τοὺς συγγενεῖς καὶ νὰ στενοχωρηθῇ πάρα πολύ, πολὺ μεγαλύτερον κακὸν εἶναι τὸ νὰ ἀποχωρισθῇ τὴν πνευματικὴν διδασκαλίαν. Διὰ τοῦτο, βέβαια, καὶ εἰς ἄλλο σημεῖον ἔλεγεν· «Κανεὶς δὲν θὰ γίνῃ εὐπρόσδεκτος εἰς τὴν βασιλείαν τῶν οὐρανῶν ποὺ ἔβαλε τὴν χεῖρα του ἐπάνω εἰς τὸ ἄροτρον καὶ ἐστράφη πρὸς τὰ ὀπίσω»[27]. Καθόσον εἶναι πολὺ πιὸ σπουδαῖον πράγμα νὰ κηρύττῃς τὴν βασιλείαν τῶν οὐρανῶν καὶ νὰ ἀπομακρύνῃς ἄλλους ἀπὸ τὸν θάνατον, παρὰ νὰ θάπτῃς τὸ νεκρὸν ποὺ δὲν ἠμπορεῖ νὰ ἔχῃ καμμίαν ὠφέλειαν, καὶ πρὸ παντὸς ὅταν ὑπάρχουν ἐκεῖνοι ποὺ θὰ κάνουν ὅλα αὐτά.

Τίποτε ἄλλο λοιπὸν δὲν διδασκόμεθα ἀπὸ αὐτὸ τὸ συμβάν, παρὰ αὐτό, ὅτι δηλαδὴ δὲν πρέπει νὰ χάνωμεν οὔτε τὸν παραμικρὸν χρόνον, καὶ ἂν ἀκόμη εἶναι ἄπειρα τὰ κατεπείγοντα προβλήματά μας, ἀλλὰ νὰ θέτωμεν πρὶν ἀπὸ ὅλα, καὶ ἀπὸ αὐτὰ τὰ πάρα πολὺ ἀναγκαῖα, τὰ πνευματικὰ θέματα, καὶ ἐπίσης διδασκόμεθα ἀφ' ἑνὸς μὲν τί εἶναι ζωή, ἀφ' ἑτέρου δὲ τί εἶναι θάνατος. Διότι πολλοὶ ἀπὸ αὐτοὺς ποὺ νομίζουν ὅτι ζοῦν δὲν διαφέρουν ὡς πρὸς τίποτε ἀπὸ τοὺς νεκρούς, ὅταν ζοῦν ἐντὸς τῆς κακίας· μᾶλλον δὲ αὐ-

οὗτοι χεῖρους. «Ὁ μὲν γὰρ ἀποθανών», φησί, «δεδικαίωται ἀπὸ τῆς ἁμαρτίας»· οὗτος δὲ δουλεύει τῇ ἁμαρτίᾳ. Μὴ γάρ μοι τοῦτο εἴπῃς, ὅτι ὑπὸ σκωλήκων οὐ κατεσθίεται, οὐδὲ ἐν λάρνακι κεῖται, οὐδὲ ἀπέκλεισε τοὺς ὀφθαλμούς, οὐδὲ κειρί-
5 *αις δέδεται. Καὶ γὰρ ταῦτα χαλεπώτερα ὑπομένει τοῦ τετελευτηκότος, οὐ σκωλήκων αὐτὸν κατεσθιόντων, ἀλλὰ θηρίων σφοδρότερον τῶν παθῶν τῆς ψυχῆς αὐτὸν σπαραττόντων. Εἰ δὲ ἀνεῴγασιν οἱ ὀφθαλμοί, καὶ τοῦτο πολὺ χεῖρον πάλιν τοῦ μεμυκέναι. Οἱ μὲν γὰρ τοῦ νεκροῦ οὐδὲν ὁρῶσι*
10 *πονηρόν· οὗτος δὲ μυρίας ἑαυτῷ συνάγει νόσους, ἀνεῳγμένων αὐτοῦ τῶν ὀφθαλμῶν. Καὶ ὁ μὲν ἐν λάρνακι κεῖται, πρὸς πάντα ἀκίνητος ὤν· οὗτος δὲ ἐν τῷ τάφῳ τῶν μυρίων κατορώρυκται νοσημάτων. Ἀλλὰ τὸ σῶμα αὐτοῦ σηπόμενον οὐχ ὁρᾷς; Καὶ τί τοῦτο; Πρὸ γὰρ τοῦ σώματος αὐτοῦ ἡ*
15 *ψυχὴ διέφθαρται καὶ ἀπόλωλε, καὶ πλείονα ὑπομένει τὴν σηπεδόνα. Ὁ μὲν γὰρ δέκα ὄδωδεν ἡμέρας· οὗτος δὲ ἅπαντα τὸν βίον δυσωδίας ἀποπνεῖ, στόμα ἔχων ὀχετῶν ἀκαθαρτότερον. Ὥστε τοσοῦτον αὐτοῦ διενήνοχεν ἐκεῖνος, ὅσον ὁ μὲν τὴν ἀπὸ τῆς φύσεως ὑπομένει μόνον φθοράν, οὗ-*
20 *τος δὲ μετ' ἐκείνης καὶ τὴν ἀπὸ τῆς ἀσωτίας ἐπεισάγει σηπεδόνα, μυρίας καθ' ἑκάστην ἡμέραν ἐπινοῶν ὑποθέσεις διαφθορᾶς.*

Ἀλλ' ἐφ' ἵππου φέρεται; Καὶ τί τοῦτο; Καὶ γὰρ ἐκεῖνος ἐπὶ κλίνης· καὶ τὸ δὴ χαλεπόν, λυόμενον μὲν ἐκεῖνον
25 *καὶ σηπόμενον οὐδεὶς ὁρᾷ, ἀλλ' ἔχει τὴν λάρνακα παραπέτασμα· οὗτος δὲ ὀδωδὼς πανταχοῦ περίεισι, καθάπερ ἐν*

28. Ρωμ. 6, 7.

τοὶ εὑρίσκονται εἰς χειροτέραν μοῖραν ἀπὸ τοὺς νεκρούς. «Διότι ἐκεῖνος ποὺ ἀπέθανε», λέγει, «ἔχει ἀπαλλαγῆ πλέον ἀπὸ τὴν ἁμαρτίαν»[28], ἐνῷ αὐτὸς ποὺ ζῇ εἶναι δοῦλος τῆς ἁμαρτίας. Μὴ μοῦ εἰπῇς, βέβαια, αὐτό, ὅτι δηλαδὴ δὲν καταστρώγεται ἀπὸ τοὺς σκώληκας, οὔτε εὑρίσκεται εἰς τὸν τάφον, οὔτε ἔκλεισε τοὺς ὀφθαλμούς του, οὔτε ἔχει περιτυλιχθῆ μὲ τὸ σάβανον. Διότι ὅλα αὐτὰ τὰ ὑπομένει πολὺ πιὸ δύσκολα ἀπὸ αὐτὸν ποὺ ἀπέθανε, διότι δὲν τὸν κατατρώγουν σκώληκες, ἀλλὰ τὸν κατασπαράσσουν τὰ πάθη τῆς ψυχῆς του ποὺ εἶναι περισσότερον βίαια ἀπὸ τὰ θηρία. Τὸ ὅτι ὅμως ἔχει τοὺς ὀφθαλμούς του ἀνοικτοὺς καὶ αὐτὸ εἶναι πολὺ πιὸ χειρότερον πάλιν ἀπὸ τὸ νὰ τοὺς ἔχῃ κλειστούς. Διότι οἱ μὲν ὀφθαλμοὶ τοῦ νεκροῦ δὲν βλέπουν τίποτε τὸ πονηρόν, αὐτὸς ὅμως συγκεντρώνει ἀμέτρητα κακὰ εἰς τὸν ἑαυτόν του, ἔχων ἀνοικτοὺς τοὺς ὀφθαλμούς του. Καὶ ὁ μὲν νεκρὸς εὑρίσκεται ἐντὸς τοῦ τάφου καὶ εἶναι ἀκίνητος ὡς πρὸς ὅλα, αὐτὸς ὅμως ἔχει παραχωθῆ ἐντὸς τοῦ τάφου τῶν ἀμετρήτων κακῶν. Ἀλλὰ δὲν βλέπεις τὸ σῶμα αὐτοῦ ποὺ σαπίζει; Καὶ τί σημασία ἔχει αὐτό; Διότι πρὶν ἀπὸ τὸ σῶμά του ἔχει διαφθαρῆ καὶ ἔχει χαθῆ ἡ ψυχή του καὶ ὑποφέρει ἀπὸ πολὺ πιὸ μεγαλυτέραν σαπίλαν. Διότι ὁ μὲν νεκρὸς ἔχει μυρίσει ἐπὶ δέκα ἡμέρας, αὐτὸς ὅμως εἰς ὅλην τὴν ζωήν του ἀναδίδει δυσωδίαν' ἔχων τὸ στόμά του πιὸ ἀκάθαρτον καὶ ἀπὸ τοὺς ὀχετούς. Ἑπομένως τόσον πολὺ διαφέρει ἐκεῖνος ἀπὸ τὸν νεκρόν, ὅσον, ὁ μὲν νεκρὸς ὑφίσταται μόνον τὴν φυσικὴν φθοράν, αὐτὸς δὲ μαζὶ μὲ ἐκείνην ὑφίσταται ἐπὶ πλέον καὶ τὴν σαπίλαν ἀπὸ τὴν ἀσωτίαν, σοφιζόμενος καθημερινῶς ἀμετρήτους ἀφορμὰς διαφθορᾶς.

Ἀλλὰ μήπως περιφέρεται ἔφιππος; Καὶ ποία ἡ σημασία αὐτοῦ; Καθόσον καὶ ἐκεῖνος (ὁ νεκρὸς) μεταφέρεται ἐπάνω εἰς τὸ φέρετρον· καὶ τὸ πιὸ χειρότερον, βέβαια, εἶναι τὸ ὅτι τὸν νεκρόν, ἂν καὶ λυώνει καὶ σαπίζει, δὲν τὸν βλέπει κανείς, διότι ἔχει ὡς παραπέτασμα τὸ φέρετρον, ὁ ζῶν ὅμως περιφέρεται παντοῦ σκορπῶν δυσωδίαν, ὡσὰν νὰ με-

τάφῳ τῷ σώματι νενεκρωμένην ψυχὴν περιφέρων. Καὶ εἴγε ἦν ψυχὴν ἀνδρὸς ἰδεῖν τρυφῇ καὶ κακίᾳ συζῶντος, εἶδες ἂν ὅτι πολὺ βέλτιον ἐν τάφῳ κεῖσθαι δεδεμένον, ἢ ταῖς τῶν ἁμαρτιῶν σφίγγεσθαι σειραῖς· καὶ λίθον ἔχειν ἐπικείμενον,
5 *ἢ τὸ βαρὺ τῆς ἀναισθησίας πῶμα.*

Διὸ δὴ μάλιστα τοὺς τούτοις προσήκοντας τοῖς νεκροῖς, ἐπειδὴ οὗτοι ἀναλγήτως διάκεινται, προσιέναι δεῖ περὶ αὐτῶν τῷ Ἰησοῦ, καθάπερ ἡ Μαρία τότε ἐποίησεν ἐπὶ τοῦ Λαζάρου. Κἂν ὀδωδὼς ᾖ, κἂν τεταρταῖος ᾖ, μὴ ἀπογνῷς,
10 *ἀλλὰ πρόσελθε καὶ τὸν λίθον ἄνελε πρῶτον. Καὶ γὰρ τότε ὄψει κείμενον, ὥσπερ ἐν τάφῳ, καὶ ταῖς κειρίαις δεδεμένον. Καὶ εἰ βούλεσθε, τῶν μεγάλων τινὰ καὶ περιφανῶν εἰς μέσον ἀγάγωμεν. Ἀλλὰ μὴ δείσητε· ἀνωνύμως γὰρ ἐρῶ τὸ ὑπόδειγμα· μᾶλλον δέ, εἰ καὶ τὴν προσηγορίαν ἔλεγον,*
15 *οὐδὲ οὕτω δεδοικέναι ἐχρῆν. Τίς γάρ ποτε νεκρὸν δέδοικε; Καὶ γὰρ ὅσα ἂν πράξῃ, μένει νεκρὸς ὤν· νεκρὸς δὲ ζῶντα οὐ μικρόν, οὐ μέγα ἀδικῆσαι δύναται.*

Ἴδωμεν τοίνυν τὴν κεφαλὴν αὐτῶν δεδεμένην. Καὶ γὰρ ὅταν μεθύωσι διηνεκῶς, καθάπερ οἱ νεκροὶ τοῖς πολ-
20 *λοῖς ἐπιβλήμασιν ἐκείνοις καὶ ταῖς κειρίαις, οὕτω πάντα τὰ αἰσθητήρια ἀποκλείεται καὶ δεσμεῖται. Εἰ δὲ βούλει καὶ τὰς χεῖρας ἰδεῖν, ὄψει καὶ ταύτας τῇ γαστρὶ προσδεδεμένας, καθάπερ τῶν οἰχομένων, καὶ περιεσφιγμένας, οὐ κειρίαις, ἀλλ' ὃ πολλῷ χαλεπώτερόν ἐστι, τοῖς τῆς πλεονεξίας δε-*
25 *σμοῖς. Οὐ γὰρ ἀφίησιν αὐτὰς ἐκταθῆναι πρὸς ἐλεημοσύνην ἐκείνη, οὐδὲ πρὸς ἄλλο τι τῶν τοιούτων κατορθωμάτων, ἀλ-*

ταφέρῃ εἰς τὸ σῶμά του, ὡς εἰς τάφον, τὴν ψυχήν του ποὺ ἔχει νεκρωθῆ. Καὶ ἐὰν ἠμποροῦσες βέβαια, νὰ ἰδῇς τὴν ψυχὴν τοῦ ἀνθρώπου ἐκείνου ποὺ ζῇ μαζὶ μὲ τὴν τρυφὴν καὶ τὴν κακίαν, θὰ ἦτο δυνατὸν νὰ ἰδῇς ὅτι εἶναι προτιμότερον νὰ εὑρίσκεται δεμένος εἰς τὸν τάφον παρὰ νὰ εἶναι δεμένος μὲ τὰ δεσμὰ τῶν ἁμαρτιῶν· καὶ θὰ ἦτο προτιμότερον νὰ ἔχῃ ἐπάνω του λίθον, παρὰ τὸ βαρὺ σκέπασμα τῆς ἀναισθησίας.

Διὰ τοῦτο, βέβαια, οἱ συγγενεῖς αὐτῶν τῶν νεκρῶν πρέπει, ἐπειδὴ αὐτοὶ διάκεινται ἀναισθήτως, νὰ προσέρχωνται εἰς τὸν Ἰησοῦν πρὸς χάριν των, ὅπως ἀκριβῶς τότε ἔκαμεν ἡ Μαρία πρὸς χάριν τοῦ Λαζάρου. Καὶ εἴτε ἐκπέμπει δυσωδίαν, εἴτε ἀπέθανε πρὶν ἀπὸ τέσσαρας ἡμέρας, μὴ κυριευθῇς ἀπὸ ἀπόγνωσιν, ἀλλὰ πλησίασε καὶ σήκωσε σὺ πρῶτος τὸν λίθον. Καὶ τότε βεβαίως θὰ τὸν ἰδῇς νὰ εἶναι ἐξαπλωμένος ὡσὰν εἰς τάφον καὶ περιτυλιγμένον μὲ τὸ σάβανον. Καὶ ἂν θέλετε ἂς φέρωμεν ἔμπροσθέν μας ὡς παράδειγμα κάποιον ἀπὸ τοὺς μεγάλους καὶ περιφήμους ἀνθρώπους. Μὴ φοβηθῆτε ὅμως, διότι θὰ ἀναφέρω τὸ παράδειγμα χωρὶς ὄνομα· μᾶλλον δὲ καὶ ἂν ἀκόμη ἀνέφερα τὸ ὄνομα ἔπρεπεν οὔτε καὶ τότε νὰ φοβηθῆτε. Διότι ποῖος ποτὲ ἔχει φοβηθῆ νεκρόν; Διότι ὅσα, βέβαια, καὶ ἂν πράξῃ δὲ παύει νὰ εἶναι νεκρός· ὁ δὲ νεκρὸς δὲν ἠμπορεῖ νὰ ἀδικήσῃ τὸν ἐν τῇ ζωῇ οὔτε ὀλίγον οὔτε πολύ.

Ἂς ἰδοῦμεν λοιπὸν τὴν κεφαλήν των δεμένην. Καθόσον ὅταν μεθοῦν συνεχῶς, ὅπως ἀκριβῶς οἱ νεκροὶ περιτυλίσσονται μὲ τὰ πολλὰ ἐκεῖνα καλύμματα καὶ τὰ σάβανα, ἔτσι καὶ αὐτῶν παραλύουν καὶ δεσμεύονται ὅλα τὰ αἰσθητήρια ὄργανά των. Ἐὰν δὲ θέλῃς νὰ ἰδῇς καὶ τὰς χεῖράς του, θὰ ἰδῇς ὅτι καὶ αὐταὶ εἶναι προσδεδεμέναι εἰς τὴν κοιλίαν των, ὅπως ἀκριβῶς τῶν νεκρῶν, καὶ δεμέναι σφικτὰ ὄχι μὲ σάβανα, ἀλλὰ μὲ αὐτὸ ποὺ εἶναι πολὺ πιὸ χειρότερον, μὲ τὰ δεσμὰ τῆς πλεονεξίας. Διότι ἐκείνη δὲν τὰς ἀφήνει νὰ ἁπλωθοῦν διὰ νὰ δώσουν ἐλεημοσύνην, οὔτε διὰ

λὰ τῶν νενεκρωμένων ἀχρηστοτέρας ἐργάζεται. Βούλει καὶ τοὺς πόδας ἰδεῖν συνδεδεμένους; Ὅρα αὐτοὺς πάλιν περιεσφιγμένους φροντίσι, καὶ διὰ τοῦτο οὐδέποτε δυναμένους εἰς οἶκον Θεοῦ δραμεῖν.

5 *Εἶδες τὸν νεκρόν; Βλέπε καὶ τὸν ἐνταφιαστήν. Τίς οὖν ἐστιν ὁ ἐνταφιαστὴς τούτων; Ὁ διάβολος, ὁ ἀκριβῶς αὐτοὺς περισφίγγων, καὶ οὐκ ἀφιεὶς λοιπὸν τὸν ἄνθρωπον ἄνθρωπον φαίνεσθαι, ἀλλὰ ξύλον ξηρόν. Ὅπου γὰρ οὐκ ὀφθαλμός, οὐ χεῖρες, οὐ πόδες, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν,*
10 *πῶς ἂν ὁ τοιοῦτος ἄνθρωπος φανείη; Οὕτω καὶ τὴν ψυχὴν αὐτῶν ἐσπαργανωμένην ἐστὶν ἰδεῖν καὶ εἴδωλον μᾶλλον ἢ ψυχὴν οὖσαν.*

Ἐπεὶ οὖν ἀναισθήτως αὐτοὶ διάκεινταί πως νεκροὶ γεγενημένοι, προσέλθωμεν ὑπὲρ αὐτῶν τῷ Ἰησοῦ, παρακα-
15 *λέσωμεν ἀναστῆσαι, ἀνέλωμεν τὸν λίθον, λύσωμεν τὰς κειρίας. Ἂν γὰρ τὸν λίθον ἀνέλῃς, τουτέστι, τὴν ἀναισθησίαν τὴν ἐπὶ τοῖς κακοῖς, ταχέως καὶ ἐξαγαγεῖν αὐτοὺς δυνήσῃ τοῦ μνήματος· ἐξαγαγὼν δέ, εὐκολώτερον τῶν δεσμῶν ἀπαλλάξεις. Τότε σε εἴσεται ὁ Χριστός, ὅταν ἀναστῇς, ὅταν λυθῇς·*
20 *τότε σε καὶ ἐπὶ τὰ δεῖπνα καλέσει τὰ ἑαυτοῦ.*

Ὅσοι τοίνυν τοῦ Χριστοῦ φίλοι, ὅσοι μαθηταί, ὅσοι τὸν ἀπελθόντα φιλεῖτε, προσέλθετε τῷ Ἰησοῦ καὶ δεήθητε. Εἰ γὰρ καὶ μυρίας γέμει τὰς δυσωδίας, ἀλλ' ὅμως τοὺς προσήκοντας οὐδὲ οὕτως αὐτὸν καταλιμπάνειν χρή, ἀλλὰ τοσού-
25 *τῳ μᾶλλον προσιέναι· ὅπερ οὖν καὶ αἱ ἀδελφαὶ τοῦ Λαζάρου τότε ἐποίησαν· καὶ μὴ πρότερον ἀφίστασθαι παρακαλοῦντας,*

κάποιο ἄλλο ἀπὸ τὰς παρομοίας πράξεις, ἀλλὰ τὰς κάμνει τὰς χεῖράς του πιὸ ἀχρήστους καὶ ἀπὸ τὰς χεῖρας τῶν νεκρῶν. Θέλεις νὰ ἰδῇς καὶ τὰ πόδια του δεμένα; Πρόσεχε ὅτι καὶ αὐτὰ πάλιν εἶναι περιεσφιγμένα μὲ τὰς φροντίδας καὶ διὰ τοῦτο ποτὲ δὲν ἠμποροῦν νὰ μεταβοῦν εἰς τὸν οἶκον τοῦ Θεοῦ.

Εἶδες τὸν νεκρόν; πρόσεξε καὶ τὸν ἐνταφιαστήν. Ποῖος λοιπὸν εἶναι αὐτὸς ποὺ θάπτει αὐτούς; Ὁ διάβολος, ὁ ὁποῖος τοὺς δένει μὲ τόσην λεπτομέρειαν καὶ δὲν ἀφήνει εἰς τὸ ἑξῆς τὸν ἄνθρωπον νὰ φαίνεται ὡσὰν ἄνθρωπος, ἀλλὰ τὸν μεταβάλλει εἰς ξηρὸν ξύλον. Διότι, ὅπου δὲν ὑπάρχει ὀφθαλμός, οὔτε χεῖρες, οὔτε πόδια, οὔτε τίποτε ἄλλο ἀπὸ τὰ παρόμοια, πῶς θὰ ἠμποροῦσεν ὁ παρόμοιος ἄνθρωπος νὰ φανῇ ὅτι εἶναι ἄνθρωπος πραγματικός; Κατὰ τὸν αὐτὸν τρόπον ἠμπορεῖς νὰ ἰδῇς σπαργανωμένην καὶ τὴν ψυχὴν αὐτῶν, καὶ ποὺ εἶναι μᾶλλον εἴδωλον παρὰ ψυχή.

Ἐπειδὴ λοιπὸν αὐτοὶ διάκεινται κατὰ κάποιον τρόπον ἀναισθήτως, καθόσον ἔχουν καταστῇ νεκροί, ἂς πλησιάσωμεν τὸν Ἰησοῦν πρὸς χάριν των καὶ ἂς τὸν παρακαλέσωμεν νὰ τοὺς ἀναστήσῃ, ἂς σηκώσωμεν τὸν λίθον, ἂς λύσωμεν τὰ σάβανα. Διότι ἐὰν σηκώσῃς τὸν λίθον, δηλαδὴ τὴν ἀναισθησίαν των πρὸ τῶν κακῶν, ἀμέσως θὰ ἠμπορέσῃς νὰ τοὺς βγάλῃς μέσα ἀπὸ τὸν τάφον· μόλις δὲ τοὺς βγάλῃς, θὰ τοὺς ἐλευθερώσῃς ἀπὸ τὰ δεσμὰ εὐκολώτερον. Τότε θὰ σὲ γνωρίσῃ ὁ Χριστός, ὅταν ἀναστηθῇς, ὅταν λυθῇς· τότε θὰ σὲ καλέσῃ εἰς τὰ ἰδικά του δεῖπνα.

Ὅσοι λοιπὸν εἶσθε φίλοι τοῦ Χριστοῦ, ὅσοι εἶσθε μαθηταί του, ὅσοι ἀγαπᾶτε αὐτὸν ποὺ ἀπέθανε, πλησιάσατε τὸν Ἰησοῦν καὶ παρακαλέσατέ τον. Διότι καὶ ἂν ἀκόμη εἶναι γεμᾶτος μὲ ἀνυπολογίστους δυσωδίας, ἐν τούτοις πρέπει οὔτε καὶ τότε οἱ συγγενεῖς του νὰ τὸν ἐγκαταλείπουν, ἀλλὰ πολὺ περισσότερον πρέπει νὰ τὸν πλησιάζουν, πρᾶγμα λοιπὸν ποὺ ἔκαμαν τότε καὶ αἱ ἀδελφαὶ τοῦ Λαζάρου. Καὶ δὲν πρέπει νὰ σταματοῦμεν προηγουμένως νὰ τὸν παρακα-

δεομένους, ἱκετεύοντας, ἕως ἂν αὐτὸν ζῶντα λάβωμεν. Ἂν γὰρ οὕτω τὰ καθ' ἑαυτοὺς καὶ τὰ τῶν πλησίον διοικῶμεν, καὶ τῆς μελλούσης ταχέως ἐπιτευξόμεθα ζωῆς· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυ-
5 *ρου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

λοῦμεν, νὰ τοῦ ζητοῦμεν ἐπιμόνως, νὰ τὸν ἱκετεύωμεν, μέχρις ὅτου ἠθέλαμεν λάβει αὐτὸν ζῶντα. Διότι ἐὰν ἔτσι ρυθμίζωμεν τὰ ἰδικά μας θέματα καὶ τῶν πλησίον μας, θὰ κληρονομήσωμεν ἀμέσως καὶ τὴν μέλλουσαν ζωὴν τὴν ὁποίαν μακάρι νὰ ἐπιτύχωμεν ὅλοι μας, διὰ τῆς χάριτος καὶ φιλανθρωπίας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΗ΄
Ματθ. 8, 23 - 34

«Ἐμβάντι δὲ αὐτῷ εἰς τὸ πλοῖον, ἠκολούθησαν οἱ μαθηταὶ αὐτοῦ. Καὶ ἰδοὺ χειμὼν μέγας ἐγένετο ἐν τῇ θαλάσσῃ, ὥστε τὸ πλοῖον καλύπτεσθαι ὑπὸ τῶν κυμάτων· αὐτὸς δὲ ἐκάθευδεν».

1. Ὁ μὲν οὖν Λουκᾶς, ἀπαλλάττων ἑαυτὸν τοῦ ἀπαιτηθῆναι τῶν χρόνων τὴν τάξιν, οὕτως εἶπεν· «Ἐγένετο δὲ ἐν μιᾷ τῶν ἡμερῶν, καὶ αὐτὸς ἀνέβη εἰς τὸ πλοῖον καὶ οἱ μαθηταί αὐτοῦ»· καὶ ὁ Μᾶρκος ὁμοίως. Οὗτος δὲ οὐχ οὕτως, ἀλλὰ καὶ ἀκολουθίαν ἐνταῦθα διατηρεῖ. Οὐδὲ γὰρ οὕτω πάντες πάντα ἔγραφον. Ταῦτα δέ μοι καὶ ἔμπροσθεν εἴρηται, ἵνα μὴ τῇ παραλείψει διαφωνίαν τις εἶναι νομίζοι.

Τοὺς μὲν ὄχλους προέπεμψε, τοὺς δὲ μαθητὰς μεθ' ἑαυτοῦ ἔλαβε· καὶ γὰρ καὶ τοῦτο ἐκεῖνοι λέγουσι. Παρέλαβε δὲ οὐ μάτην, οὐδὲ εἰκῇ, ἀλλ' ὥστε ποιῆσαι θεατὰς τοῦ μέλλοντος ἔσεσθαι θαύματος. Καθάπερ γάρ τις παιδοτρίβης ἄριστος, εἰς ἀμφότερα αὐτοὺς ἤλειφεν, εἴς τε τὸ ἀκαταπλήκτους εἶναι ἐν τοῖς δεινοῖς, εἴς τε τὸ μετριάζειν ἐν ταῖς τιμαῖς. Ἵνα γὰρ μὴ μέγα φρονῶσιν, ὅτι τοὺς ἄλλους ἐκπέμψας αὐτοὺς κατέσχεν, ἀφίησι κλυδωνισθῆναι, τοῦτό τε κατορθῶν, καὶ γυμνάζων πειρασμοὺς φέρειν γενναίως. Μεγάλα μὲν γὰρ καὶ τὰ πρότερα θαύματα ἦν, ἀλλὰ τοῦτο καὶ γυμνασίαν τινὰ εἶχεν

---

1. Λουκᾶ 8, 2.
2. Πρβλ. 4, 36-41.
3. Ὁμιλία ΚΖ΄ σελ. 216.
4. Ματθ. 8, 18.
5. Πρβλ. Μάρκ. 4, 36. Λουκᾶ 8, 22.

ΟΜΙΛΙΑ ΚΗ΄

Ματθ. 8, 23 - 34

«Μόλις αὐτὸς εἰσῆλθεν εἰς τὸ πλοῖον τὸν ἠκολούθησαν οἱ μαθηταί του. Καὶ αἰφνιδίως ἔγινε μεγάλη τρικυμία εἰς τὴν θάλασσαν, ὥστε τὸ πλοῖον νὰ σκεπάζεται ἀπὸ τὰ κύματα· ὁ ἴδιος δὲ ἐκοιμᾶτο».

1. Ὁ μὲν λοιπὸν Λουκᾶς, ἀπαλλάσσων τὸν ἑαυτόν του ἀπὸ τὴν ὑποχρέωσιν νὰ περιγράψῃ τὰ γεγονότα κατὰ χρονολογικὴν σειράν, ἔγραψεν ὡς ἑξῆς· «Συνέβη δὲ μίαν ἀπὸ τὰς ἡμέρας ἐκείνας νὰ ἀνεβῇ καὶ αὐτὸς εἰς πλοῖον μαζὶ μὲ τοὺς μαθητάς του»[1]· κατὰ τὸν ἴδιον τρόπον γράφει καὶ ὁ Μᾶρκος[2]. Αὐτὸς ὅμως ὄχι κατὰ τὸν αὐτὸν τρόπον, ἀλλὰ διατηρεῖ εἰς τὴν περίπτωσιν αὐτὴν τὴν διαδοχικὴν σειρὰν τῶν γεγονότων. Διότι δὲν ἔγραφαν ὅλοι οἱ εὐαγγελισταὶ κατὰ τὸν ἴδιον τρόπον ὅλα τὰ γεγονότα. Αὐτὰ δὲ καὶ προηγουμένως τὰ ἀνέφερα, διὰ νὰ μὴ νομίζῃ κανεὶς ὅτι ἡ παράλειψις ἀποτελεῖ διαφωνίαν μεταξὺ αὐτῶν[3].

Τὸ μὲν πλῆθος τοῦ λαοῦ λοιπὸν τὸ ἔστειλε προηγουμένως[4], τοὺς μαθητάς του ὅμως τοὺς ἐπῆρε μαζί του· καὶ αὐτὸ βεβαίως τὸ ἀναφέρουν καὶ οἱ ἄλλοι εὐαγγελισταί[5]. Τοὺς ἐπῆρε μαζί του ὄχι ἀσκόπως καὶ χωρὶς κανένα σχέδιον, ἀλλὰ μὲ σκοπὸν νὰ καταστήσῃ αὐτοὺς θεατὰς τοῦ θαύματος ποὺ ἐπρόκειτο νὰ γίνῃ. Διότι ὅπως ἀκριβῶς κάποιος ἄριστος διδάσκαλος, τοὺς προετοίμαζεν καὶ ὁ Ἰησοῦς καὶ ὡς πρὸς τὰ δύο, καὶ τὸ νὰ παραμένουν ἀτάραχοι ἐμπρὸς εἰς τοὺς κινδύνους, καὶ τὸ νὰ φέρωνται μετριοφρόνως κατὰ τὴν ἀπονομὴν τῶν τιμῶν. Διότι διὰ νὰ μὴ μεγαλοφρονοῦν ἐπειδὴ αὐτοὺς τοὺς ἐκράτησε μαζί του ἀφοῦ ἔστειλε τὸ πλῆθος προηγουμένως, τοὺς ἀφήνει νὰ ὑποστοῦν τὸν σάλον ἐκ τῆς τρικυμίας, ἐπιτυγχάνων κατ' αὐτὸν τὸν τρόπον καὶ αὐτὸ (τὴν μετριοφροσύνην) καὶ διδάσκων αὐτοὺς νὰ ὑπομένουν μὲ γενναιοφροσύνην τοὺς πειρασμούς. Διότι ἦσαν μὲν μεγάλα καὶ τὰ θαύματα ποὺ ἔγιναν προηγουμένως,

οὐ μικράν, καὶ τοῦ παλαιοῦ συγγενὲς σημεῖον ἦν. Διὰ τοῦτο μόνους τοὺς μαθητὰς ἄγει μεθ' ἑαυτοῦ. Ἔνθα μὲν γὰρ θαυμάτων ἐπίδειξις ἦν καὶ τὸν δῆμον ἀφίησι παρεῖναι· ἔνθα δὲ πειρασμῶν καὶ φόβων ἐπανάστασις, τοὺς ἀθλητὰς τῆς
5 *οἰκουμένης, οὓς γυμνάζειν ἔμελλε, τούτους παραλαμβάνει μόνους.*

Καὶ ὁ μὲν Ματθαῖος ὅτι ἐκάθευδεν εἶπεν ἁπλῶς, ὁ δὲ Λουκᾶς ὅτι ἐν προσκεφαλαίῳ φησί, δεικνύς τε τὸ ἄτυφον, καὶ πολλὴν ἐντεῦθεν ἡμᾶς παιδεύων φιλοσοφίαν. Τοῦ κλυ-
10 *δωνίου τοίνυν διεγερθέντος καὶ τῆς θαλάσσης μαινομένης, διεγείρουσιν αὐτὸν λέγοντες· «Κύριε, σῶσον ἡμᾶς, ἀπολλύμεθα». Ὁ δὲ αὐτοῖς ἐπετίμα πρὸ τῆς θαλάσσης. Καὶ γάρ, ὅπερ ἔφην, γυμνασίας ἕνεκεν ταῦτα συνεχωρεῖτο καὶ τύπος ἦν τῶν μελλόντων καταλήψεσθαι αὐτοὺς πειρασμῶν. Καὶ*
15 *γὰρ καὶ μετὰ ταῦτα πολλάκις ἀφῆκεν αὐτοὺς εἰς χαλεπωτέρους χειμῶνας πραγμάτων ἐμπεσεῖν, καὶ ἐμακροθύμησε. Διὸ καὶ Παῦλος ἔλεγεν· «Οὐ θέλω δὲ ὑμᾶς ἀγνοεῖν, ἀδελφοί, ὅτι καθ' ὑπερβολὴν ἐβαρήθημεν ὑπὲρ δύναμιν, ὥστε ἐξαπορηθῆναι ἡμᾶς καὶ τοῦ ζῆν»· καὶ μετὰ ταῦτα πάλιν,*
20 *«Ὃς ἐκ τηλικούτων θανάτων ἐρρύσατο ἡμᾶς».*

Δεικνὺς τοίνυν ἐντεῦθεν, ὅτι θαρρεῖν χρή, κἂν μεγάλα διεγείρηται τὰ κύματα, καὶ ὅτι πάντα συμφερόντως οἰκονομεῖ, πρῶτον αὐτοῖς ἐπιτιμᾷ. Καὶ γὰρ αὐτὸ τὸ θορυβηθῆναι συμφερόντως ἐγίνετο, ὥστε μεῖζον φανῆναι τὸ θαῦμα καὶ
25 *διηνεκῆ γενέσθαι τοῦ συμβάντος τὴν μνήμην. Ὅταν γὰρ*

---

6. Δηλ. ἡ δημιουργία τοῦ κόσμου.
7. Ὄχι ὁ Λουκᾶς ἀλλ' ὁ Μᾶρκος 4, 38.
8. Β΄ Κορ. 1, 8.
9. Β΄ Κορ. 1, 10.

ἀλλὰ αὐτὸ τὸ θαῦμα καὶ περιεῖχε κάποιαν προπαιδείαν καὶ μάλιστα ὄχι μικράν, καὶ ἦτο θαῦμα συγγενὲς μὲ τὸ παιλιὸν θαῦμα[6]. Διὰ τοῦτο παίρνει μόνον τοὺς μαθητάς του μαζί του. Διότι ὅπου ἐπρόκειτο νὰ γίνῃ ἁπλῆ ἐπίδειξις καὶ μόνον θαυμάτων ἐπέτρεπε καὶ τὸ πλῆθος νὰ παρευρίσκεται, ὅπου ὅμως ἐπρόκειτο νὰ συναντήσουν πειρασμοὺς καὶ φόβους, ἐκεῖ παίρνει μαζί του μόνον τοὺς ἀθλητὰς τῆς οἰκουμένης, διὰ νὰ τοὺς προετοιμάσῃ διὰ τοὺς μεγάλους ἀγῶνας.

Καὶ ὁ μὲν Ματθαῖος ἔγραψεν ὅτι ἁπλῶς ἐκοιμᾶτο, ὁ Λουκᾶς ὅμως λέγει ὅτι ἐκοιμᾶτο ἐπάνω εἰς τὸ προσκεφάλαιον[7], δεικνύων εἰς ἡμᾶς καὶ τὴν ταπεινοφροσύνην του καὶ ἐκπαιδεύων ἡμᾶς μὲ αὐτήν του τὴν πρᾶξιν μὲ πολλὴν φιλοσοφίαν. Μόλις λοιπὸν ἐσηκώθη ἡ θαλασσοταραχὴ καὶ ἐγέμισεν ἡ θάλασσα ἀπὸ μανιασμένα κύματα, τὸν ἐξύπνησαν λέγοντες· «Κύριε, σῶσέ μας· χανόμεθα». Αὐτὸς ὅμως τοὺς ἐπέπλεξε πρὶν νὰ ἐπιτιμήσῃ τὴν θάλασσαν. Καθ' ὅσον, ὅπως προηγουμένως εἶπα, ὅλα αὐτὰ ἐπετρέπετο νὰ γίνουν χάριν ἐξασκήσεως καὶ ἀποτελοῦσαν προτύπωσιν τῶν πειρασμῶν ποὺ ἐπρόκειτο νὰ συναντήσουν εἰς τὸ μέλλον. Καὶ βεβαίως καὶ εἰς τὴν συνέχειαν πολλὰς φορὰς τοὺς ἄφησε νὰ ἀντιμετωπίσουν πάρα πολὺ δυσκόλους περιστάσεις καὶ ἐπέδειξε μακροθυμίαν. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγε· «Δὲν θέλω, ἀδελφοί, νὰ ἀγνοῆτε, ὅτι τὸ βάρος ποὺ ἀνελάβαμεν ἦτο πολὺ μεγαλύτερον ἀπὸ τὰς δυνάμεις μας, ὥστε νὰ περιέλθωμεν εἰς ἀπελπισίαν καὶ δι' αὐτὴν τὴν ζωήν μας»[8]. καὶ εἰς τὴν συνέχειαν πάλιν λέγει· «Ὁ ὁποῖος μᾶς ἔσωσεν ἀπὸ τόσον μεγάλους καὶ θανασίμους κινδύνους[9].

Θέλων, λοιπόν, νὰ δείξῃ μὲ αὐτὸ ὅτι πρέπει νὰ ἔχωμεν θάρρος καὶ ἂν ἀκόμη ὑψώνωνται μεγάλα κύματα καὶ ὅτι ὅλα τὰ οἰκονομεῖ πρὸς τὸ ἰδικόν μας συμφέρον, κατ' ἀρχὴν ἐπιπλήττει αὐτούς. Διότι καὶ τὸ ὅτι κατελήφθησαν ἀπὸ ἀγωνίαν συνέβη πρὸς τὸ συμφέρον τῶν μαθητῶν του, ὥστε νὰ φανῇ τὸ θαῦμα πολὺ πιὸ μεγαλύτερον καὶ νὰ κρατήσουν εἰς τὴν μνήμην των συνεχῶς τὸ γεγονός. Διότι ὅταν πρό-

παράδοξόν τι γενέσθαι μέλλῃ, πολλὰ προκατασκευάζεται πρότερον μνήμης ποιητικά, ἵνα μὴ μετὰ τὸ παρελθεῖν τὸ θαῦμα εἰς λήθην ἐμπέσωσιν. Οὕτω καὶ Μωϋσῆς πρότερον φοβεῖται τὸν ὄφιν, καὶ φοβεῖται οὐχ ἁπλῶς, ἀλλὰ καὶ μετὰ πολλῆς τῆς 5 ἀγωνίας, καὶ τότε ὁρᾷ τὸ παράδοξον ἐκεῖνο γινόμενον. Οὕτω καὶ οὗτοι, προσδοκήσαντες ἀπόλλυσθαι πρότερον, τότε ἐσώθησαν· ἵνα ὁμολογήσαντες τὸν κίνδυνον, μάθωσι τοῦ θαύματος τὸ μέγεθος. Διὰ τοῦτο καὶ καθεύδει· εἰ γὰρ ἐγρηγορότος ἐγένετο, ἢ οὐκ ἂν ἐφοβήθησαν, ἢ οὐκ ἂν παρε-10 κάλεσαν ἢ οὐδ' ἂν ἐνόμισαν αὐτὸν δύνασθαι τοιοῦτόν τι ποιεῖν. Διὰ τοῦτο καθεύδει, διδοὺς καιρὸν τῇ δειλίᾳ, καὶ τρανοτέραν αὐτοῖς ποιῶν τὴν αἴσθησιν τῶν γινομένων. Οὐ γὰρ ὁμοίως τις ὁρᾷ τὰ ἐν τοῖς ἀλλοτρίοις σώμασι γινόμενα καὶ τὰ ἐν ἑαυτῷ. Ἐπεὶ οὖν πάντας εἶδον εὐεργετηθέντας, ἑαυ-15 τοὺς δὲ οὐδενὸς ἀπολελαυκότας, καὶ ὕπτιοι ἦσαν· (οὔτε γὰρ χωλοί, οὔτε ἄλλο τι τοιοῦτον νόσημα εἶχον)· ἔδει δὲ αὐτοὺς διὰ τῆς οἰκείας αἰσθήσεως ἀπολαῦσαι τῶν εὐεργεσιῶν· συγχωρεῖ τὸν χειμῶνα, ἵνα διὰ τῆς ἀπαλλαγῆς σαφεστέραν λάβωσιν αἴσθησιν τῆς εὐεργεσίας. Διὰ τοῦτο οὐδὲ παρόν-20 των τῶν ὄχλων τοῦτο ποιεῖ, ὥστε μὴ καταγνωσθῆσαι ὀλιγοπιστίας· ἀλλ' αὐτοὺς μόνους λαβὼν διορθοῦται, καὶ πρὸ τοῦ χειμῶνος τῶν ὑδάτων τὸν χειμῶνα τῆς ψυχῆς αὐτῶν λύει, ἐπιτιμῶν καὶ λέγων· «Τί δειλοί ἐστε, ὀλιγόπιστοι;», καὶ παιδεύων ὁμοῦ, ὅτι τὸν φόβον οὐχ ἡ τῶν πειρασμῶν 25 ἐργάζεται ἐπαγωγή, ἀλλὰ τὸ τῆς διανοίας ἀσθενές. Εἰ δὲ

---

10. Προβλ. Ἐξ. 4, 2-4.

κειται νὰ συμβῇ κάτι τι τὸ παράδοξον ἐπιτρέπει ἐκ τῶν προτέρων νὰ λάβουν χώραν πολλὰ γεγονότα, ἱκανὰ νὰ κρατοῦν ζωηρὰν τὴν μνήμην, ὥστε νὰ μὴ λησμονήσουν αὐτὰ ὅταν θὰ ἔχει περάσει τὸ θαῦμα. Κατὰ τὸν ἴδιον τρόπον καὶ ὁ Μωϋσῆς προηγουμένως φοβεῖται τὸν ὄφιν, καὶ δὲν τὸν φοβεῖται ἁπλῶς καὶ μόνον, ἀλλὰ καὶ καταλαμβάνεται ἀπὸ μεγάλην ἀγωνίαν, καὶ τότε βλέπει νὰ λαμβάνῃ χώραν τὸ παράδοξον ἐκεῖνο γεγονός[10]. Ἔτσι καὶ αὐτοί, ἀφοῦ ἐκυριεύθησαν προηγουμένως ἀπὸ τὸν φόβον τοῦ χαμοῦ των, τότε ἐσώθησαν· ὥστε λοιπὸν παραδεχόμενοι τὸν κίνδυνον ποὺ διέτρεξαν νὰ ἀντιληφθοῦν τὸ μέγεθος τοῦ θαύματος. Διὰ τοῦτο καὶ κοιμᾶται· διότι ἐὰν συνέβαινεν αὐτὸ καθ' ἣν στιγμὴν θὰ ἦτο ξύπνιος ἢ δὲν θὰ ἐφοβοῦντο ἢ δὲν θὰ τὸν παρεκάλουν ἢ οὔτε θὰ ἐνόμιζαν ὅτι ἠμποροῦσεν αὐτὸς νὰ κάμῃ ἕνα τέτοιο θαῦμα. Διὰ τοῦτο κοιμᾶται, διὰ νὰ ἐκδηλώσουν τὴν δειλίαν των καὶ νὰ τοὺς παρουσιάσῃ κατὰ τρόπον πιὸ ἔντονον τὰ ὅσα συνέβησαν. Διότι δὲν βλέπει κανεὶς καθ' ὅμοιον τρόπον τὰ ὅσα συμβαίνουν εἰς τὰ σώματα τῶν ἄλλων καὶ εἰς τὸ ἰδικόν του σῶμα. Ἐπειδὴ λοιπὸν εἶδαν ὅτι ὅλοι οἱ ἄλλοι εὐεργετήθησαν, ἐνῷ οἱ ἴδιοι δὲν ἀπήλαυσαν τίποτε καὶ εὑρίσκοντο αὐτὴν τὴν στιγμὴν ἱκετεύοντες αὐτὸν (βεβαίως οὔτε χωλοὶ ἦσαν, οὔτε ἔπασχον ἀπὸ κάποιαν ἄλλην παρομοίαν ἀσθένειαν), ἔπρεπε καὶ αὐτοὶ νὰ ἀπολαύσουν μὲ τὰς αἰσθήσεις των τὰς εὐεργεσίας· ἐπιτρέπει τὴν θαλασσοταραχὴν ὥστε ἀπαλλασσόμενοι ἀπὸ αὐτὴν νὰ ἀντιληφθοῦν σαφέστερα μὲ τὰς αἰσθήσεις των τὴν εὐεργεσίαν. Διὰ τοῦτο ἐπιτελεῖ τὸ θαῦμα αὐτὸ ὄχι παρουσίᾳ τοῦ λαοῦ διὰ νὰ μὴ ἀντιληφθῇ τὸ πλῆθος τὴν ὀλιγοπιστίαν των, ἀλλὰ ἀφοῦ παρέλαβε μόνον αὐτοὺς τοὺς διορθώνει, καὶ ἐμπρὸς εἰς τὴν τρικυμίαν τῆς θαλάσσης καταπαύει τὴν ταραχὴν τῆς ψυχῆς των, ἐπιπλήττων αὐτοὺς καὶ λέγων «ὀλιγόπιστοι, διατί εἶσθε δειλοί;»· συγχρόνως δὲ τοὺς διδάσκει ὅτι τὸν φόβον δὲν τὸν δημιουργεῖ ὁ ἐρχομὸς τῶν κινδύνων ἀλλ' ἡ ἀδυναμία τῆς πίστεώς των. Ἐὰν κανεὶς ἤθελεν εἰπεῖ, ὅτι

λέγοι τις, ὅτι δειλίας οὐκ ἦν, οὐδὲ ὀλιγοπιστίας, τὸ προσελθόντας ἐγεῖραι, ἐκεῖνο ἂν εἴποιμι, ὅτι τοῦτο αὐτὸ μάλιστα σημεῖον ἦν τοῦ μὴ τὴν προσήκουσαν περὶ αὐτοῦ δόξαν ἔχειν. Ὅτι μὲν γὰρ δύναται ἐπιτιμᾶν ἐγερθείς, ᾔδεσαν· ὅτι δὲ 5 καὶ καθεύδων, οὐδέπω.

Καὶ τί θαυμάζεις, εἰ νῦν, ὅπου γε καὶ μετὰ πολλὰ ἕτερα θαύματα ἀτελέστερον ἔτι διέκειντο; Διὸ καὶ ἐπιτιμῶνται πολλάκις, ὡς ὅταν λέγῃ, «Ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοί ἐστε;». Μὴ τοίνυν θαυμάσῃς, εἰ τῶν μαθητῶν ἀτελέστερον 10 διακειμένων οἱ ὄχλοι οὐδὲν μέγα περὶ αὐτοῦ ἐφαντάζοντο· «Ἐθαύμαζον γὰρ λέγοντες· ποταπός ἐστιν οὗτος ὁ ἄνθρωπος, ὅτι καὶ ἡ θάλασσα καὶ οἱ ἄνεμοι ὑπακούουσιν αὐτῷ;». Ὁ δὲ Χριστὸς οὐκ ἐπετίμησεν, ὅτι ἄνθρωπον αὐτὸν ἐκάλουν, ἀλλ᾿ ἀνέμενε, διὰ τῶν σημείων αὐτοὺς διδάσκων, ὅτι πε- 15 πλανημένη ἦν αὐτῶν ἡ ὑπόληψις. Πόθεν δὲ ἄνθρωπον αὐτὸν ἐνόμιζον; Ἀπό τε τῆς ὄψεως, ἀπό τε τοῦ ὕπνου, καὶ τοῦ πλοίῳ κεχρῆσθαι. Διὰ δὴ τοῦτο εἰς ἀμηχανίαν ἐξέπιπτον λέγοντες· «Ποταπός ἐστιν οὗτος;». Ὁ μὲν γὰρ ὕπνος καὶ τὸ φαινόμενον ἄνθρωπον ἐδείκνυ· ἡ δὲ θάλαττα καὶ ἡ 20 γαλήνη Θεὸν ἐνέφαινεν.

2. Ἐπειδὴ γὰρ καὶ Μωϋσῆς ἐποίησέ τι τοιοῦτόν ποτε, καὶ ἐντεῦθεν δείκνυσι τὴν ὑπεροχήν· καὶ ὅτι ὁ μὲν ὡς δοῦλος, ὁ δὲ ὡς Δεσπότης θαυματουργεῖ. Οὐ γὰρ ῥάβδον ἔτεινεν ὥσπερ ἐκεῖνος, οὐδὲ χεῖρας ἐξέτεινεν εἰς τὸν οὐρανόν, 25 οὐδὲ εὐχῆς ἐδεήθη· ἀλλ᾿ ὥσπερ εἰκὸς δεσπότην ἐπιτάττοντα

11. Ματθ. 15, 16.

ἐπῆγαν διὰ νὰ τὸν ξυπνήσουν ὄχι ἀπὸ δειλίαν, οὔτε ἀπὸ ὀλιγοπιστίαν, θὰ ἠμποροῦσα νὰ τοὺς εἰπῶ τὸ ἑξῆς, ὅτι δηλαδὴ αὐτὸ ἀκριβῶς ἦτο ἀπόδειξις ὅτι δὲν εἶχαν περὶ αὐτοῦ τὴν πρέπουσαν γνώμην. Τὸ ὅτι βιαίως ἠμποροῦσε νὰ καταπαύσῃ τὴν τρικυμίαν ἐγερθεὶς αὐτὸ τὸ ἐγνώριζαν, τὸ ὅτι ὅμως ἠμποροῦσε νὰ πράξῃ αὐτὸ καὶ καθ' ὃν χρόνον ἐκοιμᾶτο, αὐτὸ δὲν τὸ ἐγνώριζαν ἀκόμη.

Καὶ διατί ἀπορεῖς ἐάν τώρα καὶ μάλιστα μετὰ ἀπὸ πολλὰ ἄλλα θαύματα ἐξηκολούθουν νὰ μὴ ἔχουν πλήρη γνώμην περὶ τοῦ Χριστοῦ; Διὰ τοῦτο καὶ ψέγονται πολλάκις, ὅπως λόγῳ χάριν ὅταν τοὺς λέγῃ· «Ἀκόμη καὶ σεῖς δὲν εἶσθε εἰς θέσιν νὰ ἀντιληφθῆτε τὴν ἀλήθειαν;»[11]. Ἑπομένως λοιπὸν μὴ ἀπορῇς ἐὰν τὸ πλῆθος δὲν ἠμποροῦσε νὰ ἀντιληφθῇ τίποτε τὸ βαθύτερον περὶ τοῦ Ἰησοῦ, καθ' ἣν στιγμὴν οἱ μαθηταί του δὲν εἶχαν ἀκόμη πλήρη γνώμην περὶ αὐτοῦ· «Διότι ἐξεπλήττοντο καὶ ἔλεγαν· Τί εἴδους ἄνθρωπος εἶναι αὐτός, ἀφοῦ καὶ ἡ θάλασσα καὶ οἱ ἄνεμοι ὑπακούουν εἰς αὐτόν;». Ὁ Χριστὸς ὅμως δὲν τοὺς ἔψεξεν ἐπειδὴ τὸν ὠνόμαζαν ἄνθρωπον, ἀλλά, διδάσκων αὐτοὺς μὲ τὰ θαύματα, τοὺς ἀπεδείκνυεν ὅτι ἦτο ἐσφαλμένη ἡ ἀντίληψίς των. Ἀπὸ ποῦ ὅμως συνεπέραναν ὅτι αὐτὸς ἦτο ἄνθρωπος; Καὶ ἀπὸ τὴν ἐξωτερικήν του ἐμφάνισιν καὶ ἀπὸ τὸ ὅτι ἐκοιμᾶτο καὶ ἀπὸ τὸ γεγονὸς ὅτι ἐχρησιμοποίει πλοῖον. Διὰ τοῦτο βεβαίως ἐξεπλήσσοντο καὶ ἔλεγαν· «Τί εἴδους ἄνθρωπος εἶναι αὐτός;». Διότι ὁ μὲν ὕπνος καὶ ἡ ἐξωτερική του ὄψις ἐδείκνυον ὅτι ἦτο ἄνθρωπος, ἡ θάλασσα ὅμως καὶ ἡ γαλήνη ἀπεδείκνυον ὅτι εἶναι Θεός.

2. Ἐπειδὴ βεβαίως καὶ ὁ Μωϋσῆς ἔπραξε κάποτε κάποιο παρόμοιον θαῦμα, καὶ ἐξ αὐτοῦ ἀποδεικνύει τὴν ὑπεροχήν του· καθ' ὅσον ὁ μὲν Μωϋσῆς κάμνει τὸ θαῦμα ὡσὰν δοῦλος, ὁ Χριστὸς ὅμως θαυματουργεῖ ὡσὰν ἀληθινὸς Δεσπότης. Διότι δὲν ἐκτύπησε μὲ ράβδον τὴν θάλασσαν ὅπως ὁ Μωϋσῆς, οὔτε ἥπλωσε τὰς χεῖρας εἰς τὸν οὐρανόν, οὔτε παρέστη ἡ ἀνάγκη νὰ προσευχηθῇ· ἀλλ' ὅπως ἀκριβῶς κα-

θεραπαινίδι, καὶ δημιουργὸν κτίσματι, οὕτως αὐτὴν κατέστειλέ τε καὶ ἐχαλίνωσε λόγῳ καὶ ἐπιτάγματι μόνον· καὶ πᾶσα εὐθέως ἐλύετο ἡ ζάλη, καὶ οὐδὲ ἴχνος ἀπέμενε τῆς ταραχῆς. Τοῦτο γὰρ ἐδήλωσεν ὁ εὐαγγελιστὴς εἰπών· «Καὶ 5 ἐγένετο γαλήνη μεγάλη». Καὶ ὅπερ περὶ τοῦ Πατρὸς ὡς μέγα εἴρητο, τοῦτο αὐτὸς διὰ τῶν ἔργων ἐπεδείξατο πάλιν. Τί δὲ εἴρητο περὶ αὐτοῦ; «Εἶπε», φησί, «καὶ ἔστη πνεῦμα καταιγίδος». Οὕτω καὶ ἐνταῦθα· εἶπε, καὶ ἐγένετο γαλήνη μεγάλη. Διὸ μάλιστα καὶ ἐθαύμαζον οἱ ὄχλοι αὐτόν, οὐκ 10 ἂν θαυμάσαντες, εἴπερ οὕτως ἐποίησεν ὡς ἐκεῖνος.

Ἐπειδὴ δὲ ἀπέβη τῆς θαλάττης, διαδέχεται θαῦμα ἕτερον φοβερώτερον. Δαιμονῶντες γὰρ καθάπερ δραπέται πονηροὶ δεσπότην ἰδόντες, ἔλεγον· «Τί ἡμῖν καὶ σοί, Ἰησοῦ Υἱὲ τοῦ Θεοῦ; ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς;». 15 Ἐπειδὴ γὰρ ἄνθρωπον αὐτὸν ἔλεγον οἱ ὄχλοι, ἦλθον οἱ δαίμονες τὴν θεότητα αὐτοῦ ἀνακηρύττοντες· καὶ οἱ τῆς θαλάττης κυμαινούσης καὶ πάλιν ἡσυχαζούσης οὐκ ἀκούοντες, ἤκουον τῶν δαιμόνων ταῦτα βοώντων, ἅπερ ἐκείνη διὰ τῆς γαλήνης ἔκραζεν. Εἶτα ἵνα μὴ δόξῃ κολακείας τὸ πρᾶγμα 20 εἶναι, ἀπὸ τῆς πείρας τῶν πραγμάτων βοῶσι λέγοντες· «Ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς;». Διὰ δὴ τοῦτο πρότερον ὡμολόγηται ἡ ἔχθρα, ἵνα μὴ ὕποπτος αὐτῶν ἡ ἱκετηρία γένηται. Καὶ γὰρ ἐμαστίζοντο ἀοράτως καὶ τῆς θαλάττης ἐχειμάζοντο μᾶλλον, κεντούμενοι καὶ ἐμπιπράμε-

12. Ψαλ. 106, 25.

τὰ φυσικὸν τρόπον διατάσσει ὁ κύριος τὴν ὑπηρέτριάν του καὶ ὁ Δημιουργὸς τὰ δημιουργήματά του, ἔτσι καὶ αὐτὸς κατέπαυσεν αὐτὴν καὶ τὴν ἐχαλιναγώγησε μόνον μὲ τὸν λόγον του καὶ τὴν προσταγήν του· καὶ ἀμέσως κατέπαυσεν ἡ ὅλη θαλασσοταραχὴ καὶ δὲν ἔμεινεν οὔτε κἂν ἴχνος τῆς τρικυμίας. Αὐτὸ βεβαίως τὸ κατέστησε φανερὸν ὁ εὐαγγελιστὴς λέγων τὰ ἑξῆς· «Καὶ ἔγινε μεγάλη γαλήνη». Καὶ αὐτὸ ἀκριβῶς ποὺ ἐλέχθη διὰ τὸν Πατέρα ὡς κάτι τὸ πολὺ σπουδαῖον, αὐτὸ ὁ Ἰησοῦς τὸ ἀπέδειξε πάλιν μὲ τὰ ἔργα του. Τί δὲ εἶχε λεχθῆ περὶ αὐτοῦ; Λέγει ὅτι «εἶπε καὶ ἐσταμάτησεν ὁ ἄνεμος τῆς καταιγίδος»[12]. Ἔτσι καὶ ἐδῶ. Εἶπε καὶ ἔγινε μεγάλη γαλήνη. Διὰ τοῦτο μάλιστα καὶ τὸν ἐθαύμαζε τὸ πλῆθος· δὲν θὰ ἦτο δυνατὸν νὰ τὸν θαυμάσουν, ἐὰν βεβαίως ὁ Χριστὸς ἐνήργει ὅπως ἀκριβῶς ὁ Μωϋσῆς.

Ὅταν δὲ ἔλαβε πέρας τὸ περιστατικὸν τῆς θαλάσσης, ἠκολούθησεν ἄλλο θαῦμα πολὺ πιὸ φοβερόν. Διότι δαιμονισμένοι ἄνθρωποι, ποὺ ἔμοιαζαν ἀκριβῶς μὲ πονηροὺς δραπέτας, μόλις εἶδαν τὸν Κύριον ἐκραύγαζαν· «Τί τὸ κοινὸν ὑπάρχει ἀνάμεσα εἰς ἡμᾶς καὶ εἰς σέ, Ἰησοῦ Υἱὲ τοῦ Θεοῦ; ἦλθες ἐδῶ πρὶν ἀπὸ τὴν ὥραν διὰ νὰ μᾶς βασανίσῃς;». Ἐπειδὴ βεβαίως τὸ πλῆθος τὸν ἀπεκάλει ἄνθρωπον, ἦλθαν οἱ δαίμονες διακηρύσσοντες τὴν θεότητά του· καὶ αὐτοὶ ποὺ δὲν ἤκουαν τὴν φουρτουνιασμένην θάλασσαν ἡ ὁποία μὲ τὴν προσταγήν του ἐγαλήνευε καὶ πάλιν, ἤκουαν τοὺς δαίμονας νὰ κραυγάζουν αὐτὰ τὰ ὁποῖα ἐκραύγαζεν ἐκείνη μὲ τὴν γαλήνην. Ἐν συνεχείᾳ ὅμως διὰ νὰ μὴ φανῇ ὅτι μὲ τὴν ἐνέργειάν των αὐτὴν οἱ δαίμονες ἐκολάκευαν τὸν Ἰησοῦν, ὡς ἐκ τῆς γνώσεως τῶν πραγμάτων κραυγάζουν λέγοντες· «Ἦλθες ἐδῶ πρὶν ἀπὸ τὴν ὥραν διὰ νὰ μᾶς βασανίσῃς;». Ἀκριβῶς δι' αὐτὸ βέβαια ὡμολόγησαν προηγουμένως τὴν ἔχθραν των οἱ δαίμονες διὰ νὰ μὴ γίνῃ ὕποπτος ἡ παράκλησίς των. Καθ' ὅσον ἐδέχοντο ἀοράτως τὰς μαστιγώσεις καὶ ἐβασανίζοντο περισσότερον ἀπὸ τὴν θάλασσαν, διότι ὑφίσταντο τὰ κεντρίσματα, ἐκαίοντο καὶ ἔπασχον κατὰ

νοι, καὶ τὰ ἀνήκεστα πάσχοντες ἀπὸ τῆς παρουσίας μόνης. Ἐπειδὴ γὰρ οὐδεὶς αὐτοὺς προσενεγκεῖν ἐτόλμα, αὐτὸς πρὸς αὐτοὺς ἀπέρχεται ὁ Χριστός. Καὶ ὁ μὲν Ματθαῖός φησιν αὐτοὺς εἰρηκέναι· «Ἦλθες ὧδε πρὸ καιροῦ βασανίσαι ἡ- 5 μᾶς»· οἱ δὲ ἄλλοι προσέθηκαν, ὅτι καὶ παρεκάλουν αὐτὸν καὶ ὥρκιζον, ἵνα μὴ εἰς τὴν ἄβυσσον αὐτοὺς ἐμβάλῃ. Ἐ- νόμισαν γὰρ ἤδη τὴν κόλασιν αὐτοῖς ἐφεστάναι, καὶ ἔδει- σαν ὡς ἤδη εἰς τιμωρίαν ἐμπεσούμενοι.

Εἰ δὲ οἱ περὶ τὸν Λουκᾶν ἕνα φασὶν αὐτὸν εἶναι, οὗ- 10 τος δὲ δύο, οὐδὲ τοῦτο διαφωνίαν ἐμφαίνει. Εἰ μὲν γὰρ εἶπον, ὅτι εἷς μόνος ἦν, ἕτερος δὲ οὐκ ἦν, ἐδόκουν ἀμφι- βάλλειν τῷ Ματθαίῳ· εἰ δέ, ὁ μὲν περὶ τοῦ ἑνός, ὁ δὲ περὶ τῶν δύο διελέχθη, οὐ μάχης τὸ εἰρημένον, ἀλλὰ διαφόρου διηγήσεως. Καὶ γὰρ ἔμοιγε δοκεῖ τὸν χαλεπώτερον τού- 15 των ἐπιλεξάμενος ὁ Λουκᾶς εἰρηκέναι· διὸ καὶ τραγικώ- τερον ἀπαγγέλλει τὴν συμφοράν· οἷον, ὅτι τὰ δεσμὰ καὶ τὰς λύσεις διαρρήσσων κατὰ τὴν ἔρημον ἐπλανᾶτο· ὁ δὲ Μᾶρκος ὅτι καὶ τοῖς λίθοις ἑαυτὸν ἔκοπτέ φησι· καὶ τὰ ῥήματα δὲ αὐτῶν ἱκανὰ τὸ ἀπηνὲς καὶ τὸ ἀναίσχυντον ἐνδεί- 20 ξασθαι. «Ἦλθες γὰρ ὧδε πρὸ καιροῦ βασανίσαι ἡμᾶς;», φησίν. Ὅτι μὲν γὰρ οὐχ ἥμαρτον, οὐκ εἶχον εἰπεῖν· ἀξιοῦσι δὲ μὴ πρὸ καιροῦ δοῦναι τὴν δίκην. Ἐπειδὴ γὰρ κατέλαβεν αὐτοὺς τὰ ἀνήκεστα δεινὰ καὶ παράνομα ἐκεῖνα ἐργαζομέ- νους, καὶ τὸ πλάσμα τὸ ἑαυτοῦ παντὶ διαστρέφοντας τρόπῳ 25 καὶ τιμωρουμένους, καὶ ἐνόμιζον αὐτὸν δι' ὑπερβολὴν τῶν γενομένων οὐκ ἀναμένειν τὸν καιρὸν τῆς κολάσεως, διὰ

---

13. Πρβλ. Μάρκ. 5, 10. Λουκᾶ 8, 31.
14. Πρβλ. Λουκᾶ 8, 27.
15. Πρβλ. Ματθ. 8, 28.
16. Πρβλ. Λουκᾶ 8, 29.
17. Πρβλ. Μάρκ. 5, 5.

τρόπον ἀθεράπευτον ἁπλῶς καὶ μόνον ἀπὸ τὴν παρουσία τοῦ Κυρίου. Ἐπειδὴ δηλαδὴ κανεὶς δὲν ἐτόλμα νὰ τοὺ πλησιάσῃ, ἔρχεται πρὸς αὐτοὺς ὁ ἴδιος ὁ Χριστός. Καὶ μὲν Ματθαῖος λέγει ὅτι αὐτοὶ ἔλεγαν· «Ἦλθες ἐδῶ πρὶ ἀπὸ τὴν ὥραν διὰ νὰ μᾶς βασανίσῃς;», οἱ δὲ ἄλλοι προσέθ σαν ὅτι καὶ τὸν παρεκάλουν καὶ τὸν ἐξώρκιζαν διὰ νὰ μ τοὺς ρίψῃ εἰς τὴν ἄβυσσον[13]. Διότι ἐνόμισαν ὅτι ἦλθε δ αὐτοὺς ἡ κόλασις ἤδη καὶ ἐφοβήθησαν ὅτι εἶναι ἡ ὥρα ν τιμωρηθοῦν.

Ἐὰν ὅμως οἱ μελετῶντες τὸν Λουκᾶν λέγουν ὅτι ἕνας ἦτο ὁ δαιμονιζόμενος, ἐνῷ αὐτὸς λέγει ὅτι ἦσαν δύο[15], οὔτ καὶ αὐτὸ φανερώνει διαφωνίαν μεταξὺ τῶν δύο διηγήσεω Διότι ἐὰν μὲν ἔλεγαν ὅτι ἕνας ἦτο ὁ δαιμονιζόμενος καὶ ὅτ δὲν ὑπῆρχεν ἄλλος, θὰ ἐφαίνοντο ὅτι διαφωνοῦν μὲ τὸ Ματθαῖον· τὸ ὅτι ὅμως ὁ μὲν Λουκᾶς ὁμιλεῖ δι' ἕνα, ὁ δ Ματθαῖος ἀναφέρει δύο, αὐτὸ δὲν ἐλέχθη μὲ σκοπὸν τὴ διαφωνίαν, ἀλλὰ λόγου τοῦ διαφορετικοῦ τρόπου διηγήσε ως. Καὶ ἐγὼ τοὐλάχιστον νομίζω ὅτι ὁ Λουκᾶς ἐδιάλεξε κα ὡμίλησε διὰ τὸν πιὸ φοβερὸν ἀπὸ τοὺς δύο· διὰ τοῦτο δ καὶ περιγράφει τὴν συμφορὰν μὲ περισσότερον τραγικὸ τρόπον· ὅπως λόγῳ χάριν ὅτι ἔσπαζε τὰ δεσμὰ καὶ τὰς ἁλυ σίδας καὶ περιεπλανᾶτο μέσα εἰς τὴν ἔρημον[16]· ὁ Μᾶρκο πάλιν λέγει ὅτι κατέσχιζε τὸν ἑαυτόν του μὲ τοὺς λίθους[17] τὰ δὲ λόγια τῶν δαιμονισμένων εἶναι ἱκανὰ διὰ νὰ ἀποδεί ξουν τὴν σκληρότητα καὶ τὴν ἀναισχυντίαν αὐτῶν. Διότ λέγουν· «Ἦλθες ἐδῶ πρὶν ἀπὸ τὴν ὥραν διὰ νὰ μᾶς βασα νίσῃς;». Βεβαίως δὲν ἠμποροῦσαν νὰ εἰποῦν ὅτι δὲν ἡμάρ τησαν, ζητοῦν ὅμως νὰ μὴ τιμωρηθοῦν πρὶν ἔλθῃ ἡ ὥρα Ἐπειδὴ δηλαδὴ κατελήφθησαν ἀπὸ ἀθεράπευτα κακὰ κα ἐπετελοῦσαν ὅλα ἐκεῖνα κατὰ τρόπον παράνομον καὶ διέ στρεφαν καὶ ἐβασάνιζαν μὲ κάθε τρόπον τὸ πλάσμα τοῦ Θεοῦ ἐνόμισαν ὅτι ὁ Κύριος δὲν θὰ ἐπερίμενε νὰ ἔλθῃ ἡ προ ρισθεῖσα ὥρα τῆς τιμωρίας, διότι τὰ ὅσα συνέβησαν εἶχο φθάσει εἰς τὸν ἀνώτατον βαθμόν, διὰ τὸν λόγον αὐτὸν τὸ

τοῦτο παρεκάλουν καὶ ἐδέοντο· καὶ οἱ μηδὲ δεσμῶν ἀνεχόμενοι σιδηρῶν, ἔρχονται δεδεμένοι· καὶ οἱ τὰ ὄρη κατατρέχοντες, εἰς τὰ πεδία ἐξῄεσαν· καὶ οἱ τοὺς ἄλλους κωλύοντες διαβαίνειν, τὸν ἀποτειχίζοντα τὴν ὁδὸν αὐτοῖς ἰδόν-
5 *τες, ἔστησαν.*

Τί δήποτε δὲ καὶ τοῖς τάφοις ἐμφιλοχωροῦσιν; Ὀλέθριον δόγμα τοῖς πολλοῖς ἀνθεῖναι βουλόμενοι, οἷον ὅτι αἱ ψυχαὶ τῶν ἀπελθόντων δαίμονες γίνονται· ὃ μηδέποτε γένοιτο μηδὲ μέχρις ἐννοίας λαβεῖν.

10 *Τί οὖν, φησίν, ἂν εἴποις, ὅταν πολλοὶ τῶν γοήτων παῖδας λαβόντες ἀποσφάττωσιν, ὥστε αὐτοῖς μετὰ ταῦτα συμπράττουσαν τὴν ψυχὴν ἔχειν; Καὶ πόθεν τοῦτο δῆλον; Ὅτι μὲν γὰρ ἀποσφάττουσι, πολλοὶ λέγουσιν· ὅτι δὲ αἱ ψυχαὶ τῶν σφαγέντων μετ' αὐτῶν εἰσι, πόθεν ἔγνως; εἰπέ μοι.*
15 *Αὐτοί, φησίν, οἱ δαιμονῶντες βοῶσιν, ὅτι ἡ ψυχὴ τοῦ δεῖνος ἐγώ. Ἀλλὰ καὶ τοῦτο σκηνή τις καὶ ἀπάτη διαβολική. Οὐ γὰρ ἡ ψυχὴ τοῦ τετελευτηκότος ἐστὶν ἡ βοῶσα, ἀλλ' ὁ δαίμων ὁ ὑποκρινόμενος ταῦτα, ὥστε ἀπατῆσαι τοὺς ἀκούοντας. Εἰ γὰρ εἰς δαίμονος οὐσίαν δυνατὸν ψυχὴν εἰσελθεῖν,*
20 *πολλῷ μᾶλλον εἰς τὸ σῶμα τὸ ἑαυτῆς. Ἄλλως δὲ οὐκ ἂν ἔχοι λόγον τὴν ἠδικημένην ψυχὴν συμπράττειν τῷ ἠδικηκότι· ἢ ἄνθρωπον δύνασθαι δύναμιν ἀσώματον εἰς ἑτέραν μεταβαλεῖν οὐσίαν. Εἰ γὰρ ἐπὶ τῶν σωμάτων τοῦτο ἀμήχανον, καὶ οὐκ ἄν τις ἀνθρώπου σῶμα ὄνου ἐργάσαιτο· πολλῷ μᾶλ-*

παρεκάλουν καὶ τὸν ἱκέτευαν· καὶ αὐτοὺς ποὺ δὲν ἠμποροῦσαν νὰ τοὺς συγκρατήσουν τὰ σιδηρένια δεσμά, αὐτοὶ ἔρχονται δεμένοι· καὶ αὐτοὶ ποὺ ἔτρεχαν ἐπάνω εἰς τὰ ὄρη κατέβησαν τώρα εἰς τὴν πεδιάδα· καὶ αὐτοὶ ποὺ ἠμπόδιζαν τοὺς ἄλλους νὰ διέρχωνται ἀπὸ τὰ μέρη ἐκεῖνα, εὐθὺς ὡς εἶδαν τὸν Κύριον νὰ ἵσταται ἔμπροσθέν των ὡς τεῖχος, ἐστάθησαν.

Ἀλλὰ διατί ὅμως διέμειναν ἐντὸς τῶν μνημάτων οἱ δαιμονιζόμενοι; Ἐπειδὴ ἤθελαν νὰ ἐνσπείρουν ἐντὸς τῶν ἀνθρώπων τὴν ὀλεθρίαν ἀντίληψιν ὅτι αἱ ψυχαὶ αὐτῶν ποὺ ἀποθνήσκουν γίνονται δαίμονες· εὔχομαι δὲ αὐτὸ τὸ πρᾶγμα οὔτε κἂν νὰ φθάσετε καὶ ἁπλῶς νὰ τὸ σκεφθῆτε.

Τί θὰ ἠμποροῦσες νὰ εἰπῇς λοιπόν, θὰ εἰπῇ κάποιος, ὅταν πολλοὶ ἀπὸ τοὺς μάγους ἁρπάζουν παιδιὰ καὶ τὰ φονεύουν, ὥστε νὰ ἔχουν εἰς τὸ μέλλον τὴν ψυχήν των ὡς βοηθόν των εἰς τὰς μαγικάς των πράξεις; Καὶ ἀπὸ ποῦ καθίσταται αὐτὸ φανερόν; Τὸ ὅτι βεβαίως σφάζουν τὰ παιδιὰ τὸ λέγουν πολλοί, εἰπέ μου ὅμως ἀπὸ ποῦ ἐπληροφορήθης τὸ ὅτι αἱ ψυχαὶ τῶν σφαγέντων βοηθοῦν τοὺς μάγους εἰς τὰς μαγικάς των ἐνεργείας. Αὐτοί, λέγει, ποὺ φέρουν τὰ δαιμόνια ἐντός των φωνάζουν, ὅτι 'ἐγὼ εἶμαι ἡ ψυχὴ κάποιου (σφαγέντος)'. Ἀλλὰ καὶ αὐτὸ εἶναι κάποιο κατασκεύασμα καὶ ἀπάτη διαβολική. Διότι δὲν εἶναι ἡ ψυχὴ τοῦ ἀποθανόντος ἐκείνη ποὺ φωνάζει, ἀλλ' ὁ δαίμων ποὺ ὑποκρίνεται αὐτά, ὥστε νὰ ἐξαπατήσῃ αὐτοὺς ποὺ τὸν ἀκούουν. Καθ' ὅσον ἐὰν ἦτο δυνατὸν ἡ ψυχὴ νὰ εἰσέλθῃ εἰς τὴν ὑπόστασιν τοῦ δαίμονος, πολλῷ μᾶλλον θὰ ἠμποροῦσε νὰ εἰσέλθῃ εἰς τὸ ἰδικόν της σῶμα. Διότι δὲν θὰ ἠμποροῦσε κατ' ἄλλον τρόπον νὰ ἐξηγηθῇ λογικῶς τὸ γεγονὸς ὅτι ἡ ψυχὴ ποὺ ὑπέστη τὴν βλάβην συνεργάζεται μὲ αὐτὸν ποὺ τὴν ἔβλαψεν ἢ ὅτι ὁ ἄνθρωπος ἠμπορεῖ νὰ μεταμορφώνῃ τὴν ἀσώματον δύναμιν εἰς ἄλλην ὕπαρξιν. Διότι ἐὰν αὐτὸ εἶναι ἀδύνατον διὰ τὰ σώματα καὶ δὲν ἠμπορεῖ κάποιος νὰ μεταμορφώσῃ τὸ σῶμα τοῦ ἀνθρώπου εἰς σῶμα ὄνου, πολὺ

λον ἐπὶ τῆς ἀοράτου ψυχῆς τοῦτο ἀδύνατον, καὶ οὐκ ἄν τις ἰσχύσειεν εἰς δαίμονος οὐσίαν αὐτὴν μετενεγκεῖν.

3. Ὥστε γραϊδίων μεθιόντων ταυτὶ τὰ ῥήματα, καὶ παίδων μορμολύκεια. Οὐδὲ γὰρ ἔνι ψυχὴν ἀπορραγεῖσαν 5 *τοῦ σώματος ἐνταῦθα πλανᾶσθαι λοιπόν. «Δικαίων γὰρ ψυχαὶ ἐν χειρὶ Θεοῦ», εἰ δὲ αἱ τῶν δικαίων, καὶ αἱ τῶν παίδων· οὐδὲ γὰρ ἐκεῖναι πονηραί. Καὶ αἱ τῶν ἁμαρτωλῶν δὲ εὐθέως ἐντεῦθεν ἀπάγονται. Καὶ δῆλον ἀπὸ τοῦ Λαζάρου καὶ τοῦ πλουσίου· καὶ ἀλλαχοῦ δέ φησιν ὁ Χριστός· «Σήμερον* 10 *τὴν ψυχήν σου ἀπαιτοῦσιν ἀπὸ σοῦ». Καὶ οὐχ οἷόν τε ψυχὴν ἐξελθοῦσαν τοῦ σώματος ἐνταῦθα πλανᾶσθαι· καὶ μάλα εἰκότως. Εἰ γὰρ ἐν γῇ βαδίζοντες τῇ συνήθει καὶ γνωρίμῳ καὶ σῶμα περικείμενοι, ὅταν ξένην ὁδεύωμεν ὁδόν, ποίαν ἐλθεῖν οὐκ ἴσμεν, ἂν μὴ τὸν χειραγωγοῦντα ἔχωμεν·* 15 *πῶς ἡ τοῦ σώματος ἀπορραγεῖσα ψυχὴ καὶ τῆς συνηθείας ἐξελθοῦσα πάσης, εἴσεται ποῦ δεῖ βαδίζειν ἄνευ τοῦ καθοδηγοῦντος αὐτήν; Καὶ πολλαχόθεν δὲ ἑτέρωθεν ἄν τις κατίδοι, ὅτι οὐκ ἔνι ψυχὴν ἐξελθοῦσαν ἐνταῦθα μεῖναι. Καὶ γὰρ ὁ Στέφανός φησι· «Δέξαι τὸ πνεῦμά μου». Καὶ ὁ Παῦλος,* 20 *«Τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι πολλῷ μᾶλλον κρεῖττον». Καὶ περὶ τοῦ πατριάρχου δέ φησιν ἡ Γραφή· «Καὶ προσετέθη πρὸς τοὺς πατέρας αὐτοῦ, τραφεὶς ἐν γήρει καλῷ».*

Ὅτι δὲ οὐδὲ αἱ τῶν ἁμαρτωλῶν ψυχαὶ διατρίβειν ἐν- 25 *ταῦθα δύνανται, ἄκουσον τοῦ πλουσίου πολλὰ ὑπὲρ τούτου*

---

18. Σοφ. Σολ. 3, 1.
19. Προβλ. Λουκᾶ 16, 19-31.
20. Λουκᾶ 12, 20.
21. Πράξ. 12, 59.
22. Φιλ. 1, 23.
23. Προβλ. Γεν. 25, 8.

περισσότερον αὐτὸ εἶναι ἀδύνατον νὰ συμβῇ εἰς τὴν ἀόρατον ψυχήν, καὶ κανεὶς δὲν θὰ ἠμπορέσῃ νὰ μεταμορφώσῃ αὐτὴν εἰς ὕπαρξιν τοῦ δαίμονος.

3. Ἑπομένως ὅλα αὐτὰ εἶναι λόγια μεθυσμένων γραϊδίων καὶ ἀποσκοποῦν εἰς τὸ νὰ ἐκφοβίζουν τὰ παιδιά. Διότι δὲν εἶναι δυνατὸν ἡ ψυχὴ ποὺ ἀπεχωρίσθη ἀπὸ τὸ σῶμα νὰ περιφέρεται εἰς τὸ μέλλον ἐδῶ εἰς τὴν γῆν. «Καθ' ὅσον αἱ ψυχαὶ τῶν δικαίων εὑρίσκονται εἰς τὰ χέρια τοῦ Θεοῦ»[18]· ἐὰν δὲ εἰς τὰ χέρια τοῦ Θεοῦ εὑρίσκωνται αἱ ψυχαὶ τῶν δικαίων, ὁπωσδήποτε εὑρίσκονται καὶ αἱ ψυχαὶ τῶν παιδιῶν, διότι οὔτε ἐκεῖναι εἶναι πονηραί. Ἀλλὰ καὶ αἱ ψυχαὶ τῶν ἁμαρτωλῶν φεύγουν ἀμέσως ἀπὸ ἐδῶ. Καὶ αὐτὸ γίνεται φανερὸν ἀπὸ τὴν παραβολὴν τοῦ Λαζάρου καὶ τοῦ πλουσίου[19]· ἀλλὰ καὶ εἰς ἄλλην περίπτωσιν ὁ Χριστὸς λέγει· «Σήμερον ἐπαξάπαντως ζητοῦν τὴν ψυχήν σου»[20]. Καὶ δὲν εἶναι δυνατὸν ψυχὴ ποὺ ἔφυγεν ἀπὸ τὸ σῶμα νὰ περιπλανᾶται ἐδῶ εἰς τὴν γῆν· καὶ κατὰ πολὺ φυσικὸν λόγον. Διότι ἐάν, βαδίζοντες ἐπάνω εἰς τὴν γῆν, ποὺ μᾶς εἶναι οἰκεία καὶ γνώριμος, καὶ περιβαλλόμενοι ἀπὸ τὸ σῶμά μας, δὲν γνωρίζομεν ποίαν ὁδὸν νὰ ἀκολουθήσωμεν ὅταν εὑρεθῶμεν εἰς ἄγνωστον τόπον ἐὰν δὲν ἔχωμεν καθοδηγητήν, πῶς θὰ γνωρίσῃ ποῦ πρέπει νὰ βαδίζῃ χωρὶς τὸν καθοδηγητήν της ἡ ψυχὴ ποὺ ἀπεχωρίσθη ἀπὸ τὸ σῶμα καὶ ἀπεξενώθη ἀπὸ ὅλας τὰς συνηθείας της; Ἀλλὰ καὶ ἀπὸ πολλὰς ἄλλας περιπτώσεις ἠμπορεῖ κανεὶς νὰ ἀντιληφθῇ, ὅτι δὲν εἶναι δυνατὸν νὰ παραμείνῃ ἐδῶ εἰς τὴν γῆν ψυχὴ ποὺ ἔφυγεν ἀπὸ τὸ σῶμά της. Καὶ πράγματι ὁ Στέφανος λέγει· «Δέξαι τὸ πνεῦμά μου»[21]· καθὼς καὶ ὁ Παῦλος· «Τὸ νὰ ἀποθάνω καὶ νὰ εἶμαι μαζὶ μὲ τὸν Χριστὸν εἶναι πολὺ προτιμότερον»[22]. Ἀλλὰ καὶ διὰ τὸν πατριάρχην Ἀβραὰμ λέγει ἡ Γραφή· «Καὶ προσετέθη εἰς τοὺς πατέρας του, ἀφοῦ διῆλθεν εὐχάριστον γῆρας»[23].

Τὸ ὅτι ὅμως οὔτε αἱ ψυχαὶ τῶν ἁμαρτωλῶν ἠμποροῦν νὰ διαμένουν ἐδῶ ἐπάνω εἰς τὴν γῆν, ἄκουσε τὸν πλούσιον ποὺ ἀπευθύνει πάρα πολλὰς παρακλήσεις διὰ τὸν ἑαυτόν

παρακαλοῦντος καὶ οὐκ ἐπιτυγχάνοντος· ὡς εἴγε ἦν δυνατόν, αὐτὸς ἂν ἦλθε, καὶ ἀνήγγειλε τὰ ἐκεῖ γεγενημένα. Ὅθεν δῆλον, ὅτι μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν εἰς χώραν τινὰ ἀπάγονται αἱ ψυχαί, οὐκέτι κυρίαι οὖσαι ἐπανελθεῖν, ἀλλὰ 5 *τὴν φοβερὰν ἐκείνην ἡμέραν ἀναμένουσαι.*

Εἰ δὲ λέγοι τις, καὶ τίνος ἕνεκεν ὅπερ ἠξίωσαν οἱ δαίμονες ἐποίησεν ὁ Χριστός, εἰς τὴν ἀγέλην τῶν χοίρων ἐπιτρέψας αὐτοῖς ἀπελθεῖν; ἐκεῖνο ἂν εἴποιμεν, ὅτι οὐκ ἐκείνοις πειθόμενος τοῦτο ἐποίησεν, ἀλλὰ πολλὰ ἐντεῦθεν οἰκο- 10 *νομῶν· ἓν μέν, τὸ διδάξαι τοὺς ἀπαλλαγέντας τῶν πονηρῶν τυράννων ἐκείνων τὸ μέγεθος τῆς λύμης τῶν ἐπιβουλευόντων αὐτοῖς· ἕτερον δέ, ἵνα μάθωσι πάντες, ὅτι οὐδὲ χοίρων κατατολμῶσιν, εἰ μὴ αὐτὸς συγχωρήσειε· τρίτον, ὅτι χαλεπώτερα τῶν χοίρων ἐκείνους ἂν εἰργάσαντο, εἰ μὴ* 15 *καὶ ἐν τῇ συμφορᾷ πολλῆς ἀπέλαυον τῆς τοῦ Θεοῦ προνοίας. Ὅτι γὰρ ἡμᾶς τῶν ἀλόγων μᾶλλον μισοῦσι, παντί που δῆλόν ἐστιν. Ὥστε οἱ τῶν χοίρων μὴ φειδόμενοι, ἀλλ' ἐν μιᾷ καιροῦ ῥοπῇ πάντας αὐτοὺς κατακρημνίσαντες, πολλῷ μᾶλλον ἂν τοὺς ἀνθρώπους ταῦτα εἰργάσαντο, οὓς εἶχον,* 20 *ἐπ' ἐρημίας ἄγοντες καὶ ἀπάγοντες, εἰ μὴ καὶ ἐν αὐτῇ τῇ τυραννίδι πολλὴ ἦν ἡ τοῦ Θεοῦ κηδεμονία, χαλινοῦσα καὶ ἐπέχουσα τὴν περαιτέρω ῥύμην αὐτῶν. Ὅθεν δῆλον, ὅτι οὐκ ἔστιν οὐδείς, ὃς οὐκ ἀπολαύει τῆς τοῦ Θεοῦ προνοίας.*

---

24. Πρβλ. Λουκᾶ 16, 27-31.

του, χωρὶς ὅμως καὶ νὰ τὸ ἐπιτυγχάνῃ[24]· διότι ἐὰν αὐτὸ βεβαίως ἦτο δυνατόν, θὰ ἤρχετο αὐτὸς καὶ θὰ ἀνήγγειλε τὰ ὅσα συνέβησαν ἐκεῖ. Ἐξ αὐτοῦ καθίσταται γνωστόν, ὅτι αἱ ψυχαὶ μετὰ τὴν ἀναχώρησίν των ἀπὸ ἐδῶ ὁδηγοῦνται εἰς κάποιον χῶρον, ἀπὸ τὸν ὁποῖον δὲν ἠμποροῦν πλέον νὰ ἐπανέλθουν, ἀλλ' ἀναμένουν τὴν φοβερὰν ἐκείνην ἡμέραν τῆς κρίσεως.

Ἐὰν ὅμως ἤθελεν εἰπεῖ κάποιος 'Διὰ ποῖον λόγον ἔκαμεν ὁ Χριστὸς ἐκεῖνο τὸ ὁποῖον ἐζήτησαν οἱ δαίμονες, ὥστε νὰ τοὺς ἐπιτρέψῃ νὰ εἰσέλθουν εἰς τὴν ἀγέλην τῶν χοίρων'; θὰ ἠμπορούσαμεν εἰς ἐκεῖνον νὰ εἴπουμεν, ὅτι δὲν τὸ ἔκαμεν αὐτὸ ὑπακούων εἰς τὰς ἀξιώσεις αὐτῶν, ἀλλ' ἐπειδὴ ἤθελε μὲ αὐτὴν τὴν ἐνέργειάν του νὰ μᾶς διδάξῃ πάρα πολλά. Κατὰ πρῶτον ἐπειδὴ ἤθελε νὰ διδάξῃ αὐτοὺς ποὺ ἀπηλλάγησαν ἀπὸ τοὺς πονηροὺς ἐκείνους τυράννους τὸ μέγεθος τῆς καταστροφῆς ποὺ προκαλοῦν αὐτοὶ ποὺ τοὺς ἐπιβουλεύονται. Δεύτερον δὲ διὰ νὰ μάθουν ὅλοι, ὅτι οὔτε εἰς τοὺς χοίρους τολμοῦν νὰ εἰσέλθουν ἐὰν δὲν τὸ ἤθελεν ἐπιτρέψει ὁ ἴδιος. Τρίτον, ὅτι θὰ ἠμποροῦσαν νὰ προξενήσουν εἰς ἐκείνους φοβερώτερα κακὰ ἀπὸ ὅ,τι εἰς τοὺς χοίρους, ἐὰν δὲν ἐπροστατεύοντο εἰς μέγαν βαθμὸν καὶ μέσα εἰς τὴν συμφοράν των ἀπὸ τὴν πρόνοιαν τοῦ Θεοῦ. Διότι εἰς τὸν καθένα βεβαίως εἶναι φανερόν, ὅτι μισοῦν ἡμᾶς περισσότερον ἀπὸ ὅ,τι τὰ ἄλογα ζῶα. Ἑπομένως αὐτοὶ ποὺ δὲν ἐλυπήθησαν τοὺς χοίρους, ἀλλ' ἐντὸς μιᾶς στιγμῆς κατέρριψαν ὅλους αὐτοὺς εἰς τὸν κρημνόν, πολὺ περισσότερον θὰ ἐπροξενοῦσαν αὐτὰ τὰ ἴδια εἰς τοὺς ἀνθρώπους ποὺ εἶχαν ὑπὸ τὴν ἐξουσίαν των καὶ τοὺς ὡδηγοῦσαν εἰς τὴν ἔρημον καὶ πάλιν τοὺς μετέφεραν ἀπὸ ἐκεῖ, ἐὰν δὲν ἐπεδεικνύετο εἰς μέγαν βαθμὸν ἡ πρόνοια τοῦ Θεοῦ καὶ μέσα εἰς αὐτὴν τὴν τυραννικὴν κατάστασίν των, ὥστε νὰ θέσῃ χαλινὸν καὶ νὰ συγκρατήσῃ τὴν περαιτέρω ὁρμὴν αὐτῶν. Ἐξ αὐτοῦ καθίσταται ὁλοφάνερον, ὅτι δὲν ὑπάρχει κανεὶς ποὺ νὰ μὴ ἀπολαύῃ τῆς προνοίας τοῦ Θεοῦ. Ἐὰν ὅμως δὲν

Εἰ δὲ μὴ πάντες ὁμοίως, μηδὲ καθ' ἕνα τρόπον, καὶ τοῦτο προνοίας μέγιστον εἶδός ἐστι. Πρὸς γὰρ τὸ ἑκάστῳ λυσιτελοῦν καὶ τὸ τῆς προνοίας ἐπιδείκνυται.

Πρὸς δὲ τοῖς εἰρημένοις καὶ ἕτερον ἐκ τούτου μανθάνομεν, ὅτιπερ οὐ κοινῇ πάντων προνοεῖ μόνον, ἀλλὰ καὶ ἰδίᾳ ἑκάστου· ὃ καὶ ἐπὶ τῶν μαθητῶν ἐδήλωσεν εἰπών· «Ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς ἠριθμημέναι εἰσί». Καὶ ἀπὸ τῶν δαιμονώντων δὲ τούτων ἄν τις τοῦτο κατίδοι σαφῶς, οἳ πάλαι ἂν ἀπεπνίγησαν, εἰ μὴ πολλῆς τῆς ἄνωθεν κηδεμονίας ἀπέλαυον. Διὰ δὴ ταῦτα ἐπέτρεψεν ἀπελθεῖν εἰς τὴν ἀγέλην τῶν χοίρων, καὶ ἵνα καὶ οἱ τὰ χωρία οἰκοῦντες ἐκεῖνα μάθωσιν αὐτοῦ τὴν δύναμιν. Ἔνθα μὲν γὰρ πολὺ τὸ ὄνομα αὐτοῦ ἐστιν, οὐ σφόδρα ἐπεδείκνυτο· ἔνθα δὲ μηδεὶς αὐτὸν οἶδεν, ἀλλ' ἔτι ἀναισθήτως διάκεινται, ἐκλάμπειν ἐποίει τὰ θαύματα, ὥστε αὐτοὺς εἰς τὴν αὐτοῦ θεογνωσίαν ἐπισπάσασθαι. Ὅτι γὰρ ἀναίσθητοί τινες ἦσαν οἱ τὴν πόλιν ἐκείνην οἰκοῦντες, δῆλον ἀπὸ τοῦ τέλους. Δέον γὰρ αὐτοὺς προσκυνῆσαι καὶ θαυμάσαι τὴν δύναμιν, οἱ δὲ ἀπέπεμπον, «Καὶ παρεκάλουν ἀπελθεῖν ἀπὸ τῶν ὁρίων αὐτῶν».

Ἀλλὰ τίνος ἕνεκεν ἀνεῖλον τοὺς χοίρους οἱ δαίμονες; Πανταχοῦ τοὺς ἀνθρώπους εἰς ἀθυμίαν ἐμβάλλειν ἐσπουδάκασι, καὶ πανταχοῦ χαίρουσι τῇ ἀπωλείᾳ. Τοῦτο γοῦν καὶ ὁ διάβολος ἐπὶ τοῦ Ἰὼβ ἐποίησε· καίτοι καὶ ἐκεῖ ὁ Θεὸς ἐπέτρεψεν· ἀλλ' οὐδὲ ἐκεῖ πειθόμενος τῷ διαβόλῳ, ἀλλὰ τὸν

---

25. Ματθ. 10, 30.

ἀπολαμβάνουν ὅλοι τὴν πρόνοιάν του ὁμοίως καὶ κατὰ τὸν αὐτὸν τρόπον, καὶ αὐτὸ εἶναι μέγιστον εἶδος τῆς προνοίας τοῦ Θεοῦ. Διότι ἡ πρόνοια τοῦ Θεοῦ ἐκδηλώνεται ἀναλόγως πρὸς τὴν ὠφέλειαν τοῦ καθενός.

Ἐκτὸς δὲ ἀπὸ τὰ ὅσα προελέχθησαν διδασκόμεθα ἀπὸ αὐτὸ τὸ θαῦμα καὶ κάτι ἄλλο, ὅτι δηλαδὴ δὲν προνοεῖ μόνον ἀπὸ κοινοῦ δι' ὅλους, ἀλλὰ καὶ διὰ τὸν καθένα ξεχωριστά, πρᾶγμα ποὺ ἐδήλωσε πρὸς τοὺς μαθητάς του λέγων τὰ ἑξῆς· «Ἀκόμη καὶ αἱ τρίχες τῆς κεφαλῆς σας εἶναι ἠριθμημέναι»[25]. Ἀλλὰ θὰ ἠμποροῦσε κανεὶς νὰ τὸ διαπιστώσῃ αὐτὸ καθαρότερα καὶ ἀπὸ αὐτοὺς τοὺς δαιμονισμένους, οἱ ὁποῖοι θὰ ἦτο δυνατὸν πρὸ πολλοῦ νὰ εἶχον πνιγῆ, ἐὰν δὲν ἐπεδεικνύετο εἰς μεγάλον βαθμὸν πρὸς αὐτοὺς ἡ πρόνοια τοῦ Θεοῦ. Ἐξ αἰτίας αὐτοῦ βεβαίως ἐπέτρεψε τοὺς δαίμονας νὰ εἰσέλθουν εἰς τὴν ἀγέλην τῶν χοίρων, καὶ ἐπὶ πλέον διὰ νὰ πληροφορηθοῦν τὴν δύναμιν αὐτοῦ ἐκεῖνοι ποὺ ἐκατοικοῦσαν εἰς τὰ χωρία ἐκεῖνα. Διότι ὅπου μὲν ἦτο πολὺ γνωστὸν τὸ ὄνομά του δὲν ἐπεδείκνυεν εἰς μέγαν βαθμὸν τὴν δύναμίν του, ὅπου ὅμως δὲν τὸν ἐγνώριζε κανείς, ἀλλ' εὑρίσκοντο εἰς τελείαν ἄγνοιαν, ἔκαμε νὰ ἀκτινοβολοῦν τὰ θαύματά του, ὥστε νὰ τοὺς προσελκύσῃ εἰς τὸ νὰ γνωρίσουν ὅτι ἦτο Θεός. Διότι τὸ ὅτι ὡρισμένοι ἀπὸ αὐτοὺς ποὺ ἐκατοικοῦσαν εἰς τὴν πόλιν ἐκείνην εἶχον τελείαν ἄγνοιαν γίνεται φανερὸν ἀπὸ τὸ τέλος τῆς ἐξιστορήσεως τοῦ θαύματος. Διότι ἔπρεπεν αὐτοὶ νὰ τὸν προσκυνήσουν καὶ νὰ θαυμάσουν τὴν δύναμίν του, ἐν τούτοις ὅμως τὸν ἔδιωχναν «Καὶ τὸν παρεκάλουν νὰ φύγῃ ἀπὸ τὰ σύνορά των».

Ἀλλ' ὅμως ἐξ αἰτίας τίνος οἱ δαίμονες κατέρριψαν τοὺς χοίρους εἰς τὸν κρημνόν; Ἐπειδὴ προσπαθοῦν εἰς κάθε στιγμὴν μὲ μεγάλην προθυμίαν νὰ κάμουν τοὺς ἀνθρώπους νὰ λιποψυχήσουν καὶ χαίρονται πάντοτε μὲ τὴν καταστροφήν των. Αὐτὸ βεβαίως καὶ ὁ διάβολος ἔκαμεν εἰς τὴν περίπτωσιν τοῦ Ἰώβ, ἂν καί, βεβαίως, καὶ ἐκεῖ ὁ Θεὸς τὸ ἐπέτρεψεν· ἀλλ' οὔτε ἐκεῖ τὸ ἔκαμεν ὁ Θεὸς ὑπακούων εἰς

αὐτοῦ θεράποντα θέλων ἀποφῆναι λαμπρότερον καὶ τῷ δαίμονι πᾶσαν ἀναισχυντίας ἐκκόπτων πρόφασιν καὶ εἰς τὴν αὐτοῦ περιτρέπων κεφαλὴν τὰ κατὰ τοῦ δικαίου γινόμενα. Ἐπεὶ καὶ νῦν τοὐναντίον, ἤπερ ἤθελον οὗτοι, γέγονε. Καὶ 5 γὰρ ἡ τοῦ Χριστοῦ δύναμις λαμπρῶς ἀνεκηρύττετο, καὶ ἡ πονηρία τῶν δαιμόνων, ἧς ἀπήλλαξε τοὺς ὑπ' αὐτῶν κατεχομένους, σαφέστερον διεδείκνυτο, καὶ ὅτι οὐδὲ χοίρων εἰσὶν ἅπτεσθαι κύριοι, μὴ τοῦ τῶν ὅλων ἐπιτρέποντος Θεοῦ.

4. Εἰ δέ τις καὶ κατὰ ἀναγωγὴν ταῦτα ἐκλάβοι, τὸ 10 κωλύον οὐδέν. Ἡ μὲν γὰρ ἱστορία αὕτη· δεῖ δὲ εἰδέναι σαφῶς, ὡς οἱ χοιρώδεις τῶν ἀνθρώπων εὐεπιχείρητοι ταῖς τῶν δαιμόνων ἐνεργείαις εἰσί. Καὶ ἄνθρωποι μὲν ὄντες οἱ ταῦτα πάσχοντες, δύνανται καὶ περιγενέσθαι πολλάκις· ἂν δὲ χοῖροι τὸ ὅλον γένωνται, οὐ δαιμονίζονται μόνον, ἀλ- 15 λὰ καὶ κατακρημνίζονται. Καὶ ἄλλως δέ, ἵνα μή τις σκηνὴν εἶναι νομίσῃ τὰ γενόμενα, ἀλλὰ πιστεύσῃ σαφῶς ὅτι ἐξῆλθον οἱ δαίμονες, ἀπὸ τοῦ θανάτου τῶν χοίρων τοῦτο γίνεται κατάδηλον.

Σκόπει δὲ αὐτοῦ καὶ τὸ πρᾶον μετὰ τῆς δυνάμεως. 20 Ἐπειδὴ γὰρ τοιαῦτα εὐεργετηθέντες ἀπήλαυνον αὐτὸν οἱ τὴν χώραν οἰκοῦντες ἐκείνην, οὐκ ἀντέτεινεν, ἀλλ' ἀνεχώρησε, καὶ τοὺς ἀναξίους ἀποφήναντας ἑαυτοὺς τῆς αὐτοῦ διδασκαλίας κατέλιπε, τοὺς ἐλευθερωθέντας τῶν δαιμόνων δοὺς διδασκάλους καὶ τοὺς συβώτας, ὥστε παρ' ἐκείνων 25 μαθεῖν πάντα τὰ γεγενημένα· καὶ αὐτὸς ἀναχωρήσας τὸν φόβον ἀφίησιν αὐτοῖς ἐνακμάζοντα. Καὶ γὰρ τῆς ζημίας τὸ

τὸν διάβολον, ἀλλ' ἐπειδὴ ἤθελε ν' ἀποδείξῃ τὸν δοῦλόν του περισσότερον λαμπρὸν καὶ νὰ ἀφαιρέσῃ ἀπὸ τὸν δαίμονα κάθε δικαιολογίαν ἀναισχυντίας καὶ νὰ ἐπιρρίψῃ εἰς τὴν κεφαλὴν τοῦ διαβόλου τὰ ὅσα συνέβησαν εἰς βάρος τοῦ δικαίου Ἰώβ. Καὶ τώρα, βεβαίως, συνέβη τὸ ἀντίθετον ἀπὸ αὐτὸ ποὺ ἤθελον αὐτοί. Καθόσον καὶ ἡ δύναμις τοῦ Χριστοῦ διεκηρύσσετο περιτράνως, καὶ ἡ πονηρία τῶν δαιμόνων, ἀπὸ τὴν ὁποίαν ἀπήλλαξεν αὐτοὺς ποὺ εὑρίσκοντο ὑπὸ τὴν ἐξουσίαν των, ἀπεδεικνύετο πάρα πολὺ καθαρά, καὶ ὅτι δὲν ἔχουν ἐξουσίαν οὔτε τοὺς χοίρους νὰ ἐγγίσουν, ἐὰν δὲν τὸ ἤθελεν ἐπιτρέψει ὁ Θεὸς ὁ ἐξουσιαστὴς τῶν πάντων.

4. Ἐὰν ὅμως κανεὶς ἤθελεν ἐκλάβει αὐτὰ κατὰ τρόπον ἀλληγορικόν, δὲν ὑπάρχει κανὲν ἐμπόδιον. Διότι ἡ μὲν ἱστορία εἶναι αὐτή· πρέπει ὅμως νὰ γνωρίζωμεν σαφῶς, ὅτι οἱ ἄνθρωποι ποὺ εἶναι πνευματικῶς ὅμοιοι μὲ τοὺς χοίρους προσβάλλονται εὐκόλως ἀπὸ τὰς ἐνεργείας τῶν δαιμόνων. Καὶ ἐν ὅσῳ εἶναι ἄνθρωποι αὐτοὶ ποὺ ὑφίστανται αὐτὰ ἠμποροῦν πολλάκις καὶ νὰ ὑπερισχύσουν τῶν δαιμόνων, ἂν ὅμως μεταβληθοῦν ἐξ ὁλοκλήρου εἰς χοίρους, ὄχι μόνον διατελοῦν ὑπὸ τὴν ἐξουσίαν τῶν δαιμόνων, ἀλλὰ καὶ κατακρημνίζονται. Ἐξ ἄλλου δὲ ἀπὸ τὸν θάνατον τῶν χοίρων γίνεται αὐτὸ φανερόν, ὥστε νὰ μὴ νομίσῃ κανεὶς ὅτι ἦσαν σκηνογραφία τὰ ὅσα συνέβησαν, ἀλλὰ νὰ πιστεύσῃ ὅτι πράγματι ἐξῆλθον οἱ δαίμονες ἀπὸ τοὺς ἀνθρώπους.

Πρόσεχε δὲ μαζὶ μὲ τὴν δύναμιν καὶ τὴν πραότητά του. Διότι, βεβαίως, δὲν ἔφερεν ἀντίρρησιν πρὸς τοὺς κατοίκους τῆς περιοχῆς ποὺ τὸν ἔδιωχναν, ἂν καὶ εἶχον τύχει τοιαύτης εὐεργεσίας, ἀλλ' ἀνεχώρησε καὶ ἐγκατέλειψεν ἐκείνους ποὺ μόνοι των ἀπεφάνθησαν ὅτι ἦσαν ἀνάξιοι νὰ δεχθοῦν τὴν διδασκαλίαν του, ἀφοῦ τοὺς ἄφησεν ὡς διδασκάλους αὐτοὺς ποὺ ἠλευθερώθησαν ἀπὸ τοὺς δαίμονας καὶ τοὺς χοιροβοσκούς, ὥστε ἀπὸ ἐκείνους νὰ πληροφορηθοῦν τὰ ὅσα συνέβησαν· καὶ ὁ ἴδιος ἀφοῦ ἀνεχώρησεν ἄφησεν εἰς αὐτοὺς τὸν συνεχῶς αὐξανόμενον φόβον. Καθόσον τὸ μέγεθος τῆς

μέγεθος διεδίδου τοῦ γεγενημένου τὴν φήμην καὶ καθικνεῖτο τῆς διανοίας αὐτῶν τὸ συμβάν. Καὶ πολλαχόθεν ἐφέροντο φωναί, ἀνακηρύττουσαι τοῦ θαύματος τὸ παράδοξον, ἀπὸ τῶν θεραπευθέντων, ἀπὸ τῶν καταποντισθέντων, ἀπὸ τῶν 5 δεσποτῶν τῶν χοίρων, ἀπὸ τῶν ποιμαινόντων αὐτοὺς ἀνθρώπων.

Ταῦτα καὶ νῦν γινόμενα ἴδοι τις ἄν, καὶ πολλοὺς ἐν τοῖς μνημείοις δαιμονιζομένους, οὓς οὐδὲν κατέχει τῆς μανίας, οὐ σίδηρος, οὐχ ἅλυσις, οὐκ ἀνθρώπων πλῆθος, οὐ 10 παραίνεσις, οὐ νουθεσία, οὐ φόβος, οὐκ ἀπειλή, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν. Καὶ γὰρ ὅταν τις ἀκόλαστος ᾖ πρὸς πάντα σώματα ἐπτοημένος, οὐδὲν διενήνοχε τοῦ δαιμονῶντος· ἀλλὰ γυμνὸς ὡς ἐκεῖνος περιέρχεται, ἱμάτια μὲν ἐνδεδυμένος, τῆς δὲ ἀληθοῦς περιβολῆς ἐστερημένος, καὶ τῆς 15 αὐτῷ προσηκούσης δόξης γεγυμνωμένος, οὐ λίθοις ἑαυτὸν κόπτων, ἀλλὰ ἁμαρτήμασι πολλῶν λίθων χαλεπωτέροις. Τίς οὖν τὸν τοιοῦτον δῆσαι δυνήσεται; τίς παῦσαι ἀσχημονοῦντα καὶ οἰστρούμενον, καὶ οὐδέποτε ἐν ἑαυτῷ γινόμενον, ἀλλ᾽ ἀεὶ παρὰ τὰ μνήματα φοιτῶντα; Τοιαῦτα γὰρ τῶν πορνῶν τὰ 20 καταγώγια, πολλῆς τῆς δυσωδίας γέμοντα, πολλῆς τῆς σηπεδόνος.

Τί δὲ ὁ φιλάργυρος; οὐχὶ τοιοῦτος; τίς γὰρ αὐτὸν ἰσχύσει δῆσαί ποτε; οὐχὶ φόβοι καὶ ἀπειλαὶ καθημεριναὶ καὶ παραινέσεις καὶ συμβουλαί; Ἀλλὰ πάντα ταῦτα διακό-25 πτει τὰ δεσμά· κἂν ἔλθῃ τις αὐτὸν ἀπαλλάξαι, ὁρκίζει ὥστε μὴ

ζημίας ὑπεβοήθει τὴν διάδοσιν τοῦ θαύματος καὶ τὸ γεγονὸς κατεκυρίευε τὴν σκέψιν των. Καὶ ἀπὸ πολλὰ σημεῖα κατέφθαναν φωναὶ ποὺ διεκήρυτταν τὸ παράδοξον τοῦ θαύματος· ἀπὸ αὐτοὺς ποὺ ἐθεραπεύθησαν, ἀπὸ τοὺς χοίρους ποὺ κατεποντίσθησαν, ἀπὸ τοὺς κυρίους τῶν χοίρων, ἀπὸ τοὺς βοσκοὺς τῶν χοίρων.

Ὅλα αὐτὰ καὶ τώρα θὰ ἠμποροῦσε κανεὶς νὰ τὰ ἰδῇ καὶ νὰ συναντήσῃ πολλοὺς δαιμονισμένους εἰς τὰ νεκροταφεῖα, τῶν ὁποίων τὴν μανίαν τίποτε δὲν ἠμπορεῖ νὰ συγκρατήσῃ, οὔτε ὁ σίδηρος, οὔτε αἱ ἁλυσίδες, οὔτε τὸ πλῆθος τῶν ἀνθρώπων, οὔτε αἱ συμβουλαί, οὔτε αἱ νουθεσίαι, οὔτε ὁ φόβος, οὔτε ἡ ἀπειλή, οὔτε τίποτε ἄλλο ἀπὸ τὰ παρόμοια. Καθόσον ὅταν κάποιος εἶναι ἀχαλίνωτος καὶ φέρεται ἀπὸ σφοδρὸν πάθος πρὸς τὸ κάθε τι δὲν διαφέρει ὡς πρὸς τίποτε ἀπὸ τὸν δαιμονισμένον, ἀλλὰ περιφέρεται γυμνός, ὅπως ἐκεῖνος, ἐνδεδυμένος μὲν μὲ ἐνδύματα, ἀλλ' ὅμως μὴ φέρων τὴν ἀληθῆ ἐνδυμασίαν, διότι εἶναι γυμνὸς ἀπὸ τὴν δόξαν ποὺ τοῦ ἁρμόζει, καὶ δὲν ξεσχίζει τὸ σῶμά του μὲ τοὺς λίθους, ἀλλὰ μὲ τὰς ἁμαρτίας του ποὺ εἶναι περισσότερον κοπτεραὶ ἀπὸ πολλοὺς μαζὶ λίθους. Ποῖος λοιπὸν θὰ ἠμπορέσῃ νὰ δέσῃ τὸν τοιοῦτον ἄνθρωπον; ποῖος θὰ τὸν σταματήσῃ ἀπὸ τὴν ἀσχημοσύνην του αὐτὴν καὶ τὴν παραφροσύνην, ποὺ δὲν εὑρίσκεται ποτὲ εἰς κατάστασιν τέτοιαν ποὺ νὰ ἠμπορῇ νὰ ἐλέγξῃ τὸν ἑαυτόν του, ἀλλ' εὑρίσκεται πάντοτε εἰς τὰ μνήματα; Διότι τέτοια εἶναι τὰ καταγώγια τῶν πορνῶν, ποὺ εἶναι γεμᾶτα ἀπὸ πολλὴν δυσωδίαν καὶ ἀπὸ πολλὴν σαπίλαν.

Τί δὲ θὰ ἔλεγε κανεὶς διὰ τὸν φιλάργυρον; δὲν εἶναι καὶ αὐτὸς τέτοιος; διότι ποῖος θὰ ἠμπορέσῃ ποτὲ νὰ τὸν συγκρατήσῃ; μήπως καθημερινῶς δὲν τοῦ προβάλλονται οἱ φόβοι καὶ αἱ ἀπειλαὶ καὶ αἱ παραινέσεις καὶ αἱ συμβουλαί; Ἀλλ' ὅλα αὐτὰ τὰ δεσμὰ τὰ σπάζει· καὶ ἂν ἔλθῃ κάποιος νὰ τὸν ἀπαλλάξῃ ἀπὸ τὴν φιλαργυρίαν του, τὸν ὑποχρεώνει μὲ ὅρκον νὰ μὴ τὸν ἐλευθερώσῃ, διότι θεωρεῖ πολὺ πιὸ

ἀπαλλαγῆναι, βάσανον ἡγούμενος εἶναι μεγίστην τὸ μὴ εἶναι ἐν τῇ βασάνῳ· οὗ τί γένοιτ' ἂν ἀθλιώτερον; Ἐκεῖνος μὲν γὰρ ὁ δαίμων, εἰ καὶ ἀνθρώπων κατεφρόνησεν, ἀλλὰ τῷ προστάγματι εἶξε τοῦ Χριστοῦ καὶ ταχέως ἀπεπήδησε τοῦ
5 *σώματος· οὗτος δὲ οὐδὲ τῷ προστάγματι εἴκει. Ἰδοὺ γοῦν καθ' ἑκάστην ἡμέραν ἀκούει αὐτοῦ λέγοντος, «Οὐ δύνασθε Θεῷ δουλεύειν καὶ μαμωνᾷ», καὶ γέενναν ἀπειλοῦντος καὶ τὰς ἀνηκέστους κολάσεις, καὶ οὐ πείθεται· οὐχ ὅτι ἰσχυρότερός ἐστι τοῦ Χριστοῦ, ἀλλ' ὅτι ἄκοντας ἡμᾶς ὁ Χριστὸς οὐ*
10 *σωφρονίζει. Διὰ τοῦτο ὡς ἐν ἐρήμοις οἱ τοιοῦτοι διατρίβουσι, κἂν ἐν μέσαις πόλεσιν ὦσι. Τίς γὰρ ἂν ἕλοιτο νοῦν ἔχων τοιούτοις συγγίνεσθαι ἀνθρώποις; Μᾶλλον ἂν ἔγωγε κατεδεξάμην μετὰ μυρίων δαιμονώντων οἰκεῖν, ἢ μετὰ ἑνὸς ταύτην νοσοῦντος τὴν νόσον. Καὶ ὅτι οὐ σφάλλομαι ταῦτα*
15 *λέγων, δῆλον ἐξ ὧν ἑκάτεροι πάσχουσιν. Οὗτοι μὲν γὰρ τὸν οὐδὲν ἠδικηκότα ἐχθρὸν ἡγοῦνται καὶ βούλονται καὶ δοῦλον λαβεῖν ἐλεύθερον ὄντα καὶ μυρίοις περιβάλλουσι κακοῖς· οἱ δὲ δαιμονῶντες οὐδὲν τοιοῦτον ἐργάζονται, ἀλλ' ἐν ἑαυτοῖς τὴν νόσον στρέφουσι. Καὶ οὗτοι μὲν πολλὰς*
20 *οἰκίας ἀνατρέπουσι καὶ τὸ ὄνομα τοῦ Θεοῦ βλασφημεῖσθαι παρασκευάζουσι καὶ λύμη πόλεως καὶ τῆς οἰκουμένης ἁπάσης εἰσίν· οἱ δὲ ὑπὸ δαιμόνων ἐνοχλούμενοι, ἐλεεῖσθαι μᾶλλόν εἰσιν ἄξιοι δακρύεσθαι. Καὶ οἱ μὲν ἐν ἀναισθησίᾳ τὰ πλείονα πράττουσιν· οἱ δὲ μετὰ λογισμοῦ παραπαίουσιν,*

---

26. Ματθ. 6, 24.

μεγαλύτερον βάσανον τὸ νὰ μὴ εὑρίσκεται κάτω ἀπὸ αὐτὸ τὸ βάσανον τῆς φιλαργυρίας του· τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ πιὸ ἄθλιον ἀπὸ αὐτὸ τὸ γεγονός; Διότι ἐκεῖνος μὲν ὁ δαίμων, μολονότι περιεφρόνησε τοὺς ἀνθρώπους, ἐν τούτοις ὑπεχώρησεν ἐμπρὸς εἰς τὸ πρόσταγμα τοῦ Χριστοῦ καὶ ἀμέσως ἐξῆλθεν ἀπὸ τὸ σῶμα τοῦ ἀνθρώπου, αὐτὸς ὅμως οὔτε εἰς τὸ πρόσταγμα τοῦ Κυρίου ὑποχωρεῖ. Ἰδοὺ λοιπὸν καθημερινῶς ἀκούει αὐτὸν ποὺ τοῦ λέγει, «Δὲν ἠμπορεῖτε νὰ ἐργάζεσθε διὰ τὸν Θεὸν καὶ τὸν μαμωνᾶν»[26], καὶ ἐνῷ τὸν ἀπειλεῖ μὲ τὴν γέενναν τοῦ πυρὸς καὶ τὰς σκληρὰς τιμωρίας, ἐν τούτοις δὲν ὑπακούει· ὄχι ἐπειδὴ εἶναι ἰσχυρότερος τοῦ Χριστοῦ, ἀλλ' ἐπειδὴ ὁ Χριστὸς δὲν μᾶς καθιστᾷ σώφρονας χωρὶς τὴν θέλησίν μας. Καὶ ἀκριβῶς δι' αὐτὸ αὐτοῦ τοῦ εἴδους οἱ ἄνθρωποι ζοῦν ὡσὰν μέσα εἰς ἐρήμους, καὶ ἂν ἀκόμη εὑρίσκωνται εἰς τὸ κέντρον τῶν πόλεων. Καὶ βεβαίως ποῖος λογικὸς ἄνθρωπος θὰ ἤθελε νὰ συναναστρέφεται μὲ τοιούτου εἴδους ἀνθρώπους; Ἐγὼ τοὐλάχιστον θὰ προτιμοῦσα μᾶλλον νὰ συζῶ μὲ μυρίους δαιμονισμένους ἀνθρώπους παρὰ μὲ ἕνα ποὺ ὑποφέρει ἀπὸ αὐτὴν τὴν ἀσθένειαν. Καὶ τὸ ὅτι δὲν ἀπατῶμαι λέγων αὐτὰ καθίσταται φανερὸν ἀπὸ αὐτὰ ποὺ συμβαίνουν εἰς τὸν καθένα. Διότι αὐτοὶ μὲν θεωροῦν ἐχθρόν των αὐτὸν ποὺ δὲν τοὺς ἔβλαψεν εἰς τίποτε, καὶ θέλουν νὰ τὸν κάμουν δοῦλόν των, μολονότι εἶναι ἐλεύθερος, καὶ σκέπτονται μύρια κακὰ ἐναντίον του, οἱ δαιμονισμένοι ὅμως δὲν πράττουν τίποτε τὸ παρόμοιον, ἀλλ' ἀντιθέτως στρέφουν τὸ πάθος των ἐναντίον τοῦ ἑαυτοῦ των. Καὶ αὐτοὶ μὲν καταστρέφουν πολλὰς οἰκίας καὶ γίνονται αἰτία νὰ βλασφημῆται τὸ ὄνομα τοῦ Θεοῦ καὶ ἀποτελοῦν καταστροφὴν διὰ τὴν πόλιν καὶ ὅλην γενικῶς τὴν οἰκουμένην, ἐνῷ, ἀντιθέτως, αὐτοὶ ποὺ ἐνοχλοῦνται ἀπὸ τοὺς δαίμονας εἶναι μᾶλλον ἄξιοι ἐλέους καὶ δακρύων. Καὶ οἱ μὲν δαιμονισμένοι πράττουν τὰ περισσότερα ἀσυναίσθητα, οἱ φιλάργυροι ὅμως ἐνεργοῦν παράφρονα μετὰ περισκέψεως, συμπεριφέρονται κατὰ τρόπον μανιώδη εἰς τὸ κέντρον

ἐν μέσαις πόλεσι βακχευόμενοι καὶ καινήν τινα μαινόμενοι μανίαν. Τί γὰρ τοιοῦτον ἐργάζονται οἱ δαιμονῶντες ἅπαντες, οἷον Ἰούδας ἐτόλμησε, τὴν ἐσχάτην παρανομίαν ἐπιδεξάμενος; Καὶ πάντες δὲ οἱ ἐκεῖνον ζηλοῦντες, καθάπερ
5 *θηρία χαλεπὰ καὶ γαλεάγρας φυγόντα, τὰς πόλεις θορυβοῦσιν, οὐδενὸς κατέχοντος. Περίκειται μὲν γὰρ καὶ τούτοις δεσμὰ πανταχόθεν· οἷον, ὁ τῶν δικαστῶν φόβος, ἡ τῶν νόμων ἀπειλή, ἡ παρὰ τῶν πολλῶν κατάγνωσις καὶ ἕτερα πλείονα τούτων· ἀλλ' ὅμως καὶ ταῦτα διαρρηγνύντες πάντα*
10 *ἄνω καὶ κάτω ποιοῦσι. Καὶ εἴ τις αὐτὰ τέλεον αὐτῶν ἀφεῖλε, τότε ἂν ἔγνω σαφῶς τὸν ἐν αὐτοῖς δαίμονα πολὺ τοῦ νῦν ἐξελθόντος ἀγριώτερον ὄντα καὶ μανικώτερον.*

5. Ἀλλ' ἐπειδὴ τοῦτο οὐκ ἔνι, τῷ λόγῳ τέως αὐτὸ ὑποθώμεθα, καὶ πάσας αὐτοῦ περιέλωμεν τὰς ἁλύσεις· καὶ τότε
15 *αὐτοῦ σαφῶς εἰσόμεθα τὴν λαμπρὰν μανίαν. Ἀλλὰ μὴ δείσητε τὸ θηρίον, ὅταν αὐτὸ ἐκκαλύψωμεν· ἐν γὰρ τῷ λόγῳ ἡ σκηνή, καὶ ἐν ἀληθείᾳ τὸ πρᾶγμα. Ἔστω τοίνυν τις ἄνθρωπος πῦρ ἀπὸ τῶν ὀφθαλμῶν ἀφιείς, μέλας, ἐξ ἑκατέρων τῶν ὤμων δράκοντας ἀντὶ χειρῶν ἔχων ἐξηρτημέ-*
20 *νους· ὥστε δὲ αὐτῷ καὶ στόμα, ἀντὶ μὲν ὀδόντων ξίφη ὀξέα ἔχον ἐμπεπηγότα, ἀντὶ δὲ γλώσσης ἰοῦ καὶ δηλητηρίου φαρμάκου πηγὴν ἀναβλύζουσαν· γαστὴρ δέ, καμίνου πάσης δαπανητικωτέρα, τὰ ἐμβαλλόμενα ἀναλίσκουσα ἅπαντα· καὶ πόδες ὑπόπτεροί τινες καὶ φλογὸς ἁπάσης σφοδρότεροι· καὶ*
25 *τὸ πρόσωπον δὲ αὐτῷ ἀπὸ κυνὸς καὶ λύκου κατεσκευασμένον*

τῶν πόλεων καὶ καταλαμβάνονται ἀπὸ κάποιαν πρωτάκουστον μορφὴν μανίας. Διότι τί τὸ παρόμοιον πράττουν ὅλοι μαζὶ οἱ δαιμονισμένοι μὲ αὐτὸ ποὺ ἐτόλμησε νὰ πράξῃ ὁ Ἰούδας, ὁ ὁποῖος διέπραξε τὴν χειρίστην παρανομίαν; Καὶ ὅλοι δὲ ποὺ εἶναι μιμηταὶ ἐκείνου, ὅπως ἀκριβῶς τὰ φοβερὰ θηρία ποὺ ἐξέφυγαν ἀπὸ τὰς παγίδας των, διαταράσσουν τὰς πόλεις χωρὶς νὰ ἠμπορῇ κανεὶς νὰ τοὺς συγκρατήσῃ. Καὶ βεβαίως περιβάλλονται μὲν καὶ αὐτοὶ ἀπὸ παντοῦ μὲ δεσμά, ὅπως λόγῳ χάριν ὁ φόβος τῶν δικαστῶν, ἡ ἀπειλὴ τῶν νόμων, ἡ περιφρόνησις ἐκ μέρους τῶν περισσοτέρων ἀνθρώπων καὶ ἄλλα πολὺ περισσότερα ἀπὸ αὐτά, ἀλλ' ὅμως σπάζουν καὶ αὐτὰ τὰ δεσμὰ καὶ ὅλα τὰ κάνουν ἄνω κάτω. Καὶ ἐὰν κάποιος ἀφαιροῦσεν ἀπὸ αὐτοὺς ὅλα αὐτὰ τὰ δεσμά, τότε θὰ ἠμποροῦσε νὰ ἰδῇ κανεὶς καθαρὰ τὸν δαίμονα ποὺ εὑρίσκεται ἐντὸς αὐτῶν νὰ εἶναι πολὺ περισσότερον ἄγριος καὶ μανιώδης ἀπὸ αὐτὸν ποὺ ἐξῆλθεν ἀπὸ τοὺς δαιμονισμένους.

5. Ἀλλ' ἐπειδὴ αὐτὸ δὲν εἶναι δυνατὸν νὰ συμβῇ, κατὰ πρῶτον ἂς τὸ ἐκλάβωμεν αὐτὸ ὑποθετικὰ καὶ ἂς ἀφαιρέσωμεν ἀπὸ αὐτὸν ὅλα τὰ δεσμὰ καὶ τότε θὰ γνωρίσωμεν καθαρὰ τὴν ὁρμητικὴν μανίαν τοῦ φιλαργύρου. Ἀλλὰ μὴ φοβηθῆτε τὸ θηρίον ὅταν θὰ τὸ ἀποκαλύψωμεν, διότι ἡ σκηνὴ εἶναι καθ' ὑπόθεσιν καὶ δὲν εἶναι ἀληθινὸν τὸ πρᾶγμα. Ἂς ὑποθέσωμεν λοιπὸν ὅτι ὑπάρχει κάποιος ἄνθρωπος ποὺ ἐκπέμπει φωτιὰν ἀπὸ τοὺς ὀφθαλμούς του, ποὺ εἶναι μαῦρος καὶ ἔχει εἰς τὸν κάθε ὦμον του ἀντὶ χειρῶν δράκοντας· ἔστω δὲ ὅτι ἔχει καὶ στόμα ποὺ φέρει ἀντὶ ὀδόντων καρφωμένα ξίφη, ἀντὶ δὲ γλώσσης πηγὴν ποὺ ἀναβλύζει δηλητήριον καὶ φαρμάκι. Ἡ δὲ κοιλία του, ποὺ κατατρώγει περισσότερον ἀπὸ κάθε κάμινον, καταστρέφει ὅλα γενικῶς ἐκεῖνα ποὺ τῆς ρίπτουν. Καὶ ὡρισμένα πόδια του φέρουν πτερὰ καὶ κινοῦνται μὲ μεγαλυτέραν ταχύτητα ἀπὸ τὴν φωτιάν. Καὶ ἔστω ὅτι τὸ πρόσωπον αὐτοῦ εἶναι κατασκευασμένον ἀπὸ σκύλον καὶ λύκον, καὶ ἡ ὁμιλία του δὲν εἶναι

ἔστω· καὶ φθεγγέσθω μηδὲν ἀνθρώπινον, ἀλλ' ἀπηχές τι καὶ ἀηδὲς καὶ φοβερόν· ἐχέτω δὲ καὶ ἐν χερσὶ φλόγα. Τάχα φοβερὰ δοκεῖ εἶναι ὑμῖν τὰ εἰρημένα· ἀλλ' οὐδέπω κατ' ἀξίαν αὐτὸν ἐσχηματίσαμεν· μετὰ γὰρ τούτων καὶ ἕ-
5 τερα δεῖ προσθεῖναι. Καὶ γὰρ τοὺς ἀπαντῶντας σφαττέτω, κατεσθιέτω, τῶν σαρκῶν αὐτῶν ἁπτέσθω.

Ἀλλὰ καὶ τούτου πολλῷ χαλεπώτερος ὁ φιλάργυρος, πᾶσιν ἐπιὼν ὥσπερ ᾅδης, πάντας καταπίνων, κοινὸς πολέμιος περιερχόμενος τοῦ τῶν ἀνθρώπων γένους. Καὶ γὰρ
10 βούλεται μηδένα ἄνθρωπον εἶναι, ἵνα τὰ πάντα κατέχῃ. Καὶ οὐδὲ ἐνταῦθα ἵσταται, ἀλλ' ὅταν πάντας ἀπολέσῃ τῇ ἐπιθυμίᾳ, καὶ τῆς γῆς τὴν οὐσίαν ἀφανίσαι ἐπιθυμεῖ, καὶ χρυσὸν αὐτὴν οὖσαν ἰδεῖν· οὐ τὴν γῆν δὲ μόνον, ἀλλὰ καὶ ὄρη καὶ νάπας καὶ πηγὰς καὶ πάντα ἁπλῶς τὰ φαινόμενα.
15 Καὶ ἵνα μάθητε ὅτι οὐδέπω τὴν μανίαν παρεστήσαμεν τὴν ἐκείνου, μηδεὶς ἔστω ὁ ἐγκαλῶν καὶ δεδιττόμενος, ἀλλ' ἄνελε τὸν ἐκ τῶν νόμων φόβον τῷ λόγῳ τέως, καὶ ὄψει αὐτὸν ξίφος ἁρπάσαντα καὶ πάντας διαχρώμενον καὶ οὐδενὸς φειδόμενον, οὐ φίλου, οὐ συγγενοῦς, οὐκ ἀδελφοῦ, οὐκ αὐ-
20 τοῦ τοῦ γεγεννηκότος. Μᾶλλον δὲ οὐδὲ ὑποθέσεως ἐνταῦθα χρεία· ἀλλ' ἐρώμεθα αὐτόν, εἰ μὴ τοιαύτας πλάττει καθ' ἑαυτὸν ἀεὶ φαντασίας, καὶ πάντας ἔπεισιν ἀναιρῶν τῷ λογισμῷ, καὶ φίλους καὶ συγγενεῖς καὶ αὐτοὺς τοὺς γεγεννηκότας. Μᾶλλον δὲ οὐδὲ ἐρωτήσεως χρεία· καὶ γὰρ πάντες
25 ἴσασιν ὡς οἱ τούτῳ κατεχόμενοι τῷ νοσήματι, καὶ γῆρας βαρύνονται πατρός, τό τε γλυκὺ καὶ πᾶσιν ἐπέραστον, το

ἀνθρωπίνη, ἀλλ' ὁμοιάζει μὲ κάποιον ἦχον ποὺ προκαλεῖ καὶ ἀηδίαν καὶ εἶναι φοβερός· ἂς ὑποθέσωμεν δὲ ὅτι εἰς τὰ χέρια του κρατεῖ φλόγαν. Ἴσως νὰ σᾶς φαίνωνται φοβερὰ τὰ ὅσα ἐλέχθησαν· ἀλλ' ὅμως δὲν τὸν περιεγράψαμεν ἀκόμη κατὰ τρόπον ἀντάξιον, διότι μαζὶ μὲ αὐτὰ πρέπει νὰ προσθέσωμεν καὶ ἄλλα. Καὶ ἂς ὑποθέσωμεν λοιπὸν ὅτι σφάζει αὐτοὺς ποὺ συναντᾷ καὶ τοὺς τρώγει καὶ κατακαίει τὰς σάρκας αὐτῶν. Ἀλλ' ὅμως ὁ φιλάργυρος εἶναι πολὺ πιὸ φοβερὸς ἀπὸ αὐτόν, διότι εἰσβάλλει ἐναντίον ὅλων ὅπως ἀκριβῶς ὁ Ἅδης καὶ ὅλους τοὺς καταπίνει, καὶ περιφέρεται ὡσὰν κοινὸς ἐχθρὸς τοῦ ἀνθρωπίνου γένους. Καθόσον ἐπιθυμεῖ νὰ μὴ ὑπάρχῃ κανένας ἄνθρωπος, ὥστε νὰ ἐξουσιάζῃ τὰ πάντα. Καὶ οὔτε ἐδῶ σταματᾷ, ἀλλ' ἀφοῦ τοὺς καταστρέψῃ ὅλους, συμφώνως πρὸς τὴν ἐπιθυμίαν του, ἐπιθυμεῖ νὰ ἀλλάξῃ καὶ τὴν οὐσίαν τοῦ χώματος καὶ νὰ τὸ ἰδῇ νὰ γίνεται χρυσός· καὶ ὄχι μόνον τὸ χῶμα, ἀλλὰ καὶ τὰ βουνὰ καὶ τὰ φαράγγια καὶ τὰς πηγὰς καὶ γενικῶς ὅλα τὰ ὑποπίπτοντα εἰς τὴν ἀντίληψίν του. Καὶ διὰ νὰ πληροφορηθῆτε ὅτι δὲν περιεγράψαμεν ἀκόμη τὴν μανίαν του, ἂς ὑποθέσωμεν ὅτι δὲν ὑπάρχει κανένας κατήγορός του καὶ κανένας ποὺ νὰ τὸν ἐκφοβίζῃ, καὶ ἀφαίρεσε τὸν φόβον ἀπὸ τοὺς νόμους ὅσον χρόνον θὰ συζητοῦμεν, καὶ θὰ ἰδῇς αὐτὸν νὰ ἁρπάζῃ ξίφος καὶ ὅλους νὰ τοὺς φονεύῃ καὶ νὰ μὴ λυπῆται κανένα, οὔτε φίλον, οὔτε συγγενῆ, οὔτε ἀδελφόν, οὔτε αὐτὸν τὸν ἴδιον τὸν πατέρα του. Μᾶλλον δὲ ἐδῶ οὔτε κἂν χρειάζεται νὰ ὑποθέσωμεν, ἀλλ' ἂς τὸν ἐρωτήσωμεν, ἐὰν δὲν πλάθῃ μόνος του συνεχῶς φαντασίας αὐτοῦ τοῦ εἴδους καὶ δὲν ἐπιτίθεται νοερῶς διὰ νὰ τοὺς φονεύσῃ ὅλους, καὶ τοὺς φίλους καὶ τοὺς συγγενεῖς καὶ αὐτοὺς ἀκόμη τοὺς γονεῖς του. Μᾶλλον ὅμως οὔτε ἐρώτησις χρειάζεται, καθόσον ὅλοι γνωρίζουν, ὅτι, αὐτοὶ ποὺ εἶναι κατακυριευμένοι ἀπὸ αὐτὸ τὸ πάθος, θεωροῦν ὡς βάρος καὶ τὰ γηρατειὰ τοῦ πατρός των, καὶ αὐτὸ ποὺ εἶναι γλυκὺ καὶ ἀπὸ ὅλους περιπόθητον, τὸ νὰ ἔχουν δηλαδὴ παιδιά, τὸ θεωροῦν ὡς βαρὺ καὶ δυσ-

παῖδας ἔχειν, βαρὺ καὶ ἐπαχθὲς εἶναι νομίζουσι. Πολλοὶ γοῦν καὶ ἀτοκίαν διὰ τοῦτο ὠνήσαντο, καὶ τὴν φύσιν ἐπήρωσαν, οὐκ ἀνελόντες τεχθέντας τοὺς παῖδας, ἀλλὰ μηδὲ φῦναι τὴν ἀρχὴν συγχωρήσαντες.

5 *Μὴ τοίνυν θαυμάσητε, εἰ τὸν φιλάργυρον οὕτως ἐσχηματίσαμεν (καὶ γὰρ πολὺ χείρων ἐστι τῶν εἰρημένων), ἀλλὰ σκοπήσωμεν πῶς τοῦ δαίμονος αὐτὸν ἀπαλλάξομεν. Πῶς οὖν ἀπαλλάξωμεν; Εἰ μάθοι σαφῶς, ὅτι ἡ φιλαργυρία πρὸς αὐτὸ τοῦτο μάλιστα αὐτῷ ἐναντιοῦται, πρὸς τὸ πο-*
10 *ρίζειν χρήματα· οἱ γὰρ τὰ μικρὰ κερδαίνειν βουλόμενοι, μεγάλας ὑπομένουσι ζημίας· ὅθεν δὴ καὶ παροιμία εἰς αὐτὸ τοῦτο ἐξενήνεκται. Πολλοὶ γοῦν πολλάκις ἐπὶ μεγάλοις δανεῖσαι βουλόμενοι τόκοις, τῇ προσδοκίᾳ τοῦ κέρδους οὐκ ἐξετάσαντες τοὺς λαμβάνοντας, μετὰ τοῦ τόκου καὶ τοῦ κεφα-*
15 *λαίου παντὸς ἐξέπεσον. Πάλιν εἰς κινδύνους περιπεσόντες ἕτεροι καὶ μὴ βουληθέντες ὀλίγα προέσθαι καὶ τὴν ψυχὴν μετὰ τῆς οὐσίας ἀπώλεσαν. Παρὸν πάλιν, ἢ ἀξιώματα κερδαλέα, ἢ ἄλλο τι τοιοῦτον ὠνήσασθαι, μικρολογησάμενοι τὸ πᾶν ἀπώλεσαν. Ἐπειδὴ γὰρ οὐκ ἴσασι σπείρειν, ἀλλ' ἀεὶ*
20 *θερίζειν μεμελετήκασι, καὶ τοῦ ἀμητοῦ συνεχῶς ἐκπίπτουσιν. Οὐδεὶς γὰρ ἀεὶ θερίζειν δύναται, ὥσπερ οὐδὲ ἀεὶ κερδαίνειν. Ἐπεὶ οὖν οὐ βούλονται δαπανᾶν, οὐδὲ κερδαίνειν ἴσασιν. Ἀλλὰ κἂν γυναῖκα δέῃ λαβεῖν, πάλιν τὸ αὐτὸ τοῦτο ὑπομένουσιν· ἢ γὰρ ἐξηπατήθησαν ἄπορον ἀντ' εὐπόρου λα-*
25 *βόντες· ἢ καὶ πλουσίαν εἰσαγαγόντες, καὶ μυρίων γέμουσαν ἐλαττωμάτων, πλείονα πάλιν τὴν ζημίαν ὑπέμειναν. Οὐ*

βάστακτον φορτίον. Πολλοὶ λοιπὸν ἐξ αἰτίας αὐτοῦ ἐπροτίμησαν τὴν ἀτεκνίαν καὶ κατέστησαν ἀνίκανον τὴν φύσιν των, ὄχι μὲ τὸ νὰ φονεύσουν τὰ παιδιὰ ποὺ ἐγεννήθησαν, ἀλλὰ μὲ τὸ νὰ μὴ ἐπιτρέψουν νὰ ἔλθουν οὔτε κἂν εἰς τὴν ζωήν.

Μὴ ἀπορῆτε λοιπὸν ἐὰν τὸν φιλάργυρον τὸν παρεστήσαμεν κατ' αὐτὸν τὸν τρόπον (καθόσον εἶναι πολὺ πιὸ χειρότερος ἀπὸ αὐτὰ ποὺ ἐλέχθησαν), ἀλλὰ ἂς σκεφθῶμεν πῶς θὰ τὸν ἐλευθερώσωμεν ἀπὸ τὸν δαίμονα. Πῶς λοιπὸν θὰ τὸν ἐλευθερώσωμεν; Ἐὰν ἤθελε πληροφορηθῆ σαφῶς ὅτι ἡ φιλαργυρία εἰς αὐτὸν εἶναι πρὸ πάντων ὡς πρὸς τοῦτο ἀντίθετος, εἰς τὸ νὰ τοῦ προσφέρῃ χρήματα. Διότι αὐτοὶ ποὺ ἐπιθυμοῦν τὰ μικρὰ θέατρα, ὑφίστανται μεγάλας ζημίας. Ἐξ αἰτίας αὐτοῦ βεβαίως καὶ κατέστη παροιμία ἀνάλογος μὲ αὐτὴν τὴν τάσιν. Πολλοὶ βεβαίως πολλάκις ποὺ ἠθέλησαν νὰ δανείσουν χρήματα μὲ μεγάλους τόκους, ἐπειδὴ ἐξ αἰτίας τοῦ ἀναμενομένου κέρδους δὲν ἐξήτασαν αὐτοὺς εἰς τοὺς ὁποίους τὰ ἐδάνεισαν, μαζὶ μὲ τὸν τόκον ἔχασαν καὶ ὁλόκληρον τὸ κεφάλαιον. Ἄλλοι πάλιν ποὺ περιέπεσαν εἰς κινδύνους καὶ δὲν ἠθέλησαν ὀλίγα νὰ ἐξοδεύσουν, ἔχασαν μαζὶ μὲ τὴν περιουσίαν των καὶ τὴν ζωήν των. Ἔχοντες πάλιν προσωρινῶς ἀξιώματα ἐπικερδῆ ἢ κάτι ἄλλο παρόμοιον ἀπὸ τὸ ὁποῖον ἠμποροῦσαν νὰ ὠφεληθοῦν, ἐπειδὴ ἐψιλολόγησαν αὐτὰ ἔχασαν τὰ πάντα. Ἐπειδὴ βεβαίως δὲν γνωρίζουν νὰ σπείρουν, ἀλλ' ἔχουν φροντίσει πάντοτε νὰ θερίζουν, χάνουν συνεχῶς καὶ τὴν συγκομιδήν. Διότι κανεὶς δὲν ἠμπορεῖ συνεχῶς νὰ θερίζῃ, ὅπως ἀκριβῶς οὔτε ἠμπορεῖ πάντοτε νὰ κερδίζῃ. Ἐπειδὴ λοιπὸν δὲν θέλουν νὰ ἐξοδεύουν, δὲν γνωρίζουν οὔτε καὶ νὰ κερδίζουν. Ἀλλὰ καὶ ἂν ἀκόμη χρειάζεται νὰ λάβουν γυναῖκα, πάλιν αὐτὸ τὸ ἴδιο παθαίνουν· ἢ δηλαδὴ ἐξηπατήθησαν λαβόντες πτωχὴν γυναῖκα ἀντὶ πλουσίας ἢ λαβόντες πλουσίαν μὲν ἀλλὰ γεμάτην ἀπὸ πλῆθος ἐλαττωμάτων, ὑπέστησαν πάλιν πολλὴν μεγάλην ζημίαν. Καθόσον δὲν εἶναι ἡ περιουσία ἐκείνη ποὺ ἐπιφέρει τὸν πλοῦτον ἀλλ' ἡ

γὰρ ἡ περιουσία, ἀλλ' ἡ ἀρετὴ τὸν πλοῦτον ἐργάζεται. Τί γὰρ ὄφελος τοῦ πλούτου, ὅταν δαπανηρὰ ᾖ καὶ ἄσωτος καὶ πάντα ἀνέμου σφοδρότερον ἐκφορῇ; τί δέ, ἂν ἀσελγὴς καὶ μυρίους ἐραστὰς ἐφέλκηται; τί δέ, ἂν μέθυσος; οὐ πάντων 5 πενέστερον ταχέως τὸν ἄνδρα ἐργάσεται; Οὐ γαμοῦσι δὲ μόνον, ἀλλὰ καὶ ὠνοῦνται ἐπισφαλῶς, ὑπὸ τῆς ἐπιθυμίας τῆς πολλῆς οὐ τὰ σπουδαῖα τῶν ἀνδραπόδων, ἀλλὰ τὰ εὔωνα περιεργαζόμενοι.

Ταῦτ' οὖν ἅπαντα ἀναλογισάμενοι (τῶν γὰρ περὶ τῆς 10 γεέννης καὶ τῆς βασιλείας οὐδέπω λόγων ἀκούειν δύνασθε), καὶ τὰς ζημίας ἐννοήσαντες, ἃς ὑπεμείνατε πολλάκις ἀπὸ τῆς φιλοχρηματίας καὶ ἐν δανείσμασι καὶ ἐν ὠνίοις καὶ ἐν γάμοις καὶ ἐν προστασίαις καὶ ἐν τοῖς ἄλλοις ἅπασιν, ἀπόστητε τοῦ χρημάτων ἐρᾶν. Οὕτω γὰρ δυνήσεσθε 15 καὶ τὸν παρόντα βίον μετὰ ἀσφαλείας ζῆν καὶ μικρὸν ἐπιδόντες καὶ τῶν περὶ φιλοσοφίας ἀκοῦσαι λόγων καὶ διαβλέψαντες εἰς αὐτὸν τῆς δικαιοσύνης ἰδεῖν τὸν ἥλιον καὶ τῶν ἐπηγγελμένων παρ' αὐτοῦ ἀγαθῶν ἐπιτυχεῖν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ 20 Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἀρετή. Διότι ποῖον εἶναι τὸ ὄφελος ἐκ τοῦ πλούτου, ὅταν εἶναι πολυδάπανος ἡ γυναῖκα καὶ σπάταλος καὶ ὅλα τὰ διασκορπίζει πολὺ πιὸ γρήγορα καὶ ἀπὸ τὸν ἄνεμον; ποῖο δὲ τὸ κέρδος ἐὰν εἶναι αἰσχρὰ καὶ προσελκύῃ πλῆθος ἀπὸ ἐραστάς; ποῖο δὲ ἐὰν εἶναι μέθυσος; δὲν θὰ κάμῃ τὸν ἄνδρα της εἰς ἐλάχιστον χρόνον πιὸ πτωχὸν ἀπὸ ὅλους; Ὄχι μόνον δὲ κάμνουν ἐπικίνδυνον γάμον ἀλλὰ καὶ κάμνουν τὰς ἀγοράς των κατὰ τρόπον ἐπικίνδυνον αὐτοὶ ποὺ ἀγοράζουν, παρασυρόμενοι ἀπὸ τὴν μεγάλην ἀγάπην των πρὸς τὰ χρήματα, ὄχι τοὺς σπουδαίους δούλους, ἀλλὰ τοὺς φθηνούς.

Ὅλα αὐτὰ λοιπὸν ἀφοῦ τὰ βάλετε καλὰ εἰς τὸ μυαλόν σας (διότι δὲν ἠμπορεῖτε ἀκόμη νὰ ἀκούετε τοὺς λόγους περὶ τῆς γεέννης τοῦ πυρὸς καὶ τῆς βασιλείας τῶν οὐρανῶν) καὶ ἀφοῦ κατανοήσετε καλῶς τὰς ζημίας ποὺ ὑπέστητε πολλάκις ἐξ αἰτίας τῆς φιλοχρηματίας καὶ κατὰ τὸν δανεισμὸν χρημάτων, καὶ κατὰ τὰς ἀγορὰς πραγμάτων, καὶ κατὰ τοὺς γάμους καὶ κατὰ τὰς περιπτώσεις ἐκείνας ποὺ ἤσασθε προϊστάμενοι ὡς καὶ καθ' ὅλας γενικῶς τὰς περιπτώσεις, ἀποφύγατε τὴν ἀγάπην πρὸς τὰ χρήματα. Διότι ἔτσι θὰ ἠμπορέσετε καὶ τὴν παροῦσαν ζωὴν νὰ διέλθητε μὲ ἀσφάλειαν, καὶ ἀφοῦ ἐπιδοθῆτε ὀλίγον εἰς τὸ νὰ ἀκούσετε καὶ τοὺς περὶ φιλοσοφίας λόγους καὶ κοιτάξετε προσεκτικῶς ὥστε νὰ ἰδῆτε αὐτὸν τὸν ἴδιον τὸν ἥλιον τῆς δικαιοσύνης θὰ ἐπιτύχετε ν' ἀπολαύσετε καὶ τὰ ἀγαθὰ ποὺ ὑπόσχεται αὐτός, τὰ ὁποῖα εἴθε νὰ συμβῇ ὅλοι μας νὰ ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΚΘ΄

Ματθ. 9, 1 - 8

«Καὶ ἐμβὰς εἰς τὸ πλοῖον διεπέρασε, καὶ ἦλθεν εἰς τὴν ἰδίαν πόλιν. Καὶ ἰδοὺ προσήνεγκαν αὐτῷ παραλυτικὸν ἐπὶ 5 *κλίνης βεβλημένον. Καὶ ἰδὼν ὁ Ἰησοῦς τὴν πίστιν αὐτῶν, εἶπε τῷ παραλυτικῷ· θάρσει, τέκνον, ἀφέωνταί σου αἱ ἁμαρτίαι».*

1. Ἰδίαν αὐτοῦ πόλιν ἐνταῦθα τὴν Καπερναοὺμ λέγει. Ἡ μὲν γὰρ ἤνεγκεν αὐτόν, ἡ Βηθλεέμ· ἡ δὲ ἔθρεψεν, ἡ 10 *Ναζαρέτ· ἡ δὲ εἶχεν οἰκοῦντα διηνεκῶς, ἡ Καπερναούμ.*

Ὁ μέντοι παραλυτικὸς ἕτερος οὗτός ἐστι παρὰ τὸν ἐν τῷ Ἰωάννῃ κείμενον. Ὁ μὲν γὰρ ἐν τῇ κολυμβήθρᾳ κατέκειτο, οὗτος δὲ ἐν τῇ Καπερναούμ· καὶ ὁ μὲν τριακονταοκτὼ εἶχεν ἔτη, περὶ τούτου δὲ οὐδὲν τοιοῦτον εἴρηται· καὶ ὁ μὲν 15 *ἐν ἐρημίᾳ τῶν προστησομένων ἦν, οὗτος δὲ εἶχε τοὺς ἐπιμελουμένους, οἳ καὶ βαστάζοντες αὐτὸν ἔφερον. Καὶ τούτῳ μέν φησι, «Τέκνον, ἀφέωνταί σου αἱ ἁμαρτίαι», ἐκείνῳ δέ φησι, «Θέλεις ὑγιὴς γενέσθαι;». Καὶ τὸν μὲν ἐν Σαββάτῳ ἐθεράπευσε, τοῦτον δὲ οὐκ ἐν Σαββάτῳ· ἢ γὰρ ἂν ἐνεκά-* 20 *λεσαν καὶ τοῦτο Ἰουδαῖοι· καὶ ἐπὶ τούτου μὲν ἐσίγησαν, ἐπ' ἐκείνου δὲ ἐπέκειντο διώκοντες. Ταῦτα δέ μοι οὐχ ἁπλῶς εἴρηται, ἀλλ' ἵνα μή τις διαφωνίαν εἶναι νομίσῃ, ἕνα καὶ τὸν αὐτὸν ὑποπτεύσας παραλυτικόν.*

1. Πρβλ. Ἰω. 5, 5 ἑ.
2. Ἰω. 5, 6.

ΟΜΙΛΙΑ ΚΘ΄

Ματθ. 9, 1 - 8

«Καὶ ἀφοῦ ἐμβῆκεν εἰς τὸ πλοῖον, ἐπέρασε διὰ μέσου τῆς λίμνης εἰς τὸ ἀπέναντι μέρος καὶ ἦλθεν εἰς τὴν ἰδικήν του πόλιν (τὴν Καπερναούμ). Καὶ ἰδοὺ ἔφεραν πρὸς αὐτὸν ἕνα παραλυτικὸν ἐπάνω εἰς τὸ κρεββάτι. Καὶ ὁ Ἰησοῦς, ὅταν εἶδε τὴν πίστιν των, εἶπεν εἰς τὸν παραλυτικόν· Ἔχε θάρρος, παιδί μου, σοῦ ἔχουν συγχωρηθῆ αἱ ἁμαρτίαι σου».

1. Ἰδικήν του πόλιν ἐδῶ ὀνομάζει τὴν Καπερναούμ. Διότι εἰς μὲν τὴν Βηθλεὲμ ἐγεννήθη, εἰς τὴν Ναζαρὲτ δὲ ἐμεγάλωσε καὶ εἰς τὴν Καπερναοὺμ διέμενε συνεχῶς.

Αὐτὸς λοιπὸν ὁ παραλυτικὸς εἶναι διάφορος ἀπὸ ἐκεῖνον ποὺ ἀναφέρει ὁ Ἰωάννης ὅτι ἦτο κατάκοιτος[1]. Διότι ὁ μὲν ἀναφερόμενος ὑπὸ τοῦ Ἰωάννου εὑρίσκετο κατάκοιτος πλησίον τῆς κολυμβήθρας, ἐνῷ αὐτὸς εὑρίσκεται εἰς τὴν Καπερναούμ. Καὶ ὁ μὲν παραλυτικὸς τοῦ Ἰωάννου ἦτο κατάκοιτος ἐπὶ τριάκοντα ὀκτὼ ἔτη, ἐνῷ περὶ αὐτοῦ δὲν ἔχει λεχθῆ τίποτε τὸ παρόμοιον· καὶ ὁ μὲν πρῶτος ἦτο ἐγκαταλελειμένος ἀπὸ τοὺς προστάτας του, αὐτὸς ὅμως εἶχεν αὐτοὺς ποὺ τὸν ἐφρόντιζαν, οἱ ὁποῖοι καὶ τὸν ἔφεραν ἔχοντες αὐτὸν ἐπάνω εἰς τὸ κρεββάτι του. Καὶ εἰς αὐτὸν μὲν λέγει, «Παιδί μου, ἔχουν συγχωρηθῆ αἱ ἁμαρτίαι σου», ἐνῷ εἰς ἐκεῖνον τοῦ Ἰωάννου λέγει· «Θέλεις νὰ γίνῃς ὑγιής;»[2]. Καὶ ἐκεῖνον μὲν τὸν ἐθεράπευσε κατὰ τὴν ἡμέραν τοῦ Σαββάτου, αὐτὸν ὅμως ὄχι κατὰ τὴν ἡμέραν τοῦ Σαββάτου· διότι, βεβαίως, θὰ ἠμποροῦσαν νὰ τὸν κατηγορήσουν οἱ Ἰουδαῖοι (ποὺ τὸν ἐθεράπευσεν ἐν ἡμέρᾳ ἀργίας). Καὶ εἰς τὴν περίπτωσιν μὲν τῆς θεραπείας αὐτοῦ ἐσιώπησαν, ἐνῷ εἰς τὴν περίπτωσιν τῆς θεραπείας ἐκείνου τοῦ εἶχον ἐπιτεθῆ καὶ τὸν κατεδίωξαν. Αὐτὰ δέ, κατὰ τὴν γνώμην μου, δὲ ἐλέχθησαν τυχαίως, ἀλλὰ διὰ νὰ μὴ νομίσῃ κανεὶς ὅτι ὑπάρχει διαφωνία μεταξὺ τῶν δύο εὐαγγελιστῶν θεωρῶν ἕνα καὶ τὸν αὐτὸν παραλυτικόν.

Σὺ δέ μοι σκόπει τὸ ἄτυφον καὶ τὸ ἐπιεικὲς τοῦ Δεσπότου. Καὶ γὰρ καὶ πρὸ τούτου τοὺς ὄχλους διεκρούσατο· καὶ ὑπὸ τῶν ἐν Γαδάροις δὲ ἐκβληθείς, οὐκ ἀντέτεινεν, ἀλλ' ἀνεχώρησε μέν, οὐ μὴν μακράν. Καὶ πάλιν εἰς τὸ πλοῖον 5 *ἐμβὰς διέβαινε, δυνάμενος καὶ πεζῇ διαβαίνειν. Οὐ γὰρ ἀεὶ παραδοξοποιεῖν ἐβούλετο, ὥστε μὴ τῷ τῆς οἰκονομίας λυμήνασθαι λόγῳ.*

Ὁ μὲν οὖν Ματθαῖός φησιν, ὅτι προσέφερον αὐτόν· οἱ δὲ ἄλλοι, ὅτι καὶ τὴν στέγην διατεμόντες, καθῆκαν αὐ- 10 *τόν. Καὶ προὔθηκαν τῷ Χριστῷ τὸν κάμνοντα, λέγοντες μὲν οὐδέν, αὐτῷ δὲ τὸ πᾶν ἐπιτρέποντες. Ἐν ἀρχῇ μὲν γὰρ καὶ αὐτὸς περιῆγε, καὶ οὐ τοσαύτην παρὰ τῶν προσιόντων ᾔτει τὴν πίστιν· ἐνταῦθα δὲ καὶ προσήεσαν, καὶ πίστιν ἀπητοῦντο. «Ἰδὼν» γάρ, φησί, «τὴν πίστιν αὐτῶν», τουτέστι,* 15 *τῶν χαλασάντων. Οὐ γὰρ πανταχοῦ παρὰ τῶν καμνόντων μόνον ζητεῖ τὴν πίστιν· οἷον, ὅταν παραπαίωσιν, ἢ ἑτέρως ὑπὸ τοῦ νοσήματος ὦσιν ἐξεστηκότες. Μᾶλλον δὲ ἐνταῦθα καὶ τοῦ κάμνοντος ἦν ἡ πίστις· οὐ γὰρ ἂν ἠνέσχετο χαλασθῆναι μὴ πιστεύων.*

20 *Ἐπὶ οὖν τοσαύτην ἐπεδείξαντο πίστιν, ἐπιδείκνυται καὶ αὐτὸς τὴν αὐτοῦ δύναμιν, μετ' ἐξουσίας ἁπάσης λύων τὰ ἁμαρτήματα, καὶ δεικνὺς διὰ πάντων, ὅτι ὁμότιμός ἐστι τῷ γεγεννηκότι. Σκόπει δέ· ἄνωθεν ἔδειξε διὰ τῆς διδα-*

---

3. Πρβλ. Μάρκ. 2, 4. Λουκᾶ 5, 19.

Σὺ ὅμως, παρακαλῶ, πρόσεξε τὴν ταπεινοφροσύνην καὶ τὴν ἐπιείκειαν τοῦ Κυρίου. Καθόσον καὶ πρὶν ἀπὸ αὐτὸ τὸ θαῦμα ἀπέφυγε τὸ πλῆθος, καὶ ὅταν ἐξεδιώχθη δὲ ἀπὸ τοὺς κατοίκους τῶν Γαδάρων δὲν ἀντεστάθη, ἀλλ' ἀνεχώρησε μέν, ὄχι ὅμως μακρυά. Καὶ ἀφοῦ πάλιν ἐμβῆκεν εἰς τὸ πλοῖον ἐπροχώρει διὰ τὴν ἀπέναντι ὄχθην, ἐνῷ ἠμποροῦσε καὶ πεζὸς νὰ μεταβῇ ἐκεῖ κατὰ μῆκος τῆς παραλίας. Διότι δὲν ἤθελε πάντοτε νὰ ἐπιτελῇ θαύματα, ὥστε νὰ μὴ ζημιώσῃ τὸ ὅλον ἔργον τῆς θείας οἰκονομίας.

Ὁ μὲν λοιπὸν Ματθαῖος λέγει, ὅτι ἁπλῶς τὸν ἔφεραν τὸν παραλυτικόν, οἱ δὲ ἄλλοι εὐαγγελισταὶ προσθέτουν ὅτι τὸν ἐκατέβασαν ἀφοῦ ἤνοιξαν ὀπὴν εἰς τὴν στέγην[3]. Καὶ ὅτι ἐτοποθέτησαν τὸν ἀσθενῆ ἔμπροσθεν τοῦ Χριστοῦ, χωρὶς νὰ εἰποῦν τίποτε, ἀλλὰ τὸ πᾶν τὸ ἄφησαν εἰς τὴν διάθεσιν τοῦ Χριστοῦ. Καὶ εἰς τὴν ἀρχὴν τοῦ ἔργου του ὁ Χριστὸς βεβαίως μετέβαινεν ἀπὸ τὸ ἕνα μέρος εἰς τὸ ἄλλο, καὶ δὲν ἐζήτει ἀπὸ αὐτοὺς ποὺ τὸν ἐπλησίαζαν τόσον μεγάλην πίστιν, εἰς τὴν προκειμένην ὅμως περίπτωσιν καὶ ἦλθαν πλησίον του καὶ ἐξεδήλωσαν τὴν πίστιν των. Διότι, λέγει, «Ὅταν εἶδε τὴν πίστιν των», δηλαδὴ τὴν πίστιν αὐτῶν ποὺ ἐχάλασαν τὴν στέγην. Διότι δὲν ζητεῖ εἰς ὅλας τὰς περιπτώσεις μόνον ἀπὸ τοὺς ἀσθενεῖς πίστιν, ὅπως, ἐπὶ παραδείγματι, εἰς τὰς περιπτώσεις ἐκείνας ποὺ οἱ ἀσθενεῖς δὲν ἔχουν τὰ λογικά των ἢ ὅταν ἔχουν χαμένας τὰς αἰσθήσεις των εἰς ἄλλας περιπτώσεις ἐξ αἰτίας τῆς ἀσθενείας των. Εἰς τὴν περίπτωσιν ὅμως αὐτὴν μᾶλλον εἶχεν ἐκδηλωθῇ καὶ ἡ πίστις τοῦ ἀσθενοῦς· διότι ἄλλως δὲν θὰ ἐδέχετο νὰ χαλασθῇ ἡ στέγη ἐὰν δὲν ἐπίστευεν.

Ἐπειδὴ λοιπὸν τόσον μεγάλην πίστιν ἐξεδήλωσε, καθιστᾷ φανερὰν ὁ Ἰησοῦς καὶ τὴν ἰδικήν του δύναμιν μὲ τὸ νὰ συγχωρῇ τὰ ἁμαρτήματα μεθ' ὅλης του τῆς ἐξουσίας, καὶ ἀποδεικνύων ἔτσι δι' ὅλων αὐτῶν τῶν ἐνεργειῶν του, ὅτι εἶναι ἰσότιμος μὲ αὐτὸν ποὺ τὸν ἐγέννησε. Πρόσεξε ὅμως· Προηγουμένως τὸ ἐφανέρωσε αὐτὸ μὲ τὴν διδασκαλίαν του,

σκαλίας, ὅτε ἐδίδαξεν αὐτοὺς ὡς ἐξουσίαν ἔχων· διὰ τοῦ λεπροῦ, ὅτε εἶπε, «Θέλω καθαρίσθητι»· διὰ τοῦ ἑκατοντάρχου, ὅτε εἰπόντα, «Εἰπὲ λόγῳ μόνον καὶ ἰαθήσεται ὁ παῖς μου», ἐθαύμασε καὶ ὑπὲρ πάντας ἀνεκήρυξε· διὰ τῆς θα-
5 *λάττης, ὅτε αὐτὴν ἐχαλίνωσε λόγῳ μόνῳ· διὰ τῶν δαιμόνων, ὅτε αὐτὸν κριτὴν ἀνωμολόγουν καὶ μετὰ πολλῆς τῆς ἐξουσίας αὐτοὺς ἐξέβαλεν. Ἐνταῦθα πάλιν ἑτέρῳ μείζονι τρόπῳ τοὺς ἐχθροὺς αὐτοὺς καταναγκάζει ὁμολογῆσαι τὴν ὁμοτιμίαν καὶ διὰ τοῦ στόματος αὐτῶν αὐτὸ καθίστησι φανερόν.*
10 *Αὐτὸς μὲν γὰρ τὸ ἀφιλότιμον δεικνὺς (καὶ γὰρ πολὺ περιειστήκει θέατρον τὴν εἴσοδον ἀποτειχίζον, διὸ καὶ ἄνωθεν αὐτὸν καθῆκαν), οὐκ ἐπέδραμεν εὐθέως τῇ τοῦ σώματος θεραπείᾳ τοῦ φαινομένου, ἀλλὰ παρ' ἐκείνων λαμβάνει τὴν ἀφορμήν· καὶ τὸ ἄδηλον πρῶτον ἐθεράπευσε, τὴν ψυχήν, τὰ*
15 *ἁμαρτήματα ἀφείς· ὅπερ ἐκεῖνον μὲν ἔσωζεν, αὐτῷ δὲ οὐ πολλὴν δόξαν ἔφερεν. Ἐκεῖνοι μὲν γὰρ ὑπὸ πονηρίας ἐνοχλούμενοι καὶ ἐπισκῆψαι βουλόμενοι, ἐκλάμψαι τὸ γεγενημένον καὶ ἄκοντες παρεσκεύασαν. Καὶ γὰρ εὐμήχανος ὢν αὐτός, τῇ βασκανίᾳ αὐτῶν εἰς τὴν τοῦ σημείου φανέρωσιν*
20 *ἀπεχρήσατο. Ἐπεὶ οὖν ἐθορυβοῦντο καὶ ἔλεγον· «Οὗτος βλασφημεῖ· τίς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ μόνος ὁ Θεός;», ἴδωμεν τί φησιν αὐτός. Ἆρα ἀνεῖλε τὴν ὑπόνοιαν; Καίτοιγε εἰ μὴ ἴσος ἦν, ἐχρῆν εἰπεῖν· τί μοι προστρίβεσθε μὴ προσήκουσαν ὑπόληψιν; πόρρω ταύτης ἐγὼ τῆς*
25 *δυνάμεως. Νῦν δὲ τούτων μὲν οὐδὲν εἶπε· τοὐναντίον δὲ*

---

4. Πρβλ. Ματθ. 7, 29.
5. Πρβλ. Ματθ. 8, 3.
6. Πρβλ. Ματθ. 8, 8.
7. Πρβλ. Ματθ. 8, 26.
8. Πρβλ. Ματθ. 8, 28 ἑ.
9. Μάρκ. 2, 7.

ὅταν τοὺς ἐδίδαξεν ὅτι ἔχει ἐξουσίαν[4], εἰς τὴν περίπτωσιν δηλαδὴ τοῦ λεπροῦ, ὅταν εἶπε· «Θέλω, καθαρίσου»[5]· διὰ τοῦ ἑκατοντάρχου, ὅταν εἶπεν· «Εἰπὲ μόνον μὲ τὸν λόγον σου, καὶ θὰ θεραπευθῇ ὁ δοῦλός μου»[6], ὁπότε τὸν ἐθαύμασε καὶ τὸν ἐπήνεσε περισσότερον ἀπὸ ὅλους· εἰς τὴν περίπτωσιν τῆς θαλάσσης, ὅταν αὐτὴ κατέπαυσε διὰ μόνου τοῦ λόγου του[7]· διὰ τῶν δαιμόνων, ὅταν διεκήρυτταν αὐτὸν ὡς κριτὴν καὶ τοὺς ἐξεδίωκε μεθ' ὅλης τῆς ἐξουσίας του[8]. Εἰς τὴν περίπτωσιν ὅμως αὐτὴν πάλιν μὲ ἄλλον πολὺ πιὸ μεγάλον τρόπον τοὺς ἰδίους τοὺς ἐχθρούς του τοὺς ἐξαναγκάζει νὰ ὁμολογήσουν τὴν ἰσοτιμίαν του πρὸς τὸν Πατέρα του καὶ μὲ τὸ στόμα αὐτῶν καθιστᾷ αὐτὸ φανερόν. Διότι ὁ ἴδιος ὁ Κύριος δεικνύων τὴν ταπεινοσύνην του (καθόσον τὸν περιέβαλε πολὺ πλῆθος ἀνθρώπων ποὺ ἔφρασσε τὴν εἴσοδον, καὶ διὰ τοῦτο τὸν ἐκατέβασαν ἀπὸ τὴν στέγην), δὲν ἐπροχώρησεν ἀμέσως νὰ θεραπεύσῃ τὸ σῶμα τοῦ ἀσθενοῦς ποὺ ὅλοι τὸ ἔβλεπαν, ἀλλὰ λαμβάνει τὴν ἀφορμὴν ἀπὸ τοὺς ἐχθρούς του. Καὶ κατ' ἀρχὴν ἐθεράπευσεν ἐκεῖνο ποὺ δὲν ἦτο ὁρατόν, δηλαδὴ τὴν ψυχήν, ἀφοῦ ἐσυγχώρησε τὰ ἁμαρτήματα, πρᾶγμα ποὺ ἐκεῖνον μὲν τὸν ἔσωζεν, εἰς αὐτὸν ὅμως δὲν ἀπέδιδε μεγάλην δόξαν. Διότι οἱ ἐχθροί του ἐπειδὴ ἐνοχλήθησαν λόγῳ τῆς πονηρίας των καὶ ἤθελαν νὰ τὸν καταγγείλουν, συνέβαλον παρὰ τὴν θέλησίν των νὰ λάμψῃ περισσότερον τὸ θαῦμα ποὺ συνετελέσθη. Καθόσον ὁ Κύριος, λόγῳ τῆς ἱκανότητός του πρὸς ἐπινόησιν μέσων, ἐχρησιμοποίησε τὸν φθόνον αὐτῶν εἰς τὸ νὰ καταστῇ φανερὸν τὸ θαῦμα. Ἐπειδὴ λοιπὸν ἐδυσαρεστοῦντο καὶ ἔλεγαν, «Αὐτὸς βλασφημεῖ» «ποῖος ἠμπορεῖ νὰ συγχωρῇ ἁμαρτίας, ἐκτὸς ἀπὸ τὸν Θεόν»[9], ἂς ἰδοῦμεν τί λέγει αὐτός. Ἑπομένως τοὺς ἀφῄρεσεν αὐτὴν τὴν σκέψιν των; Ἂν καί, βεβαίως, ἐὰν δὲν ἦτο ἰσότιμος μὲ τὸν Πατέρα του, ἔπρεπε νὰ εἰπῇ. 'Διατί μοῦ ἀποδίδετε δύναμιν ποὺ δὲν μοῦ ταιριάζει; ἀπέχω ἐγὼ πάρα πολὺ ἀπὸ αὐτὴν τὴν δύναμιν'. Ὅμως, τώρα, δὲν εἶπε τίποτε τὸ παρόμοιον· ἀντιθέτως δὲ ὅλα ὅσα συνέβησαν καὶ

ἅπαν καὶ ἐβεβαίωσε καὶ ἐκύρωσε, τῇ τε παρ' ἑαυτοῦ φωνῇ καὶ τῇ τοῦ θαύματος ἐπιδείξει. Ἐπειδὴ γὰρ τὸ αὐτόν τινα περὶ ἑαυτοῦ λέγειν ἐδόκει προσίστασθαι τοῖς ἀκροωμένοις, διὰ τῶν ἄλλων βεβαιοῖ τὰ περὶ ἑαυτοῦ· καὶ τὸ δὴ θαυμαστόν, 5 *ὅτι οὐ διὰ τῶν φίλων μόνον, ἀλλὰ καὶ διὰ τῶν ἐχθρῶν· τοῦτο γὰρ ἡ περιουσία τῆς αὐτοῦ σοφίας. Διὰ μὲν τῶν φίλων, ὅτε εἶπε, «Θέλω, καθαρίσθητι», καὶ ὅτε εἶπεν, «Οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον», διὰ δὲ τῶν ἐχθρῶν νῦν. Ἐπειδὴ γὰρ εἶπον, ὅτι οὐδεὶς δύναται ἀφιέναι ἁμαρ-* 10 *τίας, εἰ μὴ μόνος ὁ Θεός, ἐπήγαγεν· «Ἵνα δὲ εἰδῆτε, ὅτι ἐξουσίαν ἔχει ὁ Υἱὸς τοῦ ἀνθρώπου ἀφιέναι ἁμαρτίας ἐπὶ τῆς γῆς (τότε λέγει τῷ παραλυτικῷ)· ἐγερθεὶς ἆρον τὸν κράββατόν σου καὶ ὕπαγε εἰς τὸν οἶκόν σου». Οὐκ ἐνταῦθα δὲ μόνον, ἀλλὰ καὶ ἀλλαχοῦ πάλιν λεγόντων αὐτῶν· «Περὶ* 15 *καλοῦ ἔργου οὐ λιθάζομέν σε, ἀλλὰ περὶ βλασφημίας, καὶ ὅτι σὺ ἄνθρωπος ὤν, ποιεῖς σεαυτὸν Θεόν»· οὐδὲ ἐκεῖ τὴν δόξαν ταύτην κατέλυσεν, ἀλλὰ πάλιν αὐτὴν ἐκύρωσε, λέγων· «Εἰ μὴ ποιῶ τὰ ἔργα τοῦ Πατρός μου, μὴ πιστεύετέ μοι· εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ πιστεύητε, τοῖς ἔργοις πιστεύ-* 20 *σατε».*

2. Ἐνταῦθα μέντοι καὶ ἕτερον σημεῖον τῆς ἑαυτοῦ θεότητος δείκνυσιν οὐ μικρὸν καὶ τῆς πρὸς τὸν Πατέρα ὁμοτιμίας. Ἐκεῖνοι μὲν γὰρ ἔλεγον, ὅτι τὸ λύειν ἁμαρτήματα Θεοῦ μόνου ἐστίν· αὐτὸς δὲ οὐ λύει ἁμαρτήματα μόνον, ἀλλὰ 25 *καὶ πρὸ τούτου ἕτερόν τι ἐπιδείκνυται, ὃ Θεοῦ μόνου ἦν, τὸ τὰ ἐν τῇ καρδίᾳ ἀπόρρητα ἐκφέρειν. Οὐδὲ γὰρ ἐξήνεγκαν εἰς μέσον ὅπερ ἐνενόουν. «Ἰδού γάρ τινες τῶν γραμμα-*

---

10. Ματθ. 9, 6. Μάρκ. 2, 11.
11. Ἰω. 10, 33.
12. Ἰω. 10, 37-38.

τὰ ἐπεβεβαίωσε καὶ τὰ ἐπεκύρωσε καὶ μὲ τοὺς λόγους του καὶ μὲ τὴν ἐπιτέλεσιν τοῦ θαύματος. Διότι, ἐπειδὴ τὸ νὰ ὁμιλῇ κανεὶς ὁ ἴδιος διὰ τὸν ἑαυτόν του ἐφαίνετο ὅτι ἐδυσαρέστει τοὺς ἀκροατάς, ἐπιβεβαιώνει διὰ μέσου τῶν ἄλλων τὴν ἀντίληψιν τῶν ἀνθρώπων διὰ τὸν ἑαυτόν του. Καὶ βεβαίως τὸ ἀξιοθαύμαστον εἶναι ὅτι αὐτὸ τὸ ἐπεβεβαίωσαν ὄχι μόνον οἱ φίλοι του ἀλλὰ καὶ οἱ ἐχθροί του· διότι ἀκριβῶς αὐτὸς ἦτο ὁ πλοῦτος τῆς σοφίας του. Καὶ διὰ μὲν τῶν φίλων του ἐπεβεβαιώθη ὅταν εἶπεν, «Θέλω, καθαρίσου», καθὼς ἐπίσης καὶ διὰ τοῦ, «Οὔτε μεταξὺ τῶν Ἰσραηλιτῶν εὗρον τόσον μεγάλην πίστιν», ἐνῷ διὰ τῶν ἐχθρῶν του ὡς ἑξῆς. Ἐπειδὴ δηλαδὴ εἶπαν οἱ ἐχθροί του, ὅτι κανεὶς δὲν ἠμπορεῖ νὰ συγχωρῇ ἁμαρτίας, παρὰ μόνος ὁ Θεός, προσέθεσεν· «Διὰ νὰ γνωρίσετε δέ, ὅτι ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔχει ἐξουσίαν νὰ συγχωρῇ ἐπὶ τῆς γῆς ἁμαρτίας, τότε λέγει εἰς τὸν παραλυτικόν· Σήκω ἐπάνω, πάρε τὸ κρεββάτι σου καὶ πήγαινε εἰς τὴν οἰκίαν σου»[10]. Ὄχι ὅμως μόνον ἐδῶ, ἀλλὰ καὶ εἰς ἄλλην περίπτωσιν ὅταν τοῦ ἔλεγαν, «Δὲν σὲ λιθοβολοῦμεν διὰ κάποιο καλὸν ἔργον σου, ἀλλὰ ἐξ αἰτίας τῆς βλασφημίας σου καὶ διότι ἐνῷ εἶσαι ἄνθρωπος, κάμνεις τὸν ἑαυτόν σου Θεόν»[11]· οὔτε εἰς τὴν περίπτωσιν ἐκείνην ἀνέτρεψεν αὐτὴν τὴν ἀντίληψιν, ἀλλὰ καὶ πάλιν ἐπεβεβαίωσεν αὐτὴν λέγων· «Ἐὰν δὲν πράττω τὰ ἔργα τοῦ Πατρός μου, μὴ μὲ πιστεύετε· ἐὰν ὅμως τὰ πράττω, πιστεύσατε εἰς τὰ ἔργα μου, ἔστω καὶ ἂν δὲ πιστεύετε εἰς ἐμέ»[12].

2. Ἐδῶ ὅμως ἀποδεικνύει καὶ ἄλλο σημεῖον τῆς θεότητός του καὶ τῆς ἰσοτιμίας του πρὸς τὸν Πατέρα του καὶ μάλιστα ὄχι μικρόν. Διότι οἱ μὲν ἐχθροί του ἔλεγαν, ὅτι μόνον ὁ Θεὸς ἔχει δικαίωμα νὰ συγχωρῇ ἁμαρτίας, ὁ Κύριος ὅμως δὲν συγχωρεῖ μόνον τὰ ἁμαρτήματα, ἀλλὰ καὶ πρὶν ἀπὸ αὐτήν του τὴν ἐνέργειαν φανερώνει καὶ κάτι ἄλλο, ποὺ ἦτο γνώρισμα μόνον τοῦ Θεοῦ, τὸ ὅτι δηλαδὴ ἀποκαλύπτει τὰς ἀποκρύφους σκέψεις τῆς καρδίας. Διότι δὲν ἀπεκάλυψαν αὐτὸ τὸ ὁποῖον ἐσκέπτοντο. «Ἰδού, λοιπόν, μερι-

τέων», φησίν, «ἐν ἑαυτοῖς εἶπον· οὗτος βλασφημεῖ. Καὶ εἰδὼς ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν, εἶπεν· ἱνατί ἐνθυμεῖσθε πονηρὰ ἐν ταῖς καρδίαις ὑμῶν;». Ὅτι δὲ Θεοῦ μόνου ἐστὶ τὸ τὰ ἀπόρρητα εἰδέναι, ἄκουσον τί φησιν ὁ προ-
5 *φήτης· «Σὺ ἐπίστασαι καρδίας μονώτατος»· καὶ πάλιν, «Ἐτάζων καρδίας καὶ νεφροὺς ὁ Θεός». Καὶ ὁ Ἰερεμίας δέ φησι· «Βαθεῖα ἡ καρδία παρὰ πάντα, καὶ ἄνθρωπός ἐστι, καὶ τίς γνώσεται αὐτόν;»· καί, «Ἄνθρωπος ὄψεται εἰς πρόσωπον, ὁ δὲ Θεὸς εἰς καρδίαν». Καὶ διὰ πολλῶν ἐστιν ἰ-*
10 *δεῖν, ὅτι Θεοῦ μόνου ἐστὶ τὰ κατὰ διάνοιαν εἰδέναι.*

Δεικνὺς τοίνυν, ὅτι Θεός ἐστιν, ἴσος τῷ γεγεννηκότι, ἅπερ ἐν ἑαυτοῖς ἐλογίζοντο (δεδοικότες γὰρ τὸ πλῆθος, οὐκ ἐτόλμων αὐτῶν τὴν γνώμην εἰς τὸ μέσον ἐξενεγκεῖν), ταύτην ἐκκαλύπτει καὶ δήλην ποιεῖ, πολὺ καὶ ἐνταῦθα τὸ ἀνεπαχθὲς
15 *ἐνδεικνύμενος. «Ἱνατί γάρ», φησίν, «ἐνθυμεῖσθε πονηρὰ ἐν ταῖς καρδίαις ὑμῶν;». Καίτοιγε εἰ ἀγανακτῆσαι ἐχρῆν, τὸν κάμνοντα ἀγανακτῆσαι ἔδει ὡς διαπατηθέντα καὶ εἰπεῖν· ἕτερον ἦλθον θεραπεῦσαι καὶ ἕτερον διορθοῦσαι; πόθεν γὰρ δῆλον, ὅτι ἀφέωνταί μου αἱ ἁμαρτίαι; Νυνὶ δὲ ἐκεῖνος μὲν*
20 *οὐδὲν τοιοῦτον φθέγγεται, ἀλλὰ δίδωσιν ἑαυτὸν τῇ τοῦ θεραπεύοντος ἐξουσίᾳ· οὗτοι δὲ περιττοὶ ὄντες καὶ βάσκανοι, ταῖς ἑτέρων ἐπιβουλεύουσιν εὐεργεσίαις. Διὸ ἐπισκήπτει μὲν αὐτοῖς, μετ' ἐπιεικείας δὲ ἁπάσης. Εἰ γὰρ ἀπιστεῖτε, φησί, τῷ προτέρῳ καὶ κόμπον εἶναι νομίζετε τὸ λεχθέν,*

---

13. Β' Παραλ. 6, 30.
14. Ψαλμ. 7, 10.
15. Ἰερ. 17, 9.
16. Α' Βασ. 16, 7.

κοὶ ἀπὸ τοὺς γραμματεῖς», λέγει ὁ εὐαγγελιστὴς Ματθαῖος, «εἶπαν μέσα των· Αὐτὸς βλασφημεῖ. Καὶ ὁ Ἰησοῦς δὲ ἐπειδὴ ἀντελήφθη τὰς σκέψεις των εἶπεν· Διατί σκέπτεσθε μέσα εἰς τὰς καρδίας σας πονηρὰ πράγματα;». Τὸ ὅτι δὲ εἶναι γνώρισμα μόνον τοῦ Θεοῦ νὰ γνωρίζῃ τὰς ἀποκρύφους σκέψεις τῶν ἀνθρώπων, ἄκουσε τί λέγει ὁ προφήτης· «Σὺ μόνος ἐξ ὅλων γνωρίζεις τὰς καρδίας»[13]· καὶ ἀλλοῦ πάλιν· «Ὁ Θεὸς ποὺ ἐρευνᾷ τὰς καρδίας καὶ τοὺς νεφροὺς τῶν ἀνθρώπων»[14]. Καὶ ὁ Ἱερεμίας δὲ λέγει· «Ἡ καρδία τοῦ ἀνθρώπου εἶναι βαθεῖα περισσότερον ἀπὸ κάθε τι, καὶ ἄνθρωπος εἶναι αὐτὸς ποὺ ἔχει τὴν καρδίαν, καὶ ποῖος ἠμπορεῖ νὰ τὸν γνωρίσῃ»[15]· καί· «Ὁ μὲν ἄνθρωπος θὰ ἰδῇ μόνον τὸ πρόσωπον, ἐνῷ ὁ Θεὸς τὴν καρδίαν»[16]. Καὶ διὰ πολλῶν ἄλλων γραφικῶν χωρίων ἠμποροῦμεν νὰ διαπιστώσωμεν ὅτι εἶναι γνώρισμα μόνον τοῦ Θεοῦ τὸ νὰ γνωρίζῃ τὴν σκέψιν τοῦ ἀνθρώπου.

Δεικνύων λοιπὸν ὅτι εἶναι Θεὸς καὶ ἰσότιμος μὲ αὐτὸν ποὺ τὸν ἐγέννησεν, αὐτὰ ἀκριβῶς ποὺ ἐσκέπτοντο μέσα των (διότι φοβούμενοι τὸ πλῆθος τοῦ ὄχλου δὲν ἐτόλμουν παρουσίᾳ του νὰ ἐκφράσουν τὴν σκέψιν των αὐτήν), αὐτὰ ἀποκαλύπτει καὶ τὰ καθιστᾷ φανερά, ἀποδεικνύων καὶ εἰς αὐτὴν τὴν περίπτωσιν τὴν μεγάλην καλοσύνην του. Διότι, λέγει, «Διατί σκέπτεσθε πονηρὰ μέσα εἰς τὰς καρδίας σας;». Μολονότι βεβαίως ἐὰν ἔπρεπε ν' ἀγανακτήσῃ κάποιος, ἔπρεπεν ὁ ἀσθενὴς ν' ἀγανακτήσῃ, ἐπειδὴ εἶχεν ἐξαπατηθῆ, καὶ νὰ εἰπῇ· Ἦλθα διὰ νὰ θεραπεύσω ἄλλο καὶ σὺ ἐπανορθώνεις ἄλλο; διότι ἀπὸ ποῦ ἀποδεικνύεται ὅτι συγχωροῦνται αἱ ἁμαρτίαι μου; Τώρα ὅμως ἐκεῖνος δὲν λέγει τίποτε τὸ παρόμοιον, ἀλλὰ παραδίδει τὸν ἑαυτόν του εἰς τὴν ἐξουσίαν τοῦ θεραπευτοῦ του· αὐτοὶ ὅμως ἐπειδὴ εἶναι αἰσχροὶ καὶ φθονεροὶ ἐπιβουλεύονται τὰς εὐεργεσίας τῶν ἄλλων. Διὰ τοῦτο τοὺς κατηγορεῖ μέν, ἀλλὰ τὸ κάμνει μὲ ὅλην τὴν καλωσύνην του. Ἐὰν δηλαδή, λέγει, δὲν πιστεύετε εἰς αὐτὸ ποὺ εἶπα προτύτερα καὶ θεωρῆτε ἁπλῶς ὡς μεγάλον λόγον

ἰδοὺ καὶ ἕτερον ἐκείνῳ προστίθημι, τὸ τὰ ἀπόρρητα ὑμῶν ἐκκαλύψαι· καὶ μετ' ἐκεῖνο πάλιν ἕτερον. Ποῖον δὴ τοῦτο; Τὸ σφίγξαι τὸ σῶμα τοῦ παραλελυμένου.

Καὶ ὅτε μὲν εἶπε τῷ παραλυτικῷ, οὐ σαφῶς τὴν ἐ-
5 *ξουσίαν τὴν ἑαυτοῦ δηλῶν εἶπεν· οὐ γὰρ εἶπεν, ἀφίημί σοι τὰς ἁμαρτίας· ἀλλ', «Ἀφέωνταί σου αἱ ἁμαρτίαι». Ἐπειδὴ δὲ ἐκεῖνοι ἠνάγκασαν, τρανοτέραν αὐτοῦ δείκνυσι τὴν ἐ-ξουσίαν, λέγων· «Ἵνα δὲ εἰδῆτε, ὅτι ἐξουσίαν ἔχει ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας». Ὁρᾷς ὅσον*
10 *ἀπεῖχε τοῦ μὴ θέλειν νομίζεσθαι ἴσος τῷ Πατρί; Οὐδὲ γὰρ εἶπεν, ὅτι δεῖται ἑτέρου ὁ Υἱὸς τοῦ ἀνθρώπου, ἢ ὅτι ἔδωκεν αὐτῷ ἐξουσίαν, ἀλλ' ὅτι ἐξουσίαν ἔχει. Καὶ οὐδὲ αὐτὸ πρὸς φιλοτιμίαν λέγει· ἀλλ' ἵνα ὑμᾶς πείσω, φησίν, ὅτι οὐ βλασφη-μῶ ἴσον ἑαυτὸν ποιῶν τῷ Θεῷ. Πανταχοῦ γὰρ ἀποδείξεις*
15 *βούλεται παρέχειν σαφεῖς καὶ ἀναντιρρήτους, ὡς ὅταν λέγῃ· «Ὕπαγε, σαυτὸν δεῖξον τῷ ἱερεῖ»· καὶ τὴν πενθερὰν Πέ-τρου δεικνύῃ διακονοῦσαν καὶ τοὺς χοίρους συγχωρῇ κατα-κρημνίζεσθαι. Οὕτω δὴ καὶ ἐνταῦθα, τῆς μὲν τῶν ἁμαρτη-μάτων ἀφέσεως τεκμήριον, τὴν τοῦ σώματος σφίγξιν ποιεῖ-*
20 *ται· τῆς δὲ σφίγξεως, τὸ βαστάσαι τὸν κράββατον· ὥστε μὴ νομισθῆναι φαντασίαν εἶναι τὸ γεγενημένον. Καὶ οὐ πρότερον τοῦτο ποιεῖ, ἕως αὐτοὺς ἠρώτησε. «Τί γάρ», φησίν, «εὐκοπώτερόν ἐστιν εἰπεῖν, ἀφέωνταί σου αἱ ἁμαρτίαι· ἢ εἰπεῖν, ἆρον τὸν κράββατόν σου καὶ ὕπαγε εἰς τὸν οἶκόν*
25 *σου;». Ὁ δὲ λέγει, τοιοῦτόν ἐστι. Τί δοκεῖ ῥᾷον ὑμῖν εἶναι, σῶμα σφίγξαι διῳκισμένον, ἢ ψυχῆς ἁμαρτήματα λῦσαι; Εὔδηλον ὅτι σῶμα σφίγξαι. Ὅσῳ γὰρ ψυχὴ σώματος βελ-*

---

17. Ματθ. 8, 4.
18. Ματθ. 8, 15.
19. Ματθ. 8, 32.

αὐτὸ ποὺ ἐλέχθη, ὁρίστε προσθέτω εἰς ἐκεῖνο καὶ ἄλλα, τὸ ὅτι ἀποκαλύπτω τὰς ἀποκρύφους σκέψεις σας· καὶ μετὰ ἀπὸ ἐκεῖνο ἄλλο πάλιν. Ποῖο λοιπὸν εἶναι αὐτό; Τὸ ὅτι θὰ καταστήσω ὑγιὲς τὸ σῶμα τοῦ παραλύτου.

Καὶ ὅταν μὲν ἀπευθύνθη πρὸς τὸν παράλυτον δὲν ὡμίλησε κατὰ τρόπον ποὺ νὰ φανερώνῃ καθαρὰ τὴν ἐξουσίαν του· διότι δὲν εἶπεν, 'Σοῦ συγχωρῶ τὰς ἁμαρτίας', ἀλλά, «Σοῦ συγχωροῦνται αἱ ἁμαρτίαι σου». Ἐπειδὴ ὅμως ἐκεῖνοι τὸν ἐξηνάγκασαν, ἀποδεικνύει κατὰ τρόπον πιὸ ἐμφανῆ τὴν ἐξουσίαν του λέγων· «Διὰ νὰ γνωρίσετε δὲ ὅτι ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔχει ἐξουσίαν νὰ συγχωρῇ ἐπὶ τῆς γῆς ἁμαρτίας». Βλέπεις πόσον ἀπεῖχεν ἀπὸ τοῦ νὰ μὴ θέλῃ νὰ θεωρῆται ἰσότιμος μὲ τὸν Πατέρα του; Διότι δὲν εἶπεν, ὅτι ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔχει ἀνάγκην ἀπὸ ἄλλον ἢ ὅτι τοῦ ἔδωσεν ἐξουσίαν, ἀλλ' ὅτι «ἔχει ἐξουσίαν». Καὶ αὐτὸ δὲν τὸ λέγει ἀπὸ φιλοδοξίαν, ἀλλά, λέγει, 'διὰ νὰ σᾶς πείσω ὅτι δὲν βλασφημῶ ἐξισώνων τὸν ἑαυτόν μου μὲ τὸν Θεόν'. Εἰς ὅλας τὰς περιπτώσεις δηλαδὴ θέλει νὰ παρέχῃ σαφεῖς ἀποδείξεις ποὺ δὲν ἐπιδέχονται ἀντιρρήσεις, ὅπως ὅταν λέγῃ· «Πήγαινε καὶ δεῖξε τὸν ἑαυτόν σου εἰς τὸν ἱερέα»[17]· καὶ τὴν πενθερὰν τοῦ Πέτρου τὴν παρουσιάζει νὰ τὸν ὑπηρετῇ[18] καὶ τοὺς χοίρους ἐπιτρέπει νὰ πέσουν εἰς τὸν κρημνόν[19]. Ἔτσι λοιπὸν καὶ εἰς αὐτὴν τὴν περίπτωσιν, τῆς μὲν συγχωρήσεως τῶν ἁμαρτημάτων ἀπόδειξιν χρησιμοποιεῖ τὴν θεραπείαν τοῦ σώματος, τῆς δὲ θεραπείας χρησιμοποιεῖ ὡς ἀπόδειξιν τὸ ὅτι ἐβάσταξεν εἰς τὰς χεῖράς του τὸ κρεββάτι, ὥστε νὰ μὴ θεωρηθῇ ὅτι ἦτο φανταστικὸν δημιούργημα αὐτὸ ποὺ συνέβη. Καὶ δὲν τὸ κάμνει αὐτὸ προηγουμένως, ἀλλὰ μόνον τότε ὅταν τοὺς ἠρώτησε. Διότι λέγει· «Τί εἶναι εὐκολώτερον· νὰ εἰπῶ, Συγχωροῦνται αἱ ἁμαρτίαι σου ἢ νὰ εἰπῶ, Πάρε τὸ κρεββάτι σου καὶ πήγεινε εἰς τὸν οἶκόν σου;». Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τοῦτο· 'Τί θεωρεῖτε εὐκολώτερον, τὸ νὰ θεραπεύσω ἕνα σῶμα παράλυτον ἢ νὰ συγχωρήσω τὰ ἁμαρτήματα τῆς ψυχῆς; Εἶναι ὁλοφάνερον ὅτι θεω-

τίων, τοσούτῳ τὸ ἁμαρτήματα λῦσαι τούτου μεῖζον· ἀλλ᾽ ἐπειδὴ τὸ μὲν ἀφανές, τὸ δὲ φανερόν, προστίθημι τὸ καταδεέστερον μέν, φανερώτερον δέ· ἵνα καὶ τὸ μεῖζον καὶ τὸ ἀφανὲς διὰ τούτου λάβῃ τὴν ἀπόδειξιν, διὰ τῶν ἔργων 5 προαποκαλύπτων ἤδη τὸ ὑπὸ τοῦ Ἰωάννου εἰρημένον, ὅτι αὐτὸς αἴρει τὰς ἁμαρτίας τοῦ κόσμου.

3. Ἀναστήσας τοίνυν αὐτόν, εἰς τὴν οἰκίαν πέμπει· πάλιν ἐνταῦθα τὸ ἄτυφον δεικνύς, καὶ ὅτι οὐ φαντασία ἦν τὸ γεγενημένον· τοὺς γὰρ τῆς ἀρρωστίας μάρτυρας, τούτους 10 ποιεῖται καὶ τῆς ὑγιείας. Ἐγὼ μὲν γὰρ ἐβουλόμην, φησί, διὰ τοῦ σοῦ πάθους καὶ τοὺς δοκοῦντας ὑγιαίνειν, νοσοῦντας δὲ τὴν διάνοιαν, θεραπεῦσαι· ἐπειδὴ δὲ οὐ βούλονται, ἄπιθι οἴκαδε, τοὺς ἐκεῖ διορθωσόμενος. Ὁρᾶς πῶς δείκνυσι καὶ ψυχῆς καὶ σωμάτων αὐτὸν ὄντα δημιουργόν; Ἑκατέρας 15 οὖν οὐσίας τὴν παράλυσιν ἰᾶται καὶ τὸ ἀφανὲς ἐκ τοῦ φανεροῦ δῆλον ποιεῖ· ἀλλ᾽ ὅμως ἔτι χαμαὶ σύρονται. «Ἰδόντες γὰρ οἱ ὄχλοι ἐθαύμασαν καὶ ἐδόξασαν τὸν Θεόν», φησί, «τὸν δόντα ἐξουσίαν τοιαύτην τοῖς ἀνθρώποις»· προσίστατο γὰρ αὐτοῖς ἡ σάρξ.

20 *Αὐτὸς δὲ αὐτοῖς οὐκ ἐπετίμα, ἀλλὰ πρόεισι διὰ τῶν ἔργων ἐγείρων αὐτοὺς καὶ ὑψηλὸν τὸ φρόνημα ποιῶν. Τέως γὰρ οὐκ ἦν μικρὸν τὸ νομίζεσθαι πάντων ἀνθρώπων εἶναι μείζω, καὶ παρὰ Θεοῦ ἥκειν. Εἰ γὰρ ταῦτα καλῶς ἐβεβαίωσαν παρ᾽ ἑαυτοῖς, ὁδῷ προβαίνοντες ἔγνωσαν ἄν, ὅτι καὶ*

---

20. Πρβλ. Ἰω. 1, 29.

ρεῖτε εὐκολώτερον τὸ νὰ θεραπεύσω τὸ σῶμα. Διότι ὅσον ἡ ψυχὴ εἶναι ἀνωτέρα ἀπὸ τὸ σῶμα, τόσον περισσότερον προτιμότερον εἶναι τὸ νὰ συγχωρηθοῦν τὰ ἁμαρτήματα αὐτοῦ· ἐπειδὴ ὅμως τὸ μὲν εἶναι δὲν φαίνεται, ἐνῷ τὸ ἄλλο φαίνεται, πράττω τὸ ὑποδεέστερον μὲν ἀλλ' ὁπωσδήποτε ποὺ εἶναι περισσότερον ἐμφανές, ὥστε δι' αὐτοῦ νὰ ἀποδειχθῇ καὶ αὐτὸ ποὺ εἶναι σπουδαιότερον καὶ ποὺ δὲν φαίνεται, ἀποκαλύπτων πλέον διὰ τῶν ἔργων του αὐτὸ ποὺ εἶχε λεχθῇ ὑπὸ τοῦ Ἰωάννου, ὅτι δηλαδὴ αὐτὸς σηκώνει τὰς ἁμαρτίας τοῦ κόσμου[20].

3. Ἀφοῦ λοιπὸν τὸν ἐθεράπευσε τὸν στέλλει εἰς τὴν οἰκίαν του. Καὶ δι' αὐτοῦ πάλιν ἀποδεικνύει τὴν ταπεινοφροσύνην του καὶ ὅτι δὲν ἦτο φανταστικὸν αὐτὸ ποὺ συνέβη· διότι αὐτοὺς ποὺ ἦσαν μάρτυρες τῆς ἀσθενείας, αὐτοὺς τοὺς ἰδίους χρησιμοποιεῖ καὶ ὡς μάρτυρας τῆς ὑγείας του. Διότι, λέγει, ἐγὼ ἤθελα μὲ τὸ ἰδικόν σου πάθημα νὰ θεραπεύσω καὶ αὐτοὺς ποὺ παρουσιάζονται ὡς ὑγιεῖς, ἐνῷ εἶναι πνευματικῶς ἀσθενεῖς, ἐπειδὴ ὅμως δὲν θέλουν πήγαινε εἰς τὸν οἶκόν σου διὰ νὰ διορθώσῃς τοὺς συγγενεῖς σου. Βλέπεις πῶς ἀποδεικνύει ὅτι εἶναι δημιουργὸς καὶ τῆς ψυχῆς καὶ τῶν σωμάτων; Θεραπεύει λοιπὸν κάθε ἑνὸς στοιχείου τὴν παράλυσιν καὶ καθιστᾷ φανερὸν αὐτὸ ποὺ δὲν φαίνεται ἀπὸ αὐτὸ ποὺ εἶναι φανερόν, ἀλλ' ὅμως αὐτοὶ ἀκόμη σύρονται ἐπάνω εἰς τὴν γῆν. Διότι, λέγει, «Ὅταν τὰ πλήθη εἶδαν ὅλα αὐτὰ ἐθαύμασαν καὶ ἐδόξασαν τὸν Θεὸν ποὺ ἔδωσε τέτοιου εἴδους ἐξουσίαν εἰς τοὺς ἀνθρώπους»· ἠμποδίζοντο δηλαδὴ ἀπὸ τὴν σάρκα των νὰ ἀντιληφθοῦν ὅτι ἦτο Θεός.

Αὐτὸς ὅμως δὲν τοὺς ἔψεγεν, ἀλλ' ἐσυνέχισε διὰ τῶν ἔργων του νὰ τοὺς ἀφυπνίζῃ καὶ νὰ ἐξυψώνῃ τὸ φρόνημά των. Ὁπωσδήποτε, βεβαίως, δὲν ἦτο μικρὸν πρᾶγμα τὸ ὅτι ἐθεωρεῖτο ὅτι εἶναι ἀνώτερος ἀπὸ ὅλους τοὺς ἀνθρώπους καὶ ὅτι ἔχει προέλευσιν ἀπὸ τὸν Θεόν. Διότι ἐὰν ἤθελον πεισθῇ ἀπολύτως δι' αὐτά, μὲ τὴν πάροδον τοῦ χρόνου θὰ

Θεοῦ Υἱὸς ἦν. Ἀλλ' οὐ κατέσχον ταῦτα σαφῶς· διὰ τοῦτο οὐδὲ προσελθεῖν ἠδυνήθησαν. Ἔλεγον γὰρ πάλιν· «Οὗτος ὁ ἄνθρωπος οὐκ ἔστι παρὰ τοῦ Θεοῦ»· «Πῶς ἔστιν οὗτος παρὰ τοῦ Θεοῦ;». Καὶ συνεχῶς αὐτὰ ἔστρεφον, τῶν οἰκεί-
5 *ων παθῶν ταῦτα προβαλλόμενοι προκαλύμματα. Ὃ πολλοὶ καὶ νῦν ποιοῦσι καὶ τὸν Θεὸν δοκοῦντες ἐκδικεῖν, οἰκεῖα πληροῦσι πάθη, δέον μετ' ἐπιεικείας ἅπαντα μετιέναι. Καὶ γὰρ ὁ τῶν ὅλων Θεός, σκηπτὸν δυνάμενος ἀφιέναι ἐπὶ τοὺς βλασφημοῦντας αὐτόν, τὸν ἥλιον ἀνατέλλει, καὶ τοὺς ὄμ-*
10 *βρους ἀφίησι, καὶ τὰ ἄλλα πάντα μετὰ δαψιλείας παρέχει· ὃν χρὴ καὶ ἡμᾶς μιμουμένους παρακαλεῖν, παραινεῖν, νουθετεῖν μετὰ πραότητος, οὐκ ὀργιζομένους, οὐδὲ ἐκθηριουμένους. Οὐδὲ γὰρ βλάβη τις εἰς τὸν Θεὸν ἀπὸ τῆς βλασφημίας ἐκβαίνει, ἵνα θυμωθῇς· ἀλλ' ὁ βλασφημήσας αὐτὸς καὶ τὸ*
15 *τραῦμα ἔλαβεν. Οὐκοῦν στέναξον, θρήνησον· καὶ γὰρ δακρύων ἄξιον τὸ πάθος. Καὶ τὸν τραυματισθέντα δὲ οὐδὲν οὕτως ὡς ἐπιείκεια θεραπεῦσαι δύναται. Ἐπιείκεια γὰρ πάσης βίας δυνατωτέρα.*

Ὅρα γοῦν πῶς αὐτὸς ἡμῖν ὁ ὑβρισμένος διαλέγεται,
20 *καὶ ἐπὶ τῆς Παλαιᾶς καὶ ἐπὶ τῆς Καινῆς· ἐκεῖ μὲν λέγων, «Λαός μου, τί ἐποίησά σοι;», ἐνταῦθα δέ, «Σαῦλε, Σαῦλε, τί με διώκεις;». Καὶ ὁ Παῦλος δὲ ἐν πραότητι κελεύει παιδεύειν τοὺς ἀντιδιατιθεμένους. Καὶ τῷ Χριστῷ δὲ ἡνίκα προσήεσαν οἱ μαθηταὶ ἀξιοῦντες πῦρ καταβῆναι ἐκ τοῦ οὐ-*
25 *ρανοῦ, σφόδρα ἐπετίμησεν αὐτοῖς λέγων· «Οὐκ οἴδατε ποίου πνεύματός ἐστε ὑμεῖς». Καὶ ἐνταῦθα δὲ οὐκ εἶπεν, ὦ μιαροὶ καὶ γόητες ὑμεῖς· ὦ βάσκανοι καὶ τῆς τῶν ἀνθρώπων*

---

21. Ἰω. 9, 16.
22. Μιχ. 6, 3.
23. Πράξ. 9, 4.
24. Β' Τιμ. 2, 25.
25. Λουκᾶ 9, 55.

ἠμποροῦσαν ν᾽ ἀντιληφθοῦν ὅτι ἦτο καὶ Υἱὸς τοῦ Θεοῦ. Ἀλλ᾽ ὅμως δὲν εἶχαν ἀντιληφθῆ αὐτὰ ἀπολύτως καὶ διὰ τοῦτο δὲν ἠμπόρεσαν νὰ τὸν πλησιάσουν. Διότι ἔλεγαν πάλιν· «Αὐτὸς ὁ ἄνθρωπος δὲν προέρχεται ἀπὸ τὸν Θεόν· πῶς εἶναι δυνατὸν αὐτὸς νὰ εἶναι σταλμένος ἀπὸ τὸν Θεόν;»[21]. Καὶ συνεχῶς αὐτὰ ἐσκέπτοντο, προβάλλοντες αὐτὰ ὡς προφάσεις διὰ τὰ ἰδικά των πάθη. Πρᾶγμα ποὺ πολλοὶ καὶ σήμερα τὸ πράττουν καὶ θεωροῦντες τὸν Θεὸν ὡς ἐκδικητὴν ἱκανοποιοῦν τὰ ἰδικά των πάθη, ἐνῷ θὰ ἔπρεπεν ὅλα νὰ τὰ ἐξετάζουν μὲ ἐπιείκειαν. Καθόσον ὁ Θεὸς τῶν ὅλων, ἐνῷ ἠμπορεῖ νὰ ἐξαποστείλῃ κεραυνὸν πρὸς ἐκείνους ποὺ τὸν βλασφημοῦν, ἐν τούτοις καὶ ἀνατέλλει τὸν ἥλιον καὶ βρέχει καὶ ὅλα τὰ ἄλλα τὰ χορηγεῖ μὲ ἀφθονίαν πρὸς αὐτούς. Αὐτὸν πρέπει καὶ ἡμεῖς νὰ μιμούμεθα καὶ νὰ παρακαλοῦμεν καὶ νὰ συμβουλεύωμεν καὶ νὰ νουθετοῦμεν μὲ τρόπον ἤπιον καὶ χωρὶς νὰ ὀργιζώμεθα οὔτε νὰ μεταβαλλώμεθα εἰς θηρία. Διότι ὁ Θεὸς δὲν παθαίνει καμμίαν ζημίαν ἀπὸ τὴν βλασφημίαν σου, ἐὰν ἤθελες θυμώσει, ἀλλ᾽ αὐτὸς ποὺ βλασφημεῖ ὑφίσταται καὶ τὴν ζημίαν. Ὥστε λοιπὸν ἀναστέναξε, κλαῦσε ζωηρῶς, διότι τὸ πάθος σου εἶναι ἄξιον δακρύων. Καὶ αὐτὸν δὲ ποὺ ἐπληγώθη τίποτε δὲν ἠμπορεῖ νὰ τὸν θεραπεύσῃ καλύτερον ἀπὸ τὴν ἐπιείκειαν. Διότι ἡ ἐπιείκεια εἶναι ἰσχυροτέρα ἀπὸ ὁποιανδήποτε πρᾶξιν βίας.

Πρόσεξε λοιπὸν πῶς μᾶς ὁμιλεῖ ὁ ἴδιος ὁ ὑβρισμένος Θεὸς τόσον εἰς τὴν Παλαιὰν ὅσον καὶ εἰς τὴν Καινὴν Διαθήκην. Εἰς μὲν τὴν Παλαιὰν Διαθήκην λέγει· «Λαέ μου, τί σοῦ ἔκαμα»[22], ἐνῷ εἰς τὴν Καινὴν Διαθήκην λέγει· «Σαῦλε, Σαῦλε, διατί μὲ καταδιώκεις;»[23]. Καὶ ὁ Παῦλος πάλιν διατάσσει νὰ διδάσκωμεν μὲ τρόπον ἤπιον τοὺς ἀντιφρονοῦντας[24]. Καὶ οἱ μαθηταὶ δὲ τοῦ Χριστοῦ ὅταν κάποτε τὸν ἐπλησίασαν καὶ τοῦ ἐζητοῦσαν νὰ κατεβῇ φωτιὰ ἀπὸ τὸν οὐρανόν, τοὺς ἐπέπληξε πάρα πολὺ λέγων τὰ ἑξῆς· «Δὲν γνωρίζετε ποίου πνεύματος εἶσθε»[25]. Ἀλλὰ καὶ εἰς αὐτὴν τὴν περίπτωσιν δὲν εἶπεν. ''Αχρεῖοι καὶ ἀγῆρται· φθονηροὶ καὶ

σωτηρίας ἐχθροί· ἀλλά, «Τί ἐνθυμεῖσθε πονηρὰ ἐν ταῖς καρδίαις ὑμῶν;».

Δεῖ τοίνυν μετ' ἐπιεικείας ἐξαίρειν τὸ νόσημα. Ὁ γὰρ φόβῳ γενόμενος ἀνθρωπίνῳ βελτίων, ταχέως ἐπανήξει
5 *πρὸς τὴν πονηρίαν πάλιν. Διὰ τοῦτο καὶ τὰ ζιζάνια ἀφεθῆναι ἐκέλευσε, διδοὺς προθεσμίαν μετανοίας. Πολλοὶ γοῦν αὐτῶν μετενόησαν καὶ γεγόνασι σπουδαῖοι, πρότερον ὄντες φαῦλοι, οἷον ὁ Παῦλος, ὁ τελώνης, ὁ λῃστής· καὶ γὰρ ζιζάνια ὄντες οὗτοι σῖτος γεγόνασιν ὥριμος. Ἐπὶ*
10 *μὲν γὰρ τῶν σπερμάτων τοῦτο ἀμήχανον· ἐπὶ δὲ τῆς προαιρέσεως, ῥάδιόν τε καὶ εὔκολον· οὐ γὰρ φύσεως ὅροις αὕτη δέδεται, ἀλλ' ἐλευθερίᾳ προαιρέσεως τετίμηται.*

Ὅταν τοίνυν ἴδῃς ἐχθρὸν τῆς ἀληθείας, θεράπευσον, ἐπιμέλησαι, πρὸς ἀρετὴν ἐπανάγαγε, βίον ἐπιδεικνύμενος
15 *ἄριστον, λόγον παρεχόμενος ἀκατάγνωστον, προστασίαν καὶ κηδεμονίαν παρέχων, πάντα τρόπον κινῶν διορθώσεως, τοὺς ἀρίστους τῶν ἰατρῶν μιμούμενος. Οὐδὲ γὰρ ἐκεῖνοι καθ' ἕνα τρόπον θεραπεύουσι μόνον, ἀλλ' ὅταν ἴδωσιν οὐκ εἶκον τὸ ἕλκος τῷ προτέρῳ φαρμάκῳ, προστιθέασιν ἕτερον, καὶ*
20 *μετ' ἐκεῖνο πάλιν ἄλλο· καὶ νῦν μὲν τέμνουσι, νῦν δὲ ἐπιδεσμοῦσι. Καὶ σὺ τοίνυν ψυχῶν ἰατρὸς γενόμενος, πάντα κίνει θεραπείας τρόπον κατὰ τοὺς τοῦ Χριστοῦ νόμους, ἵνα καὶ τῆς σαυτοῦ σωτηρίας καὶ τῆς ἑτέρων ὠφελείας λάβῃς μισθόν, εἰς δόξαν Θεοῦ πάντα ποιῶν, καὶ ταύτῃ καὶ αὐτὸς*
25 *δοξαζόμενος. «Τοὺς δοξάζοντας γάρ με δοξάσω», φησί, «καὶ οἱ ἐξουθενοῦντές με ἐξουθενωθήσονται».*

---

26. Προβλ. Ματθ. 13, 30.
27. Τίτ. 2, 8.
28. Α' Βασ. 2, 30.

ἐχθροὶ τῆς σωτηρίας τῶν ἀνθρώπων', ἀλλ' εἶπε· «Διατί σκέπτεσθε μέσα εἰς τὰς καρδίας σας πονηρά;».

Πρέπει λοιπὸν μὲ ἐπιείκειαν νὰ θεραπεύωμεν τὰς ἀσθενείας. Διότι αὐτὸς ποὺ γίνεται καλύτερος ἀπὸ ἀνθρώπινον φόβον, γρήγορα πάλιν θὰ ἐπιστρέψῃ εἰς τὴν πονηρίαν του. Διὰ τοῦτο διέταξε ν' ἀφεθοῦν καὶ τὰ ζιζάνια[26], διὰ νὰ δώσῃ εὐκαιρίαν διὰ μετάνοιαν. Πολλοὶ βεβαίως ἀπὸ αὐτοὺς μετενόησαν καὶ ἔγιναν σπουδαῖοι, ἐνῷ προηγουμένως ἦσαν φαῦλοι, ὅπως ἐπὶ παραδείγματι ὁ Παῦλος, ὁ τελώνης, ὁ λῃστής· καθόσον, ἐνῷ προηγουμένως ἦσαν αὐτοὶ ζιζάνια ἔγιναν σῖτος ὥριμος. Διότι ὡς πρὸς μὲν τὰ σπέρματα αὐτὸ εἶναι δύσκολον, ὡς πρὸς τὴν προαίρεσιν ὅμως εἶναι καὶ εὐάρμοστον καὶ εὔκολον· διότι αὐτὴ δὲν δεσμεύεται ἀπὸ τοὺς φυσικοὺς νόμους, ἀλλ' ἔχει τιμηθῆ μὲ τὴν ἐλευθερίαν τῆς ἐκλογῆς.

Ὅταν λοιπὸν ἰδῇς κάποιον ποὺ εἶναι ἐχθρὸς τῆς ἀληθείας, θεράπευσέ τον, φρόντισέ τον, ὁδήγησέ τον εἰς τὸν δρόμον τῆς ἀρετῆς, δεῖξέ του ἄριστον βίον, δίδαξέ τον μὲ λόγια ἀδιάβλητα[27], πάρασχέ του προστασίαν καὶ κηδεμονίαν, χρησιμοποίησε κάθε μέσον πρὸς διόρθωσιν, ἔχων ὡς πρότυπα μιμήσεως τοὺς ἀρίστους ἀπὸ τοὺς ἰατρούς. Διότι οὔτε ἐκεῖνοι θεραπεύουν μὲ ἕνα μόνον τρόπον, ἀλλ' ὅταν διαπιστώσουν ὅτι δὲν ὑποχωρεῖ ἡ πληγὴ μὲ τὸ πρῶτον φάρμακον ποὺ ἐχρησιμοποίησαν, χρησιμοποιοῦν ἄλλο, καὶ μετὰ ἀπ' αὐτὸ πάλιν ἄλλο· καὶ ἄλλοτε μὲν κάμνουν ἐγχειρήσεις, ἄλλοτε δὲ θέτουν ἐπιδέσμους. Καὶ σὺ λοιπὸν γενόμενος ἰατρὸς τῶν ψυχῶν, χρησιμοποίει κάθε μέσον θεραπείας, συμφώνως πρὸς τὰς ἐντολὰς τοῦ Χριστοῦ, διὰ νὰ λάβῃς ἀμοιβὴν καὶ διὰ τὴν ἰδικήν σου σωτηρίαν καὶ διὰ τὴν ὠφέλειαν ποὺ ἐχάρισες εἰς τοὺς ἄλλους, πράττων ὅλα πρὸς δόξαν τοῦ Θεοῦ καὶ κατ' αὐτὸν τὸν τρόπον θὰ δοξάζεσαι καὶ σὺ ὁ ἴδιος. Διότι, λέγει· «Αὐτοὺς ποὺ μὲ δοξάζουν θὰ τοὺς δοξάσω, καὶ αὐτοὶ ποὺ μὲ περιφρονοῦν θὰ τοὺς περιφρονήσω»[28].

Πάντα τοίνυν εἰς δόξαν αὐτοῦ πράττωμεν, ἵνα τῆς μακαρίας ἐκείνης ἐπιτύχωμεν λήξεως· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας 5 τῶν αἰώνων. Ἀμήν.

῞Ολα λοιπὸν ἂς τὰ πράττωμεν πρὸς δόξαν τοῦ Θεοῦ, διὰ νὰ ἐπιτύχωμεν τὴν μακαρίαν ἐκείνην κληρονομίαν, τὴν ὁποίαν μακάρι ὅλοι μας νὰ ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Λ´

Ματθ. 9, 9 - 17

«*Καὶ παράγων ὁ Ἰησοῦς ἐκεῖθεν, εἶδεν ἄνθρωπον ἐπὶ τὸ τελώνιον καθήμενον, Ματθαῖον λεγόμενον· καὶ λέγει αὐ-*
5 *τῷ· ἀκολούθει μοι*».

1. Ποιήσας γὰρ τὸ θαῦμα οὐκ ἐπέμεινεν, ἵνα μὴ τὸν ζῆλον ἐξάψῃ πλέον ὁρώμενος· ἀλλὰ χαρίζεται αὐτοῖς ἀναχωρῶν, καὶ τὸ πάθος παραμυθούμενος. Τοῦτο δὴ καὶ ἡμεῖς ποιῶμεν, μὴ ὁμόσε χωροῦντες τοῖς ἐπιβουλεύουσιν, ἀλλὰ
10 *παραμυθώμεθα αὐτῶν τὸ ἕλκος, ἐνδιδόντες καὶ χαλῶντες αὐτῶν τὸν τόνον.*

Ἀλλὰ τίνος ἕνεκεν οὐ μετὰ Πέτρου καὶ Ἰωάννου καὶ τῶν ἄλλων αὐτὸν ἐκάλεσεν; Ὥσπερ ἐκεῖ τότε παρεγένετο, ὅτε ᾔδει τοὺς ἀνθρώπους πεισθησομένους· οὕτω καὶ τὸν
15 *Ματθαῖον τότε ἐκάλεσεν ὅτε ἠπίστατο εἴξοντα. Διὰ δὴ τοῦτο καὶ Παῦλον μετὰ τὴν ἀνάστασιν ἡλίευσεν. Ὁ γὰρ τὰς καρδίας ἐπιστάμενος καὶ τὰ ἀπόρρητα τῆς ἑκάστου διανοίας εἰδώς, ᾔδει καὶ πότε ἔμελλεν ἕκαστος τούτων ὑπακούσεσθαι. Διὰ τοῦτο οὐκ ἐν προοιμίοις αὐτὸν ἐκάλει, ὅτε σκληρότερον*
20 *ἔτι διέκειτο, ἀλλὰ μετὰ τὰ μυρία θαύματα καὶ τὴν πολλὴν περὶ αὐτοῦ φήμην, ὅτε καὶ ἐπιτηδειότερον ᾔδει πρὸς τὴν ὑπακοὴν γεγενημένον. Ἄξιον δὲ καὶ τοῦ εὐαγγελιστοῦ θαυμάσαι τὴν φιλοσοφίαν, πῶς οὐκ ἀποκρύπτεται αὐτοῦ τὸν ἔμ-*

---

1. Ματθαῖος: Μαθητὴς τοῦ Χριστοῦ καὶ εἷς τῶν τεσσάρων εὐαγγελιστῶν. Υἱὸς τοῦ Ἀλφαίου, κληθεὶς εἰς τὸ ἀποστολικὸν ἀξίωμα ἐκ τοῦ τελωνείου τῆς Καπερναούμ, ὅπου εἰργάζετο ὡς τελώνης, καὶ ἀκολουθήσας αὐτὸν προθύμως. (Ματθ. 9, 9-11). Ἀρχικῶς ὠνομάζετο Λευῒς (Μάρκ. 2, 14. Λουκᾶ 5, 27). Κηρύξας τὸ εὐαγγέλιον εἰς διάφορα μέρη ἀπέθανεν εἰς τὴν Παρθίαν.

ΟΜΙΛΙΑ Λ΄

Ματθ. 9, 9 - 17

«Καὶ ἐνῷ ἐπροχώρει ὁ Ἰησοῦς πρὸς ἄλλο μέρος, εἶδεν ἕνα ἄνθρωπον ποὺ ἐκάθητο εἰς τὸ τελωνεῖον καὶ ποὺ ὠνομάζετο Ματθαῖος[1], καὶ τοῦ λέγει· Ἀκολούθησέ με».

1. Ἀφοῦ λοιπὸν ἔκαμε τὸ θαῦμα δὲν ἔμεινεν ἄλλο εἰς τὸ μέρος ἐκεῖνο, διὰ νὰ μὴ αὐξήσῃ περισσότερον τὸν φθόνον τῶν ἐχθρῶν του ποὺ θὰ τὸν ἔβλεπαν ἐκεῖ, ἀλλὰ πρὸς χάριν των ἀναχωρεῖ, καταπραΰνων μὲ τὴν ἐνέργειάν του αὐτὴν τὸ πάθος των. Αὐτὸ βεβαίως πράττομεν καὶ ἡμεῖς μὲ τὸ νὰ μὴ συναναστρεφώμεθα αὐτοὺς ποὺ μᾶς ἐχθρεύονται, ἀλλὰ καταπραΰνομεν τὴν λύπην των κάμνοντες ὑποχωρήσεις καὶ μετριάζοντες τὸ μέγεθος τῆς λύπης των.

Ἀλλ' ἐξ αἰτίας τίνος πράγματος δὲν προσεκάλεσε καὶ αὐτὸν μαζὶ μὲ τὸν Πέτρον καὶ τὸν Ἰωάννην; Ὅπως ἀκριβῶς τότε μετέβη ἐκεῖ καὶ τοὺς ἐκάλεσε μόνον ὅταν διεπίστωσε καλῶς ὅτι θὰ δεχθοῦν τὴν πρόσκλησίν του, ἔτσι καὶ τὸν Ματθαῖον τότε τὸν ἐκάλεσεν, ὅταν εἶχε βεβαιωθῆ ἀπολύτως ὅτι θὰ τὸν ἀκολουθήσῃ. Βεβαίως δι' αὐτὸν τὸν λόγον καὶ τὸν Παῦλον τὸν ἡλίευσε μετὰ τὴν ἀνάστασίν του. Διότι αὐτὸς ποὺ γνωρίζει καλῶς τὰς καρδίας τῶν ἀνθρώπων καὶ γνωρίζει ἐπίσης καὶ τὰς ἀποκρύφους σκέψεις τοῦ καθενός, ἐγνώριζε καὶ πότε ἐπρόκειτο ὁ καθένας ἀπὸ αὐτοὺς νὰ δεχθῇ τὴν πρόσκλησίν του. Διὰ τοῦτο δὲν τὸν ἐκάλει εἰς τὴν ἀρχήν, τότε ποὺ ἦτο σκληρὰ ἀκόμη ἡ διάθεσίς του ἔναντί του, ἀλλὰ μετὰ ἀπὸ τὸ πλῆθος τῶν θαυμάτων ποὺ εἶχε κάμει καὶ ὅταν εἶχεν αὐξηθῆ μεγάλως ἡ φήμη γύρω ἀπὸ τὸ ὄνομά του, ὁπότε καὶ ἐγνώριζεν ὅτι θὰ ὑπήκοεν εὐκολώτερον, ~~λόγῳ αὐτῆς τῆς πείρας, ὁπότε καὶ ἐγνώριζεν ὅτι~~ θὰ ~~ὑπήκοεν εὐκολώτερον~~, ~~λόγῳ αὐτῆς τῆς πείρας, εἰς τὴν πρόσκλη~~σιν. Ἀξίζει δὲ νὰ θαυμάσῃ κανεὶς καὶ τὴν φιλοσοφίαν τοῦ εὐαγγελιστοῦ, διατί δηλαδὴ δὲν ἀποκρύπτει τὸν προηγούμενον βίον του, ἀλλ' ἀντιθέτως ἀναφέρει καὶ

πρόσθεν βίον, ἀλλὰ καὶ τὸ ὄνομα τίθησι, τῶν ἄλλων κρυψάντων αὐτὸν προσηγορίᾳ ἑτέρᾳ.

Τίνος δὲ ἕνεκεν εἶπεν, ὅτι «Ἐπὶ τὸ τελώνιον καθήμενον»; Δεικνὺς τοῦ καλέσαντος τὴν δύναμιν, ὅτι οὐ λήξαντα, οὐδὲ ἀποστάντα τῆς πονηρᾶς ταύτης καπηλείας, ἀλλ' ἐκ μέσων αὐτὸν ἀνέσπασε τῶν κακῶν· καθάπερ οὖν καὶ τὸν μακάριον Παῦλον μαινόμενον καὶ λυττῶντα καὶ πῦρ ἀφιέντα μετέστησεν· ὅπερ οὖν καὶ αὐτὸς δεῖγμα ποιούμενος τῆς τοῦ καλέσαντος δυνάμεως, φησὶ Γαλάταις· «Ἠκούσατε τὴν ἐμὴν ἀναστροφήν ποτε ἐν τῷ Ἰουδαϊσμῷ, ὅτι καθ' ὑπερβολὴν ἐδίωκον τὴν ἐκκλησίαν τοῦ Θεοῦ»· καὶ τοὺς ἁλιέας δὲ ἐν μέσοις τοῖς ἔργοις ὄντας ἐκάλεσεν. Ἀλλ' ἐκεῖνο μὲν τέχνη τις ἦν οὐ διαβεβλημένη μέν, ἀνθρώπων δὲ ἀγροικότερον διακειμένων καὶ ἀμίκτων καὶ πολὺ τὸ ἀφελὲς κεκτημένων· τοῦτο δὲ ἐπιτήδευμα ἀναισχυντίας γέμον ἦν καὶ ἰταμότητος καὶ κέρδος οὐκ ἔχον πρόφασιν εὔλογον καὶ ἐμπορία ἀναιδὴς καὶ ἁρπαγὴ σχῆμα ἔχουσα ἔννομον· ἀλλ' ὅμως οὐδὲν τούτων ἐπῃσχύνετο ὁ καλέσας. Καὶ τί λέγω, εἰ τελώνην οὐκ ἐπῃσχύνετο, ὅπου γε οὐδὲ πόρνην γυναῖκα οὐ μόνον καλέσαι οὐκ ἐπῃσχύνθη, ἀλλὰ καὶ φιλῆσαι τοὺς πόδας αὐτοῦ καὶ βρέξαι τοῖς δάκρυσι παρεῖχεν αὐτῇ; Καὶ γὰρ διὰ τοῦτο παραγέγονεν, οὐχ ἵνα σώματα θεραπεύσῃ μόνον, ἀλλ' ἵνα καὶ ψυχῆς

2. Γαλ. 1, 13.

τὸ ὄνομά του, ἐνῷ οἱ ἄλλοι εὐαγγελισταὶ τὸ ἀπέκρυψαν χρησιμοποιήσαντες ἄλλην ὀνομασίαν.

Διὰ ποῖον λόγον εἶπεν, ὅτι «ἐκάθητο εἰς τὸν τελωνεῖον»; Τὸ εἶπε μὲ σκοπὸν νὰ δείξῃ τὴν δύναμιν αὐτοῦ ποὺ τὸν ἐκάλεσεν, ὅτι δηλαδὴ δὲν εἶχε τελειώσει, οὔτε εἶχεν ἀπομακρυνθῆ ἀπὸ αὐτὴν τὴν πονηρὰν ἐκμετάλλευσιν, ἀλλὰ τὸν ἀπέσπασε μέσα ἀκριβῶς ἀπὸ αὐτὰ τὰ κακά, ὅπως ἀκριβῶς βέβαια καὶ τὸν μακάριον Παῦλον τοῦ ἤλλαξε τὴν πορείαν τῆς ζωῆς τὴν στιγμὴν ποὺ εἶχε θέσει εἰς ἐνέργειαν τὴν μανίαν καὶ λύσσαν του καὶ ἐξφενδόνιζε τὴν φωτιὰν ἐναντίον τῶν Χριστιανῶν. Αὐτὸ λοιπὸν καὶ ὁ Παῦλος ἐπικαλούμενος ὡς ἀπόδειξιν τῆς δυνάμεως τοῦ Ἰησοῦ ποὺ τὸν ἐκάλεσε, γράφει εἰς τὴν ἐπιστολήν του πρὸς Γαλάτας· «Ἠκούσατε διὰ τὴν διαγωγὴν ποὺ ἔδειξα κάποτε ὅταν ἠκολούθουν τὸν Ἰουδαϊκὸν νόμον, ποὺ κατεδίωκα δηλαδὴ τὴν ἐκκλησίαν τοῦ Θεοῦ κατὰ τρόπον ὑπερβολικόν»[2]. Καὶ τοὺς ἁλιεῖς δὲ τοὺς ἐκάλεσε εἰς τὴν χορείαν τῶν μαθητῶν του καθ' ἣν στιγμὴν εἰργάζοντο. Ἀλλ' ἐκείνων μὲν τὸ ἐπάγγελμα ἦτο ἕνα εἶδος τέχνης ὄχι δυσφημιστικὴ βέβαια, ἀλλὰ ἐπάγγελμα ἀνθρώπων ποὺ ἔζοῦσαν εἰς τὸ χωρίον μὲν ἀλλὰ ἦσαν ἁγνοὶ καὶ εἶχον εἰς μεγάλον βαθμὸν τὴν ἀφέλειαν, ἐνῷ αὐτὸ ἦτο ἐπάγγελμα γεμᾶτον ἀπὸ ἀναισχυντίαν καὶ θρασύτητα, χωρὶς καμμίαν λογικὴν δικαιολογίαν δι' ὅλα αὐτά, καὶ ἦτο ἐμπορία γεμάτη ἀπὸ ἀναίδειαν καθὼς καὶ κλοπὴ ποὺ ἐκαλύπτετο ἐξωτερικῶς ἀπὸ τὸν νόμον. Παρ' ὅλα ταῦτα ὅμως αὐτὸς ποὺ τὸν ἐκάλεσε δὲν ἔνοιωσεν ἐντροπὴν διὰ κανένα ἀπὸ αὐτά. Μὰ διατί ἐκπλήττομαι μὲ τὸ ὅτι δὲν ἔνοιωσεν ἐντροπὴν ποὺ προσεκάλει ὡς μαθητήν του τὸν τελώνην, καθ' ἣν στιγμὴν βεβαίως οὔτε διὰ μίαν πόρνην ὄχι μόνον δὲν ἔνοιωσεν ἐντροπὴν ποὺ τὴν ἐκάλεσεν, ἀλλὰ καὶ τῆς ἔδωσε τὸ δικαίωμα καὶ νὰ φιλήσῃ τὰ πόδια του καὶ νὰ τὰ περιβρέξῃ μὲ τὰ δάκρυά της; Καθόσον βέβαια δι' αὐτὸν τὸν λόγον ἦλθεν εἰς τὸν κόσμον, ὄχι μόνον διὰ νὰ θεραπεύσῃ σώματα, ἀλλὰ καὶ διὰ νὰ ἀπαλλάξῃ τὴν

κακίαν ἰάσηται. Ὃ καὶ ἐπὶ τοῦ παραλυτικοῦ πεποίηκε· καὶ δείξας σαφῶς, ὅτι δύναται ἀφιέναι ἁμαρτίας, τότε ἐπὶ τοῦτον ἔρχεται, ἵνα μηκέτι θορυβῶνται τελώνην ὁρῶντες εἰς τὸν τῶν μαθητῶν ἐγκρινόμενον χορόν. Ὁ γὰρ Κύριος ὢν
5 *λῦσαι τὰ πεπλημμελημένα πάντα, τί θαυμάζεις εἰ καὶ τοῦτον ἀπόστολον ποιεῖ;*

Ἀλλ' ὥσπερ εἶδες τοῦ καλέσαντος τὴν δύναμιν, οὕτω καταμάνθανε καὶ τοῦ κληθέντος τὴν ὑπακοήν. Οὔτε γὰρ ἀντέτεινεν, οὐδὲ ἀμφισβητῶν εἶπε· τί τοῦτο; ἆρα μὴ ἀπατηλῇ
10 *κλήσει ἐμὲ τὸν τοιοῦτον καλεῖ; καὶ γὰρ ἄκαιρος αὕτη πάλιν ἡ ταπεινοφροσύνη· ἀλλ' εὐθέως ὑπήκουσε, καὶ οὐδὲ οἴκαδε ἀπελθεῖν ἠξίωσε, καὶ τοῖς αὐτοῦ περὶ τούτου κοινώσασθαι, ὥσπερ οὖν οὐδὲ οἱ ἁλιεῖς· ἀλλ' ὃν τρόπον ἐκεῖνοι τὸ δίκτυον καὶ τὸ πλοῖον καὶ τὸν πατέρα, οὕτω καὶ οὗτος τὴν τελωνείαν*
15 *καὶ τὸ κέρδος ἀφεὶς εἵπετο, παρεσκευασμένην πρὸς ἅπαντα τὴν γνώμην ἐπιδεικνύμενος· καὶ πάντων ἀθρόως ἑαυτὸν ἀπορρηγνὺς τῶν βιωτικῶν, ἐμαρτύρει τῇ εὐκαιρίᾳ τοῦ καλέσαντος διὰ τῆς ἀπηρτισμένης ὑπακοῆς.*

Καὶ τί δήποτε, φησίν, οὐχὶ καὶ περὶ τῶν ἄλλων εἶπεν
20 *ἡμῖν, πῶς καὶ τίνα τρόπον ἐκλήθησαν, ἀλλὰ περὶ Πέτρου καὶ Ἰακώβου καὶ Ἰωάννου καὶ Φιλίππου, περὶ δὲ τῶν ἄλλων οὐδαμοῦ; Ὅτι οὗτοι μάλιστα ἦσαν ἐν τοῖς ἀτόποις καὶ ταπεινοῖς ἐπιτηδεύμασιν. Οὔτε γὰρ τελωνείας τι χεῖ-*

---

3. Πρβλ. Ματθ. 4, 18-20.
4. Πρβλ. Ματθ. 4, 21-22.
5. Πρβλ. Ἰω. 1, 44.

ψυχὴν ἀπὸ τὴν κακίαν. Πρᾶγμα ποὺ ἔκαμε καὶ εἰς τὴν περίπτωσιν τοῦ παραλύτου. Ἀφοῦ δὲ ἀπέδειξε σαφῶς, ὅτι ἔχει τὴν ἐξουσίαν καὶ ἁμαρτίας νὰ συγχωρῇ, τότε ἔρχεται πρὸς τὸν τελώνην, ὥστε νὰ μὴ ἐκπλήσσωνται εἰς τὸ ἑξῆς βλέποντες τὸν τελώνην νὰ συμπεριλαμβάνεται εἰς τὸν ὅμιλον τῶν μαθητῶν του. Ἀλλὰ διατί ἀπορεῖς ἐὰν καὶ αὐτὸν τὸν κάμνῃ ἀπόστολόν του αὐτὸς ποὺ ἔχει τὴν δύναμιν νὰ συγχωρήσῃ ὅλα τὰ ἁμαρτήματα;

Ἀλλ' ὅπως ἀκριβῶς εἶδες τὴν δύναμιν αὐτοῦ ποὺ τὸν ἐκάλεσεν, ἔτσι πρόσεξε ν' ἀντιληφθῇς καὶ τὴν ὑπακοὴν αὐτοῦ ποὺ προσεκλήθη. Διότι οὔτε ἔφερεν ἀντιρρήσεις, οὔτε τοῦ εἶπε μὲ ἀμφιβολίαν· 'Τί σημαίνει αὐτό; μήπως ἆρά γε προσκαλεῖς ἐμὲ ποὺ εἶμαι τοιούτου εἴδους ἄνθρωπος μὲ σκοπὸν δόλιον;' καθόσον μία τέτοια ταπεινοφροσύνη πάλιν θὰ ἐξεδηλοῦτο ὄχι εἰς κατάλληλον χρόνον. Ἀλλ' ἀμέσως ἐδέχθη τὴν πρόσκλησιν καὶ δὲν ἐζήτησε νὰ μεταβῇ εἰς τὸν οἶκόν του διὰ ν' ἀνακοινώσῃ αὐτὸ εἰς τοὺς συγγενεῖς του, ὅπως ἀκριβῶς οὔτε καὶ οἱ ἁλιεῖς τὸ ἔκαμαν αὐτό· ἀλλὰ μὲ ὅποιον τρόπον ἐκεῖνοι ἐγκατέλειψαν τὰ δίκτυα καὶ τὸ πλοῖον καὶ τὸν πατέρα των, καθ' ὅμοιον τρόπον καὶ αὐτός, ἀφοῦ ἐγκατέλειψε τὸ τελωνεῖον καὶ τὸ ἐξ αὐτοῦ κέρδος, τὸν ἠκολούθησεν, ἀποδεικνύων ὅτι ἦτο προητοιμασμένη ἡ ὅλη διάθεσίς του δι' ὅλα γενικῶς· καὶ ἀφοῦ ἀπεμάκρυνε τὸν ἑαυτόν του ἀμέσως ἀπὸ ὅλας τὰς φροντίδας τῆς ζωῆς ἐπεβεβαίωσε μὲ τὴν πλήρη ὑπακοήν του τὴν εἰς κατάλληλον χρόνον πρόσκλησίν του ὑπὸ τοῦ Ἰησοῦ.

Καὶ διὰ ποῖον λόγον βεβαίως, θὰ εἰπῇ κανείς, δὲν μᾶς περιέγραψε καὶ τὴν κλῆσιν καὶ τῶν ἄλλων μαθητῶν, πῶς, δηλαδή, καὶ μὲ ποῖον τρόπον προσεκλήθησαν ὑπὸ τοῦ Κυρίου, ἀλλ' ἁπλῶς καὶ μόνον μᾶς περιέγραψαν τὴν κλῆσιν τοῦ Πέτρου[3], τοῦ Ἰακώβου, τοῦ Ἰωάννου[4] καὶ τοῦ Φιλίππου[5], ἐνῷ περὶ τῶν ἄλλων δὲν ἔκαμαν πουθενὰ λόγον; Ἐπειδὴ αὐτοὶ ἠσχολοῦντο κατ' ἐξοχὴν μὲ τὰ πλέον ἀπρεπῆ καὶ ταπεινὰ ἐπαγγέλματα. Διότι οὔτε ἀπὸ τὴν ἐργασίαν τοῦ

ρον, οὔτε ἁλιείας εὐτελέστερον. Ὅτι δὲ καὶ Φίλιππος τῶν σφόδρα ἀσήμων ἦν, ἀπὸ τῆς πατρίδος δῆλον. Διὰ τοῦτο τούτους μάλιστα ἡμῖν ἀνακηρύττουσι μετὰ τῶν ἐπιτηδευμάτων, δηλοῦντες ὅτι καὶ ἐν τοῖς λαμπροῖς τῶν διηγημάτων
5 τούτοις πιστεύειν χρή. Οἱ γὰρ τῶν δοκούντων ἐπονειδίστων εἶναι μηδὲν αἱρούμενοι παραλιπεῖν, ἀλλὰ πρὸ ἄλλων ταῦτα μετὰ ἀκριβείας ἀνακηρύττοντες, καὶ ἐπὶ τοῦ διδασκάλου καὶ ἐπὶ τῶν μαθητῶν, πῶς ἂν εἶεν ἐπὶ τῶν σεμνῶν ὕποπτοι; καὶ μάλιστα ὅταν σημεῖα μὲν πολλὰ καὶ θαύματα παρατρέχωσι,
10 τὰ δὲ ἐπὶ τοῦ σταυροῦ δοκοῦντα εἶναι ὀνείδη μετὰ ἀκριβείας βοῶσι· καὶ τῶν μαθητῶν τὰ ἐπιτηδεύματα καὶ τὰ ἐλαττώματα, καὶ τοῦ διδασκάλου τοὺς προγόνους τοὺς ἐπὶ ἁμαρτήμασι βεβοημένους λαμπρᾷ ἐκκαλύπτωσι τῇ φωνῇ; Ὅθεν δῆλον ὅτι πολὺν τῆς ἀληθείας ἐποιοῦντο λόγον, καὶ οὐδὲν πρὸς χά-
15 ριν, οὐδὲ πρὸς ἐπίδειξιν ἔγραφον.

2. Καλέσας τοίνυν αὐτόν, καὶ τιμῇ μεγίστῃ τετίμηκε, τραπέζης αὐτῷ κοινωνήσας εὐθέως· ταύτῃ γὰρ αὐτὸν καὶ ὑπὲρ τῶν μελλόντων εὔελπιν ἐποίει, καὶ εἰς πλείονα παρρησίαν ἦγεν. Οὐ γὰρ χρόνῳ μακρῷ, ἀλλ' ἀθρόον ἰάσατο τὴν
20 κακίαν. Καὶ οὐκ αὐτῷ συνανάκειται μόνῳ, ἀλλὰ καὶ ἑτέροις πολλοῖς· καίτοι καὶ τοῦτο ἐδόκει αὐτοῦ ἔγκλημα εἶναι, ὅτι οὐκ ἀπεσόβησε τοὺς ἁμαρτωλούς. Ἀλλ' οὐδὲ τοῦτο κρύπτου-

---

6. Πρβλ. Ἰω. 1,45.

τελώνου ὑπάρχει τίποτε ἄλλο χειρότερον, οὔτε ἀπὸ τὴν ἁλιείαν πιὸ εὐτελές. Τὸ ὅτι δὲ καὶ ὁ Φίλιππος ἦτο ἀπὸ τοὺς πάρα πολὺ ἀσήμους, καθίσταται φανερὸν ἀπὸ τὴν πατρίδα του[6]. Διὰ τοῦτο κατ' ἐξοχὴν αὐτοὺς μᾶς περιγράφουν οἱ εὐαγγελισταὶ μαζὶ μὲ τὰ ἐπαγγέλματά των, μὲ σκοπὸν δηλαδὴ νὰ μᾶς καταστήσουν γνωστὸν ὅτι πρέπει νὰ τοὺς πιστεύωμεν καὶ ὅταν μᾶς περιγράφουν καταπληκτικὰ γεγονότα. Διότι αὐτοὶ ποὺ ἔκριναν σκόπιμον νὰ μὴ παραλείψουν τίποτε ἀπὸ αὐτὰ ποῦ θεωροῦνται ἀτιμωτικά, ἀλλὰ πρὶν ἀπὸ τὰ ἄλλα μᾶς περιγράφουν αὐτὰ μὲ ἀπόλυτον ἀκρίβειαν, καὶ αὐτὰ ποὺ ἀναφέρονται εἰς τὸν Διδάσκαλόν των καὶ αὐτὰ ποὺ ἀναφέρονται εἰς τοὺς μαθητάς, πῶς θὰ ἦτο δυνατὸν νὰ θεωρηθοῦν ὕποπτοι περιγράφοντες ὑπερφυσικὰ γεγονότα; καὶ μάλιστα ὅταν παραλείπουν μὲν πολλὰ σημεῖα καὶ θαύματα, ὅμως περιγράφουν περιτράνως καὶ μὲ ἀπόλυτον ἀκρίβειαν τὰ πάθη τοῦ Χριστοῦ ἐπάνω εἰς τὸν σταυρόν, τὰ ὁποῖα ἐθεωροῦντο ἀτιμωτικά, καθὼς ἐπίσης καὶ ὅταν ἀποκαλύπτουν κατὰ τρόπον περίλαμπρον τὰ ἐπαγγέλματα καὶ τὰ ἐλαττώματα τῶν μαθητῶν καὶ τοὺς προγόνους τοῦ Διδασκάλου των, ποὺ ὅλοι ἐγνώριζαν τὰ ἁμαρτήματά των; Ἑπομένως εἶναι ὁλοφάνερον ὅτι διηγοῦντο τὰ γεγονότα μὲ πολλὴν ἀλήθειαν, καὶ τίποτε δὲν ἔγραφαν πρὸς χάριν κάποιου οὔτε πρὸς ἐπίδειξιν.

2. Ἀφοῦ λοιπὸν τὸν προσεκάλεσε τὸν ἐτίμησε μὲ πάρα πολὺ μεγάλην τιμὴν μὲ τὸ γεγονὸς ὅτι ἀμέσως παρεκάθησεν εἰς γεῦμα μαζὶ μὲ αὐτόν· διότι κατ' αὐτὸν τὸν τρόπον τὸν ἔκαμε καὶ νὰ εὐελπιστῇ διὰ τὸ μέλλον καὶ τοῦ ἐνέβαλε περισσότερον θάρρος. Διότι τοῦ ἐθεράπευσε τὴν κακίαν ἀμέσως καὶ ὄχι μετὰ ἀπὸ πολὺν χρόνον. Καὶ δὲν παρεκάθησεν εἰς τὸ τραπέζι μόνον μὲ αὐτόν, ἀλλὰ μαζὶ μὲ πολλοὺς ἄλλους, μολονότι καὶ αὐτὴ ἡ ἐνέργειά του ἐθεωρεῖτο ὡς ἔγκλημα, καθ' ὅσον δὲν ἐξεδίωξε τοὺς ἁμαρτωλούς. Ἀλλὰ οὔτε καὶ αὐτὸ τὸ ἀποκρύπτουν, οἱ ἐχθροὶ ὅμως τοῦ Κυ-

σιν, οἷα ἐπισκήπτειν ἐπιχειροῦσι τοῖς παρ' αὐτοῦ γινομένοις.

Συνέρχονται δὲ οἱ τελῶναι ὡς πρὸς ὁμότεχνον· ἐγκαλλωπιζόμενος γὰρ τῇ εἰσόδῳ τῇ τοῦ Χριστοῦ, πάντας αὐτοὺς συνεκάλεσε. Καὶ γὰρ πᾶν εἶδος θεραπείας ὁ Χριστὸς 5 *ἐκίνει, καὶ οὐχὶ διαλεγόμενος μόνον, οὐδὲ θεραπεύων, οὐδὲ ἐλέγχων τοὺς ἐχθρούς, ἀλλὰ καὶ ἀριστῶν διώρθου πολλοὺς τῶν κακῶς διακειμένων· διὰ τούτων διδάσκων ἡμᾶς ὅτι πᾶς καιρὸς καὶ πᾶν ἔργον δύναται παρέχειν ἡμῖν τὴν ὠφέλειαν.*

Καίτοιγε τὰ παρακείμενα τότε ἐξ ἀδικίας ἦν καὶ πλεο- 10 *νεξίας· ἀλλ' οὐ παρῃτήσατο ὁ Χριστὸς αὐτῶν μετασχεῖν, ἐπειδὴ μέγα τὸ κέρδος ἐντεῦθεν ἔμελλε γίνεσθαι, ἀλλὰ καὶ ὁμορόφιος καὶ ὁμοτράπεζος γίνεται τοῖς τοιαῦτα πεπλημμεληκόσι. Τοιοῦτος γὰρ ὁ ἰατρός· ἂν μὴ ἀνάσχηται τῆς σηπεδόνος τῶν καμνόντων, οὐκ ἀπαλλάττει τῆς ἀρρωστίας αὐ-* 15 *τούς. Καίτοιγε πονηρὰν ἐντεῦθεν ἔλαβε δόξαν, καὶ τῷ μετ' αὐτοῦ φαγεῖν καὶ τῷ ἐν τῇ οἰκίᾳ τῇ ἐκείνου καὶ τῷ μετὰ πολλῶν τελωνῶν. Ὅρα γοῦν αὐτοὺς τοῦτο ὀνειδίζοντας· «Ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης, τελωνῶν φίλος καὶ ἁμαρτωλῶν». Ἀκουέτωσαν ὅσοι μεγάλην ἐπὶ νηστείᾳ δόξαν* 20 *ἑαυτοῖς περιτιθέναι σπουδάζουσιν, καὶ ἐννοείτωσαν ὅτι ὁ Δεσπότης ἡμῶν φάγος καὶ οἰνοπότης ἐκλήθη, καὶ οὐκ ᾐσχύνετο, ἀλλὰ πάντων ὑπερεώρα τούτων, ἵνα τὸ προκείμενον*

---

7. Ματθ. 11, 19.

ρίου ἐπιχειροῦν νὰ τὸν κατηγορήσουν δι' αὐτάς του τὰς ἐνεργείας.

Συγκεντρώνονται δὲ οἱ τελῶναι εἰς τὸν οἶκον τοῦ Ματθαίου ὡς ἔχοντες τὸ αὐτὸ ἐπάγγελμα μὲ αὐτόν· διότι αὐτὸς γεμᾶτος ἀπὸ ὑπερηφάνειαν ἐξ αἰτίας τοῦ ἐρχομοῦ τοῦ Χριστοῦ εἰς τὸν οἶκόν του, τοὺς προσεκάλεσεν ὅλους. Καθόσον ὁ Χριστὸς ἐχρησιμοποίει κάθε εἶδος θεραπείας, καὶ ὄχι μόνον ὅταν ἐδίδασκεν, οὔτε ὅταν ἐθεράπευεν, οὔτε ὅταν ἤλεγχε τοὺς ἐχθρούς του, ἀλλὰ καὶ τρώγων διώρθωνε πολλοὺς ἀπὸ τοὺς κακοὺς ἀνθρώπους. Δι' ὅλων αὐτῶν μᾶς διδάσκει, ὅτι κάθε στιγμὴ καὶ κάθε ἐνέργειά μας ἠμπορεῖ νὰ μᾶς παράσχῃ τὴν ὠφέλειαν.

Μολονότι, βέβαια, τὰ παρατεθέντα τότε εἰς τὴν τράπεζαν προήρχοντο ἀπὸ ἀδικίας καὶ πλεονεξίας, παρὰ ταῦτα ὁ Χριστὸς δὲν ἠρνήθη νὰ μετάσχῃ εἰς αὐτά, ἐπειδὴ ἐπρόκειτο νὰ προκύψῃ ἀπὸ ἐκεῖ μεγάλη ὠφέλεια, καὶ διὰ τὸν λόγον αὐτὸν προσέρχεται εἰς τὸν αὐτὸν οἶκον καὶ παρακάθεται εἰς τὴν ἰδίαν τράπεζαν μὲ αὐτοὺς ποὺ εἶχαν διαπράξει αὐτοῦ τοῦ εἴδους τὰς ἀδικίας. Τέτοιος πρέπει νὰ εἶναι ὁ γιατρός· διότι ἐὰν δὲν εἶναι εἰς θέσιν ν' ἀνεχθῇ τὴν βρωμιὰν τῶν ἀσθενῶν, δὲν ἠμπορεῖ νὰ τοὺς ἀπαλλάξῃ ἀπὸ τὴν ἀσθένειάν των. Καὶ βεβαίως ἀπ' αὐτὴν τὴν πρᾶξίν του ἀπέκτησε κακὴν φήμην καὶ ἐπειδὴ ἔφαγε μαζὶ μ' αὐτόν, καὶ ἐπειδὴ τὸ γεγονὸς αὐτὸ ἔλαβε χώραν εἰς τὴν οἰκίαν ἐκείνου, καὶ ἐπειδὴ συνέφαγε μαζὶ μὲ πολλοὺς ἄλλους τελώνας. Πρόσεξε λοιπὸν τοὺς ἐχθρούς του οἱ ὁποῖοι τὸν κατηγόρησαν δι' αὐτὴν τὴν πρᾶξίν του· «Ὁρίστε ἕνας ἄνθρωπος φαγᾶς καὶ οἰνοπότης, καὶ ποὺ εἶναι φίλος τῶν τελωνῶν καὶ τῶν ἁμαρτωλῶν»[7]. Ἂς τὸ ἀκούσουν αὐτὸ ὅσοι προσπαθοῦν μὲ τὴν νηστείαν των νὰ συγκεντρώσουν διὰ τὸν ἑαυτόν των μεγάλην φήμην καὶ ἂς τὸ ἐννοήσουν καλὰ ὅτι ὁ Κύριος ἡμῶν ὠνομάσθη φαγᾶς καὶ οἰνοπότης, καὶ δὲν ἐντρέπετο δι' αὐτό, ἀλλ' ἀντιθέτως ὅλα αὐτὰ τὰ παρέβλεπε διὰ νὰ φθάσῃ εἰς τὸν ἐπιδιωκόμενον σκοπόν του· πρᾶγμα λοιπὸν καὶ ποὺ

ἀνύσῃ ὅπερ οὖν καὶ ἐγένετο. Καὶ γὰρ καὶ μετεβάλετο ὁ τελώνης, καὶ βελτίων οὕτως ἐγένετο. Καὶ ἵνα μάθῃς, ὅτι μέγα τοῦτο ἤνυσε τὸ κοινωνῆσαι αὐτῷ τῆς τραπέζης, ἄκουσον τί φησιν ὁ Ζακχαῖος ἕτερος πάλιν τελώνης. Ἐπειδὴ γὰρ
5 *ἤκουσε τοῦ Χριστοῦ λέγοντος, «Σήμερον ἐν τῷ οἴκῳ σου δεῖ με μεῖναι», ὑπὸ τῆς ἡδονῆς πτερωθείς, «Τὰ ἡμίση τῶν ὑπαρχόντων μοι δήδωμι πτωχοῖς», φησί, «καὶ εἴ τινός τι ἐσυκοφάντησα, ἀποδίδωμι τετραπλοῦν». Καὶ πρὸς αὐτὸν ὁ Ἰησοῦς φησι· «Σήμερον σωτηρία τῷ οἴκῳ τούτῳ ἐγένετο».*
10 *Οὕτω διὰ πάντων ἔνεστι παιδεύειν.*

Καὶ πῶς ὁ Παῦλος, φησί, κελεύει, «Ἐάν τις, ἀδελφὸς ὀνομαζόμενος ἢ πόρνος ἢ πλεονέκτης, τῷ τοιούτῳ μηδὲ συνεσθίειν»; Μάλιστα μὲν οὔπω δῆλον, εἰ καὶ διδασκάλοις ταῦτα παραινεῖ, ἀλλ' οὐχὶ ἀδελφοῖς μόνοις. Ἔπειτα, οὗτοι οὔ-
15 *πω τῶν ἀπηρτισμένων ἦσαν, οὐδὲ ἀδελφῶν γεγενημένων. Πρὸς δὲ τούτοις ὁ Παῦλος καὶ τοὺς ἀδελφοὺς γεγενημένους τότε ἀποστρέφεσθαι κελεύει, ὅταν ἐπιμένωσιν· οὗτοι δὲ ἦσαν παυσάμενοι λοιπὸν καὶ μεταβαλόμενοι. Ἀλλ' οὐδὲν τούτων τοὺς Φαρισαίους ἐνέτρεψεν, ἀλλ' ἐγκαλοῦσι τοῖς μαθη-*
20 *ταῖς λέγοντες· «Διατί μετὰ τελωνῶν καὶ ἁμαρτωλῶν ἐσθίει ὁ διδάσκαλος ὑμῶν;». Καὶ ὅταν μὲν αὐτοὶ δοκῶσιν ἁμαρτάνειν, αὐτῷ ἐντυγχάνουσι λέγοντες· «Ἰδοὺ οἱ μαθηταί σου ποιοῦσιν ὃ οὐκ ἔξεστι ποιεῖν ἐν Σαββάτῳ»· ἐνταῦθα δὲ πρὸς αὐτοὺς αὐτὸν διαβάλλουσιν. Ἅπερ πάντα κακουργούντων*
25 *ἦν καὶ βουλομένων ἀπορρῆξαι τοῦ διδασκάλου τὸν χορὸν*

---

8. Λουκᾶ 19, 5.
9. Λουκᾶ 19, 8.
10. Λουκᾶ 19, 9.
11. Α' Κορ. 5, 11.
12. Ματθ. 12, 2.

συνέβη. Καθόσον βέβαια καὶ μετενόησεν ὁ τελώνης καὶ ἔγινεν ἔτσι καλύτερος. Καὶ διὰ νὰ πληροφορηθῇς ὅτι ἡ πρᾶξίς του αὐτή, τὸ ὅτι δηλαδὴ συνέφαγε μετ' αὐτοῦ, ὠφέλησεν εἰς μεγάλον βαθμόν, ἄκουσε τί λέγει ὁ Ζακχαῖος, ποὺ ἦτο καὶ αὐτὸς τελώνης. Ἐπειδὴ δηλαδὴ ἤκουσε τὸν Χριστὸν νὰ λέγῃ, «Σήμερα πρέπει νὰ μείνω εἰς τὸν οἶκόν σου»[8], πετῶν ἀπὸ τὴν χαράν του λέγει· «Τὰ μισὰ ἀπὸ τὰ ὑπάρχοντά μου τὰ δίδω εἰς τοὺς πτωχούς, καὶ ἐὰν κάποιον συνέβη νὰ τὸν συκοφαντήσω τοῦ τὰ ἐπιστρέφω εἰς τετραπλοῦν»[9]. Τότε ὁ Ἰησοῦς λέγει εἰς αὐτόν· «Σήμερα ἐπῆλθε σωτηρία εἰς αὐτὸν τὸν οἶκον»[10]. Ἔτσι πρέπει κανεὶς νὰ διδάσκῃ διὰ μέσου ὅλων τῶν πράξεών του.

Ἀλλ' ὅμως πῶς συμβαίνει, θὰ εἰπῇ κανείς, ὁ Παῦλος νὰ παραγγέλῃ, «ἐὰν κάποιος ποὺ ὀνομάζεται ἀδελφὸς συμβαίνῃ νὰ εἶναι πόρνος ἢ πλεονέκτης δὲν πρέπει κανεὶς νὰ συντρώγῃ μὲ αὐτόν»[11]; Καὶ βεβαίως τὰ λέγει αὐτά, ἀλλ' ὅμως δὲν εἶναι φανερὸν ἐὰν αὐτὰ τὰ παραγγέλῃ καὶ πρὸς τοὺς διδασκάλους καὶ ὄχι μόνον πρὸς τοὺς ἀδελφοὺς χριστιανούς. Ἐξ ἄλλου αὐτοὶ δὲν ἦσαν ἀκόμη τέλειοι πνευματικῶς, οὔτε συμπεριελαμβάνοντο μεταξὺ τῶν ἀδελφῶν. Ἐπὶ πλέον ὅμως ὁ Παῦλος καὶ αὐτοὺς ποὺ εἶχαν γίνει χριστιανοὶ παραγγέλλει νὰ τοὺς ἀποστρέφωνται ὅταν ἐπιμένουν ν' ἁμαρτάνουν. Αὐτοὶ ὅμως εἶχαν παύσει ν' ἁμαρτάνουν εἰς τὸ ἑξῆς καὶ εἶχαν μεταβληθῆ τελείως. Ἀλλὰ τίποτε ἀπὸ αὐτὰ δὲν ἔκαμε τοὺς Φαρισαίους νὰ συνετισθοῦν ἀλλ' ἀντιθέτως κατηγοροῦν τοὺς μαθητὰς λέγοντες· «Διατί ὁ διδάσκαλός σας τρώγει μαζὶ μὲ τοὺς τελώνας καὶ τοὺς ἁμαρτωλούς;». Καὶ ὅταν πάλιν αὐτοὶ νομίζουν ὅτι οἱ μαθηταὶ ἁμαρτάνουν κατηγοροῦν αὐτὸν λέγοντες· «Ἰδοὺ οἱ μαθηταί σου κάμνουν αὐτὸ ποὺ δὲν ἐπιτρέπεται νὰ τὸ κάμουν τὸ Σάββατον»[12]· εἰς αὐτὴν τὴν περίπτωσιν ὅμως συκοφαντοῦν εἰς αὐτοὺς τὸν Διδάσκαλόν των. Ὅλα αὐτὰ ἀκριβῶς ἦσαν ἐνέργειαι ἀνθρώπων κακούργων, οἱ ὁποῖοι ἤθελαν ν' ἀπομακρύνουν ἀπὸ τὸν διδάσκαλον τὴν ὁμάδα τῶν μαθη-

*τῶν μαθητῶν. Τί οὖν ἡ ἄπειρος σοφία; «Οὐ χρείαν ἔχουσι», φησίν, «οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες». Ὅρα πῶς αὐτῶν εἰς τοὐναντίον περιέτρεψε τὸν λόγον. Ἐκεῖνοι μὲν γὰρ ἔγκλημα ἐποιοῦντο τὸ συγγίνεσθαι αὐτὸν
5 τούτοις· αὐτὸς δὲ τοὐναντίον φησίν, ὅτι τὸ μὴ συγγίνεσθαι ἀνάξιον αὐτοῦ, καὶ τῆς αὐτοῦ φιλανθρωπίας· καὶ οὐ μόνον ἐγκλήματος ἐκτὸς τὸ τοὺς τοιούτους διορθοῦν, ἀλλὰ προηγούμενον καὶ ἀναγκαῖον καὶ μυρίων ἄξιον ἐπαίνων.*

*Εἶτα, ἵνα μὴ δόξῃ καταισχύνειν τοὺς κληθέντας τῷ λέ-
10 γειν, «Οἱ κακῶς ἔχοντες», ὅρα πῶς αὐτὸ παραμυθεῖται πάλιν, ἐπιτιμῶν αὐτοῖς καὶ λέγων· «Πορευθέντες δὲ μάθετε τί ἐστιν· ἔλεον θέλω καὶ οὐ θυσίαν». Τοῦτο δὲ ἔλεγε, τὴν τῶν Γραφῶν ἄγνοιαν αὐτοῖς ὀνειδίζων. Διὸ καὶ πληκτικώτερον κέχρηται τῷ λόγῳ, οὐχὶ αὐτὸς ὀργιζόμενος· μὴ γένοι-
15 το· ἀλλ' ὥστε ἐκείνους μὴ ἐξαπορηθῆναι. Καίτοιγε ἠδύνατο εἰπεῖν· οὐκ ἐνενοήσατε, πῶς ἔλυσα τὰς ἁμαρτίας τοῦ παραλυτικοῦ; πῶς τὸ σῶμα ἔσφιγξα; Ἀλλ' οὐ λέγει τούτων οὐδέν· ἀλλ' ἀπὸ τῶν κοινῶν λογισμῶν πρῶτον αὐτοῖς διαλέγεται, καὶ τότε ἀπὸ τῶν Γραφῶν. Εἰπὼν γάρ, «Οὐ χρείαν
20 ἔχουσιν οἱ ἰσχύοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες», καὶ λανθανόντως δείξας ἑαυτὸν ὄντα τὸν ἰατρόν, τότε εἶπε· «Πορευθέντες μάθετε τί ἐστιν· ἔλεον θέλω καὶ οὐ θυσίαν».*

*Οὕτω καὶ ὁ Παῦλος ποιεῖ. Πρότερον ἀπὸ τῶν κοινῶν παραδειγμάτων τὸν λόγον κατασκευάσας, καὶ εἰπών· «Τίς
25 ποιμαίνει ποίμνην καὶ ἐκ τοῦ γάλακτος αὐτῆς οὐκ ἐσθίει;», τότε καὶ τὰς Γραφὰς ἐπήγαγε λέγων· «Ἐν γὰρ τῷ νόμῳ*

13. Ματθ. 9, 13. Ὠσ. 6, 6.
14. Α' Κορ. 9, 7.

των. Καὶ τί τοὺς ἀπαντᾷ ἡ ἄπειρος σοφία; «Δὲν ἔχουν», τοὺς λέγει, «ἀνάγκην ἀπὸ ἰατρὸν οἱ ὑγιεῖς, ἀλλ' ἐκεῖνοι ποὺ εἶναι ἀσθενεῖς». Πρόσεξε πῶς μετέβαλε τὴν κατηγορίαν των καὶ τῆς ἔδωσεν ἀντίθετον περιεχόμενον. Διότι ἐκεῖνοι μὲν ἐθεώρουν ἔγκλημα τὴν συναναστροφὴν αὐτοῦ μὲ τοὺς ἀνθρώπους αὐτοῦ τοῦ εἴδους, ἐνῷ αὐτὸς ἀντιθέτως λέγει, ὅτι τὸ νὰ μὴ συναναστρέφεται αὐτοὺς εἶναι κάτι ποὺ δὲν ἁρμόζει εἰς αὐτὸν καὶ εἰς τὴν φιλανθρωπίαν του· καὶ ὄχι μόνον δὲν εἶναι ἔγκλημα τὸ νὰ διορθώνῃ τοὺς ἀνθρώπους αὐτοῦ τοῦ εἴδους, ἀλλ' εἶναι κάτι ποὺ ἔχει πρωταρχικὴν σημασίαν, ποὺ ἐπιβάλλεται νὰ γίνεται καὶ ποὺ εἶναι ἄξιον πολλῶν ἐπαίνων.

'Ακολούθως διὰ νὰ μὴ φανῇ ὅτι προσβάλλει τοὺς προσκεκλημένους μὲ τοὺς λόγους «αὐτοὶ ποὺ εἶναι ἀσθενεῖς», πρόσεξε πῶς τὸ μετριάζει αὐτὸ πάλιν, ψέγων αὐτοὺς καὶ λέγων· «Πηγαίνετε δὲ καὶ μάθετε τί σημαίνει, 'Αγάπην θέλω καὶ ὄχι θυσίαν»[13]. Αὐτὸ δὲ τὸ ἔλεγε ψέγων αὐτοὺς διὰ τὴν ἄγνοιαν τῶν Γραφῶν ἐκ μέρους των. Διὰ τοῦτο καὶ χρησιμοποιεῖ τὸν λόγον μὲ περισσοτέραν αὐστηρότητα, ὄχι ἐπειδὴ ὀργίζεται, μὴ γένοιτο, ἀλλὰ διὰ νὰ περιέλθουν αὐτοὶ εἰς πλήρη ἀμηχανίαν. Μολονότι, βέβαια, ἠμποροῦσε νὰ εἴπῃ· 'Δὲν ἀντελήφθητε πῶς συνεχώρησα τὰς ἁμαρτίας τοῦ παραλύτου; πῶς ἐθεράπευσα τὸ σῶμά του;'. Ὅμως δὲν λέγει τίποτε ἀπὸ αὐτά ἀλλὰ κατ' ἀρχὴν συνομιλεῖ μαζί των χρησιμοποιῶν κοινοὺς συλλογισμοὺς καὶ εἰς τὴν συνέχειαν κάμνει χρῆσιν τῶν μαρτυριῶν τῆς Γραφῆς. Διότι ἀφοῦ εἶπε, «Δὲν ἔχουν ἀνάγκην οἱ ὑγιεῖς ἀπὸ ἰατρόν, ἀλλ' οἱ ἀσθενεῖς», καὶ τοὺς ἐφανέρωσε κατὰ τρόπον κεκαλυμμένον ὅτι αὐτὸς εἶναι ὁ ἰατρός, τότε προσέθεσε· «Πηγαίνετε καὶ μάθετε τί σημαίνει, 'Αγάπην θέλω καὶ ὄχι θυσίαν».

Κατὰ τὸν ἴδιον τρόπον ἐνεργεῖ καὶ ὁ Παῦλος. Κατ' ἀρχὴν δηλαδὴ ἀφοῦ ἐχρησιμοποίησεν εἰς τὸν λόγον του κοινὰ παραδείγματα καὶ εἶπε· «Ποῖος ποιμὴν βόσκει τὸ ποίμνιόν του καὶ δὲν τρέφεται ἀπὸ τὸ γάλα αὐτοῦ;»[14], τότε προσέθε-

Μωϋσέως γέγραπται, οὐ φιμώσεις βοῦν ἀλοῶντα»· καὶ πάλιν, «Οὕτως ὁ Κύριος διέταξε τοῖς τὸ εὐαγγέλιον καταγγέλλουσιν, ἐκ τοῦ εὐαγγελίου ζῆν».

Πρὸς δὲ τοὺς μαθητὰς οὐχ οὕτως· ἀλλὰ τῶν σημείων
5 *ἀναμιμνήσκει οὕτω λέγων· «Οὔπω μνημονεύετε τοὺς πέντε ἄρτους τῶν πεντακισχιλίων, καὶ πόσους κοφίνους ἐλάβετε;».*

3. Ἀλλ' οὐ πρὸς τούτους οὕτως· ἀλλὰ τῆς ἀσθενείας ἀναμιμνήσκει τῆς κοινῆς καὶ δείκνυσι καὶ αὐτοὺς ὄντας
10 *τῶν ἀσθενούντων, οἵγε οὐδὲ τὰς Γραφὰς ᾔδεσαν καὶ πάσης τῆς λοιπῆς ἀμελοῦντες ἀρετῆς, ἐν ταῖς θυσίαις τὸ πᾶν ἐτίθεντο· ὃ καὶ σφόδρα αὐτοὺς αἰνιττόμενος, τὸ διὰ τῶν προφητῶν πάντων εἰρημένον ἐν βραχεῖ τίθησι, λέγων· «Μάθετε τί ἐστιν· ἔλεον θέλω καὶ οὐ θυσίαν». Διὰ γὰρ τού-*
15 *των δείκνυσιν οὐκ αὐτὸν ὄντα τὸν παρανομοῦντα, ἀλλ' ἐκείνους· ὡσανεὶ ἔλεγε· τίνος ἕνεκεν ἐγκαλεῖτέ μοι; ὅτι ἁμαρτωλοὺς διορθοῦμαι; Οὐκοῦν καὶ τῷ Πατρὶ τοῦτο ἐγκαλέσετε. Ὅπερ οὖν καὶ ἀλλαχοῦ τοῦτο κατασκευάζων ἔλεγεν· «Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι»· καὶ*
20 *ἐνταῦθα πάλιν· «Πορευθέντες μάθετε τί ἐστιν· ἔλεον θέλω καὶ οὐ θυσίαν». Ὥσπερ γὰρ ἐκεῖνος τοῦτο βούλεται, φησίν, οὕτω καὶ ἐγώ. Ὁρᾷς πῶς ἐκεῖνα μὲν περιττά, ταῦτα δὲ ἀναγκαῖα; Οὐδὲ γὰρ εἶπεν, ἔλεον θέλω καὶ θυσίαν· ἀλλ', «Ἔλεον θέλω καὶ οὐ θυσίαν». Τὸ μὲν γὰρ ἐνέκρινε, τὸ δὲ*

---

15. Α' Κορ. 9, 9. Λευτ. 25, 4.
16. Α' Κορ. 9, 14.
17. Ματθ. 16, 9.
18. Ἰω. 5, 17.

σε καὶ τὰ παραδείγματα ἀπὸ τὰς Γραφὰς λέγων· «Διότι εἰς τὸν νόμον τοῦ Μωϋσέως ἔχει γραφῆ· Δὲν θὰ κλείσῃς τὸ στόμα τοῦ βοδιοῦ ποὺ ἁλωνίζει»[15]· καὶ πάλιν· «Τοιαύτην ἐντολὴν ἔδωσεν ὁ Κύριος εἰς αὐτοὺς ποὺ κηρύσσουν τὸ Εὐαγγέλιον, νὰ ζοῦν ἀπὸ τὰς προσφορὰς τῶν εὐαγγελιζομένων»[16].

Ἀντιθέτως πρὸς τοὺς μαθητάς του ὁ Κύριος δὲν ὁμιλεῖ κατὰ τὸν ἴδιον τρόπον ποὺ ὡμίλει πρὸς τοὺς ἐχθρούς του, ἀλλὰ τοὺς ὑπενθυμίζει τὰ θαύματα λέγων τὰ ἑξῆς· «Δὲν ἐνθυμεῖσθε τοὺς πέντε ἄρτους μὲ τοὺς ὁποίους ἐχορτάσθησαν πέντε χιλιάδες καὶ πόσα κοφίνια περισσεύματα ἐλάβατε;»[17].

3. Πρὸς τοὺς ἐχθρούς του ὅμως δὲν ὁμιλεῖ κατὰ τὸν αὐτὸν τρόπον, ἀλλ' ἀντιθέτως τοὺς ὑπενθυμίζει τὴν κοινὴν ἀδυναμίαν τῶν ἀνθρώπων καὶ τοὺς ἀποδεικνύει ὅτι καὶ αὐτοὶ εἶναι ἀσθενεῖς, οἱ ὁποῖοι βεβαίως οὔτε τὰς Γραφὰς ἐγνώρισαν καλῶς, καὶ παραμελοῦντες ὅλας γενικῶς τὰς ὑπολοίπους ἀρετάς, ἔρριπτον ὅλο τὸ βάρος εἰς τὰς θυσίας· καὶ ὑπονοῶν βεβαίως αὐτὸ ὅταν ὡμίλει πρὸς αὐτοὺς τοὺς ἀναφέρει ἐν συντομίᾳ αὐτὸ ποὺ ἐκηρύχθη ὑφ' ὅλων τῶν προφητῶν, λέγων· «Μάθετε τὴν σημασίαν τοῦ· Ἀγάπην θέλω καὶ ὄχι θυσίαν». Διότι μὲ τοὺς λόγους αὐτοὺς ἀποδεικνύει ὅτι δὲν εἶναι αὐτὸς ἐκεῖνος ποὺ παρανομεῖ, ἀλλ' αὐτοὶ οἱ ἴδιοι· ὡσὰν δηλαδὴ νὰ τοὺς ἔλεγε· 'Διὰ ποῖον λόγον μὲ κατηγορεῖτε; ἐπειδὴ ἐξαλείφω τὰς ἁμαρτίας τῶν ἁμαρτωλῶν; Θὰ κατηγορήσετε ἑπομένως καὶ τὸν Πατέρα διὰ τὸ ἴδιο πρᾶγμα'. Αὐτὸ ἀκριβῶς καὶ εἰς ἄλλην περίπτωσιν ἀποδεικνύων ἔλεγεν· «Ὁ Πατήρ μου ἐργάζεται ἕως τώρα, καὶ ἐγὼ ἐργάζομαι ἐπίσης»[18]· καὶ εἰς τὴν προκειμένην περίπτωσιν λέγει πάλιν· «Πηγαίνετε καὶ μάθετε τί σημαίνει, Ἀγάπην θέλω καὶ ὄχι θυσίαν». Διότι ὅπως ἀκριβῶς, λέγει, ὁ Πατὴρ θέλει αὐτὸ ἔτσι τὸ θέλω καὶ ἐγώ. Ἀντιλαμβάνεσαι ὅτι ἐκεῖνα μὲν εἶναι περιττά, ἐνῷ αὐτὰ ἀναγκαῖα; Διότι δὲν εἶπεν, 'Ἀγάπην θέλω καὶ θυσίαν,' ἀλλὰ «Ἀγάπην θέλω καὶ ὄχι θυσίαν». Διότι τὸ μὲν ἕνα τὸ ἐνέκρινε, τὸ δὲ ἄλλο

ἐξέβαλε· καὶ ἀπέδειξεν οὐ μόνον οὐ κεκωλυμένον ὅπερ ἐνεκάλουν, ἀλλὰ καὶ νενομοθετημένον καὶ μᾶλλον τῆς θυσίας· καὶ τὴν παλαιὰν αὐτὴν εἰσάγει συνῳδὰ αὐτῷ φθεγγομένην καὶ νομοθετοῦσαν.

5 *Καθαψάμενος τοίνυν αὐτῶν καὶ ἀπὸ τῶν κοινῶν ὑποδειγμάτων καὶ ἀπὸ τῶν Γραφῶν, ἐπάγει πάλιν· «Οὐκ ἦλθον καλέσαι δικαίους, ἀλλ' ἁμαρτωλοὺς εἰς μετάνοιαν». Ταῦτα δὲ εἰρωνευόμενος πρὸς αὐτοὺς λέγει, ὡς ὅταν λέγῃ· «Ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν»· καὶ πάλιν, «Ἐὰν πεινάσω,* 10 *οὐ μή σοι εἴπω». Ὅτι γὰρ οὐδεὶς δίκαιος ἦν ἐπὶ τῆς γῆς, Παῦλος ἐδήλωσεν εἰπών· «Πάντες γὰρ ἥμαρτον καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ». Τοῦτο δὲ καὶ ἐκείνους παρεμυθήσατο τοὺς κεκλημένους. Τοσοῦτον γὰρ ἀπέχω, φησί, τοῦ βδελύξασθαι ἁμαρτωλούς, ὅτι καὶ δι' αὐτοὺς παραγέ-* 15 *γονα μόνους. Εἶτα, ἵνα μὴ ὑπτιωτέρους ἐργάσηται, εἰπὼν ἁμαρτωλούς, οὐκ ἐσίγησεν, ἀλλὰ προσέθηκεν, «Εἰς μετάνοιαν». Οὐ γὰρ ὥστε ἁμαρτωλοὺς μεῖναι παρεγενόμην, ἀλλ' ὥστε μεταβαλέσθαι καὶ γενέσθαι βελτίους.*

Ἐπεὶ οὖν πάντοθεν ἐπεστόμισε, καὶ ἀπὸ τῶν Γραφῶν 20 *καὶ ἀπὸ τῆς τῶν πραγμάτων ἀκολουθίας καὶ οὐδὲν ἔσχον εἰπεῖν, ὑπεύθυνοι τοῖς ἐγκλήμασι φανέντες, οἷς ἐπήγαγον αὐτῷ, καὶ ἐναντίοι τῷ νόμῳ καὶ τῇ Παλαιᾷ, ἀφέντες αὐτόν, πάλιν ἐπὶ τοὺς μαθητὰς τὸ ἔγκλημα μεταφέρουσι.*

Καὶ ὁ μὲν Λουκᾶς φησιν, ὅτι οἱ Φαρισαῖοι εἶπον· οὗτος 25 *δέ, ὅτι οἱ μαθηταὶ Ἰωάννου· εἰκὸς δὲ καὶ ἀμφοτέρους ταῦτα εἰρηκέναι. Ἐξαπορηθέντες γὰρ ἐκείνους, ὡς εἰκός, μεθ'*

---

19. Γεν. 3, 22.
20. Ψαλμ. 49, 12.
21. Ρωμ. 3, 23.
22. Προλ. Λουκᾶ 5, 33.

τὸ ἀπέρριψε, καὶ ἀπέδειξεν ὅτι ὄχι μόνον δὲν εἶναι ἀπηγορευμένον αὐτὸ διὰ τὸ ὁποῖον ἐκατηγορεῖτο, ἀλλὰ καὶ διδάσκεται ἀπὸ τὸν νόμον καὶ μάλιστα εἶναι ἀνώτερον ἀπὸ τὴν θυσίαν· παρουσιάζει δηλαδὴ καὶ τὴν Παλαιὰν Διαθήκην ὡς συμφωνοῦσαν μὲ αὐτὰ ποὺ λέγει καὶ περιλαμβάνουσα αὐτὰ εἰς νόμον.

Ἀφοῦ λοιπὸν τοὺς ἔψεξε μὲ μαρτυρίας στηριζομένας εἰς κοινὰ παραδείγματα καὶ εἰς τὰς Γραφάς, προσθέτει πάλιν· «Δὲν ἦλθα νὰ καλέσω δικαίους, ἀλλὰ ἁμαρτωλοὺς διὰ νὰ μετανοήσουν». Αὐτὰ δὲ τοὺς τὰ λέγει ὡσὰν νὰ τοὺς εἰρωνεύεται, ὅπως ὅταν λέγῃ· «Ἰδοὺ ὁ Ἀδὰμ ἔχει γίνει ὡσὰν ἕνας ἀπὸ σᾶς»[19]· καὶ πάλιν· «Ἐὰν πεινάσω δὲν θὰ σοῦ τὸ εἰπῶ»[20]. Διότι τὸ ὅτι δὲν ὑπῆρχε κανεὶς δίκαιος ἐπάνω εἰς τὴν γῆν τὸ ἐδήλωσεν ὁ Παῦλος διὰ τῶν ἑξῆς· «Διότι ὅλοι ἡμάρτησαν καὶ δὲν εἶναι ἱκανοὶ διὰ τὴν δόξαν τοῦ Θεοῦ»[21]. Μ' αὐτὸ δὲ παρηγόρησε καὶ ἐκείνους ποὺ εἶχον προσκληθῆ ἐκεῖ. Διότι, λέγει, τόσον πολὺ ἀπέχω ἀπὸ τοῦ νὰ αἰσθανθῶ ἀποστροφὴν διὰ τοὺς ἁμαρτωλούς· ἐξ ἄλλου δὲ δι' αὐτοὺς καὶ μόνον ἦλθα εἰς τὸν κόσμον. Ἐν συνεχείᾳ διὰ νὰ μὴ τοὺς καταστήσῃ ἀδρανεῖς περισσότερον ἐπειδὴ εἶπεν «ἁμαρτωλοὺς» δὲν ἐσιώπησεν, ἀλλὰ προσέθεσεν «εἰς μετάνοιαν». Διότι δὲν ἦλθα εἰς τὸν κόσμον διὰ νὰ παραμένουν ἁμαρτωλοί, ἀλλὰ διὰ νὰ μετανοήσουν καὶ νὰ γίνουν καλύτεροι.

Ἀφοῦ λοιπὸν τοὺς ἀπεστόμισεν ἀπὸ παντοῦ, ἐπικαλούμενος μαρτυρίας καὶ ἀπὸ τὰς Γραφὰς καὶ ἀπὸ τὰ ἀποτελέσματα αὐτῶν τῶν ἰδίων τῶν πραγμάτων, καὶ δὲν ἠμποροῦσαν τίποτε νὰ εἰποῦν, ἀποδειχθέντες ὑπεύθυνοι διὰ τὰς ἐγκληματικὰς κατηγορίας ποὺ τοῦ ἀπέδωσαν καὶ ἀντίθετοι πρὸς τὸν Μωσαϊκὸν νόμον καὶ τὴν Παλαιὰν Διαθήκην, ἀφοῦ ἄφησαν αὐτόν, μεταφέρουν πάλιν τὴν κατηγορίαν εἰς τοὺς μαθητάς.

Καὶ ὁ μὲν Λουκᾶς λέγει, ὅτι οἱ Φαρισαῖοι τὰ εἶπαν[22], ἐνῷ ὁ Ματθαῖος ὅτι οἱ μαθηταὶ τοῦ Ἰωάννου τοῦ Προδρόμου· φυσικὸν ὅμως εἶναι καὶ οἱ δύο νὰ τὰ εἶπαν. Διότι κυ-

ἑαυτῶν λαμβάνουσιν, ὅπερ καὶ ἐπὶ τῶν Ἡρωδιανῶν ὕστερον ἐποίησαν. Καὶ γὰρ ζηλοτύπως ἀεὶ πρὸς αὐτὸν εἶχον οἱ Ἰωάννου μαθηταὶ καὶ ἀπεναντίας αὐτῷ διελέγοντο· τότε μόνον ταπεινωθέντες, ὅτε ἐν ἀρχῇ τὸ δεσμωτήριον ᾤκησεν 5 Ἰωάννης. Ἐλθόντες γοῦν τότε ἀνήγγειλαν τῷ Ἰησοῦ· μετὰ δὲ ταῦτα ἐπὶ τὴν προτέραν ἐπανῆλθον βασκανίαν. Τί οὖν φασι; «Διατί ἡμεῖς καὶ οἱ Φαρισαῖοι νηστεύομεν πολλά, οἱ δὲ μαθηταί σου οὐ νηστεύουσι;». Τοῦτό ἐστι τὸ νόσημα, ὃ πάλαι ἐξέκοπτεν ὁ Χριστός, λέγων· «Ὅταν νηστεύῃς, ἄλει-10 ψαί σου τὴν κεφαλὴν καὶ τὸ πρόσωπόν σου νίψαι», τὰ ἐξ αὐτοῦ τικτόμενα κακὰ προειδώς. Ἀλλ' οὐδὲ τούτοις ἐπιτιμᾷ, οὐδὲ λέγει· ὦ κενόδοξοι καὶ περιττοί· ἀλλὰ μετὰ ἐπιεικείας αὐτοῖς ἁπάσης διαλέγεται, λέγων· «Οὐ δύνανται οἱ υἱοῦ τοῦ νυμφῶνος νηστεύειν, ἕως ἂν μετ' αὐτῶν ὁ νυμφίος 15 ἐστίν». Ὅτε μὲν γὰρ ὑπὲρ ἑτέρων ὁ λόγος ἦν, τῶν τελωνῶν λέγω, ἵνα αὐτῶν παραμυθήσηται πληγεῖσαν τὴν ψυχήν, σφοδρότερον ἐπετίμησε τοῖς ὀνειδίσασιν· ἔνθα δὲ αὐτὸν καὶ τοὺς μαθητὰς ἔσκωπτον, μετὰ ἐπιεικείας ἁπάσης ποιεῖται τὴν ἀπάντησιν.

20 *Ὃ δὲ λέγουσι, τοιοῦτόν ἐστιν· ἔστω, σύ, φησίν, ὡς ἰατρὸς ταῦτα ποιεῖς· τί καὶ οἱ μαθηταὶ τὸ νηστύειν ἀφέντες ταῖς τοιαύταις τραπέζαις προσέχουσιν; Εἶτα ἵνα μείζω ποιήσωσι τὴν κατηγορίαν, πρώτους ἑαυτοὺς τιθέασι, καὶ τότε τοὺς Φαρισαίους, τῇ συγκρίσει τὸ ἔγκλημα αὐξῆσαι βουλό-25 μενοι. Καὶ γὰρ καὶ ἡμεῖς, φησί, καὶ οἱ Φαρισαῖοι νηστεύο-*

---

23. Ἡρωδιανοί· Δὲν ἦσαν θρησκευτικὴ αἵρεσις, ἀλλὰ πολιτικὸν κόμμα ἐξ Ἰουδαίων, ὀπαδῶν τῶν νεωτεριστικῶν καὶ ἐθνικῶν τάσεων τοῦ Ἡρώδου. Πρβλ. Ματθ. 22, 16. Μάρκ. 3, 6. 12, 13. Ὑπῆρξαν μεγάλοι ἐχθροὶ τοῦ Κυρίου.
24. Ματθ. 6, 17.

ριευθέντες ἀπὸ ἀμηχανίαν οἱ Φαρισαῖοι, ὡς ἦτο φυσικόν, λαμβάνουν μὲ τὸ μέρος των καὶ τοὺς μαθητὰς τοῦ Ἰωάννου, πρᾶγμα τὸ ὁποῖον ἔκαμαν ἀργότερον καὶ μὲ τοὺς Ἡρωδιανούς[23]. Καθ' ὅσον βέβαια οἱ μαθηταὶ τοῦ Ἰωάννου πάντοτε ἔτρεφαν μῖσος πρὸς τὸν Ἰησοῦν καὶ κατὰ τὰς συνομιλίας των εἶχαν ἀντιθέτους διαθέσεις. Μόνον τότε ἐταπεινώθησαν, ὅταν ἀρχικῶς ἐφυλακίσθη ὁ Ἰωάννης. Ἀφοῦ λοιπὸν προσῆλθαν εἰς τὸν Ἰησοῦν οἱ μαθηταὶ τοῦ Ἰωάννου τοῦ ἀνέφεραν αὐτό, εἰς τὴν συνέχειαν ὅμως ἐπανῆλθαν εἰς τὸν ἀρχικόν των φθόνον. Τί τοῦ λέγουν λοιπόν; «Διατὶ ἡμεῖς καὶ οἱ Φαρισαῖοι νηστεύομεν πολύ, ἐνῷ οἱ μαθηταί σου δὲν νηστεύουν;». Αὐτὴ εἶναι ἡ ἀσθένεια, τὴν ὁποίαν ἀπὸ παλαιὰ προσεπάθει νὰ θεραπεύσῃ ὁ Χριστὸς λέγων τὰ ἑξῆς· «Ὅταν νηστεύῃς ἄλειψε τὴν κεφαλήν σου καὶ πλύνε τὸ πρόσωπόν σου»[24], διότι προεγνώριζε τὰ κακὰ ποὺ ἐκπηγάζουν ἀπὸ αὐτό. Παρὰ ταῦτα οὔτε τοὺς ἐπιπλήττει δι' αὐτὰ οὔτε τοὺς ὀνομάζει 'κενοδόξους καὶ ἀχρήστους', ἀλλὰ συζητεῖ μαζί των μὲ ὅλην τὴν ἐπιείκειάν του λέγων· «Δὲν ἠμποροῦν οἱ καλεσμένοι εἰς τὸν γάμον νὰ νηστεύουν, ὅσον χρόνον θὰ εἶναι μαζί των ὁ νυμφίος». Διότι ὅταν μὲν ἐγίνετο λόγος διὰ τοὺς ἄλλους, δηλαδὴ τοὺς τελώνας, διὰ νὰ παρηγορήσῃ τὴν πληγωμένην ψυχήν των, ἐπέπληξεν αὐτοὺς ποὺ τὸν ἐκατηγόρησαν σφοδρότερα, εἰς τὴν περίπτωσιν ὅμως αὐτὴν ποὺ ἐκατηγόρουν αὐτὸν καὶ τοὺς μαθητάς του, ἡ ἀπάντησις ποὺ τοὺς δίδει εἶναι πλήρης ἀπὸ ἐπιείκειαν.

Αὐτὸ δὲ ποὺ τοῦ λέγουν ἔχει τὴν ἑξῆς σημασίαν. Ἂς ὑποθέσωμεν, λέγουν, ὅτι σὺ πράττεις αὐτὰ ὡσὰν ἰατρός· διατί καὶ οἱ μαθηταί σου ὅμως ἐγκαταλείψαντες τὴν νηστείαν παρακάθηνται εἰς τοιούτου εἴδους τραπέζας; Εἰς τὴν συνέχειαν δὲ διὰ νὰ παρουσιάσουν ἀκόμη μεγαλυτέραν τὴν κατηγορίαν, ἀναφέρουν πρώτους τοὺς ἑαυτούς των καὶ μετὰ τοὺς Φαρισαίους, ἐπειδὴ ἤθελαν μὲ τὴν σύγκρισιν νὰ μεγαλώσουν τὴν κατηγορίαν. Διότι βεβαίως καὶ ἡμεῖς, λέγουν,

μεν πολλά. Καὶ γὰρ ἐνήστευον, οἱ μὲν παρὰ Ἰωάννου μαθόντες, οἱ δὲ ἀπὸ τοῦ νόμου· ὥσπερ οὖν καὶ ὁ Φαρισαῖος ἔλεγε· «Νηστεύω δὶς τῆς ἑβδομάδος». Τί οὖν φησιν ὁ Ἰησοῦς; «Μὴ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος νηστεύειν, ἐφ᾽ ὅ-
5 *σον μετ᾽ αὐτῶν ἐστιν ὁ νυμφίος;». Πρότερον μὲν ἰατρὸν ἑαυτὸν ἐκάλεσεν, ἐνταῦθα δὲ νυμφίον, τὰ ἀπόρρητα μυστήρια διὰ τῶν ὀνομάτων τούτων ἀποκαλύπτων. Καίτοιγε ἐνῆν πληκτικώτερον πρὸς αὐτοὺς εἰπεῖν, ὅτι οὐκ ἐστὲ τούτων κύριοι ὑμεῖς, ὥστε τοιαῦτα νομοθετεῖν. Τί γὰρ ὄφελος τῆς*
10 *νηστείαις, ὅταν πονηρίας ᾖ γέμουσα ἡ διάνοια; ὅταν ἑτέροις ἐγκαλῆτε; ὅταν κατακρίνητε, δοκοὺς περιφέροντες ἐπὶ τῶν ὀφθαλμῶν, καὶ πρὸς ἐπίδειξιν πάντα ποιῆτε; Πρὸ γὰρ τούτων ἁπάντων κενοδοξίαν ἐκβάλλειν ἐχρῆν, καὶ τὰ ἄλλα κατορθοῦν ἅπαντα, ἀγάπην, πραότητα, φιλαδελφίαν. Ἀλλ᾽*
15 *οὐδὲν τούτων φησίν, ἀλλὰ μετ᾽ ἐπιεικείας ἁπάσης· «Οὐ δύνανται οἱ υἱοὶ τοῦ νυμφῶνος νηστεύειν, ἐφ᾽ ὅσον μετ᾽ αὐτῶν ἐστιν ὁ νυμφίος»· ἀναμιμνήσκων αὐτοὺς τῶν Ἰωάννου ῥημάτων, δι᾽ ὧν ἔλεγεν· «Ὁ ἔχων τὴν νύμφην νυμφίος ἐστίν· ὁ δὲ φίλος τοῦ νυμφίου, ὁ ἑστηκὼς καὶ ἀκούων αὐτοῦ, χαρᾷ*
20 *χαίρει διὰ τὴν φωνὴν τοῦ νυμφίου». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· χαρᾶς ὁ παρὼν καιρὸς καὶ εὐφροσύνης· μὴ τοίνυν ἐπείσαγε τὰ σκυθρωπά. Καὶ γὰρ σκυθρωπὸν ἡ νηστεία, οὐ τῇ φύσει, ἀλλ᾽ ἐκείνοις τοῖς ἀσθενέστερον ἔτι διακειμένοις· ὡς τοῖς γε φιλοσοφεῖν ἐθέλουσι καὶ σφόδρα ἡδὺ τὸ πρᾶγμα*
25 *καὶ ποθεινόν. Ὥσπερ γὰρ τοῦ σώματος ὑγιαίνοντος, πολλὴ*

---

25. Οἱ Ἰουδαῖοι ἐνήστευον Δευτέραν καὶ Πέμπτην.
26. Λουκᾶ 18, 12.
27. Ἰω. 3, 29.

καὶ οἱ Φαρισαῖοι νηστεύομεν πολύ. Καὶ πράγματι ἐνήστευαν διδαχθέντες οἱ μὲν μαθηταὶ τοῦ Ἰωάννου ἀπὸ τὸν ἴδιον, οἱ δὲ Φαρισαῖοι ἀπὸ τὸν νόμον, ὅπως ἀκριβῶς λοιπὸν ἔλεγε καὶ ὁ Φαρισαῖος· «Νηστεύω δύο φορὰς[25] τὴν ἑβδομάδα»[26]. Ποία λοιπὸν εἶναι ἡ ἀπάντησις τοῦ Ἰησοῦ; «Ἠμποροῦν ἄραγε οἱ καλεσμένοι εἰς τὸν γάμον νὰ νηστεύουν ὅσον χρόνον θὰ εὑρίσκεται πλησίον των ὁ νυμφίος;». Πρὸ ὀλίγου μὲν ὠνόμασε τὸν ἑαυτόν του ἰατρόν, εἰς τὴν περίπτωσιν αὐτὴν ὅμως τὸν ὀνομάζει νυμφίον, ἀποκαλύπτων μὲ αὐτὰ τὰ ὀνόματα τὰ ἀπόκρυφα μυστήρια. Μολονότι βεβαίως ἠμποροῦσεν, ὁμιλῶν μὲ αὐστηρότερον τόνον νὰ τοὺς εἰπῇ, ὅτι 'δὲν εἶσθε σεῖς ὑπεύθυνοι δι' αὐτά, ὥστε νὰ θεσπίζετε τέτοιους νόμους. Διότι ποία ἡ ὠφέλεια ἀπὸ τὴν νηστείαν ὅταν ὁ νοῦς σας εἶναι γεμᾶτος ἀπὸ πονηρίαν; ὅταν κατηγορῆτε ἄλλους; ὅταν κατακρίνητε ἄλλους, ἐνῷ οἱ ἴδιοι ἔχετε μέσα εἰς τοὺς ὀφθαλμούς σας δοκάρια, καὶ ὅταν ὅλα τὰ κάμνετε πρὸς ἐπίδειξιν; Ἔπρεπε πρὶν ἀπὸ ὅλα αὐτὰ γενικῶς ν' ἀποβάλλετε τὴν κενοδοξίαν καὶ νὰ ἐπιτύχετε ἔτσι ὅλα τὰ ἄλλα κατόπιν, ὅπως ἀγάπην, πραότητα, φιλαδελφίαν. Ἀλλ' ὅμως τίποτε ἀπὸ αὐτὰ δὲν τοὺς λέγει, ἀλλὰ τοὺς ἀπαντᾷ μὲ ὅλην τὴν ἐπιείκειάν του. «Δὲν ἠμποροῦν οἱ καλεσμένοι εἰς τὸν γάμον νὰ νηστεύουν, ὅσον χρόνον θὰ εὑρίσκεται πλησίον των ὁ νυμφίος», ὑπενθυμίζων εἰς αὐτοὺς τοὺς λόγους τοῦ Ἰωάννου, διὰ τῶν ὁποίων ἔλεγεν· «Αὐτὸς ποὺ ἔχει τὴν νύμφην εἶναι νυμφίος, ἐνῷ ὁ φίλος τοῦ νυμφίου ποὺ στέκεται καὶ τὸν ἀκούει χαίρετε ποὺ ἀκούει τὴν φωνὴν τοῦ νυμφίου»[27]. Ἡ σημασία δὲ αὐτῶν τῶν λόγων εἶναι ἡ ἑξῆς· Ὁ παρὼν καιρὸς εἶναι καιρὸς χαρᾶς καὶ εὐφροσύνης· μὴ ἀφήνῃς λοιπὸν νὰ εἰσέλθουν τὰ δυσάρεστα. Καθόσον ἡ νηστεία εἶναι δυσάρεστον πρᾶγμα, ὄχι βεβαίως ἀπὸ τὴν φύσιν της, ἀλλ' εἰς ἐκείνους ποὺ δὲν εἶναι ὡλοκληρωμένοι ἀκόμη πνευματικῶς· διότι βεβαίως εἰς αὐτοὺς ποὺ θέλουν νὰ φιλοσοφοῦν εἶναι καὶ πολὺ εὐχάριστος αὐτὴ ἡ πρᾶξις καὶ πολὺ ἐπιθυμητή. Διότι ὅπως ἀκριβῶς ὅταν

ἡ εὐφροσύνη· οὕτω τῆς ψυχῆς εὖ διακειμένης, μείζων ἡ ἡδονή. Ἀλλὰ πρὸς τὴν ὑπόνοιαν ἐκείνων ταῦτά φησιν. Οὕτω καὶ Ἡσαΐας περὶ αὐτῆς διαλεγόμενος, ταπείνωσιν ψυχῆς αὐτὴν καλεῖ, καὶ Μωϋσῆς δὲ ὁμοίως.

5 *4. Οὐ μὴν ἐντεῦθεν αὐτοὺς ἐπιστομίζει μόνον, ἀλλὰ καὶ ἑτέρωθεν, λέγων· »Ἐλεύσονται ἡμέραι, ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος, καὶ τότε νηστεύσουσι». Διὰ γὰρ τούτων δείκνυσιν, ὅτι οὐ γαστριμαργίας τὸ γινόμενον ἦν, ἀλλ' οἰκονομίας τινὸς θαυμαστῆς· ἅμα δὲ καὶ τὸν περὶ τοῦ πάθους*
10 *προκαταβάλλεται λόγον, ἐν ταῖς πρὸς ἑτέρους ἀντιλογίαις παιδεύων τοὺς μαθητάς, καὶ γυμνάζων μελετᾶν ἤδη ἐν τοῖς δοκοῦσιν εἶναι σκυθρωποῖς. Πρὸς μὲν γὰρ αὐτοὺς ἤδη τοῦτο εἰπεῖν, φορτικὸν ἦν καὶ ἐπαχθές, ὅπου γε καὶ μετὰ ταῦτα λεχθὲν αὐτοὺς ἐθορύβησε· πρὸς δὲ ἑτέρους λεγόμενον, ἀνε-*
15 *παχθέστερον τούτοις μᾶλλον ἐγίνετο. Ἐπειδὴ δὲ εἰκὸς ἦν αὐτοὺς καὶ ἐπὶ τῷ πάθει Ἰωάννου μέγα φρονεῖν, καὶ τοῦτο ἐντεῦθεν καταστέλλει τὸ φύσημα· τὸν μέντοι περὶ τῆς ἀναστάσεως λόγον οὔπω προστίθησι· οὐδέπω γὰρ ἦν καιρός. Τοῦτο μὲν γὰρ κατὰ φύσιν ἦν, τὸ ἄνθρωπον νομιζόμενον*
20 *εἶναι ἀποθανεῖν, ἐκεῖνο δὲ ὑπὲρ φύσιν.*

Εἶτα ὅπερ ἔμπροσθεν ἐποίησε, τοῦτο καὶ ἐνταῦθα ποιεῖ. Ὥσπερ γὰρ ἐπιχειροῦντας αὐτὸν δεῖξαι ἐγκλήμασιν ὄντα ὑπεύθυνον τῷ μετὰ ἁμαρτωλῶν ἐσθίειν, ἔπεισε τοὐναντίον, ὅτι οὐ μόνον οὐκ ἔγκλημα, ἀλλὰ καὶ ἔπαινος τὸ γινόμενον

---

28. Πρβλ. Ἡσ. 58, 3.
29. Ἀριθμ. 30, 14.

τὸ σῶμα εἶναι ὑγιὲς εἶναι πολὺ μεγάλη ἡ εὐφροσύνη, ἔτσι ὅταν ἡ ψυχὴ εὑρίσκεται εἰς καλὴν κατάστασιν ἡ εὐχαρίστησις εἶναι ἀκόμη πιὸ μεγάλη. Αὐτὰ λοιπὸν τὰ λέγει ὁ Κύριος ἐξ αἰτίας τῆς ὑπονοίας αὐτῶν. Ὁμοίως καὶ ὁ Ἠσαΐας ὁμιλῶν περὶ αὐτῆς τὴν ἀποκαλεῖ ταπείνωσιν τῆς ψυχῆς[28], καθὼς ἐπίσης καὶ ὁ Μωϋσῆς[29].

4. Καί, βέβαια, δὲν τοὺς ἀποστομώνει μόνον μὲ ὅσα μέχρι στιγμῆς εἶπεν, ἀλλὰ καὶ μὲ ὅσα λέγει εἰς τὴν συνέχειαν· διότι λέγει· «Θὰ ἔλθουν ἡμέραι κατὰ τὰς ὁποίας θὰ τοὺς πάρουν τὸν νυμφίον καὶ τότε θὰ νηστεύσουν». Διότι διὰ τῶν λόγων αὐτῶν ἀποδεικνύει, ὅτι αὐτὸ συνέβη ὄχι ἐξ αἰτίας τῆς γαστριμαργίας των, ἀλλὰ συνέβη συμφώνως πρὸς κάποιο σχέδιον τῆς θαυμαστῆς θείας οἰκονομίας· συγχρόνως δὲ προϋπαινίσσεται τὸ μελλοντικὸν πάθος του, παιδεύων τοὺς μαθητάς του μὲ τὰς ἀντιλογίας πρὸς τοὺς ἄλλους καὶ ἀσκῶν αὐτοὺς εἰς τὸ νὰ προσπαθοῦν νὰ κατανοήσουν ἀπὸ τώρα αὐτὰ ποὺ θεωροῦνται ὅτι εἶναι δυσάρεστα. Διότι ἐὰν τὸ ἔλεγεν αὐτὸ εἰς αὐτοὺς ἀπὸ τώρα, θὰ τοὺς ἐφαίνετο πολὺ βαρὺ καὶ δυσβάστακτον φορτίον, ἀφοῦ βεβαίως καὶ ἀργότερα ποὺ τὸ ἤκουσαν ἐθορυβήθησαν πάρα πολύ· ἀντιθέτως ὅμως λεγόμενον πρὸς ἄλλους τοὺς ἐγίνετο ὀλιγώτερον δυσάρεστον. Ἐπειδὴ δὲ ἦτο φυσικὸν αὐτοὶ νὰ φέρωνται ἀλαζονικὰ ἐξ αἰτίας τοῦ πάθους τοῦ Ἰωάννου, μὲ τοὺς λόγους του αὐτοὺς καταπραΰνει καὶ αὐτὴν τὴν ἀλαζονείαν των· ὅμως τὸν λόγον περὶ τῆς ἀναστάσεώς του ἀκόμη δὲν τὸν ἀναφέρει· ἐπειδὴ δὲν ἦτο ἀκόμη καιρός. Διότι αὐτὸ μὲν ἦτο φυσικὸς νόμος, τὸ ν' ἀποθάνῃ δηλαδὴ ἀφοῦ ἐθεωρεῖτο ἄνθρωπος, ἡ ἀνάστασίς του ὅμως ἦτο ὑπερφυσικὸν γεγονός.

Ἐξ ἄλλου αὐτὸ ἀκριβῶς ποὺ ἔκαμε πάρα πάνω αὐτὸ κάμνει καὶ εἰς τὴν περίπτωσιν αὐτήν. Ὅπως ἀκριβῶς δηλαδὴ ὅταν οἱ ἐχθροί του ἐπεχείρουν μὲ τὰς κατηγορίας των ὅτι ἦτο ὑπεύθυνος διὰ τὸ ὅτι ἔτρωγε μαζὶ μὲ τοὺς ἁμαρτωλοὺς τοὺς ἔπεισε ἀκριβῶς διὰ τὸ ἀντίθετον, ὅτι ὄχι μόνον δὲν ἦτο ἄξιον κατηγορίας αὐτὸ ποὺ συνέβη ἀλλ' ἦτο καὶ ἄξιον ἐπαίνου,

ἦν· οὕτω καὶ ἐνταῦθα βουλομένους αὐτοὺς ἀποφῆναι αὐτόν, ὅτι οὐκ οἶδε κεχρῆσθαι τοῖς μαθηταῖς, δείκνυσιν ὅτι τὸ ταῦτα λέγειν οὐκ εἰδότων ἐστὶ κεχρῆσθαι τοῖς ἑπομένοις, ἀλλ' ἁπλῶς ἐγκαλούντων. «Οὐδεὶς γὰρ ἐπιβάλλει», φησίν, «ἐπί- 5 *βλημα ῥάκους ἀγνάφου ἐπὶ ἱματίῳ παλαιῷ». Πάλιν ἀπὸ τῶν κοινῶν ὑποδειγμάτων κατασκευάζει τὸν λόγον. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὔπω γεγόνασιν ἰσχυροὶ οἱ μαθηταί, ἀλλ' ἔτι πολλῆς δέονται συγκαταβάσεως· οὔπω διὰ τοῦ Πνεύματος ἀνεκαινίσθησαν. Οὕτω δὲ διακειμένοις οὐ χρὴ* 10 *βάρος ἐπιτιθέναι ἐπιταγμάτων. Ταῦτα δὲ ἔλεγε, νόμους τιθεὶς καὶ κανόνας τοῖς ἑαυτοῦ μαθηταῖς, ἵν' ὅταν μέλλωσι μαθητὰς λαμβάνειν τοὺς ἐκ τῆς οἰκουμένης ἅπαντας, μετὰ πολλῆς αὐτοῖς προσφέρωνται τῆς ἡμερότητος. «Οὐδὲ βάλλουσιν οἶνον νέον εἰς ἀσκοὺς παλαιούς». Εἶδες τὰ ὑποδεί-* 15 *γματα· τῇ Παλαιᾷ ἐοικότα; τὸ ἱμάτιον; τοὺς ἀσκούς Καὶ γὰρ ὁ Ἱερεμίας περίζωμα τὸν λαόν φησι, καὶ πάλιν ἀσκῶν μέμνηται καὶ οἴνου. Ἐπειδὴ γὰρ περὶ γαστριμαργίας ἦν ὁ λόγος καὶ τραπέζης, ἀπὸ τῶν αὐτῶν λαμβάνει τὰ ὑποδείγματα. Ὁ δὲ Λουκᾶς καὶ πλέον τί φησιν ὅτι καὶ τὸ καινὸν* 20 *σχίζεται, ἐὰν ἐπιβάλῃς αὐτὸ τῷ παλαιῷ.*

Ὁρᾷς ὅτι οὐ μόνον οὐδὲν γίνεται ὄφελος, ἀλλὰ καὶ πλείων ἡ ζημία; Καὶ λέγει μὲν τὸ παρόν, προαναφωνεῖ δὲ τὸ μέλλον· οἷον ὅτι καινοὶ μετὰ ταῦτα ἔσονται· ἕως δ' ἂν τοῦτο γένηται, οὐδὲν αὐστηρὸν αὐτοῖς ἐπιτάττειν χρὴ καὶ βαρύ. 25 *Ὁ γὰρ πρὸ καιροῦ ζητῶν, φησί, τοῦ προσήκοντος τὰ ὑψηλὰ*

---

30. Προβλ. Ἱερ. 13, 10.
31. Προβλ. Ἱερ. 13, 12.
32. Προβλ. Λουκᾶ 5, 36.

ἔτσι καὶ τώρα ἐπειδὴ αὐτοὶ ἤθελαν νὰ τὸν παρουσιάσουν ὡς μὴ γνωρίζοντα νὰ κατευθύνῃ τοὺς μαθητάς του, ἀποδεικνύει ὅτι τὰ λόγια αὐτὰ εἶναι λόγια ἀνθρώπων ποὺ δὲν γνωρίζουν νὰ κατευθύνουν αὐτοὺς ποὺ τοὺς ἀκολουθοῦν, ἀλλ' ἁπλῶς θέλουν νὰ κατηγοροῦν. Διότι λέγει, «Κανεὶς δὲν τοποθετεῖ ἐμβάλωμα ἀπὸ καινουργὲς ὕφασμα ἐπάνω εἰς ἔνδυμα παλαιόν». Πάλιν δηλαδὴ ἀπὸ τὰ καθημερινὰ παραδείγματα λαμβάνει ὑλικὸν διὰ τὰ ἐπιχειρήματά του. Ἡ δὲ σημασία αὐτῶν τῶν λόγων του εἶναι ἡ ἑξῆς· Δὲν εἶχαν γίνει ἀκόμη οἱ μαθηταί του πνευματικὰ ἰσχυροί, ἀλλ' ἀκόμη ἐχρειάζοντο μεγάλην συγκατάβασιν· διότι δὲν εἶχαν ἀκόμη ἀνακαινισθῆ ὑπὸ τοῦ ἁγίου Πνεύματος. Ἐπειδὴ δὲ εὑρίσκονται εἰς τοιαύτην κατάστασιν δὲν πρέπει νὰ τοὺς προστίθεται καὶ τὸ βάρος τῶν προσταγμάτων. Αὐτὰ δὲ ἔλεγε καὶ ἐθέσπισε νόμους καὶ κανόνας διὰ τοὺς μαθητάς του, ὥστε ὅταν θὰ ἐπρόκειτο νὰ καλέσουν ὡς μαθητὰς ὅλους γενικῶς τοὺς ἀνθρώπους τῆς οἰκουμένης νὰ τοὺς συμπεριφερθοῦν μὲ πολὺ μεγάλην ἠπιότητα. «Οὔτε τοποθετοῦν οἶνον νέον εἰς παλαιοὺς ἀσκούς». Πρόσεξες ὅτι τὰ παραδείγματα ποὺ χρησιμοποιεῖ ὅτι ὁμοιάζουν μὲ τὰ τῆς Παλαιᾶς Διαθήκης; Δηλαδὴ τὸ ἔνδυμα, οἱ ἀσκοί; Διότι καὶ ὁ Ἰερεμίας ὀνομάζει τὸν λαὸν περίζωμα[30], καθὼς ἐπίσης κάμνει λόγον καὶ διὰ ἀσκοὺς καὶ οἶνον[31]. Ἐπειδὴ δηλαδὴ ἡ συζήτησις εἶχε σχέσιν μὲ γαστριμαργίαν καὶ τράπεζαν, ἀπὸ τὴν περιοχὴν αὐτῶν λαμβάνει καὶ τὰ παραδείγματα. Ὁ Λουκᾶς δὲ προσθέτει καὶ κάτι ἐπὶ πλέον, ὅτι καὶ τὸ καινούργιον ἔνδυμα σχίζεται ἐὰν τοποθετηθῆ ὡς ἐμβάλωμα εἰς τὸ παλαιὸν ἔνδυμα[32].

Βλέπεις ὅτι ὄχι μόνον δὲν προκύπτει καμμία ὠφέλεια, ἀλλὰ καὶ ἡ προερχομένη ζημία ὅτι εἶναι πολὺ μεγάλη; Καὶ ὁμιλεῖ μὲν διὰ τὸ παρόν, ἀλλ' οἱ λόγοι του προαπηχοῦν καὶ διὰ τὸ μέλλον, ὅτι δηλαδὴ μετὰ ταῦτα θὰ γίνουν νέοι ἄνθρωποι· μέχρις ὅτου ὅμως νὰ συμβῆ αὐτὸ πρέπει νὰ μὴ τοὺς προστάζῃ τίποτε τὸ αὐστηρὸν καὶ βαρύ. Διότι, λέγει, ἐκεῖνος ποὺ προσπαθεῖ πρὶν ἀπὸ τὴν ὥραν νὰ διδάξῃ τὰ ὑ-

ἐντιθέναι δόγματα, οὐδὲ τοῦ καιροῦ καλοῦντος λοιπὸν ἐπιτηδείους εὑρήσει, ἀχρήστους ἐργασάμενος ἅπαξ. Τοῦτο δὲ οὐ παρὰ τὸν οἶνον συμβαίνει, οὐδὲ παρὰ τοὺς ὑποδεχομένους, ἀλλὰ παρὰ τὴν ἀκαιρίαν τῶν ἐμβαλλόντων.

5 *Ἐντεῦθεν ἡμᾶς καὶ τὴν αἰτίαν ἐδίδαξε τῶν ταπεινῶν ῥημάτων, ὧν συνεχῶς πρὸς αὐτοὺς διελέγετο. Διὰ γὰρ τὴν ἀσθένειαν αὐτῶν πολλὰ ἔλεγε καταδεέστερα τῆς ἀξίας τῆς ἑαυτοῦ· ὅπερ οὖν καὶ ὁ Ἰωάννης ἐνδεικνύμενος αὐτὸν εἰρηκέναι, φησί· «Πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ' οὐ δύνασθε*
10 *βαστάζειν ἄρτι». Ἵνα γὰρ μὴ νομίσωσι ταῦτα εἶναι μόνον ἅπερ εἶπεν, ἀλλὰ καὶ ἕτερα πολλῷ μείζονα φαντάζωνται, τὴν ἀσθένειαν αὐτῶν εἰς τὸ μέσον τέθεικεν, ἐπαγγειλάμενος, ὅταν γένωνται ἰσχυροί, κἀκεῖνα ἐρεῖν· ὅπερ οὖν καὶ ἐνταῦθά φησιν· «Ἐλεύσονται ἡμέραι, ὅταν ἀπαρθῇ ἀπ' αὐ-*
15 *τῶν ὁ νυμφίος, καὶ τότε νηστεύσουσι».*

Μὴ τοίνυν μηδὲ ἡμεῖς πάντα παρὰ πάντων ἀπαιτῶμεν ἐν προοιμίοις, ἀλλ' ὅσα δυνατόν· καὶ ταχέως καὶ ἐπ' ἐκεῖνα ἥξομεν. Εἰ δὲ ἐπείγῃ καὶ σπεύδεις, δι' αὐτὸ τοῦτο μὴ ἐπείγου, ἐπειδὴ σπεύδεις. Εἰ δὲ αἴνιγμά σοι τὸ εἰρημένον δοκεῖ
20 *εἶναι, ἀπ' αὐτῆς αὐτὸ τῶν πραγμάτων μάνθανε τῆς φύσεως, καὶ τότε ὄψει αὐτοῦ τὴν δύναμιν ἅπασαν. Καὶ μηδείς σε τῶν ἀκαίρως ἐγκαλούντων κινείτω· ἐπεὶ καὶ ἐνταῦθα Φαρισαῖοι οἱ ἐγκαλοῦντες ἦσαν, καὶ μαθηταὶ οἱ ὀνειδιζόμενοι.*

5. Ἀλλ' ὅμως οὐδὲν τούτων ἔπεισε τὸν Χριστὸν μετα-
25 *θεῖναι τὴν δόξαν, οὐδὲ εἶπεν· αἰσχύνη ἐστὶ τούτους νηστεύειν καὶ τούτους μὴ νηστεύειν. Ἀλλ' ὥσπερ ὁ ἄριστος κυ-*

---

33. Ἰω. 16, 12.

ψηλὰ δόγματα, δὲν θὰ τοὺς εὕρῃ καταλλήλους ὅταν θὰ ἔλθῃ ἡ κατάλληλος ὥρα, ἐπειδὴ τοὺς κατέστησεν ἀχρήστους ἅπαξ διὰ παντός. Αὐτὸ δὲ δὲν συμβαίνει ἐξ αἰτίας τοῦ οἴνου, οὔτε ἐξ αἰτίας αὐτῶν ποὺ δέχονται τὸν οἶνον, ἀλλὰ ἐξ αἰτίας τῆς ἀκαταλληλότητος αὐτῶν ποὺ τοποθετοῦν τὸν οἶνον.

Μ' αὐτὰ τὰ λόγια μᾶς ἐδίδαξε καὶ τὴν αἰτίαν τῶν ἁπλῶν λόγων, διὰ τῶν ὁποίων συνεχῶς συνεζήτει μὲ αὐτούς. Διότι ἐξ αἰτίας τῆς πνευματικῆς ἀνωριμότητός των πολλὰ ἔλεγε ποὺ ἦσαν ὑποδέστερα τῆς ἰδικῆς του ἀξίας. Αὐτὸ ἀκριβῶς τὸ πρᾶγμα δεικνύων καὶ ὁ Ἰωάννης ὅτι τὸ εἶπεν ὁ Κύριος, γράφει· «Ἔχω πολλὰ ποὺ θέλω νὰ σᾶς εἰπῶ, ἀλλὰ δὲν ἠμπορεῖτε ἀκόμη νὰ τὰ βαστάσετε»[33]. Διὰ νὰ μὴ νομίσουν δὲ ὅτι μόνον αὐτὰ εἶναι τὰ λόγια ποὺ τοὺς εἶπεν ἀλλὰ καὶ διὰ νὰ σκέπτωνται ἄλλα πολὺ πιὸ σπουδαῖα, παρενέβαλε τὴν πνευματικήν των ἀδυναμίαν, ὑποσχεθεὶς ὅτι θὰ τοὺς εἰπῇ καὶ ἐκεῖνα ὅταν θὰ γίνουν πνευματικῶς ἰσχυροί, πρᾶγμα λοιπὸν ποὺ τοὺς λέγει εἰς τὴν περίπτωσιν αὐτήν· «Θὰ ἔλθουν ἡμέραι, κατὰ τὰς ὁποίας θὰ πάρουν ἀπὸ αὐτοὺς τὸν νυμφίον καὶ τότε θὰ νηστεύσουν».

Οὔτε λοιπὸν καὶ ἡμεῖς νὰ ζητοῦμεν εἰς τὴν ἀρχὴν ὅλα γενικῶς ἀπὸ ὅλους, ἀλλὰ εἰς τὴν ἀρχὴν μόνον ὅσα εἶναι δυνατόν, καὶ συντόμως δὲ θὰ φθάσωμεν καὶ εἰς ἐκεῖνα. Ἐὰν ὅμως βιάζεσαι καὶ θέλῃς νὰ φθάσῃς γρήγορα, ἀκριβῶς δι' αὐτὸν τὸν λόγον δὲν πρέπει νὰ βιάζεσαι, ἐπειδὴ θέλεις νὰ φθάσῃς γρήγορα. Ἐὰν δὲ αὐτὸ ποὺ ἐλέχθη σοῦ φαίνεται ὅτι εἶναι αἴνιγμα, μάνθανέ το αὐτὸ ἀπὸ τὴν ἰδίαν τὴν φύσιν τῶν πραγμάτων, καὶ τότε θὰ ἀντιληφθῇς ὅλην τὴν δύναμίν του. Καὶ κανεὶς νὰ μὴ σὲ παρασύρῃ ἀπὸ αὐτοὺς ποὺ κατηγοροῦν ὄχι εἰς κατάλληλον καιρόν, ἐπειδὴ καὶ εἰς αὐτὴν τὴν περίπτωσιν οἱ Φαρισαῖοι ἦσαν ἐκεῖνοι ποὺ ἐκατηγόρουν καὶ οἱ μαθηταὶ οἱ κατηγορούμενοι.

5. Ἀλλ' ὅμως κανένα ἀπὸ αὐτὰ δὲν ἔπεισε τὸν Χριστὸν νὰ μεταβάλῃ γνώμην οὔτε καὶ νὰ εἰπῇ· Εἶναι ἐντροπὴ ἐκεῖνοι νὰ νηστεύουν καὶ αὐτοὶ νὰ μὴ νηστεύουν. Ἀλλ' ὅ-

βερνήτης οὐ τοῖς ταραττομένοις κύμασιν, ἀλλὰ τῇ οἰκείᾳ τέχνῃ προσέχει· οὕτω καὶ ὁ Χριστὸς τότε ἐποίησε. Καὶ γὰρ αἰσχύνη ἦν, οὐ τὸ μὴ νηστεύειν αὐτούς, ἀλλὰ τὸ διὰ τὴν νηστείαν ἐν τοῖς καιρίοις πληγῆναι καὶ ἀποσχισθῆναι καὶ 5 διαρραγῆναι. Ἅπερ οὖν καὶ ἡμεῖς ἐννοοῦντες, οὕτω τοῖς οἰκείοις χρώμεθα πᾶσι. Κἂν γυναῖκα φιλόκοσμον ἔχῃς, πρὸς ἐπιτρίμματα κεχηνυῖαν καὶ ἀναπτερωμένην, καὶ πολλῇ τρυφῇ διαχεομένην, καὶ λάλον, καὶ ἀνόητον· καίτοιγε οὐκ ἔνι ταῦτα πάντα εἰς γυναῖκα μίαν συνεμπεσεῖν· πλὴν ἀλλὰ 10 διαπλάσωμεν τῷ λόγῳ γυναῖκα τοιαύτην. Τί οὖν ὅτι γυναῖκα, φησί, καὶ οὐχὶ ἄνδρα διαπλάττεις; Εἰσὶ καὶ ἄνδρες ταύτης χείρους τῆς γυναικός. Ἀλλ' ἐπειδὴ ἀνδράσιν ἡ ἐπιστασία ἐγκεχείρισται, διὰ τοῦτο γυναῖκα διαπλάττομεν τέως, οὐχ ὡς ἐκεῖ τῆς κακίας πλεοναζούσης. Πολλὰ γὰρ καὶ παρὰ 15 ἀνδράσιν ἐστὶν εὑρεῖν, ἃ παρὰ γυναιξὶν οὐκ ἔστιν, οἷον ἀνδροφονίαν, τυμβωρυχίαν, θηριομαχίαν, καὶ πολλὰ τοιαῦτα. Μὴ τοίνυν νομίσητε τὸ γένος ἡμᾶς ἐξευτελίζοντας ταῦτα ποιεῖν· οὐκ ἔστι τοῦτο, οὐκ ἔστιν· ἀλλ' οὕτω χρήσιμον τέως ὑπογράψαι τὴν εἰκόνα.

20 *Ὑποκείσθω τοίνυν ἡμῖν γυνὴ τοιαύτη, καὶ σπουδαζέτω παντὶ τρόπῳ αὐτὴν διορθοῦσθαι ὁ ἀνήρ. Πῶς οὖν αὐτὴν διορθώσεται; Μὴ πάντα ἀθρόον ἐπιτάττων, ἀλλὰ τὰ κουφότερα πρότερον, καὶ οἷς οὐ σφόδρα κατέχεται. Ἂν γὰρ τὸ πᾶν ἐπείξῃς αὐτὴν κατορθῶσαι ἐξ ἀρχῆς, τὸ πᾶν ἀπώλε-25 σας. Μὴ τοίνυν περιέλῃς τὰ χρυσία εὐθέως, ἀλλ' ἄφες ἔχειν*

πως ἀκριβῶς ὁ ἄριστος κυβερνήτης προσέχει ὄχι τὰ κύματα ποὺ ταράσσονται ἀλλὰ τὴν ἰδικήν του τέχνην, ἔτσι καὶ ὁ Χριστὸς ἐνήργησε τότε. Καθόσον ἦτο ἐντροπὴ ὄχι τὸ νὰ μὴ νηστεύουν οἱ μαθηταί του, ἀλλὰ τὸ νὰ πληγωθοῦν θανατηφόρα ἐξ αἰτίας τῆς νηστείας καὶ ἔτσι ν' ἀποκοποῦν καὶ ν' ἀπομακρυνθοῦν ἀπὸ πλησίον του. Καὶ ἡμεῖς λοιπὸν κατανοοῦντες αὐτὰ ἀκριβῶς, ἂς μεταχειριζώμεθα τοὺς ἰδικούς μας κατ' αὐτὸν τὸν τρόπον. Καὶ ἂν ἀκόμη ἔχῃς γυναῖκα φιλόκοσμον ποὺ χάσκει διὰ τὰ ἐπιφανειακὰ πράγματα καὶ ἐξεγείρεται, καὶ εἶναι ἀχαλίνωτος πρὸς τὰς ἀπολαύσεις, καὶ φλύαρος καὶ ἀνόητος, ἂν καὶ βεβαίως δὲν εἶναι δυνατὸν ὅλα αὐτὰ τὰ κακὰ νὰ συμπέσουν εἰς μίαν γυναῖκα, παρὰ ταῦτα ὅμως ἡμεῖς δημιουργοῦμεν μὲ τὰ λόγια μας μίαν παρομοίαν γυναῖκα. Διατὶ λοιπὸν θὰ εἰπῇ κανείς, δημιουργεῖς διὰ τῆς φαντασίας σου γυναῖκα καὶ ὄχι ἄνδρα; Ὑπάρχουν καὶ ἄνδρες ποὺ εἶναι πολὺ πιὸ χειρότεροι ἀπὸ παρομοίαν γυναῖκα. Ἐπειδὴ ὅμως ἔχει ἀνατεθῇ ἡ φροντὶς εἰς τοὺς ἄνδρας, διὰ τοῦτο κατ' ἀρχὴν φανταζόμεθα γυναῖκα, χωρὶς αὐτὸ νὰ σημαίνῃ ὅτι εἰς αὐτὴν πλεονάζει ἡ κακία. Διότι εἶναι δυνατὸν νὰ εὕρῃ κανεὶς καὶ πολλὰ ἐλαττώματα μεταξὺ τῶν ἀνδρῶν, τὰ ὁποῖα δὲν ὑπάρχουν εἰς τὰς γυναῖκας, ὅπως ἐπὶ παραδείγματι ἡ ἀνδροφονία, τὸ ἄνοιγμα τῶν τάφων πρὸς σύλλησιν, ἡ θηριομαχία καὶ πολλὰ παρόμοια. Μὴ νομίσητε λοιπὸν ὅτι τὸ κάνω αὐτὸ διὰ νὰ ἐξευτελίσω τὸ γυναικεῖον φῦλον· δὲν εἶναι δυνατὸν νὰ συμβαίνῃ αὐτό, ὄχι δὲν εἶναι· ἀλλὰ εἶναι χρήσιμον κατ' ἀρχὴν νὰ παρουσιάσω μίαν παρομοίαν εἰκόνα.

Ἔστω λοιπὸν ὅτι ὑπάρχει μία παρομοία γυναῖκα καὶ προσπαθεῖ μὲ κάθε τρόπον νὰ τὴν διορθώσῃ ὁ ἄνδρας της. Πῶς λοιπὸν θὰ τὸ ἐπιτύχῃ αὐτό; Θὰ τὸ ἐπιτύχῃ μὲ τὸ νὰ μὴ τῆς ἀπαγορεύῃ ὅλα μαζί, ἀλλὰ κατ' ἀρχὴν τὰ ἐλαφρότερα καὶ ἐκεῖνα τὰ ὁποῖα δὲν τὴν ᾐχμαλώτισαν εἰς μέγα βαθμόν. Διότι ἐὰν θελήσῃς εὐθὺς ἐξ ἀρχῆς νὰ ἐπιτύχῃ αὐτὴ τὸ πᾶν, τὰ ἔχασες τότε ὅλα. Μὴ τῆς ἀφαιρέσῃς λοιπὸν ἐξ

καὶ περικεῖσθαι τέως· δοκεῖ γὰρ τοῦτο ἔλαττον εἶναι κακὸν τῶν ἐπιτριμμάτων καὶ τῶν ὑπογραφῶν. Πρότερον τοίνυν ἐκεῖνα ἀναιρείσθω· καὶ μηδὲ ἐκεῖνα φόβῳ καὶ ἀπειλῇ, ἀλλὰ πειθοῖ καὶ προσηνείᾳ, καὶ διὰ τῆς ἑτέρων κατηγορίας, καὶ
5 *διὰ τῆς σῆς ψήφου καὶ γνώμης. Καὶ λέγε πρὸς αὐτὴν συνεχῶς, ὅτι σοι οὐκ ἔστιν ἐπέραστος ἡ ὄψις οὕτω καλλωπιζομένη, ἀλλὰ καὶ σφόδρα ἀηδής· καὶ πεῖθε μάλιστα ὅτι σε τοῦτο λυπεῖ. Καὶ μετὰ τὴν σὴν ψῆφον, καὶ τὴν παρ' ἑτέρων δόξαν εἴσαγε, καὶ λέγε, ὅτι καὶ τὰς εὐμόρφους τοῦτο ἀφα-*
10 *νίζειν εἴωθεν, ἵνα τὸ πάθος ἐξέλῃς. Καὶ μηδὲν μηδέπω περὶ γεέννης εἴπῃς, μηδὲ περὶ βασιλείας· εἰκῇ γὰρ ταῦτα ἐρεῖς· ἀλλὰ πεῖσον αὐτήν, ὅτι σε τέρπει μᾶλλον γυμνὸν ἐπιδεικνῦσα τοῦ Θεοῦ τὸ ἔργον· ἡ δὲ βασανίζουσα τὴν ὄψιν, καὶ κατατείνουσα, καὶ κονιῶσα, οὐδὲ παρὰ τοῖς πολλοῖς φαί-*
15 *νεται καλὴ καὶ εὐειδής. Πρότερον δὲ τοῖς κοινοῖς λογισμοῖς καὶ ταῖς πάντων ψήφοις τὸ νόσημα ἔκβαλλε· καὶ ὅταν τούτοις καταμαλάξῃς τοῖς λόγοις, καὶ ἐκεῖνα προστίθει. Κἂν ἅπαξ εἴπῃς, καὶ μὴ πείσῃς, καὶ δύτερον καὶ τρίτον καὶ πολλάκις τὰ αὐτὰ ἐπαντλῶν ῥήματα μὴ ἀποκάμῃς· μὴ μέντοι*
20 *μετὰ ἐπαχθείας τινός, ἀλλὰ μετὰ χαριεντισμοῦ· καὶ νῦν μὲν ἀποστρέφον, νῦν δὲ κολάκευε καὶ θεράπευε. Οὐχ ὁρᾷς τοὺς ζωγράφους πόσα ἐξαλείφουσι, πόσα παρεγγράφουσιν, ὅταν ὄψιν ποιῶσι καλήν; Μὴ γίνου τοίνυν ἐκείνων χείρων. Εἰ γὰρ ἐκεῖνοι σώματος εἰκόνα γράφοντες τοσαύτῃ κέχρηνται*

ἀρχῆς τὰ χρυσᾶ κοσμήματα, ἀλλ' ἄφησέ την εἰς τὴν ἀρχὴν νὰ τὰ ἔχῃ καὶ νὰ τὰ φορῇ· διότι αὐτὸ φαίνεται ὅτι εἶναι μικρότερον κακὸν ἀπὸ τὰς ἀλοιφὰς καὶ τὰ βαψίμματα. Ἀρχικῶς λοιπὸν αὐτὰ νὰ ἀφαιρέσῃ καὶ ὄχι μάλιστα μὲ ἐκφοβισμοὺς καὶ ἀπειλάς, ἀλλὰ μὲ τὴν πειθὼ καὶ τὴν πραότητα καὶ τὴν κατηγορίαν τῶν ἄλλων ἐλαττωμάτων καὶ μὲ τὴν ἰδικήν σου ἀπόφασιν καὶ γνώμην. Καὶ νὰ λέγε πρὸς αὐτὴν συνεχῶς, ὅτι δὲν σοῦ εἶναι καθόλου εὐχάριστον τὸ πρόσωπον ἔτσι ποὺ τὸ καλλωπίζει, ἀλλ' ἀντιθέτως σοῦ εἶναι πολὺ ἀηδιαστικόν, καὶ προσπάθησε νὰ τὴν πείσῃς ὅτι αὐτὸ τὸ πρᾶγμα κατ' ἐξοχὴν σὲ λυπεῖ. Καὶ μετὰ τὴν ἰδικήν σου γνώμην πρόσθετε καὶ τὴν γνώμην τῶν ἄλλων καὶ λέγε ὅτι συνήθως αὐτὸ τὸ πρᾶγμα καταστρέφει καὶ τὰς ὁμόρφους γυναῖκας διὰ νὰ τῆς ἐξαλείψῃς τὸ πάθος της. Καὶ τίποτε ἀκόμη νὰ μὴ τῆς ἀναφέρῃς περὶ τῆς μελλοντικῆς κολάσεως, οὔτε περὶ τῆς βασιλείας τῶν οὐρανῶν, διότι αὐτὰ ἀδίκως θὰ τὰ εἰπῇς· ἀλλὰ νὰ τὴν πείσῃς ὅτι εὐχαριστεῖσαι περισσότερον ὅταν παρουσιάζῃ γυμνὸν τὸ ἔργον τοῦ Θεοῦ· ἐνῷ αὐτὴ ποὺ ταλαιπωρεῖ τὸ πρόσωπον καὶ τὸ κατατεντώνει καὶ τὸ ἀλείφει μὲ διαφόρους σκόνας οὔτε εἰς τὸν πολὺν κόσμον φαίνεται καλὴ καὶ ὄμορφη. Κατ' ἀρχὴν λοιπὸν θεράπευσε τὸ ἐλάττωμα μὲ τὰ κοινὰ ἐπιχειρήματα καὶ μὲ τὴν γνώμην τῶν ἀνθρώπων καὶ ὅταν μὲ αὐτὰ τὰ λόγια τὴν καταπραΰνῃς, πρόσθεσε τότε καὶ ἐκεῖνα. Καὶ ἂν ἀκόμη τῆς τὰ εἰπῇς αὐτὰ καὶ δὲν τὴν πείσῃς μὲ τὴν πρώτην φορὰν μὴ βαρεθῇς νὰ τῆς ἐπαναλάβῃς τὰ ἴδια λόγια καὶ διὰ δευτέραν καὶ διὰ τρίτην ἀκόμη δὲ καὶ περισσοτέρας φοράς· καὶ φυσικὰ ὄχι κατὰ τρόπον ἐνοχλητικόν, ἀλλὰ ὡσὰν ἀστιευόμενος κατὰ κάποιον τρόπον· καὶ ἄλλοτε μὲν νὰ τὴν ἀποστρέφεσαι, ἄλλοτε δὲ νὰ τὴν κολακεύῃς καὶ νὰ φροντίζῃς δι' αὐτήν. Δὲν βλέπεις τοὺς ζωγράφους πόσα σβήνουν καὶ πόσα διαγράφουν ὅταν ζωγραφίζουν μίαν ὡραίαν ὄψιν; Μὴ γίνεσαι λοιπὸν χειρότερος ἀπὸ ἐκείνους. Διότι ἐὰν ἐκεῖνοι ζωγραφίζοντες τὴν εἰκόνα τοῦ σώματος καταβάλλουν τόσον μεγά-

τῇ σπουδῇ· πόσῳ μᾶλλον ἡμᾶς ψυχὴν διαπλάττοντας πᾶσαν ἂν εἴη δίκαιον κινεῖν μηχανήν. Ἂν γὰρ καλῶς τῆς ψυχῆς ταύτης διαπλάσῃς τὴν ὄψιν, οὐκ ὄψει τὸ τοῦ σώματος ἀσχημονοῦν πρόσωπον, οὐδὲ ᾑμαγμένα χείλη, οὐδὲ σόμα ἄρ-
5 *κτου αἵματι πεφοινιγμένῳ προσεοικός, οὐδὲ ἠσβολωμένας ὀφρῦς ὡς ἀπὸ χύτρας τινός, οὐδὲ κεκονιαμένας παρειὰς κατὰ τοὺς τοίχους τῶν τάφων. Πάντα γὰρ ταῦτα ἀσβόλη καὶ τέφρα καὶ κόνις καὶ ἐσχάτης δυσειδείας γνωρίσματα.*

6. Ἀλλὰ γὰρ οὐκ οἶδ' ὅπως ἔλαθον εἰς τούτους ἐξενε-
10 *χθεὶς τοὺς λόγους, καὶ ἑτέρῳ παραινῶν ὥστε διδάσκειν μετ' ἐπιεικείας, αὐτὸς εἰς ὀργὴν ἐξεκυλίσθην. Οὐκοῦν ἐπανίωμεν πάλιν πρὸς τὴν ἡμερωτέραν παραίνεσιν, καὶ πάντα φέρωμεν τὰ ἐλαττώματα τῶν γυναικῶν, ἵνα κατορθώσωμεν ὃ βουλόμεθα. Οὐχ ὁρᾷς πῶς τὰ παιδία φέρομεν κλαίοντα, ὅταν αὐτὰ*
15 *τῆς θηλῆς ἀπάγειν βουλώμεθα, καὶ πάντα ὑπομένομεν δι' ἐκεῖνο μόνον, ἵνα αὐτὰ πείσωμεν καταφρονεῖν τῆς προτέρας τραπέζης; Οὕτω καὶ ἐνταῦθα ποιῶμεν· πάντων ἀνεχώμεθα τῶν ἄλλων, ἵνα τοῦτο κατορθώσωμεν. Ὅταν γὰρ τοῦτο διορθωθῇ, ὄψει καὶ τὸ ἕτερον ὁδῷ προβαίνων, καὶ ἐπὶ τὰ χρυ-*
20 *σία πάλιν ἥξεις, καὶ τῷ αὐτῷ τρόπῳ καὶ περὶ τούτων ὁμοίως διαλέξῃ· καὶ οὕτω κατὰ μικρὸν ῥυθμίζων τὴν γυναῖκα, ἔσῃ ζωγράφος κάλλιστος, δοῦλος πιστός, γεωργὸς ἄριστος. Μετὰ τούτων ἀναμίμνησκε αὐτὴν καὶ τῶν παλαιῶν γυναικῶν, τῆς Σάῤῥας, τῆς Ῥεβέκκας, καὶ τῶν εὐμόρφων*
25 *καὶ τῶν οὐ τοιούτων, καὶ δείκνυ πάσας ὁμοίως σωφρονούσας. Καὶ γὰρ Λεία ἡ τοῦ πατριάρχου γυνὴ οὐκ οὖσα εὔμορφος, οὐκ ἠναγκάσθη τοιοῦτον οὐδὲν ἐπινοῆσαι, ἀλλὰ καὶ*

λην προσπάθειαν, πόσῳ μᾶλλον ἡμεῖς ποὺ διαπλάθομεν τὴν ψυχὴν θὰ ἦτο δίκαιον νὰ θέτωμεν εἰς κίνησιν οἱονδήποτε μηχανισμόν. Διότι ἐὰν τὴν ὄψιν τῆς ψυχῆς αὐτῆς διαπλάσσῃς καλῶς, δὲν θὰ ἰδῇς τὸ πρόσωπον τοῦ σώματός της νὰ προβαίνῃ εἰς ἀσχημοσύνας, οὔτε βαμμένα χείλη, οὔτε στόμα ποὺ νὰ ὁμοιάζῃ μὲ τῆς ἄρκτου τὸ στόμα ποὺ εἶναι κατακόκκινον ἀπὸ τὸ αἷμα, οὔτε βαμμένα φρύδια ὡσὰν νὰ ἐβάφησαν ἀπὸ τὴν μουντζούραν τῆς χύτρας, οὔτε μάγουλα καλυμμένα μὲ φτιασίδια ὡσὰν τοὺς τοίχους τῶν τάφων. Διότι ὅλα αὐτὰ εἶναι καπνιὰ καὶ στάχτη καὶ σκόνη καὶ γνωρίσματα τῆς χειρίστης ἀσχημίας.

6. Ἀλλ' ὅμως δὲν ἠμπορῶ νὰ καταλάβω πῶς μοῦ διέφυγε καὶ ἔφθασα εἰς τέτοιου εἴδους λόγους, πῶς δηλαδὴ ἐγὼ ὁ ἴδιος κατελήφθην ἀπὸ ὀργὴν ἐνῷ συμβουλεύω τοὺς ἄλλους νὰ διδάσκουν μὲ ἐπιείκειαν. Ἂς ἐπανέλθωμεν λοιπὸν πάλιν εἰς τὴν ἠπιοτέραν συμβουλὴν καὶ ἂς ἀνεχθοῦμεν ὅλα τὰ ἐλαττώματα τῶν γυναικῶν, διὰ νὰ ἐπιτύχωμεν αὐτὸ ποὺ ἐπιθυμοῦμεν. Δὲν βλέπεις πῶς ἀνεχόμεθα τὰ παιδιὰ ποὺ κλαίουν ὅταν θέλωμεν νὰ ἀποκόψωμεν τὸν θηλασμὸν ἀπὸ τὴν μητέρα των, καὶ ποὺ ὅλα τὰ ὑπομένομεν δι' ἐκεῖνο καὶ μόνον, διὰ νὰ πείσωμεν νὰ περιφρονήσουν τὴν προηγουμένην τράπεζαν; Ἔτσι ἂς ἐνεργήσωμεν καὶ εἰς αὐτὴν τὴν περίπτωσιν· ἂς τὰ ἀνεχθοῦμεν ὅλα τὰ ἄλλα ἐλαττώματά της, διὰ νὰ ἐπιτύχωμεν αὐτό. Διότι ὅταν αὐτὸ διορθωθῇ, ἀκολουθῶν τὴν ἰδίαν ὁδὸν θὰ διορθώσῃς καὶ τὸ ἄλλο καὶ θὰ φθάσῃς καὶ εἰς τὰ χρυσὰ κοσμήματα καὶ κατὰ τὸν αὐτὸν ὅμοιον τρόπον θὰ συζητήσῃς καὶ δι' αὐτά· καὶ ἔτσι διαπλάσσων τὴν γυναῖκά σου ὀλίγον κατ' ὀλίγον, θὰ γίνῃς ἄριστος ζωγράφος, πιστὸς δοῦλος, ἄριστος γεωργός. Μαζὶ μὲ ὅλα αὐτὰ δὲ νὰ τῆς ὑπενθυμίζῃς καὶ τὰς παλαιὰς γυναῖκας, ὅπως τὴν Σάρραν, τὴν Ρεβέκκαν, καὶ τὰς ὡραίας καὶ τὰς μὴ ὡραίας, καὶ δεῖχνέ της ὅτι ὅλαι εἶχαν ἐξ ἴσου σωφροσύνην. Καθόσον ἡ Λεία, ἡ γυναῖκα τοῦ Πατριάρχου Ἰακώβ, ἂν καὶ δὲν ἦτο ὄμορφη, δὲν ἐσκέφθη νὰ μεταχει-

δυσειδὴς οὖσα, καὶ οὐ σφόδρα φιλουμένη παρὰ τοῦ συνοικοῦντος, οὔτε ἐπενόησέ τι τοιοῦτον, οὔτε τὴν ὄψιν διέφθειρεν, ἀλλ' ἔμενεν ἀκέραιον διατηροῦσα τὸν χαρακτῆρα, καὶ ταῦτα ὑπὸ Ἑλλήνων τραφεῖσα.

5 *Σὺ δὲ ἡ πιστή, ἡ τὸν Χριστὸν ἔχουσα κεφαλήν, σατανικὴν ἐπεισάγεις ἡμῖν μηχανήν; καὶ οὐκ ἀναμιμνήσκῃ τοῦ ὕδατος τοῦ περικλύσαντός σου τὴν ὄψιν, τῆς θυσίας τῆς κοσμούσης σου τὰ χείλη, τοῦ αἵματος τοῦ φοινίξαντός σου τὴν γλῶτταν; Ἂν γὰρ ταῦτα πάντα ἐννοήσῃς, κἂν μυριάκις* 10 *φιλόκοσμος ᾖς, οὐ τολμήσεις, οὐδὲ ἀνέξῃ τὸν κονιορτὸν καὶ τὴν τέφραν ἐκείνην ἐπιβαλεῖν. Μάθε ὅτι τῷ Χριστῷ ἡρμόσθης καὶ ἀπόστηθι τῆς ἀσχημοσύνης ταύτης. Οὐδὲ γὰρ τέρπεται τοῖς χρώμασι τούτοις, ἀλλ' ἕτερον ἐπιζητεῖ κάλλος, οὗ καὶ σφοδρός ἐστιν ἐραστής, τὸ ἐν τῇ ψυχῇ λέγω. Τοῦτό* 15 *σοι καὶ ὁ προφήτης ἀσκεῖν ἐκέλευσε καὶ ἔλεγε· «Καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου».*

Μὴ τοίνυν περιττὰ ἀσχημονῶμεν. Οὐδὲ γὰρ ἀτελές τι τῶν ἔργων ἐστὶ τοῦ Θεοῦ, οὐδὲ διορθώσεως δεῖται τῆς παρὰ σοῦ. Οὐδὲ γὰρ εἰ βασιλικῇ τις εἰκόνι μετὰ τὸ ἀναστῆναι 20 *προσθεῖναι ἐπιχειρήσειε τὰ παρ' ἑαυτοῦ, ἀσφαλὴς ἡ ἐπιχείρησις, ἀλλὰ τὸν ἔσχατον ὑποστήσεται κίνδυνον. Εἶτα ἄνθρωπος μὲν ἐργάζεται, καὶ οὐ προστιθεῖς· Θεὸς δὲ ἐργάζεται, καὶ διορθοῦσαι; Καὶ οὐκ ἐννοεῖς τῆς γεέννης τὸ πῦρ; οὐκ ἐννοεῖς τῆς ψυχῆς τὴν ἐρημίαν; Διὰ γὰρ τοῦτο ἐκείνη* 25 *ἠμέληται, ἐπειδὴ πᾶσα εἰς τὴν σάρκα ἡ σπουδὴ κενοῦται. Καὶ τί λέγω τὴν ψυχήν; Καὶ γὰρ αὐτῇ τῇ σαρκὶ τἀναντία*

---

34. Δηλαδὴ τὸ βάπτισμα.
35. Δηλαδὴ ἡ θ. εὐχαριστία.
36. Ψαλμ. 44, 12.

ρισθῇ κανένα παρόμοιον στολισμόν, ἀλλ' ἀντιθέτως καὶ ἐνῷ ἦτο ἄσχημη καὶ δὲν τὴν ἀγαποῦσε πάρα πολὺ ὁ ἄνδρας της, οὔτε ἐσκέφθη κάτι τὸ παρόμοιον, οὔτε τὸ πρόσωπόν της ἠλλοίωσεν, ἀλλὰ ἐπέμενε νὰ διατηρῇ ἀκέραια τὰ ἐξωτερικὰ χαρακτηριστικά της, παρὰ τὸ γεγονὸς ὅτι ἔλαβεν ἀνατροφὴν εἰδωλολατρικήν.

Σὺ ὅμως ἡ πιστὴ εἰς τὸν Χριστόν, ποὺ ἔχεις ὡς κεφαλὴν τὸν Χριστόν, χρησιμοποιεῖς διὰ τὸν ἑαυτόν σου σατανικὰ τεχνάσματα, καὶ δὲν ἐνθυμεῖσαι τὸ ὕδωρ ποὺ περιέλουσε τὸ πρόσωπόν σου[34], τὴν θυσίαν ποὺ στολίζει τὰ χείλη σου, τὸ αἷμα ποὺ ἔβαψε κοκκίνην τὴν γλῶσσαν σου[35]; Διότι ἐὰν ὅλα αὐτὰ τὰ κατανοήσῃς καὶ ἂν ἀκόμη εἶσαι εἰς ὑπερβολικὸν βαθμὸν φιλόκοσμος, δὲν θὰ ἐπιχειρήσῃς, οὔτε θὰ ἀνεχθῇς εἰς τὸ πρόσωπόν σου τὴν σκόνην ἐκείνην καὶ τὴν στάχτην. Μάθε ὅτι τὸν Χριστὸν ἐμνηστεύθης καὶ ἀπομακρύνσου ἀπὸ τὴν ἀσχημοσύνην αὐτοῦ τοῦ εἴδους. Διότι δὲν εὐχαριστεῖται μὲ αὐτὰ τὰ χρώματα, ἀλλ' ἐπιθυμεῖ ἄλλο κάλλος, τὸ ὁποῖο καὶ ἀγαπᾷ ὑπερβολικά, ἐννοῶ τὸ κάλλος τῆς ψυχῆς. Αὐτὸ τὸ κάλλος σοῦ παραγγέλλει καὶ ὁ προφήτης νὰ καλλιεργῇς διὰ τὸ ὁποῖο καὶ ἔλεγε· «Καὶ θὰ ἐπιθυμήσῃ ὁ βασιλεὺς τὸ κάλλος σου»[36].

Ἂς μὴ ἐπιδιδώμεθα λοιπὸν εἰς περιττὰς ἀσχημοσύνας. Διότι οὔτε ὑπάρχει κάτι ἀτελὲς ἀπὸ τὰ ἔργα τοῦ Θεοῦ, οὔτε ἔχει ἀνάγκην διορθώσεως ἐκ μέρους σου. Οὔτε βεβαίως εἶναι ἀσφαλὲς τὸ ἐγχείρημα ἐὰν κάποιος ἤθελεν ἐπιχειρήσει νὰ προσθέσῃ τὰς ἰδικάς του ἰδέας ἐπάνω εἰς ἕνα βασιλικὸν ἄγαλμα μετὰ τὴν τοποθέτησίν του, ἀλλ' ἀντιθέτως θὰ δοκιμάσῃ τὸν ἔσχατον κίνδυνον. Ἐὰν λοιπὸν δὲν ἔχῃς τὴν δυνατότητα νὰ προσθέτῃς κάτι εἰς ὅ,τι κατασκευάζει ὁ ἄνθρωπος, ἐπιχειρεῖς νὰ διορθώσῃς αὐτὰ ποὺ δημιουργεῖ ὁ Θεός; Καὶ δὲν σκέπτεσαι τὸ πῦρ τῆς αἰωνίου κολάσεως; Δὲν σκέπτεσαι τῆς ψυχῆς τὴν [illegible]; Διότι ἀκριβῶς δι' αὐτὸ ἐκείνη ἔχει παραμεληθῆ, ἐπειδὴ ὅλη ἡ φροντίς σου καταδαπανᾶται εἰς τὴν σάρκα σου. Μὰ διατί ὁμιλῶ διὰ τὴν

συμβαίνει ἅπαντα, ὧν ἐσπουδάκατε. Σκόπει δέ. Βούλει καλὴ φαίνεσθαι; Τοῦτό σε ἄμορφον δείκνυσι. Βούλει ἀρέσαι τῷ ἀνδρί; Τοῦτο αὐτὸν μᾶλλον λυπεῖ· καὶ οὐκ αὐτὸν μόνον, ἀλλὰ καὶ τοὺς ἔξω κατηγόρους παρασκευάζει γενέσθαι. Βούλει νέα φαίνεσθαι; Τοῦτό σε ταχέως εἰς γῆρας ἄξει. Βούλει καλλωπίζεσθαι; Τοῦτό σε αἰσχύνεσθαι ποιεῖ. Ἡ γὰρ τοιαύτη οὐχὶ τὰς ὁμοτίμους μόνον, ἀλλὰ καὶ τῶν θεραπαινίδων τὰς συνειδυίας καὶ τῶν οἰκετῶν τοὺς ἐπισταμένους αἰσχύνεται· καὶ πρό γε πάντων ἑαυτήν. Ἀλλὰ τί δεῖ λέγειν ταῦτα; Τὸ γὰρ πάντων χαλεπώτερον παρῆκα νῦν, ὅτι τῷ Θεῷ προσκρούεις, ὅτι σωφροσύνην ὑπορύττεις, ὅτι ζηλοτυπίας ἀνάπτεις φλόγα, ὅτι τὰς ἐπὶ τοῦ στέγους ζηλοῖς πορνευομένας γυναῖκας.

Ταῦτ' οὖν ἅπαντα λογισάμεναι, καταγελάσατε τῆς σατανικῆς πομπῆς καὶ τῆς διαβολικῆς τέχνης καὶ τὸν κόσμον τοῦτον ἀφεῖσαι, μᾶλλον δὲ τὴν ἀκοσμίαν, τὸ κάλλος ἐκεῖνο κατασκευάσατε ἐν ταῖς ἑαυτῶν ψυχαῖς, ὃ καὶ ἀγγέλοις ἐπέραστον καὶ Θεῷ ποθεινὸν καὶ τοῖς συνοικοῦσιν ἡδύ, ἵνα καὶ τῆς παρούσης καὶ τῆς μελλούσης ἐπιτύχητε δόξης· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ψυχήν; Κασόσον εἰς αὐτὴν τὴν ἰδίαν σάρκα λαμβάνουν χώραν ὅλα γενικῶς τὰ ἀντίθετα ἀπὸ ἐκεῖνα ποὺ ἐδιδάχθητε. Πρόσεξε ὅμως. Θέλεις νὰ φαίνεσαι ὡραία; Αὐτὸ σὲ κάμνει ἄσχημον. Θέλεις νὰ εἶσαι ἀρεστὴ εἰς τὸν ἄνδρα σου; Αὐτὸ τὸν στενοχωρεῖ περισσότερον· καὶ ὄχι μόνον αὐτόν, ἀλλὰ καὶ τοὺς ξένους τοὺς καθιστᾷ κατηγόρους σου. Θέλεις νὰ φαίνεσαι νέα; Αὐτὸ θὰ σὲ ὁδηγήσῃ ταχέως εἰς τὸ γῆρας. Θέλεις νὰ καλλωπίζεσαι; Αὐτὸ σὲ κάνει νὰ ἐντρέπεσαι. Διότι ἡ γυναῖκα αὐτοῦ τοῦ εἴδους ὄχι μόνον ἐντρέπεται τὰς ἰσοτίμους της, ἀλλὰ καὶ ἀπὸ τὰς ὑπηρετρίας της ποὺ γνωρίζουν ὅτι καλλωπίζεται, καθὼς καὶ ἀπὸ τοὺς ὑπηρέτας της ποὺ καὶ αὐτοὶ γνωρίζουν τὴν ὅλην φροντίδα της δι' αὐτὰ τὰ καλλωπίσματα, καὶ περισσότερον βεβαίως ἀπὸ ὅλους ἐντρέπεται τὸν ἑαυτόν της. Ἀλλὰ τί χρειάζεται νὰ τὰ λέγω ὅλα αὐτά; Διότι μέχρι στιγμῆς δὲν ἀνέφερα τὸ φοβερώτερον ἀπὸ ὅλα, ὅτι δηλαδὴ ἔρχεσαι εἰς ἀντίθεσιν μὲ τὸν Θεόν, ὅτι ὑπονομεύεις τὴν σωφροσύνην, ὅτι ἀνάπτεις τὴν φλόγα τῆς ζηλοτυπίας, ὅτι μιμεῖσαι τὰς γυναῖκας ἐκείνας ποὺ ἀσκοῦν τὴν πορνείαν εἰς τὰς οἰκίας των.

Ὅλα αὐτὰ λοιπὸν ἀφοῦ ἀναλογισθῆτε, περιφρονήσατε τὴν σατανικὴν ἐπίδειξιν καὶ τὴν διαβολικὴν ἐπινόησιν, καὶ ἀφοῦ ἐγκαταλείψετε αὐτὸν τὸν στολισμὸν ἢ καλύτερα τὴν ἀσχημίαν, δημιουργήσατε εἰς τὰς ψυχάς σας τὸ κάλλος ἐκεῖνο, τὸ ὁποῖον εἶναι ἀρεστὸν καὶ εἰς τοὺς ἀγγέλους καὶ εἰς τὸν Θεὸν ποθητόν, καὶ εἰς τοὺς συζύγους εὐχάριστον, διὰ νὰ ἐπιτύχετε καὶ τὴν παροῦσαν καὶ τὴν μέλλουσαν δόξαν, τὴν ὁποίαν εὔχομαι ὅλοι μας νὰ ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

συμβαίνει ἅπαντα, ὧν ἐσπουδάκατε. Σκόπει δέ. Βούλει καλὴ φαίνεσθαι; Τοῦτό σε ἄμορφον δείκνυσι. Βούλει ἀρέσαι τῷ ἀνδρί; Τοῦτο αὐτὸν μᾶλλον λυπεῖ· καὶ οὐκ αὐτὸν μόνον, ἀλλὰ καὶ τοὺς ἔξω κατηγόρους παρασκευάζει γενέσθαι. Βού-
5 *λει νέα φαίνεσθαι; Τοῦτό σε ταχέως εἰς γῆρας ἄξει. Βούλει καλλωπίζεσθαι; Τοῦτό σε αἰσχύνεσθαι ποιεῖ. Ἡ γὰρ τοιαύτη οὐχὶ τὰς ὁμοτίμους μόνον, ἀλλὰ καὶ τῶν θεραπαινίδων τὰς συνειδυίας καὶ τῶν οἰκετῶν τοὺς ἐπισταμένους αἰσχύνεται· καὶ πρό γε πάντων ἑαυτήν. Ἀλλὰ τί δεῖ λέγειν*
10 *ταῦτα; Τὸ γὰρ πάντων χαλεπώτερον παρῆκα νῦν, ὅτι τῷ Θεῷ προσκρούεις, ὅτι σωφροσύνην ὑπορύττεις, ὅτι ζηλοτυπίας ἀνάπτεις φλόγα, ὅτι τὰς ἐπὶ τοῦ στέγους ζηλοῖς πορνευομένας γυναῖκας.*

Ταῦτ᾽ οὖν ἅπαντα λογισάμεναι, καταγελάσατε τῆς σα-
15 *τανικῆς πομπῆς καὶ τῆς διαβολικῆς τέχνης καὶ τὸν κόσμον τοῦτον ἀφεῖσαι, μᾶλλον δὲ τὴν ἀκοσμίαν, τὸ κάλλος ἐκεῖνο κατασκευάσατε ἐν ταῖς ἑαυτῶν ψυχαῖς, ὃ καὶ ἀγγέλοις ἐπέραστον καὶ Θεῷ ποθεινὸν καὶ τοῖς συνοικοῦσιν ἡδύ, ἵνα καὶ τῆς παρούσης καὶ τῆς μελλούσης ἐπιτύχητε δόξης· ἧς γέ-*
20 *νοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

ψυχήν; Κασόσον εἰς αὐτὴν τὴν ἰδίαν σάρκα λαμβάνουν χώραν ὅλα γενικῶς τὰ ἀντίθετα ἀπὸ ἐκεῖνα ποὺ ἐδιδάχθητε. Πρόσεξε ὅμως. Θέλεις νὰ φαίνεσαι ὡραία; Αὐτὸ σὲ κάμνει ἄσχημον. Θέλεις νὰ εἶσαι ἀρεστὴ εἰς τὸν ἄνδρα σου; Αὐτὸ τὸν στενοχωρεῖ περισσότερον· καὶ ὄχι μόνον αὐτόν, ἀλλὰ καὶ τοὺς ξένους τοὺς καθιστᾷ κατηγόρους σου. Θέλεις νὰ φαίνεσαι νέα; Αὐτὸ θὰ σὲ ὁδηγήσῃ ταχέως εἰς τὸ γῆρας. Θέλεις νὰ καλλωπίζεσαι; Αὐτὸ σὲ κάνει νὰ ἐντρέπεσαι. Διότι ἡ γυναῖκα αὐτοῦ τοῦ εἴδους ὄχι μόνον ἐντρέπεται τὰς ἰσοτίμους της, ἀλλὰ καὶ ἀπὸ τὰς ὑπηρετρίας της ποὺ γνωρίζουν ὅτι καλλωπίζεται, καθὼς καὶ ἀπὸ τοὺς ὑπηρέτας της ποὺ καὶ αὐτοὶ γνωρίζουν τὴν ὅλην φροντίδα της δι' αὐτὰ τὰ καλλωπίσματα, καὶ περισσότερον βεβαίως ἀπὸ ὅλους ἐντρέπεται τὸν ἑαυτόν της. Ἀλλὰ τί χρειάζεται νὰ τὰ λέγω ὅλα αὐτά; Διότι μέχρι στιγμῆς δὲν ἀνέφερα τὸ φοβερώτερον ἀπὸ ὅλα, ὅτι δηλαδὴ ἔρχεσαι εἰς ἀντίθεσιν μὲ τὸν Θεόν, ὅτι ὑπονομεύεις τὴν σωφροσύνην, ὅτι ἀνάπτεις τὴν φλόγα τῆς ζηλοτυπίας, ὅτι μιμεῖσαι τὰς γυναῖκας ἐκείνας ποὺ ἀσκοῦν τὴν πορνείαν εἰς τὰς οἰκίας των.

Ὅλα αὐτὰ λοιπὸν ἀφοῦ ἀναλογισθῆτε, περιφρονήσατε τὴν σατανικὴν ἐπίδειξιν καὶ τὴν διαβολικὴν ἐπινόησιν, καὶ ἀφοῦ ἐγκαταλείψετε αὐτὸν τὸν στολισμὸν ἢ καλύτερα τὴν ἀσχημίαν, δημιουργήσατε εἰς τὰς ψυχάς σας τὸ κάλλος ἐκεῖνο, τὸ ὁποῖον εἶναι ἀρεστὸν καὶ εἰς τοὺς ἀγγέλους καὶ εἰς τὸν Θεὸν ποθητόν, καὶ εἰς τοὺς συζύγους εὐχάριστον, διὰ νὰ ἐπιτύχετε καὶ τὴν παροῦσαν καὶ τὴν μέλλουσαν δόξαν, τὴν ὁποίαν εὔχομαι ὅλοι μας νὰ ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΛΑ΄

Ματθ. 9, 18 - 26

«Ταῦτα αὐτοῦ λαλοῦντος αὐτοῖς, ἰδοὺ ἄρχων εἰσελθὼν προσεκύνει αὐτόν, λέγων· ἡ θυγάτηρ μου ἄρτι ἐτελεύτησεν·
5 *ἀλλὰ ἐλθὼν ἐπίθες τὴν χεῖρά σου ἐπ' αὐτήν, καὶ ζήσεται».*

1. Κατέλαβε τοὺς λόγους τὸ ἔργον, ὥστε πλέον τοὺς Φαρισαίους ἐπιστομισθῆναι. Καὶ γὰρ ὁ ἐλθὼν ἀρχισυνάγωγος ἦν, καὶ τὸ πένθος δεινόν. Καὶ γὰρ μονογενὲς ἦν τὸ παιδίον, καὶ ἐτῶν δώδεκα γεγονός, αὐτὸ τῆς ἡλικίας τὸ
10 *ἄνθος· ὃ δὴ μάλιστα καὶ εὐθέως αὐτὸ ἀνέστησεν. Εἰ δὲ ὁ Λουκᾶς λέγει, ὅτι ἦλθον λέγοντες· «Μὴ σκύλλε τὸν διδάσκαλον, τέθνηκε γάρ»· ἐκεῖνο ἐροῦμεν, ὅτι τὸ «Ἄρτι ἐτελεύτησε», στοχαζομένου ἦν ἀπὸ τοῦ καιροῦ τῆς ὁδοιπορίας, ἢ αὔξοντος τὴν συμφοράν. Καὶ γὰρ ἔθος τοῖς δεομένοις ἐπαί-*
15 *ρειν τῷ λόγῳ τὰ οἰκεῖα κακά, καὶ πλέον τι τῶν ὄντων λέγειν, ὥστε μᾶλλον ἐπισπάσασθαι τοὺς ἱκετευομένους. Ὅρα δὲ αὐτοῦ τὴν παχύτητα. Δύο γὰρ ἀπαιτεῖ παρὰ τοῦ Χριστοῦ, καὶ παραγενέσθαι αὐτόν, καὶ τὴν χεῖρα ἐπιθεῖναι· ὅπερ σημεῖον ἦν τοῦ καταλιπεῖν αὐτὴν ἐμπνέουσαν ἔτι. Τοῦτο καὶ*
20 *ὁ Σύρος ἐκεῖνος ὁ Νεεμὰν τὸν προφήτην ἀπῄτει. «Ἔλεγον γάρ», φησίν, «ὅτι καὶ ἐξελεύσεται καὶ τὴν χεῖρα αὐτοῦ ἐπιθήσει». Καὶ γὰρ καὶ ὄψεως δέονται καὶ αἰσθητῶν πραγμάτων οἱ παχύτερον διακείμενοι.*

---

1. Ἦτο ἐπικεφαλῆς τῶν πρὸς ἐπιτέλεσιν τῆς δημοσίας λατρείας ἐν τῇ ἰουδαϊκῇ συναγωγῇ.
2. Λουκᾶ 8, 49.
3. Βλ. Ὁμιλ. ΚΕ΄ ὑποσ. 6.
4. Προβλ. Δ΄ Βασ. 5, 11.

ΟΜΙΛΙΑ ΛΑ΄

Ματθ. 9, 18 - 26

«Ἐνῷ δὲ τοὺς ἔλεγεν αὐτά, ἰδοῦ κάποιος ἄρχων ἀφοῦ εἰσῆλθεν εἰς τὸν οἶκον ποὺ ἦτο ὁ Χριστὸς προσεκύνει αὐτὸν καὶ τοῦ ἔλεγε· Ἡ θυγάτηρ μου μόλις πρὸ ὀλίγου ἀπέθανεν· ἔλα ὅμως καὶ θέσε τὴν χεῖρά σου ἐπάνω της καὶ εἶμαι βέβαιος ὅτι θὰ ζήσῃ».

1. Τοὺς λόγους ἠκολούθησεν ἡ πρᾶξις, ὥστε ἀκόμη περισσότερον νὰ ἀποστομωθοῦν οἱ Φαρισαῖοι. Καθόσον αὐτὸς ποὺ τὸν ἐπλησίασεν ἦτο ἀρχισυνάγωγος[1] καὶ τὸ πένθος πολὺ φοβερόν. Διότι τὸ παιδὶ ἦτο μονάκριβον καὶ εἶχε γίνει δώδεκα ἐτῶν, ἐπάνω δηλαδὴ εἰς τὸ ἄνθος τῆς ἡλικίας του, καὶ δι' αὐτὸν τὸν λόγον πρὸ πάντων ἀμέσως τὸ ἀνέστησεν ὁ Ἰησοῦς. Ἐὰν ὅμως ὁ Λουκᾶς λέγῃ, ὅτι προσῆλθαν λέγοντες· «Μὴ ταλαιπωρῇς τὸν διδάσκαλον, διότι ἔχει ἀποθάνει»[2], αὐτὴν τὴν ἀπάντησιν θὰ δώσωμεν, ὅτι δηλαδὴ τὸ «Μόλις πρὸ ὀλίγου ἀπέθανε» τὸ εἶπεν ἀφοῦ ὑπελόγισε τὸν χρόνον ποὺ ἔκαμε διὰ νὰ ἔλθῃ ἐκεῖ ἢ διὰ νὰ αὐξήσῃ τὴν συμφοράν. Καθόσον συνηθίζεται αὐτοὶ ποὺ ζητοῦν κάτι μὲ παρακλήσεις νὰ μεγαλοποιοῦν μὲ τὰ λόγια τὰς δυστυχίας των καὶ νὰ τὰ παρουσιάζουν κατά τι μεγαλύτερα ἀπὸ ὅ,τι εἶναι εἰς τὴν πραγματικότητα, ὥστε νὰ ἀποσπάσουν μεγαλυτέραν συμπάθειαν ἀπὸ αὐτοὺς ποὺ ἱκετεύουν. Πρόσεξε ὅμως τὸ ἀσθενὲς τῆς πίστεώς του. Διότι ζητεῖ ἀπὸ τὸν Χριστὸν δύο πράγματα, καὶ νὰ μεταβῇ εἰς τὸν οἶκόν του καὶ νὰ θέσῃ τὴν χεῖρά του ἐπάνω της, πρᾶγμα ποὺ σημαίνει ὅτι αὐτὴ ὅταν ἔφυγεν ἀπὸ τὸ σπίτι της ὁ πατέρας της ἀνέπνεεν ἀκόμη. Ἀκριβῶς αὐτὴν τὴν ἀπαίτησιν εἶχε καὶ ὁ Σύρος ἐκεῖνος ὁ Νεεμὰν[3] ἀπὸ τὸν προφήτην. Διότι, λέγει, «Ἔλεγα ὅτι καὶ θὰ ἔλθῃ καὶ θὰ θέσῃ τὴν χεῖρά του ἐπάνω»[4]. Καὶ βεβαίως οἱ ἔχοντες ἀσθενῆ πίστιν ἔχουν ἀνάγκην καὶ ἀπὸ τὴν προσωπικὴν παρουσίαν καὶ ἀπὸ τὰ αἰσθητὰ πράγματα.

Καὶ ὁ μὲν Μᾶρκος φησίν, ὅτι τοὺς τρεῖς ἔλαβε μαθητάς, καὶ ὁ Λουκᾶς· οὗτος δὲ ἁπλῶς φησι τοὺς μαθητάς. Τίνος οὖν ἕνεκεν τὸν Ματθαῖον οὐ παρέλαβε, καίτοιγε ἄρτι προσελθόντα; Εἰς πλείονα αὐτὸν ἐπιθυμίαν ἐμβάλλων, καὶ
5 *διὰ τὸ ἀτελέστερον ἔτι διακεῖσθαι. Διὰ γὰρ τοῦτο ἐκείνους τιμᾷ, ἵνα οὗτοι κατ' ἐκείνους γένωνται. Τούτῳ δὲ ἤρκει τέως τὰ κατὰ τὴν αἱμορροοῦσαν ἰδεῖν, καὶ τὸ τραπέζῃ τιμηθῆναι καὶ κοινωνίᾳ ἁλῶν.*

Ἀναστάντι δὲ ἠκολούθουν πολλοί, ὡς ἐπὶ θαύματι με-
10 *γάλῳ, καὶ διὰ τὸ πρόσωπον τὸ παραγεγονός, καὶ ὅτι οἱ πλείους παχύτερον διακείμενοι οὐχ οὕτω ψυχῆς ἐπιμέλειαν, ὡς σώματος ἰατρείαν ἐζήτουν· καὶ συνέρρεον, οἱ μὲν ὑπὸ τῶν οἰκείων συνωθούμενοι παθῶν, οἱ δὲ τῆς τῶν ἀλλοτρίων διορθώσεως σπεύδοντες θεαταὶ γενέσθαι· λόγων δὲ ἕνε-*
15 *κεν καὶ διδασκαλίας προηγουμένως ὀλίγοι οἱ παρ' αὐτὸν φοιτῶντες ἦσαν τέως. Οὐ μὴν εἴασεν αὐτοὺς εἰς τὴν οἰκίαν εἰσελθεῖν, ἀλλὰ τοὺς μαθητὰς μόνον, καὶ οὐδὲ τούτους πάντας, πανταχοῦ παιδεύων ἡμᾶς τὴν παρὰ τῶν πολλῶν διακρούεσθαι δόξαν.*

20 *«Καὶ ἰδού», φησί, «γυνὴ ἐν ρύσει αἵματος δώδεκα ἔτη ἔχουσα, προσῆλθεν ὄπισθεν, καὶ ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ. Ἔλεγε γὰρ ἐν ἑαυτῇ· ἐὰν μόνον ἅψωμαι τοῦ ἱματίου αὐτοῦ, σωθήσομαι».*

Τίνος ἕνεκεν οὐ μετὰ παρρησίας αὐτῷ προσῆλθεν; Ἠ-
25 *σχύνετο διὰ τὸ πάθος, ἀκάθαρτος εἶναι νομίζουσα. Εἰ γὰρ ἡ ἐν καταμηνίοις οὖσα οὐκ ἐδόκει εἶναι καθαρά, πολλῷ*

---

5. Προβλ. Μαρ. 5, 37.
6. Προβλ. Λουκᾶ 8, 51.

Καὶ ὁ μὲν Μᾶρκος[5] λέγει, ὅτι ἐπῆρε μαζί του τοὺς τρεῖς μαθητάς του καθὼς ἐπίσης καὶ ὁ Λουκᾶς[6]· αὐτὸς ὅμως ἁπλῶς λέγει ὅτι παρέλαβε τοὺς μαθητάς. Διὰ ποῖον λόγον λοιπὸν τὸν Ματθαῖον δὲν τὸν ἐπῆρε μαζί του, ἂν καὶ βεβαίως μόλις πρὸ ὀλίγου προσῆλθεν εἰς τὸν ὅμιλον τῶν μαθητῶν του; Ἴσως διὰ νὰ τοῦ αὐξήσῃ τὴν ἐπιθυμίαν του καὶ ἐπειδὴ ἀκόμη πνευματικῶς εἶχεν ἀτελείας. Διότι δι' αὐτὸν τὸν λόγον τιμᾷ ἐκείνους, διὰ νὰ γίνουν αὐτοὶ ὅπως ἐκεῖνοι. Εἰς αὐτὸν ἦτο ἀρκετὸν ἀρχικῶς νὰ ἰδῇ τὰ ὅσα συνέβησαν μὲ τὴν αἱμορροοῦσαν, τὸ ὅτι ἐτιμήθη μὲ τὸ ὅτι συνέφαγε μαζί του καὶ τὸ ὅτι συμπεριελήφθη εἰς τὸν ὅμιλον τῶν μαθητῶν του.

Ἀφοῦ δὲ ἐσηκώθη τὸν ἠκολούθησαν πολλοί, διότι μετέβαινε διὰ πολὺ μεγάλο θαῦμα καὶ ἐξ αἰτίας τοῦ προσώπου ποὺ προσῆλθε καὶ τὸν ἐκάλεσε, καὶ ἐπειδὴ οἱ περισσότεροι ποὺ πνευματικῶς εἶναι ἀνώριμοι, δὲν ἐφρόντιζαν διὰ τὴν ψυχήν των ὅπως φροντίζουν διὰ τὴν θεραπείαν τοῦ σώματος, καὶ ἔτρεχαν μαζί του ἄλλοι μὲν παρακινούμενοι ἀπὸ τὰ ἰδικά των πάθη, ἄλλοι δὲ ἐπειδὴ ἐπεθύμουν νὰ γίνουν θεαταὶ τῆς θεραπείας τῶν ἄλλων ποὺ ἔπασχον· ἀρχικῶς δηλαδὴ ἦσαν ὀλίγοι ἐκεῖνοι ποὺ ἐπήγαιναν διὰ νὰ ἀκούσουν τοὺς λόγους του καὶ τὴν διδασκαλίαν του. Ἀλλ' ὅμως δὲν ἄφησεν αὐτοὺς νὰ εἰσέλθουν εἰς τὴν οἰκίαν, ἀλλὰ μόνον τοὺς μαθητάς, καὶ αὐτοὺς ὄχι ὅλους, διότι ἤθελε νὰ μᾶς διδάξῃ ν' ἀποφεύγωμεν πάντοτε τὴν δόξαν ποὺ προέρχεται ἀπὸ τοὺς ἀνθρώπους.

«Καὶ ἰδοί», λέγει, «προσῆλθε ὄπισθέν του μία γυναῖκα ποὺ ἔπασχεν ἀπὸ αἱμορραγίαν ἐπὶ δώδεκα χρόνια, καὶ ἤγγισε τὴν ἄκρη τοῦ ἐνδύματος τοῦ Κυρίου, διότι ἔλεγε μέσα της· Ἐὰν μόνον ἀγγίσω τὸ ἔνδυμά του θὰ θεραπευθῶ».

Διατί δὲν τὸν ἐπλησίασε κατὰ τρόπον φανερόν; Διότι ἐντρέπετο διὰ τὴν ἀσθένειάν της, ἐπειδὴ ἐνόμιζεν ὅτι ἦτο ἀκάθαρτος. Διότι ἐὰν ἐνόμιζεν ὅτι δὲν εἶναι καθαρὰ ἡ γυναῖκα ἐκείνη ποὺ εἶχε τὴν ἐμμηνόρροιάν της, πολὺ περισ-

μᾶλλον ἢ τοιαύτην νοσοῦσα νόσον τοῦτο ἂν ἐνόμισε· καὶ γὰρ πολλὴ παρὰ τῷ νόμῳ ἀκαθαρσία ἐνομίζετο εἶναι τὸ πάθος. Διὰ τοῦτο λανθάνει καὶ κρύπτεται. Οὐδέπω γὰρ οὐδὲ αὐτὴ τὴν προσήκουσαν καὶ ἀπηρτισμένην περὶ αὐτοῦ δόξαν εἶ-
5 χεν· ἐπεὶ οὐκ ἂν ἐνόμισε λανθάνειν.

Καὶ πρώτη προσέρχεται δημοσίᾳ αὕτη ἡ γυνή· καὶ γὰρ ἤκουσεν ὅτι καὶ γυναῖκας θεραπεύει, καὶ ὅτι ἐπὶ τὸ θυγάτριον ἀπέρχεται τὸ τετελευτηκός. Καὶ εἰς τὴν οἰκίαν μὲν αὐτὸν καλέσαι οὐκ ἐτόλμησε, καίτοιγε εὔπορος οὖσα·
10 ἀλλ' οὔτε δημοσίᾳ προσῆλθε, λάθρα δὲ μετὰ πίστεως τῶν ἱματίων ἥψατο. Οὐδὲ γὰρ ἀμφέβαλεν, οὐδὲν εἶπεν ἐν ἑαυτῇ· ἆρα ἀπαλλαγήσομαι τοῦ νοσήματος; ἆρα οὐκ ἀπαλλαγήσομαι; ἀλλὰ θαρρήσασα περὶ τῆς ὑγιείας οὕτω προσῆλθεν. «Ἔλεγε γάρ», φησίν, «ἐν ἑαυτῇ· ἐὰν μόνον ἅψωμαι τοῦ
15 ἱματίου αὐτοῦ, σωθήσομαι». Καὶ γὰρ εἶδεν ἐκ ποίας ἐξῆλθεν οἰκίας, τῆς τῶν τελωνῶν, καὶ τίνες ἦσαν οἱ ἑπόμενοι, ἁμαρτωλοὶ καὶ τελῶναι· καὶ ταῦτα πάντα εὐελπίδα αὐτὴν ἐποίησε.

Τί οὖν ὁ Χριστός; Οὐκ ἀφῆκεν αὐτὴν λαθεῖν, ἀλλ' εἰς
20 μέσον ἄγει καὶ δήλην καθίστησι, πολλῶν ἕνεκεν. Καίτοιγέ τινες τῶν ἀναισθήτων φασί, δόξης αὐτὸν ἐρῶντα τοῦτο ποιεῖν. Διατί γάρ, φησίν, οὐκ ἀφῆκεν αὐτὴν λαθεῖν; Τί λέγεις, ὦ μιαρὲ καὶ παμμίαρε; ὁ κελεύων σιγᾶν, ὁ μυρία παρατρέχων θαύματα, οὗτος δόξης ἐρᾷ; Τίνος οὖν ἕνεκεν
25 εἰς μέσον ἄγει; Πρῶτον λύει τὸ δέος τῆς γυναικός, ἵνα μὴ

---

7. Πρβλ. Μάρκ. 5, 36. Λουκᾶ 8, 43.

σότερον ἦτο φυσικὸν νὰ ἐνόμιζεν αὐτὴ ποὺ ἔπασχεν ἀπὸ τέτοιου εἴδους ἀσθένειαν, καθόσον ἐθεωρεῖτο ἀπὸ τὸν νόμον μεγάλη ἀκαθαρσία αὐτὴ ἡ ἀσθένεια. Οὔτε καὶ αὐτὴ βεβαίως εἶχεν ἀκόμη τὴν πρέπουσαν καὶ ὡλοκληρωμένην γνώμην περὶ τοῦ Κυρίου, καθόσον, ἐὰν τὴν εἶχε, δὲν θὰ ἐνόμιζεν ὅτι δὲν θὰ ἐγίνετο ἀντιληπτή.

Καὶ πρώτη ποὺ ἐπλησίασε δημοσίως τὸν Κύριον ἦτο αὐτή, καθόσον ἤκουσεν ὅτι καὶ γυναῖκας θεραπεύει καὶ ὅτι τὴν στιγμὴν ἐκείνην μετέβαινεν εἰς τὸν οἶκον τῆς ἀποθανούσης θυγατρὸς τοῦ ἀρχισυναγώγου. Καὶ δὲν ἐτόλμησε μὲν νὰ τὸν προσκαλέσῃ εἰς τὸν οἶκόν της, ἂν καὶ ἦτο πλουσία[7], ἀλλ' οὔτε δημοσίως τὸν ἐπλησίασε, παρὰ μόνον ἤγγισε κρυφίως μὲ πίστιν ὅμως εἰς τὴν δύναμίν του τὰ ἐνδύματα τοῦ Κυρίου. Διότι δὲν εἶχεν οὔτε ἀμφιβολίας, οὔτε εἶπε μέσα της· .'Ἆρά γε θὰ θεραπευθῶ ἀπὸ τὴν ἀσθένειάν μου; ἆρά γε δὲν θὰ θεραπευθῶ;' ἀλλὰ ἔχουσα βεβαίαν τὴν πεποίθησιν ὅτι θὰ θεραπευθῇ τὸν ἐπλησίασε κατ' αὐτὸν τὸν τρόπον. «Διότι», λέγει, «ἔλεγε μέσα της· Ἐὰν καὶ μόνον ἀγγίσω τὸ ἔνδυμά του θὰ θεραπευθῶ». Καθόσον βεβαίως εἶδεν ἀπὸ ποίαν οἰκίαν ἐξῆλθε, δηλαδὴ τῶν τελωνῶν, καὶ ποῖοι ἦσαν αὐτοὶ ποὺ τὸν ἀκολουθοῦσαν, οἱ ἁμαρτωλοὶ δηλαδὴ καὶ οἱ τελῶναι, καὶ ὅλα αὐτὰ τὴν ἔκαμαν νὰ ἐλπίζῃ ὅτι θὰ σωθῇ ὁπωσδήποτε.

Πῶς ἐνήργησε λοιπὸν ὁ Χριστός; Δὲν τὴν ἄφησε νὰ μείνῃ ἀπαρατήρητος, ἀλλὰ τὴν ὁδηγεῖ παρουσίᾳ ὅλων καὶ τὴν καθιστᾷ φανεράν, διὰ πολλοὺς λόγους. Ἂν καὶ μερικοὶ ἀπὸ τοὺς ἀναισθήτους ἰσχυρίζονται, ὅτι τὸ ἔκαμεν αὐτὸ ἐπειδὴ ἤθελε νὰ ἀποκτήσῃ φήμην. Τότε διὰ ποίαν αἰτίαν, θὰ εἴπῃ κανείς, δὲν τὴν ἄφησε νὰ περάσῃ ἀπαρατήρητη; Τί εἶναι αὐτὸ ποὺ λέγεις, μιαρὲ καὶ μάλιστα μιαρώτατε; αὐτὸς ποὺ προτρέπει νὰ σιωποῦν οἱ θεραπευόμενοι ὑπ' αὐτοῦ, αὐτὸς ποὺ ἀφήνει πολλὰ θαύματα ἀπαρατήρητα, αὐτὸς ἐπιθυμεῖ τὴν δόξαν; Ἐπομένως διὰ ποῖον λόγον τὴν ὁδηγεῖ εἰς τὸ μέσον τοῦ πλήθους; Κατ' ἀρχὴν διαλύει τὸν φό-

ὑπὸ τοῦ συνειδότος κεντουμένη, καθάπερ κεκλοφυῖα τὴν δωρεάν, ἐν ἀγωνίᾳ διατρίβῃ. Δεύτερον, αὐτὴν διορθοῦται, ἐπειδὴ ἐνόμισε λανθάνειν. Τρίτον, πᾶσι τὴν πίστιν αὐτῆς ἐπιδείκνυται, ὥστε καὶ τοὺς ἄλλους ζηλῶσαι· καὶ τοῦ στῆσαι **5** *τὰς πηγὰς τοῦ αἵματος οὐκ ἔλαττον σημεῖον παρέχεται, τὸ δεῖξαι ὅτι πάντα ἐπίσταται. Ἔπειτα, τὸν ἀρχισυνάγωγον μέλλοντα διαπιστεῖν, καὶ ταύτῃ τὸ πᾶν διαφθείρειν, κατορθοῖ διὰ τῆς γυναικός. Καὶ γὰρ οἱ ἐλθόντες ἔλεγον· «Μὴ σκύλλε τὸν διδάσκαλον, ὅτι τέθνηκε τὸ κοράσιον»· καὶ οἱ* **10** *ἐν τῇ οἰκίᾳ κατεγέλων αὐτοῦ εἰπόντος, ὅτι καθεύδει· καὶ εἰκὸς ἦν καὶ τὸν πατέρα τοιοῦτόν τι πεπονθέναι.*

2. Διὰ τοῦτο προδιορθούμενος ταύτην τὴν ἀσθένειαν, ἄγει τὸ γύναιον εἰς μέσον. Ὅτι γὰρ τῶν σφόδρα παχυτέρων ἦν ἐκεῖνος, ἄκουσον τί φησι πρὸς αὐτόν· «Μὴ φοβοῦ, **15** *σὺ μόνον πίστευε, καὶ σωθήσεται». Καὶ γὰρ τὸν θάνατον ἐπίτηδες ἔμενεν ἐπελθεῖν, καὶ τότε παραγενέσθαι, ὥστε σαφῆ γενέσθαι τῆς ἀναστάσεως τὴν ἀπόδειξιν. Διὰ τοῦτο καὶ σχολαιότερον βαδίζει καὶ διαλέγεται τῇ γυναικὶ πλείονα, ἵνα συγχωρήσῃ τελευτῆσαι ἐκείνην καὶ παραγενέσθαι* **20** *τοὺς ταῦτα ἀπαγγέλλοντας καὶ λέγοντας· «Μὴ σκύλλε τὸν διδάσκαλον». Τοῦτο γοῦν καὶ ὁ εὐαγγελιστὴς αἰνιττόμενος ἐπισημαίνεται λέγων, ὅτι «Ἔτι λαλοῦντος αὐτοῦ, ἦλθον οἱ ἀπὸ τῆς οἰκίας λέγοντες· τέθνηκεν ἡ θυγάτηρ σου, μὴ σκύλλε τὸν διδάσκαλον». Ἐβούλετο γὰρ πιστευθῆναι τὸν θάνα-* **25** *τον, ἵνα μὴ ὑποπτευθῇ ἡ ἀνάστασις. Καὶ τοῦτο πανταχοῦ ποιεῖ. Οὕτω καὶ ἐπὶ τοῦ Λαζάρου, καὶ μίαν καὶ δευτέραν*

---

8. Λουκᾶ 8, 49.
9. Λουκᾶ 8, 50.
10. Λουκᾶ 8, 49.

βον τῆς γυναικὸς διὰ νὰ μὴ ζῇ μὲ ἀγωνίαν πιεζομένη ἀπὸ τὴν συνείδησίν της, ὡσάν, τρόπον τινά, νὰ εἶχε κλέψει τὴν δωρεάν. Δεύτερον διορθώνει τὴν σκέψιν της, ἐπειδὴ ἐνόμισεν ὅτι διέφυγε τὴν προσοχήν του. Τρίτον ἀποκαλύπτει εἰς ὅλους τὴν πίστιν της, ὥστε καὶ οἱ ἄλλοι νὰ τὴν μιμηθοῦν. Καὶ τὸ ὅτι ὅμως ἐσταμάτησε τὴν ροὴν τοῦ αἵματος δὲν ἦτο μικρότερον θαῦμα ἀπὸ τὸ ὅτι ἀπέδειξεν ὅτι τὰ γνωρίζει ὅλα. Ἔπειτα τὸν ἀρχισυνάγωγον, ὁ ὁποῖος ἐπρόκειτο νὰ ὀλιγοπιστήσῃ καὶ νὰ καταστρέψῃ μ' αὐτὸ τὸ πᾶν, τὸν συγκρατεῖ εἰς τὴν πίστιν του διὰ τῆς γυναικός. Καθόσον αὐτοὶ ποὺ ἦλθαν ἀπὸ τὸν οἶκόν του ἔλεγαν· «Μὴ ταλαιπωρῇς τὸν Διδάσκαλον, διότι ἀπέθανε ἡ κόρη σου»[8]. Καὶ οἱ εὑρισκόμενοι εἰς τὴν οἰκίαν του τὸν ἐκορόϊδευαν ποὺ εἶπεν ὅτι «Κοιμᾶται», καὶ ἦτο φυσικὸν καὶ ὁ πατέρας τῆς ἀποθανούσης νὰ πάθῃ κάτι τι παρόμοιον.

2. Διὰ τοῦτο, προλαμβάνων αὐτὴν τὴν ἐνδεχομένην ἀδυναμίαν, ὁδηγεῖ τὴν γυναῖκα εἰς τὸ μέσον τοῦ πλήθους. Τὸ ὅτι βεβαίως ἦτο ἐκεῖνος ἀπὸ τοὺς πάρα πολὺ ἀνωρίμους πνευματικῶς ἄκουσε τί λέγει πρὸς αὐτὸν ὁ Κύριος· «Μὴ φοβῆσαι, μόνον πίστευε καὶ θὰ σωθῇ»[9]. Καθόσον σκοπίμως ἐπερίμενεν ὁ Ἰησοῦς ν' ἀποθάνῃ καὶ μετὰ νὰ μεταβῇ ἐκεῖ, ὥστε νὰ γίνῃ σαφὴς ἡ ἀπόδειξις τῆς ἀναστάσεώς της. Διὰ τὸν λόγον αὐτὸν βαδίζει καὶ μὲ βραδύτητα καὶ κάνει μακρὰν συζήτησιν μὲ τὴν γυναῖκα, διὰ νὰ δώσῃ τὴν δυνατότητα ν' ἀποθάνῃ ἐκείνη καὶ νὰ προσέλθουν αὐτοὶ ποὺ θὰ ἀνήγγελλαν τὰ συμβάντα καὶ νὰ εἰποῦν· «Μὴ ἐνοχλῇς τὸν Διδάσκαλον». Αὐτὸ λοιπὸν φανερώνει καὶ ὁ εὐαγγελιστὴς μὲ ὑπαινιγμοὺς λέγων, ὅτι «Ἐνῷ ἀκόμη ὡμίλει ὁ Ἰησοῦς, ἦλθαν οἱ ἀπεσταλμένοι ἀπὸ τὴν οἰκίαν τοῦ ἀρχισυναγώγου λέγοντες· Ἀπέθανεν ἡ θυγάτηρ σου, μὴ ἐνοχλῇς τὸν Διδάσκαλον»[10]. Ἤθελε δηλαδὴ νὰ πιστεύσουν ὅτι ἀπέθανεν, ὥστε νὰ μὴ θεωρηθῇ ὕποπτος ἡ ἀνάστασις. Καὶ εἰς κάθε περίπτωσιν αὐτὸ ἀκριβῶς κάμνει. Ἔτσι καὶ εἰς τὴν περίπτωσιν τοῦ Λαζάρου ἐπερίμενε καὶ μίαν καὶ δύο καὶ τρεῖς

καὶ τρίτην ἡμέραν ἔμεινε. Διὰ δὴ ταῦτα πάντα ἄγει αὐτὴν εἰς μέσον καί φησι· «Θάρσει, θύγατερ»· ὥσπερ καὶ τῷ παραλύτῳ ἔλεγε· «Θάρσει, τέκνον». Καὶ γὰρ περιδεὴς ἦν ἡ γυνή· διὰ τοῦτό φησι, θάρσει, καὶ θυγατέρα καλεῖ· ἡ γὰρ πίστις αὐτὴν θυγατέρα ἐποίησεν. Εἶτα καὶ τὸ ἐγκώμιον· «Ἡ πίστις σου σέσωκέ σε».

Ὁ δὲ Λουκᾶς καὶ πλείονα τούτων ἡμῖν ἕτερα ἀπαγγέλλει περὶ τῆς γυναικός. Ἐπειδὴ γὰρ προσῆλθε, φησί, καὶ τὴν ὑγίειαν ἔλαβεν, οὐκ εὐθέως ἐκάλεσεν αὐτὴν ὁ Χριστός, ἀλλὰ πρότερόν φησι· «Τίς ἐστιν ὁ ἁψάμενός μου;». Εἶτα τοῦ Πέτρου καὶ τῶν μετ' αὐτοῦ λεγόντων· «Ἐπιστάτα, οἱ ὄχλοι συνέχουσί σε καὶ ἀποθλίβουσι καὶ λέγεις, τίς ὁ ἁψάμενός μου;», (ὃ μέγιστον ἦν σημεῖον τοῦ καὶ σάρκα αὐτὸν ἀληθῆ περικεῖσθαι, καὶ πάντα τῦφον καταπατεῖν· οὐδὲ γὰρ πόρρωθεν εἵποντο, ἀλλὰ συνεῖχον αὐτὸν πάντοθεν)· αὐτὸς δὲ ἐπέμενε, φησί, λέγων, ὅτι «Ἥψατό μού τις· ἐγὼ γὰρ πόρρωθεν εἵποντο, ἀλλὰ συνεῖχον αὐτὸν πάντοθεν)· αν τῶν ἀκουόντων παχύτερον ἀποκρινόμενος. Ταῦτα δὲ ἔλεγεν, ἵνα καὶ ἐκείνην ἀφ' ἑαυτῆς ὁμολογῆσαι πείσῃ. Διὰ γὰρ τοῦτο οὐδὲ εὐθέως αὐτὴν ἤλεγξεν, ἵνα δείξας ὅτι πάντα οἶδε σαφῶς, αὐτόματον πείσῃ πάντα ἐξειπεῖν καὶ αὐτὴν ἀνακηρῦξαι τὸ γεγενημένον παρασκευάσῃ καὶ μὴ λέγων ὕποπτος εἶναι δόξῃ.

Εἶδες τοῦ ἀρχισυναγώγου βελτίονα τὴν γυναῖκα; Οὐ κατέσχεν, οὐκ ἐκράτησεν· ἀλλ' ἄκροις τοῖς δακτύλοις ἥψατο μόνον καὶ ὑστέρα ἐλθοῦσα, προτέρα θεραπευθεῖσα ἀπῆλθε. Καὶ ἐκεῖνος μὲν ὅλον τὸν ἰατρὸν ἦγεν εἰς τὴν οἰκίαν· ταύτῃ

---

11. Ματθ. 9, 2.
12. Λουκᾶ 8, 45.
13. Λουκᾶ 8, 45.
14. Λουκᾶ 8, 46.

ἡμέρας. Ἐξ αἰτίας ὅλων αὐτῶν λοιπῶν ὁδηγεῖ αὐτὴν εἰς τὸ μέσον καὶ τῆς λέγει· «Ἔχε θάρρος, θύγατερ», λόγια ποὺ ἀκριβῶς ἔλεγε καὶ εἰς τὸν παράλυτον· «Ἔχε θάρρος, τέκνον μου»[11]. Πράγματι δὲ ἡ γυναῖκα ἦτο γεμάτη ἀπὸ φόβον, καὶ δι' αὐτὸ τῆς λέγει «Ἔχε θάρρος», καὶ τὴν ὀνομάζει θυγατέρα· διότι ἡ πίστις της τὴν ἔκαμε θυγατέρα. Εἰς τὴν συνέχειαν ἀκολουθεῖ τὸ ἐγκώμιον· «Ἡ πίστις σου σὲ ἔχει σώσει».

Ὁ δὲ Λουκᾶς ἀναφέρει διὰ τὴν γυναῖκα καὶ ἄλλα πολὺ περισσότερα ἀπὸ αὐτά. Λέγει δηλαδή, ὅτι, ὅταν τὸν ἐπλησίασε καὶ ἐθεραπεύθη, δὲν τὴν ἐκάλεσεν ἀμέσως ὁ Χριστός, ἀλλὰ κατ' ἀρχὴν εἶπε· «Ποῖος εἶναι αὐτὸς ποὺ μὲ ἤγγισεν;»[12]. Ἔπειτα ὅταν ὁ Πέτρος καὶ οἱ ἄλλοι μαθηταὶ τοῦ εἶπαν· «Διδάσκαλε, ὁ κόσμος σὲ ἔχει περικυκλωμένον καὶ σὲ συνθλίβει καὶ σὺ λέγεις, Ποῖος εἶναι αὐτὸς ποὺ σὲ ἤγγισεν;»[13] (αὐτὸ εἶναι μεγίστη ἀπόδειξις ὅτι ὁ Ἰησοῦς εἶχεν ἀληθινὸν σῶμα καὶ ὅτι ἦτο ἄσχετος μὲ κάθε εἶδος ὑπερηφανείας· διότι δὲν τὸν ἠκολούθουν ἀπὸ μακρυά, ἀλλὰ τὸν συνέθλιβαν ἀπὸ παντοῦ), αὐτός, λέγει ὁ Λουκᾶς, ἐπέμενε λέγων ὅτι «Κάποιος μὲ ἤγγισε· διότι ἐγὼ ἀντελήφθην νὰ ἐξέρχεται ἀπὸ ἐμὲ κάποια δύναμις»[14], δίδων ἀπάντησιν χειροπιαστὴν εἰς τὰς ὑποψίας τῶν ἀκροατῶν. Αὐτὰ δὲ τὰ ἔλεγε διὰ νὰ πείσῃ τὴν γυναῖκα μόνη της νὰ ὁμολογήσῃ τὴν πρᾶξίν της. Ἀκριβῶς διὰ τὸν λόγον αὐτὸν δὲν τὴν ἤλεγξεν ἀμέσως, διὰ νὰ τὴν πείσῃ μόνη της νὰ τὰ ἀποκαλύψῃ ὅλα, ἀφοῦ ἤθελεν ἀποδείξει ὅτι τὰ γνωρίζει ὅλα σαφῶς, καὶ νὰ τὴν προετοιμάσῃ νὰ διακηρύξῃ μόνη της τὸ ἐπιτελεσθὲν θαῦμα, καὶ νὰ μὴ φανῇ ὕποπτος ἀποκαλύπτων τοῦτο ὁ ἴδιος.

Πρόσεξες τὴν ἀνωτερότητα τῆς γυναικὸς ἔναντι τοῦ ἀρχισυναγώγου; Δὲν τὸν ἔπιασεν οὔτε τὸν ἐκράτησεν, ἀλλὰ μόνον τὸν ἤγγισε μὲ τὰ ἄκρα τῶν δακτύλων της, καὶ ἐνῷ ἦλθε τελευταία, ἀνεχώρησε, ἀφοῦ εἶχε θεραπευθῆ, πρώτη. Καὶ ἐκεῖνος μὲν ὡδήγησεν ὅλον τὸν ἰατρὸν εἰς τὴν

δὲ ἤρκεσε καὶ ἁφὴ μόνον. Εἰ γὰρ καὶ τῷ πάθει ἦν συνδεδεμένη, ἀλλὰ τῇ πίστει ἦν ἀνεπτερωμένη. Σκόπει δὲ πῶς αὐτὴν παραμυθεῖται λέγων· «Ἡ πίστις σου σέσωκέ σε». Καίτοιγε εἰ ἐπιδείξεως ἕνεκεν αὐτὴν εἵλκυσεν εἰς τὸ μέ-
5 *σον, οὐκ ἂν τοῦτο προσέθηκεν· ἀλλ' ὁμοῦ τὸν ἀρχισυνάγωγον παιδεύων πιστεῦσαι, ταῦτά φησι, καὶ τὴν γυναῖκα ἀνακηρύττων, καὶ οὐκ ἐλάττω τῆς τοῦ σώματος ὑγιείας διὰ τῶν ῥημάτων τούτων παρέχων αὐτῇ τὴν ἡδονὴν καὶ τὴν ὠφέλειαν. Ὅτι γὰρ ἐκείνην δοξάσαι βουλόμενος ταῦτα ἐ-*
10 *ποίει, καὶ ἑτέρους διορθῶσαι, ἀλλ' οὐχ ἑαυτὸν ἀποφῆναι λαμπρόν, δῆλον ἐντεῦθεν. Αὐτὸς μὲν γὰρ ὁμοίως ἔμελλεν εἶναι θαυμαστὸς καὶ τούτου χωρίς· (ὑπὲρ γὰρ τὰς νιφάδας αὐτὸν περιέρρει τὰ θαύματα, καὶ πολλῷ τούτου μείζονα καὶ εἰργάσατο καὶ ποιήσειν ἔμελλεν)· ἡ δὲ γυνή, εἰ μὴ τοῦτο*
15 *γέγονε, λαθοῦσα ἂν ἀπῆλθε, τῶν μεγάλων τούτων ἀπεστερημένη ἐπαίνων. Διὰ τοῦτο αὐτὴν εἰς μέσον ἀγαγὼν ἀνεκήρυξε καὶ τὸ δέος ἐξέβαλε (καὶ γὰρ τρέμουσα, φησί, προσῆλθε) καὶ θαρρεῖν αὐτὴν παρεσκεύασε καὶ μετὰ τῆς ὑγιείας τοῦ σώματος καὶ ἕτερα αὐτῇ δέδωκεν ἐφόδια, εἰπών, «Πο-*
20 *ρεύου ἐν εἰρήνῃ».*

«Ἐλθὼν δὲ εἰς τὴν οἰκίαν τοῦ ἄρχοντος καὶ ἰδὼν τοὺς αὐλητὰς καὶ τὸν ὄχλον θορυβούμενον, ἔλεγεν· ἀποχωρεῖτε· οὐ γὰρ ἀπέθανε τὸ κοράσιον, ἀλλὰ καθεύδει. Καὶ κατεγέλων αὐτοῦ». Καλά γε τῶν ἀρχισυναγώγων τὰ τεκμήρια,
25 *ἐν τῷ ἀποθανεῖν αὐλοὶ καὶ κύμβαλα θρῆνον ἐγείροντες. Τί*

15. Λουκᾶ 8, 48.
16. Πρβλ. Λουκᾶ 8, 47.
17. Λουκᾶ 8, 48.
18. Ματθ. 9, 23-24.
19. Μουσικὸν ὄργανον τῶν Ἑβραίων.

οἰκίαν του, ἐνῷ αὐτὴ ἠρκέσθη καὶ μόνον εἰς τὴν ἀφήν. Καὶ μολονότι βεβαίως ὑπέφερεν ἀπὸ τὴν ἀσθένειάν της, παρὰ ταῦτα ἡ πίστις της ἀνεπτέρωνε τὰς δυνάμεις της. Πρόσεξε δὲ τὸν τρόπον μὲ τὸν ὁποῖον τὴν παρηγορεῖ ὁ Κύριος λέγων· «Ἡ πίστις σου σὲ ἔχει σώσει»[15]. Καὶ βεβαίως ἐὰν τὴν εἶχεν ὁδηγήσει εἰς τὸ μέσον τῶν παρευρισκομένων μὲ σκοπὸν τὴν ἐπίδειξιν δὲν θὰ ἦτο δυνατὸν νὰ προσθέσῃ τοὺς λόγους αὐτούς. Ἀλλὰ αὐτὰ τὰ εἶπε ὥστε καὶ τὸν ἀρχισυνάγωγον νὰ προετοιμάσῃ διὰ νὰ πιστεύσῃ καὶ διὰ νὰ διακηρύξῃ τὴν πίστιν τῆς γυναικὸς καὶ διὰ νὰ χαρίσῃ μὲ τοὺς λόγους αὐτοὺς εἰς αὐτὴν εὐχαρίστησιν καὶ ὠφέλειαν ὄχι μικροτέραν ἀπὸ τὴν θεραπείαν τοῦ σώματος. Τὸ ὅτι δὲ ἔκαμνεν αὐτὰ μὲ σκοπὸν νὰ δοξάσῃ ἐκείνην καὶ ἄλλους νὰ διορθώσῃ καὶ ὄχι διὰ νὰ δοξάσῃ τὸν ἴδιον τὸν ἑαυτόν του γίνεται φανερὸν ἐξ ὅλων τῶν ἀνωτέρω. Διότι ὁ ἴδιος βεβαίως καὶ χωρὶς αὐτὸ τὸ συμβὰν ἐπρόκειτο ἐξ ἴσου νὰ εἶναι θαυμαστὸς (διότι τὰ θαύματά του ἦσαν ἀφθονώτερα ἀπὸ τὰς χιονονιφάδας καὶ πολὺ πιὸ μεγαλύτερα ἀπὸ αὐτὸ καὶ ἐπετέλεσε καὶ ἐπρόκειτο νὰ κάμῃ), ἡ γυναῖκα ὅμως, ἐὰν δὲν συνέβαινεν αὐτό, κατὰ πᾶσαν πιθανότητα θὰ ἔφευγεν ἀπαρατήρητη καὶ θὰ ἤθελε στερηθῆ τῶν μεγάλων τούτων ἐπαίνων. Καὶ ἀκριβῶς δι' αὐτὸ τὴν ὡδήγησεν εἰς τὸ μέσον τοῦ πλήθους καὶ διεκήρυξε τὴν πίστιν της καὶ ἀπέβαλε τὸν φόβον της (καθόσον, λέγει, τὸν ἐπλησίασε τρέμουσα)[16] καὶ ἐπλήρωσε τὴν ψυχήν της μὲ θάρρος καὶ μαζὶ μὲ τὴν ὑγείαν τοῦ σώματος τῆς ἔδωσε καὶ ἄλλα ἐφόδια λέγων τὰ ἑξῆς· «Πήγαινε εἰς εἰρήνην»[17].

«Καὶ ὅταν ἦλθεν ὁ Ἰησοῦς εἰς τὴν οἰκίαν τοῦ ἄρχοντος καὶ εἶδε τοὺς παίζοντας αὐλὸν καὶ τὸν κόσμον γεμᾶτον ἀπὸ ταραχὴν καὶ ἀνησυχίαν εἶπε· Πηγαίνετε ἀπὸ ἐδῶ· διότι δὲν ἀπέθανε τὸ κοράσιον, ἀλλὰ κοιμᾶται. Καὶ τότε ἤρχισαν αὐτοὶ νὰ τὸν περιγελοῦν»[18]. Ἦσαν βεβαίως καλαὶ ἀποδείξεις ὅτι ἦσαν ἀρχισυνάγωγοι, καθόσον κατὰ τοὺς διαφόρους θανάτους ἐδημιούργουν θρῆνον οἱ αὐλοὶ καὶ τὰ κύμβαλα[19].

οὖν ὁ Χριστός; Τοὺς μὲν ἄλλους ἅπαντας ἐξέβαλε, τοὺς δὲ γεγεννηκότας εἰσήγαγεν, ὥστε μὴ ἐγγενέσθαι εἰπεῖν, ὅτι ἄλλως ἐθεράπευσε· καὶ πρὸ τῆς ἀναστάσεως δὲ ἐγείρει τῷ λόγῳ, λέγων· «Οὐ τέθνηκε τὸ κοράσιον, ἀλλὰ καθεύδει».
5 *Καὶ πολλαχοῦ δὲ τοῦτο ποιεῖ. Ὥσπερ οὖν καὶ ἐπὶ τῆς θαλάττης ἐπιτιμᾷ τοῖς μαθηταῖς πρῶτον· οὕτω δὴ καὶ ἐνταῦθα τὸν θόρυβον ἐκβάλλει τῆς διανοίας τῶν παρόντων, ὁμοῦ καὶ δεικνὺς ὅτι εὔκολον αὐτῷ τοὺς τεθνηκότας ἐγεῖραι· (ὃ δὴ καὶ ἐπὶ τοῦ Λαζάρου πεποίηκε, λέγων· «Λάζαρος ὁ φίλος*
10 *ἡμῶν κεκοίμηται»)· καὶ ἅμα παιδεύων μὴ δεδιέναι τὸν θάνατον· οὐ γὰρ εἶναι θάνατον αὐτόν, ἀλλ᾽ ὕπνον λοιπὸν γεγενῆσθαι. Ἐπειδὴ γὰρ καὶ αὐτὸς ἔμελλεν ἀποθνήσκειν, ἐν τοῖς ἑτέρων σώμασι προπαρασκευάζει τοὺς μαθητὰς θαρρεῖν καὶ πράως φέρειν τὴν τελευτήν. Καὶ γὰρ αὐτοῦ παρα-*
15 *γενομένου λοιπὸν ὕπνος ὁ θάνατος ἦν. Ἀλλ᾽ ὅμως κατεγέλων αὐτοῦ· αὐτὸς δὲ οὐκ ἠγανάκτησεν ἀπιστούμενος ἐφ᾽ οἷς μικρὸν ὕστερον ἔμελλε θαυματουργεῖν· οὐδὲ ἐπετίμησε τῷ γέλωτι, ἵνα καὶ αὐτὸς καὶ οἱ αὐλοὶ καὶ τὰ κύμβαλα καὶ τὰ ἄλλα πάντα ἀπόδειξις γένηται τοῦ θανάτου.*

20 *3. Ἐπειδὴ γὰρ ὡς τὰ πολλὰ μετὰ τὸ γενέσθαι τὰ θαύματα ἀπιστοῦσιν ἄνθρωποι, προκαταλαμβάνει ταῖς οἰκείαις ἀποκρίσεσιν αὐτούς· ὃ δὴ καὶ ἐπὶ τοῦ Λαζάρου γέγονε καὶ ἐπὶ τοῦ Μωϋσέως. Καὶ γὰρ Μωϋσῇ φησι· «Τί τοῦτο τὸ ἐν*

---

20. Ἰω. 11, 11.

Τί ἔκαμε λοιπὸν ὁ Χριστός; Ὅλους μὲν τοὺς ἄλλους τοὺς ἔβγαλεν ἔξω, μόνον δὲ τοὺς γονεῖς της ἐπέτρεψε νὰ μείνουν μέσα μαζί του, ὥστε νὰ μὴ ὑπάρξῃ ἡ δυνατότης νὰ εἰποῦν ὅτι τὴν ἀνέστησε κατ' ἄλλον τρόπον, καὶ προτοῦ τὴν ἀναστήσῃ τοὺς ἐνθαρρύνει μὲ τὰ λόγια λέγων τὰ ἑξῆς· «Δὲν ἀπέθανε τὸ κοράσιον, ἀλλὰ κοιμᾶται». Καὶ εἰς πολλὰς δὲ περιπτώσεις κάμνει τὸ ἴδιο πρᾶγμα. Ὅπως ἀκριβῶς λοιπὸν εἰς τὴν περίπτωσιν τῆς θαλάσσης ἐπιτιμᾷ κατ' ἀρχὴν τοὺς μαθητάς, ἔτσι βεβαίως καὶ εἰς τὴν περίπτωσιν αὐτὴν ἀρχικῶς ἐκβάλλει τὸ φόβον ἀπὸ τὴν σκέψιν τῶν παρευρισκομένων, δεικνύων δὲ συγχρόνως ὅτι εἶναι εὔκολον πρᾶγμα εἰς αὐτὸν νὰ ἀναστήσῃ τοὺς νεκροὺς (πρᾶγμα βεβαίως ποὺ εἶχε κάμει καὶ εἰς τὴν περίπτωσιν τοῦ Λαζάρου διὰ τῶν ἑξῆς λόγων· «Ὁ Λάζαρος ὁ φίλος μας ἔχει κοιμηθῆ[20]) καὶ συγχρόνως διδάσκει τοὺς παρευρισκομένους ὅτι δὲν πρέπει νὰ φοβῶνται τὸν θάνατον, διότι αὐτὸς δὲν εἶναι θάνατος, ἀλλ' ἔχει μεταβληθῆ πλέον εἰς ὕπνον. Ἐπειδὴ δηλαδὴ ἐπρόκειτο καὶ ὁ ἴδιος ὁ Κύριος ν' ἀποθάνῃ προετοιμάζει τοὺς μαθητάς του διὰ τῶν θαυματουργικῶν ἐνεργειῶν του ἐπὶ τῶν σωμάτων τῶν ἄλλων νὰ ἔχουν θάρρος καὶ νὰ ἀντιμετωπίζουν τὸν θάνατον μὲ ἠρεμίαν. Καὶ πράγματι λοιπὸν ἀπὸ τὴν στιγμὴν ποὺ ὁ Κύριος ἦλθεν εἰς τὸν κόσμον καὶ εἰς τὸ ἑξῆς ὁ θάνατος κατήντησε νὰ εἶναι ὕπνος. Παρὰ ταῦτα ὅμως τὸν περιγελοῦσαν. Ὁ ἴδιος δὲ δὲν ἠγανάκτησε ποὺ δὲν ἐγίνετο πιστευτὸς διὰ τὸ θαῦμα τὸ ὁποῖον ἐπρόκειτο μετὰ ἀπὸ ὀλίγον νὰ ἐπιτελέσῃ, οὔτε τοὺς ἐπετίμησε διὰ τὸν γέλωτά των, διὰ νὰ γίνουν καὶ ὁ γέλως των καὶ οἱ αὐλοὶ καὶ τὰ κύμβαλα καὶ ὅλα τὰ ἄλλα γενικῶς ἀπόδειξις ὅτι ἀπέθανε πράγματι ἡ κόρη.

3. Ἐπειδὴ βεβαίως ὡς ἐπὶ τὸ πλεῖστον δὲν πιστεύουν οἱ ἄνθρωποι μετὰ τὴν πραγματοποίησιν τῶν θαυμάτων τὸ προλαμβάνει αὐτὸ μὲ τὰς ἀποκρίσεις αὐτῶν τῶν ἰδίων, πρᾶγμα βεβαίως ποὺ εἶχε γίνει καὶ εἰς τὴν περίπτωσιν τοῦ Λαζάρου καὶ τοῦ Μωϋσέως. Καθόσον εἰς τὸν Μωϋσῆν λέγει· «Τί

τῇ χειρί σου;», ἵν' ὅταν ἴδῃ ὄφιν γεγενημένον, μὴ ἐπιλάθηται ὅτι ῥάβδος ἦν πρὸ τούτου, ἀλλὰ τῆς οἰκείας ἀναμνησθεὶς φωνῆς, ἐκπλαγῇ τὸ γινόμενον. Καὶ ἐπὶ τοῦ Λαζάρου φησί· «Ποῦ τεθείκατε αὐτόν;», ἵνα οἱ εἰπόντες, «Ἔρχου καὶ ἴδε», 5 καὶ ὅτι «Ὄζει, τεταρταῖος γάρ ἐστι», μηκέτι ἀπιστεῖν ἔχωσιν, ὅτι νεκρὸν ἀνέστησεν».

Ἰδὼν τοίνυν τὰ κύμβαλα καὶ τοὺς ὄχλους, ἐξήγαγεν ἅπαντας, καὶ παρόντων τῶν γονέων θαυματουργεῖ, οὐχ ἑτέραν ἐπεισάγων ψυχήν, ἀλλ' αὐτὴν τὴν ἐξελθοῦσαν ἐπανάγων, καὶ 10 ὥσπερ ἐξ ὕπνου διεγείρων. Κατέχει δὲ τῆς χειρός, πληροφορῶν τοὺς ὁρῶντας, ὥστε προοδοποιῆσαι διὰ τῆς ὄψεως τῇ πίστει τῆς ἀναστάσεως. Ὁ μὲν γὰρ πατὴρ ἔλεγεν, «Ἐπίθες τὴν χεῖρα»· αὐτὸς δέ τι πλέον ποιεῖ· οὐ γὰρ ἐπιτίθησιν, ἀλλὰ καὶ κατασχὼν ἀνίστησι, δεικνὺς ὅτι πάντα αὐτῷ ἕτοιμα. 15 Καὶ οὐκ ἀνίστησι μόνον, ἀλλὰ καὶ τροφὴν κελεύει δοῦναι, ἵνα μὴ δόξῃ φάντασμα εἶναι τὸ γεγενημένον. Καὶ οὐκ αὐτὸς δίδωσιν, ἀλλ' ἐκείνοις κελεύει· ὥσπερ καὶ ἐπὶ τοῦ Λαζάρου εἶπε· «Λύσατε αὐτὸν καὶ ἄφετε ὑπάγειν», καὶ μετὰ ταῦτα κοινωνὸν ποιεῖ τῆς τραπέζης. Καὶ γὰρ ἀμφότερα ἀεὶ 20 κατασκευάζειν εἴωθε, καὶ τοῦ θανάτου καὶ τῆς ἀναστάσεως μετὰ ἀκριβείας ἁπάσης τὴν ἀπόδειξιν ποιούμενος.

Σὺ δέ μοι μὴ τὴν ἀνάστασιν σκόπει μόνον, ἀλλ' ὅτι καὶ παρήγγειλε μηδενὶ εἰπεῖν· καὶ τοῦτο μάλιστα διὰ πάντων

---

21. Ἐφ. 4, 2.
22. Ἰω. 11, 34.
23. Ἰω. 35-39.
24. Πρβλ. Λουκᾶ 8, 55.
25. Ἰω. 11, 44.
26. Πρβλ. 12, 2.

εἶναι αὐτὸ τὸ ὁποῖον κρατεῖς εἰς τὴν χεῖρά σου;»[21], ὥστε, ὅταν θὰ τὸ ἔβλεπε νὰ μεταβάλλεται εἰς ὄφιν, νὰ μὴ ἐλησμόνει ὅτι ἦτο ράβδος πρὶν ἀπὸ τὸ θαῦμα αὐτό, ἀλλ' ἐνθυμούμενος τοὺς ἰδικούς του λόγους νὰ ἐκπλαγῇ μὲ αὐτὸ ποὺ θὰ συνέβαινε. Καὶ εἰς τὴν περίπτωσιν δὲ τοῦ Λαζάρου λέγει· «Ποῦ τὸν ἔχετε τοποθετήσει;»[22], μὲ σκοπὸν νὰ μὴ ἠμποροῦν ν' ἀμφισβητήσουν ὅτι τὸν ἀνέστησεν ἐνῷ ἦτο νεκρὸς αὐτοὶ ποὺ θὰ ἔλεγαν τό· «Ἔλα νὰ ἰδῇς» καὶ ὅτι «Μυρίζει, διότι εἶναι νεκρὸς ἐδῶ καὶ τέσσαρας ἡμέρας»[23].

Ἀφοῦ λοιπὸν εἶδε τὰ κύμβαλα καὶ τὸν συγκεντρωθέντα κόσμον, τοὺς ἔβγαλεν ὅλους ἔξω, καὶ παρουσίᾳ τῶν γονέων κάμνει τὸ θαῦμα, εἰσάγων ὄχι ἄλλην ψυχὴν εἰς τὸ σῶμα τῆς νεκρῆς, ἀλλ' ἐπαναφέρων αὐτὴν τὴν ἰδίαν ποὺ εἶχεν ἐξέλθει καὶ ἀνασταίνει αὐτὴν ὡσὰν ἀκριβῶς νὰ ἐκοιμᾶτο. Πιάνει δὲ τὸ χέρι της μὲ σκοπὸν νὰ καταστήσῃ σαφὲς ὅτι διατίθεται νὰ τὴν ἀναστήσῃ, ὥστε νὰ τοὺς προετοιμάσῃ, βλέποντες αὐτό, νὰ πιστεύσουν εἰς τὴν ἀνάστασιν. Διότι ὁ μὲν πατέρας της ἔλεγε, «Θέσε τὴν χεῖρά σου ἐπάνω της», ἐνῷ αὐτὸς κάμνει κάτι τι ἐπὶ πλέον· διότι δὲν θέτει τὴν χεῖρά του ἁπλῶς ἐπάνω της, ἀλλὰ τὴν ἀνασταίνει κρατῶν αὐτήν, ἀποδεικνύων ἔτσι ὅτι ὅλα εἶναι δυνατὰ εἰς αὐτόν. Καὶ δὲν τὴν ἀνασταίνει μόνον, ἀλλὰ καὶ δίδει ἐντολὴν νὰ τῆς δώσουν νὰ φάγῃ[24], διὰ νὰ μὴ νομίσουν ὅτι αὐτὸ ποὺ συνέβη ἦτο δημιούργημα τῆς φαντασίας. Καὶ δὲν τῆς δίδει τροφὴν ὁ ἴδιος, ἀλλὰ διατάσσει ἐκείνους νὰ τῆς δώσουν, ὅπως ἀκριβῶς δηλαδὴ καὶ εἰς τὴν περίπτωσιν τοῦ Λαζάρου ὅταν εἶπε, «Λύσατέ τον καὶ ἀφήσατέ τον νὰ ὑπάγῃ εἰς τὴν οἰκίαν»[25], καὶ εἰς τὴν συνέχειαν ἐκάθησαν καὶ ἔφαγαν μαζὶ εἰς τὴν αὐτὴν τράπεζαν[26]. Καθόσον πάντοτε ἐσυνήθιζε καὶ τὰ δύο νὰ ἐφαρμόζῃ ἀποδεικνύων κατὰ τρόπον ἀπολύτως ἀναμφισβήτητον καὶ τὸν θάνατον καὶ τὴν ἀνάστασιν.

Σὺ ὅμως, σὲ παρακαλῶ, μὴ προσέχῃς μόνον τὴν ἀνάστασιν, ἀλλὰ καὶ τὸ γεγονὸς ὅτι παρήγγειλε νὰ μὴ ἀναγγείλουν τὸ συμβὰν εἰς οὐδένα. Καὶ αὐτὸ τὸ δίδαγμα κατ' ἐξο-

παιδεύου, τὸ ἄτυφον καὶ ἀκενόδοξον· καὶ μετὰ τούτου κἀκεῖνο μάνθανε, ὅτι τοὺς κοπτομένους ἔξω τῆς οἰκίας ἐξέβαλε καὶ ἀναξίους τῆς τοιαύτης θεωρίας ἀπέφηνε· καὶ μὴ ἐξέλθῃς μετὰ τῶν αὐλούντων, ἀλλὰ μένε μετὰ Πέτρου καὶ 5 Ἰωάννου καὶ Ἰακώβου. Εἰ γὰρ τότε ἐξέβαλεν ἐκείνους ἔξω, πολλῷ μᾶλλον νῦν. Τότε μὲν γὰρ οὔπω δῆλος ὁ θάνατος ἦν ὕπνος γεγενημένος· νῦν δὲ καὶ αὐτοῦ τοῦ ἡλίου τοῦτο φανερώτερον. Ἀλλ' οὐκ ἤγειρέ σου τὸ θυγάτριον νῦν; Ἀλλὰ πάντως ἐγερεῖ καὶ μετὰ πλείονος τῆς δόξης. Ἐκεῖνο 10 μὲν γὰρ ἀναστὰν πάλιν ἀπέθανε· τὸ δὲ σὸν ἐὰν ἀναστῇ, μένει λοιπὸν ἀθάνατον ὄν.

Μηδεὶς τοίνυν κοπτέσθω λοιπόν, μηδὲ θρηνείτω, μηδὲ τὸ κατόρθωμα τοῦ Χριστοῦ διαβαλέττω. Καὶ γὰρ ἐνίκησε τὸν θάνατον. Τί τοίνυν περιττὰ θρηνεῖς; Ὕπνος τὸ πρᾶγμα 15 γέγονε. Τί ὀδύρῃ καὶ κλαίεις; Τοῦτο γὰρ εἰ καὶ Ἕλληνες ἐποίουν, καταγελᾶν ἔδει· ὅταν δὲ ὁ πιστὸς ἐν τούτοις ἀσχημονῇ, ποία ἀπολογία; τίς ἔσται συγγνώμη τοιαῦτα ἀνοηταίνουσι, καὶ ταῦτα μετὰ χρόνον τοσοῦτον καὶ σαφῆ τῆς ἀναστάσεως ἀπόδειξιν; Σὺ δὲ ὥσπερ αὐξῆσαι τὸ ἔγκλημα 20 σπεύδων καὶ θρηνῳδοὺς ἡμῖν ἄγεις Ἑλληνίδας γυναῖκας, ἐξάπτων τὸ πάθος, καὶ τὴν κάμινον διεγείρων, καὶ οὐκ ἀκούεις τοῦ Παύλου λέγοντος· «Τίς συμφώνησις Χριστῷ πρὸς Βελίαρ; ἢ τίς μερὶς πιστῷ μετὰ ἀπίστου;». Καὶ παῖδες μὲν Ἑλλήνων οἱ μηδὲν περὶ ἀναστάσεως εἰδότες, ὅμως

---

27. Πρβλ. 9, 24. Λουκᾶ 8, 51-54.
28. Πρβλ. Λουκᾶ 8, 51.
29. Δηλαδὴ τοῦ Διαβόλου.
30. Β' Κορ. 6, 15.

χὴν λάβε ἐξ ὅλων αὐτῶν, τὴν ταπεινοφροσύνην τοῦ Κυρίου καὶ τὴν ἀποφυγὴν τῆς ματαιοδοξίας, καὶ μαζὶ μὲ αὐτὸ πρόσεξε καὶ ἐκεῖνο, ὅτι δηλαδὴ ἔβγαλεν ἔξω ἀπὸ τὴν οἰκίαν ἐκείνους ποὺ ἐθρηνοῦσαν[27], ἀποδεικνύων ἔτσι ὅτι δὲν ἦσαν ἄξιοι νὰ ἰδοῦν ἕνα τέτοιο θαῦμα. Καὶ μὴ ἐξέλθῃς μαζὶ μὲ τοὺς αὐλητάς, ἀλλὰ παράμεινε μαζὶ μὲ τὸν Πέτρον καὶ τὸν Ἰωάννην καὶ τὸν Ἰάκωβον[28]. Διότι ἐὰν τότε ἐξέβαλεν ἐκείνους ἔξω, πολὺ περισσότερον θὰ τὸ πράξῃ αὐτὸ τώρα. Ἐπειδὴ τότε μὲν δὲν ἦτο φανερὸν ἀκόμη ὅτι ὁ θάνατος εἶχε καταντήσει εἰς ὕπνον, ἐνῷ τώρα αὐτὸ εἶναι πιὸ ὁλοφάνερον καὶ ἀπὸ αὐτὸν τὸν ἥλιον. Δὲν σοῦ ἀνέστησεν ὅμως τώρα τὴν θυγατέρα σου; Ἀλλ' ὁπωσδήποτε θὰ τὴν ἀναστήσῃ καὶ μὲ μεγαλυτέραν μάλιστα δόξαν. Διότι ἐκεῖνο μὲν τὸ κοράσιον ἂν καὶ ἀνεστήθη ἀπέθανε καὶ πάλιν, ἐνῷ τὸ ἰδικό σου ἐὰν ἀναστηθῇ παραμένει εἰς τὸ ἑξῆς ἀθάνατον.

Ἑπομένως κανεὶς ἂς μὴ ὀδύρεται καὶ ἂς μὴ θρηνῇ, οὔτε ἂς μὴ δυσφημῇ τὸ κατόρθωμα τοῦ Χριστοῦ. Διότι ἀληθινὰ ἐνίκησε τὸν θάνατον. Διατί λοιπὸν θρηνεῖς χωρὶς νὰ ὑπάρχῃ λόγος; Ὁ θάνατος μετεβλήθη εἰς ὕπνον. Διατί ὀδύρεσαι καὶ κλαίεις; Διότι αὐτὸ ἐὰν μὲν τὸ ἔκαμναν οἱ Ἕλληνες, ἔπρεπε νὰ τοὺς περιγελᾷς, ὅταν ὅμως διαπράττῃ αὐτὰς τὰς ἀσχημίας ὁ χριστιανός, ποία δικαιολογία χωρᾷ τότε; ποία συγχώρησις ἠμπορεῖ νὰ ὑπάρξῃ δι' αὐτοὺς ποὺ διαπράττουν αὐτὰς τὰς ἀνοησίας καὶ ὅλα αὐτὰ μετὰ ἀπὸ τόσον χρόνον καὶ τόσον σαφῆ ἀπόδειξιν περὶ τῆς ἀναστάσεως; Σὺ ὅμως σπεύδεις ὡσὰν ἀκριβῶς νὰ θέλῃς νὰ αὐξήσῃς τὸ ἁμάρτημα, καὶ μᾶς φέρεις εἰδωλολάτριδας γυναῖκας διὰ νὰ θρηνήσουν, αὐξάνων κατ' αὐτὸν τὸν τρόπον τὸ πένθος καὶ ζωηρεύων τὴν φωτιὰν τῆς καμίνου, χωρὶς νὰ ἀκοῦς τὸν Παῦλον ποὺ λέγει· «Ποία συμφωνία ἠμπορεῖ νὰ ὑπάρξῃ μεταξὺ Χριστοῦ καὶ Βελίαρ;[29] ἢ ποία κοινὴ μερὶς ἠμπορεῖ νὰ ὑπάρχῃ διὰ τὸν πιστὸν καὶ τὸν ἄπιστον;»[30]. Καὶ τὰ παιδιὰ τῶν εἰδωλολατρῶν ἂν καὶ δὲν γνωρίζουν τίποτε περὶ ἀναστάσεως, παρὰ ταῦτα εὑρίσκουν λόγους παρηγορίας λέ-

εὑρίσκουσι λόγους παραμυθίας, λέγοντες· φέρε γενναίως· καὶ γὰρ ἀναλῦσαι τὸ γεγενημένον οὐκ ἔνι, οὐδὲ διορθῶσαι τοῖς θρήνοις· σὺ δὲ ὁ φιλοσοφώτερα καὶ χρηστότερα τούτων ἀκούων, οὐκ αἰσχύνῃ μείζονα ἐκείνων ἀσχημονῶν; Οὐ-
5 *δὲ γὰρ λέγομεν· Φέρε γενναίως, ἐπειδὴ τὸ γεγενημένον ἀναλῦσαι οὐκ ἔνι· ἀλλά, φέρε γενναίως· καὶ γὰρ ἀναστήσεται πάντως· καθεύδει τὸ παιδίον, καὶ οὐ τέθνηκεν· ἡσυχάζει, καὶ οὐκ ἀπόλωλεν. Ἀνάστασις γὰρ αὐτὸ διαδέξεται καὶ ζωὴ αἰώνιος καὶ ἀθανασία καὶ λῆξις ἀγγελική.*
10 *Οὐκ ἀκούεις τοῦ ψαλμοῦ λέγοντος, «Ἐπίστρεψον, ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου, ὅτι «Κύριος εὐεργέτησέ σε;». Εὐεργεσίαν ὁ Θεὸς τὸ πρᾶγμα καλεῖ καὶ σὺ θρηνεῖς; Καὶ τί πλέον ἂν ἐποίησας, εἰ πολέμιος καὶ ἐχθρὸς τοῦ τετελευτηκότος ἦς; Εἰ γὰρ δεῖ θρηνεῖν, τὸν διάβολον δεῖ θρηνεῖν.*
15 *Ἐκεῖνος κοπτέσθω, ἐκεῖνος ὀδυρέσθω, ὅτι πρὸς τὰ μείζονα ὁδεύομεν ἀγαθά. Τῆς ἐκείνου πονηρίας ἀξία αὕτη ἡ οἰμωγή, οὐχὶ σοῦ τοῦ στεφανοῦσθαι μέλλοντος καὶ ἀναπαύεσθαι. Καὶ γὰρ λιμὴν εὔδιος ὁ θάνατος. Σκόπει γοῦν πόσων γέμει κακῶν ὁ παρὼν βίος· ἐννόησον ποσάκις αὐτὸς κατηράσω τὴν*
20 *παροῦσαν ζωήν. Καὶ γὰρ ἐπὶ τὸ χεῖρον τὰ πράγματα πρόεισι, καὶ ἐξ ἀρχῆς δὲ οὐ μικρᾷ συνεκληρώθης καταδίκῃ. «Ἐν γὰρ λύπαις τέξῃ τέκνα», φησί, καί, «Ἐν ἱδρῶτι τοῦ προσώπου σου φάγῃ τὸν ἄρτον σου»· καί, «Ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε». Ἀλλ' οὐ περὶ τῶν ἐκεῖ τοιοῦτον οὐδὲν εἴρη-*
25 *ται, ἀλλὰ τοὐναντίον ἅπαν, ὅτι «Ἀπέδρα ὀδύνη, λύπη καὶ στεναγμός»· καὶ ὅτι «Ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἥξουσι*

---

31. Ψαλμ. 114, 7.
32. Γεν. 3, 16.
33. Γεν. 3, 19.
34. Ἰω. 16, 33.
35. Ἡσ. 35, 10.

γοντες· ''Υπόφερέ το μὲ γενναιότητα· διότι δὲν εἶναι δυνατὸν ν' ἀκυρώσῃς αὐτὸ ποὺ συνέβη, οὔτε νὰ τὸ ἐπανορθώσῃς μὲ τοὺς θρήνους'. Ὅμως σύ, ποὺ ἀκοῦς λόγους ποὺ περιέχουν περισσοτέραν φιλοσοφίαν καὶ ὠφελιμότητα ἀπὸ αὐτούς, δὲν ἐντρέπεσαι νὰ προβαίνῃς εἰς μεγαλυτέρας ἀσχημοσύνας ἀπὸ ἐκείνους; Οὔτε σοῦ λέγομεν βέβαια, ''Υπόφερε μὲ γενναιότητα τὸ συμβάν, ἐπειδὴ δὲν εἶναι δυνατὸν ν' ἀκυρώσῃς αὐτὸ ποὺ συνέβη', ἀλλὰ σοῦ λέγομεν, ''Υπόφερε τὸ συμβὰν μὲ γενναιότητα, καθόσον πρόκειται ὁπωσδήποτε ν' ἀναστηθῇ· κοιμᾶται τὸ παιδὶ καὶ δὲν ἔχει ἀποθάνει· ἡσυχάζει καὶ δὲν ἔχει χαθῇ. Διότι θὰ διαδεχθῇ αὐτὸ ἡ ἀνάστασις καὶ ζωὴ αἰώνιος καὶ ἀθανασία καὶ τέλος ἀγγελικόν. Δὲν ἀκούεις τὸν ψαλμὸν ποὺ λέγει· «Ἐπίστρεψε, ψυχή μου, εἰς τὴν ἀνάπαυσίν σου, διότι ὁ Κύριος σὲ εὐεργέτησεν»[31]; Ὁ Θεὸς ἀποκαλεῖ τὸ γεγονὸς αὐτὸ εὐεργεσίαν καὶ σὺ θρηνεῖς; Καὶ τί περισσότερον θὰ ἠμποροῦσες νὰ κάμῃς ἐὰν ἤσουν ἀντίπαλος καὶ ἐχθρὸς αὐτοῦ ποὺ ἔχει ἀποθάνει; Διότι ἐὰν πρέπει κάποιος νὰ θρηνῇ, πρέπει αὐτὸς νὰ εἶναι ὁ διάβολος. Ἐκεῖνος ἂς θρηνῇ, ἐκεῖνος ἂς ὀδύρεται, ἐπειδὴ ἀκολουθοῦμεν τὴν ὁδὸν ποὺ ὁδηγεῖ πρὸς μεγαλύτερα ἀγαθά. Οἱ ὀδυρμοὶ αὐτοὶ ταιριάζουν εἰς τὴν πονηρίαν τοῦ διαβόλου καὶ ὄχι εἰς σὲ ποὺ πρόκειται νὰ λάβῃς ὡς ἀμοιβὴν τὸν στέφανον καὶ ν' ἀναπαυθῇς, καθόσον ὁ θάνατος εἶναι λιμὴν γαλήνιος. Σκέψου λοιπὸν ἀπὸ πόσα κακὰ εἶναι γεμάτη ἡ παροῦσα ζωή· ἀναλογίσου πόσας φορὰς σὺ ὁ ἴδιος κατηράσθης τὴν παροῦσαν ζωήν. Καὶ εἶναι ἀλήθεια ὅτι τὰ πράγματα προχωροῦν πρὸς τὸ χειρότερον καὶ δὲν εἶναι μικρὰ ἡ καταδίκη ποὺ ἔλαβες κληρονομικῶς. Διότι λέγει «Μὲ πόνους θὰ γεννᾷς τὰ παιδιά σου»[32], καὶ «Μὲ τὸν ἱδρῶτα τοῦ προσώπου σου θὰ τρώγῃς τὸν ἄρτον σου»[33], καὶ «Μέσα εἰς τὸν κόσμον ἡ ζωή σας θὰ εἶναι γεμάτη ἀπὸ θλίψεις»[34]. Ὅμως δὲν ἔχει λεχθῇ διὰ τὴν ἐκεῖ ζωὴν κάτι παρόμοιον, ἀλλὰ ἐξ ὁλοκλήρου τὸ ἀντίθετον, ὅτι «Δὲν ὑπάρχει ἐκεῖ ὀδύνη, λύπη καὶ στεναγμὸς»[35] καὶ ὅτι «Θὰ ἔλθουν ἀπὸ τὴν

καὶ ἀνακλιθήσονται εἰς τοὺς κόλπους Ἀβραὰμ και Ἰσαὰκ καὶ Ἰακώβ»· καὶ ὅτι «Νυμφὼν τὰ ἐκεῖ πνευματικὸς καὶ φαιδραὶ λαμπάδες καὶ μετάστασις πρὸς τὸν οὐρανόν.

4. Τί τοίνυν καταισχύνεις τὸν ἀπελθόντα; τί παρασκευάζεις τοὺς ἄλλους δεδοικέναι καὶ τρέμειν τὸν θάνατον; τί ποιεῖς πολλοὺς κατηγορεῖν τοῦ Θεοῦ, ὡς μεγάλα ἐργασαμένου δεινά; μᾶλλον δὲ τί μετὰ ταῦτα πένητας καλεῖς καὶ παρακαλεῖς ἱερέας εὔξασθαι; Ἵνα εἰς ἀνάπαυσιν ἀπέλθῃ, φησίν, ὁ τετελευτηκώς, ἵνα ἵλεων σχῇ τὸν δικαστήν. Ὑπὲρ τούτων οὖν θρηνεῖς καὶ ὀλολύζεις; Οὐκοῦν σαυτῷ μάχῃ καὶ πολεμεῖς, ὑπὲρ ὧν εἰς λιμένας ἀπῆλθεν ἐκεῖνος, χειμῶνα σαυτῷ κατασκευάζων. Καὶ τί πάθω; φησί· τοιοῦτον ἡ φύσις. Οὐκ ἔστι φύσεως τὸ ἔγκλημα, οὐδὲ τῆς τοῦ πράγματος ἀκολουθίας· ἀλλ' ἡμεῖς οἱ πάντα ἄνω καὶ κάτω ποιοῦντές ἐσμεν, οἱ καταμαλακιζόμενοι, καὶ τὴν οἰκείαν προδιδόντες εὐγένειαν, καὶ τοὺς ἀπίστους χείρους ποιοῦντες. Πῶς γὰρ ἑτέρῳ περὶ ἀθανασίας διαλεξόμεθα; πῶς πείσομεν τὸν ἐθνικόν, ὅταν μᾶλλον ἐκείνου τὸν θάνατον φοβώμεθα καὶ φρίττωμεν; Πολλοὶ γοῦν παρ' Ἕλλησι, καίτοιγε οὐδὲν περὶ ἀθανασίας εἰδότες, ἐστεφανώθησαν, τῶν παίδων αὐτοῖς ἀπελθόντων, καὶ λευχειμονοῦντες ἐφαίνοντο, ἵνα τὴν παροῦσαν καρπώσωνται δόξαν· σὺ δὲ οὐδὲ διὰ τὴν μέλλουσαν παύῃ γυναικιζόμενος καὶ κοπτόμενος.

Ἀλλὰ κληρονόμους οὐκ ἔχεις, οὐδὲ διάδοχον τῶν ὄντων; Καὶ τί μᾶλλον ἐβούλου, τῶν σῶν αὐτὸν εἶναι κληρονόμον, ἢ τῶν οὐρανῶν; τί δὲ ὑπεθύμεις, τὰ ἀπολλύμενα αὐ-

36. Ματθ. 8, 11.
37. Βλ. Διογ. Λαερτίου, Βίοι φιλοσόφων 2, 54-55.

ἀνατολὴν καὶ τὴν δύσιν καὶ θὰ καθήσουν εἰς τοὺς κόλπους τοῦ 'Αβραὰμ καὶ τοῦ 'Ισαὰκ καὶ τοῦ 'Ιακώβ»[36], καὶ ὅτι ἡ ἐκεῖ ζωὴ εἶναι πνευματικὸς νυμφὼν ποὺ εἶναι πλήρης ἀπὸ φαιδρὰς λαμπάδας, καὶ μετάβασις πρὸς τὸν οὐρανόν.

4. Διατί λοιπὸν ἀτιμάζεις τὸν ἀποθανόντα; διατί κάμνεις τοὺς ἄλλους νὰ φοβοῦνται καὶ νὰ τρέμουν τὸν θάνατον; διατί κάμνεις πολλοὺς ἀπὸ τοὺς ἀνθρώπους νὰ κατηγοροῦν τὸν Θεόν, ὅτι τάχα εἶναι αἴτιος μεγάλων κακῶν εἰς τὸν κόσμον; μᾶλλον δὲ διατί μετὰ ἀπὸ ὅλα αὐτὰ προσκαλεῖς πτωχοὺς καὶ παρακαλεῖς τοὺς ἱερεῖς νὰ προσευχηθοῦν; Διὰ νὰ ἀπέλθῃ αὐτὸς ποὺ ἔχει ἀποθάνει εἰς τόπον ἀναπαύσεως, θὰ εἰπῇ κανείς, διὰ νὰ ἔχῃ εὐσπλαγχνικὸν τὸν δικαστήν. Δι' αὐτὰ λοιπὸν θρηνεῖς καὶ ὀδύρεσαι; Μὰ μὲ τὴν ἐνέργειάν σου αὐτὴν μάχεσαι καὶ πολεμεῖς τὸν ἑαυτόν σου ἐπινοῶν χειμῶνα δι' αὐτόν, ἐνῷ ἐκεῖνος ἔφθασεν εἰς γαλήνιον λιμένα. Καὶ τί νὰ κάνω, θὰ εἰπῇ, ἀφοῦ τέτοια εἶναι ἡ φύσις τοῦ ἀνθρώπου; Δὲν εἶναι σφάλμα τῆς φύσεως, οὔτε ἐπακόλουθα αὐτοῦ τοῦ γεγονότος, ἀλλ' ἡμεῖς εἴμεθα αἴτιοι οἱ ὁποῖοι τὰ κάμνομεν ὅλα ἄνω κάτω, οἱ ὁποῖοι ἔχομεν ἀδυναμίας καὶ προδίδομεν τὴν ἰδικήν μας εὐγενικὴν καταγωγὴν καὶ κάμνομεν τοὺς ἀπίστους χειροτέρους. Διότι πῶς θὰ συζητήσωμεν μὲ κάποιον ἄλλον περὶ ἀθανασίας τῆς ψυχῆς; πῶς θὰ πείσωμεν τὸν εἰδωλολάτρην, ὅταν ἡμεῖς φοβούμεθα περισσότερον ἀπὸ ἐκεῖνον τὸν θάνατον καὶ φρίττωμεν πρὸ αὐτοῦ; Πολλοὶ βεβαίως ἀπὸ τοὺς εἰδωλολάτρας, ἂν καὶ δὲν ἐγνώριζαν τίποτε περὶ ἀθανασίας, ἐφόρεσαν στεφάνους[37], ὅταν ἀπέθαναν τὰ τέκνα των καὶ ἐφόρεσαν λευκὰ ἐνδύματα διὰ νὰ ἀποκτήσουν τὴν παροῦσαν δόξαν, ἐνῷ σὺ δὲν σταματᾷς τοὺς θρήνους οὔτε διὰ τὴν μέλλουσαν δόξαν μὲ τὸ νὰ συμπεριφέρεσαι ὡσὰν τὰς γυναῖκας καὶ νὰ ὀδύρεσαι.

'Αλλὰ δὲν ἔχεις κληρονόμους οὔτε κάποιον ποὺ νὰ διαδεχθῇ τὰ ὑπάρχοντά σου; Καὶ τί θὰ ἐπροτιμοῦσες περισσότερον, τὸ νὰ κληρονομήσῃ τὰ ἁμαρτήματά σου ἢ τὰ ἀγαθὰ τῶν οὐρανῶν; τί θὰ ἐπιθυμοῦσες, νὰ διαδεχθῇ αὐτὰ ποὺ κα-

τὸν διαδέχεσθαι, ἃ μικρὸν ὕστερον ἀφιέναι ἔμελλεν, ἢ τὰ μένοντα καὶ ἀκίνητα; Οὐκ ἔσχες κληρονόμον αὐτόν, ἀλλ' ἀντὶ σοῦ ἔσχεν αὐτὸν ὁ Θεός· οὐκ ἐγένετο τῶν ἀδελφῶν τῶν ἰδίων συγκληρονόμος, ἀλλ' ἐγένετο τοῦ Χριστοῦ. Καὶ
5 *τίνι, φησί, τὰ ἱμάτια, τίνι τὰ οἰκήματα, τίνι τὰ ἀνδράποδα καὶ τοὺς ἀγροὺς καταλιμπάνομεν; Αὐτῷ πάλιν, καὶ ἀσφαλέστερον, ἢ εἰ ἔζη· τὸ γὰρ κωλύον οὐδέν. Εἰ γὰρ βάρβαροι συγκατακαίουσι τοῖς ἀπελθοῦσι τὰ ὄντα, πολλῷ μᾶλλον σὲ συναποστεῖλαι τῷ τετελευτηκότι δίκαιον τὰ αὐτοῦ, οὐχ ἵνα*
10 *τέφρα γένηται, καθάπερ ἐκεῖνα, ἀλλ' ἵνα πλείονα τούτῳ περιβάλῃ δόξαν· καὶ εἰ μὲν ἁμαρτωλὸς ἀπῆλθεν, ἵνα τὰ ἁμαρτήματα λύσῃ· εἰ δὲ δίκαιος, ἵνα προσθήκη γένηται μισθοῦ καὶ ἀντιδόσεως. Ἀλλ' ἰδεῖν αὐτὸν ἐπιθυμεῖς; Οὐκοῦν τὸν αὐτὸν αὐτῷ βίου βίον καὶ ταχέως ἀπολήψῃ τὴν ἱερὰν*
15 *ἐκείνην ὄψιν.*

Μετὰ δὲ τούτων κἀκεῖνο λογίζου, ὅτι κἂν ἡμῶν μὴ ἀκούσῃς, τῷ χρόνῳ πάντως πεισθήσῃ. Ἀλλ' οὐδεὶς τότε σοι ὁ μισθός· τοῦ γὰρ πλήθους τῶν ἡμερῶν γίνεται ἡ παραμυθία. Ἂν δὲ νῦν βουληθῇς φιλοσοφεῖν, δύο κερδανεῖς τὰ
20 *μέγιστα· καὶ σαυτὸν τῶν ἐν μέσῳ κακῶν ἀπαλλάξεις, καὶ παρὰ τοῦ Θεοῦ λαμπρότερον ἀναδήσῃ τὸν στέφανον. Καὶ γὰρ ἐλεημοσύνης καὶ τῶν ἄλλων πολλῷ μεῖζον τὸ πράως συμφορὰν ἐνεγκεῖν. Ἐννόησον ὅτι καὶ ὁ Υἱὸς τοῦ Θεοῦ ἀπέθανε· καὶ ἐκεῖνος μὲν διὰ σέ, σὺ δὲ διὰ σαυτόν. Καὶ εἰπών, «Εἰ*
25 *δυνατόν, παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον», καὶ λυπηθεὶς καὶ ἀγωνιάσας, ὅμως οὐ παρέδραμε τὴν τελευτήν, ἀλλὰ*

---

38. Ματθ. 26, 39.

ταστρέφονται, τὰ ὁποῖα ἐπρόκειτο μετὰ ἀπὸ ὀλίγον νὰ τὰ ἐγκαταλείψῃ ἢ αὐτὰ ποὺ παραμένουν ἀμετακίνητα; Δὲν τὸν ἔχεις κληρονόμον τῶν ἀγαθῶν σου, ἀλλ' ἀντὶ σοῦ ὁ Θεὸς τὸν ἔχει κληρονόμον του· δὲν ἔγινε συγκληρονόμος μαζὶ μὲ τοὺς ἀδελφούς του, ἀλλ' ἔγινε συγκληρονόμος τοῦ Χριστοῦ. Καὶ εἰς ποῖον, θὰ εἰπῇ κανείς, θὰ ἀφήσωμεν τὰ ἐνδύματά μας, εἰς ποῖον τὰς οἰκίας, εἰς ποῖον τοὺς δούλους καὶ τὰ κτήματά μας; Εἰς αὐτὸν καὶ πάλιν καὶ μάλιστα μὲ μεγαλυτέραν ἀσφάλειαν ἀπὸ ὅ,τι ἐὰν ἔζη· διότι δὲν ὑπάρχει κανένα ἐμπόδιον. Διότι ἐὰν οἱ βάρβαροι καίουν μαζὶ μὲ τὰ σώματα τῶν νεκρῶν τὰ ὑπάρχοντά των, πολὺ περισσότερον δίκαιον εἶναι σὺ ν' ἀποστείλῃς μαζὶ μὲ τὸν νεκρὸν τὰ ἀνήκοντα εἰς αὐτόν, ὄχι διὰ νὰ γίνουν στάκτη, ὅπως ἀκριβῶς ἐκεῖνα, ἀλλὰ διὰ νὰ τοῦ χαρίσουν μεγαλυτέραν δόξαν. Καὶ ἐὰν μὲν ἀπέθανεν ὡς ἁμαρτωλὸς διὰ νὰ τοῦ συγχωρηθοῦν τὰ ἁμαρτήματά του, ἐὰν δὲ δίκαιος διὰ νὰ τοῦ προστεθῇ μισθὸς καὶ ἀνταπόδοσις ἀγαθῶν. Ἀλλὰ μήπως ἐπιθυμεῖς νὰ τὸν ἴδῃς; Τότε ζῆσε ὅπως ἔζησεν ἐκεῖνος καὶ σύντομα θὰ ἀξιωθῇς νὰ ἴδῃς τὴν ἱερὰν ἐκείνην ὄψιν του.

Μαζὶ δὲ μὲ αὐτὰ ἀναλογίσου καὶ ἐκεῖνο, ὅτι δηλαδὴ καὶ ἂν δὲν θελήσῃς νὰ ἀκούσῃς ἡμᾶς, ὁπωσδήποτε ὅμως θὰ πεισθῇς νὰ πράξῃς αὐτὸ μὲ τὸ πέρασμα τοῦ χρόνου. Τότε ὅμως δὲν θὰ λάβῃς καμμίαν ἀμοιβήν, διότι ἡ παρηγορία ἐπιτυγχάνεται μὲ τὸ πλῆθος τῶν ἡμερῶν. Ἐὰν δὲ θελήσῃς τώρα νὰ φιλοσοφήσῃς, θὰ κερδήσῃς τὰ δύο σπουδαιότερα πράγματα· καὶ τὸν ἑαυτόν σου θ' ἀπαλλάξῃς ἀπὸ τὰ κακὰ ποὺ τὸν περιβάλλουν καὶ ἀπὸ τὸν Θεὸν θὰ λάβῃς λαμπρότερον στέφανον. Καθόσον τὸ νὰ ἀντιμετωπίζῃς τὴν συμφορὰν μὲ πραότητα εἶναι πολὺ πιὸ σπουδαιότερον ἀπὸ τὴν ἐλεημοσύνην καὶ τὰ ἄλλα παρόμοια. Σκέψου ὅτι καὶ ὁ Υἱὸς τοῦ Θεοῦ ἀπέθανε· καὶ ἐκεῖνος μὲν διὰ σέ, ἐνῷ σὺ διὰ τὸν ἑαυτόν σου ἀποθνῄσκεις. Καὶ μολονότι εἶπε, «Ἐὰν εἶναι δυνατὸν ἂς ἀποφύγω αὐτὸ τὸ ποτήριον»[38] καὶ ἐλυπήθη καὶ ἐκυριεύθη ἀπὸ ἀγωνίαν, παρὰ ταῦτα δὲν διέφυγε τὸν θάνα-

καὶ μετὰ πολλῆς αὐτὴν ὑπέστη τῆς τραγῳδίας. Οὐδὲ γὰρ ἁπλῶς θάνατον ὑπέμεινεν, ἀλλὰ τὸν αἴσχιστον· καὶ πρὸ τοῦ θανάτου μάστιγας καὶ πρὸ τῶν μαστίγων ὀνείδη καὶ σκώμματα καὶ λοιδορίας, σὲ παιδεύων πάντα φέρειν γενναίως.
5 *Ἀλλ' ὅμως ἀποθανὼν καὶ τὸ σῶμα ἀποθέμενος, πάλιν αὐτὸ ἀνέλαβε μετὰ μείζονος δόξης, σοὶ καὶ ἐνταῦθα χρηστὰς ὑποτείνων ἐλπίδας. Ταῦτα εἰ μὴ μῦθος, μὴ θρήνει· ταῦτα εἰ πιστὰ νομίζεις εἶναι, μὴ δάκρυε· εἰ δὲ δακρύσεις, πῶς δυνήσῃ πεῖσαι τὸν Ἕλληνα, ὅτι πιστεύεις;*

10 *5. Ἀλλὰ καὶ οὕτως ἀφόρητον ἔτι σοι φαίνεται τὸ συμβάν; Οὐκοῦν δι' αὐτὸ τοῦτο οὐκ ἄξιον ἐκεῖνον θρηνεῖν· πολλῶν γὰρ τοιούτων ἀπηλλάγη συμφορῶν ἐκεῖνος. Μὴ τοίνυν αὐτῷ φθόνει, μηδὲ βάσκαινε. Τὸ γὰρ ἑαυτῷ μὲν θάνατον αἰτεῖν διὰ τὴν ἄωρον ἐκείνου τελευτήν, πενθεῖν δὲ ἐκεῖνον,*
15 *ὅτι μὴ ἔζη, ἵνα πολλὰ ὑπομείνῃ, τοιαῦτα, φθονοῦντος μᾶλλόν ἐστι καὶ βασκαίνοντος. Μὴ δὴ τοῦτο ἐννόει, ὅτι οὐκέτι ἀναστρέψει εἰς τὴν οἰκίαν, ἀλλ' ὅτι καὶ αὐτὸς ἀπελεύσῃ μικρὸν ὕστερον πρὸς αὐτόν.*

Μὴ τοῦτο λογίζου, ὅτι οὐκέτι ἐπανέρχεται ἐν-
20 *ταῦθα, ἀλλ' ὅτι οὐδὲ αὐτὰ ταῦτα τὰ ὁρώμενα μένει τοιαῦτα, ἀλλὰ καὶ ταῦτα μετασχηματίζεται. Καὶ γὰρ καὶ οὐρανὸς καὶ γῆ καὶ θάλαττα καὶ πάντα μεθαρμόζεται, καὶ τότε ἀπολήψῃ σου τὸ παιδίον μετὰ πλείονος δόξης. Καὶ εἰ μὲν ἁμαρτωλὸς ἀπῆλθεν, ἔστη τὰ τῆς κακίας· οὐδὲ γὰρ*
25 *ἄν, εἰ μεταβαλλόμενον ὁ Θεὸς ᾔδει, προανήρπασεν ἂν τῆς μετανοίας· εἰ δὲ δίκαιος ὢν κατέλυσεν, ἐν ἀσφαλείᾳ τὰ ἀ-*

τον, ἀντιθέτως μάλιστα τὸν ὑπέστη μὲ τὸν πλέον τραγικὸν τρόπον. Διότι δὲν ὑπέμεινεν ἁπλῶς θάνατον, ἀλλὰ τὸν χειρότερον ἐξ ὅλων· καὶ μάλιστα πρὶν ἀπὸ τὸν θάνατον ὑπέστη μαστιγώσεις καὶ πρὶν ἀπὸ τὰς μαστιγώσεις ὀνειδισμοὺς καὶ ἐμπαιγμοὺς καὶ λοιδορίας, διδάσκων σὲ δι' ὅλων αὐτῶν νὰ ὑπομένῃς τὰ πάντα μὲ γενναιότητα. Ἀλλ' ὅμως μολονότι ἀπέθανε καὶ ἐγκατέλειψε τὸ σῶμά του, πάλιν τὸ ἀνέλαβε καὶ μάλιστα περισσότερον δοξασμένον, χαρίζων καὶ μ' αὐτὸ εἰς σὲ ἀγαθὰς ἐλπίδας. Ἐὰν αὐτὰ δὲν τὰ θεωρῇς μῦθον μὴ θρηνῇς· ἐὰν αὐτὰ τὰ θεωρῇς ὅτι εἶναι ἀξιόπιστα, μὴ δακρύζῃς· διότι ἐὰν δακρύζῃς, πῶς θὰ ἠμπορέσῃς νὰ πείσῃς τὸν εἰδωλολάτρην ὅτι σὺ τὰ πιστεύεις ὅλα αὐτά;

5. Ἀλλὰ καὶ μετὰ ἀπὸ ὅλα αὐτὰ ἐξακολουθεῖ νὰ σοῦ εἶναι ἀβάστακτον τὸ συμβάν; Ἀκριβῶς λοιπὸν διὰ τὸν λόγον αὐτὸν δὲν ἀξίζει νὰ τὸν θρηνῇς· διότι ἐκεῖνος ἀπηλλάγη ἀπὸ πολλὰς παρομοίας συμφοράς. Μὴ τὸν φθονῇς λοιπὸν καὶ μὴ τὸν βλάπτῃς μὲ τὸν φθόνον σου. Διότι τὸ νὰ ζητῇς μὲν ν' ἀποθάνῃς σὺ ἐπειδὴ ἐκεῖνος ἀπέθανε πρόωρα, καὶ τὸ νὰ τὸν πενθῇς ἐπειδὴ δὲν ἔζησε διὰ νὰ ὑποφέρῃ πολλὰς παρομοίας συμφοράς, αὐτὸ εἶναι γνώρισμα ἀνθρώπου ποὺ φθονεῖ καὶ βλάπτει μὲ τὸν φθόνον του.

Μὴ σκέπτεσαι λοιπὸν τὸ ὅτι δὲν θὰ ἐπιστρέψῃ πλέον εἰς τὴν οἰκίαν, ἀλλὰ νὰ σκέπεσαι ὅτι μετὰ ἀπὸ ὀλίγον διάστημα θὰ μεταβῇς καὶ ὁ ἴδιος ἐκεῖ ποὺ εἶναι αὐτός. Μὴ ἀναλογίζεσαι τὸ ὅτι δὲν θὰ ξαναέλθῃ πλέον ἐδῶ, ἀλλὰ ν' ἀναλογίζεσαι ὅτι οὔτε αὐτὰ ποὺ βλέπομεν μένουν ἔτσι ὅπως εἶναι, ἀλλὰ καὶ αὐτὰ μεταβάλλονται — Καθόσον καὶ ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ ἡ θάλασσα καὶ ὅλα γενικῶς τὰ πράγματα μεταβάλλονται —, καὶ τότε θὰ λάβῃς καὶ πάλιν τὸν υἱόν σου μὲ περισσοτέραν δόξαν. Καὶ ἐὰν μὲν ἔφυγεν ἀπὸ τὸν κόσμον αὐτὸν ἁμαρτωλός, ἔπαυσαν πλέον καὶ αἱ κακίαι του· διότι δὲν θὰ τὸν ἥρπαζεν ὁ Θεὸς ἀπὸ τὴν ζωὴν αὐτὴν πρὶν νὰ μετανοήσῃ, ἐὰν ἔβλεπε διὰ τῆς προγνώσεώς του ὅτι θὰ μετέβαλλε τρόπον ζωῆς· ἐὰν ὅμως ἀπέθανεν ἐνῷ ἦτο

γαθὰ κέκτηται. Ὅθεν δῆλον, ὅτι οὐκ ἔστι φιλοστοργίας σου τὰ δάκρυα, ἀλλὰ πάθους ἀλογίστου. Ἐπεὶ εἰ τὸν ἀπελθόντα ἐφίλεις, χαίρειν ἔδει καὶ εὐφραίνεσθαι, ὅτι τῶν παρόντων ἀπηλλάγη κυμάτων. Τί γὰρ τὸ πλέον; εἰπέ μοι· τί
5 *δὲ τὸ ξένον καὶ καινόν; οὐχὶ τὰ αὐτὰ καθ᾽ ἑκάστην ἡμέραν ὁρῶμεν ἀνακυκλούμενα; Ἡμέρα καὶ νύξ, νὺξ καὶ ἡμέρα· χειμὼν καὶ θέρος, θέρος καὶ χειμών, καὶ πλέον οὐδέν. Καὶ ταῦτα μὲν ἀεὶ τὰ αὐτά· τὰ δὲ κακὰ ξένα καὶ καινότερα. Ταῦτα οὖν αὐτὸν ἀντλεῖν καθ᾽ ἑκάστην ἡμέραν ἐβούλου, καὶ*
10 *μένειν ἐνταῦθα καὶ νοσεῖν καὶ πενθεῖν καὶ δεδοικέναι καὶ τρέμειν, καὶ τὰ μὲν ὑπομένειν τῶν δεινῶν, τὰ δὲ μήποτε ὑπομείνῃ φοβεῖσθαι; Οὐδὲ γὰρ ἐκεῖνο ἂν ἔχοις εἰπεῖν, ὅτι τὸ μακρὸν τοῦτο πλέοντα πέλαγος, δυνατὸν ἦν ἀθυμίας καὶ φροντίδων καὶ τῶν ἄλλων ἀπηλλάχθαι τῶν τοιούτων.*

15 *Μετὰ δὲ τούτων κἀκεῖνο λογίζου, ὅτι οὐκ ἀθάνατον ἔτεκες· καὶ ὅτι εἰ μὴ νῦν ἐτελεύτησε, μικρὸν ὕστερον ἂν τοῦτο ὑπέμεινεν. Ἀλλ᾽ οὐκ ἐνεπλήσθης αὐτοῦ; Ἀλλὰ ἀπολαύσῃ πάντως ἐκεῖ. Ἀλλὰ καὶ ἐνταῦθα ἐπιθυμεῖς ὁρᾶν; Καὶ τί τὸ κωλῦον; Ἔξεστι γὰρ καὶ ἐνταῦθα, ἐὰν νήφῃς·*
20 *ἡ γὰρ ἐλπὶς τῶν μελλόντων ὄψεως φανερωτέρα. Σὺ δέ, εἰ μὲν ἐν βασιλείοις ἦν, οὐκ ἄν ποτε αὐτὸν ἐπεζήτησας ἰδεῖν, ἀκούουσα εὐδοκιμοῦντα· πρὸς δὲ τὰ πολλῷ βελτίω ὁρῶσα ἀποδεδημηκότα, ὑπὲρ ὀλίγου χρόνου μικροψυχεῖς, καὶ ταῦτα*

δίκαιος ἔχει ἀποκτήσει τὰ πνευματικὰ ἀγαθὰ μὲ ἀπόλυτον ἀσφάλειαν. Ἑπομένως εἶναι ὁλοφάνερον, ὅτι τὰ δάκρυά σου δὲν προέρχονται ἀπὸ φιλοστοργίαν, ἀλλ' εἶναι ἀποτέλεσμα παραλόγου πάθους. Διότι ἐὰν ἠγάπας τὸν ἀποθανόντα ἔπρεπε νὰ χαίρεσαι καὶ νὰ εὐφραίνεσαι, ἐπειδὴ ἀπηλλάγη ἀπὸ τὰς τρικυμίας τῆς παρούσης ζωῆς. Διότι, εἰπέ μου, τί τὸ ἐπὶ πλέον ὑπάρχει; τί τὸ παράξενον καὶ νέον; δὲν βλέπομεν καθημερινῶς τὰ ἴδια πράγματα νὰ ἔρχωνται καὶ νὰ παρέρχωνται; Τὴν ἡμέραν διαδέχεται ἡ νύκτα καὶ τὴν νύκτα ἡ ἡμέρα· τὸν χειμῶνα ἀκολουθεῖ τὸ θέρος καὶ τὸ θέρος ὁ χειμὼν καὶ τίποτε τὸ ἐπὶ πλέον. Καὶ αὐτὰ μὲν συνεχῶς παραμένουν τὰ ἴδια, ἐνῷ τὰ κακὰ εἶναι ἄγνωστα καὶ κάθε φορὰ καὶ πιὸ νέα. Ἤθελες λοιπὸν αὐτὰ νὰ ὑπομένῃ καθημερινῶς, καὶ νὰ ζῇ εἰς τὴν γῆν, καὶ ν' ἀσθενῇ, καὶ νὰ πενθῇ, καὶ νὰ φοβῆται, καὶ νὰ τρέμῃ, καὶ ἄλλα μὲν ἀπὸ τὰ κακὰ νὰ τὰ ὑποφέρῃ, ἄλλα δὲ νὰ φοβῆται μήπως κάποτε συμβῇ νὰ τὰ ὑποστῇ; Διότι βέβαια οὔτε ἐκεῖνο θὰ ἠμποροῦσες νὰ εἰπῇς, ὅτι δηλαδὴ ἦτο δυνατόν, διανύων τὸ μακρὸν αὐτὸ πέλαγος τῆς ζωῆς, νὰ ἀπαλλαχθῇ ἀπὸ τὴν λύπην καὶ τὰς φροντίδας καὶ ὅλα τὰ ἄλλα τὰ παρόμοια.

Μαζὶ μὲ αὐτὰ νὰ ἀναλογίζεσαι καὶ ἐκεῖνο, ὅτι δὲν ἐγέννησες δηλαδὴ ἀθάνατον υἱόν, καὶ ὅτι ἐὰν τώρα δὲν ἀπέθνῃσκε θὰ ἦτο δυνατὸν νὰ συμβῇ αὐτὸ μετὰ ἀπὸ ὀλίγον χρόνον. Ἀλλὰ μήπως δὲν τὸν ἐχόρτασες; Θὰ τὸν ἀπολαύσῃς ὁπωσδήποτε ἐκεῖ. Μήπως ὅμως ἐπιθυμεῖς νὰ τὸν βλέπῃς καὶ εἰς αὐτὴν τὴν ζωήν; Καὶ ποῖο εἶναι αὐτὸ ποὺ σοῦ τὸ ἐμποδίζει; Διότι ὑπάρχει δυνατότης καὶ ἐδῶ νὰ συμβῇ αὐτὸ ἐὰν ἔχῃς πνευματικὴν διαύγειαν· διότι ἡ ἐλπὶς διὰ τὰ μέλλοντα καθιστᾷ κάτι πιὸ φανερὸν ἀπὸ ὅ,τι αὐτὴ ἡ ἰδία ἡ ὄψις. Σὺ δὲ ἐὰν μὲν ἔζη εἰς βασιλικὰ ἀνάκτορα, ποτὲ δὲν θὰ ἐζήτεις νὰ τὸν ἰδῇς ἐὰν ἐπληροφορεῖσο ὅτι ζῇ εὐτυχισμένος· τώρα ὅμως ποὺ βλέπεις ὅτι ἀπεδήμησεν εἰς τόπον πολὺ πιὸ καλύτερον, δίχνεις μικροψυχίαν διὰ τόσον ὀλίγον χρόνον καὶ ὅλα αὐτὰ ἐνῷ ἔχεις εἰς τὴν θέσιν ἐκείνου τὸν

ἔχουσα ἀντ᾽ ἐκείνου τὸν συνοικοῦντα; Ἀλλ᾽ οὐκ ἔχεις ἄνδρα; Ἀλλ᾽ ἔχεις παραμυθίαν, τὸν πατέρα τῶν ὀρφανῶν καὶ κριτὴν τῶν χηρῶν. Ἄκουσον καὶ Παύλου ταύτην μακαρίζοντος τὴν χηρείαν, καὶ λέγοντος· «Ἡ δὲ ὄντως χήρα 5 καὶ μεμονωμένη ἤλπισεν ἐπὶ Κύριον». Καὶ γὰρ εὐδοκιμωτέρα ἡ τοιαύτη φανεῖται, πλείονα ἐπιδεικνυμένη τὴν ὑπομονήν. Μὴ τοίνυν θρήνει ὑπὲρ οὗ στεφανοῦσαι, ὑπὲρ οὗ μισθὸν ἀπαιτεῖς. Καὶ γὰρ ἀπέδωκας τὴν παρακαταθήκην, εἰ ὅπερ ἐνεπιστεύθης παρέστησας. Μηκέτι φρόντιζε λοιπόν, 10 ἐν ἀσύλῳ τὸ κτῆμα ἀποθεμένη θησαυρῷ. Εἰ δὲ καὶ μάθοις, τίς μὲν ὁ παρὼν βίος, τίς δὲ ἡ μέλλουσα ζωή, καὶ ὅτι οὗτος μὲν ἀράχνη καὶ σκιά, τὰ δὲ ἐκεῖ πάντα ἀκίνητα καὶ ἀθάνατα, οὐ δεήσῃ λοιπὸν ἑτέρων λόγων. Νῦν μὲν γὰρ ἁπάσης τὸ παιδίον ἀπήλλακται μεταβολῆς· ἐνταῦθα δὲ ὤν, ἴσως μὲν 15 χρηστός, ἴσως δὲ οὐ τοιοῦτος ἔμενεν ἄν. Ἢ οὐχ ὁρᾷς, ὅσοι τοὺς ἑαυτῶν ἀποκηρύττουσι παῖδας; ὅσοι τῶν ἀποκηρυττομένων χείρους ὄντας ἀναγκάζονται οἴκοι κατέχειν;

Ταῦτα πάντα λογιζόμενοι φιλοσοφῶμεν· οὕτω γὰρ καὶ τῷ τετελευτηκότι χαριούμεθα καὶ παρὰ ἀνθρώπων πολλῶν 20 ἀπολαυσόμεθα τῶν ἐπαίνων καὶ παρὰ τοῦ Θεοῦ τοὺς μεγάλους τῆς ὑπομονῆς ἀποληψόμεθα μισθοὺς καὶ τῶν αἰωνίων ἐπιτευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώ- 25 νων. Ἀμήν.

---

39. Α′ Τιμ. 5, 5.

σύζυγόν σου; 'Αλλὰ μήπως δὲν ἔχεις ἄνδρα; 'Αλλ' ἔχεις ὡς παρηγορίαν τὸν Πατέρα τῶν ὀρφανῶν καὶ τὸν κριτὴν τῶν χηρῶν. Ἄκουσε τί λέγει καὶ ὁ Παῦλος μακαρίζων τὴν χηρείαν· «Ἡ πραγματικὴ χήρα, ποὺ εἶναι τελείως μόνη της, ἔχει ἐναποθέσει τὰς ἐλπίδας της εἰς τὸν Κύριον»[39]. Καθόσον αὐτὴ θ' ἀποδειχθῇ πιὸ γνησία, ἐπιδεικνύουσα περισσοτέραν ὑπομονήν. Μὴ θρηνῇς λοιπὸν δι' ἐκεῖνο διὰ τὸ ὁποῖο στεφανώνεσαι, δι' ἐκεῖνο διὰ τὸ ὁποῖο ζητεῖς μισθόν. Καθόσον παρέδωσες ἐκεῖνο ποὺ σοῦ ἐδόθη, ἐὰν παρουσίασες αὐτὸ ἀκριβῶς ποὺ σοῦ ἐνεπιστεύθη. Μὴ καταβάλῃς λοιπὸν ἄλλας φροντίδας, ἀφοῦ ἐτοποθέτησες τὸ ἀπόκτημά σου εἰς θησαυρὸν ποὺ δὲν εἶναι δυνατὸν νὰ ληστευθῇ. Ἐὰν δὲ ἤθελες κατανοήσει ποία εἶναι ἡ ἀξία τῆς παρούσης ζωῆς καὶ ποία τῆς μελλούσης ζωῆς, καὶ ὅτι ἡ μὲν παροῦσα ζωὴ εἶναι ἀράχνη καὶ σκιά, ἐνῷ ὅλα τὰ τῆς μελλούσης ζωῆς ὅτι εἶναι ἀμετακίνητα καὶ ἀθάνατα, δὲν θὰ χρειασθῇς εἰς τὸ ἑξῆς ἄλλας συμβουλάς. Διότι τώρα μὲν τὸ παιδί σου ἔχει ἀπαλλαχθῇ ἀπὸ κάθε εἴδους μεταβολήν, ἐνῷ ἐὰν παρέμενεν ἐδῶ ἴσως μὲν νὰ παρέμενεν ἀγαθὸν ἴσως δὲ νὰ μὴ ἠμποροῦσε νὰ παραμείνῃ ἀγαθόν. Ἢ δὲν βλέπεις πόσοι εἶναι ἐκεῖνοι ποὺ ἀποκηρύσσουν τὰ παιδιά των; ἢ πόσοι εἶναι ἐκεῖνοι ποὺ ἀναγκάζονται νὰ τὰ κρατοῦν εἰς τὴν οἰκίαν των ἂν καὶ εἶναι χειρότερα ἀπὸ ἐκεῖνα ποὺ ἄλλοι τὰ ἀποκηρύσσουν;

'Αναλογόμενοι ὅλα αὐτὰ ἂς φιλοσοφοῦμεν τὰ γεγονότα· διότι ἔτσι καὶ τὸν ἀποθανόντα θὰ ὠφελοῦμεν καὶ θὰ λάβωμεν τοὺς ἐπαίνους πολλῶν ἀνθρώπων, καὶ ἀπὸ τὸν Θεὸν θὰ λάβωμεν τὰς μεγάλας ἀμοιβὰς τῆς ὑπομονῆς καὶ θὰ κληρονομήσωμεν τὰ αἰώνια ἀγαθά, τὰ ὁποῖα εἴθε νὰ συμβῇ ὅλοι μας νὰ τὰ ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν 'Ιησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. 'Αμήν.

ΟΜΙΛΙΑ ΛΒ΄

Ματθ. 9, 27 - 10, 15

«*Καὶ παράγοντι ἐκεῖθεν τῷ Ἰησοῦ ἠκολούθησαν δύο τυφλοὶ κράζοντες καὶ λέγοντες· ἐλέησον ἡμᾶς, υἱὲ Δαυΐδ.* 5 *Καὶ ἐλθόντος αὐτοῦ εἰς τὴν οἰκίαν, προσῆλθον αὐτῷ οἱ τυφλοὶ καὶ λέγει αὐτοῖς ὁ Ἰησοῦς· πιστεύετε ὅτι δύναμαι τοῦτο ποιῆσαι; Λέγουσιν αὐτῷ· ναί, Κύριε. Τότε ἥψατο τῶν ὀφθαλμῶν αὐτῶν, λέγων· κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν. Καὶ ἀνεῴχθησαν αὐτῶν οἱ ὀφθαλμοί*».

10 *1. Τί δήποτε παρέλκει αὐτοὺς κράζοντας; Πάλιν ἐνταῦθα παιδεύων ἡμᾶς τὴν παρὰ τῶν πολλῶν διωθεῖσθαι δόξαν. Ἐπειδὴ γὰρ πλησίον ἦν ἡ οἰκία, ἄγει αὐτοὺς ἐκεῖ κατ' ἰδίαν θεραπεύσων. Καὶ τοῦτο δῆλον ἐξ ὧν παρήγγειλε μηδενὶ εἰπεῖν. Οὐ μικρὰ δὲ αὕτη τῶν Ἰουδαίων κατηγορία,* 15 *ὅταν οὗτοι μέν, τῶν ὀφθαλμῶν αὐτοῖς ἐκκεκομμένων, ἐξ ἀκοῆς μόνης τὴν πίστιν δέχωνται· ἐκεῖνοι δὲ θεωροῦντες τὰ θαύματα, καὶ τὴν ὄψιν μαρτυροῦσαν τοῖς γινομένοις ἔχοντες, τἀναντία πάντα ποιῶσιν. Ὅρα δὲ αὐτῶν καὶ τὴν προθυμίαν, καὶ ἀπὸ τῆς κραυγῆς, καὶ ἀπ' αὐτῆς τῆς ἐν-* 20 *τεύξεως. Οὐδὲ γὰρ ἁπλῶς προσῆλθον, ἀλλὰ μεγάλα βοῶντες, καὶ οὐδὲν ἕτερον ἀλλ' ἢ ἔλεον προβαλλόμενοι. Υἱὸν δὲ Δαυΐδ ἐκάλουν, ἐπειδὴ τὸ ὄνομα τιμῆς ἐδόκει εἶναι. Πολλαχοῦ γοῦν καὶ οἱ προφῆται τοὺς βασιλέας, οὓς ἐβούλοντο τιμᾶν καὶ μεγάλους ἀποφαίνειν, οὕτως ἐκάλουν.*

25 *Καὶ ἀγαγὼν αὐτοὺς εἰς τὴν οἰκίαν, δευτέραν ἐρώτη-*

---

1. Υἱὸς τοῦ Δαυΐδ! σημαίνει ὁ Μεσσίας, ὁ λυτρωτὴς τοῦ κόσμου. Πρβλ. Ματθ. 12, 23. 15, 22. 20, 30-31. 21, 9-15.

ΟΜΙΛΙΑ ΛΒ΄

Ματθ. 9, 27 - 10, 15

«Καὶ ὅταν ἐπροχώρησε ἀπὸ ἐκεῖ ὁ Ἰησοῦς τὸν ἠκολούθησαν δύο τυφλοί, οἱ ὁποῖοι ἐφώναζαν καὶ τοῦ ἔλεγαν· Υἱὲ τοῦ Δαυΐδ[1], ἐλέησέ μας. Καὶ μόλις ἔφθασεν εἰς τὴν οἰκίαν τὸν ἐπλησίασαν οἱ τυφλοὶ καὶ τότε λέγει ὁ Ἰησοῦς εἰς αὐτούς· 'Πιστεύετε ὅτι ἠμπορῶ νὰ κάμω αὐτὸ ποὺ ζητεῖτε;' 'Ναί, Κύριε', τοῦ ἀπαντοῦν. Τότε ἤγγισε τοὺς ὀφθαλμούς των καὶ εἶπεν· '῞Ας γίνῃ σύμφωνα μὲ τὴν πίστιν σας'. Καὶ ἤνοιξαν οἱ ὀφθαλμοὶ αὐτῶν».

1. Τί τέλος πάντων ἦτο ἐκεῖνο ποὺ τοὺς ὤθουσεν ὥστε νὰ φωνάζουν δυνατά; Μὲ σκοπὸν πάλιν νὰ μᾶς διδάξῃ ὅτι πρέπει ν' ἀποφεύγωμεν τὴν ἐκ μέρους τῶν πολλῶν δόξαν. Διότι ἐπειδὴ εὑρίσκετο ἡ οἰκία πλησίον τοὺς ὁδηγεῖ ἐκεῖ διὰ νὰ τοὺς θεραπεύσῃ κατ' ἰδίαν. Καὶ αὐτὸ καθίσταται φανερὸν ἀπὸ τὸ ὅτι τοὺς ἔδωσεν ἐντολὴν νὰ μὴ ἀναφέρουν τὸ συμβὰν εἰς οὐδένα. Δὲν εἶναι μικρὰ αὐτὴ ἡ κατηγορία διὰ τοὺς Ἰουδαίους, καθ' ἣν στιγμὴν αὐτοὶ μὲν μόνοι ἐξ ὅσων ἤκουσαν ἐπίστευσαν εἰς τὸν Ἰησοῦν, ἐνῷ οἱ Ἰουδαῖοι ἠμπόδιζαν καὶ τοὺς ὀφθαλμούς των νὰ βλέπουν τὰ γινόμενα ὑπ' αὐτοῦ, καὶ μολονότι ἔβλεπαν τὰ θαύματα καὶ εἶχαν ὡς μάρτυρα τῶν ὅσων συνέβαιναν τοὺς ὀφθαλμούς των, προέβαιναν εἰς τελείως ἀντιθέτους ἐνεργείας. Πρόσεξε δὲ καὶ τὴν προθυμίαν των, ποὺ γίνεται φανερὴ καὶ ἀπὸ τὴν κραυγήν των καὶ ἀπὸ τὴν παράκλησίν των. Διότι δὲν τὸν ἐπλησίασαν ἁπλῶς καὶ μόνον, ἀλλὰ φωνάζοντες δυνατὰ καὶ δὲν προέβαλλαν μὲ τὴν παράκλησίν των τίποτε ἄλλο παρὰ μόνον νὰ τοὺς εὐσπλαγχνισθῇ. Τὸν ἀπεκάλουν δὲ υἱὸν τοῦ Δαυΐδ, ἐπειδὴ ἐθεωρεῖτο τὸ ὄνομα αὐτὸ τιμητικόν. Εἰς πολλὰς βεβαίως ἄλλας περιπτώσεις καὶ οἱ προφῆται ἔτσι ἀπεκάλουν τοὺς βασιλεῖς ἐκείνους ποὺ ἤθελαν νὰ τοὺς τιμήσουν καὶ νὰ τοὺς παρουσιάσουν ὡς πολὺ σπουδαίους.

Ἀφοῦ λοιπὸν τοὺς ὡδήγησεν εἰς τὴν οἰκίαν τοὺς ὑπο-

σιν προσάγει. Πολλαχοῦ γὰρ ἐσπούδακεν ἱκετευόμενος ἰᾶσθαι, ἵνα μή τις νομίσῃ διὰ φιλοτιμίαν αὐτὸν τοῖς θαύμασι τούτοις ἐπιπηδᾶν· καὶ οὐ διὰ τοῦτο μόνον, ἀλλ' ἵνα δείξῃ, ὅτι καὶ ἄξιοι ἦσαν θεραπείας· καὶ ἵνα μή τις λέγῃ, ὅτι εἰ
5 *ἐλέῳ μόνον ἔσωζε, πάντας σώζεσθαι ἔδει. Ἔχει γάρ τινα καὶ ἡ φιλανθρωπία λόγον, τὸν ἀπὸ τῆς πίστεως τῶν σωζομένων. Οὐ διὰ ταῦτα δὲ μόνον τὴν πίστιν αὐτοὺς ἀπαιτεῖ, ἀλλ' ἐπειδὴ εἶπον υἱὸν Δαυΐδ, ἀνάγων αὐτοὺς ἐπὶ τὸ ὑψηλότερον, καὶ παιδεύων, ἃ χρή, περὶ αὐτοῦ φαντάζεσθαι, φη-*
10 *σί· «Πιστεύετε ὅτι δύναμαι τοῦτο ποιῆσαι;». Οὐκ εἶπεν, ὅτι πιστεύετε ὅτι δύναμαι παρακαλέσαι τὸν Πατέρα μου, ὅτι δύναμαι εὔξασθαι· ἀλλ' ὅτι ἐγὼ δύναμαι τοῦτο ποιῆσαι. Τί οὖν ἐκεῖνοι; Ναί, Κύριε. Οὐκέτι Δαυΐδ υἱὸν αὐτὸν καλοῦσιν, ἀλλ' ὑψηλότερον ἀνίπτανται καὶ τὴν δεσποτείαν ὁ-*
15 *μολογοῦσι. Καὶ τότε λοιπὸν καὶ αὐτὸς ἐπιτίθησι τὴν χεῖρα, λέγων· «Κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν». Ποιεῖ δὲ τοῦτο, τὴν πίστιν αὐτῶν ῥωννύς, καὶ δεικνὺς μεριστὰς ὄντας τοῦ κατορθώματος, καὶ μαρτυρῶν ὅτι οὐ κολακείας τὰ ῥήματα ἦν. Οὐδὲ γὰρ εἶπεν, ἀνοιχθήτωσαν ὑμῶν οἱ ὀφθαλ-*
20 *μοί· ἀλλά, «Κατὰ τὴν πίστιν ὑμῶν γενηθήτω ὑμῖν»· ὃ πολλοῖς τῶν προσελθόντων λέγει, πρὸ τῆς τῶν σωμάτων ἰατρείας τὴν ἐν τῇ ψυχῇ πίστιν προανακηρῦξαι σπεύδων, ὥστε καὶ ἐκείνους εὐδοκιμωτέρους ποιῆσαι καὶ ἑτέρους σπουδαιοτέρους κατασκευάσαι. Οὕτω καὶ ἐπὶ τοῦ παραλυτικοῦ· καὶ*
25 *γὰρ πρὸ τοῦ σφίγξαι τὸ σῶμα, τὴν ψυχὴν κειμένην ἀνίστησι,*

βάλλει δευτέραν ἐρώτησιν. Εἰς ὅλας βεβαίως τὰς περιπτώσεις ἐπεδίωκε νὰ θεραπεύῃ κατόπιν παρακλήσεων τῶν ἀσθενῶν, διὰ νὰ μὴ νομίσῃ κανεὶς ὅτι ἐνήργει τὰ θαύματα αὐτὰ ἁπλῶς καὶ μόνον ἀπὸ φιλοδοξίαν· καὶ ὄχι μόνον δι' αὐτό, ἀλλὰ καὶ διὰ νὰ δείξῃ ὅτι ἦσαν ἄξιοι θεραπείας, καὶ ἐπὶ πλέον διὰ νὰ μὴ λέγῃ κανείς, ὅτι 'ἐὰν ἀπὸ εὐσπλαγχνίαν μόνον ἔσωζεν, ἔπρεπεν ὅλους νὰ τοὺς σώζῃ'. Διότι καὶ ἡ φιλανθρωπία ἔχει κάποιαν αἰτίαν, τὴν πίστιν δηλαδὴ τῶν σωζομένων. Καὶ βεβαίως δὲν ζητεῖ ἐπιμόνως μόνον δι' αὐτὸν τὸν λόγον τὴν πίστιν ἀπὸ αὐτούς, ἀλλ' ἐπειδὴ τὸν ὠνόμασαν υἱὸν τοῦ Δαυῒδ διὰ νὰ τοὺς ἐξυψώσῃ πνευματικὰ καὶ νὰ τοὺς διδάξῃ ὁποίαν γνώμην πρέπει νὰ ἔχουν περὶ αὐτοῦ, τοὺς λέγει· «Πιστεύετε ὅτι ἠμπορῶ νὰ κάμω αὐτὸ ποὺ θέλετε;». Δὲν εἶπε 'Πιστεύετε ὅτι ἠμπορῶ νὰ παρακαλέσω τὸν Πατέρα μου, ὅτι ἠμπορῶ νὰ προσευχηθῶ', ἀλλ' ὅτι ἐγὼ ἠμπορῶ νὰ κάμω αὐτὸ ποὺ ζητεῖτε. Τί ἀπαντοῦν λοιπὸν ἐκεῖνοι; «Ναί, Κύριε». Δὲν τὸν ὀνομάζουν πλέον υἱὸν τοῦ Δαυῒδ, ἀλλ' ἀνέρχονται πνευματικῶς ὑψηλότερα καὶ ὁμολογοῦν ὅτι εἶναι Κύριος. Καὶ τότε λοιπὸν καὶ ὁ Ἰησοῦς θέτει τὴν χεῖρά του ἐπάνω των καὶ λέγει· «Ἂς γίνῃ εἰς σᾶς αὐτὸ ποὺ ζητεῖτε σύμφωνα μὲ τὴν πίστιν σας». Τὸ κάμνει αὐτὸ δὲ διὰ νὰ ἐνδυναμώσῃ τὴν πίστιν των καὶ νὰ δείξῃ ὅτι καὶ αὐτοὶ ἔχουν τὸ μερίδιόν των εἰς τὸ θαῦμα καὶ ἐπὶ πλέον διὰ νὰ ἐπιβεβαιώσῃ ὅτι τὰ λόγια των δὲν ἦσαν λόγια κολακείας. Διότι δὲν εἶπεν 'Ἂς ἀνοίξουν οἱ ὀφθαλμοί σας', ἀλλὰ «Ἂς γίνῃ εἰς σᾶς αὐτὸ ποὺ ζητεῖτε σύμφωνα μὲ τὴν πίστιν σας», πρᾶγμα ποὺ λέγει εἰς πολλοὺς ἀπὸ ἐκείνους ποὺ τὸν ἐπλησίασαν, μὲ σκοπὸν νὰ καταστήσῃ γνωστὴν τὴν πίστιν τῆς ψυχῆς των πρὶν ἀπὸ τὴν θεραπείαν τῶν σωμάτων των, ὥστε νὰ καταστήσῃ ἐκείνους περισσότερον εὐδοκίμους εἰς πίστιν καὶ ἔργα καὶ ἄλλους νὰ κάμῃ περισσότερον σπουδαίους. Κατὰ τὸν ἴδιον τρόπον ἐνήργησε καὶ εἰς τὸν παραλυτικόν, καθόσον πρὶν νὰ θεραπεύσῃ τὸ σῶμά του, τὴν ψυχήν του ἐξυψώνει ποὺ ἦτο πεσμένη, λέ-

λέγων· «Θάρσει, τέκνον, ἀφέωνταί σου αἱ ἁμαρτίαι»· καὶ τὸ κοράσιον δὲ ἀναστήσας κατέσχε, καὶ διὰ τῆς τραπέζης ἐδίδαξεν αὐτὴν τὸν εὐεργέτην· καὶ ἐπὶ τοῦ ἑκατοντάρχου δὲ ὁμοίως ἐποίησε, τῇ πίστει τὸ πᾶν ἐπιτρέψας· καὶ τοὺς μαθητὰς δὲ ἀπαλλάττων τοῦ χειμῶνος τῆς θαλάσσης, τῆς ὀλιγοπιστίας πρῶτον ἀπήλλαττεν. Οὕτω δὴ καὶ ἐνταῦθα· ᾔδει μὲν καὶ πρὸ τῆς ἐκείνων φωνῆς αὐτὸς τὰ ἀπόρρητα τῆς διανοίας· ἵνα δὲ καὶ ἑτέρους εἰς τὸν αὐτὸν ζῆλον ἀγάγῃ, καὶ τοῖς ἄλλοις καταδήλους αὐτοὺς ποιεῖ, διὰ τοῦ τέλους τῆς ἰατρείας τὴν κρυπτομένην αὐτῶν πίστιν ἀνακηρύττων.

Εἶτα μετὰ τὴν ἰατρείαν κελεύει μηδενὶ εἰπεῖν· καὶ οὐχ ἁπλῶς κελεύει, ἀλλὰ μετὰ πολλῆς τῆς σφοδρότητος. «Ἐνεβριμήσατο γὰρ αὐτοῖς ὁ Ἰησοῦς», φησί, «λέγων· ὁρᾶτε, μηδεὶς γινωσκέτω. Οἱ δὲ ἐξελθόντες, διεφήμισαν αὐτὸν ἐν ὅλῃ τῇ γῇ ἐκείνῃ». Οὐ μὴν ἠνέσχοντο ἐκεῖνοι, ἀλλ' ἐγένοντο κήρυκες καὶ εὐαγγελισταί· καὶ κελευόμενοι κρύπτειν τὸ γεγενημένον, οὐκ ἠνέσχοντο. Εἰ δὲ ἀλλαχοῦ φαίνεται λέγων· «Ἄπελθε, καὶ διηγοῦ τὴν δόξαν τοῦ Θεοῦ»· οὐκ ἔστιν ἐναντίον ἐκεῖνο τούτῳ, ἀλλὰ καὶ σφόδρα συμβαῖνον. Παιδεύει γὰρ ἡμᾶς αὐτοὺς μὲν περὶ ἑαυτῶν μηδὲν λέγειν, ἀλλὰ καὶ τοὺς βουλομένους ἡμᾶς ἐγκωμιάζειν κωλύειν· εἰ δὲ εἰς τὸν Θεὸν ἡ δόξα ἀναφέροιτο, μὴ μόνον μὴ κωλύειν, ἀλλὰ καὶ ἐπιτάττειν τοῦτο ποιεῖν.

«Αὐτῶν δὲ ἐξερχομένων», φησίν, «ἰδοὺ προσήνεγκαν

---

2. Ματθ. 9, 2.
3. Πρβλ. Λουκᾶ 8, 55-56.
4. Πρβλ. Ματθ. 8, 10-13.
5. Πρβλ. Ματθ. 8, 26.

γων τὰ ἑξῆς· «Ἔχε θάρρος, τέκνον μου, συγχωροῦνται αἱ ἁμαρτίαι σου»[2]. Καὶ τὴν θυγατέρα τοῦ ἀρχισυναγώγου δὲ ἀφοῦ τὴν ἀνέστησε τὴν ἐκράτησε ἀπὸ τὸ χέρι της καὶ μέσῳ τῆς τραπέζης τῆς ἐδίδαξε τὸν εὐεργέτην της[3]. Καὶ εἰς τὴν περίπτωσιν δὲ τοῦ ἑκατοντάρχου ἐνήργησε κατὰ τὸν ἴδιον τρόπον, ἐξαρτήσας τὸ πᾶν ἀπὸ τὴν πίστιν[4]. Καὶ τοὺς μαθητάς του δὲ ἀπαλλάσσων ἀπὸ τὴν τρικυμίαν τῆς θαλάσσης, κατ' ἀρχὴν τοὺς ἀπήλλαξεν ἀπὸ τὴν ὀλιγοπιστίαν των[5]. Κατὰ τὸν ἴδιον τρόπον λοιπὸν ἐνεργεῖ καὶ εἰς τὴν περίπτωσιν αὐτήν. Ἐγνώριζε μέν, καὶ πρὶν ἐκεῖνοι φωνάξουν, τὰς ἀποκρύφους σκέψεις τῆς διανοίας των, ὅμως διὰ νὰ ἐμβάλῃ καὶ εἰς ἄλλους τὸν αὐτὸν ζῆλον, τοὺς φανερώνει καὶ εἰς τοὺς ἄλλους διακηρύσσων μὲ τὴν πρᾶξιν τῆς θεραπείας των τὴν πίστιν ποὺ ἐκρύπτετο ἐντὸς αὐτῶν.

Εἰς τὴν συνέχειαν μετὰ τὴν θεραπείαν δίδει ἐντολὴν νὰ μὴ ἀναγγείλῃ τὸ συμβὰν εἰς οὐδένα· καὶ δὲν δίδει ἁπλῶς ἐντολήν, ἀλλὰ μάλιστα μὲ τόνον πολὺ αὐστηρόν· διότι λέγει, «Μὲ αὐστηρότητα παρήγγειλεν αὐτοὺς ὁ Ἰησοῦς καὶ τοὺς εἶπε· Προσέχετε, κανεὶς νὰ μὴ μάθῃ τὸ θαῦμα αὐτό. Αὐτοὶ ὅμως ὅταν ἔφυγαν ἀπὸ τὴν οἰκίαν, διέδωσαν αὐτὴν τὴν φήμην εἰς ὅλα τὰ μέρη τῆς περιοχῆς ἐκείνης». Δὲν ἠμπόρεσαν βεβαίως νὰ συγκρατηθοῦν οἱ τυφλοί, ἀλλ' ἀντιθέτως ἔγιναν κήρυκες καὶ εὐαγγελισταὶ τοῦ θαύματος· καὶ μολονότι ἔλαβαν ἐντολὴν νὰ μὴ ἀναγγείλουν τὸ γεγονός, δὲν ἠμπόρεσαν νὰ τὸ κρατήσουν μυστικόν. Ἐὰν δὲ εἰς ἄλλας περιπτώσεις φαίνεται νὰ λέγῃ· «Πήγαινε καὶ διηγήσου τὴν δόξαν τοῦ Θεοῦ», δὲν δηλοῖ αὐτὸ ἀντίθεσιν πρὸς τὸ προαναφερθέν, ἀλλ' ἀντιθέτως αὐτὸ ἀκριβῶς δηλώνει, εἰς μεγάλον μάλιστα βαθμόν. Διότι μᾶς διδάσκει νὰ μὴ λέγωμεν τίποτε διὰ τοὺς ἑαυτούς μας, ἀλλὰ καὶ νὰ ἐμποδίζωμεν αὐτοὺς ποὺ θέλουν νὰ μᾶς ἐγκωμιάσουν. Ὅταν ὅμως ἡ δόξα ἀναφέρεται εἰς τὸν Θεόν, ὄχι μόνον δὲν μᾶς ἐμποδίζει ἀλλὰ καὶ προστάσσει νὰ τὸ πράττωμεν αὐτό.

«Ἐνῷ δὲ αὐτοὶ οἱ δύο ἐξήρχοντο», λέγει ὁ εὐαγγελι-

αὐτῷ ἄνθρωπον κωφόν, δαιμονιζόμενον». Οὐ γὰρ τῆς φύσεως ἦν τὸ πάθος, ἀλλὰ τοῦ δαίμονος ἡ ἐπιβουλή· διὸ καὶ ἑτέρων δεῖται τῶν προσαγόντων. Οὐδὲ γὰρ δι' ἑαυτοῦ παρακαλέσαι ἠδύνατο, ἄφωνος ὤν, οὐδὲ ἑτέρους ἱκετεῦσαι, τοῦ 5 δαίμονος δήσαντος τὴν γλῶτταν, καὶ τὴν ψυχὴν μετὰ τῆς γλώττης πεδήσαντος. Διὰ τοῦτο οὐδὲ ἀπαιτεῖ πίστιν αὐτόν, ἀλλ' εὐθέως διορθοῦται τὸ νόσημα. «Ἐκβληθέντος γὰρ τοῦ δαίμονος», φησίν, «ἐλάλησεν ὁ κωφός. Οἱ δὲ ὄχλοι ἐθαύμασαν, λέγοντες· οὐδέποτε ἐφάνη οὕτως ἐν τῷ Ἰσραήλ». 10 Ὃ δὴ μάλιστα ἠνία τοὺς Φαρισαίους, ὅτι πάντων αὐτὸν προὐτίθεσαν, οὐ τῶν τότε ὄντων, ἀλλὰ καὶ τῶν πώποτε γενομένων· προὐτίθεσαν δέ, οὐχ ὅτι ἐθεράπευεν, ἀλλ' ὅτι ῥᾳδίως καὶ ταχέως καὶ ἄπειρα νοσήματα καὶ ἀνιάτως ἔχοντα. Καὶ ὁ μὲν δῆμος οὕτως.

15 *2. Οἱ Φαρισαῖοι δὲ τοὐναντίον ἅπαν. Οὐ γὰρ μόνον διαβάλλουσι τὰ γεγενημένα, ἀλλὰ καὶ ἐναντία λέγοντες ἑαυτοῖς οὐκ αἰσχύνονται. Τοιοῦτον γὰρ ἡ πονηρία. Τί γάρ φασιν; «Ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια»· οὗ τί γένοιτ' ἂν ἀνοητότερον; Μάλιστα μὲν γάρ, ὃ καὶ προ- 20 ϊὼν φησιν, ἀμήχανον δαίμονα ἐκβάλλειν δαίμονα· τὰ γὰρ ἑαυτοῦ συγκροτεῖν εἴωθεν, οὐ καταλύειν ἐκεῖνο. Αὐτὸς δὲ οὐχὶ δαίμονας ἐξέβαλε μόνον, ἀλλὰ καὶ λεπροὺς ἐκάθηρε καὶ νεκροὺς ἤγειρε καὶ θάλατταν ἐχαλίνου καὶ ἁμαρτήματα ἔλυε καὶ βασιλείαν ἐκήρυττε, καὶ τῷ Πατρὶ προσῆγεν·*

στής, «ἰδοὺ ἔφεραν πρὸς τὸν Ἰησοῦν κάποιον ἄνθρωπον ποὺ κατείχετο ἀπὸ δαιμόνιον καὶ ἦτο κωφὸς καὶ ἄλαλος». Δὲν ἦτο φυσικὸν τὸ πάθημά του ἀλλὰ προήρχετο ἀπὸ ἰσχυρὰν ἐπίδρασιν τοῦ δαίμονος· διὰ τοῦτο καὶ ἐχρειάζετο ἄλλους διὰ νὰ τὸν ὁδηγήσουν εἰς τὸν Ἰησοῦν. Οὔτε βεβαίως ἠμποροῦσε μόνος του νὰ παρακαλέσῃ τὸν Κύριον, διότι ἦτο ἄφωνος, οὔτε ἄλλους νὰ ἱκετεύσῃ, διότι ὁ δαίμων τοῦ ἔδεσε τὴν γλῶσσαν καὶ μαζὶ μὲ τὴν γλῶσσαν καὶ τὴν ψυχήν του ἐδέσμευσε. Διὰ τοῦτο δὲν ἀπαιτεῖ πίστιν ἀπὸ αὐτόν, ἀλλ' ἀμέσως θεραπεύει τὴν ἀσθένειάν του. Διότι λέγει ὁ εὐαγγελιστής· «Ἀφοῦ ἐξεδιώχθη τὸ δαιμόνιον, ὡμίλησεν ὁ κωφάλαλος. Τὰ δὲ πλήθη τοῦ κόσμου ἐθαύμασαν καὶ ἔλεγαν· Οὐδέποτε ἐφάνησαν εἰς τὸ ἔθνος τοῦ Ἰσραὴλ παρόμοια θαύματα». Τοῦτο βεβαίως κατ' ἐξοχὴν ἠνόχλει τοὺς Φαρισαίους, τὸ ὅτι δηλαδὴ παρουσίαζαν τὸν Ἰησοῦν ὡς ἀνώτερον ὅλων, ὄχι μόνον ἐκείνων ποὺ ἐζοῦσαν τότε, ἀλλὰ καὶ αὐτῶν ποὺ ἔζησαν παλαιότερον. Τὸν παρουσίαζαν δὲ ὡς ἀνώτερον ὄχι ἐπειδὴ ἐθεράπευεν ἁπλῶς, ἀλλ' ἐπειδὴ ἐθεράπευεν εὐκόλως καὶ ἀμέσως καὶ πλῆθος νοσημάτων καὶ μάλιστα ποὺ ἦσαν ἀθεράπευτα. Καὶ τὸ μὲν πλῆθος τοῦ λαοῦ ἐξεδήλωνεν ἔτσι τὸν θαυμασμόν του.

2. Οἱ Φαρισαῖοι ὅμως ἐνήργουν κατὰ τελείως ἀντίθετον τρόπον. Διότι ὄχι μόνον ἐσυκοφάντουν τὰ ὅσα συνέβαιναν, ἀλλὰ καὶ δὲν ἐντρέποντο νὰ ἀντιφάσκουν πρὸς τὰ λεγόμενά των. Διότι τέτοια εἶναι ἡ πονηρία. Καὶ τί λέγουν λοιπόν· «Ἐν ὀνόματι τοῦ ἄρχοντος τῶν δαιμονίων ἐκδιώκει τὰ δαιμόνια»· τί θὰ ἠμποροῦσε νὰ θεωρηθῇ πιὸ ἀνόητον ἀπὸ αὐτό; Διότι βέβαια εἶναι ἀδύνατον, ὅπως λέγει εἰς τὴν συνέχειαν ὁ Ἰησοῦς, ὁ δαίμων νὰ ἐκδιώκῃ τὸν δαίμονα, ἐπειδὴ ἐκεῖνος συνηθίζει νὰ συνενώνῃ τὰ ἴδικά του καὶ ὄχι νὰ τὰ διαλύῃ. Ἐνῷ ὁ Χριστὸς ὄχι μόνον ἐξέβαλε δαίμονας ἀλλὰ καὶ λεπροὺς ἐκαθάριζε, καὶ νεκροὺς ἀνίστα, καὶ τὴν θάλασσαν ἐχαλιναγώγει, καὶ τὰ ἁμαρτήματα συνεχώρει, καὶ οὐράνιον βασιλείαν ἐκήρυττε καὶ τοὺς ἀνθρώπους ὡδήγει

ἅπερ οὔτ' ἂν ἕλοιτό ποτε δαίμων, οὔτ' ἂν δυνηθείη ποτὲ ἐργάσασθαι. Οἱ γὰρ δαίμονες εἰδώλοις προσάγουσι καὶ Θεοῦ ἀπάγουσι καὶ τῇ μελλούσῃ ζωῇ ἀπιστεῖν πείθουσιν. Ὁ δαίμων ὑβριζόμενος οὐκ εὐεργετεῖ, ὅπου γε καὶ μὴ ὑβριζό-
5 *μενος βλάπτει τοὺς θεραπεύοντας αὐτὸν καὶ τιμῶντας. Αὐτὸς δὲ τοὐναντίον ποιεῖ· μετὰ γὰρ τὰς ὕβρεις ταύτας καὶ τὰς λοιδορίας, «Περιῆγε», φησί, «τὰς πόλεις πάσας καὶ τὰς κώμας, διδάσκων ἐν ταῖς συναγωγαῖς αὐτῶν, καὶ κηρύσσων τὸ εὐαγγέλιον τῆς βασιλείας, καὶ θεραπεύων πᾶσαν*
10 *νόσον καὶ πᾶσαν μαλακίαν». Καὶ οὐ μόνον αὐτοὺς οὐκ ἐκόλασεν ἀναισθητοῦντας, ἀλλ' οὐδὲ ἁπλῶς ἐπετίμησεν· ὁμοῦ τε τὴν πραότητα ἐπιδεικνύμενος, καὶ ταύτῃ τὴν κακηγορίαν ἐλέγχων· ὁμοῦ τε βουλόμενος διὰ τῶν ἑξῆς σημείων πλείονα παρασχεῖν τὴν ἀπόδειξιν καὶ τότε καὶ τὸν ἀπὸ τῶν λόγων*
15 *ἔλεγχον ἐπαγαγεῖν.*

Περιῆγε τοίνυν καὶ ἐν πόλεσι, καὶ ἐν χώραις, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν· παιδεύων ἡμᾶς οὕτως ἀμείβεσθαι τοὺς κακηγόρους, οὐ κακηγορίαις ἑτέραις, ἀλλ' εὐεργεσίαις μείζοσιν. Εἰ γὰρ μὴ δι' ἀνθρώπους, ἀλλὰ διὰ τὸν Θεὸν
20 *εὐεργετεῖς τοὺς ὁμοδούλους, ὅσα ἂν ποιῶσι, μὴ ἀποστῇς εὐεργετῶν, ἵνα μείζων ὁ μισθὸς ᾖ· ὡς ὅ γε μετὰ τὴν κακηγορίαν ἀφιστάμενος τῆς εὐεργεσίας, δείκνυσιν ὅτι διὰ τὸν ἐκείνων ἔπαινον, ἀλλ' οὐ διὰ τὸν Θεόν, τῆς τοιαύτης ἐπιλαμβάνεται ἀρετῆς. Διὰ τοῦτο ὁ Χριστὸς παιδεύων ἡμᾶς,*
25 *ὅτι ἐξ ἀγαθότητος μόνης ἐπὶ τοῦτο ἧει, οὐ μόνον οὐκ ἀνέμενε πρὸς αὐτὸν ἐλθεῖν τοὺς κάμνοντας, ἀλλὰ καὶ αὐτὸς πρὸς ἐ-*

εἰς τὸν Πατέρα, πράγματα τὰ ὁποῖα οὔτε θὰ ἠμποροῦσε ποτὲ νὰ προτιμήσῃ οὔτε θὰ ἦτο δυνατὸν ποτὲ νὰ τὰ πραγματοποιήσῃ. Διότι οἱ δαίμονες ὁδηγοῦν τοὺς ἀνθρώπους εἰς τὰ εἴδωλα καὶ τοὺς ἀπομακρύνουν ἀπὸ τὸν Θεὸν καὶ τοὺς πείθουν νὰ μὴ πιστεύουν εἰς τὴν μέλλουσαν ζωήν. Ὁ δαίμων ὅταν ὑβρίζεται δὲν εὐεργετεῖ, ἀφοῦ μάλιστα καὶ ὅταν δὲν ὑβρίζεται βλάπτει αὐτοὺς ποὺ πιστεύουν εἰς αὐτὸν καὶ τὸν τιμοῦν. Ὁ Κύριος ὅμως πράττει τὸ ἀντίθετον. Διότι μετὰ ἀπὸ αὐτὰς τὰς ὕβρεις καὶ τὰς λοιδορίας, λέγει ὁ εὐαγγελιστής, «Ἐπεσκέπτετο ὅλας τὰς πόλεις καὶ τὰς κωμοπόλεις καὶ ἐδίδασκεν εἰς τὰς συναγωγάς των καὶ ἐκήρυττε τὸ εὐαγγέλιον τῆς βασιλείας καὶ ἐθεράπευε κάθε ἀσθένειαν καὶ κάθε ἀδυναμίαν τοῦ λαοῦ». Καὶ ὄχι μόνον δὲν ἐτιμώρησεν αὐτοὺς διὰ τὴν ἀναισθησίαν των, ἀλλ' οὔτε κἂν τοὺς ἐπετίμησε, καὶ ἔτσι ἀπέδειξε καὶ τὴν πραότητά του καὶ συγχρόνως μέσῳ αὐτῆς ἤλεγξε τὴν κατηγορίαν τῶν Φαρισαίων. Συγχρόνως δὲ ἐπεθύμει διὰ τῶν ἐν συνεχείᾳ θαυμάτων νὰ καταστήσῃ ἀκόμη μεγαλυτέραν τὴν ἀπόδειξιν καὶ τότε νὰ τοὺς ἐλέγξῃ καὶ μὲ τοὺς λόγους του.

Μετέβαινε λοιπὸν καὶ εἰς τὰς πόλεις καὶ εἰς τὰ χωρία καὶ εἰς τὰς συναγωγὰς αὐτῶν, διδάσκων ἡμᾶς νὰ ἀμείβωμεν κατ' αὐτὸν τὸν τρόπον αὐτοὺς ποὺ μᾶς κατηγοροῦν, ὄχι δηλαδὴ μὲ ἄλλας κατηγορίας, ἀλλὰ μὲ μεγαλυτέρας εὐεργεσίας. Διότι ἐὰν εὐεργετῇς τοὺς συνανθρώπους σου ὄχι πρὸς τὸ θεαθεῖναι τοῖς ἀνθρώποις ἀλλὰ διὰ τὴν δόξαν τοῦ Θεοῦ, ὅσα καὶ ἂν σοῦ κάμουν, μὴ σταματήσῃς νὰ τοὺς εὐεργετῇς, διὰ νὰ λάβῃς ἀκόμη πιὸ μεγάλην ἀμοιβήν· διότι βέβαια αὐτὸς ποὺ σταματᾷ τὴν εὐεργεσίαν μετὰ τὴν συκοφαντίαν δεικνύει ὅτι προσπαθεῖ ν' ἀσκήσῃ αὐτὸ τὸ ἔργον ὄχι διὰ νὰ δοξάσῃ τὸν Θεὸν ἀλλὰ διὰ νὰ λάβῃ τὸν ἔπαινον τῶν ἀνθρώπων. Διὰ τοῦτο θέλων νὰ μᾶς διδάξῃ ὁ Χριστός, ὅτι ἀπὸ ἀγαθότητα καὶ μόνον προέβαινεν εἰς τὰς ἐνεργείας αὐτάς, ὄχι μόνον δὲν ἐπερίμενε νὰ ἔλθουν πρὸς αὐτὸν οἱ ἀσθενεῖς, ἀλλὰ καὶ ὁ ἴδιος μετέβαινε πρὸς ἐκεί-

κείνους ἠπείγετο, δύο τὰ μέγιστα αὐτοῖς κομίζων ἀγαθά· ἓν μέν, τῆς βασιλείας τὸ εὐαγγέλιον· ἕτερον δέ, τὴν πάντων τῶν νοσημάτων διόρθωσιν. Καὶ οὐδὲ πάλιν παρεώρα, οὐ κώμην παρέτρεχεν, ἀλλὰ πάντα ἐπήει τόπον.

5 *Καὶ οὐδὲ μέχρι τούτου ἵσταται, ἀλλὰ καὶ ἑτέραν πρόνοιαν ἐπιδείκνυται. «Ἰδὼν» γάρ, φησί, «τοὺς ὄχλους, ἐσπλαγχνίσθη περὶ αὐτῶν, ὅτι ἦσαν ἐσκυλμένοι καὶ ἐρριμμένοι, ὡς πρόβατα μὴ ἔχοντα ποιμένα. Τότε λέγει τοῖς μαθηταῖς αὐτοῦ· ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται ὀλί-*
10 *γοι. Δεήθητε οὖν τοῦ Κυρίου τοῦ θερισμοῦ, ὅπως ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ».*

Ὅρα πάλιν τὸ ἀκενόδοξον. Ἵνα μὴ ἅπαντας πρὸς ἑαυτὸν ἐπισύρηται, ἐκπέμπει τοὺς μαθητάς. Οὐ διὰ τοῦτο δὲ μόνον, ἀλλ' ἵνα αὐτοὺς καὶ παιδεύσῃ, καθάπερ ἔν τινι πα-
15 *λαίστρᾳ τῇ Παλαιστίνῃ μελετήσαντας, οὕτω πρὸς τοὺς ἀγῶνας τῆς οἰκουμένης ἀποδύσασθαι. Διὰ δὴ τοῦτο καὶ μείζονα τὰ γυμνάσια τῶν ἀγώνων τίθησι, ὅσον εἰς τὴν αὐτῶν ἧκεν ἀρετήν, ἵνα εὐκοπώτερον τῶν μετὰ ταῦτα ἀγώνων ἅψωνται, καθάπερ τινὰς νεοσσοὺς ἁπαλοὺς πρὸς τὸ πτῆναι*
20 *προάγων ἤδη. Καὶ τέως αὐτοὺς ἰατροὺς σωμάτων ποιεῖ, ὕστερον ταμιευόμενος τὴν τῆς ψυχῆς διόρθωσιν τὴν προηγουμένην. Καὶ σκόπει πῶς εὔκολον τὸ πρᾶγμα δείκνυσι καὶ ἀναγκαῖον.*

Τί γάρ φησιν; «Ὁ μὲν θερισμὸς πολύς, οἱ δὲ ἐργάται
25 *ὀλίγοι». Οὐ γὰρ ἐπὶ τὸν σπόρον ὑμᾶς, φησίν, ἀλλ' ἐπὶ τὸν ἀμητὸν πέμπω. Ὅπερ ἐν τῷ Ἰωάννῃ ἔλεγεν· «Ἄλλοι κεκοπιάκασι καὶ ὑμεῖς εἰς τὸν κόπον αὐτῶν εἰσεληλύθατε». Ταῦτα δὲ ἔλεγε, καὶ τὸ φρόνημα αὐτῶν καταστέλλων καὶ*

---

6. Πρβλ. Μάρκ. 5, 19.
7. Ἰω. 4, 38.

νους, χαρίζων εἰς αὐτοὺς τὰ δύο πιὸ μεγάλα ἀγαθά· καὶ τὸ μὲν πρῶτον ἦτο τὸ Εὐαγγέλιον τῆς βασιλείας τῶν οὐρανῶν, τὸ δὲ δεύτερον ἡ θεραπεία ὅλων τῶν ἀσθενειῶν. Καὶ δὲν παρέβλεπε καμμίαν πόλιν, οὔτε παρέλειπε κανένα χωρίον, ἀλλ' ἐπεσκέπτετο κάθε τόπον.

Καὶ δὲν ἠρκεῖτο μόνον εἰς αὐτό, ἀλλ' ἐπεδείκνυε καὶ ἄλλο ἐνδιαφέρον. Διότι λέγει ὁ εὐαγγελιστής· «Ὅταν ὁ Ἰησοῦς εἶδε τὰ πλήθη τοῦ λαοῦ ἔνοιωσεν εὐσπλαγχνίαν δι' αὐτοὺς ἐπειδὴ ἦσαν κουρασμένοι καὶ παρημελημένοι καὶ ὡμοίαζαν ὡσὰν τὰ πρόβατα ἐκεῖνα ποὺ δὲν ἔχουν ποιμένα. Τότε λέγει εἰς τοὺς μαθητάς του· Ὁ μὲν θερισμὸς εἶναι πολύς, οἱ ἐργάται ὅμως εἶναι ὀλίγοι. Παρακαλέσατε λοιπὸν τὸν Κύριον τοῦ θερισμοῦ διὰ ν' ἀποστείλῃ ἐργάτας διὰ τὸν θερισμόν»[6].

Πρόσεξε πάλιν τὴν ταπεινότητά του. Διὰ νὰ μὴ προσκαλέσῃ ὅλους γενικῶς πλησίον του ὁ ἴδιος, ἀποστέλλει τοὺς μαθητάς του. Καὶ ὄχι μόνον δι' αὐτό, ἀλλὰ καὶ διὰ νὰ τοὺς ἀσκήσῃ, ὡσὰν ἀκριβῶς εἰς κάποιαν παλαίστραν, ἀφοῦ προγυμνασθοῦν εἰς τὴν Παλαιστίνην, ἐν συνεχείᾳ ν' ἀναλάβουν τοὺς μεγάλους ἀγῶνας εἰς ὅλην τὴν οἰκουμένην. Διὰ τοῦτο βέβαια καὶ αἱ ἀσκήσεις ποὺ τοὺς ὁρίζει εἶναι μεγαλύτεραι ἀπὸ τοὺς ἀγῶνας ὅσον περισσότερον ἀνέρχονται τὴν κλίμακα τῆς ἀρετῆς, διὰ νὰ ἀντιμετωπίσουν εὐκολώτερον τοὺς μετέπειτα ἀγῶνας, ὁδηγῶν αὐτοὺς καθ' ὃν τρόπον ἐξασκοῦν τοὺς τρυφεροὺς νεοσσοὺς διὰ τὸ πέταγμα. Καὶ ἀρχικῶς τοὺς καθιστᾷ ἰατροὺς τῶν σωμάτων, ἀποταμιεύων δι' ἀργότερον τὴν ἐπιτελεσθεῖσαν ἤδη πνευματικήν των ὡριμότητα. Καὶ πρόσεξε μὲ ποῖον τρόπον παρουσιάζει τὸ ἔργον καὶ εὔκολον καὶ ἀναγκαῖον.

Τί λέγει λοιπὸν εἰς αὐτούς; «Ὁ μὲν θερισμὸς εἶναι πολύς, οἱ ἐργάται ὅμως ὀλίγοι». Δὲν σᾶς ἀποστέλλω, λέγει, διὰ νὰ σπείρετε, ἀλλὰ διὰ νὰ θερίσετε. Καὶ ἀκριβῶς αὐτὸ ἔλεγεν ἀλλοῦ καθὼς ὁ Ἰωάννης ἀναφέρει· «Ἄλλοι ἔχουν κοπιάσει καὶ σεῖς εἰσήλθατε εἰς τὸν κόπον αὐτῶν»[7]. Αὐτὰ

θαρρεῖν παρασκευάζων καὶ δεικνὺς ὅτι ὁ μείζων προέλαβε πόνος. Θέα δὲ καὶ ἐνταῦθα ἀπὸ φιλανθρωπίας ἀρχόμενον, οὐκ ἐξ ἀμοιβῆς τινος. «Ἐσπλαγχνίσθη γάρ, ὅτι ἦσαν ἐσκυλμένοι καὶ ἐρριμμένοι, ὡς πρόβατα μὴ ἔχοντα ποιμένα». Αὕτη τῶν ἀρχόντων τῶν Ἰουδαίων ἡ κατηγορία, ὅτι ποιμένες ὄντες τὰ τῶν λύκων ἐπεδείκνυντο. Οὐ γὰρ μόνον οὐ διώρθουν τὸ πλῆθος, ἀλλὰ καὶ ἐλυμαίνοντο αὐτῶν τὴν προκοπήν. Ἐκείνων γοῦν θαυμαζόντων καὶ λεγόντων, «Οὐδέποτε ἐφάνη οὕτως ἐν τῷ Ἰσραήλ»· οὗτοι τὰ ἐναντία ἔλεγον, ὅτι «Ἐν τῷ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια».

Ἀλλὰ τίνας ἐργάτας ἐνταῦθά φησι; Τοὺς δώδεκα μαθητάς. Τί οὖν; εἰπών, «Οἱ δὲ ἐργάται ὀλίγοι», προσέθηκεν αὐτοῖς; Οὐδαμῶς· ἀλλ' αὐτοὺς ἔπεμψε. Τίνος οὖν ἕνεκεν ἔλεγε, «Δεήθητε τοῦ Κυρίου τοῦ θερισμοῦ, ἵνα ἐκβάλῃ ἐργάτας εἰς τὸν θερισμὸν αὐτοῦ», καὶ οὐδένα αὐτοῖς προσέθηκεν; Ὅτι καὶ δώδεκα ὄντας πολλοὺς ἐποίησε λοιπόν, οὐχὶ τῷ ἀριθμῷ προσθείς, ἀλλὰ δύναμιν χαρισάμενος.

3. Εἶτα δεικνὺς ἡλίκον τὸ δῶρόν ἐστι, φησί, «Δεήθητε τοῦ Κυρίου τοῦ θερισμοῦ» καὶ λανθανόντως ἑαυτὸν ἐμφαίνει τὸν τὸ κῦρος ἔχοντα. Εἰπὼν γάρ, «Δεήθητε τοῦ Κυρίου τοῦ θερισμοῦ», οὐδὲν δεηθέντων αὐτῶν, οὐδὲ εὐξαμένων, αὐτὸς αὐτοὺς εὐθέως χειροτονεῖ, ἀναμιμνήσκων αὐτοὺς καὶ τῶν Ἰωάννου ῥημάτων καὶ τῆς ἅλω καὶ τοῦ λικμῶντος καὶ τοῦ ἀχύρου καὶ τοῦ σίτου. Ὅθεν δῆλον, ὅτι αὐτός ἐστιν ὁ

8. Προβλ. Ματθ. 3, 12.

δὲ τὰ ἔλεγε καὶ διὰ νὰ μὴ μεγαλοφρονοῦν καὶ διὰ νὰ τοὺς προετοιμάσῃ νὰ ἔχουν θάρρος καὶ διὰ νὰ τοὺς δείξῃ ὅτι συνετελέσθη ὁ μεγαλύτερος κόπος. Πρόσεξε δὲ καὶ ἐδῶ ὅτι προχωρεῖ εἰς τὴν ἐνέργειάν του αὐτὴν ἀπὸ φιλανθρωπίαν καὶ ὄχι ἐξ αἰτίας κάποιας ἀμοιβῆς. Διότι «Τοὺς εὐσπλαγχνίσθη ποὺ ἦσαν κατακουρασμένοι καὶ παραμελημένοι ὡσὰν πρόβατα ποὺ δὲν ἔχουν ποιμένα». Αὐτὸ ἀποτελεῖ κατηγορίαν διὰ τοὺς ἄρχοντας τῶν Ἰουδαίων, διότι ἐνῷ ἦσαν ποιμένες, ἐπαρουσίαζαν τὰ γνωρίσματα τῶν λύκων. Διότι ὄχι μόνον δὲν ὡδήγουν ὀρθῶς τὸν λαόν, ἀλλὰ καὶ ἐπεβουλεύοντο τὴν πνευματικήν των πρόοδον. Ἐνῷ ἐκεῖνοι λοιπὸν ἐθαύμαζον καὶ ἔλεγον, «Ποτὲ μέχρι τώρα δὲν συνέβησαν παρόμοια πράγματα εἰς τὸ ἔθνος τοῦ Ἰσραήλ», αὐτοὶ ἔλεγον τὰ ἀντίθετα, ὅτι δηλαδὴ «Ἐν ὀνόματι τοῦ ἄρχοντος τῶν δαιμόνων ἐκδιώκει τὰ δαιμόνια».

Ποίους ὅμως ἐργάτας ἐννοεῖ ἐδῶ; Ἀσφαλῶς τοὺς δώδεκα μαθητάς του. Τί λοιπόν; λέγων ὅτι «Οἱ ἐργάται εἶναι ὀλίγοι» μήπως προσέθεσεν εἰς αὐτοὺς καὶ ἄλλους; Κάθε ἄλλο, ἀλλ' αὐτοὺς μόνον ἀπέστειλε. Διὰ ποῖον λόγον λοιπὸν ἔλεγε, «παρακαλέσατε τὸν Κύριον τοῦ θερισμοῦ διὰ νὰ ἀποστείλῃ ἐργάτας εἰς τὸν θερισμόν του», καὶ δὲν προσέθεσε κανένα εἰς αὐτούς; Ἐπειδή, ἂν καὶ ἦσαν δώδεκα, τοὺς κατέστησεν εἰς τὴν συνέχειαν πολλούς, ὄχι βέβαια μὲ τὸ νὰ προσθέσῃ εἰς αὐτοὺς ἄλλους, ἀλλὰ χαρίζων εἰς αὐτοὺς δύναμιν περισσήν.

3. Εἰς τὴν συνέχειαν θέλων νὰ τοὺς δείξῃ τὸ πόσον μεγάλη ἦτο ἡ δωρεὰ ποὺ θὰ ἐλάμβαναν τοὺς λέγει· «Παρακαλέσατε τὸν Κύριον τοῦ θερισμοῦ», καὶ κατὰ τρόπον κεκαλυμμένον παρουσιάζει τὸν ἑαυτόν του ὡς τὸν Κύριον τοῦ θερισμοῦ· Διότι ὅταν εἶπε «Παρακαλέσατε τὸν Κύριον τοῦ θερισμοῦ» μολονότι αὐτοὶ δὲν παρεκάλεσαν οὔτε προσηυχήθησαν, ὁ ἴδιος τοὺς χειροτονεῖ ἀμέσως, ὑπενθυμίζων εἰς αὐτοὺς καὶ τοὺς λόγους τοῦ Ἰωάννου καὶ τὰ σχετικὰ μὲ τὸ ἁλώνι καὶ τὸ λίχνισμα καὶ τὸ ἄχυρον καὶ τὸν σῖτον[8]. Ὅθεν

γεωργός, αὐτὸς ὁ τοῦ θερισμοῦ Κύριος, αὐτὸς ὁ τῶν προφητῶν Δεσπότης. Εἰ γὰρ θερίζειν ἔπεμψε, δῆλον ὅτι οὐ τὰ ἀλλότρια, ἀλλ' ἃ διὰ τῶν προφητῶν ἔσπειρεν. Οὐ ταύτῃ δὲ αὐτοὺς μόνον παρεθάρρυνε, τῷ θερισμὸν καλέσαι τὴν αὐτῶν 5 *διακονίαν, ἀλλὰ καὶ τῷ ποιῆσαι δυνατοὺς πρὸς τὴν διακονίαν. «Καὶ προσκαλεσάμενος», φησί, «τοὺς δώδεκα μαθητὰς αὐτοῦ, ἔδωκεν αὐτοῖς ἐξουσίαν πνευμάτων ἀκαθάρτων, ὥστε ἐκβάλλειν αὐτὰ καὶ θεραπεύειν πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν». Καίτοι οὔπω ἦν Πνεῦμα δεδομένον· «Οὔπω γὰρ* 10 *ἦν», φησί, «Πνεῦμα, ἐπειδὴ Ἰησοῦς οὐδέπω ἐδοξάσθη». Πῶς οὖν ἐξέβαλλον τὰ πνεύματα; Ἀπὸ τῆς ἐπιταγῆς τῆς αὐτοῦ, ἀπὸ τῆς ἐξουσίας.*

Σκόπει δέ μοι καὶ τὸ εὔκαιρον τῆς ἀποστολῆς. Οὐ γὰρ ἐκ προοιμίων αὐτοὺς ἔπεμψεν, ἀλλ' ὅτε ἱκανῶς τῆς ἀκο- 15 *λουθήσεως ἦσαν ἀπολελαυκότες, καὶ εἶδον καὶ νεκρὸν ἐγερθέντα καὶ θάλατταν ἐπιτιμηθεῖσαν καὶ δαίμονας ἐλαθέντας καὶ παραλυτικὸν σφιγέντα καὶ ἁμαρτήματα λυθέντα καὶ λεπρὸν καθαρθέντα καὶ ἀρκοῦσαν αὐτοῦ τῆς δυνάμεως ἔλαβον ἀπόδειξιν, καὶ δι' ἔργων καὶ διὰ λόγων, τότε αὐ-* 20 *τοὺς ἐκπέμπει· καὶ οὐκ εἰς ἐπικίνδυνα πράγματα· οὐδεὶς γὰρ ἐν Παλαιστίνῃ τέως κίνδυνος ἦν, ἀλλὰ πρὸς κατηγορίας ἔδει ἵστασθαι μόνον. Πλὴν καὶ τοῦτο αὐτοῖς προλέγει, τὸ περὶ τῶν κινδύνων, προπαρασκευάζων αὐτοὺς καὶ πρὸ τοῦ καιροῦ, καὶ ἐναγωνίους ποιῶν τῇ συνεχεῖ περὶ τού-* 25 *των προρρήσει.*

---

9. Ἰω. 7, 39.

καθίσταται φανερόν, ὅτι ὁ ἴδιος εἶναι ὁ γεωργός, ὁ ἴδιος εἶναι ὁ Κύριος τοῦ θερισμοῦ, ὁ ἴδιος εἶναι ὁ Κύριος τῶν προφητῶν. Διότι τὸ ἐὰν τοὺς ἀπέστειλε νὰ θερίσουν, εἶναι φανερὸν ὅτι δὲν ἀπέστειλε νὰ θερίσουν ξένους κόπους, ἀλλὰ αὐτὰ ποὺ αὐτὸς ἔσπειρε μὲ τοὺς προφήτας του. Καὶ δὲν τοὺς ἐνεθάρρυνε μόνον μὲ αὐτό, τὸ ὅτι δηλαδὴ ὠνόμασε θερισμὸν τὸ ἔργον αὐτῶν, ἀλλὰ καὶ μὲ τὸ ὅτι τοὺς ἐνδυνάμωσε διὰ νὰ ἐπιτελέσουν τὸ ἔργον των. Διότι, λέγει ὁ εὐαγγελιστής, «Ἀφοῦ προσεκάλεσε τοὺς δώδεκα μαθητάς του, τοὺς ἔδωσεν ἐξουσίαν ἐπὶ τῶν ἀκαθάρτων πνευμάτων, ὥστε νὰ ἐκδιώκουν αὐτὰ ἀπὸ τοὺς ἀνθρώπους καὶ νὰ θεραπεύουν πᾶσαν νόσον καὶ πᾶσαν ἀσθένειαν». Καὶ ὅλα αὐτὰ ἂν καὶ ἀκόμη δὲν τοὺς εἶχε δοθῇ τὸ Πνεῦμα τὸ ἅγιον. «Διότι», λέγει, «δὲν εἶχαν ἀκόμη λάβει τὸ ἅγιον Πνεῦμα, ἐπειδὴ δὲν ἐδοξάσθη ἀκόμη ὁ Ἰησοῦς»[9]. Καὶ πῶς λοιπὸν ἐξεδίωκαν τὰ πνεύματα; Τὰ ἐξεδίωκαν μὲ τὴν προσταγὴν αὐτὴν τοῦ Ἰησοῦ, μὲ τὴν ἐξουσίαν ποὺ τοὺς ἔδωσε.

Πρόσεξε δέ, σὲ παρακαλῶ, καὶ τὸν κατάλληλον καιρὸν κατὰ τὸν ὁποῖον ἔγινεν ἡ ἀποστολή. Διότι δὲν τοὺς ἀπέστειλεν εὐθὺς ἐξ ἀρχῆς ὅταν τοὺς ἐκάλεσεν ὡς μαθητάς του, ἀλλὰ ὅταν ἀπεκόμισαν ἱκανὰ ἐφόδια ἀπὸ τὴν μετ' αὐτοῦ συναναστροφὴν καὶ εἶδαν καὶ νεκρὸν νὰ ἀνίσταται, καὶ παράλυτον νὰ θεραπεύεται, καὶ ἁμαρτήματα νὰ συγχωροῦνται, καὶ λεπρὸν νὰ καθαρίζεται, καὶ ἔλαβαν ἱκανοποιητικὴν ἀπόδειξιν περὶ τῆς δυνάμεώς του καὶ μὲ τὰ ἔργα του καὶ μὲ τοὺς λόγους του, τότε τοὺς ἀπέστειλε. Καὶ δὲν τοὺς ἀπέστειλεν εἰς ἐπικίνδυνα μέρη (διότι τότε δὲν διέτρεχαν κανένα κίνδυνον εἰς τὴν Παλαιστίνην), ἀλλὰ ἔπρεπε τότε μόνον συκοφαντίας νὰ ἀντιμετωπίσουν. Πλὴν ὅμως καὶ αὐτὸ τοὺς τὸ προλέγει, τοὺς κινδύνους δηλαδὴ ποὺ θὰ ἀντεμετώπιζαν, διὰ νὰ τοὺς προετοιμάσῃ πρὶν ἀκόμη ἔλθῃ ἡ ὥρα τῆς κυρίας ἀποστολῆς των, καὶ διὰ νὰ τοὺς κάμῃ νὰ εὑρίσκωνται εἰς ἀγωνίαν μὲ τὴν συνεχῆ ὑπόμνησιν ὅλων αὐτῶν τῶν σχετικῶν.

Εἶτα, ἐπειδὴ δύο συζυγίας εἶπεν ἡμῖν ἀποστόλων, τὴν Πέτρου καὶ Ἰωάννου, καὶ μετ' ἐκείνας τὸν Ματθαῖον ἔδειξε κληθέντα, περὶ δὲ τῆς τῶν ἄλλων ἀποστόλων κλήσεώς τε καὶ προσηγορίας οὐδὲν ἡμῖν διελέχθη, ἐνταῦθα ἀναγκαί-
5 *ως τὸν κατάλογον αὐτῶν καὶ τὸν ἀριθμὸν τίθησι, καὶ τὰ ὀνόματα δῆλα ποιεῖ, λέγων οὕτω· «Τῶν δώδεκα ἀποστόλων τὰ ὀνόματά ἐστι ταῦτα· πρῶτος Σίμων ὁ λεγόμενος Πέτρος». Καὶ γὰρ ἕτερος Σίμων ἦν, ὁ Κανανίτης· καὶ Ἰούδας ὁ Ἰσκαριώτης, καὶ Ἰούδας ὁ Ἰακώβου· καὶ Ἰάκωβος ὁ τοῦ Ἀλ-*
10 *φαίου, καὶ ὁ Ἰάκωβος ὁ τοῦ Ζεβεδαίου. Ὁ μὲν οὖν Μᾶρκος καὶ κατὰ τὴν ἀξίαν αὐτοὺς τίθησι· μετὰ γὰρ τοὺς δύο κορυφαίους τότε τὸν Ἀνδρέαν ἀριθμεῖ· οὗτος δὲ οὐχ οὕτως, ἀλλ' ἀδιαφόρως, μᾶλλον δὲ καὶ Θωμᾶν τὸν πολὺ καταδεέστερον ἑαυτοῦ προτίθησιν.*

15 *Ἀλλ' ἴδωμεν αὐτῶν ἄνωθεν τὸν κατάλογον. «Πρῶτος, Σίμων ὁ λεγόμενος Πέτρος, καὶ Ἀνδρέας ὁ ἀδελφὸς αὐτοῦ». Οὐ μικρὸν καὶ τοῦτο ἐγκώμιον· τὸν μὲν γὰρ ἀπὸ τῆς ἀρετῆς, τὸν δὲ ἀπὸ τῆς εὐγενείας τῆς κατὰ τὸν τρόπον ὠνόμασεν. «Εἶτα Ἰάκωβος ὁ τοῦ Ζεβεδαίου καὶ Ἰωάννης ὁ*
20 *ἀδελφὸς αὐτοῦ». Ὁρᾷς πῶς οὐ κατὰ τὴν ἀξίαν τίθησιν; Ἐμοὶ γὰρ δοκεῖ ὁ Ἰωάννης οὐχὶ τῶν ἄλλων μόνον, ἀλλὰ καὶ τοῦ ἀδελφοῦ μείζων εἶναι. Εἶτα εἰπών, «Φίλιππος καὶ*

---

10. Πρβλ. Ματθ. 4, 18-22.
11. Πρῶτον ζεῦγος· Ἀνδρέας καὶ Πέτρος.
12. Δεύτερον ζεῦγος· Ἰάκωβος καὶ Ἰωάννης.
13. Πρβλ. Ματθ. 9, 9.
14. Πέτρος· ὁ κορυφαῖος τῶν ἀποστόλων. Διεκρίνετο διὰ τὸν ἐνθουσιασμόν του ἀλλὰ καὶ τὴν ἐπιπολαιότητά του. Ἐμαρτύρησε τὸ 61 μ.Χ. εἰς Ρώμην κατὰ τὸν διωγμὸν τοῦ Νέρωνος. Σώζονται δύο ἐπιστολαί του ἡ Α΄ καὶ Β΄ Πέτρου.
15. Πρβλ. Μάρκ. 1, 16-19.
16. Ἀνδρέας· ὁ πρῶτος κληθεὶς ὑπὸ τοῦ Χριστοῦ, ἀδελφὸς τοῦ Πέτρου (Ματθ. 4, 18). Ἐμαρτύρησεν εἰς τὴν Πάτραν.

Ἔπειτα ἐπειδὴ ὁ Ματθαῖος μᾶς περιέγραψε δύο ζεύγη ἀποστόλων[10], τοῦ Πέτρου[11] δηλαδὴ καὶ τοῦ Ἰωάννου[12], καὶ καὶ κατόπιν μᾶς παρουσίασε τὴν ἰδικήν του κλῆσιν[13], χωρὶς νὰ μᾶς ἀναφέρῃ τίποτε διὰ τὴν κλῆσιν τῶν ὑπολοίπων ἀποστόλων καὶ τὰ ὀνόματά των, κατ' ἀνάγκην ἐκθέτει εἰς αὐτὸ τὸ σημεῖον τὸν κατάλογον αὐτῶν καὶ τὸν ἀριθμὸν καὶ ἀποκαλύπτει τὰ ὀνόματά των λέγων τὰ ἑξῆς· «Τῶν δώδεκα ἀποστόλων τὰ ὀνόματα εἶναι αὐτά· Πρῶτος ὁ Σίμων, ὁ ὀνομαζόμενος Πέτρος»[14]. Καθόσον ὑπῆρχε καὶ ἄλλος Σίμων, ὁ Κανανίτης, καθὼς ἐπίσης καὶ Ἰούδας ὁ Ἰσκαριώτης καὶ Ἰούδας ὁ ἀδελφὸς τοῦ Ἰακώβου, καὶ ὁ Ἰάκωβος ὁ υἱὸς τοῦ Ἀλφαίου καὶ ὁ Ἰάκωβος ὁ υἱὸς τοῦ Ζεβεδαίου. Ὁ μὲν λοιπὸν Μᾶρκος ἀναφέρει τὰ ὀνόματά των συμφώνως πρὸς τὴν ἀξίαν τοῦ καθενός[15]. Διότι μετὰ τοὺς δύο τότε κορυφαίους ἀναφέρει τὸν Ἀνδρέα, ἐνῷ ὁ Ματθαῖος δὲν τὰ ἀναφέρει κατ' αὐτὸν τὸν τρόπον, ἀλλὰ ἀδιαφορῶν διὰ τὴν ἀξίαν τοῦ καθενὸς ἀναφέρει πρὶν ἀπὸ τὸν ἑαυτόν του καὶ τὸν Θωμᾶν ποὺ ἦτο κατὰ πολὺ κατώτερός του.

Ἀλλ' ἂς ἐξετάσωμεν ἐξ ἀρχῆς τὸν κατάλογον αὐτῶν. «Πρῶτος ὁ Σίμων, ὁ ὀνομαζόμενος Πέτρος, καὶ ὁ Ἀνδρέας[16] ὁ ἀδελφὸς αὐτοῦ». Δὲν εἶναι καὶ αὐτὸ μικρὸν ἐγκώμιον· διότι τὸν μὲν πρῶτον ὠνόμασεν ἔτσι λόγῳ τῆς ἀρετῆς του τὸν δὲ ἄλλον ἀπὸ τὴν εὐγένειαν τῆς ψυχῆς του. Ἔπειτα ἀκολουθοῦν «Ὁ Ἰάκωβος[17] ὁ υἱὸς τοῦ Ζεβεδαίου, καὶ ὁ Ἰωάννης[18] ὁ ἀδελφὸς αὐτοῦ». Βλέπεις ὅτι δὲν τοὺς ἀναφέρει σύμφωνα μὲ τὴν ἀξίαν τοῦ καθενός; Διότι ἐγὼ νομίζω ὅτι ὁ Ἰωάννης εἶναι ἀνώτερος ὄχι μόνον ἀπὸ τοὺς ἄλλους ἀλ-

---

17. Ἰάκωβος· ἕνας ἀπὸ τοὺς ἀγαπημένους μαθητὰς τοῦ Χριστοῦ (Πρβλ. Ματθ. 17, 1. Μάρκ. 9, 2. Λουκᾶ 9, 28). Ἐφονεύθη διὰ μαχαίρας ὑπὸ τοῦ Ἡρῴδου (Πράξ. 12, 2).

18. Ἰωάννης· ὁ πλέον ἀγαπημένος μαθητὴς τοῦ Κυρίου (Ἰω. 13, 23. 19, 26). Ἔγραψε τὸ ὑπὸ τὸ ὄνομά του εὐαγγέλιον, τὴν Ἀποκάλυψιν, καθ' ὃν χρόνον ἦτο ἐξόριστος εἰς Πάτμον, καὶ 3 ἐπιστολάς.

Βαρθολομαῖος», ἐπήγαγε· «Θωμᾶς, καὶ Ματθαῖος ὁ τελώνης». Ἀλλ' οὐχ ὁ Λουκᾶς οὕτως· ἀλλ' ἀντιστρόφως, καὶ προτίθησιν αὐτὸν τοῦ Θωμᾶ. Εἶτα Ἰάκωβος ὁ τοῦ Ἀλφαίου. Ἦν γάρ, ὡς ἔφθην εἰπών, καὶ ὁ τοῦ Ζεβεδαίου. Εἶτα
5 *εἰπὼν Λεββαῖον τὸν ἐπικληθέντα Θαδδαῖον καὶ Σίμωνα τὸν ζηλωτήν, ὃν καὶ Κανανίτην καλεῖ, ἐπὶ τὸν προδότην ἔρχεται καὶ οὐχ ὡς ἐχθρός τις καὶ πολέμιος, ἀλλ' ὡς ἱστορίαν γράφων οὕτω διηγήσατο. Οὐκ εἶπεν, ὁ μιαρὸς καὶ παμμίαρος, ἀλλ' ἀπὸ τῆς πόλεως αὐτὸν ἐκάλεσεν, «Ἰούδας ὁ*
10 *Ἰσκαριώτης». Ἦν γὰρ καὶ ἕτερος Ἰούδας ὁ Λεββαῖος, ὁ ἐπικληθεὶς Θαδδαῖος, ὃν Ἰακώβου φησὶν ὁ Λουκᾶς εἶναι λέγων, «Ἰούδας Ἰακώβου». Ἀπὸ τούτου τοίνυν διαιρῶν αὐτόν, φησίν· «Ἰούδας ὁ Ἰσκαριώτης, ὁ καὶ παραδοὺς αὐτόν». Καὶ οὐκ αἰσχύνεται λέγων, «Ὁ καὶ παραδοὺς αὐτόν».*
15 *Οὕτως οὐδὲν οὐδέποτε οὐδὲ τῶν δοκούντων ἐπονειδίστων εἶναι ἀπέκρυπτον. Πρῶτος δὲ πάντων καὶ κορυφαῖος, ὁ ἀγράμματος, ὁ ἰδιώτης. Ἀλλ' ἴδωμεν ποῦ καὶ πρὸς τίνας αὐτοὺς πέμπει.*

«Τούτους τοὺς δώδεκα», φησίν, «ἀπέστειλεν ὁ Ἰη-
20 *σοῦς». Ποίους τούτους; Τοὺς ἁλιέας, τοὺς τελώνας· καὶ γὰρ τέσσαρες ἦσαν ἁλιεῖς καὶ δύο τελῶναι, Ματθαῖος καὶ*

---

19. Φίλιππος· κατήγετο ἀπὸ τὴν Βηθσαϊδὰ τῆς Γαλιλαίας (Ἰω. 1, 45).
20. Ναθαναήλ· ὡδηγήθη εἰς τὸν Χριστὸν ὑπὸ τοῦ Φιλίππου (Ἰω. 1, 46).
21. Θωμᾶς· ὁ λεγόμενος Δίδυμος, ὁ γνωστὸς διὰ τὴν δυσπιστίαν του μαθητὴς τοῦ Χριστοῦ (Ἰω. 11, 16. 14, 5. 20, 26-29. 21, 2).
22. Ματθ. 9, 9.
23. Πρβλ. Λουκᾶ 6, 15.
24. Θαδδαῖος· ὠνομάζετο Λεββαῖος, ἤτοι γενναῖος. Ὑπὸ τὸ ὄνομά του φέρονται ἀπόκρυφοι Πράξεις.
25. Σίμων· ὠνομάσθη Ζηλωτὴς ἢ Καναανίτης. Κατὰ μίαν παράδοσιν ἐκήρυξε τὸ εὐαγγέλιον εἰς Μαυριτανίαν καὶ ἄλλα μέρη τῆς Ἀφρικῆς, κατ' ἄλλην δὲ ἐν Περσίᾳ καὶ Αἰγύπτῳ.

λὰ καὶ ἀπὸ τὸν ἀδελφόν του. Ἀκολούθως εἰπὼν «Φίλιππος[19] καὶ Βαρθολομαῖος»[20], προσέθεσε· «Θωμᾶς[21] καὶ Ματθαῖος[22], ποὺ ἦτο τελώνης». Ὁ Λουκᾶς ὅμως δὲν τοὺς ἀναφέρει μ' αὐτὴν τὴν σειράν, ἀλλ' ὅλως ἀντιθέτως καὶ ἀναφέρει τὸν Ματθαῖον πρὶν ἀπὸ τὸν Θωμᾶν. Ἀκολουθεῖ ὁ Ἰάκωβος[23] ὁ υἱὸς τοῦ Ἀλφαίου. Διότι ὑπῆρχεν, ὡς προανέφερα, καὶ ὁ υἱὸς τοῦ Ἀλφαίου. Εἰς τὴν συνέχειαν ἀναφέρει τὸν Λεββαῖον ποὺ μετωνομάσθη Θαδδαῖος[24], καὶ τὸν Σίμωνα τὸν ζηλωτήν[25], τὸν ὁποῖον ἀποκαλεῖ καὶ Κανανίτην, καὶ ἀκολούθως ἀναφέρει τὸν προδότην[26]. Καὶ δὲν ὁμιλεῖ περὶ αὐτοῦ ὡσὰν κάποιος ἐχθρὸς καὶ ἀντίπαλός του, ἀλλὰ ὅπως ἐκεῖνος ποὺ περιγράφει ἱστορίαν, ἔτσι καὶ αὐτὸς διηγεῖται τὰ σχετικὰ μὲ αὐτόν. Δὲν εἶπεν, 'Ὁ μιαρὸς καὶ ὁ μιαρώτατος', ἀλλὰ τὸν ὠνόμασεν ἀπὸ τὸ ὄνομα τῆς πόλεως ποὺ κατήγετο, «Ἰούδας ὁ Ἰσκαριώτης». Διότι ὑπῆρχε καὶ ἄλλος Ἰούδας ὁ Λεββαῖος, ὁ ὁποῖος μετωνομάσθη Θαδδαῖος καὶ ποὺ κατὰ τὸν Λουκᾶν ἦτο υἱὸς τοῦ Ἰακώβου, ὡς ὅταν λέγῃ «Ἰούδας ὁ Ἰακώβου»[27]. Διακρίνων λοιπὸν αὐτὸν ἀπὸ ἐκεῖνον λέγει ὅτι ἦτο «Ἰούδας ὁ Ἰσκαριώτης, ὁ ὁποῖος καὶ παρέδωσε τὸν Ἰησοῦν». Καὶ δὲν ἐντρέπεται ὅταν λέγῃ· «ὁ ὁποῖος καὶ παρέδωσεν αὐτόν». Ἔτσι εἰς οὐδεμίαν περίπτωσιν ἀπέκρυπταν κάτι οὔτε ἀπὸ αὐτὰ ποὺ ἐθεωροῦντο ἀπὸ τὰ πλέον δυσάρεστα. Καὶ ἔτσι πρῶτος καὶ κορυφαῖος ὅλων ἀποκαλεῖται ὁ ἀγράμματος, ὁ ἰδιώτης[28]. Ἀλλ' ἂς ἐξετάσωμεν ποῦ καὶ πρὸς ποίους τοὺς ἀποστέλλει.

«Αὐτοὺς τοὺς δώδεκα», λέγει, «ὅτι τοὺς ἀπέστειλεν ὁ Ἰησοῦς». Ποίους αὐτούς; Τοὺς ἁλιεῖς, τοὺς τελώνας, καθόσον τέσσαρες ἦσαν ἁλιεῖς καὶ δύο τελῶναι, ἤτοι ὁ Ματθαῖος

26. Ἰούδας ὁ Ἰσκαριώτης, ὡς καταγόμενος ἀπὸ τὴν πόλιν Κιριώθ, ὅστις ἐπρόδωσε τὸν Κύριον.
27. Λουκᾶ 6, 16.
28. Πρόκειται περὶ τοῦ Πέτρου (Πράξ. 4, 13).

Ἰάκωβος· ὁ δὲ εἷς καὶ προδότης. Καὶ τί πρὸς αὐτούς φησιν; Εὐθέως παραγγέλλει αὐτοῖς λέγων· «Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε· πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ». Μὴ γὰρ δὴ νομίσητε, φησίν, ἐπειδή με ὑβρίζουσι καὶ δαιμονῶντα καλοῦσιν, ὅτι μισῶ αὐτοὺς καὶ ἀποστρέφομαι. Καὶ γὰρ πρώτους αὐτοὺς διορθῶσαι ἐσπούδακα, καὶ πάντων ὑμᾶς ἀπάγων τῶν ἄλλων, τούτοις πέμπω διδασκάλους καὶ ἰατρούς. Καὶ οὐ μόνον πρὸ τούτων ἄλλους καταγγεῖλαι κωλύω, ἀλλ' οὐδὲ ὁδοῦ ἅψασθαι τῆς ἐκεῖ φερούσης ἐπιτρέπω, οὐδὲ εἰς πόλιν τοιαύτην εἰσελθεῖν.

4. Καὶ γὰρ καὶ οἱ Σαμαρεῖται ἐναντίως πρὸς Ἰουδαίους διάκεινται. Καίτοιγε εὐκολώτερα τὰ ἐκείνων ἦν· πολλῷ γὰρ ἐπιτηδειότερον πρὸς τὴν πίστιν εἶχον· τὰ δὲ τούτων χαλεπώτερα. Ἀλλ' ὅμως ἐπὶ τὰ δυσκολώτερα πέμπει, τὴν κηδεμονίαν τὴν περὶ αὐτοὺς ἐνδεικνύμενος καὶ τὰ στόματα τῶν Ἰουδαίων ἐμφράττων καὶ προοδοποιῶν τῇ διδασκαλίᾳ τῶν ἀποστόλων, ἵνα μὴ πάλιν ἐγκαλῶσιν, ὅτι πρὸς ἀκροβύστους εἰσῆλθον, καὶ δικαίαν δόξωσιν αἰτίαν ἔχειν τοῦ φυγεῖν αὐτοὺς καὶ ἀποστρέφεσθαι. Καὶ πρόβατα αὐτοὺς καλεῖ ἀπολωλότα, οὐκ ἀποπηδήσαντα, πανταχόθεν συγγνώμην αὐτοῖς ἐπινοῶν, καὶ ἐφελκόμενος αὐτῶν τὴν γνώμην.

«Πορευόμενοι δέ», φησί, «κηρύξατε λέγοντες, ὅτι ἤγγικεν ἡ βασιλεία τῶν οὐρανῶν». Εἶδες διακονίας μέγεθος; εἶδες ἀποστόλων ἀξίωμα; Οὐδὲν αἰσθητὸν κελεύονται λέγειν, οὐδὲ οἷον οἱ περὶ Μωϋσέα καὶ τοὺς προφήτας τοὺς

29. Ἰω. 4, 9. «Οὐ γὰρ συγχρῶνται Ἰουδαῖοι Σαμαρείταις».

καὶ ὁ Ἰάκωβος, ὁ δὲ ἕνας ἐξ αὐτῶν καὶ προδότης. Καὶ τί λέγει πρὸς αὐτούς; Εὐθὺς ἐξ ἀρχῆς τοὺς δίδει παραγγελίας λέγων τὰ ἑξῆς· «Νὰ μὴ εἰσέλθετε εἰς ὁδὸν ποὺ ὁδηγεῖ εἰς τοὺς εἰδωλολάτρας καὶ μὴ εἰσέλθετε εἰς πόλιν τῶν Σαμαρειτῶν. Νὰ ἐπισκέπτεσθε δὲ μᾶλλον τὰ χαμένα πρόβατα τοῦ οἴκου Ἰσραήλ». Διότι βέβαια δὲν πρέπει νὰ νομίσετε, λέγει, ἐπειδὴ μὲ ὑβρίζουν καὶ μὲ ὀνομάζουν δαιμονισμένον ὅτι τοὺς μισῶ καὶ τοὺς ἀποστρέφομαι. Καθόσον ἐφρόντισα πρώτους αὐτοὺς νὰ διορθώσω, καὶ ἀπομακρύνων ἀπὸ ὅλους τοὺς ἄλλους σᾶς ἀποστέλλω ὡς διδασκάλους καὶ ἰατροὺς πρὸς αὐτούς. Καὶ ὄχι μόνον σᾶς ἀπαγορεύω νὰ κηρύξετε πρὸς ἄλλους πρὶν ἀπὸ αὐτούς, ἀλλ' οὔτε σᾶς ἐπιτρέπω νὰ πλησιάσετε ὁδὸν ποὺ ὁδηγεῖ πρὸς αὐτούς, καὶ οὔτε νὰ εἰσέλθετε εἰς κάποιαν πόλιν αὐτῶν.

4. Βεβαίως καὶ οἱ Σαμαρεῖται[29] διέκειντο ἐχθρικῶς πρὸς τοὺς Ἰουδαίους. Παρὰ ταῦτα ἦτο εὐκολώτερον τὸ κήρυγμα πρὸς αὐτούς, διότι ἦσαν πολὺ πιὸ συγγενεῖς ὡς πρὸς τὴν πίστιν μὲ τοὺς Ἰουδαίους, ἐνῷ τὸ κήρυγμα εἰς τοὺς Ἰουδαίους ἦτο πολὺ πιὸ δύσκολον. Ἀλλ' ὅμως τοὺς ἀποστέλλει πρὸς τὰ δυσκολώτερα διὰ νὰ καταστήσῃ φανερὸν τὸ ἐνδιαφέρον του δι' αὐτοὺς καὶ διὰ νὰ κλείσῃ τὰ στόματα τῶν Ἰουδαίων καὶ διὰ νὰ προετοιμάσουν τὴν ὁδὸν εἰς τὸ κήρυγμα τῶν ἀποστόλων, διὰ νὰ μὴ τοὺς κατηγοροῦν πάλιν ὅτι ἦλθαν νὰ κηρύξουν πρὸς εἰδωλολάτρας καὶ ἔτσι νὰ δικαιολογοῦνται ποὺ τοὺς ἀποφεύγουν καὶ τοὺς ἀποστρέφονται. Καὶ τοὺς ὀνομάζει πρόβατα ποὺ ἔχουν χαθῆ, ὄχι ὅμως καὶ ἀποσκιρτήσαντα, ἐπινοῶν ἀπὸ παντοῦ τρόπους πρὸς συγχώρησίν των, ὥστε νὰ ἠμπορέσῃ νὰ τοὺς ἑλκύσῃ πλησίον του.

«Μεταβαίνοντες δὲ ἐκεῖ», λέγει, «κηρύξατε λέγοντες ὅτι '῎Εχει πλησιάσει ἡ βασιλεία τῶν οὐρανῶν'». Εἶδες τὸ μέγεθος τῆς διακονίας των; εἶδες τὸ ἀξίωμα τῶν ἀποστόλων; Παραγγέλλονται νὰ μὴ κηρύττουν τίποτε τὸ αἰσθητόν, οὔτε κάτι παρόμοιον μὲ ἐκεῖνα ποὺ ἐκήρυξαν οἱ γύρω ἀπὸ τὸν Μωϋσῆ καὶ οἱ προφῆται οἱ προηγούμενοι, ἀλλὰ νὰ κη-

ἔμπροσθεν, ἀλλὰ καινά τινα καὶ παράδοξα. Οὐ γὰρ τοιαῦτα ἐκήρυττον ἐκεῖνοι, ἀλλὰ γῆν καὶ τὰ ἐν τῇ γῇ ἀγαθά· οἱ δὲ βασιλείαν οὐρανῶν καὶ τὰ ἐκεῖ ἅπαντα. Οὐκ ἐντεῦθεν δὲ μόνον οὗτοι μείζους, ἀλλὰ καὶ ἐκ τῆς ὑπακοῆς. Οὐδὲ
5 *γὰρ ἀναδύονται, οὐδὲ ὀκνοῦσι, καθάπερ οἱ παλαιοί· ἀλλὰ (καίτοι κινδύνους καὶ πολέμους καὶ τὰ ἀφόρητα ἀκούοντες κακά), μετὰ πολλῆς δέχονται τῆς πειθοῦς τὰ ἐπιταττόμενα, ἅτε βασιλείας κήρυκες ὄντες.*

Καὶ τί θαυμαστόν, φησίν, εἰ μηδὲν σκυθρωπὸν κηρύτ-
10 *τοντες καὶ χαλεπόν, εὐκόλως ὑπήκουσαν; Τί λέγεις; οὐδὲν χαλεπὸν ἐπετάγησαν; Οὐκ ἀκούεις τῶν δεσμωτηρίων, τῶν ἀπαγωγῶν, τῶν πολέμων τῶν ἐμφυλίων, τοῦ παρὰ πάντων μίσους, ἅπερ ἅπαντα μικρὸν ὕστερον αὐτοὺς ὑποστήσεσθαι ἔλεγεν; Ἑτέροις μὲν γὰρ μυρίων ἐσομένους ἀγαθῶν προ-*
15 *ξένους καὶ κήρυκας ἔπεμπεν· αὐτοὺς δὲ ἀνήκεστα δεινὰ πείσεσθαι ἔλεγε καὶ προανεφώνει.*

Εἶτα ποιῶν αὐτοὺς ἀξιοπίστους, φησίν· «Ἀσθενοῦντας θεραπεύετε, λεπροὺς καθαίρετε, δαιμόνια ἐκβάλλετε· δωρεὰν ἐλάβετε, δωρεὰν δότε». Ὅρα πῶς τῶν ἠθῶν ἐπιμελεῖται,
20 *καὶ οὐκ ἔλαττον ἢ τῶν σημείων, δεικνὺς ὅτι τὰ σημεῖα τούτων χωρὶς οὐδέν ἐστι. Καὶ γὰρ τὸ φρόνημα αὐτῶν καταστέλλει, λέγων· «Δωρεὰν ἐλάβετε, δωρεὰν δότε»· καὶ φιλοχρηματίας καθαρεύειν παρασκευάζει. Εἶτα ἵνα μὴ νο-*

---

30. Πρβλ. Ματθ. 10, 16-23.

ρύττουν ἕνα νέον καὶ παράδοξον εὐαγγέλιον. Διότι δὲν ἦτο παρόμοιον τὸ κήρυγμα ἐκείνων, ἀλλ' ἀνεφέρετο εἰς τὴν γῆν καὶ εἰς τὰ ἀγαθὰ τῆς γῆς, ἐνῷ αὐτοὶ ἐκήρυτταν βασιλείαν τῶν οὐρανῶν καὶ ὅλα τὰ ἔχοντα σχέσιν μὲ αὐτήν. Καὶ δὲν εἶναι αὐτοὶ δὲ ἀνώτεροι μόνον ἐξ αἰτίας αὐτοῦ, ἀλλὰ καὶ ἐξ αἰτίας τῆς ὑπακοῆς των. Διότι δὲν ἀποφεύγουν τὸ ἔργον ποὺ τοὺς ἀνατίθεται, οὔτε διστάζουν ἀπὸ φόβον, ὅπως ἀκριβῶς συνέβαινε μὲ τοὺς παλαιούς, ἀλλὰ μολονότι ἤκουαν διὰ κινδύνους καὶ πολέμους καὶ διὰ πολλὰ ἀνυπόφορα κακά, δέχονται μετὰ μεγάλης προθυμίας τὰ παραγγελλόμενα, διότι ἦσαν κήρυκες τῆς βασιλείας τῶν οὐρανῶν.

Καὶ ποῖον εἶναι τὸ ἀξιοθαύμαστον, θὰ εἰπῇ κανείς, ἐὰν ἐδέχθησαν μὲ εὐκολίαν τὸ παράγγελμα, ἀφοῦ δὲν θὰ ἐκήρυτταν τίποτε τὸ δυσάρεστον καὶ δύσκολον; Μά τί λέγεις; δὲν παρηγγέλθησαν νὰ κηρύξουν τίποτε τὸ δύσκολον; Δὲν ἔχεις ἀκούσει διὰ τὰς φυλακίσεις, τὰς παραπομπὰς εἰς δικαστήρια, τοὺς ἐμφυλίους πολέμους, διὰ τὸ μῖσος ἐκ μέρους ὅλων, τὰ ὁποῖα ὅλα γενικῶς τοὺς ἔλεγεν ὀλίγον ἀργότερα[30] ὅτι θὰ ὑποστοῦν; Διότι τοὺς ἔστελλε μὲν νὰ κηρύξουν εἰς τοὺς ἄλλους καὶ νὰ τοὺς χαρίσουν μύρια ἀγαθά, τοὺς ἰδίους ὅμως τοὺς ἔλεγεν ἐκ τῶν προτέρων ὅτι θὰ ὑποστοῦν ἀνεπανόρθωτα κακά.

Εἰς τὴν συνέχειαν ὅμως διὰ νὰ τοὺς καταστήσῃ ἀξιοπίστους τοὺς λέγει· «Τοὺς ἀσθενεῖς νὰ τοὺς θεραπεύετε, τοὺς λεπροὺς νὰ τοὺς καθαρίζετε, νὰ ἐκδιώκετε τὰ δαιμόνια· ἐλάβατε δωρεάν, δωρεὰν νὰ δίδετε». Πρόσεξε πῶς φροντίζει διὰ τὴν συμπεριφορὰν τῶν μαθητῶν του, καὶ μάλιστα ὄχι ὀλιγώτερον ἀπὸ τὰ θαύματα, δεικνύων ἔτσι ὅτι τὰ θαύματα χωρὶς τὴν πρέπουσαν συμπεριφοράν των δὲν ἔχουν καμμίαν ἀξίαν. Διότι διὰ νὰ καταστείλῃ τὸ φρόνημά των τοὺς ἔλεγε· «Δωρεὰν ἐλάβατε αὐτὸ τὸ θεῖον χάρισμα, δωρεὰν δὲ καὶ νὰ τὸ χαρίσετε εἰς τοὺς ἄλλους». Τοὺς προετοιμάζει δηλαδὴ νὰ εἶναι καθαροὶ ἀπὸ κάθε φιλοχρηματίαν. Εἰς τὴν συνέχειαν δὲ διὰ νὰ μὴ νομισθῇ ὅτι τὸ κατόρθωμα

μισθῇ αὐτῶν εἶναι κατόρθωμα, καὶ ἐπαρθῶσιν ἀπὸ τῶν γινομένων σημείων, φησί· «Δωρεὰν ἐλάβετε». Οὐδὲν χαρίζεσθε τοῖς δεχομένοις ὑμᾶς· οὐ γὰρ μισθοῦ ταῦτα ἐλάβετε, οὐδὲ πονέσαντες· ἐμὴ γὰρ ἡ χάρις. Οὕτως οὖν καὶ ἐκείνοις δότε· οὐδὲ γάρ ἐστι τιμὴν αὐτῶν ἀξίαν εὑρεῖν.

Εἶτα τὴν ῥίζαν τῶν κακῶν εὐθέως ἀνασπῶν, φησί· «Μὴ κτήσησθε χρυσόν, μηδὲ ἄργυρον, μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν, μὴ πήραν εἰς ὁδόν, μηδὲ δύο χιτῶνας, μηδὲ ὑποδήματα, μηδὲ ῥάβδον». Οὐκ εἶπε, μὴ λάβητε μεθ᾽ ἑαυτῶν· ἀλλὰ κἂν ἑτέρωθεν ἐξῇ λαβεῖν, φύγε τὸ πονηρὸν νόσημα. Καὶ γὰρ πολλὰ διὰ τούτου κατώρθου· ἓν μέν, ἀνυπόπτους ποιῶν τοὺς μαθητάς· δεύτερον δέ, πάσης αὐτοὺς ἀπαλλάτων φροντίδος, ὥστε τὴν σχολὴν πᾶσαν τῷ λόγῳ παρέχειν· τρίτον, διδάσκων αὐτοὺς τὴν ἑαυτοῦ δύναμιν. Τοῦτο γοῦν αὐτοῖς καὶ λέγει μετὰ ταῦτα· «Μή τινος ὑστερήσατε, ὅτε ἔπεμψα ὑμᾶς γυμνοὺς καὶ ἀνυποδέτους;». Οὐκ εὐθέως εἶπε, «Μὴ κτήσησθε»· ἀλλ᾽ ὅτε εἶπε, «Λεπροὺς καθαίρετε, δαιμόνια ἐκβάλλετε», τότε εἶπε, «Μηδὲν κτήσησθε· δωρεὰν ἐλάβετε, δωρεὰν δότε»· καὶ τὸ συμφέρον διὰ τῶν πραγμάτων, καὶ τὸ πρέπον αὐτοῖς, καὶ τὸ δυνατὸν παρεχόμενος.

Ἀλλ᾽ ἴσως εἴποι τις ἄν, ὅτι τὰ μὲν ἄλλα λόγον ἂν ἔχοι· τὸ δὲ μὴ πήραν ἔχειν εἰς ὁδόν, μηδὲ δύο χιτῶνας, μηδὲ ῥάβδον, μηδὲ ὑποδήματα, τίνος ἕνεκεν ἐπέταξεν; Εἰς πᾶσαν αὐτοὺς ἀκρίβειαν ἀσκῆσαι βουλόμενος· ἐπεὶ καὶ ἀνωτέρω,

31. Ὅτι δηλ. ἐλάμβανον χρήματα.
32. Πρβλ. Λουκᾶ 22, 35.

εἶναι ἰδικόν των καὶ ἔτσι φθάσουν εἰς τὸ νὰ ὑπερηφανευθοῦν διὰ τὰ θαύματα ποὺ θὰ ἐπετελοῦσαν τοὺς λέγει· «Ἐλάβατε δωρεὰν νὰ θαυματουργῆτε». Τίποτε δὲν δίδετε εἰς αὐτοὺς ποὺ σᾶς ὑποδέχονται ὡς χάριν, διότι τὴν δύναμιν αὐτὴν δὲν τὴν ἐλάβατε ὡς ἀμοιβήν, οὔτε ἐκοπιάσατε διὰ νὰ τὴν ἀποκτήσετε, ἀλλ' εἶναι πράγματι ἰδική μου ἡ χάρις. Ὅπως δωρεὰν λοιπὸν τὴν ἐλάβατε ἔτσι καὶ νὰ τὴν δώσετε καὶ σεῖς εἰς ἐκείνους, διότι δὲν εἶναι δυνατὸν νὰ εὕρῃ κανεὶς δι' αὐτὰς τὰς δωρεὰς ἰσάξιον ἀντίτιμον.

Ἀκολούθως ἐν τῇ ἐπιθυμίᾳ ὅπως ἀποκόψῃ εὐθέως τὴν ρίζαν τῶν κακῶν τοὺς λέγει· «Μὴ ἀποκτήσετε χρυσόν, οὔτε ἄργυρον, οὔτε καὶ χάλκινα νομίσματα εἰς τὰς ζώνας σας, οὔτε σάκκον διὰ τὰς ὁδοιπορίας σας, οὔτε δύο χιτῶνας, οὔτε ὑποδήματα, οὔτε ράβδον». Δὲν εἶπε 'Μὴ λάβετε μαζί σας', ἀλλὰ καὶ ἂν ἀκόμη εἶναι δυνατὸν νὰ τὰ λάβῃς ἀπὸ ἄλλου, ἀπόφυγε τὴν πονηρὰν ἀσθένειαν. Καὶ πράγματι πολλὰ ἐπέτυχε μ' αὐτὴν τὴν ἐντολήν. Ἀφ' ἑνὸς μὲν ἀπήλλαξε τοὺς μαθητάς του ἀπὸ κάθε παρομοίαν ὑπόνοιαν[31], ἀφ' ἑτέρου δὲ τοὺς ἀπήλλαξεν ἀπὸ κάθε φροντίδα, ὥστε μοναδική των ἐνασχόλησις νὰ εἶναι τὸ κήρυγμα τοῦ λόγου, καὶ τρίτον ἐδίδασκεν εἰς αὐτοὺς τὴν δύναμίν του. Καὶ αὐτὸ βέβαια τοὺς λέγει ἀργότερα· «Μήπως ἐστερήθητε τίποτε ὅταν σᾶς ἀπέστειλα γυμνοὺς καὶ ἀνυποδέτους;»[32]. Δὲν τοὺς εἶπεν εὐθὺς ἐξ ἀρχῆς, «Μὴ ἀποκτήσετε», ἀλλὰ ὅταν εἶπε, «Νὰ καθαρίζετε λεπρούς, νὰ ἐκβάλλετε δαιμόνια», τότε προσέθεσε· «Μὴ ἀποκτήσετε τίποτε· δωρεὰν ἐλάβατε τὴν χάριν, δωρεὰν καὶ νὰ τὴν δώσετε»· καὶ ἔτσι διὰ μέσου αὐτῶν τῶν ἰδίων τῶν πραγμάτων τοὺς προσφέρει καὶ αὐτὸ ποὺ τοὺς συμφέρει, καὶ αὐτὸ ποὺ πρέπει, καὶ αὐτὸ ποὺ εἶναι δυνατόν.

Ἴσως ὅμως θὰ ἠμποροῦσε κάποιος νὰ εἰπῇ, ὅτι 'Τὰ μὲν ἄλλα θὰ ἠμποροῦσαν νὰ ἔχουν κάποιαν δικαιολογίαν, διὰ ποῖον λόγον ὅμως τοὺς παρήγγειλε νὰ μὴ ἔχουν σάκκον καθ' ὁδόν, οὔτε δύο χιτῶνας, οὔτε ράβδον, οὔτε ὑποδήματα'; Ἀσφαλῶς ἐπειδὴ ἤθελε νὰ τοὺς ἀσκήσῃ δι' ὅλα νὰ

οὐδὲ ὑπὲρ τῆς ἐπιούσης ἡμέρας μεριμνᾶν ἐπέτρεψε. Καὶ γὰρ καὶ τῇ οἰκουμένῃ διδασκάλους ἔμελλεν ἀποστέλλειν. Διὰ τοῦτο καὶ ἀγγέλους αὐτοὺς ἐξ ἀνθρώπων, ὡς εἰπεῖν, κατασκευάζει, πάσης ἀπολύων φροντίδος βιωτικῆς, ὥστε μιᾷ
5 *κατέχεσθαι φροντίδι μόνῃ, τῇ τῆς διδασκαλίας· μᾶλλον δὲ καὶ ἐκείνης αὐτοὺς ἀπολύει, λέγων· «Μὴ μεριμνήσητε πῶς ἢ τί λαλήσητε».*

Ὥστε ὃ δοκεῖ σφόδρα φορτικὸν εἶναι καὶ ἐπαχθές, τοῦτο μάλιστα εὔκολον αὐτοῖς ἀποφαίνει καὶ ῥᾴδιον. Οὐδὲν
10 *γὰρ οὕτως εὐθυμεῖσθαι ποιεῖ, ὡς τὸ φροντίδος ἀπηλλάχθαι καὶ μερίμνης· καὶ μάλιστα ὅταν ἐξῇ ταύτης ἀπηλλαγμένους μηδενὸς ἐλαττοῦσθαι, τοῦ Θεοῦ παρόντος, καὶ ἀντὶ πάντων αὐτοῖς γινομένου. Εἶτα ἵνα μὴ λέγωσι, πόθεν οὖν τῆς ἀναγκαίας τροφῆς ἀπολαύσωμεν; οὐ λέγει αὐτοῖς, ὅτι ἠκούσατε*
15 *ὅτι εἶπον ὑμῖν ἔμπροσθεν· «Ἐμβλέψατε εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ· (οὔπω γὰρ ἦσαν δυνατοὶ τὸ ἐπίταγμα τοῦτο διὰ τῶν ἔργων ἐπιδείξασθαι)· ἀλλὰ τὸ πολὺ τούτου καταδεέστερον ἐπήγαγε, λέγων· «Ἄξιος γὰρ ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστι»· δηλῶν ὅτι παρὰ τῶν μαθητῶν αὐτοὺς τρέφεσθαι ἔδει·*
20 *ἵνα μήτε αὐτοὶ μέγα φρονῶσι κατὰ τῶν μαθητευομένων, ὡς πάντα παρέχοντες καὶ μηδὲν λαμβάνοντες παρ' αὐτῶν· μήτε ἐκεῖνοι πάλιν ἀπορραγῶσιν ὑπερορώμενοι παρὰ τούτων.*

5. Εἶτα, ἵνα μὴ λέγωσι· προσαιτοῦντας οὖν ἡμᾶς κελεύεις ζῆν; καὶ αἰσχύνωνται τοῦτο· δείκνυσι τὸ πρᾶγμα
25 *ὀφειλὴν ὄν, ἐργάτας τε αὐτοὺς καλῶν, καὶ τὸ διδόμενον*

---

33. Πρβλ. Ματθ. 6, 11.
34. Ματθ. 10, 19.
35. Ματθ. 6, 26.

φροντίζουν μὲ ἀπόλυτον ἀκρίβειαν, καθόσον καὶ ὀλίγον προηγουμένως δὲν τοὺς ἐπέτρεψεν οὔτε διὰ τὴν ἑπομένην ἡμέραν νὰ φροντίζουν[33]. Καθόσον ἐπρόκειτο νὰ τοὺς ἀποστείλῃ ὡς διδασκάλους τῆς οἰκουμένης. Καὶ ἀκριβῶς δι' αὐτὸν τὸν λόγον τοὺς προετοιμάζει, θὰ ἔλεγε κανείς, ὡσὰν ἀγγέλους, μολονότι εἶναι ἄνθρωποι, ἀπαλλάσσων αὐτοὺς ἀπὸ κάθε φροντίδα τῆς ζωῆς, ὥστε νὰ εἶναι συγκεντρωμένον τὸ ἐνδιαφέρον των εἰς μίαν καὶ μοναδικὴν φροντίδα, δηλαδὴ εἰς τὴν διδασκαλίαν, ἢ καλύτερα, καὶ ἀπ' αὐτὴν τοὺς ἀπαλλάσσει λέγων τὰ ἑξῆς· «Μὴ φροντίσετε πῶς ἢ τί θὰ εἰπῆτε»[34].

Ὥστε λοιπὸν αὐτὸ ποὺ φαίνεται πολὺ βαρὺ καὶ δύσκολον ἔργον, αὐτὸ πρὸ παντὸς τοὺς τὸ παρουσιάζει ὡς εὔκολον καὶ δυνατόν. Διότι τίποτε δὲν προξενεῖ εἰς τοὺς ἀνθρώπους τόσην χαράν, ὅσον τὸ νὰ ἔχουν ἀπαλλαγῆ ἀπὸ τὴν φροντίδα καὶ τὴν μέριμναν, καὶ πρὸ πάντων ὅταν εἶναι δυνατὸν ν' ἀπαλλαγοῦν ἀπὸ αὐτὴν χωρὶς καμμίαν ζημίαν, ἔχοντες τὸν Θεὸν παρόντα καὶ φροντίζοντα πρὸς χάριν των δι' ὅλα αὐτά. Εἰς τὴν συνέχειαν διὰ νὰ μὴ λέγουν, 'Ἀπὸ ποῦ θὰ λαμβάνωμεν τὴν ἀναγκαίαν τροφήν;' δὲν λέγει εἰς αὐτοὺς 'Ἠκούσατε τοὺς προηγουμένους λόγους μου', «Ρίψατε τὴν ματιάν σας εἰς τὰ πετεινὰ τοῦ οὐρανοῦ»[35], (διότι δὲν ἦσαν ἀκόμη εἰς θέσιν νὰ θέσουν εἰς ἐφαρμογὴν τὴν προσταγὴν αὐτὴν διὰ τῶν ἔργων των), ἀλλὰ προσέθεσεν αὐτὸ ποὺ ἦτο πολὺ πιὸ ὑποδεέστερον ἀπὸ ἐκεῖνο, λέγων· «Διότι δικαιοῦται ὁ ἐργαζόμενος νὰ λαμβάνῃ τὴν τροφήν του», δηλώνων μὲ αὐτό, ὅτι πρέπει νὰ λαμβάνουν τὴν τροφήν των ἀπὸ τοὺς μαθητάς των, ὥστε οὔτε αὐτοὶ νὰ ὑπερηφανεύωνται εἰς βάρος τῶν μαθητῶν των, ὅτι ὅλα τὰ παρεῖχαν εἰς αὐτοὺς χωρὶς νὰ λαμβάνουν τίποτε ἀπὸ αὐτούς, οὔτε ἐκεῖνοι πάλιν ν' ἀπομακρυνθοῦν ἐξ αἰτίας τῆς περιφρονήσεως ἐκ μέρους τῶν ἀποστόλων.

5. Ἀκολούθως διὰ νὰ μὴ λέγουν, 'Ὥστε μᾶς προτρέπεις νὰ ζῶμεν ὡσὰν ἐπαῖται;' μὲ ἀποτέλεσμα νὰ ἐντρέπωνται δι' αὐτό, τοὺς ἐπεξηγεῖ ὅτι τοῦτο ἀποτελεῖ ὑποχρέωσιν

μισθὸν ὀνομάζων. Μὴ γὰρ ἐπειδὴ ἐν λόγοις ἡ ἐργασία, φησί, νομίσητε μικρὰν εἶναι τὴν εὐεργεσίαν τὴν παρ' ὑμῶν· καὶ γὰρ πόνους ἔχει τὸ πρᾶγμα πολλούς· καὶ ὅπερ ἂν δῶσιν οἱ διδασκόμενοι, οὐ χαριζόμενοι παρέχουσιν, ἀλλ' ἀμοιβὴν
5 *ἀποδιδόντες· «Ἄξιος γὰρ ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστι». Τοῦτο δὲ εἴρηκεν, οὐ τοσούτου τοὺς ἀποστολικοὺς ἀποφαίνων πόνους ἀξίους· ἄπαγε, μὴ γένοιτο· ἀλλὰ καὶ ἐκείνοις νομοθετῶν μηδὲν πλέον ζητεῖν, καὶ τοὺς παρέχοντας πείθων, ὅτι οὐ φιλοτιμία τὸ γινόμενον παρ' αὐτῶν ἐστιν, ἀλλ'*
10 *ὀφειλή.*

«Εἰς ἣν δ' ἂν πόλιν ἢ κώμην εἰσέλθητε, ἐξετάσατε τίς ἄξιος ἐν αὐτῇ ἐστι, κἀκεῖ μείνατε ἕως ἂν ἐξέλθητε». Οὐδὲ γὰρ ἐπειδὴ εἶπον, φησίν, «Ἄξιος ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ ἐστι», τὰς πάντων ὑμῖν θύρας ἀνέῳξα· ἀλλὰ καὶ ἐν-
15 *ταῦθα πολλὴν κελεύω ποιεῖσθαι τὴν ἀκρίβειαν. Τοῦτο γὰρ καὶ εἰς δόξαν ὑμᾶς ὠφελήσει, καὶ εἰς αὐτὸ τὸ τρέφεσθαι. Εἰ γὰρ ἄξιός ἐστι, πάντως δώσει τροφήν· καὶ μάλιστα ὅταν μηδὲν πλέον τῶν ἀναγκαίων αἰτῆτε. Οὐ μόνον δὲ ἀξίους κελεύει ζητεῖν, ἀλλὰ μηδὲ οἰκίαν ἐξ οἰκίας ἀμείβειν, ὥστε*
20 *μήτε τὸ δεχόμενον λυπεῖν, μήτε αὐτοὺς δόξαν λαβεῖν γαστριμαργίας καὶ εὐκολίας. Τοῦτο γὰρ ἐδήλωσεν εἰπών, «Ἐκεῖ μένετε ἕως ἂν ἐξέλθητε». Καὶ τοῦτο καὶ ἐκ τῶν ἄλλων εὐαγγελιστῶν ἐστι καταμαθεῖν.*

Εἶδες πῶς αὐτοὺς καὶ ταύτῃ σεμνοὺς ἐποίησε καὶ τοὺς

---

36. Πρβλ. Μάρκ. 6, 10. Λουκᾶ 10, 7.

τῶν ἀκροατῶν των, ἀποκαλῶν αὐτοὺς ἐργάτας, τὸ δὲν ἀποδιδόμενον πρὸς αὐτοὺς μισθόν. Μὴ νομίσετε δηλαδή, λέγει, ἐπειδὴ ἡ ἐργασία σας γίνεται μὲ τοὺς λόγους, ὅτι εἶναι μικρὰ ἡ ἐκ μέρους σας εὐεργεσία — καθόσον τὸ ἔργον τοῦτο ἐνέχει πολλοὺς κόπους —, καὶ αὐτὸ τὸ ὁποῖον θὰ θελήσουν νὰ δώσουν οἱ διδασκόμενοι δὲν τὸ παρέχουν κατὰ χάριν, ἀλλὰ τὸ δίδουν ὡς ἀμοιβὴν διὰ τὴν ἐργασίαν των, προσθέτει· «Διότι ὁ ἐργαζόμενος δικαιοῦται νὰ λαμβάνῃ τὴν τροφήν του ἀπὸ ἐκείνους διὰ τοὺς ὁποίους κοπιάζει». Αὐτὸ δὲ τὸ εἶχεν εἰπεῖ ὄχι τόσον διὰ νὰ ἀποδείξῃ τὴν ἀξίαν τῶν ἀποστολικῶν κόπων, εἴθε νὰ μὴ συμβῇ νὰ σκεφθῇς κάτι τέτοιο, ἀλλὰ διὰ νὰ θέσῃ εἰς αὐτοὺς ὡς κανόνα νὰ μὴ ζητοῦν τίποτε τὸ περιττὸν καὶ νὰ πείσῃ αὐτοὺς ποὺ θὰ τοὺς παρεῖχαν τὰ ἀναγκαῖα, ὅτι τὰ παρεχόμενα ὑπ' αὐτῶν δὲν ἀπετέλουν ἰδικήν των γενναιοδωρίαν, ἀλλ' ὑποχρέωσιν.

«Εἰς ὁποιανδήποτε δὲ πόλιν ἢ χωρίον ἠθέλατε μεταβῆ, ἐξετάσατε ποῖος εἶναι ἄξιος εἰς αὐτὴν καὶ μείνατε εἰς αὐτὸν μέχρις ὅτου νὰ φύγετε». Διότι, λέγει, δὲν σημαίνει τὸ ὅτι σᾶς εἶπα «ὅτι ὁ ἐργαζόμενος δικαιοῦται τὴν τροφήν του», ὅτι σᾶς ἤνοιξα καὶ ὅλας τὰς θύρας διὰ νὰ εἰσέρχεσθε, ἀλλὰ καὶ σχετικῶς μ' αὐτὸ σᾶς συμβουλεύω νὰ προσέχετε πάρα πολύ. Διότι αὐτὸ θὰ σᾶς ὠφελήσῃ καὶ διὰ ν' ἀποκτήσετε καλὴν φήμην καὶ διὰ νὰ ἐξευρίσκετε τὴν τροφήν σας, καὶ μάλιστα ὅταν δὲν ζητῆτε τίποτε περισσότερον ἀπὸ τὰ ἀναγκαῖα. Καὶ δὲν τοὺς συμβουλεύει μόνον ν' ἀναζητοῦν ἀξίους ἀνθρώπους ὅπου θὰ μεταβαίνουν, ἀλλὰ οὔτε καὶ νὰ μεταβαίνουν ἀπὸ τὴν μίαν οἰκίαν εἰς τὴν ἄλλην, ὥστε οὔτε νὰ στενοχωροῦν αὐτὸν ποὺ τοὺς ὑποδέχεται, οὔτε ν' ἀποκτήσουν φήμην ὅτι τοὺς διακρίνει γαστριμαργία καὶ ὅτι ὅλα τὰ θέλουν ἕτοιμα. Διότι αὐτὸ τοὺς τὸ κατέστησε γνωστὸν διὰ τῶν λόγων του· «Νὰ μένετε εἰς τὴν οἰκίαν ἐκείνου μέχρις ὅτου φύγετε ἀπὸ ἐκεῖ». Καὶ αὐτὸ εἶναι δυνατὸν νὰ τὸ πληροφορηθῇ κανεὶς καὶ ἀπὸ τοὺς ἄλλους εὐαγγελιστάς[26].

Εἶδες πῶς μὲ αὐτὸν τὸν τρόπον αὐτοὺς μὲν τοὺς κατέ-

δεχομένους ἐναγωνίους, δείξας ὅτι αὐτοὶ μᾶλλόν εἰσιν οἱ κερδαίνοντες, καὶ εἰς δόξαν καὶ εἰς ὠφελείας λόγον; Εἶτα αὐτὸ τοῦτο πάλιν ἐπεξιὼν φησιν· «Εἰσερχόμενοι δὲ εἰς τὴν οἰκίαν, ἀσπάσασθε αὐτήν. Καὶ ἐὰν μὲν ᾖ ἡ οἰκία ἀξία, ἐλ- 5 *θέτω ἡ εἰρήνη ὑμῶν ἐπ' αὐτήν· ἐὰν δὲ μὴ ᾖ ἀξία, ἡ εἰρήνη ὑμῶν ἐφ' ὑμᾶς ἐπιστραφήτω».*

Ὁρᾷς μέχρι τίνος οὐ παραιτεῖται διατάττεσθαι; Καὶ μάλα εἰκότως. Ἀθλητὰς γὰρ εὐσεβείας καὶ κήρυκας κατεσκεύαζε τῆς οἰκουμένης· καὶ ταύτῃ μετριάζειν αὐτοὺς πα- 10 *ρασκευάζων καὶ ἐπεράστους ποιῶν, φησί· «Καὶ ὃς ἂν μὴ δέξηται ὑμᾶς, μηδὲ ἀκούσῃ τῶν λόγων ὑμῶν, ἐξερχόμενοι τῆς οἰκίας ἢ τῆς πόλεως ἐκείνης, ἐκτινάξατε τὸν κονιορτὸν τῶν ποδῶν ὑμῶν. Ἀμὴν λέγω ὑμῖν, ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόρρας ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ἐ-* 15 *κείνῃ». Μὴ γὰρ ἐπειδὴ διδάσκετε, φησί, διὰ τοῦτο περιμένετε παρ' ἑτέρων ἀσπάζεσθαι, ἀλλὰ προηγεῖσθε τῇ τιμῇ. Εἶτα δεικνὺς ὅτι οὐκ ἀσπασμὸς τοῦτό ἐστι ψιλός, ἀλλ' εὐλογία, ἐὰν ᾖ, φησίν, ἀξία ἡ οἰκία, ἥξει ἐπ' αὐτήν· ἐὰν δὲ ὑβρίζῃ, πρώτη μὲν κόλασις, τὸ μὴ ἀπόνασθαι τῆς εἰρήνης·* 20 *δευτέρα δέ, ὅτι τὰ Σοδόμων πείσεται. Καὶ τί πρὸς ἡμᾶς, φησίν, ἡ ἐκείνων κόλασις; Ἕξετε τὰς τῶν ἀξίων οἰκίας.*

Τί δὲ βούλεται τὸ «Ἐκτινάξατε τὸν κονιορτὸν τῶν ποδῶν ὑμῶν»; Ἢ ὥστε δεῖξαι ὅτι οὐδὲν ἔλαβον παρ' αὐτῶν, ἢ ὥστε εἰς μαρτύριον αὐτοῖς γενέσθαι τῆς μακρᾶς ὁδοιπο-

στησε σπουδαίους, ἐνῷ εἰς ἐκείνους ποὺ τοὺς ὑπεδέχοντο ἐνέβαλεν ἀγωνίαν, ἀφοῦ τοὺς ἀπέδειξεν ὅτι αὐτοὶ οἱ ἴδιοι εἶναι ἐκεῖνοι ποὺ ἔχουν περισσότερον κέρδος καὶ ὡς πρὸς τὴν φήμην καὶ ὡς πρὸς τὴν ὠφέλειαν; 'Ακολούθως πάλιν ἀναλύων αὐτὸ ὡς πρὸς τὰς λεπτομερείας του λέγει· «Ὅταν εἰσέρχεσθε δὲ εἰς τὴν οἰκίαν κάποιου, χαιρετήσατε τοὺς διαμένοντας εἰς αὐτήν. Καὶ ἐφ' ὅσον μὲν ἡ οἰκία εἶναι ἀξία, εὐχηθῆτε νὰ ἔλθῃ ἡ εἰρήνη σας εἰς αὐτούς, ἐὰν ὅμως δὲν εἶναι ἀξία, ἂς ἐπιστρέψῃ ἡ εἰρήνη σας εἰς σᾶς».

Βλέπεις μέχρι ποῖο σημεῖον προχωρεῖ συμβουλεύων αὐτούς; Καὶ εἶναι πολὺ φυσικὸν αὐτό, διότι τοὺς προετοίμαζε δι' ἀθλητὰς εὐσεβείας καὶ κήρυκας τῆς οἰκουμένης. Καὶ προετοιμάζων αὐτοὺς κατ' αὐτὸν τὸν τρόπον ὥστε νὰ εἶναι μετριόφρονες καὶ ἀγαπητοὶ εἰς τὸν κόσμον τοὺς λέγει· «Καὶ ἐκεῖνος ποὺ ἤθελε μὴ σᾶς δεχθῆ εἰς τὴν οἰκίαν του, οὔτε νὰ ἀκούσῃ τοὺς λόγους σας, φεύγοντες ἀπὸ τὴν οἰκίαν ἐκείνου ἢ ἀπὸ τὴν πόλιν ἐκείνων, ἐκτινάξατε τὴν σκόνην ἀπὸ τὰ πόδια σας. 'Αληθῶς σᾶς λέγω, ὅτι κατὰ τὴν ἡμέραν τῆς κρίσεως θὰ τιμωρηθοῦν ὀλιγώτερον οἱ κάτοικοι τῶν Σοδόμων καὶ τῆς Γομόρρας παρὰ οἱ κατοικοῦντες εἰς τὴν πόλιν ἐκείνην». Μὴ περιμένετε βέβαια, λέγει, ἐπειδὴ διδάσκετε νὰ σᾶς χαιρετοῦν οἱ ἄλλοι, ἀλλὰ νὰ τοὺς χαιρετᾶτε πρῶτοι σεῖς. 'Ακολούθως, δεικνύων ὅτι αὐτὸς δὲν εἶναι ἁπλοῦς χαιρετισμός, ἀλλ' εὐλογία, λέγει· 'Ἐὰν ἡ οἰκία εἶναι ἀξία, θὰ ἔλθῃ ἡ εἰρήνη εἰς αὐτήν, ἐὰν ὅμως οἱ διαμένοντες εἰς αὐτὴν σᾶς ὑβρίζουν, τότε πρώτη μὲν τιμωρία των θὰ εἶναι τὸ νὰ στερηθοῦν τῆς εἰρήνης, δευτέρα δὲ ὅτι θὰ πάθουν αὐτὰ ποὺ ἔπαθαν οἱ κάτοικοι τῶν Σοδόμων. Καὶ ποία ἡ ὠφέλεια εἰς ἡμᾶς, θὰ ἔλεγε κάποιος, ἀπὸ τὴν τιμωρίαν ἐκείνων; Θὰ ἔχετε ἀσφαλῶς εἰς τὴν διάθεσίν σας τὰς οἰκίας τῶν ἀξίων.

Τί θέλει ὅμως νὰ δείξῃ μὲ τοὺς λόγους· «'Αποτινάξατε τὴν σκόνην τῶν ποδῶν σας;». Ἢ θέλει νὰ δείξῃ ὅτι δὲν ἔλαβαν τίποτε ἀπ' αὐτούς, ἢ διὰ νὰ ἔχουν ὡς ἀπόδειξιν δι'

ρίας, ἣν ἐστείλαντο δι' αὐτούς. Σὺ δέ μοι σκόπει πῶς οὐδέπω τὸ πᾶν αὐτοῖς δίδωσιν. Οὐδὲ γὰρ πρόγνωσιν τέως αὐτοῖς χαρίζεται, ὥστε μαθεῖν τίς ἄξιος καὶ τίς οὐ τοιοῦτος· ἀλλὰ περιεργάζεσθαι καὶ τὴν πεῖραν ἀναμένειν κελεύει.
5 Πῶς οὖν αὐτὸς παρὰ τελώνῃ ἔμενεν; Ὅτι ἄξιος γέγονεν ἐκ τῆς μεταβολῆς.

Σὺ δέ μοι σκόπει πῶς πάντων αὐτοὺς γυμνώσας, πάντα αὐτοῖς ἔδωκεν, ἐπιτρέψας ἐν ταῖς τῶν μαθητευομένων μένειν οἰκίας, καὶ οὐδὲν ἔχοντας εἰσιέναι. Οὕτω γὰρ καὶ τῆς
10 φροντίδος ἀπηλλάττοντο, κἀκείνους ἔπειθον, ὅτι διὰ τὴν αὐτῶν παραγεγόνασι σωτηρίαν μόνην, καὶ τῷ μηδὲν ἐπιφέρεσθαι, καὶ τῷ μηδὲν πλέον αὐτοὺς ἀπαιτεῖν τῶν ἀναγκαίων, καὶ τῷ μὴ πρὸς πάντας ἁπλῶς εἰσιέναι. Οὐδὲ γὰρ ἀπὸ τῶν σημείων αὐτοὺς ἐβούλετο φαίνεσθαι λαμπροὺς μό-
15 νον, ἀλλὰ καὶ πρὸ τῶν σημείων ἀπὸ τῆς οἰκείας ἀρετῆς. Οὐδὲν γὰρ οὕτω χαρακτηρίζει φιλοσοφίαν, ὡς τὸ ἀπέριττον, καὶ κατὰ τὸ ἐγχωροῦν ἀνενδεές. Τοῦτο καὶ οἱ ψευδαπόστολοι ᾔδεσαν. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγεν· «Ἵνα ἐν ᾧ καυχῶνται, εὑρεθῶσιν ὡς καὶ ἡμεῖς». Εἰ δὲ ἐπὶ ξένης ὄν-
20 τας καὶ πρὸς ἀγνῶτας ἀπιόντας οὐδὲν δεῖ πλέον ζητεῖν τῆς ἐφημέρου τροφῆς, πολλῷ μᾶλλον οἴκοι μένοντας.

6. «Ταῦτα μὴ ἀκούωμεν μόνον, ἀλλὰ καὶ μιμώμεθα. Οὐ γὰρ περὶ τῶν ἀποστόλων εἴρηται μόνον, ἀλλὰ καὶ περὶ τῶν

---

37. Β' Κορ. 11, 12.

αὐτοὺς τὴν μακρὰν ὁδοιπορίαν ποὺ ἔκαμαν πρὸς χάριν των. Σὺ ὅμως, κατὰ τὴν γνώμην μου, πρόσεξε τὸ ὅτι ἀκόμη δὲν τοὺς δίδει ὅλας τὰς δωρεάς. Οὔτε δηλαδὴ τοὺς χαρίζει εἰς τὴν ἀρχὴν τὴν ἱκανότητα τῆς προγνώσεως, ὥστε νὰ ἠμποροῦν νὰ προγνωρίσουν ποῖος εἶναι ἄξιος καὶ ποῖος δὲν εἶναι, ἀλλὰ τοὺς παραγγέλλει νὰ ἐξετάζουν μετὰ προσοχῆς τὰ πάντα καὶ ν' ἀναμένουν ν' ἀποκτήσουν αὐτὴν τὴν δυνατότητα μὲ τὴν σὺν τῷ χρόνῳ πεῖραν. Ἀλλὰ τότε βέβαια πῶς αὐτὸς διέμεινεν εἰς τὴν οἰκίαν τοῦ τελώνου; Ἀσφαλῶς ἐπειδὴ εἶχε γίνει ἄξιος ἐξ αἰτίας τῆς μετανοίας του.

Ἀλλὰ σύ, παρακαλῶ, πρόσεξε αὐτό· πῶς δηλαδὴ ἀφοῦ τοὺς ἀπεγύγνωσεν ἀπὸ ὅλα, ἐν συνεχείᾳ τοὺς τὰ ἔδωσεν ὅλα, ἐπιτρέψας αὐτοὺς νὰ διαμένουν εἰς τὰς οἰκίας τῶν μαθητῶν των καὶ νὰ εἰσέρχωνται μάλιστα εἰς αὐτὰς χωρὶς νὰ ἔχουν τίποτε. Διότι ἔτσι καὶ ἦσαν ἀπηλλαγμένοι ἀπὸ τὴν φροντίδα, καὶ ἐκείνους τοὺς ἔπειθαν, ὅτι ἦλθαν ἁπλῶς καὶ μόνον διὰ τὴν σωτηρίαν των, ἔχοντες ὡς ἀπόδειξιν τὸ ὅτι δὲν ἔφεραν μαζί των τίποτε, καὶ ὅτι δὲν τοὺς ζητοῦν τίποτε περισσότερον ἀπὸ τὰ ἀναγκαῖα πρὸς τὸ ζῆν, καὶ τὸ ὅτι δὲν ἐπεσκέπτοντο χωρὶς νὰ ἐξετάσουν ὅλας γενικῶς τὰς οἰκίας. Διότι δὲν ἤθελε μόνον ἀπὸ τὰ θαύματα νὰ γίνωνται ἀξιοθαύμαστοι, ἀλλὰ καὶ πρὶν ἀπὸ τὰ θαύματα νὰ γίνωνται τοιοῦτοι ἀπὸ τὴν ἀρετήν των. Διότι τίποτε ἄλλο δὲν χαρακτηρίζει ἔτσι τὴν ἀληθῆ φιλοσοφίαν, ὅσον ἡ ἁπλότης καὶ ἡ κατὰ τὸ δυνατὸν ἔλλειψις κάθε ἀνάγκης. Αὐτὸ τὸ ἐγνώριζαν καὶ οἱ ψευδαπόστολοι. Καὶ ἀκριβῶς δι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε· «Διὰ νὰ ἀποδειχθοῦν ὅμοιοι μὲ ἡμᾶς εἰς τὸ ἔργον, διὰ τὸ ὁποῖον καὶ καυχῶνται»[37]. Ἐὰν δὲ ἔπρεπε νὰ μὴ ζητοῦν τίποτε ἐπὶ πλέον ἀπὸ τὴν τροφὴν τῆς ἡμέρας καθ' ὃν χρόνον θὰ εὑρίσκοντο εἰς ξένην χώραν καὶ θὰ μετέβαιναν εἰς ἀγνώστους ἀνθρώπους, πολὺ περισσότερον ἔπρεπε νὰ συμβαίνῃ αὐτὸ ὅταν θὰ εὑρίσκοντο εἰς τὸν τόπον των.

6. Αὐτὰ δὲν πρέπει μόνον νὰ τὰ ἀκούωμεν, ἀλλὰ καὶ νὰ τὰ μιμούμεθα. Διότι δὲν ἐλέχθησαν μόνον διὰ τοὺς ἀ-

μετὰ ταῦτα ἁγίων. Γενώμεθα τοίνυν αὐτῶν ἄξιοι τῆς ὑποδοχῆς. Ἀπὸ γὰρ τῆς γνώμης τῶν ὑποδεχομένων καὶ ἡ εἰρήνη ἔρχεται αὕτη καὶ ἀφίπταται πάλιν. Οὐδὲ γὰρ μόνον ἀπὸ τῆς τῶν διδασκόντων παρρησίας, ἀλλὰ καὶ ἀπὸ τῆς τῶν
5 *λαμβανόντων ἀξίας τοῦτο γίνεται. Μηδὲ μικρὰν νομίζωμεν εἶναι ζημίαν τὸ μὴ ἀπολαῦσαι τοιαύτης εἰρήνης. Ταύτην γὰρ καὶ ὁ προφήτης ἄνωθεν προαναφωνεῖ λέγων· «Ὡς ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρήνην». Εἶτα αὐτῆς τὸ ἀξίωμα ἑρμηνεύων ἐπήγαγε, «Τῶν εὐαγγελιζομένων τὰ*
10 *ἀγαθά». Ταύτην καὶ ὁ Χριστὸς μεγάλην οὖσαν ἀπέφηνεν εἰπών· «Εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν». Καὶ δεῖ πάντα ποιεῖν, ὥστε αὐτῆς ἀπολαύειν, καὶ ἐν οἰκίᾳ καὶ ἐν ἐκκλησίᾳ. Καὶ γὰρ καὶ ἐν τῇ ἐκκλησίᾳ ὁ προεστὼς δίδωσιν εἰρήνην. Καὶ τοῦτο ἐκείνου τύπος ἐστί, καὶ*
15 *δεῖ μετὰ πάσης αὐτὸν δέχεσθαι προθυμίας, τῇ γνώμῃ πρὸ τῆς τραπέζης. Εἰ γὰρ τὸ ἀπὸ τῆς τραπέζης μὴ μεταδοῦναι φορτικόν, τὸ τὸν λέγοντα διακρούεσθαι πόσῳ μᾶλλον ἂν φορτικώτερον; Διὰ σὲ κάθηται ὁ πρεσβύτερος, διὰ σὲ ἕστηκεν ὁ διδάσκαλος, πονῶν καὶ ταλαιπωρούμενος. Τίνα οὖν ἕξεις*
20 *ἀπολογίαν, μηδὲ τὴν ἐκ τῆς ἀκροάσεως αὐτῷ παρέχων ὑποδοχήν; Καὶ γὰρ οἰκία κοινὴ πάντων ἐστὶν ἡ ἐκκλησία, καὶ προλαβόντων ὑμῶν εἴσιμεν ἡμεῖς, τὸν ἐκείνων τύπον διατηροῦντες. Διὰ τοῦτο καὶ κοινῇ πᾶσι τὴν εἰρήνην ἐπιλέγομεν εἰσιόντες εὐθέως, κατὰ τὸν νόμον ἐκεῖνον. Μηδεὶς τοίνυν*

---

38. Ἠσ. 52, 7. Να. 2, 1. Ρωμ. 10, 15.
39. Ἠσ. 52, 7.
40. Ἰω. 14, 27.

ποστόλους, ἀλλὰ καὶ διὰ τοὺς μεταγενεστέρους ἁγίους. Ἂς γενώμεθα λοιπὸν ἄξιοι διὰ νὰ τοὺς ὑποδεχθῶμεν. Διότι ἀναλόγως πρὸς τὴν διάθεσιν αὐτῶν ποὺ τοὺς ὑποδέχονται ἔρχεται καὶ ἡ εἰρήνη πρὸς αὐτοὺς ἢ καὶ φεύγει πάλιν. Οὔτε πάλιν βέβαια ἐξαρτᾶται τοῦτο μόνον ἀπὸ τὴν παρρησίαν αὐτῶν ποὺ διδάσκουν, ἀλλὰ καὶ ἀπὸ τὴν ἀξίαν αὐτῶν ποὺ τὸ δέχονται. Καὶ οὔτε νὰ νομίζωμεν ὅτι εἶναι μικρὰ ἡ ζημία ἐὰν δὲν ἀπολαύσωμεν αὐτὴν τὴν εἰρήνην. Διότι αὐτὴν ἀκριβῶς τὴν εἰρήνην προλέγει καὶ ὁ προφήτης λαμβάνων τὴν ἐντολὴν ἀπὸ τὸν Θεὸν καὶ λέγων· «Πόσον ὡραῖα εἶναι τὰ πόδια ἐκείνων ποὺ κηρύσσουν τὸ χαρμόσυνον ἄγγελμα διὰ τὴν εἰρήνην»[38]. Ἀκολούθως ἐπεξηγῶν τὴν ἀνωτερότητα αὐτῆς τῆς εἰρήνης προσέθεσε· «αὐτῶν ποὺ κηρύσσουν τὰ ἀγαθά»[39]. Αὐτὴν τὴν εἰρήνην ἀπέδειξε καὶ ὁ Χριστὸς ὡς πάρα πολὺ σπουδαίαν λέγων τὰ ἑξῆς· «Σᾶς ἀφήνω εἰρήνην, σᾶς δίδω τὴν ἰδικήν μου εἰρήνην»[40]. Καὶ πρέπει νὰ πράττωμεν τὰ πάντα, ὥστε ν' ἀπολαμβάνωμεν αὐτὴν καὶ εἰς τὰς οἰκίας μας καὶ εἰς τὴν ἐκκλησίαν. Καθόσον καὶ ὁ προϊστάμενος εἰς τὴν ἐκκλησίαν δίδει εἰρήνην. Καὶ αὐτὸ ἀποτελεῖ τύπον ἐκείνου καὶ πρέπει νὰ τὸν ὑποδεχώμεθα μὲ ὅλην μας τὴν προθυμίαν καὶ τὴν διάθεσίν μας πρὶν ἀπὸ τὴν τράπεζαν. Διότι ἐὰν εἶναι πολὺ βαρὺ παράπτωμα τὸ νὰ μὴ τοῦ προσφέρωμεν τὴν τροφὴν ἀπὸ τὴν τράπεζάν μας πόσον περισσότερον βαρύτερον παράπτωμα θὰ ἦτο δυνατὸν νὰ εἶναι τὸ νὰ μὴ δεχθῶμεν τὸν εὐαγγελιζόμενον τὴν εἰρήνην; Πρὸς χάριν σου ὑπάρχει ὁ πρεσβύτερος καὶ πρὸς χάριν σου ἔρχεται ὁ διδάσκαλος καὶ κοπιάζει καὶ ταλαιπωρεῖται. Ποίαν λοιπὸν δικαιολογίαν θὰ ἔχῃς διὰ τὸ ὅτι δὲν τὸν δέχεσαι οὔτε καὶ νὰ τὸν ἀκούσῃς; Καθόσον ἡ ἐκκλησία εἶναι κοινὴ οἰκία ὅλων καὶ πρὶν ἀπὸ σᾶς εἰσήλθαμεν ἡμεῖς, συνεχίζοντες τὸ ἀποστολικὸν ἀξίωμα. Διὰ τοῦτο δὲ καὶ μόλις εἰσερχόμεθα ἀμέσως ἀπὸ κοινοῦ ἐπικαλούμεθα πρὸς ὅλους τὴν εἰρήνην, συμφώνως πρὸς τὴν ἐντολὴν ποὺ μᾶς ἐδόθη. Ἐπομένως κανεὶς ἂς μὴ δείξῃ ὀκνηρίαν, οὔτε ἀμφι-

ἔστω ῥάθυμος, μηδεὶς μετέωρος, εἰσελθόντων τῶν ἱερέων καὶ διδασκόντων· οὐδὲ γὰρ μικρὰ ἐπὶ τούτῳ κεῖται κόλασις. Καὶ γὰρ βουλοίμην ἂν ἔγωγε μυριάκις εἰς οἰκίαν τινὸς ὑμῶν εἰσελθὼν ἐξαπορηθῆναι, ἢ ἐνταῦθα λέγων μὴ ἀκουσθῆναι.
5 *Τοῦτο ἐμοὶ φορτικώτερον ἐκείνου· ἐπειδὴ καὶ κυριωτέρα αὕτη ἡ οἰκία. Καὶ γὰρ τὰ μεγάλα ἡμῶν ἐνταῦθα κεῖται κτήματα· ἐνταῦθα ἡμῶν αἱ ἐλπίδες πᾶσαι. Τί γὰρ οὐχὶ ἐνταῦθα μέγα καὶ φρικῶδες; Καὶ γὰρ ἡ τράπεζα αὕτη πολλῷ τιμιωτέρα καὶ ἡδίων, καὶ ἡ λυχνία τῆς λυχνίας. Καὶ ἴσασιν ὅσοι*
10 *μετὰ πίστεως καὶ εὐκαίρως ἐλαίῳ χρισάμενοι νοσήματα ἔλυσαν. Καὶ τὸ κιβώτιον δὲ τοῦτο ἐκείνου τοῦ κιβωτίου πολλῷ βέλτιον καὶ ἀναγκαιότερον· οὐ γὰρ ἱμάτια, ἀλλ' ἐλεημοσύνην ἔχει συγκεκλεισμένην, εἰ καὶ ὀλίγοι εἰσὶν οἱ κεκτημένοι. Ἐνταῦθα καὶ κλίνη ἐκείνης βελτίων· ἡ γὰρ τῶν*
15 *θείων Γραφῶν ἀνάπαυσης πάσης κλίνης ἡδίων ἐστί. Καὶ εἰ καλῶς ἦν ἡμῖν (τὰ τῆς ὁμονοίας κατωρθωμένα), οὔτ' ἂν ἑτέραν ἔσχομεν παρὰ ταύτην οἰκίαν.*

Καὶ ὅτι οὐ φορτικὸν τὸ εἰρημένον, μαρτυροῦσιν οἱ τρισχίλιοι καὶ οἱ πεντακισχίλιοι, καὶ οἰκίαν καὶ τράπεζαν καὶ
20 *ψυχὴν ἐσχηκότες μίαν· «Τοῦ γὰρ πλήθους τῶν πιστευσάντων», φησίν, «ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία». Ἐπειδὴ δὲ πολὺ τῆς ἐκείνων ἀποδέομεν ἀρετῆς, καὶ διῳκίσμεθα κατὰ τὰς οἰκίας, κἄν, ἡνίκα ἐνθάδε συλλεγόμεθα, μετὰ προθυμίας τοῦτο ποιῶμεν. Εἰ γὰρ ἐν τοῖς ἄλλοις πτωχοὶ καὶ πένητές*

41. Πράξ. 4, 32.

ταλάντευσιν ὅταν θὰ εἰσέλθουν οἱ ἱερεῖς καὶ θὰ διδάσκουν, διότι δὲν εἶναι μικρὰ ἡ τιμωρία ποὺ ἐπιφυλάσσεται δι' αὐτὸ τὸ παράπτωμα. Καὶ βεβαίως θὰ ἐπεθύμουν ἐγὼ τουλάχιστον μυρίας φορὰς νὰ εἰσέλθω εἰς τὴν οἰκίαν κάποιου ἀπὸ σᾶς καὶ νὰ στερηθῶ τὸ κάθε τι ἐκ μέρους σας παρὰ νὰ μὴ ἀκούσετε αὐτὰ ποὺ σᾶς λέγω ἐδῶ εἰς τὴν ἐκκλησίαν. Αὐτὸ δι' ἐμὲ εἶναι περισσότερον βαρὺ ἀπὸ ἐκεῖνο, ἐπειδὴ εἶναι καὶ σπουδαιοτέρα αὐτὴ ἡ οἰκία. Καθόσον τὰ μεγάλα κοσμήματά μας εὑρίσκονται ἐδῶ, καὶ ἐδῶ εἶναι ἐναποτιθεμέναι ὅλαι αἱ ἐλπίδες μας. Διότι πράγματι ποῖον πρᾶγμα ἐδῶ μέσα δὲν εἶναι σπουδαῖον καὶ φρικῶδες; Καθόσον αὐτὴ ἡ τράπεζα εἶναι πολὺ πιὸ τιμία καὶ πολὺ πιὸ γλυκεῖα, καθὼς καὶ ἡ λυχνία ἀπὸ τὴν λυχνίαν ἐκείνην. Καὶ αὐτὸ τὸ γνωρίζουν ὅσοι ἐθεράπευσαν τὰ νοσήματά των ἀφοῦ προσῆλθαν μὲ πίστιν καὶ εἰς κατάλληλον χρόνον καὶ ἠλείφθησαν μὲ τὸ ἔλαιον. Καὶ αὐτὸ τὸ κιβώτιον εἶναι πολὺ πιὸ καλύτερον καὶ ἀναγκαιότερον ἀπὸ τὸ κιβώτιον ἐκεῖνο· διότι δὲν περιέχει ἐνδύματα ἀλλὰ ἐλεημοσύνην, ἂν καὶ εἶναι ὀλίγοι αὐτοὶ ποὺ τὴν ἔχουν ὡς κτῆμά των. Ἐδῶ ὑπάρχει καὶ κλίνη ποὺ εἶναι καλυτέρα ἀπὸ ἐκείνην τῆς οἰκίας μας, διότι ἡ μελέτη τῶν θείων Γραφῶν εἶναι γλυκυτέρα ἀπὸ ὁποιανδήποτε ἄλλην κλίνην. Καὶ ἐὰν μὲν ἔφθανεν ἡ μεταξύ μας ὁμόνοια εἰς μεγάλον βαθμὸν δὲν θὰ ἐχρειαζόμεθα ἄλλην οἰκίαν ἐκτὸς ἀπὸ αὐτήν.

Καὶ ὅτι δὲν ἀποτελεῖ βαρὺ φορτίον αὐτὸ ποὺ ἔχει λεχθῆ τὸ ἐπιβεβαιώνουν αἱ τρεῖς χιλιάδες καὶ αἱ πέντε χιλιάδες ἄνθρωποι, οἱ ὁποῖοι εἶχαν καὶ μίαν οἰκίαν καὶ τράπεζαν καὶ μίαν ψυχήν. Διότι, λέγει, «Ὅλοι ὅσοι ἐπίστευσαν εἰς τὸν Χριστὸν εἶχαν μίαν καρδίαν καὶ μίαν ψυχήν»[41]. Ἐπειδὴ ὅμως ὑστεροῦμεν κατὰ πολὺ ὡς πρὸς τὴν ἀρετὴν ἔναντι ἐκείνων, καὶ διαμένει ὁ καθένας εἰς τὴν ἰδικήν του οἰκίαν, τουλάχιστον ὅταν συγκεντρωνώμεθα εἰς τὸν χῶρον αὐτὸν ἂς τὸ κάμνωμεν αὐτὸ μὲ προθυμίαν. Διότι ἐὰν μὲν ὡς πρὸς τὰ ἄλλα εἴμεθα πτωχοὶ καὶ πένητες, ὡς πρὸς αὐτὰ ὅμως

ἐσμεν, ἀλλ' ἐν τούτοις πλούσιοι. Διὸ κἂν ἐνταῦθα δέξασθε μετὰ ἀγάπης εἰσιόντας ἡμᾶς πρὸς ὑμᾶς. Καὶ ὅταν εἴπω, «Εἰρήνη ὑμῖν», εἶτα εἴπητε, «Καὶ τῷ πνεύματί σου»· μὴ τῇ φωνῇ μόνον, ἀλλὰ καὶ τῇ γνώμῃ λέγετε· μὴ τῷ στόματι,
5 *ἀλλὰ καὶ τῇ διανοίᾳ. Ἂν δὲ ἐνταῦθα μὲν λέγῃς, εἰρήνη καὶ τῷ πνεύματί σου, ἔξω δέ μοι πολεμῇς διαπτύων καὶ κακηγορῶν, μυρίοις λάθρα πλύνων ὀνείδεσι, ποία εἰρήνη αὕτη; Ἐγὼ μὲν γάρ, κἂν μυριάκις κακηγορήσῃς, μετὰ καθαρᾶς καρδίας τὴν εἰρήνην σοι δίδωμι, μετὰ εἰλικρινοῦς*
10 *γνώμης, καὶ πονηρὸν οὐδὲν δύναμαί ποτε περὶ σοῦ εἰπεῖν· σπλάγχνα γὰρ ἔχω πατρικά. Κἂν ἐπιπλήξω ποτέ, κηδόμενος τοῦτο ποιῶ. Σὺ δὲ λάθρα δάκνων, καὶ μὴ δεχόμενός με ἐν τῇ δεσποτικῇ οἰκίᾳ, δέδοικα μὴ πάλιν μοι τὴν ἀθυμίαν αὐξήσῃς· οὐκ ἐπειδὴ ὕβρισας, οὐδὲ ἐπειδὴ ἐξέβαλες, ἀλλ'*
15 *ἐπειδὴ τὴν εἰρήνην ἀπεκρούσω, καὶ τὴν χαλεπὴν ἐπεσπάσω κόλασιν. Κἂν γὰρ μὴ ἐκτινάξω τὸν κονιορτὸν ἐγώ, κἂν μὴ ἀποστραφῶ, τὰ τῆς ἀπειλῆς ἀκίνητα μένει. Ἐγὼ μὲν γὰρ ἐπιλέγω πολλάκις ὑμῖν εἰρήνην, καὶ ἀεὶ τοῦτο λέγων οὐ παύσομαι· ἂν δὲ μετὰ τῶν ὕβρεων καὶ μὴ δέξησθε, οὐδὲ*
20 *οὕτω τὸν κονιορτὸν ἐκτινάσσω· οὐκ ἐπειδὴ παρακούω τοῦ Δεσπότου, ἀλλ' ἐπειδὴ σφόδρα ὑμῶν ἐκκαίομαι. Ἄλλως δὲ οὐδὲ ἔπαθόν τι δι' ὑμᾶς· οὔτε μακρὰν ἦλθον ἀποδημίαν, οὐδὲ μετὰ τοῦ σχήματος ἐκείνου καὶ τῆς ἀκτημοσύνης ἦλθον (διὰ τοῦτο πρότερον ἑαυτοῖς ἐγκαλοῦμεν), οὐδὲ χωρὶς ὑπο-*
25 *δημάτων καὶ δευτέρου χιτῶνος· διὰ τοῦτο τάχα καὶ τὰ παρ' ὑμῶν ἐλλιμπάνετε. Πλὴν ἀλλ' οὐκ ἀρκεῖ τοῦτο ὑμῖν εἰς ἀ-*

εἴμεθα πλούσιοι. Διὰ τοῦτο καὶ νὰ μᾶς ὑποδέχεσθε μὲ ἀγάπην ὅταν τοὐλάχιστον συναντώμεθα ἐδῶ. Καὶ ὅταν σᾶς λέγω, «Εἰρήνη εἰς σᾶς», ἡ ἀπάντησίς σας νὰ εἶναι, «καὶ εἰς τὸ ἰδικόν σου πνεῦμα»· καὶ νὰ μὴ τὸ λέγετε δὲ μόνον μὲ τὰ λόγια, ἀλλὰ καὶ μὲ ὅλην τὴν διάθεσίν σας· ὄχι μόνον μὲ τὸ στόμα, ἀλλὰ καὶ μὲ τὴν διάνοιάν σας. Ἂν δὲ ἐδῶ μὲν μοῦ λέγῃς «Ἂς ἔχῃ εἰρήνην τὸ πνεῦμά σου», ἐνῷ ἔξω μὲ πολεμῇς μὲ τὸ νὰ μὲ περιφρονῇς καὶ νὰ μὲ κατηγορῇς, καὶ νὰ μὲ περιλούζῃς κρυφίως μὲ ἀμετρήτους τὸν ἀριθμὸν ὕβρεις, τί λογῆς εἰρήνη εἶναι αὐτή; Διότι ἐγὼ μέν, καὶ ἂν μὲ κατηγορήσῃς ἀμετρήτους φοράς, σοῦ ἀνταποδίδω τὴν εἰρήνην μὲ καθαρὰν καρδίαν, μὲ εἰλικρινῆ διάθεσιν, καὶ δὲν ἠμπορῶ ποτὲ νὰ εἰπῶ διὰ σὲ τίποτε τὸ πονηρόν, διότι ἔχω σπλάγχνα πατρικά. Καὶ ἂν τύχῃ ποτὲ καὶ σὲ ἐπιπλήξω, τὸ πράττω αὐτὸ ἀπὸ ἐνδιαφέρον. Σὺ ὅμως μὲ δαγκώνεις μὲ ὕπουλον τρόπον καὶ ἐπειδὴ δὲν μὲ δέχεσαι εἰς τὴν οἰκίαν τοῦ Κυρίου φοβοῦμαι μὴ τυχὸν καὶ πάλιν αὐξήσῃς τὴν λύπην μου· φυσικὰ ὄχι ἐπειδὴ μὲ ὕβρισες, οὔτε ἐπειδὴ μὲ ἐξεδίωξες, ἀλλ' ἐπειδὴ ἀπέρριψες τὴν εἰρήνην καὶ ἐπέσυρες ἐναντίον σου τὴν φοβερὰν ἐκείνην τιμωρίαν. Διότι καὶ ἂν ἀκόμη ἐγὼ δὲν ἐκτινάξω τὴν σκόνην, καὶ ἂν ἀκόμη δὲν σὲ ἀποστραφῶ, ἡ ὅλη ἀπειλή σου παραμένει ἀκλόνητος. Ἐγὼ βέβαια σᾶς εὔχομαι πολλὰς φορὰς εἰρήνην καὶ δὲν θὰ παύσω νὰ τὸ κάνω αὐτὸ συνεχῶς. Ἂν ὅμως μαζὶ μὲ τὰς ὕβρεις σας δὲν τὴν ἀποδέχεσθε καὶ αὐτήν, οὔτε καὶ πάλιν ἐκτινάσσω τὴν σκόνην· ὄχι ἀσφαλῶς ἐπειδὴ δὲν ὑπακούω εἰς τὴν προσταγὴν τοῦ Κυρίου, ἀλλ' ἐπειδὴ μὲ κατακαίει τὸ ἐνδιαφέρον μου διὰ σᾶς. Ἐξ ἄλλου δὲν ἔπαθα ἐξ αἰτίας σας τίποτε. Οὔτε ἐταξίδευσα πολὺ μακρὰν διὰ νὰ σᾶς εὕρω, οὔτε ἦλθα μὲ τὴν περιβολὴν ἐκείνου καὶ τὴν ἀκτημοσύνην (καὶ ἀκριβῶς δι' αὐτὸ κατ' ἀρχὴν κατηγοροῦμεν τοὺς ἑαυτούς μας), οὔτε ἦλθα χωρὶς ὑποδήματα καὶ δεύτερον χιτῶνα· καὶ ἴσως δι' αὐτὸν τὸν λόγον συμπεριφέρεσθε κατ' αὐτὸν τὸν τρόπον. Πλὴν ὅμως δὲν ἀποτελεῖ αὐτὸ ἀρκετὴν

πολογίαν· ἀλλ' ἡμῖν μὲν τὸ κρίμα μεῖζον, ὑμῖν δὲ συγγνώμης οὐ μεταδίδωσι.

7. *Τότε αἱ οἰκίαι ἐκκλησίαι ἦσαν, νῦν δὲ ἡ ἐκκλησία οἰκία γέγονεν. Οὐδὲν ἦταν τότε ἐν οἰκίᾳ λαλῆσαι βιωτικόν·*
5 *οὐδέν ἐστι νῦν ἐν ἐκκλησίᾳ πνευματικὸν εἰπεῖν, ἀλλὰ καὶ ἐνταῦθα τὰ ἐκ τῆς ἀγορᾶς ἐπεισάγετε· καὶ τοῦ Θεοῦ διαλεγομένου, ἀφέντες τὸ σιγῇ τῶν λεγομένων ἀκούειν, τἀναντία φέροντες συμβάλλετε πράγματα· καὶ εἴθε τὰ ὑμέτερα· νυνὶ δὲ τὰ μηδὲν ὑμῖν προσήκοντα καὶ λέγετε καὶ ἀ-*
10 *κούετε. Διὰ ταῦτα θρηνῶ, καὶ θρηνῶν οὐ παύσομαι. Οὐδὲ γάρ εἰμι κύριος τὴν οἰκίαν ἀμεῖψαι ταύτην, ἀλλ' ἐνταῦθα ἀνάγκη μένειν, ἕως ἂν ἐκ τοῦ παρόντος ἐξέλθωμεν βίου. Χωρήσατε τοίνυν ὑμᾶς, καθὼς ὁ Παῦλος ἐκέλευσεν. Οὐδὲ γὰρ περὶ τραπέζης ἐκεῖ τὸ εἰρημένον ἦν αὐτῷ, ἀλλὰ περὶ*
15 *γνώμης καὶ διανοίας. Τοῦτο καὶ ἡμεῖς παρ' ὑμῶν ζητοῦμεν, τὴν ἀγάπην, τὴν φιλίαν τὴν θερμὴν ἐκείνην καὶ γνησίαν. Εἰ δὲ οὐδὲ τοῦτο ἀνέχεσθε, κἂν ὑμᾶς αὐτοὺς φιλήσατε, τὴν παροῦσαν ἀποτιθέμενοι ῥᾳθυμίαν. Ἀρκεῖ τοῦτο εἰς παραμυθίαν ἡμῖν, ἂν ἴδωμεν εὐδοκιμοῦντας καὶ γενομένους βελτί-*
20 *ους ὑμᾶς. Οὕτω καὶ αὐτὸς μείζονα ἐπιδείξομαι τὴν ἀγάπην. «Εἰ καὶ περισσότερον ἀγαπῶν, ἧττον ἀγαπῶμαι». Καὶ γὰρ πολλὰ ἡμᾶς ἐστι τὰ συνάγοντα· μία τράπεζα πρόκειται πᾶσιν, εἷς ἐγέννησεν ἡμᾶς Πατήρ, τὰς αὐτὰς πάντες ἐλύσαμεν ὠδῖνας, τὸ αὐτὸ ποτὸν ἅπασι δέδοται· μᾶλλον δὲ οὐ μόνον τὸ*
25 *αὐτὸ ποτόν, ἀλλὰ καὶ ἐξ ἑνὸς ποτηρίου πίνειν. Ὁ γὰρ Πα-*

---

42. Π ρβλ. Β' Κορ. 7, 2.
43. Β' Κορ. 12, 15.

δικαιολογίαν διὰ σᾶς. Καὶ εἶναι βέβαια μεγάλο τὸ κρίμα εἰς ἡμᾶς, πλὴν ὅμως δὲν δίδει συγχώρησιν εἰς σᾶς.

7. Παλαιότερον αἱ οἰκίαι ἦσαν ἐκκλησίαι, σήμερα ὅμως ἡ ἐκκλησία κατήντησεν οἰκία. Καὶ τότε δὲν ἦτο δυνατὸν ν' ἀναφέρῃ κανεὶς ἐντὸς τῆς οἰκίας τίποτε τὸ ὑλικόν, σήμερα ὅμως δὲν ὑπάρχει τίποτε τὸ πνευματικὸν ποὺ νὰ ἠμπορῇ νὰ τὸ ἀναφέρῃ ἐντὸς τῆς ἐκκλησίας, ἀλλὰ καὶ ἐδῶ μέσα ἔχετε εἰσαγάγει τὰς συζητήσεις τῆς ἀγορᾶς. Καὶ ἐνῷ ὁμιλεῖ ὁ Θεός, ἐγκαταλείψαντες τὴν συνήθειαν νὰ ἀκούετε μὲ σιωπὴν τὰ λεγόμενα, συμβάλλετε εἰς τὸ ἐντελῶς ἀντίθετον μὲ τὸ νὰ συζητῆτε τὰς ἰδικάς σας ὑποθέσεις· καὶ μακάρι νὰ ἦσαν ἰδικαί σας ὑποθέσεις. Τώρα ὅμως καὶ λέγετε καὶ ἀκούετε αὐτὰ ποὺ δὲν εἶναι καθόλου πρέποντα. Καὶ ἀκριβῶς δι' αὐτὸ θρηνῶ καὶ δὲν θὰ παύσω ποτὲ νὰ θρηνῶ. Οὔτε βέβαια ἠμπορῶ νὰ ἐγκαταλείψω αὐτὴν τὴν οἰκίαν, ἀλλ' εἶμαι ὑποχρεωμένος νὰ μείνω ἐδῶ μέχρις ὅτου φύγω ἀπὸ αὐτὴν τὴν ζωήν. Ἀνοίξατε λοιπὸν χῶρον εἰς τὰς καρδίας σας καὶ δι' ἡμᾶς[42], ὅπως ἔδωσεν ἐντολὴν ὁ Παῦλος. Οὔτε βέβαια εἰς τὴν περίπτωσιν ἐκείνην ὁ λόγος του ἐσήμαινε τὴν τράπεζαν, ἀλλὰ ἀνεφέρετο εἰς τὴν διάθεσιν καὶ τὴν διάνοιαν τοῦ ἀνθρώπου. Αὐτὸ καὶ ἡμεῖς ζητοῦμεν ἀπὸ σᾶς, τὴν ἀγάπην, δηλαδή, καὶ τὴν θερμὴν ἐκείνην καὶ γνησίαν φιλίαν. Ἐὰν ὅμως οὔτε καὶ αὐτὸ τὸ ἀνέχεσθε, τοὐλάχιστον δείξατε ἀγάπην διὰ τοὺς ἑαυτούς σας, ἀφοῦ ἀποβάλετε ἀπὸ ἐπάνω σας τὴν παροῦσαν ὀκνηρίαν σας. Εἶναι ἀρκετὸν αὐτὸ διὰ νὰ μᾶς παρηγορήσῃ, ἐὰν ἰδοῦμεν νὰ προοδεύτε καὶ νὰ γίνεσθε καλύτεροι. Ἔτσι θὰ ἐπιδείξω καὶ ἐγὼ μεγαλυτέραν ἀγάπην, «Ἂν καὶ σᾶς ἀγαπῶ περισσότερον, ἀγαπῶμαι ὀλιγώτερον ἀπὸ σᾶς»[43]. Καὶ βέβαια εἶναι πολλὰ ἐκεῖνα ποὺ μᾶς ἑνώνουν. Μία τράπεζα εὑρίσκεται ἔμπροσθεν ὅλων μας, εἷς Πατὴρ μᾶς ἐγέννησεν, ἀπὸ τοὺς αὐτοὺς πόνους τοῦ τοκετοῦ ἐγεννήθημεν ὅλοι, τὸ ἴδιο ποτὸν ἐδόθη εἰς ὅλους μας, ἢ καλύτερα ὄχι μόνον τὸ ἴδιο ποτόν, ἀλλὰ καὶ ἀπὸ τὸ ἴδιο ποτήριον τὸ πίνομεν. Διότι ὁ Πατήρ,

τήρ, βουλόμενος ἡμᾶς εἰς φιλοστοργίαν ἀγαγεῖν, καὶ τοῦτο ἐμηχανήσατο, ἐξ ἑνὸς ποτηρίου πίνειν ἡμᾶς· ὅπερ ἐπιτεταμένης ἐστὶν ἀγάπης.

Ἀλλ' οὐκ ἐσμὲν ἄξιοι τῶν ἀποστόλων ἡμεῖς. Ὁμολογῶ
5 κἀγώ, καὶ οὐκ ἄν ποτε ἀρνηθείην. Οὐ γὰρ μόνον ἐκείνων, ἀλλ' οὐδὲ τῆς σκιᾶς ἄξιοι τῆς ἐκείνων ἡμεῖς. Ἀλλ' ὅμως τὰ παρ' ὑμῶν γινέσθω. Οὐδὲν ὑμᾶς τοῦτο καταισχῦναι δυνήσεται, ἀλλὰ καὶ ὠφελῆσαι μειζόνως. Ὅταν γὰρ καὶ περὶ ἀναξίους τοσαύτην ἐπιδείξησθε τὴν ἀγάπην καὶ τὴν ὑπακο-
10 ήν, τότε μείζονα λήψεσθε τὴν ἀνταπόδοσιν. Οὐδὲ γὰρ τὰ ἡμέτερα λέγομεν· ἐπεὶ μηδέ ἐστιν ὑμῖν διδάσκαλος ἐπὶ τῆς γῆς· ἀλλ' ἃ παρελάβομεν, καὶ διδόαμεν, καὶ διδόντες οὐδὲν πλέον ἐπιζητοῦμεν παρ' ὑμῶν, ἀλλ' ἢ τὸ φιλεῖσθαι μόνον. Εἰ δὲ ἀνάξιοι καὶ τούτου, ἀλλ' ἀπὸ τοῦ φιλεῖν ὑμᾶς ἄξιοι
15 ταχέως ἐσόμεθα. Καίτοιγε προσετάγημεν, μὴ τοὺς φιλοῦντας φιλεῖν μόνον, ἀλλὰ καὶ τοὺς ἐχθρούς. Τίς οὖν οὕτως ἀπηνής, τίς οὕτως ἄγριος, ὃς τοιοῦτον δεξάμενος νόμον, καὶ τοὺς φιλοῦντας ἀποστραφήσεται καὶ μισήσει, κἂν μυρίων κακῶν ἀνάμεστος ᾖ; Ἐκοινωνήσαμεν τραπέζης πνευματικῆς·
20 κοινωνήσωμεν καὶ ἀγάπης πνευματικῆς· Εἰ γὰρ λησταί, κοινωνοῦντες ἁλῶν, ἐπιλανθάνονται τοῦ τρόπου, τίνα ἕξομεν ἀπολογίαν ἡμεῖς, σώματος ἀεὶ δεσποτικοῦ μετέχοντες, καὶ οὐδὲ τὴν ἐκείνων μιμούμενοι ἡμερότητα; Καίτοιγε πολλοῖς οὐχὶ τράπεζα μόνον, ἀλλὰ καὶ τὸ πόλεως εἶναι μιᾶς
25 ἤρκεσεν εἰς φιλίαν· ἡμεῖς δέ, ὅταν καὶ πόλιν τὴν αὐτὴν ἔχωμεν καὶ οἰκίαν τὴν αὐτὴν καὶ τράπεζαν καὶ ὁδὸν καὶ

ἐν τῇ ἐπιθυμίᾳ του νὰ μᾶς καταστήσῃ φιλοστόργους, ἐπενόησε καὶ αὐτό, τὸ νὰ πίνωμεν δηλαδὴ ἀπὸ τὸ ἴδιο ποτήριον, πρᾶγμα ποὺ εἶναι γνώρισμα ὑπερβολικῆς ἀγάπης.

Ἀλλ' ὅμως ἡμεῖς δὲν εἴμεθα ἄξιοι τῶν ἀποστόλων. Τὸ ὁμολογῶ καὶ ἐγὼ καὶ ποτὲ δὲν θὰ τὸ ἀρνηθῶ. Ὄχι μόνον ἐκείνων, ἀλλ' οὔτε τῆς σκιᾶς ἐκείνων εἴμεθα ἡμεῖς ἄξιοι. Παρὰ ταῦτα ὅμως κάμετε αὐτὸ ποὺ ἠμπορεῖτε. Διότι αὐτὸ δὲν θὰ ἠμπορέσῃ ὡς πρὸς τίποτε νὰ σᾶς ἐντροπιάσῃ, ἀλλ' ἀντιθέτως καὶ θὰ σᾶς ὠφελήσῃ εἰς πολὺ μεγάλον βαθμόν. Διότι ὅταν ἐπιδείξετε τόσον μεγάλην ἀγάπην καὶ ὑπακοὴν καὶ πρὸς ἀναξίους, τότε ἡ ἀμοιβὴ ποὺ θὰ λάβετε θὰ εἶναι πολὺ πιὸ μεγάλη. Διότι αὐτὰ ποὺ κηρύσσομεν δὲν εἶναι ἰδικά μας, καθόσον δὲν ὑπάρχει οὔτε διδάσκαλος διὰ σᾶς ἐπάνω εἰς τὴν γῆν, ἀλλ' αὐτὰ ποὺ παρελάβαμεν, αὐτὰ καὶ διδάσκομεν, καὶ διδάσκοντές τα δὲν ζητοῦμεν ἀπὸ σᾶς τίποτε τὸ ἐπὶ πλέον, παρὰ μόνον τὸ νὰ μᾶς ἀγαπᾶτε. Ἐὰν δὲ εἴμεθα ἀνάξιοι καὶ τῆς ἀγάπης σας, ὁπωσδήποτε θὰ γίνωμεν πολὺ σύντομα ἄξιοι ἐξ αἰτίας τῆς ἀγάπης μας πρὸς σᾶς, παρὰ τὸ γεγονὸς βέβαια ὅτι ἐλάβαμεν ἐντολὴν νὰ μὴ ἀγαπῶμεν μόνον αὐτοὺς ποὺ μᾶς ἀγαποῦν, ἀλλὰ καὶ τοὺς ἐχθρούς. Ποῖος λοιπὸν εἶναι τόσον σκληρός, ποῖος εἶναι τόσον ἄγριος, ὁ ὁποῖος θὰ θελήσῃ, ἂν καὶ ἔλαβε τοιοῦτον νόμον, καὶ ν' ἀποστραφῇ αὐτοὺς ποὺ τὸν ἀγαποῦν καὶ νὰ τοὺς μισήσῃ, καὶ ἂν ἀκόμη εἶναι γεμᾶτος ἀπὸ ἄπειρα κακά; Ἐγίναμεν κοινωνοὶ τῆς πνευματικῆς τραπέζης· ἂς γίνωμεν κοινωνοὶ καὶ τῆς πνευματικῆς ἀγάπης. Διότι ἐὰν οἱ λησταί, παρακαθήμενοι εἰς τὴν αὐτὴν τράπεζαν, λησμονοῦν τὴν ὅλην ἀπανθρωπίαν των, ποίαν δικαιολογίαν θὰ ἔχωμεν ἡμεῖς, ποὺ μετέχομεν συνεχῶς τοῦ σώματος τοῦ Κυρίου, ἀλλ' ὅμως δὲν μιμούμεθα οὔτε τὴν ἡμερότητα ἐκείνων; Ἂν καὶ βέβαια εἰς πολλοὺς ὄχι μόνον ἡ συμμετοχὴ εἰς τὴν κοινὴν τράπεζαν, ἀλλὰ καὶ τὸ ὅτι κατάγονται ἀπὸ τὴν ἰδίαν πόλιν ἤρκεσε διὰ νὰ συνάψουν φιλίαν. Ἡμεῖς ὅμως, ὅταν ἔχωμεν καὶ τὴν αὐτὴν πόλιν καὶ τὴν ἰδίαν οἰκίαν καὶ τράπεζαν καὶ

θύραν καὶ ῥίζαν καὶ ζωὴν καὶ κεφαλὴν καὶ ποιμένα τὸν αὐτὸν καὶ βασιλέα καὶ διδάσκαλον καὶ κριτὴν καὶ δημιουργὸν καὶ Πατέρα καὶ πάντα ἡμῖν ᾖ κοινά, τίνος ἂν εἴημεν συγγνώμης ἄξιοι, ἀπ' ἀλλήλων διαιρούμενοι;

5 *Ἀλλὰ τὰ σημεῖα ἐπιζητεῖτε, ἅπερ εἰσιόντες ἐποίουν ἐκεῖνοι, τοὺς λεπροὺς τοὺς καθαιρουμένους, καὶ τοὺς δαίμονας τοὺς ἐλαυνομένους καὶ τοὺς ἐγειρομένους νεκρούς; Ἀλλὰ καὶ τοῦτο τῆς εὐγενείας ὑμῶν μέγιστον δεῖγμα καὶ τῆς ἀγάπης, τὸ μὴ μετ' ἐνεχύρων πιστεύειν τῷ Θεῷ. Καὶ* 10 *γὰρ καὶ διὰ τοῦτο καὶ δι' ἕτερον τὰ σημεῖα ἔπαυσεν ὁ Θεός. Εἰ γάρ, οὐ γινομένων σημείων, οἱ πλεονεκτήμασιν ἑτέροις κομῶντες, οἷον ἢ λόγῳ σοφίας, ἢ εὐλαβείας ἐπιδείξει, κενοδοξοῦσιν, ἐπαίρονται, ἀπ' ἀλλήλων σχίζονται· εἰ καὶ σημεῖα ἐγένοντο, ποῦ οὐκ ἂν ἐγένετο ῥήγματα; Καὶ ὅτι οὐ* 15 *στοχασμὸς τὸ εἰρημένον, μαρτυροῦσι Κορίνθιοι εἰς πολλὰ ἐντεῦθεν διαιρεθέντες μέρη.*

Μὴ δὴ σημεῖα ζήτει, ἀλλὰ ψυχῆς ὑγείαν. Μὴ ζήτει νεκρὸν ἕνα ἰδεῖν ἐγειρόμενον· καὶ γὰρ ἔμαθες ὅτι ὁλόκληρος ἡ οἰκουμένη ἀνίσταται. Μὴ ζήτει τυφλὸν ἰδεῖν θερα- 20 *πευόμενον, ἀλλ' ὅρα πάντας ἀναβλέποντας νῦν τὴν βελτίω καὶ χρησιμωτέραν ἀνάβλεψιν· καὶ μάθε καὶ σὺ σωφρόνως ὁρᾶν καὶ διόρθωσαί σου τὸν ὀφθαλμόν. Καὶ γὰρ εἰ πάντες ὡς ἐχρῆν ἐζῶμεν, μᾶλλον ἂν τῶν θαυματουργούντων ἐθαύμασαν ἡμᾶς Ἑλλήνων παῖδες. Τὰ μὲν γὰρ σημεῖα καὶ φαν-* 25 *τασίας ὑπόνοιαν ἔχει πολλάκις, καὶ ἑτέραν πονηρὰν ὑποψίαν, εἰ καὶ τὰ ἡμέτερα οὐ τοιαῦτα· βίος δὲ καθαρὸς οὐ-*

---

44. Πρβλ. Α' Κορ. 1, 1 ἑ.

ὁδὸν καὶ θύραν καὶ ρίζαν καὶ ζωὴν καὶ κεφαλὴν καὶ τὸν αὐτὸν ποιμένα καὶ βασιλέα καὶ διδάσκαλον καὶ κριτὴν καὶ δημιουργὸν καὶ πατέρα καὶ ὅταν ὅλα τὰ ἔχωμεν κοινά, ποίας συγχωρήσεως θὰ ἦτο δυνατὸν νὰ τύχωμεν καθ' ἣν στιγμὴν διαιρούμεθα ὁ ἕνας ἀπὸ τὸν ἄλλον;

Μήπως βέβαια ζητεῖτε τὰ θαύματα, τὰ ὁποῖα ἐνήργουν ἐκεῖνοι ὅταν ἐπεσκέπτοντο τὰ διάφορα μέρη, τοὺς λεπροὺς ποὺ ἐθεραπεύοντο καὶ τοὺς δαίμονας ποὺ ἐξεδιώκοντο καὶ τοὺς νεκροὺς ποὺ ἐγείροντο; Ἀλλὰ καὶ αὐτὸ εἶναι μέγιστον γνώρισμα τῆς εὐγενείας σας καὶ τῆς ἀγάπης σας, τὸ ὅτι δηλαδὴ δὲν πιστεύετε εἰς τὸν Θεὸν ἐπὶ τῇ βάσει ἐγγυήσεων. Καθόσον καὶ δι' αὐτὸν τὸν λόγον καὶ δι' ἄλλον ἐσταμάτησεν ὁ Θεὸς τὰ θαύματα. Διότι ἐάν, χωρὶς νὰ γίνωνται θαύματα, αὐτοὶ ποὺ ὑπερηφανεύονται δι' ἄλλα χαρίσματά των, ὅπως ἐπὶ παραδείγματι εἶναι ἡ σοφία τῶν λόγων των ἢ ἡ ἐπίδειξις τῆς εὐλαβείας των, καταλαμβάνωνται ἀπὸ ματαιοδοξίαν καὶ καυχῶνται καὶ χωρίζωνται μεταξύ των εἰς ὁμάδας, δὲν θὰ συνέβαιναν διαιρέσεις καὶ ἂν ἀκόμη ἐγίνοντο θαύματα; Καὶ τὸ ὅτι αὐτὸ ποὺ σᾶς λέγω δὲν εἶναι ἁπλῆ σκέψις τὸ ἐπιβεβαιώνουν οἱ Κορίνθιοι οἱ ὁποῖοι ἀκριβῶς δι' αὐτὸν τὸν λόγον διῃρέθησαν εἰς πολλὰς ὁμάδας[44].

Μὴ ζητῇς λοιπὸν θαύματα, ἀλλὰ ζήτει τὴν ὑγείαν τῆς ψυχῆς. Μὴ ζητῇς νὰ ἰδῇς ἕνα νεκρὸν νὰ ἀνίσταται, καθόσον ἐδιδάχθης ὅτι ὁλόκληρος ἡ οἰκουμένη ἀνίσταται. Μὴ ζητῇς νὰ ἰδῇς τυφλὸν νὰ θεραπεύεται, ἀλλὰ πρόσεξε ὅλους ποὺ ἀναβλέπουν τώρα τὴν πιὸ ὡραίαν καὶ τὴν πιὸ ὠφέλιμον ἀνάβλεψιν, καὶ μάθε καὶ σὺ νὰ βλέπῃς μὲ σωφροσύνην καὶ προσπάθησε νὰ διορθώσῃς τὸν ὀφθαλμόν σου. Καθόσον βέβαια ἐὰν ὅλοι μας ἐζούσαμεν ὅπως ἔπρεπε, θὰ μᾶς ἐθαύμαζαν τὰ παιδιὰ τῶν εἰδωλολατρῶν περισσότερον ἀπὸ ἐκείνους ποὺ θαυματουργοῦν. Διότι τὰ μὲν θαύματα πολλάκις εἶναι καὶ δημιουργήματα φαντασίας καὶ κάποιας ἄλλης πονηρᾶς ὑποψίας, ἂν καὶ τὰ ἰδικά μας θαύματα δὲν εἶναι τέτοιου εἴδους, ἐνῷ ὁ καθαρὸς βίος δὲν εἶναι δυνατὸν νὰ δε-

δεμίαν τοιαύτην ἐπήρειαν δέξασθαι δύναται· ἀλλὰ πάντων ἐμφράττει τὰ στόματα τῆς ἀρετῆς ἡ κτῆσις.

8. Ταύτης τοίνυν ἐπιμελώμεθα· πολὺς γὰρ αὐτῆς ὁ πλοῦτος, καὶ τὸ θαῦμα μέγα. Αὕτη τὴν ὄντως ἐλευθερίαν
5 *παρέχει, καὶ ἐν τῇ δουλείᾳ ταύτην θεωρεῖσθαι παρασκευάζει, οὐκ ἀπαλλάττουσα τῆς δουλείας, ἀλλὰ δούλους μένοντας ἐλευθέρων ἀποφαίνουσα σεμνοτέρους, ὃ τοῦ δοῦναι ἐλευθερίαν πολλῷ πλέον ἐστίν· οὐ ποιοῦσα πλούσιον τὸν πένητα, ἀλλὰ μένοντα πένητα τοῦ πλουσίου εὐπορώτερον ἀποφαίνου-*
10 *σα. Εἰ δὲ καὶ σημεῖα βούλει ποιεῖν, ἀπαλλάγηθι πλημμελημάτων, καὶ τὸ πᾶν ἤνυσας. Καὶ γὰρ μέγας δαίμων ἡ ἁμαρτία, ἀγαπητέ· κἂν ταύτην ἐξέλῃς, τῶν μυρίους δαίμονας ἐλαυνόντων μεῖζον εἰργάσω.*

Ἄκουσον Παύλου λέγοντος, καὶ τὴν ἀρετὴν τῶν θαυ-
15 *μάτων προτιθέντος· «Ζηλοῦτε δέ», φησί, «τὰ χαρίσματα τὰ κρείττονα· καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι»· καὶ μέλλων λέγειν τὴν ὁδὸν ταύτην, οὐ νεκρῶν εἶπεν ἔγερσιν, οὐ κάθαρσιν λεπρῶν, οὐκ ἄλλο τῶν τοιούτων οὐδέν· ἀλλ' ἀντὶ πάντων τούτων τὴν ἀγάπην τέθεικεν. Ἄκουσον καὶ τοῦ*
20 *Χριστοῦ λέγοντος· «Μὴ χαίρετε, ὅτι τὰ δαιμόνια ὑμῖν ὑπακούει, ἀλλ' ὅτι τὰ ὀνόματα ὑμῶν γέγραπται ἐν τοῖς οὐρανοῖς». Καὶ πρὸ τούτου πάλιν· «Ἐροῦσί μοι πολλοὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ· οὐ τῷ σῷ ὀνόματι προεφητεύσαμεν, καὶ δαιμόνια ἐξεβάλομεν, καὶ δυνάμεις πολλὰς ἐποιήσαμεν; καὶ τότε ὁμολο-*
25 *γήσω αὐτοῖς, ὅτι οὐκ οἶδα ὑμᾶς». Καὶ ὅτε ἔμελλε σταυροῦ-*

---

45. Α' Κορ. 12, 31.
46. Λουκᾶ 10, 20.
47. Ματθ. 7, 22-23.

χθῇ καμμίαν παρομοίαν ἐπίδρασιν, ἀλλὰ ἡ ἀπόκτησις τῆς ἀρετῆς φράσσει τὰ στόματα ὅλων.

8. Ἂς φροντίζωμεν λοιπὸν δι' αὐτήν· διότι εἶναι πολὺ μεγάλος ὁ πλοῦτός της καὶ τὸ θαῦμα πολὺ μεγάλον. Αὐτὴ παρέχει τὴν πραγματικὴν ἐλευθερίαν καὶ ὅταν οἱ ἄνθρωποι εἶναι δοῦλοι τοὺς προετοιμάζει ν' ἀτενίζουν πρὸς αὐτήν, καὶ βέβαια δὲν τοὺς ἀπαλλάσσει ἀπὸ τὴν δουλείαν, ἀλλὰ ἐνῷ ἐξακολουθοῦν νὰ εἶναι δοῦλοι τοὺς κάνει νὰ φαίνωνται σπουδαιότεροι ἀπὸ τοὺς ἐλευθέρους, πρᾶγμα ποὺ εἶναι πολὺ πιὸ ἀνώτερον ἀπὸ τοῦ νὰ τοὺς δώσῃ τὴν ἐλευθερίαν. Δὲν καθιστᾷ τὸν πτωχὸν πλούσιον, ἀλλὰ ἐνῷ ἐξακολουθεῖ νὰ εἶναι πτωχὸς τὸν κάνει νὰ φαίνεται πιὸ πλούσιος ἀπὸ τὸν πλούσιον. Ἐὰν ὅμως θέλῃς νὰ κάμνῃς καὶ θαύματα, ἀπαλλάξου ἀπὸ τὰς ἁμαρτίας σου καὶ τότε θὰ ἐπιτύχῃς τὰ πάντα. Καθόσον, ἀγαπητέ μου, ἡ ἁμαρτία εἶναι πολὺ μεγάλος δαίμων, ἐὰν δὲ κατορθώσῃς αὐτὴν νὰ τὴν ἐκριζώσῃς, ἐπέτυχες τότε πολὺ πιὸ μεγαλύτερον κατόρθωμα ἀπὸ αὐτοὺς ποὺ ἐκδιώκουν ἀμέτρητον πλῆθος δαιμόνων.

Ἄκουσε τὸν Παῦλον ποὺ ὁμιλεῖ διὰ τὴν ἀρετὴν καὶ ποὺ τὴν τοποθετεῖ πρὶν ἀπὸ τὰ θαύματα· «Ἐπιδείξατε», λέγει, «ζῆλον διὰ τὰ ἀνώτερα χαρίσματα· καὶ ἀκόμη θὰ σᾶς δείξω μίαν πολὺ πιὸ σπουδαίαν ὁδόν»[45]. Καὶ ὅταν ἐπρόκειτο νὰ ὁμιλήσῃ δι' αὐτὴν τὴν ὁδὸν δὲν ἀνέφερε τὴν ἐκ νεκρῶν ἀνάστασιν, οὔτε τὴν κάθαρσιν τῶν λεπρῶν, οὔτε κανένα ἄλλο παρόμοιον μ' αὐτά, ἀλλὰ ἀντὶ ὅλων αὐτῶν ἀνέφερε τὴν ἀγάπην. Ἄκουσε καὶ τὸν Χριστὸν ποὺ λέγει· «Μὴ χαίρεσθε ἐπειδὴ τὰ δαιμόνια ὑπακούουν εἰς τὴν προσταγήν σας, ἀλλ' ἐπειδὴ ἔχουν γραφῆ τὰ ὀνόματά σας εἰς τοὺς οὐρανούς»[46]. Καὶ πρὶν ἀπὸ αὐτὸ πάλιν λέγει· «Πολλοὶ θὰ μοῦ εἰποῦν κατὰ τὴν ἡμέραν ἐκείνην· Δὲν ἐπροφητεύσαμεν ἐπικαλούμενοι τὸ ὄνομά σου, καὶ δὲν ἐξεδιώξαμεν δαιμόνια καὶ δὲν ἐκάμαμεν ἀμέτρητα θαύματα; Τότε θὰ ἀπαντήσω εἰς αὐτοὺς καὶ θὰ τοὺς εἰπῶ· Δὲν σᾶς γνωρίζω»[47]. Καὶ ὅταν ἐπρόκειτο νὰ σταυρωθῇ, ἀφοῦ ἐκάλεσε τοὺς μαθητάς του

σθαι, καλέσας τοὺς μαθητὰς ἔλεγεν αὐτοῖς· Ἐν τούτῳ γνώσονται πάντες, ὅτι μαθηταί μού ἐστε», οὐκ ἐὰν δαιμόνια ἐκβάλλητε, ἀλλ' «Ἐὰν ἀγάπην ἔχητε ἐν ἀλλήλοις». Καὶ πάλιν· «Ἐν τούτῳ γνώσονται πάντες, ὅτι σύ με ἀπέστειλας», 5 οὐχὶ ἐὰν νεκροὺς ἐγείρωσιν οὗτοι, ἀλλ' «Ἐὰν ὦσιν ἕν».

Τὰ μὲν γὰρ σημεῖα πολλάκις ἕτερον μὲν ὠφέλησε, τὸν δὲ ἔχοντα παρέβλαψεν, εἰς ἀπόνοιαν ἐπάραντα καὶ κεδονοξίαν, ἢ καὶ ἑτέρῳ τινὶ τρόπῳ· ἐπὶ δὲ τῶν ἔργων οὐδὲν τοιοῦτον ὑποπτεῦσαι ἔνι, ἀλλὰ καὶ τοὺς μετιόντας αὐτά, καὶ ἑτέρους 10 πολλοὺς ὠφελεῖ. Ταῦτα τοίνυν μετὰ πολλῆς τῆς ἐπιμελείας ἐργασώμεθα. Ἂν γὰρ ἐξ ἀπανθρωπίας εἰς ἐλεημοσύνην μεταβάλῃς, ξηρὰν τὴν χεῖρα οὖσαν ἐξέτεινας. Ἂν θεάτρων ἀποστὰς ἐπὶ τὴν ἐκκλησίαν ἴῃς, χωλεύοντα τὸν πόδα διώρθωσας. Ἂν ἀποστήσῃς τοὺς ὀφθαλμούς του ἀπὸ πόρνης καὶ 15 κάλλους ἀλλοτρίου, τυφλοὺς ὄντας ἀνέῳξας. Ἐὰν ἀντὶ σατανικῶν ᾠδῶν μάθῃς ψαλμοὺς πνευματικούς, κωφὸς ὢν ἐλάλησας. Ταῦτα τὰ θαύματα μέγιστα· ταῦτα τὰ σημεῖα παράδοξα. Ἂν ταῦτα τὰ σημεῖα ποιοῦντες διατελῶμεν καὶ αὐτοὶ μεγάλοι τινὲς καὶ θαυμαστοὶ διὰ τούτων ἐσόμεθα καὶ 20 τοὺς πονηροὺς ἐπισπασόμεθα ἅπαντας εἰς ἀρετὴν καὶ τῆς μελλούσης ἀπολαυσόμεθα ζωῆς· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

48. Ἰω. 13, 35.
49. Πρβλ. Ἰω. 17, 23.

τοὺς ἔλεγεν· «Ἀπ' αὐτὸ θὰ γνωρίσουν ὅλοι ὅτι εἶσθε μαθηταί μου· ἐὰν ἔχετε ἀγάπην μεταξύ σας»[48] καὶ ὄχι ἀπὸ τὸ ἐὰν ἐκδιώκετε δαιμόνια. Καὶ πάλιν· «Ἀπ' αὐτὸ θὰ γνωρίσουν ὅλοι ὅτι σὺ μὲ ἀπέστειλες», ὄχι ἐὰν αὐτοὶ ἐγείρουν νεκρούς, ἀλλ' «ἐὰν εἶναι ἀγαπημένοι μεταξύ των»[49].

Διότι βέβαια τὰ θαύματα πολλὰς φορὰς ἄλλον μὲν τὸν ὠφέλησαν, ἐνῷ ἔβλαψαν αὐτὸν ποὺ τὰ ἐνήργησεν, ἐπειδὴ τὸν παρέσυραν εἰς παράφρονας ἐνεργείας καὶ εἰς ὑπερηφάνειαν ἢ καὶ μὲ κάποιον ἄλλον τρόπον, εἰς τὰς πράξεις ὅμως τῶν ἐναρέτων δὲν εἶναι δυνατὸν νὰ ἰδῇ κανεὶς τίποτε τὸ ὕποπτον, ἀλλ' ὠφελοῦν αὐταὶ καὶ αὐτοὺς ποὺ τὰς ἐπιτελοῦν καὶ πολλοὺς ἄλλους. Τὰ ἔργα λοιπὸν νὰ τὰ πράττωμεν μετὰ μεγάλης φροντίδος. Διότι ἐάν, ἐνῷ ἤσουν ἀπάνθρωπος, μεταβληθῇς καὶ κάμῃς ἐλεημοσύνην, τὴν χεῖρά σου, ἐνῷ ἦτο ξηρά, τὴν ἥπλωσες. Ἂν ἐγκαταλείπων τὰ θέατρα μεταβῇς εἰς τὴν ἐκκλησίαν, τὸ πόδι σου ποὺ ἦτο χωλὸν τὸ ἐθεράπευσες. Ἂν ἀπομακρύνῃς τοὺς ὀφθαλμούς σου ἀπὸ τὴν πόρνην καὶ ἀπὸ τὸ ξένον κάλλος, ἐνῷ ἦσαν τυφλοὶ τοὺς ἤνοιξες. Ἐὰν μάθῃς ψαλμοὺς πνευματικοὺς ἀντὶ σατανικὰ ἄσματα, ἐνῷ ἤσουν κωφὸς καὶ ἄλαλος ὡμίλησες. Αὐτὰ τὰ θαύματα εἶναι πολὺ μεγάλα, αὐτὰ τὰ θαύματα εἶναι παράδοξα. Ἐὰν ζῶμεν ἐπιτελοῦντες αὐτὰ τὰ θαύματα, καὶ οἱ ἴδιοι θὰ γίνωμεν ἐξ αἰτίας αὐτῶν μεγάλοι καὶ ἀξιοθαύμαστοι, καὶ τοὺς πονηροὺς ὅλους γενικῶς θὰ τοὺς προσελκύσωμεν εἰς τὴν ἀρετήν, καὶ θὰ κληρονομήσωμεν τὴν μέλλουσαν ζωήν, τὴν ὁποίαν εἴθε νὰ συμβῇ ὅλοι μας νὰ ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΛΓ′

Ματθ. 10, 16 - 22

«Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα ἐν μέσῳ λύκων. Γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς 5 αἱ περιστεραί».

1. Ἐπειδὴ περὶ τῆς ἀναγκαίας τροφῆς ἐποίησεν αὐτοὺς θαρρεῖν καὶ τὰς πάντων ἀνέῳξεν αὐτοῖς οἰκίας καὶ σεμνὸν τῇ εἰσόδῳ αὐτῶν σχῆμα περιέθηκεν, οὐχ ὡς ἀλήτας καὶ προσαίτας εἰσιέναι κελεύων, ἀλλ' ὡς τῶν ὑποδεχομένων 10 πολλῷ σεμνοτέρους· (τοῦτο γὰρ ἔδειξε δι' ὧν ἔλεγεν· «Ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ», καὶ δι' ὧν ἐκέλευσεν ἐρωτᾶν, τίς ἄξιος, κἀκεῖ μένειν, καὶ ἀσπάζεσθαι τοὺς δεχομένους προσέταττε, καὶ δι' ὧν τοῖς μὴ δεχομένοις τὰ ἀνήκεστα ἐκεῖνα ἠπείλησε κακά)· ἐπειδὴ οὖν ταύτῃ ἐξέβα-15 λεν αὐτῶν τὴν φροντίδα, καὶ τῇ τῶν σημείων καθώπλισεν ἐπιδείξει καὶ σιδηροῦς τινας καὶ ἀδαμαντίνους εἰργάσατο, πάντων ἀπαλλάξας τῶν βιωτικῶν καὶ πάσης ἐλευθερώσας ἐπικαίρου μερίμνης αὐτούς· λέγει λοιπὸν καὶ τὰ μέλλοντα συμπίπτειν αὐτοῖς κακά, οὐ τὰ μικρὸν ὕστερον συμβησόμενα 20 μόνον, ἀλλὰ καὶ τὰ μετὰ μακρὸν ἐσόμενα χρόνον, ἄνωθεν καὶ πρὸ πολλοῦ τῷ πρὸς τὸν διάβολον προπαρασκευάζων αὐτοὺς πολέμῳ.

Καὶ γὰρ πολλὰ ἐντεῦθεν κατωρθοῦτο· καὶ πρῶτον, τὸ μαθεῖν τῆς προγνώσεως αὐτοῦ τὴν δύναμιν· δεύτερον δέ, 25 τὸ μηδένα ὑποπτεύειν, ὅτι δι' ἀσθένειαν τοῦ διδασκάλου ταῦτα ἐπήει τὰ δεινά· τρίτον, τὸ τοὺς ὑπομένοντας ταῦτα μὴ

---

1. Ματθ. 10, 10.
2. Προβλ. Ματθ. 10, 11.
3. Προβλ. Ματθ. 10, 12-13.
4. Προβλ. Ματθ. 10, 14-15.

ΟΜΙΛΙΑ ΛΓ'

Ματθ. 10, 16 - 22

«Ἰδοὺ ἐγὼ σᾶς ἀποστέλλω ὡσὰν πρόβατα ἀνάμεσα εἰς τοὺς λύκους. Νὰ προσπαθῆτε νὰ εἶσθε φρόνιμοι ὡσὰν τὰ φίδια καὶ ἄδολοι ὡσὰν τὰ περιστέρια».

1. Ἀφοῦ τοὺς ἐνεθάρρυνε σχετικῶς μὲ τὴν ἐξεύρεσιν τῆς ἀναγκαίας τροφῆς καὶ ἤνοιξε τὰς οἰκίας ὅλων εἰς αὐτοὺς διὰ νὰ εἰσέρχωνται καὶ τοὺς περιέβαλε μὲ τὸ σεμνὸν ἔνδυμα διὰ τὴν εἴσοδόν των εἰς αὐτάς, παραγγείλας αὐτοὺς νὰ εἰσέρχωνται ὄχι ὡσὰν ἀλῆται καὶ ζητιάνοι, ἀλλὰ πολὺ περισσότερον σεμνοὶ ἀπὸ αὐτοὺς ποὺ τοὺς ὑποδέχονται (αὐτὸ βέβαια τὸ ἔκαμε φανερὸν μὲ τοὺς λόγους του· «Ὁ ἐργαζόμενος δικαιοῦται τὴν τροφήν του»[1], καὶ μὲ τὰς παραγγελίας του νὰ ἐρωτοῦν ποῖος εἶναι ἄξιος καὶ νὰ διαμένουν εἰς ἐκεῖνον[2], καὶ μὲ τὴν ἐντολήν του νὰ χαιρετοῦν αὐτοὺς ποὺ τοὺς ὑποδέχονται[3] καὶ μὲ τὰ ἀπερίγραπτα κακὰ μὲ τὰ ὁποῖα ἠπείλησεν ἐκείνους ποὺ δὲν θὰ τοὺς ἐδέχοντο[4]), ἀφοῦ λοιπὸν διὰ τοῦ τρόπου αὐτοῦ τοὺς ἀπήλλαξεν ἀπὸ αὐτὴν τὴν φροντίδα καὶ τοὺς ἐφοδίασε μὲ τὴν δύναμιν τῶν θαυμάτων καὶ τοὺς κατέστησε σιδηροῦς καὶ ἀδαμαντίνους, ἀφοῦ τοὺς ἀπήλλαξεν ἀπὸ ὅλα τὰ βιωτικὰ καὶ τοὺς ἠλευθέρωσεν ἀπὸ κάθε ἐφήμερον μέριμναν, εἰς τὴν συνέχειαν λοιπὸν τοὺς ἀποκαλύπτει καὶ τὰ κακὰ ποὺ ἐπρόκειτο νὰ συναντήσουν, ὄχι μόνον αὐτὰ ποὺ θὰ συνέβαιναν μετὰ ἀπὸ ὀλίγον, ἀλλὰ καὶ ἐκεῖνα ποὺ θὰ τοὺς συνέβαιναν μετὰ ἀπὸ πολὺν χρόνον, καὶ κατ' αὐτὸν τὸν τρόπον εὐθὺς ἐξ ἀρχῆς καὶ πρὶν ἀπὸ πολὺν χρόνον τοὺς προετοίμαζε διὰ τὸν ἀγῶνά των ἐναντίον τοῦ διαβόλου.

Καὶ εἶναι ἀλήθεια πὼς πολλὰ ἐπετυγχάνοντο ἐξ αὐτοῦ. Πρῶτον μὲν ἐπληροφοροῦντο τὴν δύναμιν τῆς προγνώσεως αὐτοῦ. Δεύτερον κανεὶς δὲν θὰ ὑποπτεύετο ὅτι τὰ κακὰ αὐτὰ θὰ ἐπείρχοντο ἀπὸ ἀδυναμίαν τοῦ διδασκάλου των. Τρίτον τὸ ὅτι αὐτοὶ ποὺ θὰ ὑπέμεναν αὐτὰ δὲν θὰ ἐξε-

ἐκπλήττεσθαι τῷ ἀπροσδοκήτως καὶ παρ' ἐλπίδα ἐκβαίνειν· τέταρτον, τὸ μὴ παρ' αὐτὸν τὸν καιρὸν τοῦ σταυροῦ ταῦτα ἀκούοντας θορυβηθῆναι. Καὶ γὰρ καὶ ἔπαθον τοῦτο αὐτὸ τότε, ὅτε καὶ ὀνειδίζων αὐτοῖς ἔλεγεν· «Ὅτι ταῦτα λελά-
5 *ληκα ὑμῖν, ἡ λύπη πεπλήρωκεν ὑμῶν τὴν καρδίαν· καὶ οὐδεὶς ἐξ ὑμῶν ἐρωτᾷ με, ποῦ ὑπάγεις;». Καίτοι οὐδὲν οὐδέπω περὶ ἑαυτοῦ ἦν εἰρηκώς, οἷον, ὅτι δεθήσεται καὶ μαστιγωθήσεται καὶ ἀναιρεθήσεται, ὥστε μὴ καὶ ταύτῃ συνταράξαι αὐτῶν τὴν διάνοιαν· ἀλλὰ τέως τὰ αὐτοῖς συμβησόμενα προ-*
10 *αναφωνεῖ. Εἶτα ἵνα μάθωσιν, ὅτι καινὸς οὗτος ὁ τοῦ πολέμου νόμος καὶ παράδοξος τῆς παρατάξεως ὁ τρόπος, γυμνοὺς πέμπων καὶ μονοχίτωνας καὶ ἀνυποδέτους καὶ χωρὶς ῥάβδου καὶ χωρὶς ζώνης καὶ πήρας καὶ παρὰ τῶν δεχομένων κελεύων τρέφεσθαι, οὐδὲ ἐνταῦθα τὸν λόγον ἔστησεν,*
15 *ἀλλὰ δεικνὺς αὐτοῦ τὴν ἄφατον δύναμιν, φησί· καὶ οὕτως ἀπιόντες τὴν προβάτων ἡμερότητα ἐπιδείκνυσθε, καὶ ταῦτα πρὸς λύκους ἰέναι μέλλοντες· καὶ οὐχ ἁπλῶς πρὸς λύκους, ἀλλὰ καὶ εἰς μέσους λύκων. Καὶ οὐ προβάτων ἡμερότητα μόνον ἔχειν κελεύει, ἀλλὰ καὶ τῆς περιστερᾶς τὸ ἀκέραιον.*
20 *Οὕτω γὰρ μάλιστα τὴν ἐμὴν ἐνδείξομαι ἰσχύν, ὅταν πρόβατα λύκων περιγένηται, καὶ ἐν μέσῳ τῶν λύκων ὄντα, καὶ μυρία λαμβάνοντα δήγματα, μὴ μόνον μὴ καταναλίσκηται, ἀλλὰ καὶ ἐκείνους μεταβάλλῃ· ὃ πολλῷ θαυμαστότερόν ἐστι καὶ μεῖζον τοῦ ἀνελεῖν, τὸ μεταθεῖναι τὴν γνώμην, καὶ με-*
25 *ταρρυθμίσαι τὴν διάνοιαν· καὶ ταῦτα δώδεκα ὄντες μόνον, τῆς οἰκουμένης τῶν λύκων ἐμπεπλησμένης.*

Αἰσχυνώμεθα τοίνυν οἱ τἀναντία ποιοῦντες, οἱ ὡς λύκοι

5. Ἰω. 16, 5-6.

πλήσσοντο, καθόσον δὲν θὰ τοὺς συνέβαιναν κατὰ τρόπον ἀπροσδόκητον καὶ παρ' ἐλπίδα. Τέταρτον τὸ ὅτι δὲν θὰ κατελαμβάνοντο ἀπὸ ἀγωνίαν ἀκούοντες αὐτὰ πρὸ τῆς σταυρώσεως τοῦ Κυρίου. Καθόσον βέβαια συνέβη τότε αὐτό, ὅταν τοὺς ἔλεγεν ἐν εἴδει ἐπιπλήξεως τὰ ἑξῆς· «Ἐπειδὴ σᾶς εἶπα αὐτὰ ἡ καρδία σας ἔχει γεμίσει ἀπὸ λύπην καὶ κανεὶς ἀπὸ σᾶς δὲν μὲ ἐρωτᾷ, Ποῦ πηγαίνεις;»[5] Καὶ βέβαια ἀκόμη δὲν τοὺς εἶχεν εἰπεῖ τίποτε περὶ τοῦ ἑαυτοῦ, ὅπως ἐπὶ παραδείγματι ὅτι θὰ δεθῇ καὶ θὰ μαστιγωθῇ καὶ θὰ σταυρωθῇ, διὰ νὰ μὴ ἀναστατώσῃ ἐξ αἰτίας αὐτῶν τὴν διάνοιάν των, ἀλλὰ κατ' ἀρχὴν τοὺς προλέγει αὐτὰ ποὺ ἐπρόκειτο νὰ συμβοῦν εἰς αὐτούς. Ἀκολούθως διὰ ν' ἀντιληφθοῦν ὅτι ἦτο νέος αὐτὸς ὁ νόμος τοῦ πολέμου καὶ παράδοξος ὁ τρόπος τῆς παρατάξεως, ἀποστέλλων αὐτοὺς γυμνοὺς καὶ μὲ ἕνα χιτῶνα καὶ ἀνυποδέτους καὶ χωρὶς ράβδον καὶ χωρὶς ζώνην καὶ σάκκον καὶ παραγγέλλων νὰ τρέφωνται ἀπὸ αὐτοὺς ποὺ θὰ τοὺς ὑποδέχωνται, δὲν ἀρκεῖται μόνον εἰς αὐτά, ἀλλά, θέλων νὰ δείξῃ τὴν ἀπερίγραπτον δύναμίν του, λέγει· Ἂν καὶ ἀποστέλλεσθε ὑπὸ τοιαύτας συνθήκας, ἐπιδείξατε τὴν ἡμερότητα τῶν προβάτων, καὶ ὅλα αὐτὰ ἐνῷ πρόκειται νὰ μεταβῆτε πρὸς λύκους, καὶ ὄχι ἁπλῶς πρὸς λύκους, ἀλλὰ καὶ ἀνάμεσα εἰς τοὺς λύκους. Καὶ δὲν τοὺς παραγγέλλει νὰ ἔχουν μόνον τὴν ἡμερότητα τῶν προβάτων, ἀλλὰ καὶ νὰ εἶναι ἀκέραιοι ὡς αἱ περιστεραί. Διότι ἔτσι κατ' ἐξοχὴν θ' ἀποδείξω τὴν δύναμίν μου, ὅταν τὰ πρόβατα θὰ ὑπερισχύουν τῶν λύκων, καὶ ἐνῷ θὰ εὑρίσκωνται ἀνάμεσα εἰς τοὺς λύκους καὶ θὰ λαμβάνουν ἀμέτρητα δαγκώματα, ὄχι μόνον νὰ μὴ ἐξαφανίζωνται, ἀλλὰ καὶ τοὺς λύκους νὰ μεταβάλλουν, καὶ ἀκριβῶς αὐτὴ ἡ μεταστροφὴ τῆς γνώμης των καὶ ἡ μεταβολὴ τῆς διανοίας των εἶναι πολὺ περισσότερον ἀξιοθαύμαστος καὶ πολὺ πιὸ σπουδαία ἀπὸ τὸ νὰ τοὺς φονεύσουν. Καὶ ὅλα αὐτὰ καθ' ἣν στιγμὴν αὐτοὶ εἶναι μόνον δώδεκα, ἐνῷ ἡ οἰκουμένη ἔχει γεμίσει ἀπὸ τοὺς λύκους.

Πρέπει νὰ ἐντρεπώμεθα λοιπὸν ὅλοι ὅσοι πράττομεν

τοῖς ἐχθροῖς ἐπιτιθέμενοι. Ἕως γὰρ ἂν ὦμεν πρόβατα, νικῶμεν· κἂν μυρίοι περιστοιχίσωνται λύκοι, περιγενόμεθα καὶ κρατοῦμεν· ἂν δὲ γενώμεθα λύκοι, ἡττώμεθα· ἀφίσταται γὰρ ἡμῶν ἡ τοῦ ποιμένος βοήθεια. Οὐ γὰρ λύκους, ἀλλὰ 5 πρόβατα ποιμαίνει, καὶ καταλιμπάνει σε καὶ ἀναχωρεῖ· οὐδὲ γὰρ συγχωρεῖς αὐτοῦ δειχθῆναι τὴν δύναμιν. Ἂν μὲν γὰρ πάσχων κακῶς ἡμερότητα ἐπιδείξῃ, αὐτῷ λογίζεται ἅπαν τὸ τρόπαιον· ἂν δὲ ἐπεξίῃς καὶ πικτεύῃς, ἐπισκιάζεις τῇ νίκῃ.

10 *Σὺ δέ μοι σκόπει τίνες εἰσὶν οἱ τῶν προσταγμάτων τούτων ἀκούοντες τῶν σκληρῶν καὶ ἐπιπόνων· οἱ δειλοὶ καὶ ἰδιῶται· οἱ ἀγράμματοι καὶ ἀμαθεῖς· οἱ πάντοθεν ἄσημοι· οἱ μηδέποτε τοῖς ἔξωθεν ἐντραφέντες νόμοις· οἱ μὴ ταχέως εἰς ἀγορὰς ἐμβάλλοντες ἑαυτούς· οἱ ἁλιεῖς, οἱ τε-15 λῶναι, οἱ μυρίων γέμοντες ἐλαττωμάτων. Εἰ δὲ καὶ τοὺς ὑψηλοὺς καὶ μεγάλους ἱκανὰ ταῦθα θορυβῆσαι ἦν, τοὺς πάντοθεν ἀπείρους καὶ οὐδὲν οὐδέποτε φαντασθέντας γενναῖον πῶς οὐκ ἦν ἱκανὰ καταβαλεῖν καὶ ἐκπλῆξαι; Ἀλλ' οὐ κατέβαλε. Καὶ μάλα εἰκότως, ἴσως εἴποι τις ἄν· ἔδωκε γὰρ αὐ-20 τοῖς ἐξουσίαν λεπροὺς καθαίρειν, δαίμονας ἐλαύνειν. Ἐγὼ δὲ ἐκεῖνο ἂν εἴποιμι, ὅτι αὐτὸ μὲν οὖν τοῦτο μάλιστα αὐτοὺς ἱκανὸν ἦν θορυβῆσαι, ὅτι καὶ νεκροὺς ἐγείροντες τὰ ἀνήκεστα ταῦτα ἔμελλον ὑπομένειν, καὶ δικαστήρια, καὶ ἀπαγωγάς, καὶ τοὺς παρὰ πάντων πολέμους, καὶ τὸ κοινὸν τῆς 25 οἰκουμένης μῖσος, καὶ τοιαῦτα αὐτοὺς θαυματουργοῦντας ἀ-*

ἀντίθετα καὶ ἐπιτιθέμεθα ὡσὰν λύκοι ἐναντίον τῶν ἐχθρῶν μας. Διότι ἐν ὅσῳ θὰ εἴμεθα πρόβατα θὰ νικῶμεν· καὶ ἂν ἀκόμη περικυκλωθῶμεν ἀπὸ ἀμετρήτους λύκους θὰ ὑπερισχύσωμεν καὶ θὰ ἐπικρατήσωμεν. Ἂν ὅμως ἠθέλαμεν γίνει λύκοι θὰ νικηθῶμεν, διότι δὲν θὰ ἔχωμεν τὴν βοήθειαν τοῦ ποιμένος. Διότι δὲν ποιμαίνει λύκους ἀλλὰ πρόβατα καὶ διὰ τοῦτο σὲ ἐγκαταλείπει καὶ φεύγει ἐπειδὴ δὲν τὸν ἐπιτρέπεις νὰ δείξῃ τὴν δύναμίν του. Διότι ἐὰν μὲν δείξῃς ἡμερότητα καθ' ὃν χρόνον ὑφίστασαι ἀμέτρητα κακά, ὅλος ὁ ἆθλος ἀνήκει εἰς αὐτόν, ἐὰν ὅμως κινηθῇς μὲ ἐχθρικὰς διαθέσεις καὶ ἀνταποδώσῃς τὰ κτυπήματα, τότε μειώνεις τὴν νίκην.

Σὺ ὅμως, σὲ παρακαλῶ, πρέπει νὰ προσέξῃς ποῖοι εἶναι αὐτοὶ ποὺ ἀκούουν αὐτὰς τὰς σκληρὰς καὶ βαρείας παραγγελίας. Εἶναι οἱ δειλοὶ καὶ ἁπλοῖ ἄνθρωποι, οἱ ἀγράμματοι καὶ ἀμαθεῖς, αὐτοὶ ποὺ ἦσαν ἐξ ὁλοκλήρου ἄσημοι, ποὺ δὲν ἐδιδάχθησαν οὐδέποτε τοὺς νόμους τῶν ξένων, καὶ ποὺ δὲν ἐνεφανίζοντο χωρὶς αἰτίαν εἰς τὰς ἀγοράς, οἱ ἁλιεῖς, οἱ τελῶναι, αὐτοὶ ποὺ ἦσαν γεμᾶτοι ἀπὸ ἀμέτρητα ἐλαττώματα. Ἐὰν δὲ αὐτὰ ἦσαν ἱκανὰ νὰ ἐμβάλουν ἀγωνίαν καὶ φόβον εἰς τοὺς μορφωμένους καὶ ἰσχυροὺς ἀνθρώπους, πῶς δὲν ἦσαν ἱκανὰ νὰ καταπτοήσουν καὶ νὰ ἐκπλήξουν τοὺς τελείως ἀπείρους, οἱ ὁποῖοι οὐδέποτε ἐφαντάσθησαν κἂν κάτι τι τὸ τολμηρόν; Νὰ ὅμως ποὺ δὲν κατεπτοήθησαν. Καὶ ἦτο πολὺ φυσικόν, θὰ ἠμποροῦσε νὰ εἰπῇ κανείς, διότι τοὺς ἐφοδίασε μὲ τὴν δύναμιν νὰ καθαρίζουν τοὺς λεπροὺς καὶ νὰ ἐκδιώκουν τὰ δαιμόνια. Ἐγὼ ὅμως θὰ ἠμποροῦσα νὰ εἰπῶ τὸ ἑξῆς, ὅτι δηλαδὴ αὐτὸ ἀκριβῶς ἦτο ἐκεῖνο ποὺ προπάντων ἦτο ἱκανὸν νὰ θορυβήσῃ αὐτούς, διότι, μολονότι ἔλαβαν τὴν δύναμιν καὶ νεκροὺς ν' ἀνασταίνουν, ἐπρόκειτο νὰ ὑποστοῦν αὐτὰ τὰ ἀνεπανόρθωτα κακά, καὶ ν' ἀντιμετωπίσουν τοὺς πολέμους ὁλοκλήρου τῆς ἀνθρωπότητος, καὶ τὸ κοινὸν μῖσος τῆς οἰκουμένης, καὶ νὰ ἀναμένουν τέτοιου εἴδους κακά, καθ' ἣν στιγμὴν εἶχαν τὴν δύναμιν νὰ θαυμα-

ναμένειν δεινά. Τίς οὖν ἡ τούτων πάντων παράκλησις; Ἡ τοῦ πέμποντος δύναμις. Διὸ καὶ τοῦτο πρὸ πάντων τέθεικε, λέγων· «Ἰδοὺ ἐγὼ ἀποστέλλω ὑμᾶς». Ἀρκεῖ τοῦτο εἰς παραμυθίαν ὑμῖν· ἀρκεῖ τοῦτο εἰς τὸ θαρρεῖν, καὶ μηδένα
5 δεδοικέναι τῶν ἐπιόντων.

2. Εἶδες αὐθεντίαν; εἶδες ἐξουσίαν; εἶδες δύναμιν ἄμαχον; Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· μὴ θορυβηθῆτε, φησίν, ὅτι μεταξὺ λύκων πέμπων, ὡς πρόβατα καὶ ὡς περιστερὰς εἶναι κελεύω. Ἐδυνάμην μὲν γὰρ ποιῆσαι τοὐναντίον, καὶ μηδὲν
10 ὑμᾶς ἀφεῖναι δεινὸν ὑπομένειν, μηδὲ ὡς πρόβατα ὑποτεθῆναι λύκοις, ἀλλὰ λεόντων ἐργάσασθαι φοβερωτέρους· ἀλλ᾽ οὕτω συμφέρει γενέσθαι. Τοῦτο καὶ ὑμᾶς λαμπροτέρους ποιεῖ· τοῦτο καὶ τὴν ἐμὴν ἀνακηρύττει δύναμιν. Τοῦτο καὶ πρὸς Παῦλον ἔλεγεν· «Ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς
15 μου ἐν ἀσθενείᾳ τελειοῦται». Ἐγὼ τοίνυν οὕτως ὑμᾶς ἐποίησα εἶναι. Ὅταν γὰρ εἴπῃ, «Ἐγὼ ἀποστέλλω ὑμᾶς ὡς πρόβατα», τοῦτο αἰνίττεται. Μὴ τοίνυν καταπέσητε· οἶδα γάρ, οἶδα σαφῶς, ὅτι ταύτῃ μάλιστα πᾶσιν ἀχείρωτοι ἔσεσθε.

Εἶτα, ἵνα τι καὶ παρ᾽ ἑαυτῶν εἰσφέρωσι, καὶ μὴ πάν-
20 τα τῆς χάριτος εἶναι δοκῇ, μηδὲ εἰκῇ καὶ μάτην στεφανοῦσθαι νομίζωνται, φησί· «Γίνεσθε οὖν φρόνιμοι ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί». Καὶ τί δύναιτ᾽ ἂν ἡ ἡμετέρα φρόνησις, φησίν, ἐν τοσούτοις κινδύνοις; πῶς δὲ ὅλως δυνησόμεθα φρόνησιν ἔχειν, ὑπὸ τοσούτων περιαντλού-
25 μενοι κυμάτων; Ὅσον γὰρ ἂν γένηται φρόνιμον πρόβατον

6. Β´ Κορ. 12, 9.

τουργοῦν. Καὶ ποία λοιπὸν ἦτο ἡ παρηγορία των δι' ὅλα αὐτά; Ἡ δύναμις αὐτοῦ ποὺ τοὺς ἀπέστελλεν. Καὶ ἀκριβῶς διὰ τοῦτο εἶχε θέσει αὐτὸ πρὶν ἀπὸ ὅλα λέγων· «Ἰδοὺ ἐγὼ σᾶς ἀποστέλλω». Καὶ εἶναι ἀρκετὸν αὐτὸ νὰ σᾶς παρηγορήσῃ· εἶναι ἀρκετὸν νὰ σᾶς ἐνθαρρύνῃ, ὥστε νὰ μὴ φοβῆσθε κανένα ἀπὸ αὐτοὺς ποὺ σᾶς ἐπιβουλεύονται.

2. Εἶδες αὐθεντίαν; εἶδες ἐξουσίαν; εἶδες δύναμιν ἀκατανίκητον; Αὐτὸ δὲ ποὺ τοὺς λέγει σημαίνει τὸ ἑξῆς· 'Μὴ ταράσσεσθε, λέγει, τὸ ὅτι σᾶς ἀποστέλλω ἀνάμεσα εἰς τοὺς λύκους, καὶ σᾶς παραγγέλλω νὰ συμπεριφέρεσθε ὡσὰν τὰ πρόβατα καὶ τὰς περιστεράς. Διότι, βέβαια, ἠμποροῦσα μὲν νὰ πράξω τὸ ἀντίθετον καὶ νὰ μὴ σᾶς ἀφήσω νὰ πάθετε κανένα κακόν, οὔτε νὰ σᾶς ἀφήσω νὰ διακινδυνεύσετε ἀπὸ τοὺς λύκους, ἀλλὰ νὰ σᾶς κάμω πιὸ φοβεροὺς καὶ ἀπὸ τοὺς λέοντας, (δὲν γίνεται αὐτὸ ὅμως), διότι συμφέρει ἔτσι νὰ γίνουν τὰ πράγματα. Αὐτὸ καὶ σᾶς σᾶς κάμνει ἀκόμη πιὸ λαμπροὺς καὶ τὴν ἰδικήν μου δύναμιν ἀνακηρύσσει'. Καὶ ἀκριβῶς αὐτὸ ἔλεγε καὶ εἰς τὸν Παῦλον· «Σοῦ εἶναι ἀρκετὴ ἡ χάρις μου διότι ἡ δύναμίς μου καθίσταται τελεία ἐκεῖ ὅπου ὑπάρχει ἀδυναμία»[6]. Ἐγὼ λοιπὸν σᾶς ἔκανα νὰ εἶσθε τέτοιου εἴδους ἄνθρωποι. Διότι ὅταν λέγῃ, «Ἐγὼ σᾶς ἀποστέλλω ὡσὰν πρόβατα», αὐτὸ ὑπονοεῖ· 'Μὴ λοιπὸν χάσετε τὸ θάρρος σας· διότι τὸ γνωρίζω, τὸ γνωρίζω πάρα πολὺ καλά, ὅτι κατ' αὐτὸν τὸν τρόπον θὰ καταστῆτε ὁπωσδήποτε ἀκαταμάχητοι.

Ἀκολούθως διὰ νὰ συνεισφέρουν καὶ οἱ ἴδιοι κάτι ἀπὸ τὸν ἑαυτόν των καὶ νὰ μὴ θεωρηθῇ ὅτι ὅλα γενικῶς προέρχονται ἀπὸ τὴν θείαν χάριν, καὶ διὰ νὰ μὴ νομίσουν ὅτι ἐντελῶς τυχαῖα καὶ μάταια στεφανοῦνται προσθέτει· «Νὰ εἶσθε λοιπὸν φρόνιμοι ὡσὰν τὰ φίδια καὶ ἄδολοι ὡσὰν τὰς περιστεράς». Καὶ τί θὰ ἠμποροῦσε νὰ ἐπιτύχῃ, θὰ ἔλεγε κάποιος, ἡ ἰδική μας φρόνησις ἐν μέσῳ τόσων πολλῶν κινδύνων; πῶς δὲ θὰ ἠμπορέσωμεν πάντοτε νὰ εἴμεθα φρόνιμοι, καταποντιζόμενοι ὑπὸ τόσων μεγάλων κυμάτων; Διότι ὅσον

μεταξὺ λύκων ὄν, καὶ λύκων τοσούτων, τί δυνήσεται πλέον ἀνύσαι; ὅσον ἂν γένηται ἀκέραιος ἡ περιστερά, τί ὠφελήσει, τοσούτων ἐπικειμένων ἱεράκων; Ἐπὶ μὲν τῶν ἀλόγων, οὐδέν· ἐπὶ δὲ ὑμῶν, τὰ μέγιστα.

5 *Ἀλλ' ἴδωμεν ποίαν φρόνησιν ἐνταῦθα ἀπαιτεῖ. Τὴν τοῦ ὄφεως, φησί. Καθάπερ γὰρ ἐκεῖνος τὰ πάντα προΐεται, κἂν αὐτὸ δέῃ τὸ σῶμα ἀποτμηθῆναι, οὐ σφόδρα ἀντέχεται αὐτοῦ, ὥστε τὴν κεφαλὴν διατηρῆσαι· οὕτω καὶ σύ, φησί, πλὴν τῆς πίστεως πάντα ἐκδίδου, κἂν χρήματα, κἂν τὸ σῶ-*
10 *μα, κἂν αὐτὴν τὴν ψυχὴν ἐκδοῦναι δέῃ. Ἐκεῖνο γὰρ ἡ κεφαλὴ καὶ ἡ ῥίζα· κἀκείνης διατηρουμένης, κἂν πάντα ἀπολέσῃς, ἅπαντα ἀνακτήσῃ πάλιν μετὰ πλείονος τῆς περιφανείας. Διὰ δὴ τοῦτο οὔτε ἁπλοῦν τινα εἶναι καὶ ἀφελῆ προσέταξεν, οὔτε φρόνιμον μόνον, ἀλλ' ἐκέρασε ταῦτα ἀμφότερα,*
15 *ὥστε γενέσθαι αὐτὰ ἀρετήν· τὴν μὲν φρόνησιν τοῦ ὄφεως εἰς τὸ μὴ πλήττεσθαι ἐν τοῖς καιρίοις παραλαβών· τὸ δὲ ἀκέραιον τῆς περιστερᾶς εἰς τὸ μὴ ἀμύνεσθαι τοὺς ἀδικοῦντας, μηδὲ τιμωρεῖσθαι τοὺς ἐπιβουλεύοντας· ἐπεὶ πάλιν οὐδὲν ὄφελος τῆς φρονήσεως ἂν μὴ τοῦτο προσῇ. Τί τοίνυν*
20 *τούτων εὐτονώτερον γένοιτ' ἂν τῶν ἐπιταγμάτων; Οὐ γὰρ ἤρκει τὸ παθεῖν κακῶς; Οὐχί, φησίν· ἀλλ' οὐδὲ ἀγανακτεῖν σοι συγχωρῶ. Τοῦτο γάρ ἐστιν ἡ περιστερά. Ὥσπερ ἂν εἴ*

καὶ ἂν ἤθελε νὰ γίνῃ φρόνιμον ἕνα πρόβατον εὑρισκόμενον ἀνάμεσα εἰς τοὺς λύκους, καὶ μάλιστα τὴν στιγμὴν ποὺ οἱ λύκοι εἶναι τόσον πολλοί, τί θὰ ἠμποροῦσεν ἐπὶ πλέον νὰ ἐπιτύχῃ; ὅσον ἂν ἤθελε γίνει ἄδολος ἡ περιστερὰ τί θὰ ὠφελήσει, καθ' ἣν στιγμὴν τόσα πολλὰ γεράκια εὑρίσκονται ἀπὸ ἐπάνω της; Τὰ μὲν ἄλογα ζῶα δὲν ἠμποροῦν τίποτε νὰ κατορθώσουν, σεῖς ὅμως ἠμπορεῖτε νὰ ἐπιτύχεται τὰ πιὸ σπουδαῖα πράγματα.

Ἂς ἐξετάσωμεν ὅμως εἰς τὴν περίπτωσιν αὐτὴν ποίαν φρόνησιν ζητεῖ. Τὴν φρόνησιν τοῦ φιδιοῦ, θὰ εἰπῇ κάποιος. Διότι ὅπως ἀκριβῶς ἐκεῖνο ἐγκαταλείπει τὰ πάντα, καὶ αὐτὸ τὸ σῶμά του ἀκόμη ἐὰν ἤθελε καταστῇ ἀνάγκη τὸ ἀφήνει ν' ἀποκοπῇ καὶ δὲν προβάλλει μεγάλην ἀντίστασιν προκειμένου νὰ διατηρήσῃ σῶαν τὴν κεφαλήν του, ἔτσι καὶ σύ, λέγει, ἐκτὸς ἀπὸ τὴν πίστιν σου ὅλα νὰ τὰ θυσιάζῃς, εἴτε εἶναι αὐτὰ χρήματα, εἴτε εἶναι τὸ ἴδιο τὸ σῶμά σου, καὶ εἴτε ἀκόμη χρειάζεται καὶ αὐτὴν τὴν ψυχήν σου νὰ θυσιάσῃς. Διότι ἡ πίστις σου εἶναι ἡ κεφαλὴ καὶ ἡ ρίζα, καὶ ἐφ' ὅσον διατηρήσῃς σῶαν αὐτὴν καὶ ἂν ἀκόμη ὅλα τὰ χάσῃς, ὅλα πάλιν θὰ τὰ ἀποκτήσῃς ἐκ νέου μὲ πολὺ μεγαλυτέραν μάλιστα λαμπρότητα. Καὶ διὰ τοῦτο βέβαια δὲν παρήγγειλεν νὰ εἶναι κανεὶς ἁπλοῦς καὶ ἀφελής, οὔτε μόνον φρόνιμος, ἀλλ' ἀνέμειξεν αὐτὰ τὰ δύο, ὥστε νὰ γίνουν αὐτὰ ἀρετή. Τὴν μὲν φρόνησιν τοῦ φιδιοῦ παρέλαβε διὰ νὰ μὴ δεχώμεθα πλήγματα εἰς καίρια σημεῖα, τὸ δὲ ἄδολον καὶ ἄκακον τῆς περιστερᾶς διὰ νὰ μὴ προβάλλωμεν ἀντίστασιν εἰς αὐτοὺς ποὺ μᾶς ἀδικοῦν οὔτε νὰ τιμωροῦμεν αὐτοὺς ποὺ μᾶς ἐπιβουλεύονται. Διότι βέβαια εἰς τίποτε δὲν ὠφελεῖ ἡ φρόνησις ἐφ' ὅσον δὲν συνυπάρχει μὲ αὐτὴν καὶ τὸ ἄκακον τῆς περιστερᾶς. Τί λοιπὸν θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ πιὸ δύσκολον ἀπὸ αὐτὰ τὰ παραγγέλματα; Δὲν τοὺς ἦτο δηλαδὴ ἀρκετὸν τὸ ὅτι θὰ ἐπάθαιναν τόσα κακά; Ὄχι, λέγει, ἀλλ' οὔτε σ' ἐπιτρέπω καὶ ν' ἀγανακτῇς. Διότι αὐτὸ ἀκριβῶς εἶναι τὸ γνώρισμα τῆς περιστερᾶς. Ὡσὰν ἀκριβῶς δηλαδὴ νὰ ἤ-

τις κάλαμον εἰς πῦρ ἐμβαλών, κελεύοι μὴ καίεσθαι ὑπ τοῦ πυρός, ἀλλὰ σβεννύναι τὸ πῦρ.

Ἀλλὰ μὴ θορυβώμεθα· καὶ γὰρ ἐξέβη ταῦτα, καὶ τέλος ἔλαβε, καὶ ἐπ' αὐτῶν ἐδείχθη τῶν ἔργων, καὶ φρόνιμοι
5 *γεγόνασιν ὡς οἱ ὄφεις, καὶ ἀκέραιοι ὡς αἱ περιστεραί· οὐκ ἄλλης ὄντες φύσεως, ἀλλὰ τῆς αὐτῆς ἡμῖν. Μὴ τοίνυν ἀδύνατα νομιζέτω τις εἶναι τὰ ἐπιτάγματα. Πρὸ γὰρ τῶν ἄλλων ἁπάντων αὐτὸς οἶδε τὴν τῶν πραγμάτων φύσιν· οἶδεν ὅτι θρασύτης οὐ θρασύτητι, ἀλλ' ἐπιεικείᾳ σβέννυται. Εἰ δὲ*
10 *καὶ ἐπὶ τῶν πραγμάτων τοῦτο γινόμενον ἰδεῖν ἐθέλοις, ἀνάγνωθι τῶν Πράξεων τῶν ἀποστόλων τὸ βιβλίον, καὶ ὄψει ποσάκις τοῦ δήμου τῶν Ἰουδαίων κατεξαναστάντος καὶ τοὺς ὀδόντας θήγοντας, τὴν περιστερὰν οὗτοι μιμούμενοι, καὶ μετὰ τῆς πρεπούσης ἐπιεικείας ἀποκρινόμενοι κατέλυσαν*
15 *τὸν ἐκείνων θυμόν, ἔσβεσαν τὴν μανίαν, ἐξέλυσαν τὴν ὁρμήν. Ἐπειδὴ γὰρ ἔλεγον· «Οὐ παραγγελίᾳ παρηγγείλαμεν ὑμῖν μὴ λαλεῖν ἐν τῷ ὀνόματι τούτῳ;», καίτοι μυρία δυνάμενοι θαυματουργεῖν, τραχὺ μὲν οὐδὲν οὔτε εἶπον, οὔτε ἐποίησαν, μετὰ πραότητος δὲ πάσης ἀπελογοῦντο λέγοντες·*
20 *«Εἰ δίκαιόν ἐστιν ὑμῶν ἀκούειν μᾶλλον ἢ τοῦ Θεοῦ, κρίνατε». Εἶδες τὸ ἀκέραιον τῆς περιστερᾶς; βλέπε τὸ φρόνιμον τοῦ ὄφεως. «Ἡμεῖς γὰρ οὐ δυνάμεθα ἃ οἴδαμεν καὶ ἠκούσαμεν μὴ λαλεῖν». Εἶδες πῶς πανταχόθεν ἠκριβωμένους εἶναι χρή, ὥστε μὴ ὑπὸ κινδύνων ταπεινοῦσθαι, μηδὲ ὑπὸ*
25 *θυμοῦ παροξύνεσθαι; Διὰ τοῦτο καὶ ἔλεγε· «Προσέχετε ἀπὸ*

---

7. Πράξ. 5, 28.
8. Πράξ. 4, 19.
9. Πράξ. 4, 20.

θελε δώση ἐντολὴν κάποιος, ποὺ ἔρριψε κάλαμον εἰς τὴν φωτιάν, νὰ μὴ καῇ ἀπὸ τὴν φωτιάν, ἀλλὰ νὰ σβήσῃ τὴν φωτιάν.

Ἀλλ' ὅμως ἂς μὴ ταρασσώμεθα, καθόσον ὅλα αὐτὰ ἐπραγματοποιήθησαν καὶ ἐπέτυχαν τὸν σκοπόν των καὶ ἀπὸ αὐτὰ τὰ ἴδια τὰ ἔργα των ἀπεδείχθη ὅτι καὶ φρόνιμοι εἶχαν γίνει ὡσὰν τὰ φίδια καὶ ἄδολοι καὶ ἄκακοι ὡσὰν τὰς περιστεράς, χωρὶς νὰ εἶναι ἀπὸ ἄλλην φύσιν, ἀλλὰ ἀπὸ τὴν ἰδίαν ποὺ εἴμεθα καὶ ἡμεῖς. Ἂς μὴ νομίζῃ λοιπὸν κανεὶς ὅτι τὰ παραγγέλματα αὐτὰ δὲν εἶναι δυνατὸν νὰ πραγματοποιηθοῦν. Διότι περισσότερον ἀπὸ ὅλους τοὺς ἄλλους αὐτὸς γνωρίζει τὴν φύσιν τῶν πραγμάτων. Γνωρίζει ὅτι ἡ θρασύτης δὲν καταπολεμεῖται μὲ τὴν θρασύτητα ἀλλὰ μὲ τὴν ἐπιείκειαν. Ἐὰν δὲ θέλῃς νὰ ἰδῇς ὅτι αὐτὸ συμβαίνει καὶ εἰς τὴν πραγματικότητα, ἀνάγνωσε τὸ βιβλίον τῶν Πράξεων τῶν ἀποστόλων καὶ θὰ διαπιστώσῃς πόσας φοράς, ἂν καὶ ὁ Ἰουδαϊκὸς λαὸς ἐξηγέρθη ἐναντίον των καὶ ἔτριζε τὰ δόντια του, αὐτοὶ μιμούμενοι τὴν περιστερὰν καὶ ἀποκρινόμενοι μὲ τὴν πρέπουσαν ἐπιείκειαν, κατέπαυσαν τὸν θυμὸν ἐκείνων, ἔσβησαν τὴν μανίαν των καὶ ἐγλύτωσαν ἀπὸ τὴν ὁρμήν των. Διότι ὅταν τοὺς ἔλεγαν, «Δὲν σᾶς ἐδώσαμεν αὐστηρὰν ἐντολὴν νὰ μὴ κηρύσσετε εἰς τὸ ὄνομα αὐτοῦ;»[7], αὐτοὶ ἂν καὶ εἶχαν τὴν δυνατότητα νὰ κάμουν ἄπειρα τὸν ἀριθμὸν θαύματα, παρὰ ταῦτα δὲν εἶπαν οὔτε ἔκαμαν τίποτε τὸ βάναυσον ἐναντίον των, ἀλλὰ μὲ ἀπόλυτον πραότητα ἀπελογοῦντο καὶ ἔλεγαν· «Κρίνατε μόνοι σας, ἐὰν εἶναι δίκαιον νὰ ὑπακούωμεν εἰς τὰς ἰδικάς σας ἐντολὰς ἢ εἰς τὰς ἐντολὰς τοῦ Θεοῦ»[8]. Εἶδες τὸ ἄκακον καὶ ἄδολον τῆς περιστερᾶς; πρόσεξε τώρα καὶ τὴν φρονιμάδα τοῦ φιδιοῦ· «Διότι ἡμεῖς δὲν ἠμποροῦμεν νὰ μὴ κηρύσσωμεν ὅλα ὅσα γνωρίζομεν πάρα πολὺ καλὰ καὶ ὅσα ἠκούσαμεν οἱ ἴδιοι»[9].

Εἶδες πόσον τέλειοι ἔπρεπε νὰ εἶναι ἀπὸ κάθε ἄποψιν, ὥστε οὔτε τὸ θάρρος των νὰ χάνουν, οὔτε νὰ ἐκτρέπωνται εἰς παραλόγους ἐνεργείας ἐξ αἰτίας τοῦ θυμοῦ των; Καὶ ἀ-

τῶν ἀνθρώπων· παραδώσουσι γὰρ ὑμᾶς εἰς συνέδρια, καὶ ἐν ταῖς συναγωγαῖς αὐτῶν μαστιγώσουσιν ὑμᾶς· καὶ ἐπὶ ἡγεμόνας καὶ βασιλεῖς ἀχθήσεσθε ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνεσι». Πάλιν γὰρ νήφειν αὐτοὺς παρασκευάζει, πανταχοῦ τὸ μὲν παθεῖν κακῶς αὐτοῖς διδούς, τὸ δὲ ποιῆσαι ἑτέροις ἀφιείς, ἵνα μάθῃς ὅτι ἐν τῷ παθεῖν κακῶς ἡ νίκη, καὶ τὰ λαμπρὰ ἐντεῦθεν ἕστηκε τρόπαια. Οὐδὲ γὰρ εἶπε, πυκτεύετε καὶ ὑμεῖς, καὶ ἀνθίστασθε τοῖς ἐπηρεάζειν βουλομένοις ὑμῖν· ἀλλ' ὅτι τὰ ἔσχατα πείσεσθε μόνον.

3. Βαβαί, πόση τοῦ λέγοντος ἡ δύναμις· πόση τῶν ἀκουόντων ἡ φιλοσοφία. Καὶ γὰρ σφόδρα ἄξιον θαυμάζειν, πῶς οὐκ εὐθέως ἀπεπήδησαν ταῦτα ἀκούοντες, ἄνθρωποι ψοφοδεῖες, καὶ τὴν λίμνην οὐδέποτε ὑπερβάντες ἐκείνην, περὶ ἣν ἡλίευον· πῶς δὲ οὐκ ἐνενόησαν, καὶ πρὸς ἑαυτοὺς εἶπον· καὶ ποῦ φευξόμεθα λοιπόν; Τὰ δικαστήρια καθ' ἡμῶν, οἱ βασιλεῖς καθ' ἡμῶν, οἱ ἡγεμόνες, αἱ συναγωγαὶ τῶν Ἰουδαίων, οἱ δῆμοι τῶν Ἑλλήνων, ἄρχοντες καὶ ἀρχόμενοι. Ἐντεῦθεν γὰρ οὐχὶ μόνον τὴν Παλαιστίνην αὐτοῖς, καὶ τὰ ἐν αὐτῇ κακὰ προανεφώνησεν, ἀλλὰ καὶ τοὺς τῆς οἰκουμένης παρήνοιξε πολέμους, εἰπών· «Ἐπὶ βασιλεῖς ἀχθήσεσθε καὶ ἡγεμόνας»· δεικνὺς ὅτι καὶ τοῖς ἔθνεσι μετὰ ταῦτα κήρυκας αὐτοὺς ἔμελλε πέμπειν. Τὴν οἰκουμένην ἡμῖν ἐξεπολέμωσας, τοὺς τὴν γῆν οἰκοῦντας ἅπαντας ὥπλισας καθ' ἡμῶν, δή-

κριβῶς διὰ τοῦτο τοὺς ἔλεγε· «Νὰ προσέχετε τοὺς ἀνθρώπους· διότι θὰ σᾶς παραδώσουν εἰς τὰ δικαστήρια καὶ θὰ σᾶς μαστιγώσουν εἰς τὰς συναγωγάς των. Καὶ ἐξ αἰτίας μου θὰ ὁδηγηθῆτε ἔμπροσθεν τῶν ἡγεμόνων καὶ τῶν βασιλέων διὰ νὰ μαρτυρήσετε δι' ἐμὲ ἐνώπιον αὐτῶν καὶ τῶν ἐθνικῶν». Διότι βέβαια πάλιν τοὺς προετοιμάζει νὰ εἶναι νηφάλιοι, ορίζων εἰς ὅλας τὰς περιπτώσεις ὅτι τὰ μὲν κακοπαθήματα εἶναι δι' αὐτούς, ἐνῷ ἄλλοι εἶναι ἐκεῖνοι ποὺ θὰ τὰ διαπράξουν, ὥστε νὰ πληροφορηθῇς ὅτι ἡ νίκη εὑρίσκεται εἰς τὰ κακοπαθήματα καὶ ὅτι τὰ λαμπρὰ τρόπαια ἐστήθησαν κατ' αὐτὸν τὸν τρόπον. Διότι δὲν εἶπε 'Ν' ἀνταποδίδετε καὶ σεῖς τὰ κτυπήματα καὶ νὰ προβάλλετε ἀντίστασιν εἰς αὐτοὺς ποὺ θέλουν νὰ σᾶς κάνουν κακόν', ἀλλὰ τοὺς εἶπε μόνον ὅτι θὰ πάθουν τὰ χειρότερα κακά.

3. Ὤ! πόσον μεγάλη εἶναι ἡ δύναμις αὐτοῦ ποὺ λέγει ὅλα αὐτά! πόση εἶναι ἡ φιλοσοφία αὐτῶν ποὺ τὰ ἀκούουν! Καὶ ἀξίζει, πράγματι, νὰ θαυμάζῃ κανεὶς πάρα πολύ, πῶς αὐτοὶ ποὺ τὰ ἤκουαν δὲν ἀπεσκίρτησαν ἀπὸ κοντά του, αὐτοὶ ποὺ ἦσαν ἄνθρωποι τρομερὰ δειλοὶ καὶ ποὺ οὐδέποτε εἶχαν ἀπομακρυνθῆ ἀπὸ ἐκείνην τὴν λίμνην εἰς τὴν ὁποίαν ἐψάρευαν. Εἶναι ἄξιον προσοχῆς πῶς δὲν ἐσκέφθησαν καὶ δὲν εἶπαν εἰς τοὺς ἑαυτούς των· 'Εἰς ποῖον νὰ καταφύγωμεν λοιπόν; Τά δικαστήρια εἶναι ἐναντίον μας, οἱ βασιλεῖς ἐναντίον μας, οἱ ἡγεμόνες, αἱ ἰουδαϊκαὶ συναγωγαί, ὁ εἰδωλολατρικὸς κόσμος, οἱ ἄρχοντες καὶ οἱ ἀρχόμενοι. — Διότι δι' ὅλων αὐτῶν τοὺς προανήγγειλεν ὄχι μόνον διὰ τὴν Παλαιστίνην καὶ τὰ κακὰ ποὺ θὰ ἐλάμβαναν χώραν εἰς αὐτήν, ἀλλὰ τοὺς ἀπεκάλυψε καὶ τοὺς πολέμους ἐναντίον των ὁλοκλήρου τῆς οἰκουμένης διὰ τῶν ἑξῆς λόγων· «Θὰ ὁδηγηθῆτε ἐνώπιον τῶν βασιλέων καὶ τῶν ἡγεμόνων», διὰ τῶν ὁποίων τοὺς ἐφανέρωσεν ὅτι εἰς τὴν συνέχειαν ἐπρόκειτο νὰ τοὺς ἀποστείλῃ νὰ κηρύξουν τὸ εὐαγγέλιον καὶ εἰς τοὺς εἰδωλολάτρας —. Τὴν οἰκουμένην τὴν κατέστησες πολέμιόν μας, ὅλους τοὺς κατοίκους τῆς γῆς τοὺς ὥπλισες ἐναν-

μους, τυράννους, βασιλεῖς. Καὶ τὸ ἑξῆς δὲ πολὺ φρικωδέστερον, ὅταν καὶ ἀδελφοκτόνοι καὶ παιδοκτόνοι καὶ πατροκτόνοι δι' ἡμᾶς μέλλωσιν οἱ ἄνθρωποι γίνεσθαι. «Παραδώσει γάρ φησιν, ἀδελὸς ἀδελφὸν εἰς θάνατον, καὶ πατὴρ τέ-
5 *κνον, καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς, καὶ θανατώσουσιν αὐτούς».*

Πῶς οὖν οἱ λοιποί, φησί, πιστεύσουσιν, ὅταν ἴδωσι δι' ἡμᾶς παῖδας ὑπὸ πατέρων ἀναιρουμένους, καὶ ἀδελφοὺς ὑπὸ ἀδελφῶν, καὶ μιασμάτων τὰ πάντα πληρούμενα; Οὐ γὰρ ὡς
10 *δαίμονας ἀλάστορας, οὐ γὰρ ὡς ἐναγεῖς καὶ τῆς οἰκουμένης λυμεῶνας ἀπελάσουσιν ἡμᾶς πάντοθεν, αἱμάτων συγγενικῶν τὴν γῆν πληρουμένην ὁρῶντες καὶ φόνων τοιούτων; Καλήν γε (οὐ γάρ;) τὴν εἰρήνην εἰς τὰς οἰκίας εἰσάγοντες δώσομεν, τοσούτων αὐτὰς ἐμπιπλῶντες σφαγῶν. Εἰ γὰρ πολλοί τινες*
15 *ἦμεν, καὶ μὴ δώδεκα· εἰ γὰρ μὴ ἰδιῶται μηδὲ ἀγράμματοι, ἀλλὰ σοφοὶ καὶ ῥήτορες καὶ δεινοὶ λέγειν· μᾶλλον δὲ εἰ βασιλεῖς αὐτοί, καὶ στρατόπεδα ἔχοντες, καὶ χρημάτων περιουσίαν· πῶς ἂν ἰσχύσαμεν πεῖσαί τινας, ἐμφυλίους πολέμους ἀνάπτοντες, καὶ ἐμφυλίων δὲ πολλῷ χαλεπωτέρους;*
20 *Κἂν γὰρ τῆς ἡμετέρας σωτηρίας καταφρονήσωμεν, τίς ἡμῖν τῶν ἄλλων προσέξει;*

'Αλλ' οὐδὲν τούτων οὔτε ἐνενόησαν οὔτε εἶπον, οὔτε εὐθύνας ἀπῄτουν τῶν ἐπιταγμάτων, ἀλλ' εἶκον καὶ ἐπείθοντο μόνον. Τοῦτο δὲ οὐ τῆς αὐτῶν ἀρετῆς ἦν μόνον, ἀλλὰ καὶ
25 *τῆς τοῦ διδασκάλου σοφίας. Ὅρα γὰρ πῶς ἑκάστῳ τῶν δεινῶν παραμυθίαν παρέζευξε· καὶ ἐπὶ τῶν μὴ δεχομένων αὐ-*

τίον μας, τοὺς λαούς, τοὺς τυράννους, τοὺς βασιλεῖς. Τὸ πιὸ φρικωδέστερον ὅμως ἀπὸ ὅλα εἶναι αὐτὸ ποὺ θὰ συμβῇ εἰς τὴν συνέχειαν, ὅταν θὰ φθάσουν νὰ γίνουν οἱ ἄνθρωποι ἐξ αἰτίας μας καὶ ἀδελφοκτόνοι καὶ παιδοκτόνοι καὶ πατροκτόνοι. Διότι, λέγει, «Θὰ παραδώσῃ ὁ ἀδελφὸς τὸν ἀδελφόν του εἰς θάνατον καὶ ὁ πατὴρ τὸν υἱόν του καὶ θὰ ἐπαναστατήσουν τὰ τέκνα ἐναντίον τῶν γονέων των καὶ θὰ τοὺς θανατώσουν».

Πῶς λοιπὸν θὰ πιστεύσουν οἱ ἄλλοι ἄνθρωποι, ὅταν ἰδοῦν ἐξ αἰτίας μας τὰ παιδιὰ νὰ φονεύωνται ἀπὸ τοὺς πατέρας των καὶ τοὺς ἀδελφοὺς ἀπὸ τοὺς ἀδελφούς των καὶ τὰ πάντα νὰ πληροῦνται ἀπὸ φονικὰ μολύσματα; Δὲν θὰ μᾶς ἐκδιώξουν ὁπωσδήποτε ὡσὰν δαίμονας μολυσμένους καὶ ὡσὰν καταραμένους καταστροφεῖς τῆς οἰκουμένης ἀπὸ κάθε μέρος τῆς γῆς, βλέποντες τὴν γῆν νὰ πλημμυρίζῃ ἀπὸ αἵματα συγγενικὰ καὶ ἀπὸ τέτοιου εἴδους φόνους; Θὰ δώσωμεν λοιπὸν εἰσερχόμενοι εἰς τὰς οἰκίας καλὴν εἰρήνην γεμίζοντες αὐτὰς μὲ τόσας σφαγὰς (ἢ μήπως δὲν εἶναι ἔτσι;). Διότι ἐὰν ἤμεθα περισσότεροι καὶ ὄχι μόνον δώδεκα, ἐὰν δὲν ἤμεθα ἁπλοῖ πολῖται καὶ ἀγράμματοι, ἀλλὰ σοφοὶ καὶ ρήτορες καὶ δεινοὶ ὁμιληταί, μᾶλλον δὲ ἐὰν ἤμεθα οἱ ἴδιοι βασιλεῖς καὶ εἴχαμεν στρατὸν καὶ ἄφθονα χρήματα, πῶς θὰ ἠμπορούσαμεν νὰ πείσωμεν ὡρισμένους ἀνθρώπους, καθ' ἣν στιγμὴν ἀνάπτομεν ἐμφυλίους πολέμους καὶ μάλιστα πολὺ πιὸ χειροτέρους ἀπὸ τοὺς ἐμφυλίους; Διότι καὶ ἂν ἀκόμη περιφρονήσωμεν τὴν ἰδικήν μας σωτηρίαν, ποῖος θὰ μᾶς προσέξῃ ἀπὸ τοὺς ἄλλους ἀνθρώπους;

Ἀλλ' ὅμως τίποτε ἀπὸ αὐτὰ οὔτε ἐσκέφθησαν, οὔτε εἶπαν, οὔτε ἐζήτουν εὐθύνας διὰ τὰ προστάγματα, ἀλλ' ἁπλῶς καὶ μόνον ὑποχωροῦσαν καὶ ὑπήκουαν εἰς αὐτά. Αὐτὸ δὲ δὲν ἦτο καρπὸς μόνον τῆς ἀρετῆς των, ἀλλ' ὠφείλετο καὶ εἰς τὴν σοφίαν τοῦ διδασκάλου των. Πρόσεξε λοιπὸν πῶς συνέζευξε τὸ κάθε ἕνα ἀπὸ τὰ κακὰ μὲ τὴν παρηγορίαν· καὶ δι' ἐκείνους ποὺ δὲν τοὺς ἐδέχοντο ἔλεγε· «Θὰ

τοὺς ἔλεγεν· «Ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομμόρας ἐν ἡμέρᾳ κρίσεως, ἢ τῇ πόλει ἐκείνῃ»· καὶ ἐνταῦθα πάλιν εἰπών, «Ἐπὶ ἡγεμόνας καὶ βασιλεῖς ἀχθήσεσθε», ἐπήγαγεν, «Ἕνεκεν ἐμοῦ, εἰς μαρτύριον αὐτοῖς καὶ τοῖς ἔθνε-
5 σιν». Οὐ μικρὰ δὲ αὕτη παράκλησις, τὸ καὶ διὰ τὸν Χριστὸν ταῦτα πάσχειν, καὶ εἰς ἔλεγχον ἐκείνων. Ὁ γὰρ Θεός, κἂν μηδεὶς προσέχῃ, τὰ αὐτοῦ πανταχοῦ φαίνεται ποιῶν. Ταῦτα δὲ αὐτοὺς παρεκάλει, οὐκ ἐπειδὴ τῆς ἑτέρων ἐπεθύμουν τιμωρίας, ἀλλ' ἵνα θαρρεῖν ἔχωσιν, ὅτι πανταχοῦ αὐτὸν ἕξου-
10 σι συμπαρόντα, τὸν καὶ προειπόντα καὶ προειδότα ταῦτα, καὶ ὅτι οὐχ ὡς πονηροὶ καὶ λυμεῶνες ταῦτα πείσονται.

Μετὰ δὲ τούτων οὐ μικρὰν καὶ ἑτέραν προστίθησιν αὐτοῖς παράκλησιν, λέγων· «Ὅταν δὲ παραδώσουσιν ὑμᾶς, μὴ μεριμνήσητε πῶς ἢ τί λαλήσετε· δοθήσεται γὰρ ὑμῖν ἐν ἐ-
15 κείνῃ τῇ ὥρᾳ τί λαλήσετε. Οὐ γὰρ ὑμεῖς ἐστε οἱ λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν». Ἵνα γὰρ μὴ λέγωσι, πῶς πεῖσαι δυνησόμεθα, τοιούτων γινομένων πραγμάτων; καὶ περὶ τῆς ἀπολογίας κελεύει θαρρεῖν. Καὶ ἀλλαχοῦ μέν φησιν· «Ἐγὼ δώσω ὑμῖν στόμα καὶ σο-
20 φίαν»· ἐνταῦθα δέ, «Τὸ Πνεῦμα τοῦ Πατρὸς ὑμῶν ἐστι τὸ λαλοῦν ἐν ὑμῖν», εἰς τὸ τῶν προφητῶν αὐτοὺς ἀνάγων ἀξίωμα. Διὰ τοῦτο, ὅτε εἶπε τὴν δύναμιν τὴν δεδομένην, τότε καὶ τὰ δεινὰ ἐπήγαγε, τοὺς φόνους καὶ τὰς σφαγάς. «Παραδώσει γὰρ ἀδελφὸς ἀδελφόν, φησίν, εἰς θάνατον, καὶ
25 πατὴρ τέκνον, καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς, καὶ θα-

---

10. Ματθ. 10, 15.
11. Λουκᾶ 21, 15.

εἶναι περισσότερον ἀνεκτικὴ ἡ τιμωρία κατὰ τὴν ἡμέραν τῆς κρίσεως διὰ τοὺς κατοίκους τῶν Σοδόμων καὶ τῆς Γομόρας παρὰ διὰ τοὺς κατοίκους τῆς πόλεως ἐκείνης[10]. Καὶ εἰς τὴν περίπτωσιν πάλιν αὐτὴν ἀφοῦ εἶπε, «Θὰ ὁδηγηθῆτε ἐνώπιον τῶν ἡγεμόνων καὶ τῶν βασιλέων», προσέθεσε, «ἐξ αἰτίας μου, διὰ νὰ μαρτυρήσετε περὶ ἐμοῦ εἰς αὐτοὺς καὶ εἰς τὰ ἔθνη». Δὲν ἦτο μικρὰ λοιπὸν αὐτὴ ἡ παρηγορία, τὸ ὅτι δηλαδὴ ὑφίσταντο αὐτὰ πρὸς χάριν τοῦ Χριστοῦ καὶ εἰς ἔλεγχον ἐκείνων. Διότι ὁ Θεός, καὶ ἂν ἀκόμη δὲν προσέχῃ κανείς, καθίστα φανερὸν πανταοῦ ὅτι πράττει τὰ ἰδικά του. Τοὺς παρηγόρει δὲ τοὺς μαθητάς του μ' αὐτοὺς τοὺς λόγους του, ὄχι ἐπειδὴ ἤθελαν τὴν τιμωρίαν τῶν ἄλλων ἀνθρώπων, ἀλλὰ διὰ νὰ λαμβάνουν θάρρος ἀπὸ τὸ γεγονὸς ὅτι θὰ ἔχουν αὐτὸν συμπαραστάτην εἰς ὅλας τὰς περιπτώσεις, αὐτὸν ποὺ καὶ τὰ προεῖπε καὶ τὰ προέβλεψεν ὅλα αὐτά, καὶ ὅτι δὲν θὰ ὑποστοῦν αὐτὰ ὡσὰν πονηροὶ καὶ καταστροφεῖς.

Μαζὶ δὲ μὲ αὐτὰ προσθέτει καὶ ἄλλην καὶ μάλιστα ὄχι μικρὰν παρηγορίαν, λέγων τὰ ἑξῆς· «Ὅταν δὲ σᾶς παραδώσουν εἰς τὰς ἀρχὰς μὴ φροντίσετε πῶς ἢ τί θὰ εἰπῆτε, διότι θὰ σᾶς δοθῇ ἐκείνην τὴν στιγμὴν ἀπὸ τὸν Θεὸν τί θὰ εἰπῆτε. Διότι δὲν θὰ εἶσθε σεῖς ἐκεῖνοι ποὺ θὰ ὁμιλῆτε, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρός σας ποὺ θὰ ὁμιλῇ μέσῳ ὑμῶν». Διότι διὰ νὰ μὴ λέγουν, 'Πῶς θὰ ἠμπορέσωμεν νὰ τοὺς πείσωμεν καθ' ἣν στιγμὴν θὰ συμβαίνουν τέτοιου εἴδους πράγματα; τοὺς παραγγέλλει νὰ ἔχουν θάρρος καὶ διὰ τὴν ἀπολογίαν των. Καὶ εἰς ἄλλην μὲν περίπτωσιν λέγει· «Ἐγὼ θὰ σᾶς δώσω τὴν δύναμιν νὰ ὁμιλῆτε καὶ σοφίαν εἰς τοὺς λόγους σας»[11], εἰς αὐτὴν ὅμως, «Τὸ Πνεῦμα τοῦ Πατρός σας θὰ εἶναι ἐκεῖνο ποὺ θὰ ὁμιλῇ μέσῳ ὑμῶν», ἀνάγων αὐτοὺς εἰς τὸ ἀξίωμα τῶν προφητῶν. Διὰ τοῦτο, ὅταν τοὺς εἶπε τὴν δύναμιν ποὺ τοὺς ἔδιδε, τότε προσέθεσε καὶ τὰ κακά, τοὺς φόνους καὶ τὰς σφαγάς. «Διότι θὰ παραδώσῃ», λέγει, «ὁ ἀδελφὸς τὸν ἀδελφὸν εἰς θάνατον καὶ ὁ πατέρας τὸ τέκνον του καὶ θὰ ἐπαναστατήσουν τὰ τέκνα ἐναντίον

νατώσουσιν αὐτούς». Καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ καὶ τὸ πολὺ φρικωδέστερον προσέθηκε, καὶ πέτραν ἱκανὸν διασαλεῦσαι, ὅτι «Καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων». Καὶ ἐνταῦθα πάλιν ἐπὶ θύραις ἡ παράκλησις· «Διὰ τὸ ὄνομά μου», γάρ, φησί, ταῦτα πείσεσθε. Καὶ μετὰ τούτου πάλιν ἕτερον· «Ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται».

Ταῦτα δὲ καὶ ἄλλως ἱκανὰ ἦν ἀνορθῶσαι αὐτῶν τὰ φρονήματα, εἴγε τοσαύτη τοῦ κηρύγματος ἔμελλεν ἀνάπτεσθαι δύναμις, ὡς φύσιν ἀτιμάζεσθαι, καὶ συγγένειαν ἐκβάλλεσθαι, καὶ προτιμᾶσθαι πάντων τὸν λόγον, κατὰ κράτος πάντα ἐλαύνοντα. Εἰ γὰρ φύσεως τυραννὶς οὐκ ἰσχύει πρὸς τὰ λεγόμενα ἀντιστῆναι, ἀλλὰ διαλύεται καὶ καταπατεῖται, τί ἕτερον ὑμῶν περιγενέσθαι δυνήσεται; Οὐ μήν, ἐπειδὴ ταῦτα ἔσται, ἐν ἀδείᾳ ὑμῶν ἔσται ὁ βίος, ἀλλὰ καὶ κοινοὺς ἕξετε πολεμίους καὶ ἐχθροὺς τοὺς τὴν οἰκουμένην οἰκοῦντας.

4. Ποῦ νῦν Πλάτων; ποῦ Πυθαγόρας; ποῦ τῶν Στωϊκῶν ὁ ὁρμαθς; Καὶ γὰρ πολλῆς ἀπολαύσας ἐκεῖνος τιμῆς, οὕτως ἠλέγχετο, ὡς καὶ ἀπεμποληθῆναι, καὶ μηδὲν ὧν ἐβούλετο κατορθῶσαι, οὐδὲ ἐφ' ἑνὸς τυράννου· ὁ δὲ καὶ τοὺς μαθητὰς προδούς, ἐλεεινῶς τὸν βίον κατέλυσε. Καὶ τὰ Κυνικὰ καθάρματα ὥσπερ ὄναρ καὶ σκιὰ πάντες παρῆλθον. Καίτοιγε οὐδέποτε τοιοῦτον οὐδὲν ἐκείνοις συνέπεσεν, ἀλλὰ καὶ

---

12. Πλάτων· ὁ γνωστὸς φιλόσοφος τῆς ἀρχαιότητος. Ἐγεννήθη εἰς Ἀθήνας τὸ 428 π.Χ. καὶ ἀπέθανε τὸ 347 π.Χ.

13. Πυθαγόρας· ἐγεννήθη εἰς Σάμον τὸ 580 π.Χ. Ἀπέθανε τὸ 500 π.Χ. Ἵδρυσε τὴν λεγομένην Πυθαγόρειον Σχολήν.

14. Στωϊκοί· ἐκαλοῦντο οἱ ὀπαδοὶ τοῦ Ζήνωνος τοῦ Κητιέως.

15. Πρόκειται περὶ τοῦ τυράννου τῶν Συρακουσῶν Διονυσίου τοῦ ἐπικαλουμένου πρεσβυτέρου, ὅστις εἶχε καλὰς σχέσεις μὲ τὸν Πλάτωνα.

16. Πρόκειται περὶ τοῦ Πυθαγόρου.

17. Διογένους Λαερτίου, Βίοι φιλοσόφων, Δ' 5, 39-41. Συνελήφθη καὶ κατεσφάγη ἀπὸ τοὺς διώκτας του.

τῶν γονέων των καὶ θὰ τοὺς θανατώσουν». Καὶ δὲν ἐσταμάτησεν εἰς αὐτό, ἀλλὰ προσέθεσε καὶ τὸ πάρα πολὺ φρικιαστικὸν ποὺ εἶναι ἱκανὸν καὶ πέτραν νὰ σαλεύσῃ, δηλαδὴ τὸ «Καὶ θὰ σᾶς μισοῦν ὅλοι». Εἶναι ὁλοφάνερη λοιπὸν ἡ παρηγορία καὶ εἰς αὐτὴν τὴν περίπτωσιν· διότι, λέγει, αὐτὰ θὰ τὰ πάθετε «ἐξ αἰτίας τοῦ ὀνόματός μου». Καὶ εἰς τὴν συνέχειαν πάλιν προσθέτει ἄλλην παρηγορίαν· «Αὐτὸς ὅμως ποὺ θὰ ὑπομείνῃ ὅλα αὐτὰ μέχρι τέλους, αὐτὸς θὰ σωθῇ».

Αὐτὰ τὰ λόγια ἦσαν ὁπωσδήποτε ἱκανὰ ν' ἀνορθώσουν τὰ φρονήματά των, ἐφ' ὅσον ἐπρόκειτο ν' ἀποβῇ τόσον μεγάλη ἡ δύναμις τοῦ κηρύγματος, ὥστε νὰ ἔφθανε νὰ περιφρονῆται ἡ φύσις, νὰ μὴ ὑπολογίζεται ἡ συγγένεια, καὶ νὰ προτιμᾶται ἀντὶ ὅλων τῶν ἄλλων τὸ κήρυγμα τοῦ εὐαγγελίου, ἐκδιώκοντα τὰ πάντα κατὰ κράτος. Διότι ἐὰν δὲν ἠμπορεῖ ν' ἀντισταθῇ εἰς ὅσα λέγονται ἡ δύναμις τῆς φύσεως, ἀλλὰ διαλύεται καὶ καταπατεῖται, τί ἄλλο θὰ ἠμπορέσῃ νὰ σᾶς καταβάλῃ; 'Αλλ' ὅμως ἐπειδὴ θὰ συμβοῦν αὐτὰ δὲν σημαίνει ὅτι θὰ εὑρίσκεται ἐν ἀσφαλείᾳ ἡ ζωή σας, ἀλλὰ θ' ἀντιμετωπίσετε καὶ καινούργιους ἀντιπάλους καὶ ἐχθροὺς οἱ ὁποῖοι κατοικοῦν εἰς ὁλόκληρον τὴν οἰκουμένην.

4. Ποῦ εἶναι τώρα ὁ Πλάτων[12]; ποῦ εἶναι ὁ Πυθαγόρας[13]; ποῦ τὸ πλῆθος τῶν Στωϊκῶν[14]; Καθόσον ἐκεῖνος (ὁ Πλάτων), ἂν καὶ ἔχαιρε μεγάλης τιμῆς καὶ ὑπολήψεως, παρὰ ταῦτα καὶ ἐκατηγορήθη ὥστε νὰ συμβῇ καὶ νὰ πωληθῇ ὡς δοῦλος καὶ νὰ μὴ ἐπιτύχῃ νὰ πραγματοποιήσῃ αὐτὰ ποὺ ἐσκέπτετο, οὔτε ἀκόμη καὶ μὲ τὴν βοήθειαν κάποιου τυράννου[15]. Ὁ Πυθαγόρας[16] πάλιν ἀφοῦ ἐπρόδωσε τοὺς μαθητάς του, ἀπέθανε κατὰ τρόπον ἐλεεινόν[17]. Καὶ οἱ κυνικοὶ φιλόσοφοι[18], τὰ ἀπορρίμματα αὐτὰ τῆς κοινωνίας, ὅλοι ἔφυγαν ἀπὸ αὐτὸν τὸν κόσμον ὡσὰν ὄνειρον καὶ σκιά. Καὶ εἶναι ἀλήθεια βέβαια ὅτι ἐκείνους δὲν τοὺς συνέβη κανένα

---

18. Κυνικοί· ὀπαδοὶ τοῦ 'Αντισθένους. 'Επρέσβευον ὅτι ὁ ἄνθρωπος ἀπαλλασσόμενος τῶν βιωτικῶν ἀναγκῶν πλησιάζει τὸ θεῖον.

λαμπροὶ διὰ τὴν φιλοσοφίαν τὴν ἔξωθεν εἶναι ἐδόκουν, καὶ τὰς ἐπιστολὰς ἀνέθεσαν δημοσίᾳ Ἀθηναῖοι τὰς Πλάτωνος παρὰ Δίωνος πεμφθείσας, καὶ ἐν ἀνέσει τὸν πάντα διῆγον χρόνον, καὶ χρήμασιν ἐπλούτουν οὐκ ὀλίγοις. Οὕτω
5 *γοῦν ὁ μὲν Ἀρίστιππος πόρνας ἠγόραζε πολυτελεῖς· ὁ δὲ διαθήκας ἔγραφεν, οὐ τὸν τυχόντα κλῆρον καταλιμπάνων· ὁ δέ, τῶν μαθητῶν γεφυρωσάντων ἑαυτούς, ἄνωθεν ἐβάδιζε· τὸν δὲ Σινωπέα φασὶ καὶ δημοσίᾳ ἀσχημονεῖν ἐπὶ τῆς ἀγορᾶς. Ταῦτα γὰρ αὐτῶν τὰ σεμνά. Ἀλλ' οὐδὲν τοιοῦτον*
10 *ἐνταῦθα, ἀλλ' ἐπιτεταμένη σωφροσύνη καὶ κοσμιότης ἠκριβωμένη, καὶ πόλεμος πρὸς τὴν οἰκουμένην ἅπασαν ὑπὲρ τῆς ἀληθείας καὶ τῆς εὐσεβείας, καὶ τὸ καθ' ἑκάστην σφάττεσθαι τὴν ἡμέραν, καὶ μετὰ ταῦτα τὰ λαμπρὰ τρόπαια.*

Ἀλλ' εἰσί τινες, φησί, καὶ στρατηγικοὶ παρ' αὐτοῖς,
15 *οἷον, ὁ Θεμιστοκλῆς, ὁ Περικλῆς. Ἀλλὰ καὶ ταῦτα παίδων ἀθύρματα πρὸς τὰ τῶν ἁλιέων. Τί γὰρ ἂν ἔχοις εἰπεῖν; Ὅτι τοὺς Ἀθηναίους ἔπεισεν ἐπιβῆναι τῶν πλοίων, τοῦ Ξέρξου κατὰ τῆς Ἑλλάδος ἐλαύνοντος; Ἐνταῦθα δὲ οὐ Ξέρξου ἐλαύνοντος, ἀλλὰ τοῦ διαβόλου μετὰ τῆς οἰκουμένης*
20 *ἁπάσης καὶ τῶν ἀπείρων δαιμόνων κατὰ τῶν δώδεκα τούτων ἐπιόντων, οὐκ ἑνὶ καιρῷ, ἀλλὰ διὰ παντὸς τοῦ βίου, περιεγένοντο καὶ ἐκράτησαν· καὶ τὸ δὴ θαυμαστόν, οὐκ ἀνελόντες τοὺς ἐναντίους, ἀλλὰ μεταβαλόντες καὶ μεταρρυθμίσαν-*

---

19. Δίων· Κατήγετο ἀπὸ τὰς Συρακούσας, τὰς ὁποίας ἐκυβέρνησεν ὀλιγαρχικῶς διὰ μικρὸν διάστημα.

20. Ἀρίστιππος· Κατήγετο ἀπὸ τὴν Κυρήνην, διετέλεσε μαθητὴς τοῦ Σωκράτους καὶ πρῶτος ἐδίδαξεν ἐπὶ χρήμασι. Ὑπῆρξεν ἱδρυτὴς τῆς Κυρηναϊκῆς Σχολῆς.

21. Πρόκειται περὶ τοῦ Διογένους ποὺ κατήγετο ἀπὸ τὴν Σινώπην τοῦ Πόντου. Βλ. Διογένους Λαερτίου, Βίοι φιλοσόφων 6, 20-81.

22. Πολιτικὸς καὶ στρατιωτικὸς τῶν Ἀθηνῶν. Συνέβαλε τὰ μέγιστα εἰς τὴν ἐξύψωσιν τοῦ Ἀθηναϊκοῦ μεγαλείου.

23. Ὁ σημαντικώτερος τῶν πολιτικῶν τῆς ἀρχαιότητος, ἐπὶ τῆς ἐποχῆς τοῦ ὁποίου αἱ Ἀθῆναι ἔφθασαν εἰς τὴν μεγαλυτέραν ἀκμήν των.

παρόμοιον κακόν, ἀλλ' ἐθεωροῦντο, ἀντιθέτως, πολὺ σπουδαῖοι διὰ τὴν κοσμικὴν φιλοσοφίαν των, καὶ τὰς ἐπιστολὰς τοῦ Δίωνος[19], τὰς ἀποσταλείσας πρὸς τὸν Πλάτωνα, οἱ Ἀθηναῖοι τὰς ἐτοποθέτησαν εἰς τὴν ἀγοράν, καὶ ἐπερνοῦσαν ὅλην τὴν ζωήν των μὲ ἄνεσιν καὶ δὲν ἦσαν ὀλίγα τὰ χρήματα ποὺ ἀπέκτησαν. Ἔτσι λοιπὸν ὁ μὲν Ἀρίστιππος[20] ἠγόραζε πολυδαπάνους πόρνας, ἄλλος πάλιν ἔγραφε διαθήκην, μὲ τὴν ὁποίαν ἄφηνεν ὄχι ὀλίγην περιουσίαν, καὶ ἄλλος, πάλιν, ἐβάδιζεν ἐπάνω ἀπὸ τὴν γέφυραν ποὺ ἐσχημάτιζαν μὲ τὰ σώματά των οἱ μαθηταί του, καὶ τέλος, λέγουν, ὅτι ὁ Σινωπεὺς[21] ἔκαμεν ἀσχημοσύνας δημοσίως εἰς τὴν ἀγοράν. Αὐτὰ λοιπὸν ἦσαν τὰ σεμνὰ ἔργα αὐτῶν. Εἰς τὴν περίπτωσιν ὅμως τῶν ἀποστόλων δὲν ὑπάρχει τίποτε τὸ παρόμοιον, ἀλλ' ἀντιθέτως ὑπάρχει ὑπέρμετρος σωφροσύνη καὶ τελεία κοσμιότης καὶ πόλεμος ὑπὲρ τῆς ἀληθείας καὶ τῆς εὐσεβείας ἐναντίον ὁλοκλήρου τῆς οἰκουμένης, καὶ οἱ καθημεριναὶ σφαγαὶ καὶ εἰς τὴν συνέχειαν τὰ λαμπρὰ τρόπαια.

Ὑπάρχουν ὅμως καὶ ὡρισμένοι, θὰ ἔλεγε κανείς, κοντὰ εἰς αὐτοὺς μὲ στρατηγικὰς ἱκανότητας, ὅπως λόγῳ χάριν ὁ Θεμιστοκλῆς[22] καὶ ὁ Περικλῆς[23]. Ἀλλὰ καὶ τὰ ἔργα αὐτῶν εἶναι παιδικὰ παιχνίδια ἐμπρὸς εἰς τὰ κατορθώματα τῶν ἁλιέων. Διότι τί θὰ ἠμποροῦσες νὰ εἰπῇς δι' αὐτούς; Τὸ ὅτι ἔπεισε τοὺς Ἀθηναίους νὰ ἐπιβιβασθοῦν εἰς τὰ πλοῖα ὅταν ὁ Ξέρξης[24] ἐξεστράτευεν ἐναντίον τῆς Ἑλλάδος; Εἰς τὴν περίπτωσιν ὅμως τῶν ἀποστόλων δὲν ἐξεστράτευεν ὁ Ξέρξης, ἀλλὰ μολονότι ἐβάδιζαν ὁ διάβολος μαζὶ μὲ ὁλόκληρον τὴν οἰκουμένην καὶ τοὺς ἀμετρήτους δαίμονάς του ἐναντίον αὐτῶν τῶν δώδεκα, ὄχι μόνον ἐν ὡρισμένῳ χρόνῳ ἀλλὰ καθ' ὅλην τὴν ζωήν των, ὑπερίσχυσαν καὶ ἐπεκράτησαν. Καὶ τὸ πιὸ ἀξιοθαύμαστον βεβαίως εἶναι τὸ ὅτι δὲν ἐφόνευαν τοὺς ἀντιπάλους των, ἀλλὰ καὶ μετέβαλλαν τὰς διαθέσεις αὐτῶν καὶ ἤλλασσαν τὸν τρόπον τῆς ζωῆς των. Διότι πρέπει

---

24. Πέρσης βασιλεύς, υἱὸς τοῦ Δαρείου, ἐκστρατεύσας ἐναντίον τῆς Ἑλλάδος, ἡττήθη εἰς τὴν ναυμαχίαν τῆς Σαλαμῖνος τὸ 480 π.Χ.

τες. Τοῦτο γὰρ μάλιστα δεῖ πανταχοῦ παρατηρεῖν, ὅτι οὐκ ἀνεῖλον, οὐδὲ ἠφάνισαν τοὺς ἐπιβουλεύοντας αὐτοῖς, ἀλλὰ δαιμόνων λαβόντες ἴσους, ἀγγέλων ἐποίησαν ἐφαμίλλους, τὴν μὲν ἀνθρωπίνην φύσιν τῆς πονηρᾶς ταύτης ἐλευθερώ-
5 *σαντες τυραννίδος, τοὺς δὲ ἀλιτηρίους ἐκείνους καὶ πάντα συνταράττοντας δαίμονας ἐκ μέσων ἀγορῶν καὶ οἰκιῶν, μᾶλλον δὲ καὶ αὐτῆς ἀπελάσαντες τῆς ἐρημίας. Καὶ μαρτυροῦσιν οἱ τῶν μοναχῶν χοροί, οὓς κατεφύτευσαν πανταχοῦ, οὐ τὴν οἰκουμένην μόνον, ἀλλὰ καὶ τὴν ἀοίκητον ἐκκαθάραν-*
10 *τες. Καὶ τὸ δὴ θαυμαστότερον, ὅτι οὐκ ἐκ παρατάξεως ἴσης ταῦτα ἐποίουν, ἀλλ' ἐν τῷ πάσχειν κακῶς πάντα ἤνυον. Καὶ γὰρ εἶχον αὐτοὺς ἐν τῷ μέσῳ, δώδεκα ἀνθρώπους ἰδιώτας, δεσμεύοντες, μαστίζοντες, περιάγοντες, καὶ οὐκ ἴσχυον ἐπιστομίσαι· ἀλλ' ὥσπερ τὴν ἀκτῖνα δῆσαι ἀδύνατον, οὕτω καὶ*
15 *τὴν γλῶτταν ἐκείνων. Τὸ δὲ αἴτιον, οὐκ αὐτοὶ ἦσαν οἱ λαλοῦντες, ἀλλ' ἡ τοῦ Πνεύματος δύναμις. Οὕτω γοῦν καὶ ὁ Παῦλος ἐνίκησε τοὺς περὶ Ἀγρίππαν, καὶ τὸν κακίᾳ νικήσαντα πάντας ἀνθρώπους Νέρωνα. «Ὁ γὰρ Κύριός μοι παρέστη», φησί, «καὶ ἐνεδυνάμωσέ με, καὶ ἐρρύσατό με ἐκ*
20 *στόματος λέοντος».*

Σὺ δὲ καὶ αὐτοὺς θαύμαζε, πῶς ἀκούσαντες, «μὴ μεριμνήσητε», καὶ ἐπίστευσαν καὶ κατεδέξαντο, καὶ οὐδὲν αὐτοὺς τῶν φοβερῶν ἐξέπληξεν. Εἰ δὲ λέγοις, ὅτι ἱκανὴν αὐτοῖς δέδωκε παράκλησιν τῷ εἰπεῖν, ὅτι «Τὸ Πνεῦμα τοῦ
25 *Πατρὸς ὑμῶν ἔσται τὸ λαλοῦν»· καὶ διὰ τοῦτο μάλιστα ἐκπλήττομαι αὐτούς, ὅτι οὐκ ἀμφέβαλον, οὐδὲ ἐζήτησαν ἀπαλ-*

---

25. Εἶναι ὁ Ἀγρίππας Ἡρώδης. Βλ. σχετικῶς μὲ τὴν ἐπιθυμίαν του νὰ γνωρίσῃ τὸν Παῦλον. Πράξ. 25, 13-26, 32.
26. Ρωμαῖος αὐτοκράτωρ, κατὰ τὸν διωγμὸν τοῦ ὁποίου ἐναντίον τῶν Χριστιανῶν ἐμαρτύρησεν ὁ Παῦλος.
27. Β' Τιμ. 4, 17.

αὐτὸ κατ' ἐξοχὴν νὰ προσέχωμεν παντοῦ, τὸ ὅτι δηλαδὴ δὲν ἐφόνευσαν οὔτε ἠφάνισαν αὐτοὺς ποὺ τοὺς ἐπεβουλεύοντο, ἀλλὰ μολονότι εἰς τὴν ἀρχὴν ὡμοίαζαν μὲ δαίμονας τοὺς ἔκαναν ὁμοίους μὲ τοὺς ἀγγέλους, ἀφοῦ ἀφ' ἑνὸς μὲν ἠλευθέρωσαν τὴν ἀνθρωπίνην φύσιν ἀπὸ τὴν πονηρὰν αὐτὴν ἐξουσίαν, ἀφ' ἑτέρου δὲ ἀφοῦ ἐξεδίωξαν τοὺς πανούργους ἐκείνους δαίμονας, ποὺ διαταράσσουν τὰ πάντα, ἀπὸ τὰς ἀγορὰς καὶ τὰς οἰκίας καὶ ἀπὸ αὐτὴν ἀκόμη τὴν ἔρημον. Καὶ αὐτὸ τὸ ἐπεβεβαιώνουν τὰ πλήθη τῶν μοναχῶν, τοὺς ὁποίους ἐφύτευσαν, κατὰ κάποιον τρόπον, εἰς ὅλα τὰ μέρη καὶ ἔτσι ἐκαθάρισαν ὄχι μόνον τὴν κατοικουμένην γῆν ἀλλὰ καὶ τὴν ἀκατοίκητον. Καὶ τὸ πιὸ ἀξιοθαύμαστον βέβαια εἶναι, ὅτι ἔκαναν ὅλα αὐτὰ ὄχι μὲ ἴσας παρατάξεις ἔναντι τῶν ἀντιπάλων των, ἀλλὰ τὰ πάντα ἐπετύγχαναν μὲ τὸ νὰ ὑποφέρουν. Καθόσον οἱ ἀντίπαλοί των εἶχαν ν' ἀντιμετωπίσουν δώδεκα ἁπλοὺς ἀνθρώπους, τοὺς ὁποίους ἐφυλάκιζαν, ἐμαστίγωναν, τοὺς ἔσυραν ἐδῶ καὶ ἐκεῖ, καὶ ὅμως δὲν ἠμποροῦσαν νὰ κλείσουν τὸ στόμα των. Ἀλλ' ὅπως ἀκριβῶς εἶναι ἀδύνατον νὰ δέσῃ κανεὶς τὴν ἀκτῖνα, ἔτσι δὲν ἠμπόρεσαν νὰ δέσουν τὴν γλῶσσαν ἐκείνων. Καὶ ἡ αἰτία ἦτο τὸ ὅτι δὲν ἦσαν αὐτοὶ ποὺ ὡμίλουν, ἀλλ' ἡ δύναμις τοῦ ἁγίου Πνεύματος. Ἔτσι λοιπὸν καὶ ὁ Παῦλος ἐνίκησε τοὺς ἀνθρώπους τοῦ Ἀγρίππα[25] καὶ τὸν Νέρωνα[26], ὁ ὁποῖος ὑπερέβαλεν ὅλους τοὺς ἀνθρώπους ὡς πρὸς τὴν κακίαν. «Διότι ὁ Κύριός μου, λέγει, «μὲ συμπαρεστάθη καὶ μὲ ἐνεδυνάμωσε καὶ μὲ ἠλευθέρωσεν ἀπὸ τὸ στόμα τοῦ λέοντος»[27].

Σὺ ὅμως θαύμαζε καὶ τοὺς ἀποστόλους, πῶς, δηλαδή, ὅταν ἤκουσαν τοὺς λόγους τοῦ Κυρίου, «Νὰ μὴ φροντίσετε», καὶ ἐπίστευσαν καὶ ἐδέχθησαν τὴν προσταγὴν καὶ δὲν ἐξεπλάγησαν μὲ τίποτε ἐξ ὅλων αὐτῶν τῶν φοβερῶν. Ἐὰν πάλιν ἤθελες εἰπεῖ, ὅτι τοὺς ἔδωσε πολλὴν παρηγορίαν ὁ λόγος τοῦ Κυρίου, ὅτι «Τὸ Πνεῦμα τοῦ Πατρός σας θὰ εἶναι ἐκεῖνο ποὺ θὰ ὁμιλῇ μέσῳ ὑμῶν», ἀκριβῶς δι' αὐτὸ ἐκπλήσσομαι μὲ αὐτούς, τὸ ὅτι δηλαδὴ οὔτε ἀμφέβαλαν, οὔτε ἐζή-

λαγὴν τῶν δεινῶν· καὶ ταῦτα, οὐ δύο, οὐ τρία ἔτη μέλλοντες ταῦτα πάσχειν, ἀλλὰ παρὰ πάντα τὸν βίον. Τὸ γὰρ εἰπεῖν, «Ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται», τοῦτό ἐστιν αἰνιττομένου. Βούλεται γὰρ μὴ τὰ παρ' αὐτοῦ μόνον
5 *εἰσφέρεσθαι, ἀλλὰ καὶ παρ' αὐτῶν γίνεσθαι τὰ κατορθώματα. Σκόπει γοῦν ἄνωθεν πῶς τὰ μὲν αὐτοῦ, τὰ δὲ τῶν μαθητῶν γίνεται. Τὸ μὲν γὰρ σημεῖα ποιεῖν, αὐτοῦ· τὸ δὲ μὴ κτήσασθαι μηδέν, ἐκείνων. Πάλιν, τὸ τὰς οἰκίας ἀνοῖξαι πάσας, τῆς ἄνωθεν χάριτος· τὸ δὲ μηδὲν πλέον τῆς χρείας*
10 *ἀπαιτῆσαι, τῆς αὐτῶν φιλοσοφίας· «Ἄξιος γὰρ ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ». Τὸ τὴν εἰρήνην χαρίσασθαι, τῆς τοῦ Θεοῦ δωρεᾶς· τὸ τοὺς ἀξίους ἐπιζητεῖν, καὶ μὴ πρὸς πάντας ἁπλῶς εἰσιέναι, τῆς αὐτῶν ἐγκρατείας. Πάλιν, τὸ κολάζειν τοὺς μὴ δεχομένους αὐτούς, αὐτοῦ· τὸ δὲ μετ' ἐπιεικείας ἀναχω-*
15 *ρεῖν ἐκ τούτων, μὴ λοιδορουμένους, μηδὲ ὑβρίζοντας, τῆς τῶν ἀποστόλων πραότητος. Τὸ δοῦναι Πνεῦμα, καὶ μὴ ποιῆσαι μεριμνᾶν, τοῦ πέμποντος ἦν· τὸ δὲ ὡς πρόβατα γίνεσθαι καὶ περιστεράς, καὶ φέρειν πάντα γενναίως, τῆς τούτων εὐτονίας καὶ συνέσεως. Τὸ μισεῖσθαι, καὶ τὸ μὴ καταπίπτειν,*
20 *καὶ τὸ ὑπομένειν, αὐτῶν· τὸ ὑπομείναντας σῶσαι, τοῦ πέμποντος. Διὸ καὶ ἔλεγεν· «Ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται».*

---

28. Ματθ. 10, 10.

τησαν νὰ τοὺς ἀπαλλάξῃ ἀπὸ τὰς συμφοράς, καθ' ἣν στιγμὴν μάλιστα ἐπρόκειτο νὰ ὑποστοῦν ὅλα αὐτὰ τὰ κακά· ὄχι δύο ἢ τρία ἔτη, ἀλλὰ εἰς ὅλην τὴν ζωήν των. Διότι ὁ λόγος τοῦ Κυρίου, «Αὐτὸς ποὺ θὰ ὑπομείνῃ ὅλα αὐτὰ μέχρι τέλους αὐτὸς θὰ σωθῇ, αὐτὸ ἀκριβῶς ὑπαινίσσεται. Διότι ἐπιθυμεῖ ὁ Κύριος νὰ μὴ δίδῃ μόνον ἀπὸ τὰ ἰδικά του, ἀλλὰ νὰ προέρχωνται καὶ ἀπὸ αὐτοὺς τοὺς ἰδίους τὰ κατορθώματα. Πρὸς τοῦτο πρόσεξε λοιπὸν ἀπ' ἀρχῆς μὲ ποῖον τρόπον ἄλλα μὲν εἶναι ἔργα τοῦ ἰδίου, ἄλλα δὲ προέρχονται ἀπὸ αὐτοὺς τοὺς ἰδίους. Διότι, βέβαια, τὸ ὅτι ἐνήργουν θαύματα, αὐτὸ ἦτο ἔργον τοῦ Κυρίου, τὸ ὅτι δὲ δὲν εἶχαν καμμίαν περιουσίαν ἦτο ἔργον ἰδικόν των. Ἐπίσης, τὸ ὅτι θὰ ἤνοιγαν ὅλαι αἱ οἰκίαι διὰ νὰ τοὺς ὑποδεχθοῦν ἦτο ἔργον τῆς θείας χάριτος, τὸ ὅτι ὅμως δὲν ἐζήτησαν τίποτε περισσότερον ἀπὸ τὰ ἀναγκαῖα εἰς τὴν ζωὴν ἦτο καρπὸς τῆς ἰδικῆς των φιλοσοφίας· «Διότι ὁ ἐργαζόμενος δικαιοῦται τὴν τροφήν του»[28]. Τὸ ὅτι ἔπρεπε νὰ χαρίσουν τὴν εἰρήνην ἦτο κάτι ποὺ ἐξηρτᾶτο ἀπὸ τὴν δωρεὰν τοῦ Θεοῦ, τὸ νὰ ἀναζητοῦν ὅμως τοὺς ἀξίους καὶ νὰ μὴ εἰσέρχωνται εἰς τὰς οἰκίας ὅλων γενικῶς ἐξηρτᾶτο ἀπὸ τὴν ἰδικήν των ἐγκράτειαν. Προσέτι τὸ νὰ τιμωροῦν αὐτοὺς ποὺ δὲν τοὺς ἐδέχοντο ἦτο ἔργον τοῦ Κυρίου, τὸ νὰ ἐγκαταλείπουν ὅμως αὐτοὺς μὲ ὅλην τὴν ἐπιείκειάν των χωρὶς νὰ τοὺς χλευάζουν καὶ νὰ τοὺς ὑβρίζουν, ἦτο ἀποτέλεσμα τῆς πραότητος τῶν ἀποστόλων. Τὸ νὰ τοὺς δώσῃ τὸ ἅγιον Πνεῦμα καὶ νὰ τοὺς ἀπαλλάξῃ ἀπὸ τὴν φροντίδα ἦτο ἔργον τοῦ Κυρίου, τὸ νὰ γίνουν ὅμως ὡσὰν τὰ πρόβατα καὶ τὰς περιστερὰς καὶ νὰ ὑπομένουν ὅλα μὲ γενναιότητα ἦτο ἀποτέλεσμα τῆς ἰδικῆς των δυνάμεως καὶ συνέσεως. Τὸ ὅτι θὰ ἐμισοῦντο χωρὶς ὅμως νὰ χάνουν τὸ θάρρος των καὶ τὸ ὅτι θὰ ὑπέμεναν ὅλα τὰ δεινὰ ὠφείλετο εἰς αὐτοὺς τοὺς ἰδίους, ἡ σωτηρία ὅμως αὐτῶν ποὺ θὰ ὑπέμεναν ὅλα αὐτὰ ἦτο ἔργον τοῦ Κυρίου· «Ἐκεῖνος ποὺ θὰ τὰ ὑπομείνῃ ὅλα αὐτὰ μέχρι τέλους, αὐτὸς θὰ σωθῇ».

5. Ἐπειδὴ γὰρ εἰώθασιν οἱ πολλοί, ἐν μὲν τοῖς προοιμίοις εἶναι σφοδροί, μετὰ δὲ ταῦτα ἐκλύεσθαι, διὰ τοῦτό φησιν, ὅτι τὸ τέλος ἐπιζητῶ. Τί γὰρ ὄφελος σπερμάτων, παρὰ μὲν τὴν ἀρχὴν ἀνθούντων, μικρὸν δὲ ὕστερον μαραινομένων; Διὰ
5 *τοῦτο διαρκῆ τὴν ὑπομονὴν παρ' αὐτῶν ἀπαιτεῖ. Ἵνα γὰρ μή τις λέγῃ, ὅτι τὸ πᾶν αὐτὸς ἐποίησε, καὶ θαυμαστὸν οὐδέν, τοιούτους ἐκείνους γενέσθαι οὐδὲν πάσχοντας φορτικόν, διὰ τοῦτό φησιν αὐτοῖς, ὅτι καὶ τῆς ὑπομονῆς ὑμῶν χρεία. Κἂν γὰρ τῶν πρώτων ἐξαρπάσω κινδύνων, ἑτέροις χαλεπωτέροις*
10 *τηρῶ, καὶ μετ' ἐκείνους πάλιν ἕτεροι διαδέξονται· καὶ οὐ στήσεσθε ἐπιβουλευόμενοι, ἕως ἂν ἐμπνέητε. Τοῦτο γὰρ ᾐνίξατο εἰπών· «Ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται». Διὰ δὴ τοῦτο καὶ εἰπών, «Μὴ μεριμνήσητε, τί λαλήσετε», ἀλλαχοῦ φησιν· «Ἕτοιμοι γίνεσθε πρὸς ἀπολογίαν παν-*
15 *τὶ τῷ αἰτοῦντι ὑμᾶς λόγον περὶ τῆς ἐν ὑμῖν ἐλπίδος». Ὅταν μὲν γὰρ μεταξὺ φίλων ὁ ἀγὼν ᾖ, κελεύει καὶ ἡμᾶς μεριμνᾶν· ὅταν δὲ δικαστήριον φοβερόν, καὶ δῆμοι μαινόμενοι, καὶ φόβος πάντοθεν, τὴν παρ' αὐτοῦ παρέχει ῥοπήν, ὥστε θαρρῆσαι καὶ φθέγξασθαι, καὶ μὴ καταπλαγῆναι, μηδὲ προ-*
20 *δοῦναι τὰ δίκαια. Καὶ γὰρ πολὺ μέγα ἦν, ἄνθρωπον περὶ λίμνας ἠσχολημένον καὶ δέρματα καὶ τελωνεῖαν, τυράννων καθημένων, καὶ σατραπῶν παρεστηκότων καὶ δορυφόρων, καὶ τῶν ξιφῶν γεγυμνωμένων, καὶ πάντων μετ' ἐκείνων ἑστώτων, εἰσελθόντα μόνον, δεδεμένον, κάτω κύπτοντα, δυ-*

---

29. Α´ Πέτρ. 3, 15.

5. Ἐπειδή, βέβαια, συνηθίζουν οἱ περισσότεροι, ὅταν ἀναλαμβάνουν ἕνα ἔργον, εἰς τὴν ἀρχὴν μὲν νὰ εἶναι ἐνθουσιώδεις, μὲ τὴν πάροδον ὅμως τοῦ χρόνου νὰ μειώνουν τὰς προσπαθείας των, διὰ τοῦτο λέγει, ὅτι 'Τὸ τέλος ζητῶ ἀπὸ σᾶς'. Διότι ποία εἶναι ἡ ὠφέλεια ἀπὸ τὰ σπέρματα ἐκεῖνα, ποὺ ἀρχικῶς μὲν βλαστάνουν, ἐνῷ μετὰ ἀπὸ ὀλίγον χρόνον μαραίνονται; Διὰ τὸν λόγον αὐτὸν ζητεῖ ἀπ' αὐτοὺς νὰ εἶναι διαρκὴς ἡ ὑπομονή των. Διότι, διὰ νὰ μὴ εἴπῃ κανείς, ὅτι ὅλα γενικῶς τὰ ἔκαμεν ὁ Κύριος καὶ δὲν ὑπάρχει ἑπομένως τίποτε τὸ ἀξιοθαύμαστον ποὺ ἐκεῖνοι ἔγιναν τοιοῦτοι χωρὶς νὰ πάθουν τίποτε τὸ φοβερόν, διὰ τοῦτο τοὺς λέγει, ὅτι '"Εχετε ἀνάγκην καὶ ἀπὸ τὴν ὑπομονήν'. Διότι καὶ ἂν ἀκόμη σᾶς σώσω ἀπὸ τοὺς πρώτους κινδύνους, σᾶς ἐπιφυλάσσω ἄλλους πιὸ φοβεροὺς καὶ μετὰ ἀπὸ ἐκείνους πάλιν θὰ ἀκολουθήσουν ἄλλοι, καὶ δὲν θὰ παύσετε νὰ ὑφίστασθε κινδύνους ἐν ὅσῳ θὰ ζῆτε. Καὶ αὐτὸ ὑπονοοῦσεν ὅταν ἔλεγεν· «Αὐτὸς ποὺ θὰ ὑπομείνῃ μέχρι τέλους θὰ σωθῇ». Διὰ τοῦτο, λοιπόν, ὅταν εἶπε «Μὴ μεριμνᾶτε τί θὰ εἰπῆτε», προσέθεσεν ἀλλοῦ· «Νὰ εἶσθε ἕτοιμοι νὰ ἀπολογηθῆτε εἰς τὸν καθένα ποὺ ζητεῖ νὰ πληροφορηθῇ αὐτὰ διὰ τὰ ὁποῖα ἐλπίζετε»[29]. Δηλαδή, ὅταν ὁ ἀγὼν γίνεται μεταξὺ φίλων, μᾶς προτρέπει νὰ φροντίζωμεν καὶ ἡμεῖς, ὅταν ὅμως ἔμπροσθέν μας ἔχωμεν φοβερὰ δικαστήρια καὶ πλήθη ὠργισμένα καὶ μᾶς περιβάλλῃ ἀπὸ παντοῦ φόβος, τότε μᾶς παρέχει τὴν ἰδικήν του δύναμιν, ὥστε νὰ λάβωμεν θάρρος καὶ νὰ ὡμιλήσωμεν καὶ νὰ μὴ κυριευθῶμεν ἀπὸ φόβον οὔτε νὰ προδώσωμεν αὐτὰ ποὺ εἶναι δίκαια. Καθόσον, βέβαια, ἦτο πολὺ μεγάλο πρᾶγμα, ἄνθρωπος ποὺ ἠσχολεῖτο μὲ τὰς λίμνας καὶ τὰ δέρματα καὶ τὴν εἴσπραξιν τῶν φόρων, νὰ ἠμπορέσῃ ν' ἀνοίξῃ τὸ στόμα του, καθ' ἣν στιγμὴν θὰ ὡδηγεῖτο μόνος, δεμένος καὶ καταβεβλημένος ἔμπροσθεν τῶν τυράννων ποὺ ἐκάθηντο εἰς τοὺς θρόνους περιβεβλημένοι ἀπὸ τοὺς ἀξιωματούχους των καὶ τοὺς λοιποὺς ἀκολούθους των ποὺ θὰ ἐκράτουν γυμνὰ τὰ ξίφη των καὶ ὅλο τὸ πλῆ-

νηθῆναι διᾶραι στόμα. Καὶ γὰρ οὐδὲ λόγου, οὐδὲ ἀπολογίας αὐτοῖς μεταδίδοσαν τῶν δογμάτων ἕνεκεν, ἀλλ' ὡς κοινοὺς τῆς οἰκουμένης λυμεῶνας, οὕτως ἀποτυμπανίζειν ἐπεχείρουν. «Οἱ γὰρ τὴν οἰκουμένην, φησίν, ἀναστατώσαντες, οὗτοι 5 καὶ ἐνθάδε πάρεισι»· καὶ πάλιν, «ἐναντία τοῖς Καίσαρος δόγμασι πρεσβεύουσι, λέγοντες εἶναι βασιλέα Χριστὸν Ἰησοῦν».

Καὶ πανταχοῦ τὰ δικαστήρια προκατείληπτο ταῖς τοιαύταις ὑπονοίαις, καὶ πολλῆς ἔδει τῆς ἄνωθεν ῥοπῆς εἰς τὸ ἀμφότερα δεῖξαι, καὶ τὸ δόγμα ἀληθὲς ὄν, ὅπερ ἐπρέσβευον, 10 καὶ ὅτι οὐ λυμαίνονται τοῖς κοινοῖς νόμοις, καὶ μήτε σπουδάζοντας εἰπεῖν περὶ τοῦ δόγματος, ἐμπεσεῖν εἰς ὑπόνοιαν τῆς τῶν νόμων ἀνατροπῆς, μηδ' αὖ πάλιν σπουδάζοντας τῆς τῶν νόμων ἀνατροπῆς, μηδ' αὖ πάλιν σπουδάζοντας δεῖξαι, ὅτι οὐκ ἀνατρέπουσι τὴν κοινὴν πολιτείαν, διαφθεῖραι τὴν τῶν 15 δογμάτων ἀκρίβειαν· ἅπερ ἅπαντα ὄψει καὶ παρὰ Πέτρῳ, καὶ παρὰ Παύλῳ, καὶ παρὰ τοῖς λοιποῖς ἅπασι μετὰ τῆς πρεπούσης συνέσεως κατωρθωμένα. Καὶ γὰρ ὡς στασιασταὶ καὶ νεωτεροποιοὶ καὶ καινοτόμοι πανταχοῦ τῆς οἰκουμένης ἐνεκαλοῦντο· ἀλλ' ὅμως καὶ ταύτην ἀπεκρούσαντο τὴν ὑπό20 νοιαν, καὶ τὴν ἐναντίαν ἑαυτοῖς περιέθηκαν, ὡς σωτῆρες καὶ κηδεμόνες καὶ εὐεργέται παρὰ πᾶσιν ἀνακηρυττόμενοι. Ταῦτα δὲ πάντα διὰ τῆς πολλῆς κατώρθουν ὑπομονῆς. Διὸ καὶ Παῦλος ἔλεγε· «Καθ' ἡμέραν ἀποθνήσκω»· καὶ μέχρι τέλους κινδυνεύων διέμεινε.

25 *Τίνος οὖν ἂν εἴημεν ἄξιοι, τοσαῦτα ἔχοντες ὑποδείγματα, καὶ ἐν εἰρήνῃ μαλακιζόμενοι καὶ καταπίπτοντες; Οὐδενὸς γοῦν πολεμοῦντος σφαττόμεθα, οὐδενὸς διώκοντος ἐκ-*

---

30. Πράξ. 17, 6.
31. Πράξ. 17, 7.
32. Α' Κορ. 15, 31.

θος πού περιβάλλει αὐτοὺς θὰ ἵστατο γύρω ἀπὸ αὐτόν. Διότι δὲν τοὺς ἐπέτρεπαν οὔτε νὰ ὁμιλήσουν οὔτε ν' ἀπολογηθοῦν διὰ τὴν διδασκαλίαν πού ἐκήρυτταν, ἀλλὰ προσεπάθουν νὰ τοὺς φονεύσουν ὡσὰν νὰ ἦσαν κοινοὶ καταστροφεῖς τῆς οἰκουμένης. «Διότι», λέγει, «ἐκεῖνοι πού ἀνεστάτωσαν τὴν οἰκουμένην αὐτοὶ οἱ ἴδιοι ἦλθαν καὶ ἐδῶ»[30]· καὶ πάλιν· «Αὐτοὶ διδάσκουν ἀντίθετα μὲ τοὺς νόμους τοῦ Καίσαρος καὶ λέγουν ὅτι ὁ βασιλεύς των εἶναι ὁ Ἰησοῦς Χριστός»[31].

Καὶ πάντοτε τὰ δικαστήρια ἦσαν προκατειλημμένα ἐναντίον των ἀπὸ τοιούτου εἴδους ὑποψίας καὶ ἐχρειάζοντο οἱ ἀπόστολοι εἰς μεγάλον βαθμὸν τὴν θείαν ἐνίσχυσιν διὰ ν' ἀποδείξουν καὶ τὰ δύο, καὶ τὸ δόγμα πού ἐπρέσβευαν ὅτι ἦτο ἀληθὲς καὶ ὅτι δὲν καταργοῦν τοὺς ἀνθρωπίνους νόμους καὶ οὔτε βέβαια νὰ δημιουργήσουν ὑποψίας ὅτι ἐπιδιώκουν τὴν ἀνατροπὴν τῶν νόμων ἐν τῇ προσπαθείᾳ των ὅπως μετὰ ζήλου ὁμιλήσουν περὶ τοῦ δόγματος, οὔτε πάλιν, ἐν τῇ προσπαθείᾳ των ν' ἀποδείξουν ὅτι δὲν ἀνατρέπουν τὸ κοινὸν πολίτευμα, νὰ βλάψουν τὴν ἀκρίβειαν τῶν δογμάτων. Ὅλα αὐτὰ βέβαια θὰ τὰ ἰδῇς νὰ ἐφαρμόζωνται μὲ τὴν ἁρμόζουσαν σύνεσιν καὶ ἀπὸ τὸν Πέτρον καὶ ἀπὸ τὸν Παῦλον καὶ ἀπὸ ὅλους σχεδὸν τοὺς ὑπολοίπους ἀποστόλους. Καὶ εἶναι ἀλήθεια ὅτι ἐκατηγοροῦντο ὡς στασιασταὶ καὶ νεωτερισταὶ καὶ μεταρρυθμισταὶ εἰς ὁλόκληρον τὴν οἰκουμένην, ἀλλὰ καὶ αὐτὴν τὴν κατηγορίαν τὴν ἀπέκρουσαν καὶ περιεβλήθησαν τὸ ἀντίθετον ἀπ' αὐτήν, ὥστε ν' ἀναγνωρίζωνται ἀπὸ ὅλους ὡς σωτῆρες καὶ κηδεμόνες καὶ εὐεργέται. Ὅλα αὐτὰ δὲ τὰ ἐπετύγχαναν μὲ τὴν μεγάλην των ὑπομονήν. Δι' αὐτὸ καὶ ὁ Παῦλος ἔλεγε· «Καθημερινῶς ἀντιμετωπίζω τὸν θάνατον»[32], καὶ διῆλθεν ὅλην τὴν ζωήν του μὲ κινδύνους.

Ποίας λοιπὸν συγχωρήσεως θὰ ἠμπορούσαμεν νὰ τύχωμεν, καθ' ἣν στιγμὴν ἔχομεν τόσον πολλὰ παραδείγματα καὶ παρὰ ταῦτα δεικνύομεν δειλίαν καὶ χάνομεν τὸ θάρρος μας; Μολονότι λοιπὸν δὲν μᾶς πολεμεῖ κανεὶς σφαζόμεθα καὶ μολονότι δὲν μᾶς διώκει κανεὶς ἐξαχρειωνόμεθα. Εἰς

λυόμεθα· ἐν εἰρήνῃ σωθῆναι κελευόμεθα, καὶ οὐδὲ τοῦτο δυνάμεθα. Κἀκεῖνοι μέν, τῆς οἰκουμένης καιομένης, καὶ κατὰ τὴν γῆν ἅπασαν τῆς πυρᾶς ἀναπτομένης, εἰσιόντες ἔνδοθεν ἐκ μέσης ἥρπαζον τῆς φλογὸς τοὺς ἐμπιπραμένους· σὺ δὲ οὐδὲ σαυτὸν διατηρῆσαι δύνασαι. Τίς οὖν ἡμῖν ἔσται παρρησία; ποία συγγνώμη; Οὐ μάστιγες, οὐ δεσμωτήρια, οὐκ ἄρχοντες, οὐ συναγωγαί, οὐκ ἄλλο τι τῶν τοιούτων ἐπίκειται, ἀλλὰ καὶ τοὐναντίον ἅπαν, ἡμεῖς ἄρχομεν καὶ κρατοῦμεν. Καὶ γὰρ βασιλεῖς εὐσεβεῖς, καὶ τιμαὶ πολλοὶ Χριστιανοῖς, καὶ προεδρίαι καὶ δόξαι καὶ ἀνέσεις· καὶ οὐδὲ οὕτω περιγινόμεθα. Ἀλλ' ἐκεῖνοι μὲν ἀπαγόμενοι καθ' ἡμέραν, καὶ διδάσκαλοι καὶ μαθηταί, καὶ μυρίους μώλωπας ἔχοντες καὶ συνεχῆ στίγματα, τῶν ἐν παραδείσῳ διαγόντων μᾶλλον ἐτρύφων· ἡμεῖς δὲ οὐδὲ ὄναρ τοιοῦτόν τι ὑπομείναντες, κηροῦ παντός ἐσμεν μαλακώτεροι.

Ἀλλ' ἐκεῖνοι, φησίν, ἐθαυματούργουν. Διὰ τοῦτο γοῦν οὐκ ἐμαστιγοῦντο; διὰ τοῦτο οὐκ ἠλαύνοντο; Καὶ γὰρ τοῦτό ἐστι τὸ παράδοξον, ὅτι καὶ παρὰ τῶν εὐεργετουμένων πολλάκις τοιαῦτα ἔπασχον, καὶ οὐδὲ οὕτως ἐθορυβοῦντο, κακὰ ἀντὶ ἀγαθῶν ἀπολαμβάνοντες· σὺ δέ, ἄν τινα εὐεργετήσῃς μικράν τινα εὐεργεσίαν, εἶτα λυπηροῦ τινος ἀπολαύσῃς, θορυβῇ, ταράττῃ, καὶ ἐπὶ τῷ γεγενημένῳ μετανοεῖς.

6. Εἰ τοίνυν γένοιτο, ὃ μὴ γένοιτο, μηδὲ συμβαίη ποτέ, γενέσθαι, πόλεμον ἐκκλησιῶν καὶ διωγμόν, ἐννόησον πόσος ἔσται ὁ γέλως, πόσα τὰ ὀνείδη. Καὶ μάλα εἰκότως· ὅταν γὰρ ἐν τῇ παλαίστρᾳ μηδεὶς γυμνάζηται, πῶς ἐν τοῖς ἀγῶσιν

χρόνους εἰρηνικοὺς λαμβάνομεν ἐντολὴν νὰ σωθῶμεν καὶ οὔτε αὐτὸ ἠμποροῦμεν νὰ ἐπιτύχωμεν. Καὶ ἐκεῖνοι μέν, ἂν καὶ ἡ οἰκουμένη ἐφλέγετο καὶ ἡ φωτιὰ ἐξηπλοῦτο εἰς ὁλόκληρον τὴν γῆν, εἰσερχόμενοι ἐντὸς αὐτῆς ἥρπαζον μέσα ἀπὸ τὰς φλόγας τοὺς καιομένους, ἐνῷ σὺ οὔτε τὸν ἑαυτόν σου δὲν ἠμπορεῖς νὰ σώσῃς. Ποία λοιπὸν εἶναι ἡ παρρησία ποὺ μᾶς ἀπομένει; ποία συγγνώμη; Οὔτε μάστιγες, οὔτε φυλακαί, οὔτε ἄρχοντες, οὔτε συναγωγαί, οὔτε τίποτε ἄλλο παρόμοιο μᾶς ἀπειλεῖ, ἀλλ' ὅλως ἀντιθέτως ἡμεῖς κυβερνῶμεν καὶ ἐξουσιάζομεν. Καθόσον οἱ βασιλεῖς μας εἶναι εὐσεβεῖς καὶ οἱ Χριστιανοὶ ἀπολαμβάνουν πολλὰς τιμὰς καὶ προεδρίας καὶ δόξας καὶ ἀνέσεις καὶ ὅμως οὔτε καὶ ἔτσι ἠμποροῦμεν νὰ σωθῶμεν. Ἀλλ' ἐκεῖνοι μὲν μολονότι καθημερινῶς συνελαμβάνοντο καὶ οἱ διδάσκαλοι καὶ οἱ μαθηταὶ καὶ ἐδέχοντο ἀμετρήτους πληγὰς καὶ τραύματα, ἔνοιωθαν περισσοτέραν εὐχαρίστησιν ἀπὸ ἐκείνους ποὺ ζοῦν εἰς τὸν παράδεισον, ἐνῷ ἀντιθέτως ἡμεῖς ἂν καὶ οὔτε εἰς τὸ ὄνειρόν μας δὲν ἐπάθαμεν τίποτε τὸ παρόμοιον, εἴμεθα περισσότερον μαλακοὶ καὶ ἀπὸ ὁποιοδήποτε κηρί.

Μὰ ἐκεῖνοι, θὰ εἰπῇ κανείς, ἐνήργουν θαύματα. Δι' αὐτὸ λοιπὸν δὲν ἐμαστιγοῦντο; δι' αὐτὸ δὲν κατεδιώκοντο; Διότι βέβαια αὐτὸ εἶναι τὸ παράξενον, ὅτι δηλαδὴ ἐπάθαιναν αὐτὰ πολλὰς φορὰς καὶ ἀπὸ ἐκείνους ποὺ εἶχαν εὐεργετήσει καὶ ὅμως οὔτε ἔτσι ἔχαναν τὸ θάρρος των ποὺ ἀπελάμβαναν κακὰ ἀντὶ ἀγαθῶν. Σὺ ὅμως, ἐὰν κάποιον ἤθελες τὸν εὐεργετήσει ἔστω καὶ κατ' ἐλάχιστον καὶ ἐδέχεσο ἀντ' αὐτοῦ εἰς τὴν συνέχειαν κάποιο δυσάρεστον, θορυβεῖσαι, ταράσσεσαι καὶ μετανοεῖς δι' αὐτὸ ποὺ εἶχες κάνει.

6. Ἐὰν λοιπὸν ἤθελε συμβῇ, πρᾶγμα ποὺ εὔχομαι νὰ μὴ συμβῇ ποτέ, νὰ κηρυχθῇ πόλεμος καὶ διωγμὸς ἐναντίον τῶν Ἐκκλησιῶν, ἀναλογίσου πόσον θὰ γελοιοποιηθοῦμεν καὶ πόσας προσβολὰς θὰ ὑποστῶμεν. Καὶ αὐτὸ εἶναι πολὺ φυσικόν· διότι ὅταν κανεὶς δὲν γυμνάζεται εἰς τὴν παλαίστραν πῶς εἶναι δυνατὸν εἰς τοὺς ἀγῶνας νὰ δοξασθῇ;

ἔσται λαμπρός; Ποῖος γὰρ ἀθλητής, παιδοτρίβην οὐκ εἰδώς, δυνήσεται, καλούντων τῶν Ὀλυμπιακῶν ἀγώνων, μέγα τι καὶ γενναῖον ἐπιδείξασθαι πρὸς τὸν ἀνταγωνιστήν; Οὐ γὰρ ἐχρῆν καθ' ἑκάστην ἡμέραν παλαίειν ἡμᾶς, καὶ πυκτεύ- 5 *ειν, καὶ τρέχειν; Οὐχ ὁρᾶτε τοὺς λεγομένους πεντάθλους, ἐπειδὰν μηδένα ἔχωσι τὸν ἀνταγωνιστήν, πῶς θύλακον ἄμμου γεμίσαντες πολλῆς, καὶ κρεμάσαντες, ἐκεῖ τὴν ἰσχὺν γυμνάζουσιν ἅπασαν; οἱ δὲ τούτων νεώτεροι ἐν τοῖς τῶν ἑταίρων σώμασι μελετῶσι τὴν πρὸς τοὺς ἐχθροὺς μάχην;* 10 *Τούτους καὶ σὺ ζήλωσον, καὶ μελέτα τῆς φιλοσοφίας τὰ παλαίσματα. Καὶ γὰρ εἰς θυμὸν πολλοὶ παροξύνουσι, καὶ εἰς ἐπιθυμίαν ἐμβάλλουσι, καὶ πολλὴν ἀνάπτουσι φλόγα. Στῆθι τοίνυν κατὰ τῶν παθῶν, φέρε γενναίως τὰς κατὰ διάνοιαν ὀδύνας, ἵνα καὶ τὰς τοῦ σώματος ἐνέγκῃς. Καὶ γὰρ* 15 *ὁ μακάριος Ἰώβ, εἰ μὴ καλῶς ἦν γυμνασάμενος πρὸ τῶν ἀγώνων, οὐκ ἂν οὕτω λαμπρῶς ἐπὶ τῶν ἀγώνων ἔλαμψεν· εἰ μὴ μεμελετήκει πάσης ἐκτὸς ἀθυμίας εἶναι, εἶπεν ἄν τι τολμηρόν, τῶν παίδων ἀποθανόντων. Νυνὶ δὲ πρὸς πάντα ἔστη τὰ παλαίσματα, πρὸς χρημάτων ἀπώλειαν καὶ περιου-* 20 *σίας τοσαύτης ἀφανισμόν, πρὸς παίδων ἀποβολήν, πρὸς γυναικὸς συμπάθειαν, πρὸς σώματος μάστιγας, πρὸς ὀνείδη φίλων, πρὸς λοιδορίας οἰκετῶν. Εἰ δὲ θέλεις καὶ τὰ γυμνάσια ἰδεῖν, ἄκουσον αὐτοῦ λέγοντος, πῶς κατεφρόνει χρημάτων. «Εἰ δὲ καὶ εὐφράνθην», φησί, «πολλοῦ πλούτου μοι* 25 *γενομένου· εἰ ἔταξα χρυσίον εἰς χοῦν, εἰ λίθῳ πολυτελεῖ ἐπεποίθειν». Διὰ τοῦτο οὐδὲ ἁρπαγέντων αὐτῶν ἐθορυβεῖτο, ἐπειδὴ καὶ παρόντων αὐτῶν οὐκ ἐπεθύμει.*

---

83. Ἀγώνισμα τῶν Ὀλυμπιακῶν ἀγώνων ποὺ ἀπετελεῖτο ἀπὸ τὰ ἀγωνίσματα ἅλμα, δίσκος, δρόμος, ἀκόντιον, πάλη.
84. Ἰὼβ 31, 24-25.

Ποῖος ἀθλητής, ἀλήθεια, ποὺ δὲν ἐγνώρισεν ἐκπαιδευτήν, θὰ ἠμπορέσῃ, ὅταν τὸν καλέσουν οἱ Ὀλυμπιακοὶ ἀγῶνες, νὰ ἐπιδείξῃ κάτι τι τὸ μεγάλο καὶ γενναῖον πρὸς τὸν ἀνταγωνιστήν του; Δὲν θὰ ἔπρεπε λοιπὸν καθημερινῶς ν' ἀσκούμεθα εἰς τὴν πάλην καὶ εἰς τὴν πυγμαχίαν καὶ νὰ τρέχωμεν; Δὲν βλέπετε τοὺς λεγομένους ἀθλητὰς τοῦ πεντάθλου[33] πῶς γεμίζουν ἕνα σάκκον μὲ μεγάλην ποσότητα ἄμμου, ὅταν συμβῇ νὰ μὴ ἔχουν ἀνταγωνιστήν, καὶ τὸν κρεμοῦν καὶ ἐξασκοῦν ἐκεῖ ὅλην τὴν δύναμίν των; καὶ ὅτι οἱ νεώτεροι ἀπ' αὐτοὺς μελετοῦν εἰς τὰ σώματα τῶν φίλων των τὴν μάχην πρὸς τοὺς ἀντιπάλους των; Αὐτοὺς μιμήσου καὶ σὺ καὶ ἀσκήσου εἰς τὰ ἀγωνίσματα τῆς φιλοσοφίας. Καθόσον πολλοὶ εἶναι ἐκεῖνοι ποὺ ἐξάπτουν τὸν θυμὸν καὶ διεγείρουν τὴν ἐπιθυμίαν καὶ ἀνάπτουν μεγάλην φλόγα. Ἀντιστάσου λοιπὸν εἰς τὰ πάθη, ὑπόφερε μὲ γενναιότητα τὰς θλίψεις τῆς διανοίας σου διὰ νὰ ἠμπορέσῃς νὰ ὑποφέρῃς καὶ τοὺς σωματικοὺς πόνους. Καθόσον καὶ ὁ μακάριος Ἰὼβ δὲν θὰ ἤθελε λαμπρυνθῇ τόσον πολὺ κατὰ τοὺς ἀγῶνάς του, ἐὰν δὲν ἦτο καλὰ γυμνασμένος πρὶν ἀπὸ τοὺς ἀγῶνας, ἐὰν δὲν εἶχεν ἐξασκήσει τὸν ἑαυτόν του νὰ εἶναι ἀπρόσβλητος ἀπὸ τὰς λύπας, θὰ ἠμποροῦσα νὰ εἰπῶ καὶ κάτι τολμηρόν, ὅταν ἀπέθαναν τὰ παιδιά του. Τώρα ὅμως ἀνεδείχθη νικητὴς εἰς ὅλους τοὺς ἀγῶνας, εἰς τὴν ἀπώλειαν τῶν χρημάτων καὶ τὸν ἀφανισμὸν τόσον μεγάλης περιουσίας, εἰς τὸν θάνατον τῶν παιδιῶν του, εἰς τὴν συμπάθειαν τῆς γυναικός του, εἰς τὰς μάστιγας τοῦ σώματος, εἰς τὰς προσβολὰς τῶν φίλων του, εἰς τὰς ὕβρεις τῶν συγγενῶν του. Ἐὰν ὅμως θέλῃς νὰ ἰδῇς καὶ τὰς ἐξασκήσεις αὐτοῦ, ἄκουσε τὸν ἴδιον ποὺ λέγει, πῶς περιεφρόνει τὰ χρήματα· «Ἐὰν δὲ ηὐχαριστήθην», λέγει, «ποὺ ἀπέκτησα τόσον πολὺν πλοῦτον, ἐὰν ἐτοποθέτησα τὸν χρυσὸν εἰς τὸ χῶμα, ἐὰν ἐπίστευσα εἰς τοὺς πολυτελεῖς λίθους»[34]. Καὶ ἀκριβῶς δι' αὐτὸ δὲν ἀνησύχησεν οὔτε ὅταν τὰ ἔχασεν ὅλα, ἐπειδὴ δὲν τὰ ἐπεθύμει οὔτε καὶ ὅταν τὰ εἶχε.

Ἄκουσον πῶς καὶ τὰ κατὰ τοὺς παῖδας διῴκει, οὐ καταμαλακιζόμενος παρὰ τὸ δέον, ὥσπερ ἡμεῖς, ἀλλὰ πᾶσαν ἀκρίβειαν παρ᾽ αὐτῶν ἀπαιτῶν. Ὁ γὰρ καὶ ὑπὲρ τῶν ἀδήλων θυσίαν ἀναφέρων, ἐννόησον πῶς ἦν ἀκριβὴς τῶν φανερῶν δικαστής. Εἰ δὲ καὶ τοὺς περὶ σωφροσύνης ἀγῶνας ἀκοῦσαι βούλει, ἄκουσον αὐτοῦ λέγοντος· «Διαθήκην διεθέμην τοῖς ὀφθαλμοῖς μου, τοῦ μὴ κατανοῆσαι εἰς παρθένον». Διὰ τοῦτο αὐτὸν οὐ κατέκλασεν ἡ γυνή· ἐφίλει μὲν γὰρ αὐτὴν καὶ πρὸ τούτου, ἀλλ᾽ οὐχ ὑπὲρ τὸ μέτρον, ἀλλ᾽ ὡς εἰκὸς γυναῖκα. Ὅθεν μοι καὶ θαυμάσαι ἔπεισι, πόθεν ἐπῆλθε τῷ διαβόλῳ, εἰδότι αὐτοῦ τὰ γυμνάσια, κινῆσαι τοὺς ἀγῶνας. Πόθεν οὖν ἐπῆλθε; Πονηρόν ἐστι τὸ θηρίον, καὶ οὐδέποτε ἀπογινώσκει· ὃ μέγιστον ἡμῖν κατάκριμα γίνεται, ὅτι ἐκεῖνος μὲν οὐδέποτε ἡμῶν ἀπελπίζει τὴν ἀπώλειαν, ἡμεῖς δὲ τὴν ἑαυτῶν ἀπογινώσκομεν σωτηρίαν.

Ἀλλὰ σώματος πήρωσιν καὶ λώβην σκόπει πῶς ἐμελέτα. Ἐπειδὴ γὰρ αὐτὸς οὐδέποτέ τι τοιοῦτον ὑπέμεινεν, ἀλλ᾽ ἐν πλούτῳ καὶ τρυφῇ καὶ τῇ ἄλλῃ περιφανείᾳ διετέλεσε ζῶν, τὰς ἀλλοτρίας καθ᾽ ἑκάστην ὠνειροπόλει συμφοράς. Καὶ τοῦτο δηλῶν ἔλεγε· «Φόβος γάρ, ὃν ἐφοβούμην, ἦλθέ μοι, καὶ ὃν ἐδεδοίκειν, συνήντησέ μοι». Καὶ πάλιν· «Ἐγὼ δὲ ἐπὶ παντὶ ἀδυνάτῳ ἔκλαυσα, καὶ ἐστέναξα ἰδὼν ἄνδρα ἐν ἀνάγκαις». Διὰ δὴ τοῦτο οὐδὲν αὐτὸν ἐθορύβει τῶν προσπιπτόντων, τῶν μεγάλων ἐκείνων καὶ ἀφορήτων. Μὴ γάρ μοι τὴν ἀπώλειαν ἴδῃς τῶν χρημάτων, μηδὲ τὴν τῶν παίδων ἀφαίρεσιν, μηδὲ τὴν πληγὴν ἐκείνην τὴν ἀνίατον, μηδὲ τὴν τῆς γυναικὸς ἐπιβουλήν· ἀλλὰ τὰ πολλῷ τούτων χαλεπώτερα.

---

35. Ἰὼβ 31, 1.
36. Ἰὼβ 3, 25
37. Ἰὼβ 30, 25.

Ἄκουσε ἐπίσης πῶς ἀνέτρεφε καὶ τὰ παιδιά του, ὄχι μὲ ὑπερβολικὴν ἐπιείκειαν, ὅπως συνηθίζομεν ἡμεῖς, ἀλλ' ἀπαιτῶν ἀπ' αὐτὰ πᾶσαν προσοχὴν εἰς τὰς ἐνεργείας των. Διότι αὐτὸς ποὺ προσέφερε θυσίαν καὶ διὰ τὰ ἄγνωστα σκέψου πόσον αὐστηρὸς δικαστὴς ἦτο διὰ τὰ φανερά. Ἐὰν δὲ θέλῃς νὰ πληροφορηθῇς καὶ τοὺς ἀγῶνάς του ὑπὲρ τῆς σωφροσύνης, ἄκουσε τοὺς λόγους τοῦ ἰδίου· «Ἔκανα συμφωνίαν μὲ τὰ μάτια μου νὰ μὴ κοιτάξω παρθένον»[35]. Διὰ τοῦτο δὲν τὸν παρέσυρεν ἡ σύζυγός του· διότι τὴν ἠγάπα μὲν πρὶν ἀπὸ τὰς συμφοράς του, ἀλλ' ὄχι ὑπέρμετρα, ἀλλ' ὅπως εἶναι φυσικὸν ν' ἀγαπᾷ κανεὶς τὴν γυναῖκά του. Καὶ ἀκριβῶς διὰ τοῦτο ἀπορῶ, πῶς δηλαδὴ ἐσκέφθη ὁ διάβολος νὰ συνάψῃ τοὺς ἀγῶνάς του μὲ αὐτόν, καθ' ἣν στιγμὴν ἐγνώριζε πολὺ καλὰ τὴν ἐξάσκησίν του. Ἀπὸ ποῦ λοιπὸν ἔλαβεν ἀφορμήν; Εἶναι πονηρὸν θηρίον ὁ διάβολος καὶ οὐδέποτε χάνει τὴν ἐλπίδα, πρᾶγμα ποὺ μᾶς καταδικάζει εἰς μεγάλον βαθμόν, ὅτι δηλαδὴ ἐκεῖνος μὲν οὐδέποτε ἀπελπίζεται ὅτι θὰ μᾶς καταστρέψῃ, ἐνῷ ἡμεῖς δὲν ἐλπίζομεν διὰ τὴν σωτηρίαν μας.

Πρόσεξε ὅμως μὲ ποῖον τρόπον ἐμελέτα τὴν βλάβην καὶ τὴν κακοποίησιν τοῦ σώματός του. Ἐπειδή, δηλαδή, ὁ ἴδιος οὐδέποτε εἶχεν ὑποστῇ κάτι τι τὸ παρόμοιον, ἀλλ' ἐπέρασε τὴν ζωήν του μέσα εἰς τὸν πλοῦτον καὶ τὴν ἀπόλαυσιν καὶ τὴν λοιπὴν λαμπρότητα, καθημερινῶς ἐφαντάζετο, ὡσὰν εἰς ὄνειρον, τὰς συμφορὰς τῶν ἄλλων ἀνθρώπων καὶ ἔλεγε τὰ ἑξῆς πρὸς δήλωσιν αὐτοῦ· «Διότι ὁ φόβος, ποὺ ἐφοβούμην, μοῦ ἦλθε, καὶ ἐκεῖνο ποὺ ἐφοβούμην μὲ συνήντησε»[36]. Καὶ πάλιν· «Ἐγὼ δὲ ἔκλαυσα διὰ κάθε ἀδύνατον καὶ ἀνεστέναξα ὅταν εἶδα ἄνθρωπον νὰ ἔχῃ δυσκολίας»[37]. Καὶ ἀκριβῶς διὰ τοῦτο δὲν ἀνησύχησε μὲ κανένα ἀπὸ τὰ μεγάλα ἐκεῖνα καὶ ἀφόρητα κακὰ ποὺ τὸν ηὗρον. Μὴ βλέπῃς δηλαδὴ τὴν ἀπώλειαν τῶν χρημάτων, οὔτε τὸν θάνατον τῶν παιδιῶν του, οὔτε τὴν ἀθεράπευτον ἐκείνην πληγήν, οὔτε τὰς ἐπιβουλὰς τῆς γυναικός του, ἀλλὰ τὰ πιὸ χειρότερα ἀπ' αὐ-

Καὶ τί τούτων χαλεπώτερον, φησίν, ἔπαθεν ὁ Ἰώβ; παρὰ γὰρ τῆς ἱστορίας οὐδὲν τούτων πλέον μανθάνομεν. Ἐπειδὴ καθεύδομεν, οὐ μανθάνομεν· ὡς ὅ γε μεριμνῶν, καὶ τὸν μαργαρίτην καλῶς διερευνώμενος, πολλῷ πλείονα τούτων
5 *εἴσεται. Τὰ γὰρ χαλεπώτερα καὶ ἱκανὰ μείζονα ἐνιέναι θόρυβον, ἕτερα ἦν. Καὶ πρῶτον, τὸ μηδὲν εἰδέναι περὶ βασιλείας οὐρανῶν καὶ ἀναστάσεως σαφές· ὅπερ οὖν καὶ θρηνῶν ἔλεγεν· «Οὐ γὰρ εἰς τὸν αἰῶνα ζήσομαι, ἵνα μακροθυμήσω». Δεύτερον, τὸ πολλὰ ἑαυτῷ συνειδέναι καλά. Τρίτον, τὸ μηδὲν*
10 *συνειδέναι πονηρόν. Τέταρτον, τὸ παρὰ Θεοῦ νομίζειν ταῦτα ὑπομένειν· εἰ δὲ καὶ παρὰ διαβόλου, καὶ τοῦτο ἱκανὸν ἦν αὐτὸν σκανδαλίσαι. Πέμπτον, τὸ ἀκούειν τῶν φίλων ἐπὶ κακίᾳ διαβαλλόντων αὐτόν· «Οὐκ ἄξια γάρ, φησίν, ὧν ἥμαρτες, μεμαστίγωσαι». Ἕκτον, τὸ τοὺς ἐν πονηρίᾳ ζῶντας*
15 *εὖ πάσχοντας ὁρᾶν, καὶ ἐπεγγελῶντας αὐτῷ. Ἕβδομον, τὸ μὴ ἔχειν εἰς ἕτερον ἰδεῖν τοιαῦτα πεπονθότα ποτέ.*

7. *Καὶ εἰ βούλει μαθεῖν, ἡλίκα ταῦτά ἐστιν, ἐννόησον τὰ παρόντα. Εἰ γὰρ νῦν βασιλείας προσδοκωμένης, καὶ ἀναστάσεως ἐλπιζομένης, καὶ τῶν ἀπορρήτων ἀγαθῶν, καὶ μυ-*
20 *ρία συνειδότες ἑαυτοῖς κακά, καὶ τοσαῦτα ἔχοντες παραδείγματα καὶ τοσαύτης μετέχοντες φιλοσοφίας, ἂν ὀλίγον χρυσίον ἀπολέσωσί τινες, καὶ τοῦτο πολλάκις ἁρπάσαντες, ἀβίωτον τὸν βίον εἶναι νομίζουσιν, οὐ γυναικὸς ἐπικειμένης, οὐ παίδων ἀφαιρεθέντων, οὐ φίλων ὀνειδιζόντων, οὐκ οἰκετῶν*
25 *ἐπεμβαινόντων, ἀλλὰ καὶ πολλῶν ὄντων τῶν παρακαλούντων, τῶν μὲν διὰ ῥημάτων, τῶν δὲ διὰ πραγμάτων· πόσων οὐκ ἄξιος ἐκεῖνος ἂν εἴη στεφάνων, τὰ ἐκ δικαίων πόνων*

38. Ἰὼβ 7, 16.
39. Προβλ. Ἰὼβ 11, 6.

τά. Καὶ τί πιὸ χειρότερον ἀπ᾿ αὐτά, θὰ εἰπῇ κανείς, ἔπαθεν ὁ Ἰώβ; Διότι ἀπὸ τὴν διήγησιν περὶ αὐτοῦ δὲν μαθαίνομεν τίποτε περισσότερον ἀπ᾿ αὐτά. Δὲν μαθαίνομεν ἐπειδὴ κοιμώμεθα. Αὐτὸς βέβαια ποὺ φροντίζει καὶ ἐξετάζει καλὰ τὸν μαργαρίτην θὰ γνωρίσῃ πολὺ περισσότερα ἀπ᾿ αὐτά. Διότι τὰ πιὸ χειρότερα καὶ ἐκεῖνα ποὺ εἶναι ἱκανὰ νὰ προκαλέσουν μεγαλυτέραν ἀνησυχίαν εἶναι ἄλλα. Καὶ πρῶτον εἶναι, τὸ ὅτι δὲν ἐγνώριζε τίποτε τὸ σαφὲς περὶ βασιλείας τῶν οὐρανῶν καὶ ἀναστάσεως τῶν νεκρῶν καὶ ἀκριβῶς διὰ τὸν λόγον αὐτὸν ἔλεγε· «Δὲν θὰ ζήσω αἰωνίως βέβαια διὰ νὰ δείξω μακροθυμίαν»[38]. Δεύτερον, τὸ ὅτι εἶχεν ἐπίγνωσιν τῶν καλῶν πράξεών του. Τρίτον, τὸ ὅτι δὲν ἐγνώριζε τίποτε τὸ πονηρόν. Τέταρτον, τὸ ὅτι ἐνόμιζεν ὅτι ὅλα αὐτὰ τὰ κακὰ τὰ ὑπέμενεν ἐπειδὴ τὰ ἔστειλεν ὁ Θεός. Πέμπτον, τὸ ὅτι ἤκουε τοὺς φίλους του ποὺ τὸν κατηγοροῦσαν ὡς κακόν. «Διότι δὲν ἐτιμωρήθης», τοῦ ἔλεγαν, «ὅσον ἡμάρτησες»[39]. Ἕκτον, τὸ ὅτι ἔβλεπε τοὺς πονηροὺς νὰ εὐτυχοῦν καὶ νὰ τὸν περιπαίζουν. Ἕβδομον, τὸ ὅτι δὲν ἠμποροῦσε ποτὲ νὰ ἰδῇ ἄλλον νὰ ὑφίσταται παρόμοια κακά.

7. Καὶ ἐὰν θέλῃς νὰ μάθῃς πόσον σπουδαῖα εἶναι αὐτά, ἀναλογίσου τὰ παρόντα. Διότι ἐὰν τώρα ποὺ περιμένομεν τὴν βασιλείαν τῶν οὐρανῶν καὶ ἐλπίζομεν εἰς τὴν ἐκ νεκρῶν ἀνάστασιν καὶ εἰς τὰ ἀπόρρητα ἀγαθά, καὶ γνωρίζομεν τὰ ἀμέτρητα ἁμαρτήματά μας, καὶ ἔχομεν τόσον πολλὰ καὶ μεγάλα παραδείγματα, καὶ εἴμεθα μέτοχοι τόσον ὑψηλῆς φιλοσοφίας, ἐὰν ὡρισμένοι, παρὰ ταῦτα, χάσουν ὀλίγον χρυσάφι, ποὺ καὶ αὐτὸ πολλὰς φορὰς τὸ ἔχουν ἀποκτήσει μὲ ἁρπαγάς, θεωροῦν ὅτι εἶναι ἀδύνατον νὰ ζήσουν, χωρὶς νὰ ἔχουν τὰς ἀπειλὰς τῆς γυναικός των, οὔτε τὸν θάνατον τῶν παιδιῶν των, οὔτε τοὺς φίλους των νὰ τοὺς περιπαίζουν, οὔτε τῶν ὑπηρετῶν τὰς κατακρίσεις, ἀντιθέτως δὲ εἶναι πολλοὶ αὐτοὶ ποὺ τοὺς παρηγοροῦν, ἄλλοι μὲν μὲ λόγους, ἄλλοι δὲ ἐμπράκτως, πόσων στεφάνων ἄξιος δὲν θὰ ἦτο ἐκεῖνος, ποὺ βλέπων τὰ ἀγαθὰ ποὺ εἶχε συγκεντρώσει μὲ δι-

συλλεγέντα ὁρῶν ἁπλῶς καὶ ὡς ἔτυχεν ἁρπαζόμενα, καὶ μετὰ πάντα ἐκεῖνα μυρίας ὑπομένων πειρασμῶν νιφάδας, καὶ διὰ πάντων ἀκίνητος μένων, καὶ τὴν προσήκουσαν ἀναφέρων τῷ Δεσπότῃ περὶ τούτων εὐχαριστίαν; Ἂν γὰρ μη-
5 *δὲν τῶν ἄλλων μηδεὶς εἴπῃ, τὰ τῆς γυναικὸς μόνον ῥήματα καὶ πέτραν ἦν ἱκανὰ διασαλεῦσαι.*

Ὅρα γοῦν αὐτῆς τὴν κακουργίαν. Οὐ μέμνηται χρημάτων, οὐ μέμνηται καμήλων καὶ ποιμνίων καὶ βουκολίων, (συνῄδει γὰρ τῷ ἀνδρὶ τὴν ἐπὶ τούτοις φιλοσοφίαν), ἀλλὰ
10 *τοῦ πάντων τούτων φορτικωτέρου, τῶν παίδων λέγω, καὶ πλατύνει τὴν τραγῳδίαν καὶ τὰ παρ' ἑαυτῆς προστίθησιν. Εἰ δὲ ἐν εὐθηνίᾳ ὄντας καὶ μηδὲν πάσχοντας ἀηδές, πολλὰ πολλάκις ἔπεισαν γυναῖκες· ἐννόησον πῶς ἦν ἐκείνη ἡ ψυχή, μετὰ τοσούτων ὅπλων αὐτὴν ἐπελθοῦσαν ἀποκρουσαμένη,*
15 *καὶ δύο τὰ τυραννικώτατα πάθη καταπατήσασα, ἐπιθυμίαν καὶ ἔλεον. Καίτοι πολλοὶ τῶν κρατησάντων ἐπιθυμίας, ὑπ' ἐλέου ἐκάμφθησαν. Ὁ γοῦν γενναῖος ἐκεῖνος Ἰωσὴφ τῆς μὲν τυραννικωτάτης ἡδονῆς κατέσχε, καὶ τὴν βάρβαρον ἐκείνην γυναῖκα διεκρούσατο μυρία προσάγουσαν μηχανήμα-*
20 *τα· δακρύων δὲ οὐ κατέσχεν, ἀλλ' ἰδὼν τοὺς ἀδελφοὺς τοὺς ἠδικηκότας, ἐνεπρήσθη τῷ πάθει, καὶ τὸ προσωπεῖον ταχέως ῥίψας, τὸ δρᾶμα ἀπεκάλυψεν. Ὅταν δὲ καὶ γυνὴ ᾖ, καὶ ἐλεεινὰ λέγῃ, καὶ τὸν καιρὸν ἔχῃ συμπράττοντα, καὶ τὰ τραύματα, καὶ τοὺς μώλωπας, καὶ τὰ μυρία κύματα τῶν*
25 *συμφορῶν, πῶς οὐκ ἄν τις δικαίως ἀδάμαντος παντὸς στερροτέραν τὴν οὐδὲν ὑπὸ τοσούτου χειμῶνος παθοῦσαν ψυχὴν*

καίους κόπους νὰ διαρπάζωνται ἁπλῶς καὶ ὡς ἔτυχε καὶ νὰ ὑφίστανται ἐν συνεχείᾳ ὅλων ἐκείνων ἀναρίθμητα κακὰ καὶ πειρασμῶν ἐπιθέσεις, νὰ παραμένῃ ὅμως καὶ μετὰ ἀπὸ ὅλα αὐτὰ ἀκλόνητος καὶ νὰ εὐχαριστῇ τὸν Θεόν, κατὰ τρόπον πρέποντα, δι' ὅλα αὐτά; Διότι καὶ ἂν ἀκόμη κανεὶς δὲν ἐξετάσῃ κανένα ἀπὸ ὅλα τὰ ἄλλα, μόνον τῆς γυναικός του τὰ λόγια ἦσαν ἱκανὰ καὶ πέτραν νὰ κλονίσουν.

Πρόσεξε λοιπὸν αὐτῆς τὴν κακουργίαν. Δὲν τοῦ ὑπενθυμίζει τὰ χρήματα, δὲν τοῦ ὑπενθυμίζει τὰς καμήλους καὶ τὰ ποίμνια καὶ τὰς ἀγέλας τῶν βοδιῶν (διότι ἐγνώριζε πολὺ καλὰ τὴν γνώμην τοῦ ἀνδρός της δι' ὅλα αὐτά), ἀλλὰ τοῦ ὑπενθυμίζει ἐκεῖνο ποὺ ἦτο τὸ πιὸ βαρὺ ἀπὸ ὅλα αὐτά, ἐννοῶ τὰ παιδιά του, καὶ ἔτσι αὐξάνει τὴν τραγωδίαν καὶ προσθέτει καὶ τὰς ἰδικάς της προκλήσεις. Ἐὰν δὲ ζῶντες οἱ ἄνθρωποι ἐντὸς ἀφθόνων ἀγαθῶν καὶ χωρὶς νὰ ὑποφέρουν ἀπὸ τίποτε τὰ δυσάρεστον συνέβη πολλὰς φορὰς αἱ γυναῖκες νὰ κάνουν τοὺς ἄνδρας νὰ συμφωνήσουν μὲ τὴν γνώμην των, ἀναλογίσου πόσον δυνατὴ ἦτο ἡ ψυχὴ τοῦ Ἰώβ, ὥστε νὰ κατορθώσῃ ν' ἀποκρούσῃ αὐτὴν ποὺ ἦλθεν ἐναντίον του μὲ τόσον ἰσχυρὰ ὅπλα, καὶ νὰ ὑπερνικήσῃ δύο τὰ πιὸ τυραννικὰ πάθη, τὴν ἐπιθυμίαν καὶ τὸ ἔλεος. Ἂν καὶ πολλοὶ ποὺ ἐνίκησαν τὴν ἐπιθυμίαν ἐκάμφθησαν ἀπὸ τὸ ἔλεος. Ὅπως ὁ γενναῖος ἐκεῖνος Ἰωσὴφ συνεκράτησε μὲν τὴν τυραννικωτάτην ἡδονὴν καὶ ἀπέκρουσε τὴν βάρβαρον ἐκείνην γυναῖκα, ἡ ὁποία εἶχε θέσει εἰς ἐνέργειαν ἀναρίθμητα τεχνάσματα, ὅμως δὲν ἠμπόρεσε νὰ συγκρατήσῃ τὰ δάκρυά του, ἀλλ' ἰδὼν τοὺς ἀδελφούς του ποὺ τὸν εἶχαν ἀδικήσει, κατελήφθη ἀπὸ τὸ φοβερὸν πάθος τοῦ οἴκτου, καὶ ἀφοῦ ἀπέβαλεν ἀμέσως τὸ προσωπεῖον ἀπεκάλυψε τὸ ὅλον δρᾶμα. Ὅταν ὅμως αὐτὴ ποὺ προκαλεῖ εἶναι καὶ γυναῖκα καὶ λέγῃ ἀξιολύπητα πράγματα καὶ ἔχῃ βοηθὸν καὶ τὰς περιστάσεις καὶ τὰ τραύματα καὶ τοὺς μώλωπας καὶ τὰ ἀμέτρητα κύματα τῶν συμφορῶν, πῶς δὲν θὰ ἤθελε κανεὶς ἀποδείξει δικαίως ἰσχυροτέραν τὴν ψυχήν του ἀπὸ ὁποιονδήποτε ἀδάμαντα,

εἶναι ἀποφήναιτο; Δότε μοι μετὰ παρρησίας εἰπεῖν, ὅτι καὶ τῶν ἀποστόλων, εἰ μὴ μείζων, ἀλλ' οὐδὲ ἐλάττων ὁ μακάριος οὗτος ἦν. Ἐκείνους μὲν γὰρ παρεμυθεῖτο τὸ διὰ τὸν Χριστὸν πάσχειν· καὶ οὕτω τοῦτο ἱκανὸν ἦν τὸ φάρμακον καθ' ἑ-
5 *κάστην ἡμέραν αὐτοὺς ἀναστῆσαι, ὡς πανταχοῦ αὐτὸ τιθέναι τὸν Δεσπότην, «Δι' ἐμὲ» καὶ «Ἕνεκεν ἐμοῦ» λέγοντα, καί, «Εἰ ἐμὲ τὸν οἰκοδεσπότην Βεελζεβοὺλ ἐκάλεσαν». Ἐκεῖνος δὲ ταύτης ἔρημος ἦν τῆς παραμυθίας, καὶ τῆς ἀπὸ τῶν σημείων, καὶ τῆς ἀπὸ τῆς χάριτος. Οὐδὲ γὰρ εἶχε τοσαύ-*
10 *την Πνεύματος δύναμιν. Καὶ τὸ δὴ μεῖζον, ὅτιπερ ἐν πολλῇ τρυφῇ τραφείς, οὐκ ἐξ ἁλιέων καὶ τελωνῶν καὶ τῶν εὐτελῶς βεβιωκότων, ἀλλὰ τοσαύτης ἀπολελαυκὼς τιμῆς, ἔπασχεν ἅπερ ἔπασχεν ἅπαντα. Καὶ ὅπερ φορτικώτατον ἐπὶ τῶν ἀποστόλων εἶναι ἐδόκει, τὸ αὐτὸ καὶ αὐτὸς ὑπέμενε, παρὰ*
15 *φίλων, παρὰ οἰκετῶν, παρ' ἐχθρῶν μισούμενος, παρὰ τῶν εὖ πεπονθότων· καὶ τὴν ἱερὰν ἄγκυραν, καὶ τὸν ἀκύμαντον λιμένα (τοῦτο δὲ ἦν τὸ τοῖς ἀποστόλοις εἰρημένον, τό, «Ἕνεκεν ἐμοῦ»), τοῦτο ἰδεῖν οὐκ εἶχε.*

Θαυμάζω καὶ τοὺς παῖδας τοὺς τρεῖς, ὅτι κατετόλμησαν
20 *καμίνου, ὅτι κατεξανέστησαν τυράννου. Ἀλλ' ἄκουσον τί λέγουσι· «Τοῖς θεοῖς σου οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι ᾗ ἔστησας οὐ προσκυνοῦμεν». Ὅπερ μεγίστη παραμυθία αὐτοῖς ἦν, τὸ σαφῶς εἰδέναι, ὅτι διὰ τὸν Θεὸν πάντα πάσχουσιν, ἅπερ ἂν πάθωσιν. Οὗτος δὲ οὐκ ᾔδει, ὅτι ἀγωνίσματα ταῦτα*
25 *ἦν καὶ πάλη· εἰ γὰρ ᾔδει οὐκ ἂν ᾔσθετο τῶν γινομένων.*

---

40. Ματθ. 10, 25.
41. Δαν. 3, 18.

καθ' ἣν στιγμὴν δὲν ἔπαθε τίποτε ἀπὸ τὰς τόσον μεγάλας δοκιμασίας; Ἐπιτρέψατέ μου νὰ σᾶς εἰπῶ μὲ ὅλην τὴν εἰλικρίνειάν μου, ὅτι ὁ μακάριος ἐκεῖνος Ἰώβ, ἐὰν δὲν εἶναι ἀνώτερος καὶ ἀπὸ τοὺς ἀποστόλους, ὁπωσδήποτε ὅμως δὲν εἶναι καὶ κατώτερός των. Διότι ἐκεῖνοι μὲν παρηγοροῦντο ἀπὸ τὸ ὅτι ἔπασχον διὰ τὸν Χριστόν, καὶ τὸ φάρμακον αὐτὸ ἦτο τόσον ἰσχυρὸν εἰς τὸ νὰ ἐνισχύῃ καθημερινῶς τὸ θάρρος των, ὥστε ὁ Κύριος νὰ ἐπαναλαμβάνῃ εἰς κάθε περίπτωσιν λέγων· «Δι' ἐμὲ» καὶ «Ἐξ αἰτίας μου» καὶ ἀκόμη· «Ἐὰν ἐμὲ τὸν οἰκοδεσπότην ὠνόμασαν Βεελζεβούλ»[40]. Ὁ Ἰὼβ ὅμως δὲν εἶχεν αὐτὴν τὴν παρηγορίαν ποὺ προέρχεται καὶ ἀπὸ τὰ θαύματα καὶ ἀπὸ τὴν θείαν χάριν. Οὔτε βέβαια εἶχε τόσον μεγάλην τὴν ἐνίσχυσιν τοῦ ἁγίου Πνεύματος. Καὶ τὸ πιὸ σπουδαῖον βέβαια εἶναι ὅτι εἶχεν ἀνατραφῆ μέσα εἰς τὰς μεγάλας ἀνέσεις καὶ δὲν προήρχετο ἀπὸ ἁλιεῖς καὶ τελώνας καὶ ἀπὸ ἀνθρώπους ποὺ εἶχαν ζήσει μέσα εἰς τὴν πτωχείαν, ἀλλὰ μολονότι εἶχεν ἀπολαύσει τόσον μεγάλας τιμάς, ἔπασχεν αὐτὰ ἀκριβῶς ποὺ ἔπασχεν. Καὶ ἐκεῖνο ἀκριβῶς ποὺ ἐθεωρεῖτο ἀπὸ τοὺς ἀποστόλους τὸ πιὸ δυσάρεστον, τὸ ἴδιο καὶ αὐτὸς ὑπέμενε, μισούμενος ἀπὸ τοὺς φίλους, ἀπὸ τοὺς ὑπηρέτας, ἀπὸ τοὺς ἐχθροὺς καὶ ἀπὸ ἐκείνους ποὺ εἶχαν εὐεργετηθῆ ὑπ' αὐτοῦ. Καὶ δὲν ἠμποροῦσε νὰ ἰδῇ τὴν ἱερὰν ἄγκυραν καὶ τὸν γαλήνιον λιμένα (αὐτὸ δὲ ἦτο ἐκεῖνο ποὺ εἶχεν εἰπεῖ ὁ Ἰησοῦς εἰς τοὺς ἀποστόλους τὸ «ἐξ αἰτίας μου»).

Θαυμάζω δὲ καὶ τοὺς τρεῖς παῖδας, διότι ἐρριψοκινδύνευσαν εἰς τὴν κάμινον καὶ διότι ἀντεστάθησαν εἰς τὸν τύραννον. Ἄκουσε ὅμως τί λέγουν· «Τοὺς θεούς σου δὲν λατρεύομεν καὶ δὲν προσκυνοῦμεν τὴν εἰκόνα ποὺ ἔστησες»[41]. Αὐτὸ βέβαια ἦτο πολὺ μεγάλη παρηγορία δι' αὐτούς, τὸ ὅτι ἐγνώριζαν πολὺ καλά, ὅτι ὅ,τι καὶ ἂν ἤθελαν ὑποστῆ θὰ τὸ ὑφίσταντο πρὸς χάριν τοῦ ὀνόματος τοῦ Θεοῦ. Ἐνῷ αὐτὸς δὲν ἐγνώριζεν, ὅτι αὐτὰ ἦσαν ἀγωνίσματα καὶ πάλη. Διότι ἐὰν τὸ ἐγνώριζε δὲν θὰ ἐλάμβανεν ὑπ' ὄψιν του τὰ ὅσα

Ὅτε γοῦν ἤκουσεν ὅτι «Ἄλλως με οἴει σοι κεχρηματικέναι, ἢ ἵνα ἀναφανῇς δίκαιος;» ἐννόησον πῶς εὐθέως ἀπὸ ψιλοῦ ῥήματος ἀνέπνευσε· πῶς ἐξηυτέλισεν ἑαυτόν· πῶς οὐδὲ πεπονθέναι ἐνόμισεν ἅπερ ἔπαθεν, οὕτω λέγων· «Τί 5 ἔτι κρίνομαι νουθετούμενος καὶ ἐλεγχόμενος ὑπὸ Κυρίου, ἀκούων τοιαῦτα, οὐδὲν ὢν ἐγώ;». Καὶ πάλιν· «Ἕως μὲν ὠτὸς ἀκοῆς ἤκουόν σου τὸ πρότερον· νυνὶ δὲ ὁ ὀφθαλμός μου ἑώρακέ σε· διὸ ἐφαύλισα ἐμαυτὸν καὶ ἐτάκην· ἥγημαι δὲ ἐμαυτὸν γῆν καὶ σποδόν».

10 *Ταύτην τοίνυν τὴν ἀνδρείαν, ταύτην τὴν ἐπιείκειαν καὶ ἡμεῖς ζηλώσωμεν, οἱ μετὰ νόμον καὶ χάριν, τοῦ πρὸ νόμου καὶ χάριτος γενομένου, ἵνα καὶ τῶν αἰωνίων αὐτῷ δυνηθῶμεν κοινωνῆσαι σκηνῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, 15 ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

---

42. Ἰὼβ 40, 3.
43. Ἰὼβ 42, 5-6.
44. Τὸν νόμον τῆς Π. Διαθήκης.
45. Τὴν χάριν τῆς Κ. Διαθήκης.

συνέβαιναν. Ὅταν βέβαια ἤκουσε τοὺς λόγους· «Νομίζεις ὅτι εἶχα σκεφθῆ ἄλλα διὰ σὲ καὶ ὄχι διὰ νὰ ἀποδειχθῇ ἡ δικαιοσύνη σου;»[42], Πρόσεξε πῶς ἀμέσως μὲ ἕνα ἁπλοῦν λόγον ἀνεκουφίσθη· πῶς ἐπετίμησε τὸν ἑαυτόν του ὡς εὐτελῆ, πῶς ἐνόμισεν ὅτι δὲν εἶχε πάθει αὐτὰ ποὺ ἔπαθε, λέγων τὰ ἑξῆς· «Διατί ἀκόμη κρίνομαι μὲ τὸ νὰ μὲ νουθετῇ καὶ νὰ μὲ ἐλέγχῃ ὁ Κύριος, ἀκούων ὅλα αὐτὰ τὰ λόγια, ἐνῷ ἐγὼ δὲν εἶμαι τίποτε;». Καὶ πάλιν· «Μέχρι πρὸ ὀλίγου ἁπλῶς καὶ μόνον σὲ ἤκουα, τώρα ὅμως σὲ εἶδαν τὰ μάτια μου· διὰ τοῦτο περιεφρόνησα τὸν ἑαυτόν μου καὶ τὸν ἐταπείνωσα μέχρι συντριβῆς· ἔχω πιστεύσει ὅτι εἶμαι χῶμα καὶ στάκτη»[43].

Αὐτὴν λοιπὸν τὴν ἀνδρείαν, αὐτὴν τὴν ἐπιείκειαν ἐκείνου ποὺ ἔζησε πρὶν ἀπὸ τὸν νόμον[44] καὶ τὴν θείαν χάριν[45] ἂς τὴν μιμηθῶμεν καὶ ἡμεῖς ποὺ ζῶμεν μετὰ ἀπὸ τὸν νόμον καὶ τὴν χάριν, διὰ νὰ ἠμπορέσωμεν νὰ γίνωμεν κοινωνοὶ τῶν αἰωνίων αὐτοῦ σκηνῶν, τὰς ὁποίας εὔχομαι ὅλοι μας νὰ ἐπιτύχωμεν νὰ κληρονομήσωμεν μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΛΔ΄

Ματθ. 10, 23 - 33

«Ὅταν δὲ διώκωσιν ὑμᾶς ἐν τῇ πόλει ταύτῃ, φεύγετε εἰς τὴν ἑτέραν. Ἀμὴν γὰρ λέγω ὑμῖν, οὐ μὴ τελέσητε τὰς 5 *πόλεις τοῦ Ἰσραήλ, ἕως ἂν ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου».*

1. Εἰπὼν ἐκεῖνα τὰ φοβερὰ καὶ φρικώδη, καὶ ἀδάμαντα ἱκανὰ διαλῦσαι, τὰ μετὰ τὸν σταυρὸν καὶ τὴν ἀνάστασιν καὶ τὴν ἀνάληψιν αὐτοῖς συμβησόμενα, ἄγει πάλιν τὸν λόγον ἐπὶ τὰ ἡμερώτερα, διδοὺς ἀναπνεῦσαι τοῖς ἀθληταῖς, καὶ 10 *πολλὴν αὐτῆς παρέχων τὴν ἄδειαν. Οὐδὲ γὰρ ἐκέλευσε διωκομένους ὁμόσε χωρεῖν, ἀλλὰ φεύγειν. Ἐπειδὴ γὰρ ἀρχὴ τέως ἦν καὶ προοίμια, συγκαταβατικώτερον κέχρηται τῷ λόγῳ. Οὐ γὰρ δὴ περὶ τῶν μετὰ ταῦτά φησι διωγμῶν, ἀλλὰ τῶν πρὸ τοῦ σταυροῦ καὶ τοῦ πάθους. Καὶ τοῦτο ἐδήλωσε* 15 *λέγων· «Οὐ γὰρ μὴ τελέσητε τὰς πόλεις τοῦ Ἰσραήλ, ἕως ἂν ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου».*

Ἵνα γὰρ μὴ λέγωσι· τί οὖν, ἐὰν διωκόμενοι φεύγωμεν, καὶ πάλιν ἐκεῖ καταλαβόντες ἐλαύνωσι; τοῦτον ἀναιρῶν τὸν φόβον φησίν· οὐ φθήσεσθε περιελθόντες τὴν Παλαι- 20 *στίνην, καὶ εὐθέως ὑμᾶς καταλήψομαι. Καὶ θέα πῶς καὶ ἐνταῦθα οὐ λύει τὰ δεινά, ἀλλὰ παρίσταται τοῖς κινδύνοις. Οὐ γὰρ εἶπεν, ὅτι ἐξαρπάσομαι, καὶ λύσω τοὺς διωγμούς· ἀλλὰ τί; «Οὐ μὴ τελέσητε τὰς πόλεις τοῦ Ἰσραήλ, ἕως ἂν*

ΟΜΙΛΙΑ ΛΔ΄

Ματθ. 10, 23 - 33

«Ὅταν δὲ σᾶς διώχνουν εἰς μίαν πόλιν, νὰ πηγαίνετε εἰς τὴν ἄλλην. Διότι ἀληθῶς σᾶς λέγω ὅτι δὲν θὰ προλάβετε νὰ ἐπισκεφθῆτε ὅλας τὰς πόλεις τοῦ Ἰσραήλ, μέχρις ὅτου ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου».

1. Ἀφοῦ τοὺς εἶπεν ἐκεῖνα τὰ φοβερὰ καὶ φρικτὰ λόγια, ποὺ ἦσαν ἱκανὰ καὶ τὸν ἀδάμαντα νὰ διαλύσουν, τὰ ὁποῖα θὰ τοὺς συνέβαιναν μετὰ τὴν σταύρωσιν καὶ τὴν ἀνάστασιν καὶ τὴν ἀνάληψιν, μεταφέρει πάλιν τὸν λόγον εἰς τὰ περισσότερον εὐχάριστα, διὰ νὰ δώσῃ τὴν εὐκαιρίαν εἰς τοὺς ἀθλητὰς ν' ἀναπνεύσουν καὶ διὰ νὰ τοὺς ἐμπνεύσῃ μεγάλην ἀφοβίαν. Διότι δὲν τοὺς παρήγγειλε νὰ ὁρμοῦν ὅλοι μαζὶ ἐναντίον αὐτῶν ποὺ θὰ τοὺς καταδιώκουν, ἀλλὰ τοὺς εἶπε νὰ φεύγουν. Ἐπειδὴ δηλαδὴ ἦτο ἡ ἀρχὴ καὶ τὸ προοίμιον τῆς ἀποστολῆς των χρησιμοποιεῖ ὁ Κύριος περισσότερον συγκαταβατικοὺς λόγους. Διότι, βέβαια, δὲν τὰ λέγει αὐτὰ διὰ τοὺς μελλοντικοὺς διωγμούς, ἀλλὰ διὰ τοὺς διωγμοὺς ποὺ θὰ συμβοῦν πρὶν ἀπὸ τὴν σταύρωσιν καὶ τὸ πάθος του. Καὶ αὐτὸ τὸ κατέστησε φανερὸν μὲ τοὺς ἑξῆς λόγους του· «Δὲν θὰ προλάβετε νὰ ἐπισκεφθῆτε ὅλας τὰς πόλεις τοῦ Ἰσραὴλ μέχρις ὅτου ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου».

Διὰ νὰ μὴ λέγουν βέβαια· 'Τί θὰ ἐπιτύχωμεν λοιπὸν ἐὰν φεύγωμεν ὅταν μᾶς καταδιώκουν καὶ ὅταν μεταβαίνωμεν εἰς ἄλλο μέρος καὶ μᾶς καταδιώκουν καὶ πάλιν ἀπὸ ἐκεῖ;' τοὺς λέγει τὰ ἑξῆς διὰ νὰ ἐκδιώξῃ ἀπὸ μέσα των τὸν φόβον· Δὲν θὰ προλάβετε νὰ ἐπισκεφθῆτε τὴν Παλαιστίνην καὶ ἀμέσως θὰ σᾶς ἐπισκεφθῶ. Καὶ πρόσεξε δὲ πῶς καὶ τώρα δὲν τοὺς ἀπαλλάσσει ἀπὸ τὰ δεινά, ἀλλὰ τοὺς ἐμφανίζει ἁπλῶς τοὺς κινδύνους. Δὲν εἶπε δηλαδή, ὅτι θὰ σᾶς πάρω μαζί μου καὶ θὰ καταπαύσω τοὺς διωγμούς, ἀλλὰ τί εἶπε; «Δὲν θὰ προλάβετε νὰ ἐπισκεφθῆτε ὅλας τὰς πόλεις τοῦ Ἰσραὴλ μέχρις ὅτου ἔλθῃ ὁ υἱὸς τοῦ ἀνθρώπου». Διότι

ἔλθῃ ὁ Υἱὸς τοῦ ἀνθρώπου». Καὶ γὰρ ἤρκει εἰς παραμυθίαν αὐτοῖς τὸ ἰδεῖν αὐτὸν μόνον.

Σὺ δέ μοι σκόπει, πῶς οὐ πανταχοῦ πάντα ἐπιτρέπει τῇ χάριτι, ἀλλά τι καὶ παρ᾽ αὐτῶν εἰσφέρεσθαι κελεύει. Εἰ 5 *γὰρ φοβεῖσθε, φησί, φεύγετε· τοῦτο γὰρ ἐδήλωσεν εἰπών· «Φεύγετε», καί· «Μὴ φοβεῖσθε». Καὶ οὐκ αὐτοὺς πρώτους ἐκέλευσε φεύγειν, ἀλλ᾽ ἐλαυνομένους ὑποχωρεῖν· καὶ οὐδὲ πολὺ τὸ διάστημα δίδωσιν, ἀλλ᾽ ὅσον περιελθεῖν τὰς πόλεις τοῦ Ἰσραήλ.*

10 *Εἶτα πάλιν πρὸς ἕτερον αὐτοὺς ἀλείφει μέρος φιλοσοφίας. Πρότερον μέν, τὴν μέριμναν τῆς τροφῆς ἐκβάλλων· δεύτερον δέ, τὸν τῶν κινδύνων φόβον· νυνὶ δὲ τὸν τῆς κακηγορίας. Ἐκείνης μὲν γὰρ ἀπήλλαξε τῆς φροντίδος, εἰπών, «Ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ», καὶ δείξας ὅτι πολ-* 15 *λοὶ αὐτοὺς ὑποδέξονται· τῶν κινδύνων δὲ ἕνεκεν τῆς ἀγωνίας, εἰπών, «Μὴ μεριμνήσητε πῶς ἢ τί λαλήσητε», καὶ ὅτι «Ὁ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται».*

Ἐπειδὴ δὲ μετὰ τούτων εἰκὸς ἦν αὐτοὺς καὶ πονηρὰν δόξαν λαβεῖν, ὅπερ πολλοῖς πάντων φορτικώτερον εἶναι δο- 20 *κεῖ, ὅρα πόθεν αὐτοὺς καὶ ἐνταῦθα παρακαλεῖ, ἀφ᾽ ἑαυτοῦ καὶ τῶν περὶ αὐτοῦ εἰρημένων ἁπάντων τὴν παραμυθίαν τιθείς, οὗπερ ἴσον οὐδὲν ἦν. Ὥσπερ γὰρ εἶπεν ἐκεῖ, ὅτι «Ἔσεσθε μισούμενοι ὑπὸ πάντων»· καὶ προσέθηκε, «Διὰ τὸ ὄ-*

1. Ματθ. 10, 10.
2. Ματθ. 10, 19.
3. Ματθ. 10, 22.

ἦτο ἀρκετὸν πρὸς παρηγορίαν των τὸ γεγονὸς καὶ μόνον ὅτι θὰ τὸν ἔβλεπαν.

Σὺ ὅμως σὲ παρακαλῶ νὰ προσέξῃς, τὸ ὅτι δὲν ἐπιτρέπει εἰς κάθε περίπτωσιν νὰ τὰ πράξῃ ὅλα ἡ θεία χάρις, ἀλλὰ τοὺς παραγγέλλει νὰ καταβάλλουν καὶ οἱ ἴδιοι κάποιαν προσπάθειαν. Διότι, λέγει, ἐὰν φοβῆσθε νὰ φεύγετε. Αὐτὸ βέβαια τὸ ἐδήλωσε μὲ τοὺς λόγους του· «Νὰ φεύγετε» καὶ «Νὰ μὴ φοβῆσθε». Καὶ δὲν τοὺς παρήγγειλε νὰ φεύγουν πρῶτοι αὐτοί, ἀλλὰ νὰ ὑποχωροῦν ὅταν θὰ τοὺς καταδιώκουν· καὶ δὲν τοὺς δίδει μεγάλην προθεσμίαν μέχρι τὸν ἐρχομόν του, ἀλλὰ ὅσον ἀπαιτεῖται μόνον διὰ νὰ περιέλθουν τὰς πόλεις τοῦ Ἰσραήλ.

Ἀκολούθως τοὺς προετοιμάζει πάλιν δι' ἄλλο μέρος τῆς φιλοσοφίας. Κατ' ἀρχὴν δηλαδὴ τοὺς ἀπήλλαξεν ἀπὸ τὴν φροντίδα διὰ τὴν τροφήν των· δεύτερον δὲ ἐξεδίωξεν ἀπὸ τὴν σκέψιν των τὸν φόβον τῶν κινδύνων, καὶ τώρα τοὺς ἀπαλλάσσει ἀπὸ τὸν φόβον τῆς κακολογίας. Καὶ ἀπὸ μὲν τὴν φροντίδα τῆς τροφῆς τοὺς ἀπήλλαξε μὲ τοὺς λόγους του, «Ὁ ἐργαζόμενος δικαιοῦται τὴν τροφήν του»[1], καὶ διὰ τῶν ὁποίων ἔκανε φανερὸν ὅτι πολλοὶ εἶναι ἐκεῖνοι ποὺ θὰ τοὺς ὑποδεχθοῦν. Ἀπὸ τοὺς κινδύνους δὲ ποὺ θὰ διέτρεχαν ἐξ αἰτίας τῆς προσπαθείας ποὺ θὰ κατέβαλλαν τοὺς ἀπήλλαξε λέγων τὰ ἑξῆς· «Μὴ καταβάλετε μεγάλην φροντίδα διὰ τὸ πῶς ἢ τί θὰ εἰπῆτε»[2], καὶ ὅτι «Ἐκεῖνος ποὺ θὰ δείξῃ ὑπομονὴν μέχρι τέλους, αὐτὸς θὰ σωθῇ»[3].

Ἐπειδὴ ὅμως μαζὶ μὲ ὅλα αὐτὰ ἦτο φυσικὸν καὶ νὰ διαδοθῇ εἰς βάρος των κακὴ φήμη, πρᾶγμα ποὺ διὰ πολλοὺς ἀνθρώπους θεωρεῖται τὸ πιὸ βαρὺ ἀπὸ ὅλα γενικῶς, πρόσεξε μὲ ποῖον τρόπον τοὺς παρηγορεῖ καὶ δι' αὐτό, προσφέρων εἰς αὐτοὺς τὴν παρηγορίαν ἀπὸ τὸν ἑαυτόν του καὶ μὲ ὅλα ἐκεῖνα ποὺ ἐλέχθησαν δι' αὐτόν, πρᾶγμα ποὺ ὅμοιόν του δὲν ὑπῆρξε ποτέ. Ὅπως ἀκριβῶς δηλαδὴ εἶπε προηγουμένως, ὅτι «Θὰ μισῆσθε διαρκῶς ἀπὸ ὅλους» καὶ προσέθεσε «ἐξ αἰτίας τοῦ ὀνόματός μου», τὸ ἴδιο κάμνει καὶ εἰς αὐτὴν

νομά μου»· οὕτω καὶ ἐνταῦθα. Καὶ ἑτέρως αὐτὸ παραμυθεῖται, ἕτερον μετ' ἐκείνου τιθείς. Ποῖον δὴ τοῦτο; «Οὐκ ἔστι μαθητής», φησίν, «ὑπὲρ τὸν διδάσκαλον, οὐδὲ δοῦλος ὑπὲρ τὸν κύριον αὐτοῦ. Ἀρκετὸν τῷ μαθητῇ, ἵνα γένηται ὡς ὁ
5 *διδάσκαλος αὐτοῦ· καὶ ὁ δοῦλος, ὡς ὁ Κύριος αὐτοῦ. Εἰ τὸν οἰκοδεσπότην Βεελζεβοὺλ ἐκάλεσαν, πόσῳ μᾶλλον τοὺς οἰκειακοὺς αὐτοῦ; Μὴ οὖν φοβεῖσθε αὐτούς». Ὅρα πῶς ἑαυτὸν ἐκκαλύπτει τῶν πάντων ὄντα Δεσπότην καὶ Θεὸν καὶ Δημιουργόν.*

10 *Τί οὖν; Οὐκ ἔστι μαθητὴς ὑπὲρ τὸν διδάσκαλον, οὐδὲ δοῦλος ὑπὲρ τὸν κύριον αὐτοῦ; Ἕως ἂν μὲν ᾖ μαθητὴς καὶ δοῦλος, οὐκ ἔστι κατὰ τὴν τῆς τιμῆς φύσιν. Μὴ γάρ μοι τὰ σπανίζοντα ἐνταῦθα λέγε, ἀλλ' ἀπὸ τῶν πλειόνων δέχου τὸν λόγον. Καὶ οὐ λέγει, πόσῳ μᾶλλον τοὺς δούλους,*
15 *ἀλλὰ «τοὺς οἰκειακοὺς αὐτοῦ», πολλὴν πρὸς αὐτοὺς γνησιότητα ἐπιδεικνύμενος. Καὶ ἀλλαχοῦ δὲ ἔλεγεν· «Οὐκέτι καλῶ ὑμᾶς δούλους, ὑμεῖς φίλοι μού ἐστε». Καὶ οὐκ εἶπεν, εἰ τὸν οἰκοδεσπότην ὕβρισαν καὶ ἐκακηγόρησαν· ἀλλὰ καὶ αὐτὸ τὸ εἶδος τῆς ὕβρεως τίθησιν, ὅτι Βεελζεβοὺλ ἐκάλεσαν.*

20 *Εἶτα καὶ ἑτέραν οὐκ ἐλάττονα ταύτης δίδωσι παραμυθίαν· ἡ μὲν γὰρ μεγίστη αὕτη· ἐπειδὴ δὲ τοῖς οὐδέπω φιλοσοφοῦσι καὶ ἑτέρας ἔδει τῆς μάλιστα αὐτοὺς ἀνακτήσασθαι δυναμένης, καὶ ταύτην τίθησι· καὶ τὸ μὲν σχῆμα τῶν λεγομένων καθολικὴν δοκεῖ τὴν ἀπόφασιν ἔχειν· πλὴν οὐ περὶ*
25 *πάντων τῶν πραγμάτων, ἀλλὰ περὶ τῶν προκειμένων εἴρη-*

---

4. Ἰω. 15, 14-15.

τὴν περίπτωσιν. Τοὺς παρηγορεῖ δηλαδὴ δι' αὐτὸ μὲ ἄλλον τρόπον, ἐκθέτων παραλλήλως πρὸς ἐκεῖνον καὶ ἄλλον τρόπον παρηγορίας. Ποῖος λοιπὸν εἶναι αὐτός; «Δὲν ὑπάρχει μαθητής», λέγει, «ἀνώτερος ἀπὸ τὸν διδάσκαλόν του, οὔτε δοῦλος ἀνώτερος ἀπὸ τὸν κύριόν του. Εἶναι ἀρκετὸν διὰ τὸν μαθητὴν ἐὰν γίνῃ ὅπως ὁ διδάσκαλός του, καὶ ὁ δοῦλος ὅπως ὁ κύριός του. Ἐὰν τὸν οἰκοδεσπότην ἐκάλεσαν Βεελζεβούλ, πόσον μᾶλλον θὰ ὀνομάσουν τοὺς ἰδικούς του ἀνθρώπους; Ἑπομένως δὲν πρέπει νὰ τοὺς φοβῆσθε». Πρόσεξε λοιπὸν πῶς ἀποκαλύπτει τὸν ἑαυτόν του ὡς Κύριον καὶ Θεὸν καὶ Δημιουργὸν τῶν πάντων.

Τί σημαίνει λοιπὸν τό· «Δὲν ὑπάρχει μαθητὴς ἀνώτερος ἀπὸ τὸν διδάσκαλόν του οὔτε δοῦλος ἀνώτερος ἀπὸ τὸν κύριόν του»; Ὅσον χρόνον ἐξακολουθεῖ νὰ εἶναι κανεὶς μαθητὴς καὶ δοῦλος δὲν εἶναι ἀνώτερος ὡς πρὸς τὴν φύσιν αὐτῆς τῆς τιμῆς. Φυσικὰ μὴ μοῦ παρουσιάσῃς ἐδῶ τὰς σπανίας ἐκείνας περιπτώσεις, ἀλλὰ νὰ συμφωνῇς μ' αὐτὰ στηριζόμενος εἰς τὰ γεγονότα τῶν περισσοτέρων περιπτώσεων. Καὶ δὲν λέγει 'Πόσον μᾶλλον τοὺς δούλους του', ἀλλὰ «τοὺς ἰδικούς του», φανερώνων κατ' αὐτὸν τὸν τρόπον τὴν μεγάλην συγγένειάν του πρὸς αὐτούς. Καὶ εἰς ἄλλην δὲ περίπτωσιν ἔλεγε· «Δὲν σᾶς ἀποκαλῶ πλέον δούλους· σεῖς εἶσθε φίλοι μου»[4]. Καὶ δὲν εἶπεν, 'Ἐὰν ὕβρισαν τὸν οἰκοδεσπότην καὶ τὸν ἐκατηγόρησαν', ἀλλὰ ἀναφέρει καὶ αὐτὸ τὸ εἶδος τῆς ὕβρεως, ὅτι δηλαδὴ τὸν ὠνόμασαν Βεελζεβούλ.

Εἰς τὴν συνέχειαν τοὺς δίδει καὶ ἄλλην παρηγορίαν ὄχι κατωτέραν ἀπὸ τὴν προηγουμένην. Καὶ βέβαια αὐτὴ ἦτο πολὺ μεγάλη, ἐπειδὴ ὅμως ἐχρειάζοντο αὐτοί, ποὺ ἀκόμη δὲν ἦσαν εἰς θέσιν νὰ κατανοήσουν πλήρως τοὺς λόγους του, καὶ ἄλλην ποὺ νὰ ἦτο ἱκανὴ νὰ τοὺς ἐκδυναμώσῃ περισσότερον, τοὺς προσθέτει καὶ αὐτήν, ποὺ φαινομενικῶς μὲν φαίνεται νὰ ἰσχύῃ δι' ὅλα γενικῶς τὰ πράγματα, πλὴν ὅμως εἰς τὴν πραγματικότητα δὲν συμβαίνει αὐτό, ἀλλὰ ἐλέχθη μόνον διὰ τὴν προκειμένην περίπτωσιν. Τί λέγει λοι-

ται μόνον. Τί γάρ φησι; «Οὐδέν ἐστι κεκαλυμμένον, ὃ οὐκ ἀποκαλυφθήσεται· οὐδὲ κρυπτόν, ὃ οὐ γνωσθήσεται». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν. Ἀρκεῖ μὲν ὑμῖν εἰς παραμυθίαν τὸ καὶ ἐμὲ κοινωνῆσαι τῆς αὐτῆς λοιδορίας ὑμῖν, τὸν διδάσκα- 5 *λον καὶ τὸν Δεσπότην. Εἰ δὲ ἔτι ἀλγεῖτε ταῦτα ἀκούοντες, ἐννοήσατε κἀκεῖνο, ὅτι καὶ ταύτης μικρὸν ὕστερον ἀπαλλαγήσεσθε τῆς ὑποψίας.*

Τίνος γὰρ ἕνεκεν ἀλγεῖτε; ὅτι γόητας ὑμᾶς καλοῦσι καὶ πλάνους; Ἀλλ' ἀναμείνατε μικρόν, καὶ σωτῆρας ὑμᾶς 10 *καὶ εὐεργέτας τῆς οἰκουμένης προσεροῦσιν ἅπαντες. Καὶ γὰρ ἀποκαλύπτει ἅπαντα ὁ χρόνος τὰ συνεσκιασμένα, καὶ τὴν ἐκείνων συκοφαντίαν ἐλέγξει, καὶ δήλην ποιήσει τὴν ὑμετέραν ἀρετήν. Ὅταν γὰρ διὰ τῶν πραγμάτων φαίνησθε σωτῆρες καὶ εὐεργέται, καὶ πᾶσαν ἀρετὴν ἐπιδεικνύμενοι,* 15 *οὐ τοῖς ἐκείνων προσέξουσι λόγοις οἱ ἄνθρωποι, ἀλλὰ τῇ τῶν πραγμάτων ἀληθείᾳ· καὶ οἱ μὲν συκοφάνται καὶ ψεῦσται καὶ κακηγόροι, ὑμεῖς δὲ τοῦ ἡλίου φανεῖσθε λαμπρότεροι, τοῦ μακροῦ χρόνου ἐκκαλύπτοντος ὑμᾶς καὶ ἀνακηρύττοντος, καὶ σάλπιγγος λαμπροτέραν φωνὴν ἀφιέντος, καὶ μάρτυρας ἅ-* 20 *παντας τῆς ὑμετέρας ποιοῦντος ἀρετῆς. Μὴ τοίνυν τὰ λεγόμενα νῦν ὑμᾶς ταπεινούτω, ἀλλ' ἡ ἐλπὶς τῶν μελλόντων ἀγαθῶν ἀνορθούτω. Ἀμήχανον γὰρ κρυβῆναι τὰ καθ' ὑμᾶς.*

2. Εἶτα, ἐπειδὴ πάσης αὐτοὺς ἀπήλλαξεν ἀγωνίας καὶ φόβων καὶ μερίμνης, καὶ ὑψηλοτέρους ἐποίησε τῶν ὀνειδῶν, 25 *τότε λοιπὸν εἰς καιρὸν αὐτοῖς καὶ περὶ τῆς ἐν τῷ κηρύγματι παρρησίας διαλέγεται. «Ὃ λέγω γὰρ ὑμῖν», φησίν, «ἐν τῇ σκοτίᾳ, εἴπατε ἐν τῷ φωτί· καὶ ὃ εἰς τὸ οὖς ἠκούσατε,*

πόν; «Δὲν ὑπάρχει τίποτε ποὺ νὰ εἶναι καλυμμένον, καὶ νὰ μὴ ἀποκαλυφθῇ, οὔτε κανένα κρυπτὸν πρᾶγμα ποὺ νὰ μὴ γίνῃ γνωστόν». Οἱ λόγοι αὐτοὶ δὲ σημαίνουν τὸ ἑξῆς· 'Σᾶς εἶναι ἀρκετὸν διὰ νὰ σᾶς παρηγορῇ τὸ γεγονὸς ὅτι καὶ ἐγὼ ὁ διδάσκαλός σας καὶ Κύριός σας ἐδοκίμασα τοὺς ἰδίους χλευασμοὺς μὲ σᾶς. Ἐὰν ὅμως ὑποφέρετε ἀκόμη ἀκούοντες αὐτά, σκεφθῆτε καὶ αὐτό, ὅτι δηλαδὴ μετὰ ἀπὸ ὀλίγον θ' ἀπαλλαγῆτε καὶ ἀπὸ αὐτὴν τὴν ὑποψίαν'.

Ἐξ αἰτίας ποίου πράγματος, λοιπόν, λυπεῖσθε; ἐπειδὴ σᾶς ἀποκαλοῦν μάγους καὶ πλάνους; Δείξατε ὅμως μικρὰν ὑπομονὴν καὶ θὰ ἰδῆτε νὰ σᾶς ὀνομάζουν ὅλοι γενικῶς σωτῆρας καὶ εὐεργέτας τῆς οἰκουμένης. Καθόσον ὁ χρόνος φέρει εἰς φῶς ὅλα γενικῶς τὰ κρυπτὰ καὶ ὡς ἐκ τούτου θὰ ἀποκαλύψῃ καὶ τὴν συκοφαντίαν ἐπάνω καὶ θὰ καταστήσῃ φανερὰν καὶ τὴν ἰδικήν σας ἀρετήν. Διότι ὅταν ἐξ αὐτῶν τῶν πραγμάτων ἀποδειχθῆτε σωτῆρες καὶ εὐεργέται καὶ ἐπιδείξετε ὅλην τὴν ἀρετήν σας, οἱ ἄνθρωποι δὲν θὰ προσέχουν τότε τὰ λόγια ἐκείνων, ἀλλὰ τὴν ἀλήθειαν τῶν πραγμάτων. Καὶ ἐκεῖνοι μὲν θὰ ἀποδειχθοῦν συκοφάνται καὶ ψεῦσται καὶ ὑβρισταί, ἐνῷ σεῖς θὰ φανῆτε πιὸ λαμπροὶ καὶ ἀπὸ τὸν ἥλιον, ἀφοῦ ὁ πολὺς χρόνος θὰ σᾶς ἀποκαλύψῃ καὶ θὰ σᾶς ἀνακηρύξῃ μὲ φωνὴν πολὺ πιὸ ἰσχυρὰν ἀπὸ τὴν φωνὴν τῆς σάλπιγγος καὶ θὰ κάνῃ ὅλους γενικῶς τοὺς ἀνθρώπους μάρτυρας τῆς ἀρετῆς σας. Ἑπομένως ἂς μὴ χάνετε τὸ θάρρος σας ἀπὸ αὐτὰ ποὺ ἀκούετε, ἀλλ' ἂς ἐνισχύῃ τὸ φρόνημά σας ἡ ἐλπὶς τῶν μελλοντικῶν ἀγαθῶν. Διότι εἶναι ἀδύνατον νὰ κρυβοῦν τὰ ἔργα σας.

2. Εἰς τὴν συνέχειαν, ἀφοῦ τοὺς ἀπήλλαξεν ἀπὸ κάθε ἀγωνίαν καὶ φόβον καὶ φροντίδα καὶ τοὺς ἠσφάλισεν ἀπὸ τὰς διαφόρους προσβολὰς τῶν ἐχθρῶν των, τότε λοιπὸν εἰς κατάλληλον πλέον χρόνον τοὺς ὡμίλησε καὶ διὰ τὴν παρρησίαν ποὺ θὰ ἔπρεπε νὰ ἐπιδεικνύουν διὰ τὸ κήρυγμα τοῦ Εὐαγγελίου. Διότι λέγει, «Αὐτὸ ποὺ σᾶς λέγω τώρα εἰς τὰ κρυφά, διακηρύξατέ το φανερά, καὶ αὐτὸ ποὺ ἀκούετε τώ-

κηρύξατε ἐπὶ τῶν δωμάτων». Καίτοιγε οὐκ ἦν σκότος, ἡνίκα ταῦτα ἔλεγεν, οὐδὲ εἰς τὸ οὖς αὐτοῖς διελέγετο, ἀλλὰ μεθ' ὑπερβολῆς κέχρηται τῷ λόγῳ. Ἐπειδὴ γὰρ μόνοις αὐτοῖς διελέγετο, καὶ ἐν μικρᾷ γωνίᾳ τῆς Παλαιστίνης, διὰ τοῦτο εἶπεν, «Ἐν τῇ σκοτίᾳ», καὶ «εἰς τὸ οὖς», πρὸς τὴν μετὰ ταῦτα παρρησίαν ἐσομένην, ἣν ἔμελλεν αὐτοῖς διδόναι, τὸν τρόπον τῆς διαλέξεως ἀντιδιαστέλλων ἐκείνης. Οὐ γὰρ μιᾷ καὶ δύο καὶ τρισὶ πόλεσιν, ἀλλὰ τῇ οἰκουμένῃ κηρύξετε πάσῃ, φησί, γῆν καὶ θάλατταν ἐπιόντες, καὶ οἰκουμένην καὶ ἀοίκητον· καὶ τυράννοις καὶ δήμοις, καὶ φιλοσόφοις καὶ ῥήτορσι, γυμνῇ τῇ κεφαλῇ καὶ μετὰ παρρησίας πάσης πάντα λέγοντες. Διὰ τοῦτο εἶπεν, «Ἐπὶ τῶν δωμάτων», καὶ «Ἐν τῷ φωτί», χωρὶς ὑποστολῆς τινος, καὶ μετὰ ἐλευθερίας ἁπάσης.

Καὶ διατί μὴ εἶπε, «Κηρύξατε ἐπὶ τῶν δωμάτων», καὶ «Εἴπατε ἐν τῷ φωτί», μόνον, ἀλλὰ καὶ προσέθηκεν, «Ὃ λέγω ὑμῖν ἐν τῇ σκοτίᾳ», καὶ «Ὃ εἰς τὸ οὖς ἀκούετε»; Ἐπαίρων αὐτῶν τὰ φρονήματα. Ὥσπερ οὖν ὅτε ἔλεγεν, «Ὁ πιστεύων εἰς ἐμέ, τὰ ἔργα ἃ ἐγὼ ποιῶ κἀκεῖνος ποιήσει, καὶ μείζονα τούτων ποιήσει» οὕτω δὴ καὶ ἐνταῦθα, δεικνὺς ὅτι τὸ πᾶν δι' αὐτῶν ἐργάσεται, καὶ πλέον ἢ δι' ἑαυτοῦ, τοῦτο τέθεικε. Τὴν μὲν γὰρ ἀρχὴν ἐγὼ δέδωκα, φησί, καὶ τὰ προοίμια· τὸ δὲ πλέον δι' ὑμῶν ἀνύσαι βούλομαι. Τοῦτο δὲ οὐκ ἐπιτάττοντός ἐστι μόνον, ἀλλὰ καὶ τὸ μέλλον προαναφωνοῦντος, καὶ θαρρύνοντος τοῖς λεγομένοις, καὶ δεικνύντος ὅτι πάντων κρατήσουσι, καὶ ἠρέμα καὶ τὴν περὶ τῆς κακηγο-

---

5. Ἰω. 14, 12.

ρα, κατὰ τρόπον μυστικόν, εἰς τὸ αὐτί σας, διαλαλήσατέ το ἀπὸ τοὺς ἐξώστας». Καὶ βέβαια δὲν ὑπῆρχε σκότος ὅταν τοὺς ἔλεγεν αὐτὰ καὶ οὔτε τοὺς ὡμιλοῦσεν εἰς τὸ αὐτί, ἀλλὰ ὅλα αὐτὰ τὰ λέγει μὲ κάποιαν ὑπερβολήν. Ἐπειδὴ δηλαδὴ συζητοῦσε μόνον μὲ αὐτοὺς καὶ εἰς κάποιαν μικρὰν γωνίαν τῆς Παλαιστίνης, διὰ τοῦτο εἶπεν, «Εἰς τὸ σκότος» καὶ «εἰς τὸ αὐτί», διὰ νὰ διακρίνῃ τὸν τρόπον ἐκείνης τῆς συνομιλίας του ἀπὸ τὴν μελλοντικὴν παρρησίαν των, τὴν ὁποίαν ἐπρόκειτο νὰ τοὺς δώσῃ. Διότι, λέγει, δὲν θὰ κηρύξετε εἰς μίαν καὶ δύο καὶ τρεῖς μόνον πόλεις ἀλλ' εἰς ὁλόκληρον τὴν οἰκουμένην περιερχόμενοι γῆν καὶ θάλασσαν, καὶ τὴν κατῳκημένην καὶ τὴν ἀκατοίκητον γῆν, κηρύσσοντες ὅλα αὐτὰ μετὰ μεγίστης παρρησίας καὶ τελείως ἄοπλοι καὶ εἰς τοὺς ἄρχοντας καὶ εἰς τὰ πλήθη τῶν λαῶν καὶ εἰς τοὺς φιλοσόφους καὶ εἰς τοὺς ρήτορας. Διὰ τοῦτο εἶπεν· «ἀπὸ τὰς ταράτσας» καὶ «εἰς τὸ φῶς» χωρὶς κανένα περιορισμὸν καὶ μὲ ἀπόλυτον ἐλευθερίαν.

Καὶ διὰ ποῖον λόγον δὲν εἶπε μόνον «Νὰ τὸ κηρύξετε ἀπὸ τὰς ταράτσας» καὶ «νὰ τὸ εἰπῆτε εἰς τὸ φῶς», ἀλλὰ καὶ προσέθεσεν· «αὐτὸ ποὺ σᾶς λέγω εἰς τὸ σκότος» καὶ «αὐτὸ ποὺ ἀκούετε εἰς τὸ αὐτί»; Ἀσφαλῶς διὰ νὰ ἐξυψώσῃ τὰ φρονήματά των. Ὅπως ἀκριβῶς ὅταν ἔλεγεν· «Αὐτὸς ποὺ πιστεύει εἰς ἐμὲ τὰ ἔργα ποὺ ἐγὼ πράττω θὰ τὰ πράξῃ καὶ ἐκεῖνος καὶ μάλιστα θὰ πράξῃ πολὺ πιὸ μεγαλύτερα»[6], ἔτσι βέβαια καὶ εἰς αὐτὴν τὴν περίπτωσιν εἶπεν αὐτὸ διὰ νὰ δείξῃ ὅτι τὰ πάντα θὰ τὰ πράξῃ μέσῳ αὐτῶν, πολὺ περισσότερον δι' αὐτῶν παρὰ διὰ τοῦ ἑαυτοῦ του. Τὴν μὲν ἀρχήν, βεβαίως, καὶ τὰς πρώτας ἐνεργείας σας, λέγει, σᾶς τὰς ἔδωσα ἐγώ, ἀλλὰ τὸ ἐν συνεχείᾳ ἔργον μου θέλω νὰ τὸ φέρω εἰς πέρας μέσῳ ὑμῶν. Αὐτὸ δὲν εἶναι γνώρισμα μόνον ἐκείνου ποὺ διατάσσει, ἀλλ' εἶναι καὶ ἐκείνου ποὺ προλέγει τὸ μέλλον καὶ ποὺ ἐνθαρρύνει μὲ τοὺς λόγους του καὶ ποὺ καθιστᾷ φανερὸν ὅτι θὰ ἐπικρατήσουν εἰς ὅλα καὶ ποὺ φέρει εἰς τὸ φῶς τὴν ἀγωνίαν ποὺ θὰ δοκιμάσουν μελλοντικῶς

ρίας ἀγωνίαν πάλιν ὑπορύττοντος. Ὥσπερ γὰρ τοῦτο τὸ κήρυγμα, λανθάνον τέως, πάντα ἐπελεύσεται, οὕτω καὶ ἡ πονηρὰ τῶν Ἰουδαίων ὑπόληψις ἀπολεῖται ταχέως.

Εἶτα, ἐπειδὴ ἐπῆρεν αὐτοὺς καὶ ὕψωσε, προαναφωνεῖ 5 *πάλιν καὶ τοὺς κινδύνους, ἀναπτερῶν αὐτῶν τὴν διάνοιαν, καὶ ὑψηλοτέρους πάντων ποιῶν. Τί γάρ φησι; «Μὴ φοβηθῆτε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι». Εἶδες πῶς πάντων αὐτοὺς ἔστησεν ἀνωτέρους, οὐχὶ φροντίδος μόνον καὶ κακηγορίας, οὐδὲ κιν-* 10 *δύνων καὶ ἐπιβουλῶν, ἀλλὰ καὶ αὐτοῦ τοῦ πάντων δοκοῦντος εἶναι φοβεροῦ θανάτου πείθων καταφρονεῖν; καὶ οὐδὲ ἁπλῶς θανάτου, ἀλλὰ καὶ βιαίου; Καὶ οὐκ εἶπεν, ὅτι ἀναιρεθήσεσθε, ἀλλὰ καὶ μετὰ τῆς αὐτῷ προσηκούσης μεγαλοπρεπείας τοῦτο παρεδήλωσε, «Μὴ φοβηθῆτε», λέγων, «ἀπὸ* 15 *τῶν ἀποκτηνόντων τὸ σῶμα, τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι· φοβήθητε δὲ μᾶλλον τὸν καὶ ψυχὴν καὶ σῶμα δυνάμενον ἀπολέσαι ἐν γεέννῃ», ὅπερ ἀεὶ ποιεῖ, εἰς τοὐναντίον περιτρέπων τὸν λόγον. Τί γάρ; δεδοίκατε, φησί, θάνατον, καὶ διὰ τοῦτο ὀκνεῖτε κηρύσσειν; Δι' αὐτὸ μὲν οὖν* 20 *τοῦτο κηρύξατε, ἐπειδὴ δεδοίκατε θάνατον. Τοῦτο γὰρ ὑμᾶς ἐξαιρήσεται τοῦ ὄντως θανάτου. Εἰ γὰρ καὶ μέλλουσιν ὑμᾶς ἀναιρεῖν, ἀλλὰ τοῦ κρείττονος οὐ περιέσονται, κἂν μυρία φιλονεικήσωσι. Διὰ τοῦτο οὐκ εἶπε, τὴν δὲ ψυχὴν μὴ ἀποκτενόντων· ἀλλά, «Μὴ δυναμένων ἀποκτεῖναι». Κἂν γὰρ*

ἀπὸ τὰς συκοφαντίας. Ὅπως ἀκριβῶς δηλαδὴ αὐτὸ τὸ κήρυγμα, τὸ ὁποῖον εὑρίσκετο προηγουμένως εἰς λανθάνουσαν κατάστασιν, θὰ εἰσχωρήσῃ παντοῦ μελλοντικῶς, κατὰ τὸν ἴδιον τρόπον θὰ ἐξαφανισθῇ ταχέως καὶ ἡ πονηρὰ ἀντίληψις τῶν Ἰουδαίων.

Εἰς τὴν συνέχειαν, ἀφοῦ τοὺς ἐνεθάρρυνε καὶ ὕψωσε τὸ φρόνημά των, τοὺς προλέγει πάλιν καὶ τοὺς κινδύνους, μὲ σκοπὸν ν' ἀναπτερώσῃ τὴν διάνοιάν των καὶ νὰ τοὺς κάνῃ νὰ εἶναι ἀκατάβλητοι ἀπὸ ὅλους γενικῶς τοὺς κινδύνους. Τί τοὺς λέγει λοιπόν; «Νὰ μὴ φοβηθῆτε ἐκείνους ποὺ θανατώνουν μὲν τὸ σῶμα, ἀλλὰ δὲν ἠμποροῦν νὰ θανατώσουν τὴν ψυχήν». Εἶδες μὲ ποῖον τρόπον ἔθεσεν αὐτοὺς ὑψηλότερα ἀπὸ ὅλα, πείθων αὐτοὺς νὰ περιφρονοῦν ὄχι μόνον τὰς φροντίδας καὶ τὰς κακολογίας, τοὺς κινδύνους καὶ τὰς ἐπιβουλάς, ἀλλὰ καὶ αὐτὸν τὸν θάνατον ποὺ θεωρεῖται ἀπὸ ὅλους ὅτι εἶναι φοβερός; καὶ ὄχι νὰ περιφρονοῦν ἁπλῶς τὸν θάνατον, ἀλλὰ καὶ τὸν βίαιον θάνατον; Καὶ δὲν εἶπεν, ὅτι θὰ θανατωθοῦν, ἀλλὰ καὶ αὐτὸ τὸ ὑπαινίχθη μὲ ὅλην τὴν μεγαλοπρέπειαν ποὺ ἁρμόζει εἰς αὐτὸν λέγων τὰ ἑξῆς· «Νὰ μὴ φοβηθῆτε ἀπὸ ἐκείνους ποὺ θανατώνουν μὲν τὸ σῶμα, ἀλλ' ὅμως δὲν ἠμποροῦν νὰ θανατώσουν καὶ τὴν ψυχήν. Νὰ φοβηθῆτε δὲ πολὺ περισσότερον αὐτὸν ποὺ ἠμπορεῖ νὰ ρίψῃ εἰς τὴν γέενναν τοῦ πυρὸς καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα», πρᾶγμα ποὺ τὸ κάνει πάντοτε, δίδων κατ' αὐτὸν τὸν τρόπον ἀντίθετον περιεχόμενον εἰς τὸν λόγον. Τί λοιπόν; Φοβεῖσθε, λέγει, τὸν θάνατον καὶ δι' αὐτὸ διστάζετε νὰ κηρύσσετε; Ἀκριβῶς δι' αὐτὸ λοιπὸν κηρύξατε, ἐπειδὴ φοβεῖσθε τὸν θάνατον. Διότι αὐτὸ θὰ σᾶς λυτρώσῃ ἀπὸ τὸν πραγματικὸν θάνατον. Καὶ ἂν ἀκόμη βέβαια πρόκειται νὰ σᾶς φονεύσουν, δὲν θὰ ἠμπορέσουν ὅμως νὰ καταστρέψουν τὸ σπουδαιότερόν σας μέρος ἔστω καὶ ἂν μεταχειρισθοῦν ἀμέτρητα μέσα διὰ τὸν σκοπὸν αὐτόν. Διὰ τοῦτο δὲν εἶπεν, 'ἐκείνους ποὺ δὲν θανατώνουν τὴν ψυχήν', ἀλλὰ «ἐκείνους ποὺ δὲν ἠμποροῦν νὰ τὴν θανατώσουν». Διότι καὶ ἂν ἀκόμη

θελήσωσιν, οὐ περιέσονται. Ὥστε εἰ δέδοικας κόλασιν, ἐκείνην φοβοῦ τὴν πολλῷ χαλεπωτέραν.

Ὁρᾷς πῶς πάλιν οὐκ ἐπαγγέλλεται αὐτοῖς ἀπαλλαγὴν θανάτου, ἀλλ' ἀφίησιν ἀποθανεῖν, μείζονα χαριζόμενος ἢ εἰ 5 *μὴ συνεχώρησε τοῦτο παθεῖν; Τοῦ γὰρ ἀπαλλάξαι θανάτου τὸ πεῖσαι καταφρονεῖν θανάτου πολλῷ μεῖζόν ἐστιν.*

Οὐ τοίνυν εἰς κινδύνους ἐμβάλλει αὐτούς, ἀλλ' ἀνωτέρους ποιεῖ κινδύνων, καὶ ἐν βραχεῖ λόγῳ τὰ περὶ ἀθανασίας ψυχῆς ἐν αὐτοῖς πήγνυσι δόγματα· καὶ ἐν δύο καὶ τρισὶ 10 *λέξεσι δόγμα σωτήριον καταφυτεύσας, καὶ ἀπὸ λογισμῶν αὐτοὺς ἑτέρων παραμυθεῖται. Ἵνα γὰρ μὴ νομίσωσιν ἀναιρούμενοι καὶ σφαττόμενοι, ὡς ἐγκαταλιμπανόμενοι τοῦτο πάσχειν, πάλιν τὸν περὶ τῆς προνοίας τοῦ Θεοῦ εἰσάγει λόγον, οὕτω λέγων· «Οὐχὶ δύο στρουθία ἀσσαρίου πωλεῖται;* 15 *καὶ ἓν ἐξ αὐτῶν οὐ πεσεῖται εἰς παγίδα ἄνευ τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς. Ὑμῶν δὲ καὶ αἱ τρίχες τῆς κεφαλῆς πᾶσαι ἠριθμημέναι εἰσί». Τί γὰρ εὐτελέστερον ἐκείνων; φησίν· ἀλλ' ὅμως οὐδὲ ἐκεῖνα ἁλώσεται, ἀγνοοῦντος τοῦ Θεοῦ. Οὐ γὰρ τοῦτό φησιν, ὅτι ἐνεργοῦντος αὐτοῦ πίπτει· τοῦτο* 20 *γὰρ ἀνάξιον Θεοῦ· ἀλλ' ὅτι οὐδὲν αὐτὸν λανθάνει τῶν γινομένων. Εἰ τοίνυν ἀγνοεῖ οὐδὲν τῶν συμβαινόντων, ὑμᾶς δὲ φιλεῖ πατρὸς γνησιώτερον, καὶ οὕτω φιλεῖ, ὡς καὶ τὰς τρίχας ἠριθμηκέναι, οὐ χρὴ δεδοικέναι. Τοῦτο δὲ ἔλεγεν, οὐχ ὅτι τὰς τρίχας ὁ Θεὸς ἀριθμεῖ, ἀλλ' ἵνα τὴν ἀκριβῆ*

τὸ θελήσουν, δὲν θὰ ἠμπορέσουν νὰ τὸ ἐπιτύχουν. Ὥστε ἐὰν φοβῆσαι τὴν τιμωρίαν, νὰ φοβῆσαι ἐκείνην ποὺ εἶναι πολὺ περισσότερον χειρότερη.

Βλέπεις πάλιν πῶς δὲν τοὺς ὑπόσχεται ἀπαλλαγὴν ἀπὸ τὸν θάνατον, ἀλλὰ τοὺς ἀφήνει ν' ἀποθάνουν καὶ τοὺς χαρίζει κατ' αὐτὸν τὸν τρόπον πολὺ περισσότερα, παρὰ ἐὰν δὲν τοὺς ἄφηνε νὰ ὑποστοῦν τὸν θάνατον; Διότι εἶναι πολὺ πιὸ σπουδαῖον τὸ νὰ τοὺς πείσῃ νὰ περιφρονοῦν τὸν θάνατον ἀπὸ τὸ νὰ τοὺς ἀπαλλάξῃ ἀπὸ τὸν θάνατον.

Δὲν τοὺς ρίπτει λοιπὸν εἰς τοὺς κινδύνους, ἀλλὰ τοὺς τοποθετεῖ ἐπάνω ἀπὸ τοὺς κινδύνους καὶ μὲ πολὺ σύντομον λόγον ἐμπεδώνει μέσα των τὴν πίστιν εἰς τὸ δόγμα τῆς ἀθανασίας τῆς ψυχῆς. Καὶ ἀφοῦ μὲ δύο καὶ τρεῖς λέξεις ἐφύτευσεν εἰς τὴν ψυχήν των τὸ σωτήριον δόγμα, τοὺς ἀπαλλάσσει καὶ ἀπὸ ἄλλους διαλογισμούς. Διὰ νὰ μὴ νομίσουν δηλαδή, ὅταν θὰ φονεύωνται καὶ θὰ σφάζωνται, ὅτι ὑφίστανται αὐτὰ ἐπειδὴ τοὺς ἄφησεν ἀβοηθήτους, ἐπαναφέρει πάλιν τὸν λόγον εἰς τὸ θέμα τῆς προνοίας τοῦ Θεοῦ καὶ λέγει τὰ ἑξῆς· «Δὲν πωλοῦνται δύο σπουργίται ἔναντι δέκα λεπτῶν; καὶ ὅμως κανένα ἀπ' αὐτὰ δὲν θὰ πέσῃ εἰς τὴν παγίδα χωρὶς νὰ τὸ ἐπιτρέψῃ ὁ Πατήρ σας ὁ οὐράνιος. Σχετικῶς δὲ μὲ σᾶς καὶ αἱ τρίχες τῆς κεφαλῆς σας εἶναι ὅλαι μετρημέναι». Ποῖον πρᾶγμα λοιπὸν εἶναι πιὸ ἀσήμαντον ἀπὸ τοὺς σπουργίτας; λέγει· ἀλλ' ὅμως οὔτε ἐκεῖνα θὰ συλληφθοῦν χωρὶς τὴν θέλησιν τοῦ Θεοῦ. Φυσικὰ δὲν ἐννοεῖ αὐτό, ὅτι δηλαδὴ αὐτὰ συλλαμβάνονται μὲ τὴν ἐνέργειαν τοῦ Θεοῦ, διότι αὐτὸ δὲν ταιριάζει εἰς τὸν Θεόν, ἀλλ' ὅτι τίποτε δὲν διαφεύγει ἀπὸ τὴν προσοχὴν τοῦ Θεοῦ. Ἀφοῦ λοιπὸν δὲν διαφεύγει τίποτε ἀπὸ τὴν προσοχήν του καὶ λαμβανομένου ὑπ' ὄψιν ὅτι σᾶς ἀγαπᾷ περισσότερον ἀπὸ τὸν πατέρα σας, καὶ μάλιστα σᾶς ἀγαπᾷ τόσον ὥστε νὰ ἔχῃ ἀριθμήσει καὶ τὰς τρίχας τῆς κεφαλῆς σας, δὲν πρέπει νὰ φοβῆσθε. Αὐτὸ δὲ τὸ ἔλεγεν, ὄχι διὰ νὰ δείξῃ ὅτι ὁ Θεὸς ἀριθμεῖ τὰς τρίχας τῆς κεφαλῆς, ἀλλὰ διὰ νὰ καταστήσῃ πλήρως γνω-

γνῶσιν καὶ τὴν πολλὴν πρόνοιαν τὴν περὶ αὐτοὺς ἐνδείξηται. Εἰ τοίνυν καὶ οἶδε πάντα τὰ γινόμενα, καὶ δύναται σῴζειν ὑμᾶς, καὶ βούλεται, ὅσα ἂν πάθητε, μὴ νομίσητε ἐγκαταλιμπανόμενοι πάσχειν. Οὐδὲ γὰρ ἀπαλλάξαι ὑμᾶς βούλεται
5 *τῶν δεινῶν, ἀλλὰ πεῖσαι καταφρονεῖν τῶν δεινῶν· ἐπειδὴ τοῦτο μάλιστα ἀπαλλαγὴ τῶν δεινῶν.*

«Μὴ οὖν φοβηθῆτε· πολλῶν στρουθίων διαφέρετε ὑμεῖς». Ὁρᾷς ἤδη τὸν φόβον αὐτῶν κρατήσαντα; Καὶ γὰρ ᾔδει τὰ ἀπόρρητα τῆς διανοίας· διὰ τοῦτο ἐπήγαγε, «Μὴ
10 *οὖν φοβεῖσθε αὐτούς». Κἂν γὰρ κρατήσωσι, τοῦ καταδεεστέρου κρατήσουσι, τοῦ σώματος λέγω· ὃ κἂν μὴ οὗτοι ἀποκτείνωσιν, ἡ φύσις λαβοῦσα ἄπεισι πάντως.*

3. Ὥστε οὐδὲ τούτου οὗτοι γεγόνασι κύριοι, ἀλλ' ἀπὸ τῆς φύσεως αὐτὸ ἔχουσιν. Εἰ δὲ τοῦτο δέδοικας, πολλῷ μᾶλ-
15 *λον τὸ μεῖζον δεδοικέναι χρή ,καὶ φοβεῖσθαι τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἐν γεέννῃ ἀπολέσαι. Καὶ οὐ λέγει φανερῶς ἑαυτὸν νῦν εἶναι τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα ἀπολέσαι· δι' ὧν δὲ ἔμπροσθεν ἀπέφηνε κριτὴν ἑαυτὸν ὄντα, ἐδήλωσεν. Ἀλλὰ νῦν τοὐναντίον γίνεται. Τὸν μὲν γὰρ δυ-*
20 *νάμενον ψυχὴν ἀπολέσαι, τουτέστι, κολάσαι, οὐ φοβούμεθα· τοὺς δὲ τὸ σῶμα ἀναιροῦντας πεφρίκαμεν. Καίτοιγε ὁ μὲν μετὰ τῆς ψυχῆς καὶ τὸ σῶμα τιμωρεῖται· οἱ δὲ οὐ μόνον τὴν ψυχήν, ἀλλ' οὐδὲ τὸ σῶμα κολάσαι δύνανται· κἂν μυριάκις κολάσωσιν, ἀλλὰ λαμπρότερον μᾶλλον οὕτω ποιοῦσιν*

στὴν τὴν ἀκριβῆ γνῶσιν καὶ τὴν μεγάλην πρόνοιαν τοῦ Θεοῦ δι' αὐτούς. Ἐάν, λοιπόν, καὶ γνωρίζῃ καλὰ ὅλα ὅσα συμβαίνουν καὶ ἠμπορῇ νὰ σᾶς σώζῃ καὶ θέλῃ νὰ σᾶς σώζῃ, ὅσα καὶ ἂν πάθετε, νὰ μὴ νομίσετε ὅτι τὰ παθαίνετε λόγῳ τῆς ἐγκαταλείψεώς σας ὑπ' αὐτοῦ. Διότι δὲν θέλει νὰ σᾶς ἀπαλλάξῃ ἀπὸ τὰ δεινά, ἀλλὰ νὰ σᾶς πείσῃ νὰ περιφρονῆται τὰ δεινά, ἐπειδὴ ἀκριβῶς αὐτὴ ἡ περιφρόνησις εἶναι ἡ κατ' ἐξοχὴν ἀπαλλαγὴ ἀπὸ τὰ δεινά.

«Μὴ φοβηθῆτε, λοιπόν· διότι σεῖς διαφέρετε ἀπὸ πολλοὺς σπουργίτας». Βλέπεις ὅτι ἤδη συνεκράτησε τὸν φόβον των; Διότι, βέβαια, ἐγνώριζε τὰς ἀποκρύφους σκέψεις τῆς διανοίας των καὶ διὰ τοῦτο προσέθεσε, «νὰ μὴ τοὺς φοβῆσθε, λοιπόν, αὐτούς». Διότι καὶ ἂν ἀκόμη γίνουν ἐξουσιασταὶ αὐτὸ ποὺ θὰ ἐξουσιάσουν θὰ εἶναι τὸ κατώτερον μέρος, δηλαδὴ τὸ σῶμά σας, τὸ ὁποῖο καὶ ἂν ἀκόμη δὲν τὸ θανατώσουν αὐτοί, θὰ χαθῇ ὁπωσδήποτε ἀφοῦ τὸ παραλάβῃ ὁ νόμος τῆς φυσικῆς φθορᾶς.

3. Ἑπομένως αὐτοὶ οὔτε τοῦ σώματός σας ἠμποροῦν νὰ ἐξουσιάσουν, ἀλλὰ καὶ αὐτὸ τὸ ἔχουν ἀπὸ τὴν φύσιν. Ἐὰν δὲ φοβῆσαι αὐτό, πρέπει πολὺ περισσότερον νὰ φοβῆσαι διὰ τὸ ἀνώτερον στοιχεῖον τῆς ὑπάρξεώς σου καὶ νὰ φοβῆσαι ἐκεῖνον ποὺ ἠμπορεῖ νὰ ρίψῃ εἰς τὴν γέενναν τοῦ πυρὸς καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα. Καὶ δὲν λέγει φανερὰ τώρα ὅτι αὐτὸς εἶναι ἐκεῖνος ποὺ ἠμπορεῖ καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα νὰ ρίψῃ εἰς τὴν γέενναν τοῦ πυρός, ἀλλὰ τὸ ἐδήλωσεν αὐτὸ μὲ ὅσα εἶπε προηγουμένως, διὰ τῶν ὁποίων ἀπέδειξεν ὅτι ὁ ἴδιος εἶναι ὁ κριτής. Τώρα ὅμως συμβαίνει τὸ ἀντίθετον. Διότι ἐκεῖνον ποὺ ἠμπορεῖ νὰ ρίψῃ εἰς τὴν κόλασιν τὴν ψυχήν, δηλαδὴ νὰ τὴν τιμωρήσῃ, δὲν τὸν φοβούμεθα, ἐνῷ ἐκείνους ποὺ φονεύουν τὸ σῶμα τοὺς τρέμομεν. Ἂν καὶ βέβαια ἐκεῖνος μὲν μαζὶ μὲ τὴν ψυχὴν τιμωρεῖ καὶ τὸ σῶμα, ἐνῷ ἐκεῖνοι ὄχι μόνον δὲν ἠμποροῦν νὰ τιμωρήσουν τὴν ψυχήν, ἀλλ' οὔτε καὶ τὸ σῶμα. Καὶ ἂν ἀκόμη τὸ τιμωρήσουν ἀμετρήτους φοράς, ὅμως μὲ τὸν τρόπον αὐτὸν

αὐτό. Εἶδες πῶς δείκνυσι τοὺς ἀγῶνας εὐχερεῖς; Καὶ γὰρ σφόδρα ὁ θάνατος κατέσειεν αὐτῶν τὴν ψυχήν, φοβερὸν τέως ἐμπνέων, τῷ μηδέπω γεγενῆσθαι εὐκαταγώνιστος, μηδὲ τοὺς μέλλοντας αὐτοῦ καταφρονεῖν τῆς τοῦ Πνεύματος ἀπολελαυ- 5 *κέναι χάριτος.*

Ἐκβαλὼν τοίνυν τὸν φόβον καὶ τὴν ἀγωνίαν τὴν κατασείουσαν αὐτῶν τὴν ψυχήν, καὶ διὰ τῶν ἑξῆς παραθαρρύνει πάλιν, φόβῳ φόβον ἐκβάλλων, καὶ οὐ φόβῳ μόνον, ἀλλὰ καὶ ἐπάθλων ἐλπίδι μεγάλων· καὶ μετὰ πολλῆς ἀπειλεῖ 10 *τῆς ἐξουσίας, ἑκατέρωθεν αὐτοὺς προτρέπων εἰς τὴν ὑπὲρ τῆς ἀληθείας παρρησίαν, καὶ ἐπάγει λέγων· «Πᾶς οὖν ὅστις ὁμολογήσει ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω κἀγὼ ἐν αὐτῷ ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς· ὃς δ' ἂν ἀρνήσεταί με ἔμπροσθεν τῶν ἀνθρώπων, ἀρνήσομαι* 15 *κἀγὼ αὐτὸν ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς». Οὐ γὰρ ἀπὸ τῶν ἀγαθῶν μόνον, ἀλλὰ καὶ ἀπὸ τῶν ἐναντίων ὠθεῖ, καὶ εἰς τὰ σκυθρωπὰ καταλήγει. Καὶ σκόπει τὴν ἀκρίβειαν. Οὐκ εἶπεν, ἐμέ, ἀλλ', «Ἐν ἐμοί», δεικνὺς ὅτι οὐκ οἰκείᾳ δυνάμει, ἀλλὰ τῇ ἄνωθεν βοηθούμενος χάριτι ὁμολο-* 20 *γεῖ ὁ ὁμολογῶν. Περὶ δὲ τοῦ ἀρνουμένου οὐκ εἶπεν, ἐν ἐμοί, ἀλλ', «Ἐμέ»· ἔρημος γὰρ γενόμενος τῆς δωρεᾶς, οὕτως ἀρνεῖται.*

Τίνος οὖν ἕνεκεν ἐγκαλεῖται, φησίν, εἰ ἐγκαταλειφθεὶς ἀρνεῖται; Ὅτι τὸ ἐγκαταλειφθῆναι παρ' αὐτὸν γίνεται τὸν 25 *ἐγκαταλιμπανόμενον. Τίνος δὲ ἕνεκεν οὐκ ἀρκεῖται τῇ κατὰ διάνοιαν πίστει, ἀλλὰ καὶ τὴν διὰ τοῦ στόματος ὁμολογίαν ἀπαιτεῖ; Εἰς παρρησίαν ἡμᾶς ἀλείφων καὶ πλείονα ἀγάπην*

τὸ καθιστοῦν περισσότερον λαμπρόν. Εἶδες πῶς παρουσιάζει εὐκόλους τοὺς ἀγῶνας; Καθόσον ὁ θάνατος κατετρόμαζε τὴν ψυχήν των, διότι ἦτο ἀκόμη φοβερός, ἐπειδὴ δὲν ἦτο εὔκολος ἡ ἀντιμετώπισίς του, οὔτε εἶχαν λάβει ἀκόμη τὴν χάριν τοῦ ἁγίου Πνεύματος ἐκεῖνοι ποὺ ἐπρόκειτο νὰ τὸν περιφρονήσουν.

Ἀφοῦ λοιπὸν ἐξεδίωξεν ἀπὸ μέσα των τὸν φόβον καὶ τὴν ἀγωνίαν ποὺ κατετρόμαζαν τὴν ψυχήν των, τοὺς ἐνθαρρύνει καὶ πάλιν μὲ τὰ ἀκόλουθα λόγια, ἐκδιώκων τὸν φόβον μὲ τὸν φόβον, καὶ ὄχι μόνον μὲ τὸν φόβον, ἀλλὰ καὶ μὲ τὴν ἐλπίδα διὰ μεγάλα ἔπαθλα. Καὶ τοὺς παρουσιάζει μὲ μεγάλην ἐξουσίαν, προτρέπων αὐτοὺς καὶ μὲ τὰ δύο εἰς τὸ νὰ κηρύσσουν μὲ παρρησίαν τὴν ἀλήθειαν καὶ τοὺς λέγει τὰ ἑξῆς· «Καθένας λοιπὸν ποὺ θὰ μὲ ὁμολογήσῃ ὡς Θεὸν του ἔμπροσθεν τῶν ἀνθρώπων, θὰ τὸν ὁμολογήσω καὶ ἐγὼ ἔμπροσθεν τοῦ οὐρανίου Πατρός μου, ἐκεῖνος ὅμως ποὺ θὰ μὲ ἀρνηθῇ ἔμπροσθεν τῶν ἀνθρώπων θὰ τὸν ἀρνηθῶ καὶ ἐγὼ ἔμπροσθεν τοῦ Πατρός μου τοῦ οὐρανίου». Δὲν προτρέπει δηλαδὴ μόνον μὲ τὰ ἀγαθά, ἀλλὰ καὶ μὲ τὰ ἀντίθετα καὶ καταλήγει εἰς τὰ δυσάρεστα. Καὶ πρόσεξε τὴν ἀκριβολογίαν του. Δὲν εἶπεν, 'ἐμέ', ἀλλ' «ἐν ἐμοί», διὰ νὰ δείξῃ ὅτι ἐκεῖνος ποὺ τὸν ὁμολογεῖ δὲν τὸν ὁμολογεῖ μὲ τὴν ἰδικήν του δύναμιν, ἀλλὰ μὲ τὴν βοήθειαν τῆς οὐρανίου χάριτος. Διὰ τὸν ἀρνούμενον ὅμως δὲν εἶπεν, 'ἐν ἐμοί', ἀλλ' «ἐμέ», διότι αὐτὸς ἐπειδὴ ἐστερήθη τὴν δωρεὰν τὸν ἀρνεῖται κατ' αὐτὸν τὸν τρόπον.

Διὰ ποῖον λόγον λοιπὸν κατηγορεῖται, θὰ ἔλεγε κανείς, ἐὰν ἀρνῆται ἐπειδὴ ἐγκατελείφθη ἀπὸ τὴν θείαν χάριν; Ἐπειδὴ ἡ ἐγκατάλειψις αὐτὴ ὑπὸ τοῦ Κυρίου ὀφείλεται εἰς αὐτὸν ποὺ τὸν ἐγκατέλειψεν ὁ Κύριος. Διὰ ποῖον ὅμως λόγον ὁ Κύριος δὲν ἀρκεῖται εἰς τὴν νοερὰν πίστιν, ἀλλὰ ζητεῖ καὶ τὴν διὰ τοῦ στόματος ὁμολογίαν; Ἐπειδὴ θέλει νὰ μᾶς ἑτοιμάσῃ εἰς τὴν παρρησίαν καὶ τὴν μεγαλυτέραν ἀγάπην καὶ ψυχικὴν διάθεσιν καὶ νὰ μᾶς ἀνεβάσῃ πνευματικὰ

καὶ διάθεσιν, καὶ ὑψηλοὺς ἐργαζόμενος. Διὸ καὶ πρὸς ἅπαντας διαλέγεται. Καὶ οὐδὲ τῷ προσώπῳ τῶν μαθητῶν κέχρηται μόνον· οὐ γὰρ αὐτούς, ἀλλὰ καὶ τοὺς μαθητὰς αὐτῶν ἤδη κατασκευάζει γενναίους. Ὁ γὰρ τοῦτο μαθών, οὐ διδάξει 5 μόνον μετὰ παρρησίας, ἀλλὰ καὶ πείσεται πάντα εὐκόλως καὶ μετὰ προθυμίας. Τοῦτο γοῦν πολλοὺς τοῖς ἀποστόλοις προσήγαγε, τὸ πιστεῦσαι τῷ ῥήματι τούτῳ. Καὶ γὰρ καὶ ἐν τῇ κολάσει πλείων ἡ τιμωρία, καὶ ἐν τοῖς ἀγαθοῖς μείζων ἡ ἀντίδοσις. Ἐπειδὴ γὰρ τῷ χρόνῳ πλεονεκτεῖ ὁ κατορθῶν, 10 καὶ τῇ ἀναβολῇ τῆς τιμωρίας νομίζει κερδαίνειν ὁ ἁμαρτάνων, ἀντίρροπον, μᾶλλον δὲ πολλῷ πλεῖον μείζονα πλεονεξίαν εἰσήγαγε, τὴν προσθήκην τῶν ἀντιδόσεων. Ἐπλεονέκτησας, φησί, τῷ πρότερός με ὁμολογῆσαι ἐνταῦθα; Πλεονεκτήσω σε κἀγώ, φησί, τῷ μείζονά σοι δοῦναι, καὶ ἀφάτως 15 μείζονα· ἐκεῖ γάρ σε ὁμολογήσω.

Ὁρᾶς ἐκεῖ καὶ τὰ ἀγαθὰ καὶ τὰ κακὰ ταμιευόμενα; Τί τοίνυν σπεύδεις καὶ ἐπείγῃ; τί δὲ ζητεῖς ἐνταῦθα τὰς ἀμοιβάς, ἐλπίδι σωθείς; Διὰ δὴ τοῦτο κἂν ποιήσῃς τι χρηστόν, καὶ μὴ λάβῃς αὐτοῦ τὴν ἀντίδοσιν ἐνταῦθα, μὴ ταράτ- 20 του· μετὰ γὰρ προσθήκης ἐν τῷ μέλλοντί σε καιρῷ ἀναμένει τούτων ἡ ἀμοιβή. Κἂν ποιήσῃς τι πονηρόν, καὶ μὴ δῷς δίκην, μὴ ῥᾳθύμει· ἐκεῖ γάρ σε ἐκδέξεται ἡ τιμωρία, ἂν μὴ μεταβάλῃ καὶ γένῃ βελτίων. Εἰ δὲ ἀπιστεῖς, ἀπὸ τῶν ἐνταῦθα στοχάζου καὶ περὶ τῶν μελλόντων. Εἰ γὰρ ἐν τῷ και- 25 ρῷ τῶν ἀγώνων οὕτως εἰσὶ λαμπροὶ οἱ ὁμολογοῦντες, ἐν τῷ καιρῷ τῶν στεφάνων ἐννόησον τίνες ἔσονται; Εἰ οἱ ἐχθροὶ ἐνταῦθα κροτοῦσιν, ὁ πάντων πατέρων φιλοστοργότε-

---

6. Πρβλ. Ρωμ. 8, 24.

πιὸ ὑψηλά. Δι' αὐτὸ καὶ οἱ λόγοι του ἀπευθύνονται πρὸς ὅλους γενικὰ τοὺς ἀνθρώπους. Καὶ οὔτε χρησιμοποιεῖ αὐτοὺς μόνον διὰ τοὺς μαθητάς του, διότι ὄχι μόνον αὐτοὺς ἀλλὰ ἤδη καὶ τοὺς μαθητὰς αὐτῶν τοὺς καθιστᾷ γενναίους. Διότι ἐκεῖνος ποὺ θὰ μάθῃ αὐτὸ δὲν θὰ διδάξῃ μόνον μὲ παρρησίαν, ἀλλὰ καὶ θὰ ὑποφέρῃ τὰ πάντα εὔκολα καὶ μὲ μεγάλην προθυμίαν. Αὐτὸ λοιπὸν ὡδήγησε πολλοὺς κοντὰ εἰς τοὺς ἀποστόλους, τὸ ὅτι δηλαδὴ ἐπίστευσαν εἰς αὐτοὺς τοὺς λόγους του. Διότι καὶ εἰς τὴν κόλασιν ἡ τιμωρία εἶναι πολὺ μεγάλη καὶ εἰς τὸν χῶρον τῶν ἀγαθῶν εἶναι πολὺ πιὸ μεγάλη ἡ ἀνταπόδοσις. Ἐπειδὴ δηλαδὴ σὺν τῷ χρόνῳ εὑρίσκεται εἰς πιὸ πλεονεκτικὴν θέσιν ὁ ἀσκῶν τὴν ἀρετήν, ἐνῷ ἀντιθέτως ὁ ἁμαρτωλὸς νομίζει ὅτι μὲ τὴν ἀναβολὴν τῆς τιμωρίας κερδίζει, διὰ τοῦτο εἰσήγαγεν ὡς ἀντιστάθμισμα ἢ μᾶλλον ὡς πολὺ μεγαλύτερον πλεονέκτημα τὴν προσθήκην τῶν ἀνταμοιβῶν. Ἔχεις τὸ πλεονέκτημα, λέγει, ἐπειδὴ πρῶτος μὲ ὡμολόγησες ἔμπροσθεν τῶν ἀνθρώπων; Θὰ φανῶ, λέγει, καὶ ἐγὼ ἔναντί σου πολὺ πιὸ ἀνώτερος καὶ θὰ σοῦ δώσω ἀκόμη περισσότερα καὶ μάλιστα ἀναριθμήτως περισσότερα.

Βλέπεις ὅτι ἐκεῖ εἶναι φυλαγμένα καὶ τὰ ἀγαθὰ καὶ τὰ κακά; Διατί λοιπὸν τρέχεις καὶ βιάζεσαι νὰ φθάσῃς; Διατί ζητεῖς ἐδῶ εἰς τὴν γῆν τὰς ἀμοιβάς, σὺ ποὺ ἐσώθης μὲ τὴν ἐλπίδα•; Διὰ τοῦτο λοιπὸν καὶ ἂν ἀκόμη κάνῃς κάποιο καλὸν καὶ δὲν λάβῃς ἐδῶ τὴν ἀνταμοιβὴν νὰ μὴ ταράσσεσαι, διότι εἰς τὴν μέλλουσαν ζωὴν σὲ ἀναμένει ηὐξημένη ἀμοιβὴ δι' αὐτά. Καὶ ἂν κάνῃς κάτι πονηρὸν καὶ δὲν τιμωρηθῇς, μὴ ἀδιαφορῇς, διότι σὲ περιμένει ἐκεῖ ἡ τιμωρία, ἐὰν δὲν μετανοήσῃς καὶ δὲν γίνῃς καλύτερος. Ἐὰν πάλιν δυσπιστῇς, σκέψου τὰ μέλλοντα στηριζόμενος εἰς αὐτὰ ποὺ συμβαίνουν ἐδῶ. Διότι ἐὰν κατὰ τὸν καιρὸν τῶν ἀγώνων εἶναι τόσον ἔνδοξοι ὅσοι ὁμολογοῦν τὴν πίστιν των, ἀναλογίσου ποίαν δόξαν θὰ ἔχουν κατὰ τὸν καιρὸν τῆς ἀπονομῆς τῶν ἐπάθλων; Ἐὰν οἱ ἐχθροὶ ἐδῶ σὲ χειροκροτοῦν, πῶς δὲν θὰ

ρος πῶς οὐ θαυμάσεταί σε καὶ ἀνακηρύξει; Τότε γὰρ ἡμῶν εἰσι καὶ τῶν ἀγαθῶν αἱ δωρεαί, καὶ τῶν κακῶν αἱ τιμωρίαι.

Ὥστε οἱ μὲν ἀρνούμενοι, καὶ ἐνταῦθα καὶ ἐκεῖ βλαβήσονται· ἐνταῦθα μέν, μετὰ πονηροῦ συνειδότος ζῶντες, κἂν 5 μήποτε ἀποθάνωσιν, ἀποθανοῦνται πάντως· καὶ ἐκεῖ τὴν ἐσχάτην ὑπομένοντες δίκην· οἱ δὲ ἕτεροι καὶ ἐνταῦθα καὶ ἐκεῖ κερδανοῦσι, καὶ τὸν θάνατον ἐνταῦθα πραγματευόμενοι, καὶ τῶν ζώντων ταύτῃ λαμπρότεροι γινόμενοι, καὶ ἐκεῖ τῶν ἀπορρήτων ἀπολαύοντες ἀγαθῶν. Οὐ γὰρ δὴ πρὸς τὸ κο- 10 λάζειν μόνον, ἀλλὰ καὶ πρὸς τὸ εὐεργετεῖν ἕτοιμος ὁ Θεός· καὶ πρὸς τοῦτο μᾶλλον ἢ ἐκεῖνο.

Ἀλλὰ τίνος ἕνεκεν τοῦτο μὲν ἅπαξ τίθησιν, ἐκεῖνο δὲ δίς; Οἶδε μᾶλλον τούτῳ σωφρονιζομένους. Διὰ τοῦτο εἰπών, «Φοβήθητε τὸν δυνάμενον καὶ ψυχὴν καὶ σῶμα εἰς γέενναν 15 ἀπολέσαι», πάλιν λέγει, «Ἀρνήσομαι αὐτὸν κἀγώ». Οὕτω καὶ Παῦλος ποιεῖ, συνεχῶς τῆς γεέννης μεμνημένος.

4. Ἀλείψας τοίνυν τὸν ἀκροατὴν διὰ πάντων, (καὶ γὰρ τοὺς οὐρανοὺς ἀνέῳξεν αὐτῷ, καὶ τὸ δικαστήριον ἐκεῖνο ἐπέστησε τὸ φοβερόν, καὶ τὸ θέατρον ἔδειξε τῶν ἀγγέλων, καὶ 20 τὴν ἐν τούτοις ἀνακήρυξιν τῶν στεφάνων, πολλὴν ἐντεῦθεν προοδοποιοῦσαν τῷ λόγῳ τῆς εὐσεβείας τὴν εὐκολίαν), λοιπὸν ἵνα μὴ δειλῶν γενομένων ἐμποδισθῇ τὸ κήρυγμα, καὶ πρὸς αὐτὰς τὰς σφαγὰς αὐτοὺς παρασκευάζεσθαι κελεύει·

σὲ θαυμάσῃ καὶ δὲν θὰ σὲ ἀνακηρύξῃ ὁ Κύριος ποὺ εἶναι πιὸ φιλόστοργος ἀπὸ κάθε πατέρα; Διότι τότε θὰ γίνῃ ἡ ἀπονομὴ καὶ τῶν ἀμοιβῶν διὰ τὰς καλὰς πράξεις καὶ τῶν τιμωριῶν διὰ τὰς κακὰς πράξεις.

Ὥστε ἐκεῖνοι μὲν ποὺ ἀρνοῦνται τὸν Κύριον καὶ ἐδῶ εἰς τὴν γῆν τιμωροῦνται καὶ εἰς τὸν οὐρανὸν θὰ ἔχουν τὴν ἰδίαν τύχην. Ἐδῶ μὲν διότι ζοῦν μὲ πονηρὰν συνείδησιν καὶ ἐὰν δὲν παθαίνουν ἀκόμη, ὁπωσδήποτε ὅμως θ' ἀποθάνουν· ἐκεῖ δὲ διότι θὰ ὑποστοῦν τὴν πιὸ χειροτέραν τιμωρίαν. Οἱ ἄλλοι ὅμως καὶ ἐδῶ ἔχουν κέρδος καὶ ἐκεῖ θὰ κερδίσουν, διότι ἐδῶ εἰς τὴν γῆν καὶ ὁ θάνατος φροντίζει δι' αὐτοὺς καὶ ἀναδεικνύονται ἐνδοξότεροι ἀπὸ τοὺς ἁμαρτωλοὺς καὶ εἰς τὸν οὐρανὸν ἀπολαμβάνουν τὰ ἀνεκδιήγητα ἀγαθά. Διότι ὁ Θεὸς δὲν εἶναι ἕτοιμος μόνον νὰ τιμωρῇ, ἀλλὰ καὶ νὰ εὐεργετῇ, καὶ μάλιστα περισσότερον διὰ νὰ εὐεργετῇ παρὰ διὰ νὰ τιμωρῇ.

Ἀλλὰ διὰ ποῖον λόγον τὴν μὲν ἀμοιβὴν τὴν ἀναφέρει μίαν φοράν, ἐνῷ τὴν τιμωρίαν δύο; Ἐπειδὴ ἐγνώριζεν ὅτι αὐτὸ τοὺς ἐσωφρόνιζε περισσότερον. Διὰ τοῦτο, ἀφοῦ εἶπε, «νὰ φοβῆσθε ἐκεῖνον ποὺ ἠμπορεῖ νὰ ρίψῃ εἰς τὴν γέενναν τοῦ πυρὸς καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα», εἰς τὴν συνέχειαν προσέθεσε, «θὰ τὸν ἀρνηθῶ καὶ ἐγὼ αὐτόν». Τὸ ἴδιο κάνει καὶ ὁ Παῦλος ὑπενθυμίζων συνεχῶς τὴν αἰώνιον κόλασιν.

4. Ἀφοῦ λοιπὸν προετοίμασε τὸν ἀκροατὴν ἀπὸ ὅλας τὰς ἀπόψεις (διότι καὶ τὸν οὐρανὸν ἤνοιξεν εἰς αὐτόν, καὶ τὸ φοβερὸν ἐκεῖνο δικαστήριον ἔθεσεν ἔμπροσθέν του, καὶ τὸ πλῆθος τῶν ἀγγέλων ἔδειξεν καθὼς καὶ τὴν ἀπονομὴν τῶν στεφάνων ἐνώπιον αὐτῶν, διευκολύνας κατ' αὐτὸν τὸν τρόπον εἰς μεγάλον βαθμὸν τὸ κήρυγμα τῆς εὐσεβείας), εἰς τὴν συνέχειαν πλέον διὰ νὰ μὴ ἐμποδισθῇ τὸ κήρυγμα ἐξ αἰτίας τῆς δειλίας των, τοὺς προτρέπει νὰ εἶναι προετοιμασμένοι καὶ δι' αὐτὰς ἀκόμη τὰς σφαγάς, διὰ νὰ πληροφορηθοῦν ὅτι αὐτοὶ ποὺ ἐξακολουθοῦν νὰ ἐπιμένουν εἰς

ἵνα μάθωσιν ὅτι οἱ ἐν τῇ πλάνῃ μένοντες, καὶ τῆς τούτων ἐπιβουλῆς δώσουσι δίκην.

Καταφρονῶμεν τοίνυν θανάτου, κἂν μὴ παρῇ καιρὸς ὁ τοῦτον ἀπαιτῶν· καὶ γὰρ εἰς πολλῷ βελτίωνα μεταστησόμεθα ζωήν. Ἀλλὰ φθείρεται τὸ σῶμα; Καὶ διὰ τοῦτο μάλιστα χαίρειν δεῖ, ὅτι ὁ θάνατος φθείρεται, καὶ ἡ θνητότης ἀπόλλυται, οὐχ ἡ οὐσία τοῦ σώματος. Οὐδὲ γὰρ εἰ ἀνδριάντα ἴδοις χωνευόμενον, ἀπώλειαν προσερεῖς τὸ γινόμενον, ἀλλὰ βελτίω κατασκευήν. Τοῦτο δὴ καὶ ἐπὶ τοῦ σώματος λογίζου, καὶ μὴ θρήνει. Τότε γὰρ ἔδει θρηνεῖν, εἰ ἔμενεν ἐν τῇ κολάσει. Ἀλλ' ἔδει, φησί, χωρὶς τοῦ φθείρεσθαι τὰ σώματα τοῦτο γίνεσθαι, καὶ ὁλόκληρα μένειν αὐτά. Καὶ τί τοῦτο ἢ τοὺς ζῶντας ἢ τοὺς ἀπελθόντας ὤνησεν ἄν; Μέχρι πότε φιλοσώματοι; μέχρι πότε τῇ γῇ προσηλωμένοι πρὸς τὰς σκιὰς κεχήνατε; Τί γὰρ τοῦτο ὠφέλησεν ἄν; μᾶλλον δὲ τί οὐκ ἂν ἔβλαψεν; Εἰ γὰρ μὴ ἐφθείρετο τὰ σώματα, πρῶτον τὸ πάντων μεῖζον τῶν κακῶν ὁ τῦφος παρὰ πολλοῖς ἔμενεν ἄν. Εἰ γὰρ καὶ τούτου γινομένου, καὶ σκωλήκων πηγαζόντων, πολλοὶ θεοὶ εἶναι ἐφιλονείκησαν, τί οὐκ ἂν ἐγένετο, τούτου μένοντος;

Δεύτερον, οὐκ ἂν ἐπιστεύθη ἀπὸ γῆς εἶναι· εἰ γὰρ τοῦ τέλους μαρτυροῦντος ἀμφισβητοῦσιν ἔτι τινές, τί οὐκ ἂν ὑπώπτευσαν, εἰ μὴ τοῦτο ἑώρων;

Τρίτον, σφόδρα ἂν ἐφιλήθη τὰ σώματα, καὶ οἱ πλείους σαρκικώτεροι καὶ παχύτεροι ἐγένοντο ἄν· εἰ δὲ καὶ νῦν

τὴν πλάνην των θὰ τιμωρηθοῦν καὶ διὰ τὴν ἐπιβουλήν των αὐτὴν ἐναντίον αὐτῶν.

Ἂς περιφρονῶμεν λοιπὸν τὸν θάνατον καὶ ἂν ἀκόμη δὲν ἦλθε ἡ ὥρα ποὺ νὰ τὸ ἀπαιτῇ αὐτό, καθόσον θὰ μεταβῶμεν εἰς πολὺ ἀνωτέραν ζωήν. Ἀλλὰ φθείρεται τὸ σῶμα; Ἀκριβῶς δι' αὐτὸ πρέπει νὰ χαιρώμεθα περισσότερον, διότι φθείρεται ὁ θάνατος καὶ ἐξαφανίζεται ἡ θνητότης, ὄχι ὅμως καὶ ἡ οὐσία τοῦ σώματος. Διότι οὔτε ἐὰν ἤθελες ἰδεῖ ἀνδριάντα νὰ λειώνῃ εἰς τὴν φωτιὰν θὰ ἔλεγες ὅτι εἶναι καταστροφὴ αὐτὸ ποὺ συμβαίνει, ἀλλὰ ὅτι πρόκειται νὰ προκύψῃ καλυτέρα κατασκευή. Τὸ ἴδιο βέβαια νὰ σκέπτεσαι καὶ διὰ τὸ σῶμα καὶ νὰ μὴ θρηνῇς. Διότι τότε ἔπρεπε νὰ θρηνῶμεν, ἐὰν ἔμενεν εἰς τὴν κόλασιν. Ἀλλ' ἔπρεπε, θὰ εἰπῇ κανείς, νὰ συμβαίνῃ αὐτὸ χωρὶς νὰ φθείρωνται τὰ σώματα καὶ νὰ παραμένουν ἀνέπαφα. Καὶ εἰς τί θὰ ὠφελοῦσεν αὐτὸ τοὺς ζῶντας ἢ τοὺς ἀποθανόντας; Μέχρι πότε θὰ ἀγαπᾶτε τὰ σώματα; Μέχρι πότε θὰ μένετε προσηλωμένοι εἰς τὰ γήϊνα καὶ θὰ μένετε κατάπληκτοι ἀπὸ τὰς σκιάς; Διότι εἰς τί θὰ ἠμποροῦσε νὰ ὠφελήσῃ αὐτό; μᾶλλον δὲ ποίαν βλάβην δὲν θὰ ἦτο δυνατὸν νὰ προξενήσῃ; Διότι ἐὰν δὲν ἐφθείροντο τὰ σώματα, κατὰ πρῶτον, θὰ ἔμενεν εἰς τοὺς περισσοτέρους ἀνθρώπους ἡ ὑπερηφάνεια, ποὺ εἶναι τὸ μεγαλύτερον ἀπὸ ὅλα τὰ κακά. Διότι ἐάν, μολονότι συμβαίνει καὶ τὰ σώματα νὰ διαλύωνται καὶ νὰ γεμίζουν ἀπὸ σκουλήκια, πολλοὶ παρὰ ταῦτα ἐπεδίωξαν ν' ἀνακηρυχθοῦν θεοί, σκεφθῆτε τί δὲν θὰ ἤθελε συμβῇ, ἐὰν τὸ σῶμα δὲν ἐφθείρετο;

Δεύτερον, δὲν θὰ ἦτο δυνατὸν νὰ γίνῃ πιστευτὸν ὅτι ἔχει πλασθῇ ἀπὸ τὸ χῶμα. Διότι ἐὰν ἐξακολουθοῦν ἀκόμη πολλοὶ ἄνθρωποι νὰ ἔχουν ἀμφιβολίας, μολονότι ἐπιβεβαιώνεται αὐτὸ ἀπὸ τὸ τέλος ποὺ ἔχει, τί δὲν θὰ ἦτο δυνατὸν νὰ σκεφθοῦν, ἐὰν δὲν τὸ ἔβλεπαν νὰ καταλήγῃ εἰς τὸ χῶμα;

Τρίτον, θὰ συνέβαινε νὰ ἀγαπῶνται ὑπερβολικὰ τὰ σώματα καὶ οἱ περισσότεροι ἄνθρωποι θὰ ἦτο δυνατὸν νὰ γί-

τινες τοῖς τάφοις συμπλέκονται καὶ ταῖς σοροῖς, ἀφανισθέντων ἐκείνων, τί οὐκ ἂν ἐποίησαν, εἰ καὶ τὴν εἰκόνα εἶχον διατηρουμένην;

Τέταρτον, οὐκ ἂν σφόδρα ἐπόθησαν τὰ μέλλοντα.

5 *Πέμπτον, οἱ τὸν κόσμον ἀθάνατον εἶναι λέγοντες, μᾶλλον ἂν ἐβεβαιώθησαν, καὶ οὐκ ἂν ἔφησαν Θεὸν εἶναι δημιουργόν.*

Ἕκτον, οὐκ ἂν ἔγνωσαν τῆς ψυχῆς τὴν ἀρετήν, καὶ πόσον ἐστὶ παροῦσα σώματι ψυχή.

10 *Ἕβδομον, πολλοὶ τῶν ἀποβαλλόντων τοὺς οἰκείους, τὰς πόλεις ἀφέντες, τὰ μνήματα ἔμελλον οἰκεῖν, καὶ παραπλῆγες γίνεσθαι, τοῖς νεκροῖς τοῖς αὐτῶν διηνεκῶς διαλεγόμενοι. Εἰ γὰρ καὶ νῦν εἰκόνας διαπλάττοντες ἄνθρωποι, ἐπειδὴ τὸ σῶμα κατασχεῖν οὐκ ἔχουσιν, (οὐδὲ γὰρ δυνατόν,*
15 *ἀλλὰ καὶ ἀκόντων αὐτῶν ῥεῖ καὶ ἀποπηδᾷ)· προσηλωμένοι ταῖς σανίσιν εἰσί, τί οὐκ ἂν τότε ἐπενόησαν ἄτοπον; Ἐμοὶ δοκεῖν καὶ ναοὺς ἂν τοῖς τοιούτοις σώμασιν οἰκοδομῆσαι οἱ πολλοί, καὶ πεῖσαι δαίμονας φθέγγεσθαι δι' αὐτῶν οἱ τὰ τοιαῦτα μαγγανεύειν δεινοί, ὅπου γε καὶ νῦν οἱ τὰς νεκρο-*
20 *μαντείας τολμῶντες πολλὰ τούτων ἀτοπώτερα ἐπιχειροῦσι. Πόσαι δὲ οὐκ ἂν εἰδωλολατρίαι ἐντεῦθεν ἐγένοντο; οἵγε μετὰ τὴν κόνιν καὶ τὴν τέφραν ταῦτα ποιεῖν ἔτι φιλονεικοῦσι.*

Πάντα τοίνυν ἀναιρῶν ὁ Θεὸς τὰ ἄτοπα, καὶ παιδεύων ἡμᾶς ἀφίστασθαι τῶν γηΐνων ἁπάντων, ἀφανίζει τὰ σώμα-
25 *τα πρὸ τῶν ὀφθαλμῶν τῶν ἡμετέρων. Καὶ γὰρ ὁ φιλοσώ-*

νουν πιὸ φιλόσαρκοι καὶ πιὸ ἀναίσθητοι εἰς τὰ πνευματικὰ ζητήματα. Ἐὰν δὲ καὶ τώρα, ποὺ τὰ σώματα φθείρονται, ὡρισμένοι ἐναγκαλίζωνται τοὺς τάφους καὶ τοὺς σωροὺς τῶν νεκρῶν, τί δὲν θὰ ἤθελαν κάνει ἐὰν διετήρουν διαρκῶς τὸ ἴδιο τὸ σῶμα;

Τέταρτον, δὲν θὰ εἶχαν μεγάλην ἐπιθυμίαν διὰ τὰ μελλοντικὰ πράγματα.

Πέμπτον, ἐκεῖνοι ποὺ ὑποστηρίζουν ὅτι ὁ κόσμος εἶναι ἀθάνατος, θὰ εἶχαν ἰσχυροτέρας ἀποδείξεις καὶ δὲν θὰ ἦτο δυνατὸν νὰ παραδεχθοῦν ὅτι ὁ Θεὸς εἶναι ὁ δημιουργός του.

Ἕκτον, δὲν θὰ ἠμποροῦσαν νὰ γνωρίσουν τὴν ἀξίαν τῆς ψυχῆς καὶ τί σημαίνει νὰ εὑρίσκεται ἡ ψυχὴ ἐντὸς τοῦ σώματος.

Ἕβδομον, πολλοί, ποὺ ἔχουν χάσει ἰδικά των πρόσωπα, ἀφοῦ θὰ ἐγκατέλειπαν τὰς πόλεις θὰ ἐγκαθίσταντο εἰς τὰ μνήματα καὶ θὰ μετεβάλλοντο εἰς παράφρονας, συζητοῦντες διαρκῶς μὲ τοὺς νεκρούς των. Διότι ἐὰν καὶ τώρα κατασκευάζουν οἱ ἄνθρωποι εἰκόνας, ἐπειδὴ δὲν ἠμποροῦν νὰ ἔχουν τὸ σῶμα, (διότι αὐτὸ οὔτε εἶναι δυνατόν, ἀλλὰ καὶ χωρὶς τὴν θέλησίν των διαλύεται καὶ φεύγει), καὶ παραμένουν προσκολλημένοι εἰς τὰς σανίδας, ποῖον παράδοξον δὲν θὰ ἦτο δυνατὸν νὰ ἐπινοήσουν τότε; Ἐγὼ νομίζω ὅτι καὶ ναοὺς θὰ ἔκτιζαν οἱ περισσότεροι διὰ τὰ σώματα αὐτὰ καὶ ἐκεῖνοι ποὺ ἔχουν τὴν ἱκανότητα νὰ προβαίνουν εἰς μαγικὰς ἐνεργείας θὰ ἔπειθαν τοὺς ἀνθρώπους ὅτι οἱ δαίμονες ὁμιλοῦν διὰ μέσου τῶν σωμάτων αὐτῶν, ἀφοῦ καὶ τώρα βέβαια αὐτοὶ ποὺ τολμοῦν ν' ἀσχολοῦνται μὲ τὰς νεκρομαντείας διαπράττουν πολὺ πιὸ χειρότερα ἀπὸ αὐτά. Πόσαι εἰδωλολατρεῖαι δὲν θὰ ἤθελαν δημιουργηθῆ ἀπὸ αὐτὸ τὸ γεγονός; καθ' ἣν στιγμὴν βέβαια ἐπιχειροῦν νὰ κάνουν τὰ ἴδια καὶ μετὰ τὴν μεταβολὴν αὐτῶν εἰς σκόνην καὶ στάκτην.

Διὰ νὰ ἐξαλείψῃ ὁ Θεὸς ὅλα αὐτὰ τὰ παράξενα καὶ διὰ νὰ μᾶς διδάξῃ νὰ ἱστάμεθα μακρυὰ ἀπὸ ὅλα τὰ γήϊνα, ἐξαφανίζει τὰ σώματα ἀπὸ τὰ μάτια μας. Καθόσον ὁ φιλό-

ματος, καὶ πρὸς κόρην ἐπτοημένος εὔμορφον, εἰ μὴ βούλοιτο μαθεῖν τῷ λόγῳ τὸ εἰδεχθὲς τῆς οὐσίας, δι' αὐτῆς αὐτὸ τῆς ὄψεως εἴσεται. Καὶ γὰρ πολλαὶ τῆς ἐρωμένης ὁμήλικες, πολλάκις δὲ καὶ λαμπρότεραι, ἀποθανοῦσαι μετὰ μίαν καὶ 5 δευτέραν ἡμέραν δυσωδίαν παρέσχον, καὶ ἰχῶρα, καὶ σηπεδόνα σκωλήκων. Ἐννόησον τοίνυν οἷον κάλλος φιλεῖς, καὶ πρὸς ποίαν ἐπτόησαι εὐμορφίαν. Εἰ δὲ μὴ ἐφθείρετο τὰ σώματα, οὐκ ἂν τοῦτο ἐγνώσθη καλῶς· ἀλλ' ὥσπερ οἱ δαίμονες παρὰ τοὺς τάφους τρέχουσιν, οὕτω καὶ πολλοὶ τῶν ἐ- 10 ρώντων τοῖς μνήμασι παρακαθήμενοι διηνεκῶς, δαίμονας ἂν ἐδέξαντο τῇ ψυχῇ, καὶ τῇ χαλεπῇ ταύτῃ ταχέως ἂν ἐναπέθανον μανίᾳ. Νῦν δὲ μετὰ τῶν ἄλλων ἁπάντων καὶ τοῦτο παραμυθεῖται τὴν ψυχήν, τὸ μὴ φαίνεσθαι τὴν εἰκόνα, καὶ εἰς λήθην ἐμβάλλει τοῦ πάθους.

15 5. Εἰ δὲ μὴ τοῦτο ἦν, οὐδὲ μνήματα ἦν, ἀλλὰ τὰς πόλεις εἶδες ἂν ἀντὶ ἀνδριάντων νεκροὺς ἐχούσας, ἑκάστου τῶν ἑαυτοῦ βλέπειν ἐπιθυμοῦντος. Καὶ πολλὴ ἂν ἐντεῦθεν ἐγένετο σύγχυσις, καὶ οὐδεὶς ἂν τῶν πολλῶν ψυχῆς ἐπεμελήσατο, οὐκ ἂν παρεχώρησε τῷ περὶ ἀθανασίας ἐπεισελθεῖν 20 λόγῳ· καὶ ἕτερα δὲ πολλὰ ἂν ἀτοπώτερα τούτων ἐγένετο, ἃ μηδὲ εἰπεῖν καλόν. Διὰ τοῦτο σήπεται εὐθέως, ἵνα ἴδῃς γυμνὸν τῆς ψυχῆς τὸ κάλλος. Εἰ γὰρ ἐκείνη τοσούτου κάλλους καὶ τοσαύτης ζωῆς πρόξενος, πολλῷ μᾶλλον αὐτὴ βελτίων ἂν εἴη· εἰ τὸ οὕτως εἰδεχθὲς καὶ δυσειδὲς διακρατεῖ, 25 πολλῷ μᾶλλον ἑαυτήν. Οὐ γὰρ τὸ σῶμά ἐστι τὸ καλόν, ἀλλ' ἡ διάπλασις, καὶ τὸ ἄνθος ὅπερ παρὰ τῆς ψυχῆς ἐπιχρών-

σαρκος καὶ παρασυρόμενος ἀπὸ ὄμορφον κόρην, ἂν δὲν θέλῃ νὰ διδαχθῇ μὲ τὸν λόγον τὴν ἀηδίαν τῆς σωματικῆς οὐσίας, θὰ τὴν γνωρίσῃ μὲ τὰ ἰδικά του μάτια. Διότι πολλαὶ συνομήλικες τῆς ἐρωμένης, πολλὰς φορὰς δὲ καὶ ὡραιότεραι αὐτῆς, ἀποθανοῦσαι, ὕστερα ἀπὸ μίαν ἢ δύο ἡμέρας ἐκβάλλουν δυσωδίαν καὶ πύον καὶ πυώδεις χυμοὺς καταλλήλους διὰ τὰ σκουλήκια. Σκέψου, λοιπόν, τί κάλλος εἶναι αὐτὸ ποὺ ἀγαπᾷς καὶ ἀπὸ ποίαν ὀμορφιὰν ἔχεις μαγευθῇ. Ἐὰν ὅμως δὲν ἐφθείροντο τὰ σώματα, δὲν θὰ ἦτο δυνατὸν νὰ τὸ ἀντιληφθῶμεν καλὰ αὐτό. Ἀλλ' ὅπως οἱ δαιμονισμένοι τρέχουν εἰς τοὺς τάφους, ἔτσι καὶ πολλοὶ ἀπὸ τοὺς ἐρωτευμένους θὰ διέμεναν διαρκῶς εἰς τὰ μνήματα καὶ θὰ ἐδέχοντο τοὺς δαίμονας εἰς τὴν ψυχήν των καὶ συντόμως θὰ ἦτο δυνατὸν νὰ καταληφθοῦν ἀπὸ τὴν φοβερὰν αὐτὴν μανίαν. Τώρα ὅμως μαζὶ μὲ ὅλα τὰ ἄλλα καὶ αὐτὸ παρηγορεῖ τὴν ψυχήν, τὸ ὅτι δηλαδὴ δὲν βλέπεται τὸ σῶμα καὶ ἔτσι λησμονεῖται τὸ πάθος.

5. Ἐὰν ὅμως δὲν συνέβαινεν αὐτό, δὲν θὰ ὑπῆρχαν οὔτε μνήματα, ἀλλὰ θὰ ἠμποροῦσες νὰ ἰδῇς τὰς πόλεις νὰ ἔχουν νεκρὰ σώματα ἀντὶ ἀνδριάντων, ἐπειδὴ ὁ καθένας θὰ ἤθελε νὰ βλέπῃ τὸν ἰδικόν του. Καὶ θὰ ἐδημιουργεῖτο ἐξ αἰτίας αὐτοῦ μεγάλη σύγχυσις καὶ κανεὶς ἀπὸ τοὺς κοινοὺς ἀνθρώπους δὲν θὰ ἐφρόντιζε διὰ τὴν ψυχήν του καὶ οὔτε θὰ ὑπῆρχεν ἡ δυνατότης νὰ ἀποδεχθῇ διὰ τοῦ κηρύγματος τὴν διδασκαλίαν περὶ τῆς ἀθανασίας τῆς ψυχῆς. Καὶ πολλὰ δὲ ἄλλα, πολὺ πιὸ παράξενα ἀπὸ αὐτά, θὰ συνέβαιναν, ποὺ δὲν πρέπει νὰ τὰ ἀναφέρω. Διὰ τοῦτο σήπεται ἀμέσως τὸ σῶμα, διὰ νὰ ἰδῇς γυμνὸν τὸ κάλλος τῆς ψυχῆς. Διότι ἐὰν ἡ ψυχὴ εἶναι πρόξενος τόσον μεγάλου κάλλους καὶ τοιούτου εἴδους ζωῆς, θὰ εἶναι ὁπωσδήποτε καὶ ἡ ἰδία κατὰ πολὺ ἀνωτέρα. Ἐὰν συντηρῇ τὸ σῶμα, ποὺ εἶναι τόσον δύσοσμον καὶ ἄσχημον, πολὺ περισσότερον θὰ συντηρῇ καὶ τὸν ἑαυτόν της. Διότι τὸ καλὸν δὲν εἶναι τὸ σῶμα, ἀλλ' ἡ διάπλασις καὶ ἡ ἀνθηρό-

νυται τῇ οὐσίᾳ. Φίλει τοίνυν ἐκείνην τὴν κἀκεῖνο τοιοῦτον ποιοῦσαν φαίνεσθαι.

Καὶ τί λέγω τὸν θάνατον; Καὶ γὰρ ἐν αὐτῇ τῇ ζωῇ δείκνυμί σοι, πῶς πάντα αὐτῆς ἐστι τὰ καλά. Ἄν τε γὰρ 5 *ἡσθῇ, ῥόδα κατέπασε τῶν παρειῶν· ἄν τε ἀλγήσῃ, τὸ κάλλος λαβοῦσα ἐκεῖνο, μελαίνῃ στολῇ τὸ πᾶν περιέβαλε. Κἂν εὐφραίνηται διηνεκῶς, γέγονεν ἀπαθὲς τὸ σῶμα· ἂν δ' ἀλγήσῃ, ἀράχνης ἰσχνότερόν τε καὶ ἀσθενέστερον ἐποίησεν· ἂν θυμωθῇ, πάλιν πεποίηκεν ἀποτρόπαιον καὶ αἰσχρόν· ἂν* 10 *γαληνὸν ὀφθαλμὸν δείξῃ, πολὺ τὸ κάλλος ἐχαρίσατο· ἂν βασκήνῃ, πολλὴν τὴν ὠχρίαν καὶ τὴν τηκεδόνα ἐξέχεεν· ἂν ἀγαπήσῃ, πολλὴν τὴν εὐμορφίαν ἐδωρήσατο. Οὕτω γοῦν πολλαὶ οὐκ οὖσαι εὔμορφοι τὴν ὄψιν, χάριν πολλὴν ἀπὸ ψυχῆς ἔλαβον· ἕτεραι πάλιν λάμπουσαι τῇ ὥρᾳ, ἐπειδὴ ψυχὴν* 15 *ἄχαριν ἔσχον, ἐλυμήναντο τὴν εὐμορφίαν. Ἐννόησον πῶς ἐρυθραίνει πρόσωπον λευκὸν ὄν, καὶ τῇ τοῦ χρώματος ποικιλίᾳ πολλὴν ἐργάζεται τὴν ἡδονήν, ὅταν αἰσχύνεσθαι δέῃ καὶ ἐρυθριᾶν· ὥσπερ οὖν ἐὰν ἀναίσχυντος ᾖ, θηρίου παντὸς ἀηδεστέραν τὴν ὄψιν ἐργάζεται.*

20 *Οὐδὲν γὰρ ψυχῆς καλῆς ὡραιότερον, οὐδὲν ἥδιον. Ἐπὶ μὲν γὰρ τῶν σωμάτων, μετὰ ἀλγηδόνος ὁ πόθος· ἐπὶ δὲ τῶν ψυχῶν, καθαρὰ καὶ ἀκύμαντος ἡ ἡδονή. Τί τοίνυν τὸν βασιλέα ἀφείς, πρὸς τὸν κήρυκα ἐπτόησαι; τί τὸν φιλόσοφον καταλιπών, κέχηνας πρὸς τὸν ἑρμηνέα; Εἶδες καλὸν ὀφθαλ-* 25 *μόν; κατάμαθε τὸν ἔνδον; κἂν μὴ ᾖ καλὸς ἐκεῖνος, καταφρόνησον καὶ τούτου. Οὐδὲ γὰρ εἰ γυναῖκα εἶδες ἄμορφον προσωπεῖον περικειμένην καλόν, ἔπαθες ἄν τι πρὸς αὐτήν· ὥσπερ οὖν οὐδὲ εὐειδῆ καὶ καλὴν ἠνέσχου ἂν κρύπτεσθαι*

της πού ἀπὸ τὴν ψυχὴν μεταδίδεται εἰς τὸ σῶμα. Νὰ ἀγαπᾷς, λοιπόν, τὴν ψυχὴν ποὺ κάνει τὸ σῶμα νὰ φαίνεται τοιοῦτον.

Ἀλλὰ διατί ὁμιλῶ διὰ τὸν θάνατον; Ἀφοῦ βέβαια καὶ εἰς τὴν ζωὴν τὴν ἰδίαν θὰ σοῦ δείξω ὅτι ὅλα τὰ καλὰ εἶναι ἰδικά της. Διότι, ὅταν ἡ ψυχὴ εὐφραίνεται, τότε ρόδα σκορπίζει εἰς τὸ πρόσωπον, ἐνῷ ὅταν λυπῆται, ἀφοῦ ἀφαιρέσῃ τὸ κάλλος ἐκεῖνο, περιβάλλει τὸ πᾶν μὲ μαύρην στολήν. Καὶ ἂν μὲν εὐφραίνεται συνεχῶς ἡ ψυχὴ τὸ σῶμα γίνεται ἀπαθές, ἐνῷ ἐὰν συμβῇ νὰ πονέσῃ τὸ κάνει πιὸ ἀδύνατον καὶ πιὸ ἀσθενικὸν ἀπὸ τὸν ἱστὸν τῆς ἀράχνης. Ἂν πάλιν θυμώσῃ ἡ ψυχὴ, τὸ καθιστᾷ ἀποκρουστικὸν καὶ αἰσχρόν. Ἂν δείξῃ γαλήνιον μάτι, τοῦ χαρίζει μεγάλο κάλλος. Ἂν φθονῇ, τοῦ δίδει μεγάλην ὠχρότητα καὶ μαρασμόν. Ἂν ἀγαπᾷ, τοῦ δωρίζει μεγάλην ὀμορφιάν. Ἔτσι, λοιπόν, πολλαὶ γυναῖκες, ποὺ δὲν ἔχουν ὡραίαν μορφήν, ἔχουν λάβει μεγάλην χάριν ἀπὸ τὴν ψυχήν των. Ἄλλαι πάλιν ποὺ ἀκτινοβολοῦσαν μὲ τὴν ὡραιότητά των, ἐπειδὴ εἶχαν ἄσχημον ψυχὴν κατέστρεψαν καὶ τὴν ὀμορφιάν των. Σκέψου πῶς κοκκινίζει ἕνα πρόσωπον λευκὸν καὶ μὲ τὴν ποικιλίαν τοῦ χρώματος πόσην εὐχαρίστησιν παρέχει, ὁσάκις χρειάζεται νὰ νοιώθῃ ἐντροπὴν καὶ νὰ κοκκινίζῃ. Καθὼς ἐπίσης ὅταν ἡ ψυχὴ εἶναι ἀναίσχυντος καθιστᾷ τὴν μορφὴν περισσότερον ἀγρίαν ἀπὸ κάθε θηρίον.

Τίποτε λοιπὸν δὲν ὑπάρχει πιὸ ὡραῖον καὶ πιὸ εὐχάριστον ἀπὸ μίαν καλὴν ψυχήν. Διότι ὁ πόθος διὰ τὰ σώματα συνοδεύεται ἀπὸ λύπας, ἐνῷ ἡ ἀγάπη διὰ τὴν ψυχὴν χαρίζει καθαρὰν καὶ ἀκύμαντον εὐχαρίστησιν. Διατί, λοιπόν, ἀφήνεις τὸν βασιλέα καὶ ἀφοσιώνεσαι εἰς τὸν κήρυκα αὐτοῦ; Διατί ἐγκαταλείπων τὸν φιλόσοφον μαγεύεσαι ἀπὸ τὸν διερμηνέα αὐτοῦ; Εἶδες ὡραῖα μάτια; προσπάθησε νὰ μάθῃς καὶ τὸν ἐσωτερικὸν κόσμον· καὶ ἂν δὲν εἶναι καλὸς ἐκεῖνος, τότε νὰ περιφρονήσῃς καὶ τὰ μάτια. Διότι ὁπωσδήποτε δὲν θὰ ἠμποροῦσες νὰ νοιώσῃς καμμίαν συμπάθειαν, ἐὰν ἔβλεπες μίαν γυναῖκα ἄσχημον ποὺ θὰ ἐφόρει προσω-

τῷ προσωπείῳ, ἀλλὰ περιελὼν αὐτό, γυμνὴν ἂν ἠθέλησας τὴν ὥραν ἰδεῖν. Τοῦτο δὴ καὶ ἐπὶ τῆς ψυχῆς ποίει, καὶ αὐτὴν καταμάνθανε πρώτην· ἐν προσωπείου γὰρ χώρα αὕτη τὸ σῶμα περίκειται· διὸ καὶ μένει τοιοῦτον οἷόν ἐστιν ἐκεί-
5 *νη δὲ κἂν ἄμορφος ᾖ, ταχέως δύναται γενέσθαι καλή. Κἂν ὀφθαλμὸν ἔχῃ δυσειδῆ καὶ τραχὺν καὶ σκληρόν, δύναται γενέσθαι καλός, ἥμερος, γαληνός, μειλίχιος, προσηνής.*

Ταύτην τοίνυν τὴν εὐμορφίαν ζητῶμεν, ταύτην καλλωπίζωμεν τὴν ὄψιν, ἵνα καὶ ὁ Θεὸς ἐπιθυμήσας τοῦ κάλλους
10 *ἡμῶν, μεταδῷ ἡμῖν τῶν αἰωνίων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

πεῖον ὡραῖον, ὅπως ἐπίσης, βέβαια, δὲν θὰ ἠμποροῦσες ν' ἀνεχθῇς μίαν γυναῖκα καλὴν καὶ ὡραίαν νὰ κρύπτεται κάτω ἀπὸ τὸ προσωπεῖον, ἀλλά, ἀφαιρῶν αὐτό, θὰ ἤθελες νὰ ἰδῇς ἀκάλυπτον τὴν ὡραιότητά της. Τὸ ἴδιον, λοιπόν, νὰ κάνῃς καὶ διὰ τὴν ψυχὴν καὶ αὐτὴν νὰ προσπαθῇς κατ' ἀρχὴν νὰ γνωρίσῃς. Διότι ἡ ψυχὴ περιβάλλεται τὸ σῶμα ὡσὰν προσωπεῖον. Διὰ τοῦτο καὶ τὸ σῶμα παραμένει τέτοιο ποὺ εἶναι, ἐνῷ ἡ ψυχή, καὶ ὅταν εἶναι ὄμορφος, ἔχει τὴν δύναμιν ἀμέσως νὰ γίνῃ καλή. Καὶ ἂν ἔχῃ μάτι ἄσχημον, τραχὺ καὶ σκληρὸν ἠμπορεῖ νὰ τὸ κάνῃ καλόν, ἥμερον, γαλήνιον, γλυκὺ καὶ καταδεκτικόν.

Αὐτήν, λοιπόν, τὴν ὀμορφιὰν ἂς ἀναζητοῦμεν, αὐτὴν τὴν ὄψιν ἂς καλλωπίζωμεν, ὥστε καὶ ὁ Θεός, ἐπιθυμῶν τὸ κάλλος τῆς ψυχῆς μας, νὰ μᾶς χαρίσῃ τὰ αἰώνια ἀγαθὰ μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΛΕ΄

Ματθ. 10, 34 - 42

«Μὴ νομίσητε, ὅτι ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν· ἦλθον βαλεῖν εἰρήνην, ἀλλὰ μάχαιραν».

5 1. Πάλιν τὰ φορτικώτερα τίθησι καὶ μετὰ πολλῆς τῆς περιουσίας· καὶ ὅπερ ἔμελλον ἀνθυποφέρειν, τοῦτο προλέγει. Ἵνα γὰρ μὴ ταῦτα ἀκούοντες λέγωσι· διὰ τοῦτο οὖν παραγέγονας, ὥστε καὶ ἡμᾶς ἀνελεῖν καὶ τοὺς ἡμῖν πειθομένους, καὶ πολέμου τὴν γῆν ἐμπλῆσαι; πρότερον αὐτός φησιν· «Οὐκ 10 ἦλθον βαλεῖν εἰρήνην ἐπὶ τὴν γῆν».

Πῶς οὖν αὐτοῖς ἐπέταξεν εἰς ἑκάστην οἰκίαν εἰσιοῦσιν εἰρήνην ἐπιλέγειν; πῶς δὲ καὶ οἱ ἄγγελοι ἔλεγον, «Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη»; πῶς δὲ καὶ οἱ προφῆται πάντες τοῦτο εὐηγγελίζοντο; Ὅτι τοῦτο μάλιστα 15 εἰρήνη, ὅταν τὸ νενοσηκὸς ἀποτέμνηται, ὅταν τὸ στασιάζον χωρίζηται. Οὕτω γὰρ δυνατὸν τὸν οὐρανὸν τῇ γῇ συναφθῆναι. Ἐπεὶ καὶ ἰατρὸς οὕτω τὸ λοιπὸν διασώζει σῶμα, ὅταν τὸ ἀνιάτως ἔχον ἐκτέμῃ· καὶ στρατηγός, ὅταν κακῶς ὁμονοοῦντας εἰς διάστασιν ἀγάγῃ. Οὕτω καὶ ἐπὶ τοῦ πύργου γέγο- 20 νεν ἐκείνου· τὴν γὰρ κακὴν εἰρήνην ἡ καλὴ διαφωνία ἔλυσε, καὶ ἐποίησεν εἰρήνην. Οὕτω καὶ Παῦλος τοὺς κατ᾽ αὐτοῦ συμφωνοῦντας διέσχισεν. Ἐπὶ δὲ τοῦ Ναβουθὲ πολέμου παντὸς τότε ἡ διαφωνία ἐκείνη χαλεπωτέρα γέγονεν. Οὐ γὰρ πανταχοῦ ὁμόνοια καλόν· ἐπεὶ καὶ λῃσταὶ συμφωνοῦσιν.

---

1. Πρβλ. Ματθ. 10, 12.
2. Λουκᾶ 2, 14.
3. Πρβλ. Γεν. 18,1 ἑ.
4. Πρβλ. Πράξ. 23, 6-7.
5. Πρβλ. Γ΄ Βασ. 20, 1 ἑ.

ΟΜΙΛΙΑ ΛΕ΄

Ματθ. 10, 34 - 42

«Μὴ νομίσετε ὅτι ἦλθα νὰ φέρω εἰρήνην εἰς τὴν γῆν. Δὲν ἦλθα διὰ νὰ φέρω εἰρήνην, ἀλλὰ μάχαιραν».

1. Πάλιν ὁ Κύριος ἀναφέρει τὰ πιὸ δυσβάστακτα λόγια καὶ μάλιστα τὰ παρουσιάζει μετὰ μεγάλης δυνάμεως. Καὶ ἐκεῖνο ποὺ ἐπρόκειτο νὰ παρουσιάσουν ὡς ἀντίρρησιν εἰς τοὺς λόγους του, αὐτὸ ἀκριβῶς προλέγει. Διὰ νὰ μὴ λέγουν, δηλαδή, ἀκούοντες αὐτά· 'Διὰ τοῦτο, λοιπόν, ἦλθες εἰς τὴν γῆν, διὰ νὰ φονεύσῃς καὶ ἡμᾶς καὶ αὐτοὺς ποὺ θὰ μᾶς πιστεύσουν καὶ διὰ νὰ γεμίσῃς τὴν γῆν ἀπὸ πολέμους; Τὸ λέγει ὁ ἴδιος προηγουμένως. «Δὲν ἦλθα νὰ φέρω εἰρήνην εἰς τὴν γῆν».

Μὰ τότε πῶς τοὺς παρήγγειλε ν' ἀποδίδουν χαιρετισμὸν εἰρήνης εἰς κάθε οἰκίαν ποὺ θὰ μετέβαιναν[1]; πῶς τότε καὶ οἱ ἄγγελοι ἔψαλλαν· «Δοξασμένος ἂς εἶναι ὁ ἐν ὑψίστοις Θεὸς καὶ εἰς ὁλόκληρον τὴν γῆν ἂς βασιλεύσῃ ἡ εἰρήνη»[2]; πῶς δὲ καὶ οἱ προφῆται εὐηγγελίζοντο τὴν εἰρήνην; Διότι, τότε καὶ μόνον ὑπάρχει πραγματικὴ εἰρήνη, ὅταν ἀποκόπτεται αὐτὸ ποὺ ἔχει ἀσθενήσει, ὅταν ἀποχωρίζεται ἐκεῖνος ποὺ στασιάζει. Καθόσον, βέβαια, μόνον ἔτσι εἶναι δυνατὸν νὰ ἑνωθῇ ὁ οὐρανὸς μὲ τὴν γῆν. Διότι καὶ ὁ ἰατρὸς ἔτσι διασώζει τὸ ὑπόλοιπον σῶμα, ὅταν ἀποκόψῃ, δηλαδή, τὸ μέλος ἐκεῖνο ποὺ δὲν εἶναι δυνατὸν νὰ θεραπευθῇ. Ὁμοίως καὶ ὁ στρατηγὸς διασώζει τὸν στρατόν του, ὅταν ἀπομακρύνῃ ἐκείνους ποὺ δὲν συμφωνοῦν μαζί του. Ἀκριβῶς δὲ τὸ ἴδιο συνέβη καὶ εἰς τὸν ἐπίγειον ἐκεῖνον πύργον, διότι τὴν κακὴν εἰρήνην τὴν διέλυσεν ἡ καλὴ διαφωνία καὶ ἔφερε τὴν εἰρήνην[3]. Ἀλλὰ καὶ ὁ Παῦλος ἔτσι ἐδίχασεν ἐκείνους ποὺ εἶχαν συμμαχήσει ἐναντίον του[4]. Καὶ κατὰ τὸν πόλεμον τοῦ Ναβουθὲ ἡ συμφωνία ἐκείνη ἦτο χειροτέρα ἀπὸ κάθε ἄλλο[5]. Εἶναι φανερόν, λοιπόν, ὅτι δὲν εἶναι καλὴ πάντοτε ἡ ὁμόνοια, διότι καὶ οἱ λησταὶ συμφωνοῦν μεταξύ των. Ἐπομέ-

Οὐκ ἄρα οὖν τῆς αὐτοῦ προθέσεως τὸ ἔργον, ἀλλὰ τῆς ἐκείνων γνώμης ὁ πόλεμος. Αὐτὸς μὲν γὰρ ἐβούλετο πάντας ὁμονοεῖν εἰς τὸν τῆς εὐσεβείας λόγον· ἐπειδὴ δὲ ἐκεῖνοι διεστασίαζον, πόλεμος γίνεται.

5 *Ἀλλ' οὐκ εἶπεν οὕτως· ἀλλὰ τί φησιν; «Οὐκ ἦλθον βαλεῖν εἰρήνην», ἐκείνους παραμυθούμενος. Μὴ γὰρ νομίσητε, φησίν, ὅτι ὑμεῖς αἴτιοι τούτων· ἐγώ εἰμι ὁ ταῦτα κατασκευάζων, ἐπειδὴ οὕτω διάκεινται. Μὴ τοίνυν θορυβεῖσθε, ὡς παρὰ προσδοκίαν τῶν πραγμάτων γινομένων. Διὰ*
10 *τοῦτο ἦλθον, ὥστε πόλεμον ἐμβαλεῖν· τοῦτο γὰρ ἐμόν ἐστι τὸ θέλημα. Μὴ τοίνυν θορυβεῖσθε πολεμουμένης, ὡς ἐπιβουλευομένης τῆς γῆς. Ὅταν γὰρ ἀποσχισθῇ τὸ χεῖρον, τότε λοιπὸν τῷ κρείττονι συνάπτεται ὁ οὐρανός. Ταῦτα δὲ λέγει, πρὸς τὴν πονηρὰν ὑπόνοιαν τῶν πολλῶν αὐτοὺς ἀλεί-*
15 *φων. Καὶ οὐκ εἶπε πόλεμον, ἀλλ' ὃ τούτου χαλεπώτερον ἦν, μάχαιραν. Εἰ δὲ φορτικώτερον εἴρηται ταῦτα καὶ κακεμφάτως, μὴ θαυμάσῃς. Βουλόμενος γὰρ αὐτῶν γυμνάσαι τῇ τραχύτητι τῶν ῥημάτων τὴν ἀκοήν, ἵνα μὴ ἐν τῇ δυσκολίᾳ τῶν πραγμάτων ἀποπηδήσωσιν, οὕτω καὶ τὸν λόγον ἐσχη-*
20 *μάτισεν· ἵνα μή τις λέγῃ, ὅτι κολακεύσας ἔπεισε καὶ τὰ δυσχερῆ κρύψας, διὰ τοῦτο καὶ τὰ ἑτέρως ὀφείλοντα λεχθῆναι, ἐπαχθέστερον ἡρμήνευσε καὶ φορτικώτερον. Βέλτιον γὰρ ἐπὶ τῶν πραγμάτων τὴν ἡμερότητα ἰδεῖν, ἢ ἐπὶ τῶν ῥημάτων.*

Διὰ τοῦτο οὐδὲ τούτοις ἠρκέσθη, ἀλλὰ καὶ ἀναπλώσας
25 *αὐτὸ τοῦ πολέμου τὸ εἶδος, δείκνυσι καὶ τοῦτο ἐμφυλίου πολλῷ χαλεπώτερον ὄν, καί φησιν· «Ἦλθον διχάσαι ἄνθρωπον*

νως ὁ πόλεμος δὲν εἶναι ἔργον τῆς προθέσεως τοῦ Κυρίου, ἀλλὰ προέρχεται ἀπὸ τὴν γνώμην τῶν ἀνθρώπων. Διότι ὁ Κύριος ἤθελεν ὅλοι οἱ ἄνθρωποι νὰ συμφωνοῦν ὡς πρὸς τὴν εὐσέβειαν. Ἐπειδὴ ὅμως ἐκεῖνοι στασιάζουν, γίνεται πόλεμος.

Ὅμως δὲν ὡμίλησεν ἔτσι. Ἀλλὰ τί λέγει; «Δὲν ἦλθα νὰ φέρω εἰρήνην», παρηγορῶν, κατ' αὐτὸν τὸν τρόπον, τοὺς μαθητάς του. Μὴ νομίσετε, δηλαδή, λέγει, ὅτι σεῖς εἶσθε οἱ αἴτιοι δι' ὅλα αὐτά. Ὄχι σεῖς, ἀλλ' ἐγὼ εἶμαι αὐτὸς ποὺ προξενῶ αὐτά ἐπειδὴ οἱ ἄνθρωποι διάκεινται κατ' αὐτὸν τὸν τρόπον. Μὴ ἀνησυχῆτε, λοιπόν, πιστεύοντες ὅτι ὅλα αὐτὰ συμβαίνουν χωρὶς νὰ τὰ περιμένω. Διὰ τοῦτο ἦλθα, διὰ νὰ φέρω πόλεμον, διότι αὐτὸ εἶναι τὸ θέλημά μου. Μὴ ταράσσεσθε, λοιπόν, ποὺ πολεμεῖται ἡ γῆ καὶ οἱ ἐχθροί της τὴν ἐπιβουλεύονται. Διότι ὁ οὐρανὸς τότε καὶ μόνον ἑνώνεται μὲ τὸ ἀνώτερον, ὅταν ἀποχωρισθῇ τὸ κακόν. Αὐτὰ δὲ τὰ λέγει θέλων νὰ προετοιμάσῃ αὐτοὺς ἔναντι τῆς πονηρᾶς ὑποψίας τῶν πολλῶν ἀνθρώπων. Καὶ δὲν εἶπε πόλεμον, ἀλλὰ μάχαιραν, πρᾶγμα ποὺ εἶναι πολὺ πιὸ χειρότερον ἀπ' αὐτόν. Μὴ ἀπορῇς, ὅμως, ἐὰν ὡμίλησε σκληρὰ καὶ κατὰ τρόπον ἀπρεπῆ. Διότι, ἐπειδὴ ἤθελε νὰ προγυμνάσῃ τὴν ἀκοήν των μὲ τὴν σκληρότητα τῶν λόγων, ὥστε νὰ μὴ ἐγκαταλείψουν τὴν προσπάθειαν ὅταν θὰ ἀντεμετώπιζαν τὰς διαφόρους δυσκολίας, διὰ τοῦτο καὶ ὡμίλησε κατ' αὐτὸν τὸν τρόπον. Καὶ ἀκόμη διὰ νὰ μὴ λέγῃ κανείς, ὅτι τοὺς ἔπεισε μὲ τὰ καλοπιάσματά του, ἀφοῦ τοὺς ἀπέκρυψε τὰς δυσκολίας, διὰ τοῦτο καὶ ἐκεῖνα ποὺ ἔπρεπε νὰ λεχθοῦν κατὰ τρόπον διαφορετικόν, τὰ παρουσίασε δυσκολώτερα καὶ σκληρότερα. Διότι εἶναι προτιμότερον νὰ ἰδῇς τὴν εἰρήνην εἰς αὐτὰ τὰ ἴδια τὰ πράγματα, παρὰ εἰς τοὺς λόγους.

Καὶ ἀκριβῶς διὰ τοῦτο δὲν ἠρκέσθη ὁ Κύριος μόνον εἰς αὐτά, ἀλλ' ἀφοῦ τοὺς παρουσίασε τὸ εἶδος τοῦ πολέμου, τοὺς δεικνύει ὅτι ὁ πόλεμος αὐτὸς εἶναι πολὺ χειρότερος ἀπὸ τὸν ἐμφύλιον καὶ λέγει· «Ἦλθα νὰ χωρίσω τὸν υἱὸν

κατὰ τοῦ πατρὸς αὐτοῦ, καὶ θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς, καὶ νύμφην κατὰ τῆς πενθερᾶς αὐτῆς». Οὐ γὰρ φίλοι, φησίν, οὐδὲ πολῖται μόνον, ἀλλὰ καὶ συγγενεῖς κατ' ἀλλήλων στήσονται, καὶ ἡ φύσις καθ' ἑαυτὴν σχισθήσεται. «Ἦλθον 5 *γάρ», φησί, «διχάσαι ἄνθρωπον κατὰ τοῦ πατρὸς αὐτοῦ, καὶ θυγατέρα κατὰ τῆς μητρὸς αὐτῆς, καὶ νύμφην κατὰ τῆς πενθερᾶς αὐτῆς». Οὐδὲ γὰρ ἁπλῶς ἐν τοῖς οἰκείοις ὁ πόλεμος, ἀλλ' ἐν τοῖς φιλτάτοις καὶ τοῖς σφόδρα ἀναγκαίοις. Ὃ μάλιστα αὐτοῦ τὴν δύναμιν δείκνυσιν, ὅτι ταῦτα ἀκούοντες* 10 *καὶ αὐτοὶ κατεδέχοντο, καὶ τοὺς ἄλλους ἔπειθον. Καίτοιγε οὐκ αὐτὸς ταῦτα ἐποίει, ἀλλ' ἡ ἐκείνων πονηρία· ἀλλ' ὅμως αὐτὸς ταῦτα λέγει ποιεῖν. Τοιοῦτον γὰρ τῆς Γραφῆς τὸ ἔθος. Καὶ γὰρ καὶ ἀλλαχοῦ φησι· «Δέδωκεν αὐτοῖς ὁ Θεὸς*[6] *ὀφθαλμοὺς τοῦ μὴ βλέπειν»· καὶ ἐνταῦθα οὕτω φησίν· ἵν',* 15 *ὅπερ ἔφθην εἰπών, μελετήσαντες ἐν τοῖς ῥήμασι τούτοις, μὴ θορυβῶνται ὀνειδιζόμενοι καὶ ὑβριζόμενοι. Εἰ δέ τινες φορτικὰ ταῦτα νομίζουσιν εἶναι, ἀναμνησθήτωσαν παλαιᾶς ἱστορίας. Καὶ γὰρ ἐν τοῖς ἄνω χρόνοις τοῦτο συνέβη, ὃ μάλιστα δείκνυσι τὴν παλαιὰν τῇ καινῇ συγγενῆ, καὶ τὸν ταῦτα* 20 *λέγοντα τοῦτον ὄντα τὸν καὶ ἐκεῖνα ἐπιτάξαντα. Καὶ γὰρ καὶ ἐπὶ τῶν Ἰουδαίων ὅτε ἕκαστος τὸν πλησίον ἀνεῖλε, τότε αὐτοῖς τὴν ὀργὴν εἴασε· καὶ ὅτε τὸν μόσχον ἐποίησαν, καὶ ὅτε τῷ Βεελφεγὼρ ἐτελέσθησαν.*

Ποῦ τοίνυν εἰσὶν οἱ λέγοντες, ὅτι πονηρὸς ἐκεῖνος ὁ 25 *Θεός, οὗτος δὲ ἀγαθός; Ἰδοὺ γὰρ συγγενικῶν αἱμάτων τὴν*

6. Ρωμ. 11,8.
7. Δηλαδή· τὴν Π. Διαθήκην.
8. Πρόκειται διὰ τὴν Π. καὶ Κ. Διαθήκην.
9. Προβλ. Ἐξ. 32, 27 ἑ.
10. Προβλ. Ἀριθ. 25, 1 ἑ.
11. Πρόκειται περὶ τῶν ὀπαδῶν τοῦ Μάνεντος, βλέπε ὁμιλία ΚΣΤ' ὑποσ. 45.

ἀπὸ τὸν πατέρα του, τὴν κόρην ἀπὸ τὴν μητέρα της καὶ τὴν νύμφην ἀπὸ τὴν πενθεράν της. Ὄχι μόνον οἱ φίλοι, λέγει, οὔτε οἱ πολῖται, ἀλλὰ καὶ οἱ συγγενεῖς θὰ εὑρεθοῦν ἀντιμέτωποι ὁ ἕνας ἐναντίον τοῦ ἄλλου καὶ ἡ φύσις θὰ ἀγωνισθῇ μὲ πάθος ἐναντίον τοῦ ἑαυτοῦ της. «Διότι ἦλθα», λέγει, «νὰ χωρίσω τὸν υἱὸν ἀπὸ τὸν πατέρα του, τὴν κόρην ἀπὸ τὴν μητέρα της καὶ τὴν νύμφην ἀπὸ τὴν πενθεράν της». Δηλαδή, ὁ πόλεμος δὲν θὰ περιορισθῇ μεταξὺ τῶν οἰκείων μόνον, ἀλλὰ θὰ συμβῇ καὶ μεταξὺ τῶν πλέον ἀγαπητῶν προσώπων καὶ τῶν πλέον συγγενικῶν. Πρᾶγμα ποὺ ἀποδεικνύει τὴν δύναμιν τοῦ Κυρίου, καθόσον ἀκούοντες οἱ μαθηταὶ τοὺς λόγους αὐτούς, τοὺς ἐδέχοντο οἱ ἴδιοι καὶ ἔπειθαν καὶ τοὺς ἄλλους ἀνθρώπους νὰ τοὺς ἀποδεχθοῦν. Καὶ μολονότι, βέβαια, αὐτὰ δὲν τὰ πράττει ὁ ἴδιος ὁ Κύριος, ἀλλ' ἡ πονηρία τῶν ἀνθρώπων, παρὰ ταῦτα λέγει ὅτι ὁ ἴδιος τὰ πράττει. Διότι ἔτσι συνηθίζει ἡ Γραφὴ νὰ ἐκφράζεται. Καθόσον καὶ εἰς ἄλλην περίπτωσιν λέγει· «Ἔδωσεν εἰς αὐτοὺς ὁ Θεὸς ὀφθαλμοὺς διὰ νὰ μὴ βλέπουν»[6]. Καὶ εἰς αὐτὴν τὴν περίπτωσιν λέγει τὸ ἴδιο, ὥστε, ὅπως προανέφερα, ἀφοῦ μελετήσουν τοὺς λόγους αὐτούς, καὶ νὰ μὴ τοὺς κυριεύῃ ὁ φόβος ὅταν θὰ κατηγοροῦνται καὶ θὰ ὑβρίζωνται. Ἐὰν ὅμως ὡρισμένοι τὰ θεωροῦν αὐτὰ τὰ λόγια σκληρά, ἂς ἐνθυμηθοῦν τὴν παλαιὰν διήγησιν[7]. Καθόσον καὶ εἰς τοὺς παλαιοὺς χρόνους συνέβη τὸ ἴδιο, πρᾶγμα ποὺ κατ' ἐξοχὴν ἀποδεικνύει τὴν συγγένειαν τῆς παλαιᾶς καὶ τῆς νέας διηγήσεως[8], καὶ ὅτι αὐτὸς ποὺ λέγει αὐτὰ εἶναι ὁ ἴδιος μὲ ἐκεῖνον ποὺ ἔδωσεν ἐκείνας τὰς ἐντολάς. Διότι, βέβαια, καὶ εἰς τοὺς Ἰουδαίους τότε καὶ μόνον κατέπαυσε τὴν ὀργήν του ἐναντίον των, ὅταν ὁ καθένας ἐφόνευσε τὸν πλησίον του, καὶ ὅταν κατεσκεύασαν τὸν μόσχον[9] καὶ ὅταν προσέφεραν θυσίαν εἰς τὸν Βεελφεγώρ[10].

Ποῦ εἶναι, λοιπόν, ἐκεῖνοι ποὺ ὑποστηρίζουν ὅτι ἐκεῖνος ὁ Θεὸς εἶναι πονηρός, ἐνῷ αὐτὸς εἶναι καλός[11]; Ἰδού, λοιπόν, ὁλόκληρον τὴν οἰκουμένην ἐγέμισεν ἀπὸ συγγενι-

οἰκουμένην ἐπλήρωσεν. Ἀλλ' ὅμως πολλῆς καὶ τοῦτο φιλανθρωπίας ἔργον εἶναί φαμεν. Διὰ δὴ τοῦτο δεικνὺς αὐτὸν ὄντα τὸν καὶ ἐκεῖνα ἀποδεξάμενον, καὶ προφητείας μέμνηται, εἰ καὶ μὴ εἰς τοῦτο εἰρημένης, ἀλλ' ὅμως τὸ αὐτὸ ἐμ-
5 *φαινούσης. Τίς δὲ αὕτη ἐστίν; «Ἐχθροὶ τοῦ ἀνθρώπου οἱ οἰκειακοὶ αὐτοῦ». Καὶ γὰρ καὶ ἐπὶ τῶν Ἰουδαίων τοιοῦτόν τι συνέβη. Ἦσαν γὰρ προφῆται καὶ ψευδοπροφῆται, καὶ ὁ δῆμος ἐσχίζετο καὶ αἱ οἰκίαι διῃροῦντο· καὶ οἱ μὲν τούτοις ἐπίστευον, οἱ δὲ ἐκείνοις. Διὰ τοῦτο παραινεῖ ὁ προφήτης*
10 *λέγων· «Μὴ πιστεύετε ἐν φίλοις, μηδὲ ἐλπίζετε ἐπὶ ἡγουμένοις· ἀλλὰ καὶ ἀπὸ τῆς συγκοίτου σου φύλαξαι, τοῦ ἀναθέσθαι τι αὐτῇ»· καί· Ἐχθροὶ τοῦ ἀνδρὸς οἱ ἄνδρες οἱ ἐν τῷ οἴκῳ αὐτοῦ».*

Ταῦτα δὲ ἔλεγε, τὸν μέλλοντα δέχεσθαι τὸν λόγον πάν-
15 *των ἀνώτερον εἶναι παρασκευάζων. Οὐ γὰρ τὸ ἀποθανεῖν κακόν, ἀλλὰ τὸ κακῶς ἀποθανεῖν. Διὰ τοῦτο καὶ ἔλεγε· «Πῦρ ἦλθον βαλεῖν εἰς τὴν γῆν». Τοῦτο δὲ ἔλεγε, τὴν σφοδρότητα καὶ θερμότητα δηλῶν τῆς ἀγάπης, ἣν ἀπῄτει. Ἐπειδὴ γὰρ αὐτὸς ἡμᾶς σφόδρα ἠγάπησεν, οὕτω καὶ ἀγα-*
20 *πᾶσθαι βούλεται παρ' ἡμῶν. Ταῦτα δὲ καὶ τούτους ἤλειφε τὰ ῥήματα, καὶ ὑψηλοτέρους ἐποίει. Εἰ γὰρ ἐκεῖνοι μέλλουσι, φησί, συγγενῶν καὶ παίδων καὶ γονέων καταφρονεῖν, ἐννόησον ὑμᾶς τοὺς διδασκάλους ὁποίους εἶναι χρή. Οὐδὲ γὰρ μέχρις ὑμῶν τὰ δυσχερῆ στήσεται, ἀλλὰ καὶ ἐπὶ τοὺς*
25 *ἄλλους διαβήσεται. Ἐπειδὴ γὰρ μεγάλα κομίζων ἦλθον ἀγαθά, μεγάλην ἀπαιτῶ καὶ τὴν ὑπακοὴν καὶ τὴν διάθεσιν.*

«Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου

---

12. Μιχ. 7, 5.
13. Μιχ. 7, 6.
14. Λουκᾶ 12, 49.

κὰ αἵματα. Καὶ ὅμως λέγομεν ὅτι καὶ αὐτὸ εἶναι ἔργον τῆς μεγάλης φιλανθρωπίας του. Ἀκριβῶς διὰ τοῦτο καὶ ἀποδεικνύει ὅτι εἶναι ὁ ἴδιος ποὺ ἐδέχθη ὅλα ἐκεῖνα, ὑπενθυμίζων καὶ τὴν προφητείαν, πού, μολονότι δὲν ἐλέχθη δι' αὐτὸν τὸν σκοπόν, παρὰ ταῦτα φανερώνει τὸ ἴδιο. Ποία εἶναι αὐτή; «Ἐχθροὶ τοῦ πιστοῦ ἀνθρώπου θὰ εἶναι οἱ ἰδικοί του». Καὶ εἶναι ἀλήθεια, ὅτι καὶ εἰς τοὺς Ἰουδαίους συνέβη κάτι παρόμοιον. Διότι ὑπῆρχαν προφῆται καὶ ψευδοπροφῆται καὶ ὁ λαὸς ἐδιχάζετο καὶ αἱ οἰκογένειαι διῃροῦντο· καὶ ἄλλοι μὲν ἐπίστευαν εἰς αὐτούς, ἄλλοι δὲ εἰς ἐκείνους. Διὰ τοῦτο καὶ ὁ προφήτης δίδει συμβουλὰς καὶ λέγει· «Νὰ μὴ ἔχετε ἐμπιστοσύνην εἰς τοὺς φίλους σας, οὔτε νὰ στηρίζετε τὰς ἐλπίδας σας εἰς τοὺς ἀρχηγούς σας, ἀλλὰ νὰ εἶσαι ἐπιφυλακτικὸς καὶ πρὸς τὴν σύζυγόν σου, ὅταν πρόκειται νὰ τῆς ἐμπιστευθῇς κάτι»[12]. Καί· «Ἐχθροὶ τοῦ ἀνθρώπου εἶναι οἱ ἄνθρωποι τῆς οἰκίας του»[13].

Ὅλα αὐτὰ τὰ ἔλεγεν, ἐπειδὴ ἤθελε νὰ καταστήσῃ ἀνώτερον ἀπὸ ὅλα ἐκεῖνον ποὺ θὰ ἐπίστευεν εἰς αὐτοὺς τοὺς λόγους. Διότι δὲν εἶναι κακὸν τὸ ν' ἀποθάνῃ κανείς, ἀλλὰ κακὸν εἶναι τὸ ν' ἀποθάνῃ κακῶς. Διὰ τοῦτο καὶ ἔλεγεν· «Ἦλθα νὰ βάλω φωτιὰν εἰς τὴν γῆν»[14]. Αὐτὸ δὲ τὸ ἔλεγε διὰ νὰ δείξῃ τὸ μέγεθος καὶ τὴν θερμότητα τῆς ἀγάπης ποὺ ζητεῖ ἀπὸ ἡμᾶς. Ἐπειδή, δηλαδή, ὁ ἴδιος μᾶς ἠγάπησε πάρα πολύ, θέλει καὶ ἡμεῖς νὰ τὸν ἀγαπῶμεν κατὰ τὸν ἴδιον τρόπον. Αὐτὰ δὲ τὰ λόγια καὶ τοὺς μαθητάς του προετοίμαζαν διὰ τὸ ἔργον καὶ τοὺς ἀνέβαζαν ὑψηλότερα. Διότι, ἐὰν ἐκεῖνοι, λέγει, πρόκειται νὰ περιφρονήσουν τοὺς συγγενεῖς, τὰ παιδιὰ καὶ τοὺς γονεῖς των, σκέψου ὁποῖοι πρέπει νὰ εἶσθε σεῖς ποὺ διδάσκετε αὐτὰ τὰ λόγια. Καθόσον αἱ δυσκολίαι δὲν θὰ συμβοῦν μόνον εἰς σᾶς, ἀλλὰ θὰ συνεχισθοῦν καὶ εἰς τοὺς ἄλλους. Ἐπειδή, δηλαδή, ἦλθα καὶ ἔφερα μεγάλα ἀγαθά, ἀπαιτῶ ἀπὸ σᾶς μεγάλην καὶ ὑπακοὴν καὶ διάθεσιν.

«Αὐτὸς ποὺ ἀγαπᾷ τὸν πατέρα του ἢ τὴν μητέρα του

ἄξιος· καὶ ὁ φιλῶν υἱὸν ἢ θυγατέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος. Καὶ ὃς οὐ λαμβάνει τὸν σταυρὸν αὐτοῦ, καὶ ἀκολουθεῖ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος». Εἶδες ἀξίωμα διδασκάλου; εἶδες πῶς δείκνυσιν ἑαυτὸν γνήσιον τοῦ γεγεννηκότος υἱόν, πάντα κελεύων ἀφεῖναι κάτω, καὶ τὴν ἀγάπην τὴν αὐτοῦ προτιμᾶν; Καὶ τί λέγω, φησί, φίλους καὶ συγγενεῖς; Κἂν τὴν ψυχὴν τὴν σαυτοῦ προτιμήσῃς τῆς ἐμῆς ἀ· ἀγάπης, πόρρω τῶν ἐμῶν ἕστηκας μαθητῶν.

Τί οὖν; οὐκ ἐναντία ταῦτα τῇ παλαιᾷ; Μὴ γένοιτο· ἀλλὰ καὶ σφόδρα συνᾴδοντα. Καὶ γὰρ ἐκεῖ τοὺς εἰδωλολατροῦντας οὐχὶ μισεῖν μόνον, ἀλλὰ καὶ λιθάσαι κελεύει· καὶ ἐν τῷ Δευτερονομίῳ δὲ τούτους θαυμάζων φησίν· «Ὁ λέγων τῷ πατρὶ καὶ τῇ μητρί, οὐχ ἑώρακά σε, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ οὐκ ἔγνω, καὶ τοὺς υἱοὺς αὐτοῦ ἀπέγνω, ἐφύλαξε τὰ λόγιά σου». Εἰ δὲ ὁ Παῦλος πολλὰ περὶ γονέων διατάττεται, πάντα αὐτοῖς ὑπακούειν κελεύων, μὴ θαυμάσῃς· εἰς ἐκεῖνα γὰρ μόνον φησὶν ὑπακούειν, ὅσα μὴ παραβλάπτει τὴν εὐσέβειαν. Καὶ γὰρ ὅσιον τὴν ἄλλην αὐτοῖς ἅπασαν ἀποδιδόναι τιμήν· ὅταν δὲ πλέον τῆς ὀφειλομένης ἀπαιτῶσιν, οὐ δεῖ πείθεσθαι. Διὰ τοῦτο ὁ Λουκᾶς φησιν· «Εἴ τις ἔρχεται πρός με καὶ οὐ μισεῖ τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ τὴν γυναῖκα καὶ τὰ τέκνα καὶ τοὺς ἀδελφούς, ἔτι δὲ καὶ τὴν ψυχὴν τὴν ἑαυτοῦ, οὐ δύναταί μου μαθητὴς εἶναι»· οὐχ ἁπλῶς μισῆται κελεύων, ἐπεὶ τοῦτο καὶ σφόδρα

15. Δευτ. 33, 9.
16. Λουκᾶ 14, 26.

περισσότερον ἀπὸ ἐμέ, δὲν εἶναι ἄξιος δι' ἐμέ. Καὶ αὐτὸς ποὺ ἀγαπᾷ τὸν υἱόν του ἢ τὴν θυγατέρα του περισσότερον ἀπὸ ἐμέ, δὲν εἶναι ἄξιος νὰ ὀνομάζεται μαθητής μου. Καὶ αὐτὸς ποὺ δὲν σηκώνει τὸν σταυρόν του καὶ δὲν μὲ ἀκολουθεῖ, δὲν εἶναι ἄξιος δι' ἐμέ». Εἶδες ἀξίωμα διδασκάλου; εἶδες πῶς ἀποδεικνύει ὅτι εἶναι γνήσιος Υἱὸς τοῦ Πατρός του, δίδων ἐντολὴν νὰ ἐγκαταλείψουν τὰ πάντα οἱ ἄνθρωποι καὶ νὰ προτιμήσουν τὴν ἰδικήν του ἀγάπην; Διατί ὅμως, λέγει, ἀναφέρω φίλους καὶ συγγενεῖς; διότι καὶ ἂν ἀκόμη προτιμήσῃς τὴν ζωήν σου ἀπὸ τὴν ἰδικήν μου ἀγάπην, εὑρίσκεσαι πολὺ μακρυὰ ἀπὸ τοὺς μαθητάς μου.

Τί λοιπόν; τὰ λόγια αὐτὰ δὲν εἶναι ἀντίθετα πρὸς τὰς ἐντολὰς τῆς Π. Διαθήκης; Κάθε ἄλλο· καὶ μάλιστα συμφωνοῦν πάρα πολὺ πρὸς ἐκείνην. Καθόσον καὶ ἐκεῖ, ἐκείνους ποὺ παρεσύροντο εἰς τὴν λατρείαν τῶν εἰδώλων, δίδει ἐντολὴν ὄχι μόνον νὰ τοὺς μισοῦν, ἀλλὰ καὶ νὰ τοὺς λιθοβολοῦν. Καὶ εἰς τὸ Δευτερονόμιον δὲ θαυμάζων αὐτοὺς λέγει· «Αὐτὸς ποὺ λέγει εἰς τὸν πατέρα του καὶ τὴν μητέρα του, δὲν σᾶς ἔχω ἰδεῖ, καὶ εἰς τοὺς ἀδελφούς του δὲν σᾶς γνωρίζω, καὶ ἀποκηρύσσει τὰ παιδιά του, αὐτὸς ἐφύλαξε τὰς ἐντολάς μου»[15]. Ἐὰν ὅμως ὁ Παῦλος δίδῃ πολλὰς ἐντολὰς σχετικὰ μὲ τοὺς γονεῖς καὶ μᾶς προτρέπῃ νὰ ὑπακούωμεν ἐξ ὁλοκλήρου εἰς αὐτούς, μὴ ἀπορῇς· διότι εἰς ἐκεῖνα μόνον μᾶς παραγγέλλει νὰ ὑπακούωμεν, ποὺ δὲν ζημιώνουν τὴν εὐσέβειαν. Διότι πράγματι εἶναι εὐάρεστον εἰς τὸν Θεὸν ν' ἀποδίδωμεν εἰς τοὺς γονεῖς μας τὴν ὀφειλομένην τιμήν. Ὅταν ὅμως ἀπαιτοῦν κάτι ἐπὶ πλέον τῆς ὀφειλομένης τιμῆς, τότε δὲν πρέπει νὰ ὑπακούωμεν. Διὰ τοῦτο καὶ ὁ Λουκᾶς λέγει· «Ἐὰν κανεὶς ἔρχεται μαζί μου καὶ δὲν μισεῖ τὸν πατέρα του καὶ τὴν μητέρα του καὶ τὴν γυναῖκα του καὶ τὰ παιδιά του καὶ τοὺς ἀδελφούς του, ἀκόμη δὲ καὶ αὐτὴν τὴν ζωήν του, αὐτὸς ὁ ἄνθρωπος δὲν ἠμπορεῖ νὰ εἶναι μαθητής μου»[16]. Δὲν σὲ προτρέπει, βέβαια, νὰ τοὺς μισῇς χωρὶς λόγον, διότι αὐτὸ εἶναι πάρα πολὺ παράνομον, ἀλλ' ὅταν θέ-

παράνομον, ἀλλ' ὅταν βούληται πλέον ἐμοῦ φιλεῖσθαι, μίσησον αὐτὸν κατὰ τοῦτο. Τοῦτο γὰρ καὶ αὐτὸν τὸν φιλούμενον καὶ τὸν φιλοῦντα ἀπόλλυσι.

2. Ταῦτα δὲ ἔλεγε, καὶ τοὺς παῖδας ἀνδρειοτέρους ἐργαζόμενος, καὶ τοὺς πατέρας τοὺς μέλλοντας κωλύειν πραοτέρους ποιῶν. Ὁρῶντες γάρ, ὅτι τοσαύτην ἰσχὺν ἔχει καὶ δύναμιν, ὡς ἀποσχίζειν αὐτῶν τὰ τέκνα, ἅτε ἀδυνάτοις ἐπιχειροῦντες, καὶ ἀφίστασθαι ἔμελλον. Διὸ καὶ τούτους ἀφείς, πρὸς ἐκείνους ποιεῖται τὸν λόγον, τούτους παιδεύων μὴ ἐπιχειρεῖν, ἅτε ἀμηχάνοις ἐπιχειροῦντας.

Εἶτα ἵνα μὴ ἀγανακτῶσιν ἐκεῖνοι, μηδὲ δυσχεραίνωσιν, ὅρα ποῦ προάγει τὸν λόγον. Εἰπὼν γάρ, «Ὃς οὐ μισεῖ πατέρα καὶ μητέρα», ἐπήγαγε, «Καὶ τὴν ἑαυτοῦ ψυχήν». Τί γάρ μοι λέγεις τοὺς γεγεννηκότας, φησί, καὶ ἀδελφούς, καὶ ἀδελφάς, καὶ γυναῖκα; Ψυχῆς οὐδὲν οἰκειότερον οὐδενί· ἀλλ' ὅμως ἐὰν μὴ καὶ ταύτην μισήσῃς, τἀναντία τοῦ φιλοῦντος ὑποστήσῃ πάντα. Καὶ οὐδὲ ἁπλῶς αὐτὴν μισῆσαι ἐκέλευσεν, ἀλλ' ὥστε καὶ εἰς πόλεμον καὶ εἰς μάχας αὐτὴν ἐκδιδόναι, καὶ εἰς σφαγὰς καὶ αἵματα. «Ὃς γὰρ οὐ βαστάζει τὸν σταυρὸν αὐτοῦ, καὶ ἔρχεται ὀπίσω μου, οὐ δύναταί μου μαθητὴς εἶναι». Οὐδὲ γὰρ ἁπλῶς εἶπεν, ὅτι πρὸς θάνατον δεῖ παρατετάχθαι, ἀλλ' ὅτι καὶ πρὸς θάνατον βίαιον· καὶ οὐ πρὸς βίαιον μόνον, ἀλλὰ καὶ ἐπονείδιστον. Καὶ οὐδὲν οὐδέπω περὶ τοῦ οἰκείου διαλέγεται πάθους, ἵνα τέως ἐν τούτοις παιδευθέντες εὐκολώτερον τὸν περὶ ἐκείνου δέξωνται λόγον.

λουν νὰ τοὺς ἀγαπᾷς περισσότερον ἀπὸ ἐμέ, τότε νὰ τοὺς μισήσῃς δι' αὐτὸν τὸν λόγον. Διότι αὐτὸ βλάπτει καὶ αὐτὸν ποὺ ἀγαπᾶται καὶ αὐτὸν ποὺ ἀγαπᾷ.

2. Αὐτὰ δὲ τὰ ἔλεγε διὰ νὰ καταστήσῃ καὶ τὰ τέκνα περισσότερον γενναῖα καὶ τοὺς πατέρας, ποὺ ἐπρόκειτο νὰ γίνουν ἐμπόδιον εἰς τὴν πίστιν τῶν παιδιῶν των, νὰ τοὺς κάνῃ περισσότερον πράους. Διότι ὅταν θὰ ἔβλεπαν ὅτι ἔχει τόσην ἐπίδρασιν καὶ δύναμιν, ὥστε ν' ἀποχωρίζῃ τὰ τέκνα των ἀπὸ αὐτούς, θὰ ἔπαυαν ν' ἀντιδροῦν, ἐπειδὴ θὰ διεπίστωναν, ὅτι αὐτὸ ἦτο ἀδύνατον. Διὰ τοῦτο, ἀφοῦ ἄφησε τοὺς μαθητάς, ἀπευθύνεται πρὸς τοὺς γονεῖς καὶ τοὺς διδάσκει νὰ μὴ προβάλλουν ἐμπόδια, ἐπειδὴ αὐτὰ ποὺ ἐπιχειροῦν εἶναι ἀδύνατον νὰ πραγματοποιηθοῦν.

Ἀκολούθως, διὰ νὰ μὴ ἀγανακτοῦν οἱ γονεῖς, οὔτε νὰ προβάλλουν δυσχερείας, πρόσεξε πῶς συνεχίζει τὸν λόγον. Ἀφοῦ, δηλαδή, εἶπεν, «αὐτὸς ποὺ δὲν μισεῖ τὸν πατέρα του καὶ τὴν μητέρα του», προσέθεσε, «καὶ τὴν ζωήν του». Διότι, λέγει, διατί μοῦ ἀναφέρεις τοὺς γονεῖς, τοὺς ἀδελφούς, τὰς ἀδελφὰς καὶ τὴν σύζυγον; Τίποτε δὲν ὑπάρχει εἰς οὐδένα περισσότερον ἀγαπητὸν ἀπὸ τὴν ζωήν, ἀλλ' ὅμως, ἐὰν δὲν τὴν μισήσῃς καὶ αὐτὴν θὰ πάθῃς ὅλα τὰ ἀντίθετα ἐκεῖνα ποὺ θὰ ἀπολαύσῃ αὐτὸς ποὺ μ' ἀγαπᾷ. Καὶ δὲν ἔδωσεν ἐντολὴν ἁπλῶς καὶ μόνον νὰ τὴν μισήσῃς, ἀλλὰ τόσον πολὺ νὰ τὴν μισήσῃς, ὥστε νὰ εἶσαι ἕτοιμος νὰ τὴν θυσιάσῃς καὶ εἰς τὸν πόλεμον καὶ εἰς τὰς μάχας, ὡς καὶ νὰ τὴν ἐκθέσῃς εἰς σφαγὰς καὶ εἰς αἵματα. «Διότι ὅποιος δὲν σηκώνει τὸν σταυρόν του καὶ δὲν μὲ ἀκολουθεῖ, δὲν ἠμπορεῖ νὰ εἶναι μαθητής μου». Δὲν εἶπε, δηλαδή, ἁπλῶς ὅτι πρέπει νὰ εἶναι ἕτοιμοι νὰ παραταχθοῦν εἰς ἀγῶνα μέχρι θανάτου, ἀλλὰ νὰ εἶναι ἕτοιμοι καὶ διὰ σκληρὸν θάνατον, καὶ ὄχι μόνον σκληρόν, ἀλλὰ καὶ ταπεινωτικόν. Καὶ δὲν λέγει ἀκόμη τίποτε διὰ τὸ ἰδικόν του πάθος, μὲ σκοπὸν νὰ ἐξασκηθοῦν ἀρχικῶς μὲ αὐτά, ὥστε νὰ δεχθοῦν μὲ μεγαλυτέραν εὐκολίαν τὴν ἀγγελίαν αὐτοῦ.

Ἆρα οὐκ ἄξιον ἐκπλαγῆναι, πῶς ταῦτα ἀκουόντων αὐτῶν οὐκ ἀπέπτη τοῦ σώματος ἡ ψυχή, πανταχοῦ τῶν μὲν λυπηρῶν ἐν χερσὶν ὄντων, τῶν δὲ χρησιῶν ἐν ἐλπίσι; Πῶς οὖν οὐκ ἀπέπτη; Πολλὴ καὶ ἡ τοῦ λέγοντος δύναμις ἦν, καὶ 5 ἡ τῶν ἀκουόντων ἀγάπη. Διὸ πολλῷ φορτικώτερα καὶ ἐπαχθέστερα τῶν μεγάλων ἐκείνων ἀκούοντες ἀνδρῶν τῶν περὶ Μωϋσέα καὶ Ἰερεμίαν, ἔμενον πειθόμενοι καὶ οὐδὲν ἀντιλέγοντες.

«Ὁ εὑρὼν τὴν ψυχὴν αὐτοῦ, φησίν, ἀπολέσει αὐτήν, 10 καὶ ὁ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν».

Εἶδες πόσον τῶν παρὰ τὸ δέον φιλούντων τὸ βλάβος; πόσον τῶν μισούντων τὸ κέρδος; Ἐπειδὴ γὰρ τὰ ἐπιτάγματα φορτικὰ ἦν, πρὸς γονέας, καὶ παῖδας, καὶ φύσιν, καὶ συγγένειαν, καὶ τὴν οἰκουμένην, καὶ πρὸς αὐτὴν τὴν ψυχὴν κε- 15 λεύοντος αὐτοὺς παρατάττεσθαι, τίθησι καὶ τὸ ὄφελος, μέγιστον ὄν. Οὐ γὰρ δὴ μόνον οὐ βλάψει, φησί, ταῦτα, ἀλλὰ καὶ ὠφελήσει τὰ μέγιστα, τἀναντία δὲ παραβλάψει· ὅπερ πανταχοῦ ποιεῖ, ἀφ' ὧν ἐπιθυμοῦσιν, ἀπὸ τούτων ἐνάγων. Διατί γὰρ οὐ βούλει καταφρονῆσαί σου τῆς ψυχῆς; Ἐπειδὴ 20 φιλεῖς αὐτήν; Οὐκοῦν διὰ τοῦτο καταφρόνησον, καὶ τότε αὐτὴν τὰ μέγιστα ὀνήσεις, καὶ τὰ τοῦ φιλοῦντος ἐπιδείξῃ. Καὶ σκόπει σύνεσιν ἄφατον. Οὐ γὰρ ἐπὶ τῶν γονέων μόνον γυμνάζει τὸν λόγον τοῦτον, οὐδὲ ἐπὶ τῶν παίδων, ἀλλ' ἐπὶ τῆς πάντων οἰκειοτέρας ψυχῆς, ἵνα ἐκεῖνο ἐντεῦθεν ἀναμφι-

Ἄρα λοιπὸν δὲν ἀξίζει ν' ἀναρωτηθῶμεν, πῶς, ἀκούοντες ὅλα αὐτά, δὲν ἔφυγεν ἡ ψυχή των ἀπὸ τὸ σῶμά των, ἀφοῦ ἀνὰ πᾶσαν στιγμὴν οἱ κίνδυνοι ἦσαν ἄμεσοι, τὰ δὲ ἀγαθὰ εὑρίσκοντο μόνον εἰς τὴν ἐλπίδα των; πῶς, λοιπόν, δὲν ἔφυγεν ἡ ψυχή των; Ἐπειδὴ ἦτο μεγάλη καὶ ἡ δύναμις τοῦ ὁμιλοῦντος καὶ ἡ ἀγάπη τῶν μαθητῶν του. Διὰ τοῦτο, ἂν καὶ ἤκουαν σκληρότερα καὶ φοβερώτερα ἀπὸ ἐκεῖνα ποὺ ὑπέστησαν οἱ μεγάλοι ἐκεῖνοι ἄνδρες, ὁ Μωϋσῆς καὶ ὁ Ἱερεμίας, παρὰ ταῦτα ἔμεναν πιστοὶ καὶ δὲν διετύπωναν καμμίαν ἀντίρρησιν.

«Αὐτός», λέγει, «ποὺ εἰς τὸν καιρὸν τῶν διωγμῶν θὰ ἀποφύγῃ τὸν θάνατον, θὰ χάσῃ τὴν αἰώνιον ζωήν. Καὶ ἐκεῖνος ποὺ θὰ χάσῃ τὴν ζωήν του ἐξ αἰτίας μου, θὰ κερδίσῃ τὴν αἰώνιον ζωήν».

Εἶδες πόση εἶναι ἡ ζημία αὐτῶν ποὺ ἀγαποῦν τὰ γήϊνα πράγματα περισσότερον ἀπὸ ὅσον ἐπιβάλλεται; καὶ πόσον, ἀντιθέτως, τὸ κέρδος αὐτῶν ποὺ τὰ μισοῦν; Ἀλλ' ἐπειδὴ αἱ ἐντολαὶ ἦσαν βαρεῖαι, ἀφοῦ τοὺς προέτρεψε νὰ ἔλθουν εἰς σύγκρουσιν πρὸς τοὺς γονεῖς των, τὰ παιδιά των, τὴν φυσικὴν τάξιν, τοὺς συγγενεῖς των, ὁλόκληρον τὴν οἰκουμένην καὶ πρὸς τὴν αὐτὴν τὴν ζωήν των, ἀκολούθως ἀναφέρει καὶ τὴν ὠφέλειαν, ποὺ εἶναι πάρα πολὺ μεγάλη. Διότι αὐτά, λέγει, ὄχι μόνον δὲν θὰ σᾶς βλάψουν, ἀλλὰ καὶ θὰ σᾶς ὠφελήσουν εἰς μεγάλον βαθμόν, ἐνῷ τὰ ἀντίθετα θὰ σᾶς βλάψουν, πρᾶγμα ποὺ τὸ κάνει πάντοτε, τοὺς προσελκύει, δηλαδή, εἰς τὴν τήρησιν τῶν ἐντολῶν του ἐπὶ τῇ βάσει ἐκείνων ποὺ ἐπιθυμοῦν. Ἑπομένως διατί δὲν θέλεις νὰ περιφρονήσῃς τὴν ζωήν σου; Ἐπειδὴ τὴν ἀγαπᾷς; Μὰ ἀκριβῶς διὰ τοῦτο νὰ τὴν περιφρονήσῃς καὶ τότε θὰ τὴν ὠφελήσῃς πάρα πολὺ καὶ θὰ ἐνεργήσῃς ὅπως ἀκριβῶς ἐνεργεῖ αὐτὸς ποὺ ἀγαπᾷ. Καὶ πρόσεξε τὴν ἀπερίγραπτον σύνεσίν του. Διότι δὲν προετοιμάζει μὲ τὴν ἐντολὴν αὐτὴν τὴν στάσιν των μόνον ἀπέναντι τῶν γονέων των καὶ τῶν τέκνων των, ἀλλὰ καὶ ἔναντι τῆς ζωῆς των, ποὺ εἶναι τὸ πλέον ἀ-

σβήτητον γένηται, καὶ μάθωσιν ὅτι καὶ ἐκείνους οὕτω τὰ μέγιστα ὠφελήσουσι, ὅπου γε καὶ ἐπὶ τῆς πάντων ἀναγκαιοτέρας ψυχῆς τοῦτο συμβαίνει.

Ἱκανὰ μὲν οὖν ἦν καὶ ταῦτα πεῖσαι δέχεσθαι τοὺς μέλ-
5 λοντας αὐτοὺς θεραπεύειν. Τίς γὰρ τοὺς οὕτω γενναίους καὶ ἀριστέας, καὶ καθάπερ λέοντας τὴν οἰκουμένην περιτρέχοντας, καὶ πάντων καταφρονοῦντας τῶν καθ' ἑαυτούς, ἵνα ἕτεροι σωθῶσιν, οὐκ ἂν ἐδέξατο προθυμίᾳ πάσῃ; Ἀλλ' ὅμως καὶ ἕτερον μισθὸν τίθησι, δεικνὺς ὅτι τῶν ξενοδο-
10 χούντων φροντίζει μᾶλλον ἐν τούτῳ, ἢ τῶν ξενιζομένων. Καὶ δίδωσι μὲν πρώτην τιμήν, λέγων· «Ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται· καὶ ὁ ἐμὲ δεχόμενος, δέχεται τὸν ἀποστείλαντά με»· οὗ τί γένοιτ' ἂν ἴσον, τοῦ τὸν Πατέρα καὶ τὸν Υἱὸν ὑποδέχεσθαι; Ἐπαγγέλλεται δὲ μετὰ τούτου καὶ ἑτέραν ἀ-
15 μοιβήν· «Ὁ δεχόμενος γάρ», φησί, «προφήτην εἰς ὄνομα προφήτου, μισθὸν προφήτου λήψεται· καὶ ὁ δεχόμενος δίκαιον εἰς ὄνομα δικαίου, μισθὸν δικαίου λήψεται». Καὶ ἀνωτέρω μὲν κόλασιν ἀπειλεῖ τοῖς μὴ δεχομένοις· ἐνταῦθα δὲ καὶ ἄνεσιν ἀγαθῶν ὁρίζει.

20 Καὶ ἵνα μάθῃς ὅτι αὐτῶν φροντίζει μᾶλλον, οὐχ ἁπλῶς εἶπεν, «Ὁ δεχόμενος προφήτην» ἢ «Ὁ δεχόμενος δίκαιον», ἀλλ' ἐπήγαγεν, «Εἰς ὄνομα προφήτου», καὶ «Εἰς ὄνομα δικαίου»· τουτέστιν, ἐὰν μὴ διὰ βιωτικὴν προστασίαν, μηδὲ δι' ἄλλο τι τῶν ἐπικήρων δέξηται, ἀλλ' ἐπειδὴ ἢ προφήτης
25 ἐστὶν ἢ δίκαιος, μισθὸν προφήτου καὶ μισθὸν δικαίου λή-

γαπητὸν ἀπὸ ὅλα, ὥστε κατ' αὐτὸν τὸν τρόπον νὰ γίνῃ ἀναμφισβήτητον ἐκεῖνο εἰς τοὺς μαθητάς του καὶ νὰ μάθουν ὅτι καὶ ὅλους αὐτοὺς μὲ αὐτὸν τὸν τρόπον θὰ τοὺς ὠφελήσουν πάρα πολύ, καθόσον, βέβαια, συμβαίνει καὶ εἰς τὴν ζωήν, ποὺ εἶναι τὸ πιὸ ἀγαπητὸν ἀπὸ ὅλα τὰ πράγματα.

Ὅλα αὐτά, λοιπόν, ἦσαν ἱκανὰ νὰ πείσουν ἐκείνους ποὺ ἐπρόκειτο μελλοντικῶς νὰ κηρύξουν τὸ εὐαγγέλιον. Διότι ποῖος δὲν θὰ ἤθελε δεχθῆ μὲ κάθε προθυμίαν τοὺς τόσον γενναίους καὶ ἐκλεκτούς, ποὺ ὡσὰν λέοντες περιέτρεχαν τὴν οἰκουμένην καὶ περιεφρόνουν ὅλα τὰ ἰδικά των, μὲ σκοπὸν νὰ σωθοῦν οἱ ἄλλοι; Ἀλλ' ὅμως προσφέρει καὶ ἄλλον μισθόν, μὲ τὸ νὰ δείξῃ ὅτι ἐνδιεφέρετο περισσότερον διὰ τοὺς φιλοξενοῦντας, παρὰ διὰ τοὺς φιλοξενουμένους. Καὶ τὴν πρώτην τιμὴν τὴν δίδει μὲ τοὺς λόγους του· «Αὐτὸς ποὺ ὑποδέχεται σᾶς, εἶναι ὡσὰν νὰ ὑποδέχεται ἐμέ, καὶ αὐτὸς ποὺ ὑποδέχεται ἐμέ, ὑποδέχεται ἐκεῖνον ποὺ μὲ ἀπέστειλεν εἰς τὸν κόσμον». Ποῖο πρᾶγμα ἠμπορεῖ νὰ θεωρηθῆ ἴσον μὲ τὴν ὑποδοχὴν τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ; Ἀκολούθως μαζὶ μὲ αὐτὸ ὑπόσχεται καὶ ἄλλην ἀμοιβήν. «Αὐτὸς ποὺ ὑποδέχεται», λέγει, «προφήτην, ἐπειδὴ εἶναι προφήτης, θὰ λάβῃ τὸν ἴδιον μισθὸν ποὺ θὰ λάβῃ καὶ ὁ προφήτης. Καὶ αὐτὸς ποὺ ὑποδέχεται τὸν δίκαιον, ἐπειδὴ εἶναι δίκαιος, θὰ λάβῃ τὸν ἴδιον μισθὸν ποὺ θὰ λάβῃ καὶ ὁ δίκαιος». Καὶ προηγουμένως μὲν ἠπείλησε μὲ κόλασιν ἐκείνους ποὺ δὲν θὰ ἐδέχοντο τοὺς μαθητάς, ἐνῷ εἰς τὴν περίπτωσιν αὐτὴν ὁρίζει ἀφθονίαν ἀγαθῶν δι' αὐτοὺς ποὺ θὰ δέχωνται τοὺς κήρυκας τοῦ εὐαγγελίου.

Καὶ διὰ νὰ τὸ κατανοήσῃς καλά, ὅτι φροντίζει περισσότερον δι' αὐτοὺς ποὺ θὰ τοὺς φιλοξενοῦν, δὲν εἶπεν ἁπλῶς καὶ μόνον, «αὐτὸς ποὺ δέχεται προφήτην» ἢ «αὐτὸς ποὺ δέχεται δίκαιον», ἀλλὰ προσέθεσε· «ἐπειδὴ εἶναι προφήτης» καὶ «ἐπειδὴ εἶναι δίκαιος», δηλαδή, ἐὰν τὸν δέχεται ὄχι διὰ νὰ τὸν προστατεύσῃ ἢ διὰ κάτι ἄλλο πρόσκαιρον, ἀλλὰ τὸν δέχεται ἐπειδὴ εἶναι προφήτης ἢ δίκαιος, αὐτὸς θὰ λάβῃ

ψεται· οἷον εἰκὸς τὸν προφήτην ἢ δίκαιον δεξάμενον λαβεῖν· ἢ οἷον ἐκεῖνος μέλλει λαμβάνειν. Ὅπερ καὶ ὁ Παῦλος ἔλεγε· «Τὸ ὑμῶν περίσσευμα εἰς τὸ ἐκείνων ὑστέρημα, ἵνα καὶ τὸ ἐκεῖνον περίσσευμα γένηται εἰς τὸ ὑμῶν ὑστέρημα».
5 *Εἶτα ἵνα μήτις πενίαν προβάληται, φησίν· «Ἢ ὃς ἐὰν ποτίσῃ ἕνα τῶν μικρῶν τούτων ποτήριον ψυχροῦ μόνον εἰς ὄνομα μαθητοῦ, ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ». Κἂν ποτήριον ψυχροῦ ὕδατος δῷς, ἔνθα οὐδέν ἐστι δαπανῆσαι, καὶ τούτου κείσεταί σοι μισθός. Διὰ γὰρ*
10 *ὑμᾶς ἅπαντα ποιῶ τοὺς δεχομένους.*

3. Εἶδες δι' ὅσων ἔπεισε, καὶ τὰς οἰκίας αὐτοῖς ἀνέῳξε τῆς οἰκουμένης ἁπάσης; Καὶ γὰρ ἔδειξε διὰ πάντων ὀφειλέτας αὐτῶν ὄντας· πρῶτον, εἰπών, «Ἄξιος ὁ ἐργάτης τοῦ μισθοῦ αὐτοῦ»· δεύτερον, τῷ μηδὲν ἔχοντας ἐκπέμψαι· τρί-
15 *τον, τῷ εἰς πολέμους καὶ μάχας ὑπὲρ τῶν δεχομένων ἐκδοῦναι· τέταρτον, τῷ καὶ σημεῖα αὐτοῖς ἐγχειρίσαι· πέμπτον, τῷ τὴν πάντων τῶν ἀγαθῶν αἰτίαν εἰρήνην διὰ τοῦ στόματος αὐτῶν εἰς τὰς τῶν δεχομένων εἰσαγαγεῖν οἰκίας· ἕκτον, τῷ χαλεπώτερα Σοδόμων ἀπειλῆσαι τοῖς μὴ δεχομέ-*
20 *νοις αὐτούς· ἕβδομον, τῷ δεῖξαι καὶ αὐτὸν καὶ τὸν Πατέρα δεχομένους τοὺς ὑποδεχομένους αὐτούς· ὄγδοον, τῷ καὶ προφήτου καὶ δικαίου μισθὸν ἐπαγγείλασθαι· ἔνατον, τῷ καὶ*

---

17. Β' Κορ. 8, 14.

τὸν μισθὸν ποὺ θὰ λάβῃ ὁ προφήτης καὶ ὁ δίκαιος. Δηλαδὴ τὸν μισθὸν ποὺ φυσικὸν εἶναι νὰ λάβῃ ἐκεῖνος ποὺ ὑποδέχεται τὸν προφήτην ἢ τὸν δίκαιον, ἢ τὸν μισθὸν ποὺ πρόκειται νὰ λάβῃ ἐκεῖνος. Πρᾶγμα ποὺ καὶ ὁ Παῦλος ἔλεγε· «Τὸ ἰδικό σας περίσσευμα νὰ συμπληρώνῃ τὸ ὑστέρημα ἐκείνων, ὥστε καὶ τὸ περίσσευμα ἐκείνων νὰ συμπληρώνῃ τὸ ἰδικό σας ὑστέρημα»[17].

Ἐν συνεχείᾳ διὰ νὰ μὴ προβάλῃ κανεὶς ὡς δικαιολογίαν τὴν πτώχιαν, λέγει· «Καὶ αὐτὸς ποὺ θὰ δώσῃ εἰς ἕνα ἀπὸ τοὺς μικροὺς αὐτοὺς μαθητάς μου ἔστω καὶ ἕνα ποτήριον κρύου νεροῦ, ἐπειδὴ εἶναι μαθητής μου, ἀλήθεια σᾶς λέγω, δὲν θὰ χάσῃ τὴν ἀμοιβήν του». Καὶ ἂν δώσῃς ἕνα ποτήριον κρύου νεροῦ, διὰ τὸ ὁποῖο δὲν ἀπαιτεῖται καμμία δαπάνη, θὰ σοῦ δοθῇ καὶ δι' αὐτὸ μισθός. Διότι ὅλα γενικῶς τὰ κάνω διὰ σᾶς ποὺ δέχεσθε τοὺς μαθητάς μου.

3. Εἶδες πῶς τοὺς ἔπεισε καὶ ἤνοιξε τὰς οἰκίας ὁλοκλήρου τῆς οἰκουμένης; Διότι μὲ ὅλα ἀπέδειξεν ὅτι οἱ ἄνθρωποι εἶναι ὀφειλέται τῶν μαθητῶν του. Πρῶτον, μὲ τὸ νὰ εἰπῇ· «Ὁ ἐργαζόμενος δικαιοῦται τὸν μισθόν του». Δεύτερον, μὲ τὸ ὅτι τοὺς ἀπέστειλεν εἰς τὸ ἔργον των χωρὶς νὰ ἔχουν τίποτε μαζί των. Τρίτον, μὲ τὸ ὅτι τοὺς ἔρριψεν εἰς τοὺς πολέμους καὶ τὰς μάχας πρὸς χάριν αὐτῶν ποὺ θὰ τοὺς ἐδέχοντο. Τέταρτον, μὲ τὸ ὅτι τοὺς ἔδωσε τὴν δύναμιν νὰ θαυματουργοῦν. Πέμπτον, μὲ τὸ ὅτι εἰσῆγε διὰ τοῦ στόματος τῶν μαθητῶν του, εἰς τὰς οἰκείας αὐτῶν ποὺ θὰ τοὺς ἐδέχοντο, τὴν εἰρήνην, ἡ ὁποία εἶναι ἡ αἰτία ὅλων τῶν ἀγαθῶν. Ἕκτον, μὲ τὸ ὅτι ἠπείλησεν ἐκείνους, ποὺ δὲν θὰ τοὺς ὑποδέχοντο μὲ τιμωρίαν φοβερωτέραν τῆς καταστροφῆς τῶν Σοδόμων. Ἕβδομον, μὲ τὸ ὅτι κατέστησε φανερόν, ὅτι ἐκεῖνοι ποὺ ὑποδέχονται τοὺς μαθητὰς εἶναι ὡσὰν νὰ ὑποδέχωνται αὐτὸν τὸν ἴδιον καὶ τὸν Πατέρα του. Ὄγδοον, μὲ τὸ ὅτι ὑπεσχέθη μισθὸν ὅμοιον πρὸς τὸν μισθὸν τοῦ προφήτου καὶ τοῦ δικαίου. Ἔνατον, μὲ τὸ ὅτι ὑπεσχέθη μεγάλον μισθὸν καὶ διὰ τὴν προσφορὰν ἑνὸς ποτηρίου

ποτηρίου ψυχροῦ μεγάλας ὑποσχέσθαι τὰς ἀμοιβάς. Τούτων δὲ ἕκαστον καὶ καθ' ἑαυτὸ ἱκανὸν ἦν αὐτοὺς ἐπισπάσασθαι. Τίς γάρ, εἰπέ μοι, στρατηγὸν μυρία τραύματα ἔχοντα καὶ ἡμαγμένον ὁρῶν, καὶ μετὰ πολλὰ τρόπαια ἀπὸ πολέμου καὶ 5 παρατάξεως ἐπανιόντα, οὐκ ἂν ἐδέξατο, τὰς θύρας ἀναπετάσας τῆς οἰκίας ἁπάσης;

Καὶ τίς νῦν τοιοῦτος; φησί. Διὰ τοῦτο προσέθηκεν, εἰς ὄνομα μαθητοῦ, καὶ προφήτου, καὶ δικαίου, ἵνα μάθῃς ὅτι οὐ τῇ ἀξίᾳ τοῦ παραγενομένου, ἀλλὰ καὶ τῇ γνώμῃ τοῦ 10 ξενίζοντος τὸν μισθὸν τίθησιν. Ἐνταῦθα μὲν γὰρ περὶ προφητῶν καὶ δικαίων καὶ μαθητῶν φησιν· ἀλλαχοῦ δὲ καὶ τοὺς σφόδρα ἀπερριμμένους ὑποδέχεσθαι κελεύει, καὶ τοὺς μὴ ὑποδεχομένους κολάζει. «Ἐφ' ὅσον γὰρ οὐκ ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, οὐδὲ ἐμοὶ ἐποιήσατε»· καὶ τοὐ-15 ναντίον πάλιν ἐπὶ τῶν αὐτῶν λέγει. Κἂν γὰρ μηδὲν ᾖ κατορθῶν τοιοῦτον, ἄνθρωπός ἐστι, τὸν αὐτόν σοι κόσμον οἰκῶν, τὸν αὐτὸν ἥλιον ὁρῶν, τὴν αὐτὴν ἔχων ψυχήν, τὸν αὐτὸν δεσπότην, τῶν αὐτῶν σοι κεκοινωνηκὼς μυστηρίων, ἐπὶ τὸν αὐτόν σοι καλούμενος οὐρανόν, ἔχων μέγα δικαίωμα, 20 τὴν πενίαν, καὶ τὸ δεῖσθαι τῆς ἀναγκαίας τροφῆς.

Νῦν δὲ οἱ μὲν ἐξυπνίζοντες μετὰ αὐλῶν καὶ συρίγγων ἐν χειμῶνος ὥρᾳ, καὶ εἰκῇ καὶ μάτην ἐνοχλοῦντες, ξένια πολλὰ λαμβάνοντες παρὰ σοῦ ἀναχωροῦσι· καὶ οἱ χελιδόνας περιφέροντες, καὶ ἠσβολωμένοι, καὶ πάντας κατηγοροῦντες, 25 μισθὸν τῆς τερατωδίας ταύτης λαμβάνουσιν. Ἂν δὲ προσέλθῃ πένης ἄρτου δεόμενος μυρίαι κακηγορίαι καὶ διαβολαί, καὶ ἀργίας ἐγκλήματα, καὶ λοιδορίαι καὶ ὕβρεις καὶ σκώμματα· καὶ οὐ λογίζῃ πρὸς ἑαυτόν, ὅτι καὶ σὺ ἀργεῖς, καὶ ὁ-

---

18. Ματθ. 25, 45.
19. Προβλ. Ματθ. 25, 40.

κρύου νεροῦ. Τὸ καθένα ἀπ' αὐτὰ ἦτο ἱκανὸν καὶ μόνον του νὰ τοὺς ὁδηγήσῃ πλησίον του. Διότι, εἰπέ μου, ποῖος εἶναι ἐκεῖνος ποὺ βλέπει ἕνα στρατηγὸν μὲ πολλὰ τραύματα καὶ γεμᾶτον ἀπὸ αἵματα νὰ γυρίζῃ, ὕστερα ἀπὸ πολλὰς νίκας, ἀπὸ τὸν πόλεμον καὶ τὴν πρώτην γραμμὴν καὶ δὲν τὸν ὑποδέχεται μὲ ἀνοικτὰς τὰς θύρας ὁλοκλήρου τῆς οἰκίας του;

Καὶ ποῖος εἶναι τώρα, θὰ ἔλεγε κάποιος, παρόμοιος μ' αὐτούς; Μὰ ἀκριβῶς διὰ τοῦτο προσέθεσεν, ἐπειδὴ εἶναι μαθητὴς καὶ προφήτης καὶ δίκαιος, διὰ ν' ἀντιληφθῇς ὅτι καθορίζει τὸν μισθὸν ὄχι μὲ τὴν ἀξίαν τοῦ φιλοξενουμένου, ἀλλὰ καὶ ἀπὸ τὴν διάθεσιν αὐτοῦ ποὺ φιλοξενεῖ. Καὶ εἰς αὐτὴν μὲν τὴν περίπτωσιν κάνει λόγον διὰ τοὺς μαθητάς, τοὺς δικαίους καὶ τοὺς προφήτας. Εἰς ἄλλην ὅμως περίπτωσιν μᾶς προτρέπει νὰ ὑποδεχώμεθα καὶ τοὺς πάρα πολὺ ταπεινοὺς καὶ τιμωρεῖ ὅσους δὲν τοὺς ὑποδέχονται. «Ἐφ' ὅσον δὲν ἐκάνατε κάτι εἰς ἕνα ἀπ' αὐτοὺς τοὺς ἐλαχίστους, οὔτε καὶ εἰς ἐμὲ τὸ ἐκάνατε»[18]. Καὶ τὸ ἀντίθετον πάλιν λέγει διὰ αὐτοὺς τοὺς ἰδίους[19]. Διότι, καὶ ἂν ἀκόμη δὲν κατορθώνει κάτι σπουδαῖον, εἶναι ἄνθρωπος, κατοικεῖ ἐντὸς τοῦ ἰδίου κόσμου μὲ ἐσένα, βλέπει τὸν ἴδιον ἥλιον, ἔχει τὴν ἰδίαν ψυχήν, τὸν ἴδιον Κύριον, μετέχει τῶν αὐτῶν μυστηρίων μὲ ἐσένα, καλεῖται εἰς τὸν ἴδιον οὐρανὸν ποὺ καλεῖσαι καὶ σύ, ἔχει μεγάλο δικαίωμα, τὸ νὰ εἶναι πτωχὸς καὶ νὰ ἔχῃ ἀνάγκην ἀπὸ τὴν ἀπαραίτητον διὰ τὴν συντήρησίν του τροφήν.

Τώρα ὅμως ἐκεῖνοι μὲν ποὺ σὲ ἐξυπνοῦν μὲ αὐλοὺς καὶ ἄλλα μουσικὰ ὄργανα, καὶ μάλιστα ἐν ὥρᾳ χειμῶνος, καὶ σὲ ἐνοχλοῦν χωρὶς λόγον καὶ χωρὶς σκοπόν, ἀφοῦ λάβουν πολλὰ δῶρα ἀπὸ σὲ φεύγουν. Καὶ αὐτοὶ πάλιν ποὺ περιφέρουν χελιδόνας μὲ μουντζουρωμένα τὰ πρόσωπα καὶ κακολογοῦν τοὺς πάντας, λαμβάνουν ἀμοιβὴν δι' αὐτὴν τὴν τερατωδίαν των. Ἂν ὅμως ἔλθῃ κάποιος πτωχός, ποὺ ἔχει ἀνάγκην ἀπὸ ὀλίγον ἄρτον, τότε ἀκούονται πολλαὶ κακολογίαι, διαβολαί, κατηγορίαι διὰ ὀκνηρίαν, λοιδορίαι, ὕβρεις καὶ ἐμπαιγμοί. Καὶ δὲν σκέπτεσαι, ὅτι καὶ σὺ εἶσαι ἄνθρω-

*μως ὁ Θεὸς τὰ παρ᾽ ἑαυτοῦ σοι δίδωσι. Μὴ γάρ μοι τοῦτο εἴπῃς, ὅτι πράττεις τι καὶ αὐτός· ἀλλ᾽ ἐκεῖνό μοι δεῖξον, εἰ τῶν ἀναγκαίων τι ποιεῖς καὶ μεταχειρίζῃ. Εἰ δὲ λέγεις μοι χρηματισμοὺς καὶ καπηλείας, καὶ τὴν τῶν ὄντων ἐπι-
5 μέλειαν καὶ προσθήκην, εἴποιμι ἄν σοι καὶ αὐτός, ὅτι ταῦτα οὐκ ἂν εἴη ἔργα, ἀλλὰ ἐλεημοσύνη, καὶ εὐχαί, καὶ τῶν ἀδικουμένων προστασίαι, καὶ ὅσα τοιαῦτα, ὧν ἐν ἀργίᾳ ζῶμεν διαπαντός.*

*Ἀλλ᾽ ὅμως ἡμῖν οὐδέποτε εἶπεν ὁ Θεός, ἐπειδὴ ἀρ-
10 γεῖς, οὐκ ἀνάπτω σοι τὸν ἥλιον· ἐπειδὴ οὐδὲν πράττεις τῶν ἀναγκαίων, τὴν σελήνην σβεννύω, πηρῶ τὴν γαστέρα τῆς γῆς, κωλύω τὰς λίμνας, τὰς πηγάς, τοὺς ποταμούς, ἀφανίζω τὸν ἀέρα, ἐπέχω τοὺς ἐτησίους ὑετούς· ἀλλὰ πάντα μετὰ δαψιλείας ἡμῖν παρέχει. Ἐνίοις δὲ οὐ μόνον ἀργοῦ-
15 σιν, ἀλλὰ καὶ πονηρὰ πράττουσι τούτων χαρίζεται τὴν ἀπόλαυσιν.*

*Ὅταν τοίνυν ἴδῃς πένητα, καὶ εἴπῃς, ἀποπνίγομαι ὅτι νέος ὢν οὗτος, ὑγιής, οὐδὲν ἔχων, βούλεται τρέφεσθαι ἀργῶν, οἰκέτης που καὶ δραπέτης ὤν, καὶ τὸν ἑαυτοῦ δεσπότην
20 καταλιπών· ταῦτα, ἅπερ εἶπον, εἰπὲ πρὸς ἑαυτόν, μᾶλλον δὲ ἐκείνῳ δὸς αὐτὰ μετὰ παρρησίας εἰπεῖν πρὸς σέ, καὶ δικαιότερον ἐρεῖ, ὅτι ἀποπνίγομαι, ὅτι ὑγιὴς ὢν ἀργεῖς, καὶ οὐδὲν πράττεις ὧν ἐπέταξεν ὁ Θεός, ἀλλὰ δραπετεύσας ἀπὸ τῶν ἐπιταγμάτων τοῦ Δεσπότου, περιέρχῃ καθάπερ ἐν ἀλ-
25 λοδαπῇ τῇ κακίᾳ διατρίβων, μεθύων, κραιπαλῶν, κλέπτων, ἁρπάζων, τὰς ἑτέρων ἀνατρέπων οἰκίας. Καὶ σὺ μὲν ὑπὲρ ἀργίας ἐγκαλεῖς, ἐγὼ δὲ ὑπὲρ ἔργων πονηρῶν, ὅταν ἐπι-*

πος, ποὺ δὲν ἐργάζεσαι, καὶ παρὰ ταῦτα ὁ Θεὸς σοῦ δίδει τὰ ἀγαθά του. Μὴ μοῦ εἰπῇς, βέβαια, ὅτι ἀσχολεῖσαι καὶ σὺ μὲ κάτι, ἀλλὰ νὰ μοῦ ἀποδείξῃς αὐτό, ἐάν, δηλαδή, πράττῃς καὶ χρησιμοποιῇς κάτι ἀπὸ τὰ ἀπαραίτητα. Ἐὰν ὅμως μοῦ ἀναφέρῃς ἀπόκτησιν χρημάτων καὶ κέρδη ἀπατηλὰ καὶ τὴν φροντίδα καὶ τὴν αὔξησιν τοῦ πλούτου σου, θὰ σοῦ δώσω τὴν ἀπάντησιν ὅτι ὅλα αὐτὰ δὲν ἠμποροῦν νὰ ὀνομασθοῦν ἐργασίαι, ἀλλ' ἔργα εἶναι ἡ ἐλεημοσύνη, αἱ προσευχαί, αἱ φροντίδες διὰ τὴν προστασίαν τῶν ἀδικουμένων καὶ ὅλα τὰ παρόμοια, ἀπὸ τὰ ὁποῖα ἀπέχομεν εἰς ὅλην τὴν ζωήν μας.

Ἀλλ' ὅμως ὁ Θεὸς δὲν μᾶς εἶπε ποτέ, ἐπειδὴ εἶσαι ὀκνηρὸς δὲν σοῦ ἀνάπτω τὸν ἥλιον· ἐπειδὴ δὲν κάνεις τίποτε τὸ σπουδαῖον, σοῦ σβήνω τὴν σελήνην, καθιστῶ ἀνίκανον τὴν κοιλίαν τῆς γῆς διὰ παραγωγήν, ἀποξηραίνω τὰς λίμνας, τὰς πηγὰς καὶ τοὺς ποταμούς, ἐξαφανίζω τὸν ἀέρα, σταματῶ τὰς ἐτησίας βροχάς· ἀλλ' ἀντιθέτως ὅλα μᾶς τὰ παρέχει μὲ ἀφθονίαν. Εἰς ὡρισμένους δέ, ποὺ ὄχι μόνον εἶναι ἄνεργοι, ἀλλὰ καὶ ἐπὶ πλέον διαπράττουν καὶ πονηρὰ ἔργα, τοὺς ἐπιτρέπει ὁ Θεὸς ν' ἀπολαμβάνουν αὐτά.

Ὅταν, λοιπόν, ἴδῃς κάποιον πτωχὸν καὶ εἰπῇς, ὅτι ἀγανακτῶ ἐπειδὴ εἶναι νέος, ὑγιὴς καὶ δὲν πάσχει ἀπὸ τίποτε, παρὰ ταῦτα ὅμως θέλει νὰ τρέφεται χωρὶς νὰ ἐργάζεται, καὶ ἴσως νὰ εἶναι κάποιος ὑπηρέτης καὶ δραπέτης ποὺ ἐγκατέλειψε τὸν κύριόν του, ὅλα αὐτά, ποὺ προανέφερα, νὰ τὰ εἰπῇς εἰς τὸν ἑαυτόν σου, μᾶλλον δὲ δῶσε παρρησίαν εἰς ἐκεῖνον νὰ τὰ εἰπῇ εἰς σὲ καὶ πολὺ δίκαια θὰ σοῦ εἰπῇ· ἀγανακτῶ, διότι ἐνῷ εἶσαι ὑγιής, παραμένεις ἀργὸς καὶ δὲν κάνεις τίποτε ἀπὸ ὅσα διέταξεν ὁ Θεός, ἀλλ' ἀφοῦ ἐδραπέτευσες ἀπὸ τὰ προστάγματα τοῦ Κυρίου, περιφέρεσαι ὡσὰν νὰ εὑρίσκεσαι εἰς ξένην χώραν, ἐκτελῶν αἰσχρὰς πράξεις, μεθύεις, ἀσχημονεῖς, κλέπτεις, ἁρπάζεις καὶ καταστρέφεις τὰς οἰκίας τῶν ἄλλων. Καὶ σὺ μὲν κατηγορεῖς διὰ ὀκνηρίαν, ἐγὼ ὅμως σὲ κατηγορῶ διὰ τὰ πονηρὰ ἔργα ποὺ κάνεις, ὅταν συ-

βουλεύῃς, ὅταν ὀμνύῃς, ὅταν ψεύδῃ, ὅταν ἁρπάζῃς, ὅταν μυρία τοιαῦτα ποιῇς.

4. Ταῦτα δὲ λέγω, οὐχὶ νομοθετῶν ἀργεῖν· μὴ γένοιτο· ἀλλὰ καὶ σφόδρα βουλόμενος πάντας ἐν ἔργοις εἶναι· πᾶσαν
5 γὰρ κακίαν ἐδίδαξεν ἡ ἀργία· παρακαλῶ δὲ μὴ ἀνηλεεῖς εἶναι, μηδὲ ὠμούς. Ἐπεὶ καὶ Παῦλος μυρία μεμψάμενος καὶ εἰπών, «Εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω»· οὐκ ἔστη μέχρι τούτου, ἀλλὰ προσέθηκεν· «Ὑμεῖς δὲ μὴ ἐκκακήσητε τὸ καλὸν ποιοῦντες». Καὶ μὴν ταῦτα ἐναντία
10 ἐστίν. Εἰ γὰρ ἐκέλευσας αὐτοὺς μὴ ἐσθίειν, πῶς ἡμῖν παραινεῖς διδόναι; Ναί, φησι· καὶ γὰρ ἐκέλευσα αὐτοὺς ἀποστρέφεσθαι, καὶ μὴ ἀναμίγνυσθαι, καὶ πάλιν εἶπον, «Μὴ ἐχθροὺς ἡγεῖσθε, ἀλλὰ νουθετεῖτε»· οὐκ ἐναντία νομοθετῶν, ἀλλὰ καὶ πάνυ συνᾴδοντα. Ἂν γὰρ σὺ πρὸς ἔλεον ἕτοιμος
15 ᾖς, κἀκεῖνος ταχέως ὁ πένης τῆς ἀργίας ἀπαλλαγήσεται, καὶ σὺ τῆς ὠμότητος.

Ἀλλὰ ψεύδεται πολλὰ καὶ πλάττεται, φησίν. Ἀλλὰ καὶ ἐντεῦθεν ἄξιος ἐλεεῖσθαι, ὅτι εἰς τοιαύτην κατέπεσεν ἀνάγκην, ὡς καὶ τοιαῦτα ἀναισχυντεῖν. Ἡμεῖς δὲ οὐ μόνον οὐκ
20 ἐλεοῦμεν, ἀλλὰ καὶ τὰ ὠμὰ ἐκεῖνα προστίθεμεν ῥήματα, οὐκ ἔλαβες ἅπαξ καὶ δίς; λέγοντες. Τί οὖν; οὐ δεῖται τραφῆναι πάλιν, ἐπειδὴ ἅπαξ ἐτράφη; Διατί μὴ καὶ τῇ σαυτοῦ γαστρὶ τούτους τιθεῖς τοὺς νόμους, καὶ λέγεις καὶ πρὸς αὐτήν· ἐνεπλήσθης χθὲς καὶ πρὸ τῆς χθές, μὴ ζήτει νῦν; Ἀλλ'
25 ἐκείνην μὲν καὶ ὑπὲρ τὸ μέτρον διαρρηγνύεις, τοῦτον δὲ καὶ τὰ σύμμετρα αἰτοῦντα ἀποστρέφῃ, ὀφείλων διὰ τοῦτο

20. Β´ Θεσ. 3, 10.
21. Β´ Θεσ. 3, 13.
22. Β´ Θεσ. 3, 15.

κοφαντῆς, ὅταν ὁρκίζεσαι, ὅταν ψεύδεσαι, ὅταν ἁρπάζῃς, ὅταν πράττῃς ἀμέτρητα τέτοιου εἴδους ἔργα.

4. Αὐτὰ τὰ λέγω ὄχι διὰ νὰ θεσπίσω νόμον περὶ ὀκνηρίας· μὴ γένοιτο· ἀλλὰ τὰ λέγω ἐπειδὴ ἐπιθυμῶ πάρα πολὺ ὅλοι νὰ ἐργάζωνται. Διότι ἡ ἀργία ἐδίδαξε κάθε κακίαν. Ὅμως, σᾶς παρακαλῶ, νὰ μὴ εἶσθε ἄσπλαγχνοι οὔτε ἀπάνθρωποι. Διότι καὶ ὁ Παῦλος, ἂν καὶ κατέκρινε πάρα πολὺ τὴν ὀκνηρίαν καὶ εἶπεν· «Ἐὰν κανεὶς δὲν θέλῃ νὰ ἐργάζεται, δὲν πρέπει οὔτε καὶ νὰ τρώγῃ»[20], δὲν ἐσταμάτησε μέχρις ἐδῶ, ἀλλὰ προσέθεσε· «Σεῖς ὅμως νὰ μὴ χάνετε τὸ θάρρος σας πράττοντες τὸ καλόν»[21]. Καὶ ὅμως αὐτὰ εἶναι ἀντίθετα πρὸς τὰ προηγούμενα. Διότι, ἐφ' ὅσον διέταξες αὐτοὺς νὰ μὴ τρώγουν, πῶς προτρέπεις ἡμᾶς νὰ τοὺς δίδωμεν; Ναί, λέγει· Πράγματι σᾶς διέταξα νὰ τοὺς ἀποστρέφεσθε καὶ νὰ μὴ τοὺς συναναστρέφεσθε, ἀλλὰ καὶ σᾶς παρήγγειλα «νὰ μὴ τοὺς θεωρῆτε ὡς ἐχθρούς, ἀλλὰ νὰ τοὺς συμβουλεύετε»[22], καὶ ἔτσι δὲν δίδω ἀλληλοσυγκρουομένας ἐντολάς, ἀλλὰ δίδω ἐντολὰς ποὺ συμφωνοῦν μεταξύ των ἀπόλυτα. Διότι, ἐὰν σὺ εἶσαι πρόθυμος νὰ προσφέρῃς ἐλεημοσύνην, τότε καὶ ἐκεῖνος ὁ πτωχὸς θὰ ἐλευθερωθῇ ἀπὸ τὴν ὀκνηρίαν καὶ σὺ ἀπὸ τὴν ἀπανθρωπίαν σου.

Καλά, ἀλλά, θὰ εἰπῇ κανείς, ψεύδεται πολὺ καὶ ὑποκρίνεται. Μὰ ἀκριβῶς διὰ τοῦτο εἶναι ἄξιος ἐλεημοσύνης, ἐπειδὴ κατέπεσεν εἰς τόσον μεγάλην ἀνάγκην, ὥστε νὰ ἐπιχειρῇ τέτοιου εἴδους ἀναισχύντους πράξεις. Ἡμεῖς ὅμως ὄχι μόνον δὲν ἐλεοῦμεν, ἀλλὰ προσθέτομεν καὶ τὰ ἀπάνθρωπα ἐκεῖνα λόγια, λέγοντες· Δὲν σοῦ ἔδωσα μίαν φοράν, δύο φοράς; Τί λοιπόν; Δὲν ἔχει ἀνάγκην πάλιν ἀπὸ τροφήν, ἐπειδὴ ἔφαγε μίαν φοράν; Διατί δὲν ἐφαρμόζεις καὶ εἰς τὴν ἰδικήν σου κοιλίαν τοὺς ἰδίους νόμους καὶ δὲν λέγεις πρὸς αὐτήν· ἐχόρτασες χθὲς καὶ προχθές, μὴ ζητῇς καὶ σήμερα. Ἀλλὰ τὴν μὲν κοιλίαν σου τὴν παραγεμίζεις πέραν τοῦ ἀναγκαίου, ἐνῷ αὐτόν, ἂν καὶ ζητῇ τὴν βασικὴν τροφήν, τὸν ἀποστρέφεσαι, ἐνῷ ὤφειλες ἀκριβῶς διὰ τοῦτο νὰ τὸν ἐλεή-

αὐτὸν ἐλεεῖν, ὅτι καθ' ἑκάστην ἀναγκάζεταί σοι προσιέναι τὴν ἡμέραν. Εἰ γὰρ καὶ μηδαμόθεν ἑτέρωθεν ἐπικάμπτῃ, διὰ τοῦτο αὐτὸν ἔδει σε ἐλεεῖν· τῇ γὰρ τῆς πενίας ἀνάγκῃ ταῦτα βιάζεται καὶ ποιεῖ. Καὶ οὐκ ἐλεεῖς αὐτόν, ὅτι τοιαῦτα
5 ἀκούων οὐ αἰσχύνεται· ἡ γὰρ ἀνάγκη δυνατωτέρα.

Σὺ δὲ οὐ μόνον οὐκ ἐλεεῖς, ἀλλὰ καὶ ἐκπομπεύεις· καὶ τοῦ Θεοῦ κελεύσαντος λάθρα διδόναι, ἕστηκας δημοσιεύων τὸν προσελθόντα, καὶ ὀνειδίζων, ὑπὲρ ὧν ἐλεεῖν ἐχρῆν. Εἰ γὰρ μὴ βούλει δοῦναι, τί καὶ ἐγκαλεῖς, καὶ συντρίβεις τὴν
10 ταλαίπωρον καὶ ἀθλίαν ψυχήν; Ἦλθεν ὡς εἰς λιμένα τὰς σὰς χεῖρας ἐπιζητῶν· τί κύματα ἐγείρεις, καὶ χαλεπώτερον τὸν χειμῶνα ἐργάζῃ; Τί καταγινώσκεις ἀνελευθερίαν; Μὴ γάρ, εἰ προσεδόκησε τοιαῦτα ἀκούσεσθαι, προσῆλθεν ἄν; Εἰ δὲ καὶ ταῦτα προειδὼς προσῆλθε, διὰ τοῦτο ἄξιον κἀ-
15 κεῖνον ἐλεεῖν, καὶ τὴν σὴν φρίττειν ὠμότητα, ὅτι οὐδὲ οὕτως, ἀπαραίτητον ἐπικειμένην ὁρῶν ἀνάγκην, ἡμερώτερος γίνῃ, οὐδὲ ἀρκεῖν αὐτῷ νομίζεις εἰς ἀπολογίαν τῆς ἀναισχυντίας τὸ τοῦ λιμοῦ δέος, ἀλλ' ἀναισχυντίαν ἐγκαλεῖς· καίτοι μείζονα αὐτὸς ἠναισχύντησας πολλάκις, καὶ ὑπὲρ χα-
20 λεπῶν πραγμάτων. Ἐνταῦθα μὲν γὰρ καὶ συγγνώμην ἡ ἀναισχυντία φέρει, ἡμεῖς δὲ πολλάκις κολάσεως ἄξια πράττοντες ἀναιδευόμεθα· καὶ δέον ἐννοοῦντας ἐκεῖνα ταπεινοὺς γίνεσθαι, καὶ ἐπεμβαίνομεν τοῖς ταλαιπώροις τούτοις, καὶ φάρμακα αἰτοῦσι τραύματα προστίθεμεν.

σῃς, ἐπειδὴ εἶναι ὑποχρεωμένος νὰ ἔρχεται καὶ νὰ σοῦ ζητῇ καθημερινῶς τροφήν. Διότι καὶ ἂν τίποτε ἄλλο δὲν λυγίζῃ τὴν σκληρότητά σου, διὰ τοῦτο καὶ μόνον ἔπρεπε νὰ τὸν ἐλεήσῃς, ἐπειδὴ ὅλα αὐτὰ ἀναγκάζεται νὰ τὰ κάνῃ πιεζόμενος ἀπὸ τὴν πενίαν του. Καὶ δὲν τὸν ἐλεεῖς, ἐπειδὴ δὲν ἐντρέπεται, ἂν καὶ ἀκούει αὐτὰ τὰ λόγια σου· συμβαίνει αὐτὸ ἐπειδὴ ἡ ἀνάγκη εἶναι ἰσχυροτέρα τῆς ἐντροπῆς.

Σὺ δὲ ὄχι μόνον δὲν τὸν ἐλεεῖς, ἀλλὰ καὶ τὸν διαπομπεύεις. Καὶ μολονότι ὁ Θεὸς σὲ προτρέπει νὰ ἐλεῇς κρυφά, σὺ φθάνεις εἰς τὸ σημεῖον νὰ διακηρύσσῃς αὐτὸν ποὺ ἦλθε νὰ σοῦ ζητήσῃ ἐλεημοσύνην καὶ τὸν ὑβρίζεις, ἂν καὶ ἔπρεπε νὰ τὸν ἐλεήσῃς. Διότι, ἐὰν δὲν θέλῃς νὰ δώσῃς διατί τὸν κατηγορεῖς καὶ συντρίβεις τὴν ταλαίπωρον καὶ ἀθλίαν αὐτὴν ψυχήν; Ἦλθε μὲ τὴν ἐλπίδα νὰ εὕρῃ τὰ χέρια σου ὡσὰν λιμάνι· διατί, λοιπόν, σηκώνεις κύματα καὶ τοῦ καθιστᾷς βαρύτερον τὸν χειμῶνα; Διατί τὸν κατηγορεῖς διὰ δουλοπρέπειαν; Μήπως, δηλαδή, θὰ ἦτο δυνατὸν νὰ ἔλθῃ εἰς σέ, ἐὰν θὰ ἐπερίμενε ν' ἀκούσῃ τέτοια λόγια; Ἐὰν δὲ ἦλθε, μολονότι ἐγνώριζεν ὅτι θ' ἀκούσῃ αὐτά, τότε ἀκριβῶς διὰ τοῦτο ἀξίζει νὰ τὸν ἐλεήσῃς καὶ παράλληλα καὶ νὰ φρίττῃς διὰ τὴν ἰδικήν σου σκληρότητα, ἐπειδὴ οὔτε καὶ ἔτσι γίνεσαι περισσότερον ἥμερος, ἂν καὶ βλέπεις, δηλαδή, ἐμπρός σου τόσον καταπιεστικὴν ἀνάγκην, καὶ δὲν θεωρεῖς ὡς ἀρκετὸν τὸν φόβον τῆς πείνης, διὰ νὰ δικαιολογήσῃ τὴν ἀναισχυντίαν του, ἀλλὰ τὸν κατηγορεῖς δι' ἀναισχυντίαν, μολονότι πολλὰς φορὰς σὺ ὁ ἴδιος ἔχεις διαπράξει μεγαλυτέρας ἀναισχυντίας καὶ μάλιστα διὰ φοβερὰ πράγματα. Βέβαια, εἰς αὐτὴν μὲν τὴν περίπτωσιν ἡ ἀναισχυντία εἶναι ἀξία συγχωρήσεως, ἡμεῖς ὅμως πολλὰς φοράς, ἂν καὶ πράττομεν πράγματα ἄξια τιμωρίας, ἐν τούτοις φερόμεθα μὲ ἀναίδειαν. Καὶ ἐνῷ πρέπει, ἀναλογιζόμενοι αὐτά, νὰ φερώμεθα μὲ ταπείνωσιν, ἀντιθέτως ἐπιτιθέμεθα ἐναντίον αὐτῶν τῶν δυστυχισμένων ἀνθρώπων, καὶ μολονότι μᾶς ζητοῦν φάρμακα, ἡμεῖς τοὺς αὐξάνομεν τὰς πληγάς.

Εἰ γὰρ μὴ βούλει δοῦναι, τί καὶ πλήττεις; εἰ μὴ βούλει χαρίσασθαι, τίνος ἕνεκεν καὶ ὑβρίζεις; Ἀλλ᾿ οὐκ ἀνέχεται ἀποστῆναι ἑτέρως. Οὐκοῦν ὡς ἐκέλευσεν ὁ σοφὸς ἐκεῖνος, οὕτω ποίησον· «Ἀποκρίθητι αὐτῷ εἰρηνικὰ ἐν πρα-
5 *ΰτητι». Οὐδὲ γὰρ ἑκὼν τοσαῦτα ἀναισχυντεῖ. Οὐδὲ γάρ ἐστιν, οὐκ ἔστιν ἄνθρωπος βουλόμενος ἁπλῶς καταισχύνεσθαι· κἂν μυρία τινὲς φιλονεικήσωσιν, οὐκ ἂν ἀνασχοίμην ἐγὼ πεισθῆναί ποτε, ὅτι ἄνθρωπος ἐν ἀφθονίᾳ ζῶν ἕλοιτο ἂν ἐπαιτεῖν. Μηδεὶς τοίνυν ἡμᾶς παραλογιζέσθω. Ἀλλὰ*
10 *κἂν λέγῃ Παῦλος· «Εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω», πρὸς ἐκείνους λέγει· πρὸς δὲ ἡμᾶς οὐ τοῦτο λέγει, ἀλλὰ τοὐναντίον· «Τὸ καλὸν ποιοῦντες μὴ ἐκκακεῖτε». Οὕτω καὶ ἐν οἰκίᾳ ποιοῦμεν ἡμεῖς· ὅταν δύο τινὲς μάχωνται πρὸς ἀλλήλους, κατ᾿ ἰδίαν ἕκαστον λαβόντες τἀναντία παραινοῦ-*
15 *μεν. Τοῦτο καὶ ὁ Θεὸς ἐποίησε, καὶ Μωϋσῆς. Πρὸς μὲν γὰρ τὸν Θεὸν ἔλεγεν· «Εἰ μὲν ἀφεῖς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· ἐπεὶ κἀμὲ ἐξάλειψον»· αὐτοῖς δὲ ἐκέλευε κατασφάττειν ἀλλήλους καὶ τοὺς προσήκοντας ἅπαντας. Καίτοι ταῦτα ἐναντία ἐστίν, ἀλλ᾿ ὅμως εἰς ἓν ἀμφότερα ἔβλεπε τέλος. Πάλιν*
20 *ὁ Θεὸς τῷ μὲν Μωϋσεῖ, Ἰουδαίων ἀκουόντων, ἔλεγεν· «Ἄφες με, καὶ ἐκτρίψω τὸν λαόν»· (εἰ γὰρ καὶ μὴ παρῆσαν, ταῦτα λέγοντος τοῦ Θεοῦ, ἀλλ᾿ ἔμελλον αὐτὰ ἀκούσεσθαι ὕστερον)· κατ᾿ ἰδίαν δὲ τἀναντία τούτων αὐτῷ παραινεῖ. Καὶ ταῦτα Μωϋσῆς ἀναγκασθεὶς ὕστερον ἐξελάλησεν, οὕτω*
25 *λέγων· «Μὴ γὰρ ἐγὼ αὐτοὺς ἐν γαστρὶ ἔλαβον, ὅτι λέγεις*

---

23. Σοφ. Σειρ. 4, 8.
24. Ἐξ. 32, 32.
25. Προβλ. Ἐξ. 32, 27.
26. Ἐξ. 32, 9.

Ἐάν, βέβαια, δὲν θέλῃς νὰ δώσῃς, διατί τὸν προσβάλλεις; ἐὰν δὲν θέλῃς νὰ τὸν ἐλεήσῃς, διὰ ποῖον λόγον τὸν ὑβρίζεις; Μὰ δὲν εἶναι δυνατὸν νὰ φύγῃ κατ' ἄλλον τρόπον. Ἔ, τότε ἐνήργησε σύμφωνα μὲ τὴν συμβουλὴν τοῦ σοφοῦ ἐκείνου ἀνδρός· «Ἀγάπησέ τον μὲ τρόπον εἰρηνικὸν καὶ μὲ πραότητα»[23]. Διότι δὲν διαπράττει ὅλας αὐτὰς τὰς ἀναισχυντίας μὲ τὴν θέλησίν του. Καθόσον δὲν εἶναι δυνατόν, δὲν ὑπάρχει ἄνθρωπος ποὺ νὰ θέλῃ νὰ ἀτιμάζεται χωρὶς αἰτίαν. Καὶ ἂν ἀκόμη προβάλλουν ὡρισμένοι ἀμέτρητα ἐπιχειρήματα διὰ τὸ ἀντίθετον, ἐγὼ δὲν θὰ ἠμποροῦσα ποτὲ νὰ δεχθῶ, ὅτι εἶναι δυνατόν, ἕνας ἄνθρωπος ποὺ ζῇ μέσα εἰς τὴν ἀφθονίαν, νὰ προτιμήσῃ νὰ γίνῃ ἐπαίτης. Κανεὶς λοιπὸν ἂς μὴ σᾶς ἐξαπατᾷ. Ἀλλὰ καὶ ἂν ἀκόμη ὁ Παῦλος λέγῃ· «Ἐὰν κανεὶς δὲν θέλῃ νὰ ἐργάζεται, δὲν πρέπει οὔτε νὰ τρώγῃ», τό λέγει αὐτὸ πρὸς ἐκείνους, ἐνῷ πρὸς ἡμᾶς δὲν λέγει τὸ ἴδιο, ἀλλὰ τὸ ἀντίθετον· «Σεῖς νὰ μὴ χάνετε τὸ θάρρος σας διὰ νὰ πράττετε τὸ καλόν». Κατὰ τὸν ἴδιον τρόπον ἐνεργοῦμεν καὶ ἡμεῖς εἰς τὰς οἰκίας μας. Ὅταν, δηλαδή, δύο ἄτομα εὑρίσκωνται εἰς διαμάχην μεταξύ των τὰ παίρνομεν ἰδιαιτέρως καὶ τὰ δίδομεν ἀντιθέτους συμβουλάς. Τὸ ἴδιο ἔκανε καὶ ὁ Θεὸς καὶ ὁ Μωϋσῆς. Διότι πρὸς μὲν τὸν Θεὸν ἔλεγεν· «Ἐὰν μὲν θέλῃς νὰ συγχωρήσῃς τὴν ἁμαρτίαν των, συγχώρησέ την, εἰδ' ἄλλως νὰ ἐξαφανίσῃς καὶ ἐμέ»[24], ἐνῷ εἰς τοὺς Ἰουδαίους ἔδιδε τὴν ἐντολὴν νὰ σφάζουν ὁ ἕνας τὸν ἄλλον καὶ μάλιστα ὅλους τοὺς συγγενεῖς των»[25]. Μολονότι αὐτὰ ἦσαν ἀντίθετα, ἐν τούτοις ἀπέβλεπαν εἰς ἕνα καὶ τὸν αὐτὸν σκοπόν. Ὁ Θεὸς πάλιν ἔλεγεν εἰς τὸν Μωϋσῆν, ἐνῷ τὸν ἤκουαν οἱ Ἰουδαῖοι· «Ἄφησέ με νὰ καταστρέψω τὸν λαόν»[26], (διότι καὶ ἂν ἀκόμη δὲν ἦσαν παρόντες ὅταν τὰ ἔλεγεν αὐτὰ ὁ Θεός, ὁπωσδήποτε θὰ τὰ ἐπληροφοροῦντο ἀργότερα), ὅμως κατ' ἰδίαν τοὺς δίδει ἄλλας ἐντολὰς ἀντιθέτους πρὸς αὐτάς. Διὰ τοῦτο ὁ Μωϋσῆς, ὅταν εὑρέθη ἀργότερον εἰς τὴν ἀνάγκην ὡμίλησε λέγων τὰ ἑξῆς· «Μήπως εἶχα αὐτοὺς εἰς τὴν κοιλίαν μου καὶ μοῦ λέγεις νὰ τοὺς

μοι, ἆρον αὐτοὺς ὡς ἂν ἄρῃ τιθηνὸς τὸν θηλάζοντα εἰς τὸν κόλπον αὐτῆς;».

Ταῦτα καὶ ἐν οἰκίαις γίνεται· καὶ πολλάκις πατὴρ τῷ μὲν παιδαγωγῷ τὸν παῖδα ὑβρίσαντι κατ' ἰδίαν ἐπιτιμᾷ λέ-
5 *γων· μὴ ἔσο τραχύς, μηδὲ σκληρός· τῷ δὲ νέῳ τὰ ἐναντία λέγει· κἂν ἀδίκως ὑβρίζῃ, φέρε· ἀπὸ τῶν ἐναντίων ἕν τι χρήσιμον συνάγων.*

Οὕτω καὶ Παῦλος, τοῖς μὲν ὑγιαίνουσι καὶ προσαιτοῦσιν ἔλεγεν· «Εἴ τις οὐ θέλει ἐργάζεσθαι, μηδὲ ἐσθιέτω»,
10 *ἵνα αὐτοὺς εἰς ἔργον ἐμβάλῃ· τοῖς δὲ ἐλεεῖν δυναμένοις· «Ὑμεῖς δὲ τὸ καλὸν ποιοῦντες μὴ ἐκκακήσητε», ἵνα αὐτοὺς εἰς ἐλεημοσύνην ἀγάγῃ. Οὕτω καὶ ἡνίκα τοῖς ἐξ ἐθνῶν παρῄνει ἐν τῇ πρὸς Ρωμαίους ἐπιστολῇ μὴ ὑψηλοφρονεῖν κατὰ τῶν Ἰουδαίων, καὶ τὴν ἀγριελαίαν παρήγαγεν εἰς μέσον,*
15 *καὶ ἄλλα μὲν τούτοις, ἄλλα δὲ ἐκείνοις φαίνεται λέγων.*

Μὴ τοίνυν εἰς ὠμότητα ἐκπέσωμεν, ἀλλ' ἀκούσωμεν Παύλου λέγοντος· «Τὸ καλὸν ποιοῦντες μὴ ἐκκακεῖτε»· ἀκούσωμεν τοῦ Δεσπότου λέγοντος· «Παντὶ τῷ αἰτοῦντι σε δίδου»· καί· «Γίνεσθε οἰκτίρμονες ὡς ὁ Πατὴρ ὑμῶν». Καί-
20 *τοι πολλὰ εἰπών, οὐδαμοῦ τοῦτο τέθεικεν, ἀλλ' ἐπὶ τῶν οἰκτιρμῶν μόνον. Οὐδὲν γὰρ ἡμᾶς τοῦτο τέθεικεν, ἀλλ' ἐπὶ τῶν οἰκτιρμῶν μόνον. Οὐδὲν γὰρ ἡμᾶς ἴσους Θεῷ ποιεῖ, ὡς τὸ εὐεργετεῖν.*

5. Ἀλλ' οὐδὲν ἀναιδέστερον, φησί, πένητος. Διατί; πα-
25 *ρακαλῶ· ὅτι ἐπιτρέχων καταβοᾷ; Βούλει οὖν δείξω, ὅτι ἐκείνων ἡμεῖς ἐσμεν ἀναισχυντότεροι, καὶ σφόδρα ἀναιδεῖς; Ἀναμνήσθητί μοι νῦν ἐν καιρῷ τῆς νηστείας, πο-*

27. Ἀριθ. 11, 12.
28. Πρβλ. Ρωμ. 11, 17 ἑ.
29. Λουκᾶ 6, 30.
30. Λουκᾶ 6, 36.

σηκώσω, ὅπως ἀκριβῶς ἡ τροφὸς σηκώνει εἰς τὴν ἀγκαλιάν της τὸ παιδὶ ποὺ θηλάζει;»[27].

Ἀλλὰ τὰ ἴδια συμβαίνουν καὶ εἰς τὰς οἰκογενείας. Πολλὰς φοράς, δηλαδή, ὁ πατὴρ τὸν μὲν παιδαγωγόν, ποὺ προσέβαλε τὸν υἱόν του, τὸν ἐλέγχει κατ' ἰδίαν καὶ τοῦ λέγει· Νὰ μὴ εἶσαι τραχύς, οὔτε σκληρός. Ἐνῷ εἰς τὸν υἱόν του λέγει τὰ ἀντίθετα ἀπ' αὐτά. Καὶ ἂν ἀκόμη σὲ προσβάλλῃ ἄδικα, νὰ τὸν ἀνέχεσαι. Ἔτσι μέσῳ τῶν ἀντιθέτων κερδίζει κάτι ποὺ εἶναι πολὺ χρήσιμον.

Ὁμοίως καὶ ὁ Παῦλος πρὸς ἐκείνους μὲν ποὺ ἦσαν ὑγιεῖς καὶ ἦσαν ἐπαῖται ἔλεγεν· «Ἐὰν κανεὶς δὲν θέλῃ νὰ ἐργάζεται, δὲν πρέπει οὔτε καὶ νὰ τρώγῃ», διὰ νὰ τοὺς παρακινήσῃ νὰ ἐργάζωνται, ἐνῷ πρὸς ἐκείνους ποὺ ἠμποροῦσαν νὰ δώσουν ἐλεημοσύνην ἔλεγε· «Σεῖς νὰ μὴ χάσετε τὸ θάρρος σας νὰ κάνετε τὸ καλόν», διὰ νὰ τοὺς ὁδηγήσῃ πρὸς τὴν ἐλεημοσύνην. Ἀλλὰ καὶ ὅταν συνεβούλευε τοὺς ἐξ ἐθνῶν Χριστιανοὺς εἰς τὴν πρὸς Ρωμαίους ἐπιστολήν του νὰ μὴ ὑψηλοφρονοῦν ἔναντι τῶν Ἰουδαίων καὶ ἀνέφερε καὶ τὸ παράδειγμα τῆς ἀγριελαίας, φαίνεται νὰ λέγῃ ἄλλα μὲν εἰς τοὺς Ἰουδαίους καὶ ἄλλα εἰς τοὺς ἐξ ἐθνῶν[28].

Ἐπομένως, ἂς μὴ καταλήξωμεν εἰς τὴν σκληρότητα, ἀλλ' ἂς ἀκούσωμεν τὸν Παῦλον ποὺ λέγει· «Μὴ χάνετε τὸ θάρρος σας νὰ κάνετε τὸ καλόν». Ἂς ἀκούσωμεν τὸν Κύριον ποὺ λέγει· «Νὰ δίδῃς εἰς τὸν καθένα ποὺ σοῦ ζητεῖ»[29], καί· «Νὰ προσπαθῆτε νὰ γίνετε εὐσπλαγχνικοὶ καθὼς ὁ Πατήρ σας»[30]. Καὶ μολονότι ἔδωσε τόσας ἐντολάς, ἐν τούτοις εἰς οὐδεμίαν ἄλλην περίπτωσιν ἀνέφερεν αὐτό, παρὰ μόνον ὅταν ὡμίλησε περὶ οἰκτιρμῶν. Διότι τίποτε δὲν μᾶς ἐξισώνει μὲ τὸν Θεόν, ὅσον τὸ νὰ εὐεργετοῦμεν.

5. Καὶ ὅμως δὲν ὑπάρχει, θὰ ἔλεγε κανείς, τίποτε ἀναιδέστερον ἀπὸ τὸν ἐπαίτην. Διατί παρακαλῶ; Μήπως ἐπειδὴ γυρίζει ἐδῶ καὶ ἐκεῖ καὶ φωνάζει; Θέλεις, λοιπόν, νὰ σοῦ ἀποδείξω, ὅτι ἡμεῖς εἴμεθα πιὸ ἀναίσχυντοι ἀπὸ αὐτοὺς καὶ πιὸ ἀναιδεῖς; Φέρε εἰς τὴν μνήμην σου, παρακαλῶ, πόσας

σάκις τραπέζης παρακειμένης ἐν ἑσπέρᾳ, τὸν ὑπηρετοῦντα οἰκέτην καλέσας, ἵνα σχολαιότερον βαδίσῃ, πάντα ἀνέτρεψας, λακτίζων, ὑβρίζων, λοιδορούμενος, ὑπὲρ ἀναβολῆς μόνον μικρᾶς· καίτοι σφόδρα εἰδώς, ὅτι κἂν μὴ εὐθέως, ἀλλὰ μικρὸν
5 *ὕστερον ἀπολαύσῃ τῆς ἐδωδῆς. Εἶτα σαυτὸν μὲν ὑπὲρ τοῦ μηδενὸς ἐκθηριούμενον οὐ καλεῖς ἀναίσχυντον, τὸν δὲ πένητα τὸν ὑπὲρ τῶν μειζόνων δεδοικότα καὶ τρέμοντα (οὐδὲ γὰρ περὶ μελλήσεως, ἀλλὰ περὶ λιμοῦ πᾶς ὁ φόβος αὐτῷ), τοῦτον καὶ ἰταμόν, καὶ ἀναιδῆ, καὶ ἀναίσχυντον, καὶ πάντα*
10 *προσερεῖς τὰ αἴσχιστα; Καὶ πῶς οὐκ ἐσχάτης τοῦτο ἀναισχυντίας; Ἀλλ' οὐκ ἐννοοῦμεν ταῦτα· διὰ τοῦτο ἐκείνους ἐπαχθεῖς εἶναι νομίζομεν· ὡς εἴγε τὰ ἡμέτερα ἐξητάζομεν καὶ παρεβάλλομεν τοῖς ἐκείνων, οὐκ ἂν αὐτοὺς ἐνομίσαμεν εἶναι φορτικούς.*

15 *Μὴ δὴ γίνου πικρὸς δικαστής. Καὶ γὰρ εἰ πάντων ἁμαρτημάτων ἦς ἀπηλλαγμένος, οὐδὲ οὕτω σοι ἐπέτρεπεν ὁ τοῦ Θεοῦ νόμος ἀκριβῆ γενέσθαι ἐξεταστὴν τῶν ἀλλοτρίων. Εἰ γὰρ ὁ Φαρισαῖος διὰ τοῦτο ἀπώλετο, ποίας τευξόμεθα ἀπολογίας ἡμεῖς; Εἰ τοῖς κατωρθωκόσιν οὐκ ἐπιτρέπει πι-*
20 *κρῶς ἐξετάζειν τὰ ἑτέρων, πολλῷ μᾶλλον τοῖς ἐπταικόσι.*

Μὴ τοίνυν ὠμοί, μηδὲ ἀπηνεῖς, μὴ ἄστοργοι, μὴ ἄσπονδοι, μὴ θηρίων χείρους ὦμεν. Καὶ γὰρ πολλοὺς εἰς τοῦτο οἶδα θηριωδίας ἐλθόντας, ὡς δι' ὄκνον μικρὸν λιμώττοντας περιορᾶν, καὶ ταῦτα λέγοντας τὰ ῥήματα· οὐ πάρεστιν οἰκέτης

φορὰς τώρα κατὰ τὸ διάστημα τῆς νηστείας, ἐνῷ εἶχεν ἑτοιμασθῆ ἡ ἑσπερινὴ τράπεζα, ἀφοῦ ἐκάλεσες τὸν ὑπηρέτην ποὺ ἑτοίμαζεν αὐτὴν καὶ ἀργοποροῦσεν, ἀνέτρεψες τὰ πάντα, κλωτσῶν, ὑβρίζων, λοιδορῶν, καὶ ὅλα αὐτὰ διὰ μικρὰν καὶ μόνον ἀναβολήν, ἂν καὶ ἐγνώριζες πάρα πολὺ καλὰ ὅτι ἂν ὄχι ἀμέσως, ὁπωσδήποτε ὅμως μετὰ ἀπὸ ὀλίγον θὰ ἀπολαύσῃς τὸ φαγητόν. Ἔπειτα, δὲν ὀνομάζεις τὸν ἑαυτόν σου ἀναίσχυντον, ποὺ γίνεται θηρίον διὰ τὸ τίποτε, τὸν ἐπαίτην ὅμως ποὺ φοβεῖται καὶ τρέμει διὰ τὰ πολὺ πιὸ σπουδαῖα (διότι δὲν πρόκειται δι' ἁπλῆν ἀδιαφορίαν, ἀλλ' ὅλος ὁ φόβος του ἔχει σχέσιν μὲ τὴν πεῖναν), τὸν ὀνομάζεις αὐθάδη, ἀναιδῆ, ἀναίσχυντον καὶ τὸν ἀποκαλεῖς μὲ τὰ χειρότερα λόγια; Καὶ πῶς ὅλη αὐτὴ ἡ συμπεριφορά σου δὲν εἶναι ἀπόδειξις τῆς πιὸ χειροτέρας ἀναισχυντίας; Ἀλλ' αὐτὰ δὲν τὰ σκεπτόμεθα καὶ διὰ τοῦτο θεωροῦμεν ἐνοχλητικοὺς ἐκείνους. Διότι, ἐάν, βέβαια, ἐξητάζαμεν τὴν ἰδικήν μας κατάστασιν καὶ τὴν παρεμβάλλαμεν μὲ τὴν ἰδικήν των, τότε δὲν θὰ τοὺς ἐθεωρούσαμεν ἐνοχλητικούς.

Ἑπομένως, μὴ γίνεσαι σκληρὸς δικαστής. Διότι καὶ ἂν ἀκόμη ἤσουν ἀπηλλαγμένος ἀπὸ κάθε ἁμαρτίαν, οὔτε καὶ τότε θὰ σοῦ ἐπέτρεπεν ὁ νόμος τοῦ Θεοῦ νὰ γίνῃς ἐξεταστὴς τῶν ξένων πραγμάτων. Διότι, ἐὰν ὁ Φαρισαῖος ὡδηγήθη εἰς ἀπώλειαν ἀκριβῶς δι' αὐτὸν καὶ μόνον τὸν λόγον, ποίαν δικαιολογίαν θὰ ἔχωμεν ἡμεῖς; Ἐὰν αὐτοὺς ποὺ ἔχουν νὰ ἐπιδείξουν ἀγαθὰ ἔργα δὲν τοὺς ἐπιτρέπῃ νὰ ἐξετάζουν μὲ σκληρότητα τὰ πράγματα τῶν ἄλλων, πολὺ περισσότερον δὲν ἐπιτρέπεται αὐτὸ εἰς ἐκείνους ποὺ ἔχουν ὑποπέσει εἰς βαρύτερα καὶ περισσότερα παίσματα.

Ἂς μὴ γινώμεθα λοιπὸν σκληροί, οὔτε ἄσπλαγχνοι, οὔτε ἄστοργοι, οὔτε ἀδιάλλακτοι, οὔτε ἀγριώτεροι ἀπὸ τὰ θηρία. Διότι γνωρίζω ὅτι πολλοὶ ἔφθασαν εἰς τέτοιο σημεῖον θηριωδίας, ὥστε ν' ἀδιαφοροῦν δι' ἐκείνους ποὺ πεθαίνουν ἀπὸ τὴν πεῖναν, ἂν καὶ ἀπῃτεῖτο μικρὸς καὶ μόνον κόπος, καὶ νὰ παρουσιάζουν τὰς ἑξῆς δικαιολογίας. Ἀδὲν εἶναι ὁ

ἐμοὶ νῦν, πόρρω τῆς οἰκίας ἐσμέν, τραπεζίτης οὐδεὶς ἐστί μοι γνώριμος. Ὦ τῆς ὠμότητος! Τὸ μεῖζον ὑπέσχου, καὶ τὸ ἔλαττον οὐκ ἀνύεις; ἵνα σὺ μὴ βαδίσῃς μικρόν, ἐκεῖνος λιμῷ διαφθείρεται; Ὢς τῆς ὕβρεως· ὢ τοῦ τύφου! Εἰ γὰρ δέκα
5 *στάδια βαδίσαι ἐχρῆν, ὀκνῆσαι ἔδει; Οὐδὲ ἐννοεῖς ὅτι μείζων ὁ μισθός σοι οὕτω γίνεται; Ὅταν μὲν γὰρ δῷς, ὑπὲρ τοῦ διδομένου λαμβάνεις μισθὸν μόνον· ὅταν δὲ καὶ αὐτὸς βαδίσῃς, καὶ τούτου σοι κεῖται πάλιν ἀμοιβή. Ἐπεὶ καὶ τὸν πατριάρχην διὰ τοῦτο θαυμάζομεν, ὅτι αὐτὸς ἐπὶ τὰς βοῦς*
10 *ἔδραμε, καὶ τὸ μοσχάριον ἥρπασε, καὶ ταῦτα τριακοσίους δέκα ὀκτὼ οἰκογενεῖς ἔχων. Νῦν δὲ τοσούτου τινές εἰσι τύφου πεπληρωμένοι, ὡς διὰ παίδων ταῦτα ποιεῖν, καὶ μὴ αἰσχύνεσθαι.*

Ἀλλὰ δι' ἐμαυτοῦ ταῦτα κελεύεις ἀνύειν; φησί· καὶ
15 *πῶς οὐ δόξω κενοδοξεῖν; Καὶ μὴν καὶ νῦν δι' ἑτέραν κενοδοξίαν τοῦτο ποιεῖς, αἰσχυνόμενος ὀφθῆναι πένητι διαλεγόμενος. Ἀλλ' οὐδὲν ὑπὲρ τούτων ἀκριβολογοῦμαι· μόνον δίδου, εἴτε διὰ σαυτοῦ, εἴτε δι' ἑτέρου τοῦτο βούλει ποιεῖν· καὶ μὴ ἐγκάλει, μὴ πλῆττε, μὴ λοιδόρει. Φαρμάκων γάρ, οὐ*
20 *τραυμάτων, δεῖται ὁ προσιών· ἐλέου, οὐ ξίφους. Εἰπὲ γάρ μοι, εἴ τις λίθῳ βληθεὶς καὶ τραῦμα λαβὼν κατὰ τῆς κεφαλῆς, τοὺς ἄλλους ἅπαντας ἀφείς, προσέδραμέ σου τοῖς γόνασι καταρρεόμενος τῷ αἵματι, ἆρα ἑτέρῳ λίθῳ πατάξας προσέθηκας ἂν αὐτῷ ἕτερον τραῦμα; Οὐκ ἔγωγε οἶμαι, ἀλλὰ*
25 *καὶ αὐτὸ ἐπεχείρησας ἂν διορθῶσαι. Τί οὖν ἐπὶ τῶν πενήτων ποιεῖς τὰ ἐναντία; Οὐκ οἶδας ὅσον δύναται καὶ ἀνα-*

---

31. Πρβλ. Γεν. 18, 7.

ὑπηρέτης αὐτὴν τὴν στιγμὴν ἐδῶ εὑρισκόμεθα μακρυὰ ἀπὸ τὴν οἰκίαν, δὲν ἔχω κανένα τραπεζίτην γνωστόν'. Πόση, ἀλήθεια, σκληρότης! Ὑπεσχέθης τὸ μεγαλύτερον καὶ δὲν ἔκανες τὸ μικρότερον; Διὰ νὰ μὴ κάνῃς σὺ ἕνα βῆμα, ἀφήνεις ἐκεῖνον νὰ πεθάνῃ ἀπὸ τὴν πεῖναν; Πόση, ἀλήθεια, αὐθάδεια, πόση ὑπερηφάνεια! Διότι, καὶ ἂν ἀκόμη ἐχρειάζετο νὰ βαδίσῃς δέκα στάδια, ἔπρεπε νὰ διστάσῃς; Δὲν σκέπτεσαι ὅτι ἔτσι ὁ μισθός σου γίνεται μεγαλύτερος; Διότι ὅταν μὲν δώσῃς, λαμβάνεις μισθὸν μόνον δι' αὐτὸ ποὺ ἔδωσες, ὅταν ὅμως βαδίσῃς καὶ ὁ ἴδιος, τότε σοῦ προστίθεται καὶ ἡ ἀμοιβὴ δι' αὐτὸν τὸν κόπον. Διότι, βέβαια, καὶ τὸν πατριάρχην Ἀβραὰμ διὰ τοῦτο τὸν θαυμάζομεν, ἐπειδὴ αὐτὸς ὁ ἴδιος ἔτρεξεν εἰς τὰ βόδια του καὶ ἐπῆρε τὸν μόσχον, ἂν καὶ εἶχε τριακοσίους δέκα ὀκτὼ ὑπηρέτας[31]. Σήμερα ὅμως ὡρισμένοι ἔχουν τόσον μεγάλον ἐγωϊσμόν, ὥστε αὐτὰ νὰ τὰ κάνουν μὲ τοὺς ὑπηρέτας των, χωρὶς καμμίαν ἐντροπήν.

Ἀλλὰ θὰ εἰπῇ κάποιος· μὲ προτρέπεις νὰ τὰ κάμνω ὁ ἴδιος; Καὶ πῶς δὲν θὰ θεωρηθῶ ὅτι εἶμαι ματαιόδοξος; Καὶ ὅμως καὶ τώρα τὸ κάνεις αὐτὸ ἀπὸ ματαιοδοξίαν ἄλλου εἴδους, ἐπειδὴ ἐντρέπεσαι νὰ σὲ ἰδοῦν νὰ συζητῇς μὲ ἐπαίτην. Ἀλλὰ δὲν τὸ πολυεξετάζω αὐτὸ τὸ θέμα. Μόνον νὰ δίδῃς, εἴτε ὁ ἴδιος ἀπ' εὐθείας, εἴτε θέλεις νὰ τὸ κάνῃς μέσῳ ἄλλου. Καὶ νὰ μὴ κατηγορῇς, νὰ μὴ πληγώνῃς, νὰ μὴ λοιδορῇς. Διότι ὁ ἐπαίτης χρειάζεται φάρμακα καὶ ὄχι τραύματα, ἐλεημοσύνην καὶ ὄχι ξίφος. Διότι, εἰπέ μου, σὲ παρακαλῶ, ἐὰν κάποιος, ποὺ ἐκτυπήθη μὲ πέτραν καὶ ἐτραυματίσθη εἰς τὴν κεφαλήν του, ἀφοῦ ἄφησεν ὅλους τοὺς ἄλλους, ἔτρεξε γεμᾶτος ἀπὸ αἵματα καὶ ἔπεσεν εἰς τὰ πόδια σου, ἆρά γε θὰ ἠμποροῦσες νὰ τὸν κτυπήσῃς μὲ ἄλλην πέτραν καὶ νὰ τοῦ προσθέσῃς καὶ ἄλλο τραῦμα; Ἐγὼ τουλάχιστον δὲν τὸ πιστεύω αὐτό, ἀλλὰ νομίζω, ὅτι θὰ προσεπάθεις νὰ θεραπεύσῃς καὶ τὸ τραῦμα ποὺ ἔχει. Διατί, λοιπόν, εἰς τοὺς πτωχοὺς κάνεις τὰ ἀντίθετα; Δὲν γνωρίζεις τὴν δύναμιν ποὺ ἔχει ὁ λόγος καὶ νὰ ἀνασταίνῃ καὶ νὰ πληγώ-

στῆσαι καὶ καθελεῖν λόγος; «Κρεῖττον γάρ», φησί, «λόγος ἢ δόσις». Οὐ λογίζῃ, ὅτι κατὰ σαυτοῦ τὸ ξίφος ὠθεῖς, καὶ χαλεπώτερον τραῦμα λαμβάνεις, ὅταν λοιδορηθεὶς ἐκεῖνος ἀναχωρήσῃ σιγῇ, στένων καὶ πολλὰ δακρύων; Καὶ γὰρ παρὰ
5 *τοῦ Θεοῦ πέμπεται πρὸς σέ. Ἐννόησον οὖν, ὑβρίζων αὐτόν, ποῦ διαβιβάζεις τὴν ὕβριν, ὅταν ἐκεῖνος μὲν πρὸς σὲ πέμπῃ, καὶ σοὶ δοῦναι κελεύῃ, σὺ δὲ μὴ μόνον μὴ δῷς, ἀλλὰ καὶ ὑβρίσῃς ἐλθόντα. Εἰ δὲ ἀγνοεῖς τὴν ὑπερβολὴν τῆς ἀτοπίας, ἐπ᾿ ἀνθρώπων αὐτὸ σκόπησον, καὶ τότε εἴσῃ καλῶς τὸ μέγεθος*
10 *τῆς ἁμαρτίας. Εἰ γὰρ σὸς οἰκέτης παρὰ σοῦ κελευσθεὶς πρὸς ἕτερον ἀπελθεῖν οἰκέτην, ἀργύριον ἔχοντα σὸν λαβεῖν, οὐ μόνον κεναῖς ἐπανῆλθε χερσίν, ἀλλὰ καὶ ὑβρισθείς, τί οὐκ ἂν εἰργάσω τὸν ὑβρικότα; πόσην οὐκ ἂν δίκην ἀπήτησας, ἅτε λοιπὸν αὐτὸς ὢν ὁ ὑβρισμένος; Τοῦτο καὶ ἐπὶ τοῦ Θεοῦ*
15 *λογίζου· καὶ γὰρ αὐτὸς πέμπει πρὸς ἡμᾶς τοὺς πένητας, καὶ τὰ ἐκείνου δίδομεν, ἂν ἄρα δῶμεν. Ἂν δὲ πρὸς τῷ μὴ δοῦναι καὶ ὑβρισθέντας ἐκπέμψωμεν, ἐννόησον πόσων σκηπτῶν, πόσων κεραυνῶν ἄξιον πρᾶγμα ποιοῦμεν;*

Ταῦτ᾿ οὖν ἅπαντα λογιζόμενοι, καὶ τὴν γλῶτταν χαλι-
20 *νώσωμεν, καὶ τὴν ἀπανθρωπίαν ἐκβάλωμεν, καὶ τὴν χεῖρα πρὸς ἐλεημοσύνην ἐκτείνωμεν, καὶ μὴ χρήμασι μόνον, ἀλλὰ καὶ ῥήμασι, παραμυθώμεθα τοὺς δεομένους· ἵνα καὶ τὴν ἀπὸ τῆς λοιδορίας κόλασιν ἐκφύγωμεν, καὶ τὴν ἀπὸ τῆς εὐλογίας καὶ ἐλεημοσύνης βασιλείαν κληρονομήσωμεν, χάριτι*
25 *καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν.*

---

32. Σοφ. Σειρ. 18, 16.

νῃ; «Διότι ὁ λόγος», λέγει, «εἶναι ἀνώτερος, παρὰ αὐτὸ ποὺ δίδεις»[32]. Δὲν σκέπτεσαι ὅτι σπρώχνεις τὸ ξίφος κατὰ τοῦ ἑαυτοῦ σου καὶ πληγώνεσαι βαρύτερα ὅταν ἐκεῖνος, ὑβρισθείς, ἀναχωρήσῃ ἀπὸ σὲ σιωπηλός, στενάζων καὶ μὲ δάκρυα πολλά; Καὶ βέβαια ἀπὸ τὸν Θεὸν στέλλεται πρὸς σέ. Ἑπομένως σκέψου ποῦ διαβιβάζεις τὴν ὕβριν, ὅταν ὑβρίζῃς αὐτόν, τὸν ὁποῖον ὁ μὲν Θεὸς σοῦ τὸν στέλλει μὲ τὴν ἐντολὴν νὰ τὸν ἐλεήσῃς, ἐνῷ σὺ ὄχι μόνον δὲν τὸν ἐλεεῖς, ἀλλὰ καὶ τὸν ὑβρίζεις ὅταν ἔλθῃ. Ἐὰν δὲ δὲν γνωρίζῃς τὸ μέγεθος τῆς ἀναισχύντου πράξεώς σου, προσπάθησε νὰ τὴν ἐξετάσῃς εἰς τοὺς ἀνθρώπους, καὶ τότε θὰ γνωρίσῃς καλὰ τὸ μέγεθος τῆς ἁμαρτίας σου. Ἐπὶ παραδείγματι, ἐὰν ἕνας ὑπηρέτης σου μεταβῇ πρὸς ἄλλον ὑπηρέτην, κατόπιν ἰδικῆς σου ἐντολῆς, διὰ νὰ λάβῃ ἀπὸ αὐτὸν χρήματα ποὺ σοῦ ὀφείλει, καὶ ἐπιστρέψῃ ὄχι μόνον μὲ ἄδεια χέρια, ἀλλὰ καὶ ὑβρισμένος, τί θὰ ἔκανες εἰς αὐτὸν ποὺ ὕβρισε τὸν ὑπηρέτην σου; Ποίαν τιμωρίαν δὲν θὰ ἐζήτεις, ἐπειδὴ σὺ ὁ ἴδιος εἶσαι αὐτὸς ποὺ προσεβλήθης; Τὸ ἴδιο νὰ σκέπτεσαι καὶ διὰ τὸν Θεόν. Διότι καὶ ὁ Θεὸς στέλλει πρὸς ἡμᾶς τοὺς πτωχοὺς καί, ἐπομένως, ἂν δώσωμεν, δίδομεν ἀπὸ τὰ ἰδικά του. Ἂν ὅμως, ἐκτὸς τοῦ ὅτι δὲν τοὺς δίδομεν, τοὺς ἐκδιώξωμεν, ἀφοῦ τοὺς ὑβρίσωμεν, σκέψου πόσους κεραυνοὺς καὶ πόσην φωτιὰν ἀξίζει αὐτὸ ποὺ κάνομεν.

Ἀναλογιζόμενοι λοιπὸν ὅλα αὐτὰ καὶ τὴν γλῶσσάν μας ἂς χαλιναγωγήσωμεν καὶ τὴν ἀπανθρωπίαν μας ἂς ἐκδιώξωμεν καὶ ἂς ἁπλώσωμεν τὸ χέρι μας διὰ νὰ δώσωμεν ἐλεημοσύνην, καὶ αὐτοὺς ποὺ ἔχουν ἀνάγκην ἂς τοὺς παρηγορῶμεν ὄχι μόνον μὲ χρήματα, ἀλλὰ καὶ μὲ τοὺς λόγους μας, διὰ νὰ ἀποφύγωμεν τὴν τιμωρίαν, ποὺ προκαλεῖται ἀπὸ τὴν λοιδορίαν, καὶ νὰ κληρονομήσωμεν τὴν βασιλείαν ποὺ χαρίζουν ἡ εὐλογία καὶ ἡ ἐλεημοσύνη, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΛΣΤ΄

Ματθ. 11, 1 - 6

«Καὶ ἐγένετο ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς διατάσσων τοῖς δώδεκα μαθηταῖς, μετέβη ἐκεῖθεν τοῦ διδάσκειν καὶ κηρύσσειν
5 *ἐν ταῖς πόλεσιν αὐτῶν».*

1. Ἐπειδὴ γὰρ αὐτοὺς ἔπεμψεν, ὑπεξήγαγε λοιπὸν ἑαυτόν, διδοὺς χώραν αὐτοῖς καὶ καιρὸν ποιεῖν ἅπερ ἐπέταξεν. Οὐ γὰρ ἂν αὐτοῦ παρόντος καὶ θεραπεύοντος ἠθέλησεν ἄν τις ἐκείνοις προσελθεῖν.

10 *«Ἀκούσας δὲ Ἰωάννης ἐν τῷ δεσμωτηρίῳ τὰ ἔργα τοῦ Ἰησοῦ, πέμψας δύο τῶν μαθητῶν, ἠρώτα αὐτὸν λέγων· σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν;».*

Ὁ δὲ Λουκᾶς φησιν, ὅτι καὶ αὐτοὶ ἀπήγγειλαν τὰ σημεῖα τῷ Ἰωάννῃ, καὶ τότε ἔπεμψεν αὐτούς. Πλὴν ἀλλὰ
15 *τοῦτο μὲν ἀπορίαν οὐδεμίαν ἔχει, ἀλλὰ θεωρίαν μόνον· τὴν γὰρ ζηλοτυπίαν αὐτῶν ἐμφαίνει καὶ τοῦτο τὴν πρὸς αὐτόν· τὸ δὲ ἑξῆς σφόδρα ἐστὶ τῶν ζητουμένων. Ποῖον δὴ τοῦτο; Τὸ εἰπεῖν, «Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν;». Ὁ γὰρ πρὸ τῶν σημείων εἰδὼς αὐτόν, ὁ παρὰ τοῦ Πνεύ-*
20 *ματος μαθών, ὁ παρὰ τοῦ Πατρὸς ἀκούσας, ὁ ἐπὶ πάντων ἀνακηρύξας, νῦν πέμπει παρ᾽ αὐτοῦ μαθησόμενος εἴτε αὐτὸς εἴη, εἴτε μή; Καίτοι εἰ μὴ οἶδας ὅτι αὐτός ἐστι σαφῶς, πῶς*

---

1. Προβλ. Λουκᾶ 7, 18-19.

ΟΜΙΛΙΑ ΛΣΤ´

Ματθ. 11, 1 - 6

«Καὶ ὅταν ἐτελείωσεν ὁ Ἰησοῦς τὰς ἐντολὰς καὶ ὁδηγίας του πρὸς τοὺς δώδεκα μαθητάς του, ἀνεχώρησεν ἀπὸ ἐκεῖ διὰ νὰ συνεχίσῃ τὴν διδασκαλίαν καὶ τὸ κήρυγμά του εἰς τὰς πόλεις τῶν Ἰουδαίων».

1. Ἀφοῦ λοιπὸν ἀπέστειλε τοὺς μαθητάς του διὰ νὰ κηρύξουν τὸ εὐαγγέλιον, ὁ ἴδιος ἀπεμακρύνθη ἀπὸ τὴν περιοχὴν ἐκείνην, ὥστε νὰ δώσῃ εἰς αὐτοὺς τόπον καὶ εὐκαιρίαν νὰ πραγματοποιήσουν τὰ ὅσα τοὺς παρήγγειλε. Διότι, ἐὰν ὁ ἴδιος ἦτο παρὼν καὶ ἐθεράπευε τοὺς ἀσθενεῖς, κανεὶς δὲν θὰ προσήρχετο εἰς τοὺς μαθητάς του.

«Ὁ δὲ Ἰωάννης, εὑρισκόμενος εἰς τὴν φυλακήν, ὅταν ἤκουσε τὰ σχετικὰ μὲ τὰ θαύματα τοῦ Ἰησοῦ, ἔστειλε δύο ἀπὸ τοὺς μαθητάς του καὶ τὸν ἠρώτησε τὰ ἑξῆς· Σὺ εἶσαι ὁ Μεσσίας ποὺ ἀναμένομεν νὰ ἔλθῃ εἰς τὸν κόσμον ἢ πρέπει νὰ περιμένωμεν ἄλλον;».

Ὁ Λουκᾶς λέγει ὅτι οἱ ἴδιοι μαθηταὶ τοῦ Ἰωάννου τοῦ ἀνέφεραν τὰ θαύματα τοῦ Ἰησοῦ καὶ τότε τοὺς ἀπέστειλεν[1]. Ἀλλ' αὐτὸ δὲν ἐμβάλλει καμμίαν ἀμφιβολίαν, ἀλλ' ἁπλῶς καὶ μόνον δίδει ἀφορμὴν διὰ συζήτησιν, διότι καὶ αὐτὸ φανερώνει τὴν ζηλοτυπίαν αὐτῶν διὰ τὸν Ἰησοῦν. Ἀλλ' αὐτὸ ποὺ ἀναφέρει εἰς τὴν συνέχειαν εἶναι ἐκεῖνο ποὺ χρειάζεται πολλὴν ἔρευναν. Ποῖο λοιπὸν εἶναι αὐτό; Τὸ ὅτι εἶπε· «Σὺ εἶσαι ὁ Μεσσίας ποὺ ἀναμένομεν νὰ ἔλθῃ ἢ πρέπει νὰ περιμένωμεν ἄλλον;». Δηλαδή, ὁ Ἰωάννης ποὺ τὸν ἐγνώριζε πρὶν ἀκόμη ἀρχίσῃ νὰ θαυματουργῇ, ποὺ ἐπληροφορήθη τὴν θείαν ἰδιότητά του ἀπὸ τὸ ἅγιον Πνεῦμα, ποὺ τὸν ἤκουσεν ἀπὸ τὸν Πατέρα, ποὺ τὸν διεκήρυξεν εἰς ὅλους τοὺς ἀνθρώπους, τώρα στέλλει τοὺς μαθητάς του διὰ νὰ μάθῃ ἀπὸ αὐτόν, ἐὰν αὐτὸς εἶναι ὁ Μεσσίας ἢ ἐὰν δὲν εἶναι; Καὶ βέβαια, ἐὰν δὲν ἐγνώριζες πολὺ καλὰ σὺ ὁ ἴδιος ὅτι αὐτὸς ἦτο ὁ Μεσσίας, πῶς τότε θεωρεῖς τὸν ἑαυτόν σου

σαυτὸν ἀξιόπιστον εἶναι νομίζεις, ἀποφαινόμενος ὑπὲρ τῶν ἀγνοουμένων; Τὸν γὰρ ἑτέροις μαρτυρήσοντα πρότερον αὐτὸν ἀξιόπιστον εἶναι δεῖ. Οὐ σὺ ἔλεγες, ὅτι «οὐκ εἰμὶ ἱκανὸς λῦσαι αὐτοῦ τὸν ἱμάντα τοῦ ὑποδήματος»; Οὐ σὺ ἔλεγες,
5 *ὅτι «Οὐκ ᾔδειν αὐτόν, ἀλλ' ὁ πέμψας με βαπτίζειν ἐν ὕδατι, ἐκεῖνός μοι εἶπεν· ἐφ' ὃν ἂν ἴδῃς τὸ Πνεῦμα καταβαῖνον καὶ μένον ἐπ' αὐτόν, οὗτός ἐστιν ὁ βαπτίζων ἐν Πνεύματι ἁγίῳ»; Οὐκ εἶδες τὸ Πνεῦμα ἐν εἴδει περιστερᾶς; οὐχὶ τῆς φωνῆς ἤκουσας; Οὐχὶ διεκώλυες αὐτὸν λέγων, «Ἐγὼ χρεί-*
10 *αν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι»; Οὐχὶ καὶ τοῖς μαθηταῖς ἔλεγες, «Ἐκεῖνον δεῖ αὐξάνειν, ἐμὲ δὲ ἐλαττοῦσθαι»; Οὐχὶ τὸν δῆμον ἐδίδασκες ἅπαντα, ὅτι αὐτὸς αὐτοὺς βαπτίσει ἐν Πνεύματι ἁγίῳ καὶ πυρί; καὶ ὅτι αὐτός ἐστιν ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου; Οὐχὶ πρὸ τῶν*
15 *σημείων ταῦτα πάντα καὶ τῶν θαυμάτων ἀνεκήρυξας; Πῶς οὖν νῦν, ὅτε δῆλος πᾶσιν ἐγένετο, καὶ πανταχοῦ διῆλθεν αὐτοῦ ἡ φήμη, καὶ νεκροὶ ἠγέρθησαν, καὶ δαίμονες ἀπηλάθησαν, καὶ σημείων τοσούτων ἐπίδειξις γέγονε, τότε πέμπεις μανθάνων παρ' αὐτοῦ;*

20 *Τί δὴ γέγονεν; ἀπάτη τις ἦν πάντα ἐκεῖνα τὰ ῥήματα, σκηνὴ καὶ μῦθοι; Καὶ τίς ἂν ταῦτα νοῦν ἔχων εἴποι; Οὐ λέγω, Ἰωάννης, ὁ ἐν τῇ μήτρᾳ σκιρτήσας, ὁ πρὸ τῶν ὠδίνων αὐτὸν ἀνακηρύξας, ὁ τῆς ἐρήμου πολίτης, ὁ τὴν ἀγγελικὴν ἐπιδειξάμενος πολιτείαν· ἀλλ' εἰ καὶ τῶν πολλῶν εἷς ἦν,*
25 *καὶ τῶν σφόδρα ἀπερριμμένων, οὐκ ἂν μετὰ τοσαύτας μαρτυρίας, καὶ τὰς παρ' ἑαυτοῦ καὶ τὰς παρ' ἑτέρων, ἀμφέβαλ-*

---

2. Λουκᾶ 3, 16.
3. Ἰω. 1, 33.
4. Ματθ. 3, 16.
5. Πρβλ. Ματθ. 3, 17.
6. Ματθ. 3, 14.
7. Ἰω. 3, 30.
8. Πρβλ. Λουκᾶ 3, 16.
9. Πρβλ. Ἰω. 1, 29.
10. Πρβλ. Λουκᾶ 1, 41.

ἀξιόπιστον, ἐκφέρων γνώμην διὰ πράγματα ποὺ δὲν τὰ γνωρίζεις; Διότι ἐκεῖνος ποὺ θὰ μαρτυρήση εἰς τοὺς ἄλλους πρέπει κατ' ἀρχὴν ὁ ἴδιος νὰ εἶναι πρόσωπον ἀξιόπιστον. Δὲν ἔλεγες ὅμως σὺ ὅτι «Δὲν εἶμαι ἐγὼ ἄξιος νὰ λύσω οὔτε τὸν ἱμάντα τοῦ ὑποδήματός του»[2]; Δὲν ἔλεγες σὺ ὅτι· «Δὲν τὸν ἐγνώριζα αὐτόν, ἀλλ' ἐκεῖνος ποὺ μὲ ἔστειλε νὰ βαπτίζω μὲ τὸ ὕδωρ, ἐκεῖνος μοῦ εἶπεν· εἰς ὅποιον θὰ ἰδῇς νὰ κατεβαίνῃ τὸ ἅγιον Πνεῦμα καὶ νὰ μένῃ ἐπάνω εἰς αὐτόν, αὐτὸς θὰ εἶναι ἐκεῖνος ποὺ θὰ βαπτίζῃ μὲ ἅγιον Πνεῦμα»[3]; Δὲν εἶδες τὸ Πνεῦμα τὸ ἅγιον νὰ κατεβαίνῃ ἐπ' αὐτοῦ ἐν εἴδει περιστερᾶς[4]; Δὲν ἤκουσες τὴν φωνὴν τοῦ Πατρός[5]; Δὲν ἠμπόδιζες αὐτὸν νὰ βαπτισθῇ λέγων, «Ἐγὼ ἔχω ἀνάγκην νὰ βαπτισθῶ ἀπὸ σέ»[6]; Μήπως δὲν ἔλεγες εἰς τοὺς μαθητάς σου ὅτι, «Ἐκεῖνος πρέπει ν' αὐξάνῃ, ἐγὼ δὲ νὰ μικραίνω»[7]; Δὲν ἐδίδασκες ὅλο τὸ πλῆθος τῶν ἀνθρώπων, ὅτι αὐτὸς θὰ τοὺς βαπτίσῃ μὲ ἅγιον Πνεῦμα καὶ μὲ τὸ πῦρ τῆς θείας χάριτος[8]; καὶ ὅτι αὐτὸς εἶναι ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ ὁποῖος σηκώνει τὴν ἁμαρτίαν τοῦ κόσμου[9]; Ὅλα αὐτὰ δὲν τὰ διεκήρυξες πρὶν ἀπὸ τὰ σημεῖα καὶ τὰ θαύματά του; Πῶς λοιπὸν τώρα, καθ' ἣν στιγμὴν ἔγινε γνωστὸς εἰς ὅλους καὶ ἡ φήμη του ἔφθασε παντοῦ καὶ οἱ νεκροὶ ἀνεστήθησαν καὶ οἱ δαίμονες ἐξεδιώχθησαν καὶ τόσα σπουδαῖα θαύματα συνετελέσθησαν, ἀποστέλλεις τοὺς μαθητάς σου διὰ νὰ πληροφορηθῇς ἀπ' αὐτὸν ποῖος εἶναι;

Τί συνέβη, λοιπόν; Ὅλα ἐκεῖνα τὰ λόγια τοῦ Ἰωάννου ἦσαν ψεύτικα, γεμᾶτα ὑποκρισία καὶ μῦθοι; Καὶ ποῖος λογικὸς ἄνθρωπος θὰ ἦτο δυνατὸν νὰ εἰπῇ ὅλα αὐτά; Δὲν λέγω ὁ Ἰωάννης ποὺ ἐσκίρτησεν εἰς τὴν κοιλίαν τῆς μητρός του[10] καὶ τὸν διεκήρυξε πρὶν ἀπὸ τὴν γέννησίν του, ποὺ ἦτο πολίτης τῆς ἐρήμου, καὶ ἐδέχθη νὰ ζήσῃ τὴν ἀγγελικὴν ζωήν· ἀλλὰ καὶ ἂν ἀκόμη ἦτο ἕνας ἀπὸ τοὺς πολλοὺς ἀνθρώπους, καὶ ἀπὸ τοὺς πάρα πολὺ περιφρονημένους, δὲν θὰ ἦτο δυνατὸν νὰ εἶχεν ἀμφιβολίας ὕστερα ἀπὸ τόσας μαρτυρίας καὶ τοῦ ἰδίου τοῦ ἑαυτοῦ του καὶ τῶν ἄλλων ἐπί-

λεν. Ὅθεν δῆλον, ὅτι οὐδὲ αὐτὸς ἀμφισβητῶν ἔπεμπεν, οὐδὲ ἀγνοῶν ἠρώτα. Οὐδὲ γὰρ ἐκεῖνο ἂν ἔχοι τις εἰπεῖν, ὅτι ᾔδει μὲν σαφῶς, διὰ δὲ τὸ δεσμωτήριον δειλότερος γέγονεν· οὐδὲ γὰρ ἀπαλλαγήσεσθαι ἐντεῦθεν προσεδόκα, οὐδὲ εἰ προσε-
5 *δόκα, προὔδωκεν ἂν τὴν εὐσέβειαν ὁ πρὸς θανάτους παρατεταγμένος. Οὐδὲ γὰρ ἄν, εἰ μὴ πρὸς τοῦτο ἦν παρεσκευασμένος, πρὸς δῆμον ὁλόκληρον, αἵματα μελετήσαντα ἐκχέειν προφητικά, τοσαύτην ἂν ἐπεδείξατο τὴν ἀνδρείαν· οὐκ ἂν τὸν ὠμὸν τύραννον ἐκεῖνον μετὰ τοσαύτης ἂν ἤλεγξε τῆς*
10 *παρρησίας ἐν μέσῃ πόλει καὶ ἀγορᾷ, καθάπερ παιδίῳ μικρῷ σφόδρα ἐπιτιμῶν, ἀκουόντων ἁπάντων. Εἰ δὲ καὶ δειλότερος γέγονε, πῶς τοὺς μαθητὰς οὐκ ᾐσχύνετο τοὺς ἑαυτοῦ, ἐφ' ὧν αὐτῷ τοσαῦτα ἐμαρτύρησεν, ἀλλὰ δι' αὐτῶν ἠρώτα, ὀφείλων δι' ἑτέρων; Καίτοιγε ᾔδει σαφῶς, ὅτι καὶ ἐζηλοτύ-*
15 *πουν αὐτόν, καὶ λαβήν τινα εὑρεῖν ἐπεθύμουν. Πῶς δὲ τὸν δῆμον τὸν Ἰουδαϊκὸν οὐκ ἠρυθρίασεν, ἐφ' οὗ τοσαῦτα ἐκήρυξε; Τί δὲ αὐτῷ καὶ εἰς τὴν ἀπαλλαγὴν τῶν δεσμῶν ἐντεῦθεν πλέον ἐγίνετο; Οὐδὲ γὰρ διὰ τὸν Χριστὸν ἦν ἐμβεβλημένος, οὐδὲ διὰ τὸ ἀνακηρῦξαι αὐτοῦ τὴν δύναμιν, ἀλλὰ διὰ*
20 *τὸν ἔλεγχον τὸν ἐπὶ τῷ παρανόμῳ γάμῳ. Ποίου δὲ παιδίου ἀνοήτου, τίνος δὲ ἀνθρώπου μαινομένου οὐκ ἂν ἑαυτῷ δόξαν περιέθηκε;*

Τί οὖν ἐστι τὸ κατασκευαζόμενον; Ὅτι μὲν γὰρ οὐκ ἔστιν Ἰωάννου τὸ ἀμφισβητῆσαι ταῦτα, ἀλλ' οὐδὲ τοῦ τυχόν-
25 *τος, οὐδὲ τοῦ σφόδρα ἀνοήτου καὶ παραπαίοντος, ἐκ τῶν*

σης. Ἑπομένως εἶναι φανερὸν ὅτι δὲν ἀπέστειλε τοὺς μαθητὰς πρὸς τὸν Ἰησοῦν ἐξ αἰτίας ἀμφιβολιῶν, οὔτε τὸν ἠρώτα ἐπειδὴ δὲν ἐγνώριζεν. Οὔτε βέβαια αὐτὸ θὰ ἠμποροῦσε νὰ εἰπῇ κανείς, ὅτι ἐγνώριζε μὲν πολὺ καλὰ ποῖος ἦτο, ἀλλ' εἶχε γίνει, τώρα ποὺ εὑρίσκετο εἰς τὴν φυλακήν, περισσότερον δειλός. Διότι δὲν ἤλπιζεν ὅτι θὰ ἀπεφυλακίζετο, οὔτε ἐὰν ἤλπιζε θὰ ἐπρόδιδε ποτὲ τὴν εὐσέβειαν αὐτὸς ποὺ ἦτο πρόθυμος νὰ ὑποστῇ πολλοὺς θανάτους. Οὔτε βέβαια θὰ ἦτο δυνατὸν νὰ ἐπιδείξῃ τόσην γενναιότητα πρὸς ἕνα λαὸν ὁλόκληρον ποὺ εἶχε λάβει τὴν ἀπόφασιν νὰ φονεύῃ τοὺς προφήτας, ἐὰν δὲν ἦτο προετοιμασμένος νὰ ὑποστῇ καὶ τὸν θάνατον. Οὔτε θὰ ἦτο δυνατὸν νὰ ἐλέγχῃ μὲ τόσην μεγάλην παρρησίαν τὸν σκληρὸν ἐκεῖνον τύραννον, ἐπιτιμῶν αὐτὸν μὲ σφοδρότητα, ὡσὰν νὰ ἦτο μικρὸ παιδί, ἐν μέσῳ τῆς πόλεως καὶ τῆς ἀγορᾶς καὶ παρουσίᾳ ὅλου τοῦ πλήθους. Ἐὰν ὅμως ἔγινε πιὸ δειλός, πῶς δὲν ἐντρέπετο τοὺς μαθητάς του, πρὸς τοὺς ὁποίους εἶχε δώσει τόσας μεγάλας μαρτυρίας περὶ αὐτοῦ, ἀλλὰ τὸν ἠρώτα, μέσῳ αὐτῶν, ἐνῷ ὤφειλε νὰ χρησιμοποιήσῃ ἄλλους; Ἂν καὶ ἐγνώριζε πολὺ καλὰ ὅτι οἱ μαθηταί του ἐφθόνουν τὸν Ἰησοῦν καὶ ἐζήτουν νὰ εὕρουν κάποιαν εὐκαιρίαν διὰ νὰ ἐκδηλωθοῦν ἐναντίον του. Καὶ πῶς δὲν ἐντρέπετο διὰ τὸν Ἰουδαϊκὸν λαόν, εἰς τὸν ὁποῖον εἶχε δώσει τόσας μαρτυρίας περὶ αὐτοῦ; Εἰς τί δὲ θὰ ἐβοήθει διὰ τὴν ἀπελευθέρωσίν του μία τοιαύτη στάσις; Διότι δὲν ἦτο φυλακισμένος διὰ τὸν Χριστόν, οὔτε ἐπειδὴ εἶχε διακηρύξει τὴν δύναμιν αὐτοῦ, ἀλλὰ διὰ τὸ ὅτι ἤλεγξε τὸν Ἡρώδην διὰ τὸν παράνομον γάμον του. Ἑπομένως δὲν θὰ συνέβαινεν ὁ Ἰωάννης ν' ἀποκτήσῃ τὴν φήμην ἑνὸς ἀνοήτου παιδιοῦ καὶ ὅτι πρόκειται δι' ἕνα μαινόμενον ἄνθρωπον.

Ποία λοιπὸν ἡ σημασία αὐτῆς τῆς ἐνεργείας του; Διότι ἀπὸ τὰ ὅσα ἔχουν λεχθῆ ἔγινεν ἀντιληπτὸν ὅτι δὲν ἦτο δυνατὸν ὁ Ἰωάννης νὰ ἔχῃ παρομοίας ἀμφιβολίας, ἀλλ' οὔτε καὶ κάποιος τυχαῖος ἄνθρωπος ἢ κάποιος πάρα πολὺ ἀνό-

εἰρημένων δῆλον· δεῖ δὲ λοιπὸν τὴν λύσιν ἐπαγαγεῖν.

Τίνος οὖν ἕνεκεν ἔπεμψεν ἐρωτῶν; Ἀπεπήδων τοῦ Ἰησοῦ οἱ Ἰωάννου μαθηταί· καὶ τοῦτο παντί που δῆλόν ἐστι· καὶ ζηλοτύπως ἀεὶ πρὸς αὐτὸν εἶχον. Καὶ δῆλον ἐξ ὧν 5 *πρὸς τὸν διδάσκαλον ἔλεγον· «Ὃς γὰρ ἦν», φησί, «μετὰ σοῦ πέραν τοῦ Ἰορδάνου, ᾧ σὺ μεμαρτύρηκας, ἴδε οὗτος βαπτίζει, καὶ πάντες ἔρχονται πρὸς αὐτόν»· καὶ πάλιν· «Ζήτησις ἐγένετο τῶν μαθητῶν Ἰωάννου μετὰ Ἰουδαίων περὶ καθαρισμοῦ»· καὶ αὐτῷ πάλιν προσελθόντες ἔλεγον· «Διατί* 10 *ἡμεῖς καὶ οἱ Φαρισαῖοι νηστεύομεν πολλά, οἱ δὲ μαθηταί σου οὐ νηστεύουσιν;».*

2. Οὔπω γὰρ ᾔσαν εἰδότες, τίς ἦν ὁ Χριστός, ἀλλὰ τὸν μὲν Ἰησοῦν ἄνθρωπον ψιλὸν ὑποπτεύοντες, τὸν δὲ Ἰωάννην μείζονα ἢ κατὰ ἄνθρωπον, ἐδάκνοντο εὐδοκιμοῦντα τοῦτον 15 *ὁρῶντες, ἐκεῖνον δέ, καθὼς εἶπε, λοιπὸν λήγοντα. Καὶ τοῦτο αὐτοὺς ἐκώλυε προσελθεῖν, τῆς ζηλοτυπίας διατειχιζούσης τὴν πρόσοδον. Ἕως μὲν οὖν ἦν Ἰωάννης μετ᾽ αὐτῶν, παρεκάλει συνεχῶς καὶ ἐδίδασκε, καὶ οὐδὲ οὕτως ἔπειθεν· ἐπειδὴ δὲ λοιπὸν ἔμελλε τελευτᾶν, πλείονα ποιεῖται τὴν σπουδήν.* 20 *Καὶ γὰρ ἐδεδοίκει μὴ καταλίπῃ πονηροῦ δόγματος ὑπόθεσιν, καὶ μείνωσιν ἀπερρηγμένοι τοῦ Χριστοῦ. Αὐτὸς μὲν γὰρ ἐσπούδαζε καὶ παρὰ τὴν ἀρχὴν αὐτῷ προσαγαγεῖν ἅπαντας τοὺς αὐτοῦ· ἐπειδὴ δὲ οὐκ ἔπειθε, τελευτῶν λοιπὸν πλείονα ποιεῖται τὴν προθυμίαν. Εἰ μὲν οὖν εἶπεν, ὅτι ἀπέλθετε*

---

11. Ἰω. 3, 26.
12. Ἰω. 3, 25.
13. Ματθ. 9, 14.

ητος καὶ ἀσεβὴς ἄνθρωπος ἠμποροῦσε νὰ κάνῃ τὸ ἴδιο. Ἀνάγκη λοιπὸν εἰς τὴν συνέχειαν νὰ δώσωμεν ἐξήγησιν.

Διὰ ποῖον λοιπὸν λόγον ἔστειλε τοὺς μαθητάς του νὰ τὸν ἐρωτήσῃ, καθόσον ἀπέφευγαν οἱ μαθηταὶ τοῦ Ἰωάννου τὸν Ἰησοῦν, πρᾶγμα ποὺ βέβαια εἶναι γνωστὸν εἰς τὸν καθένα, καὶ πάντοτε ἔτρεφαν φθόνον πρὸς αὐτόν. Καὶ τοῦτο γίνεται φανερὸν ἀπὸ ὅσα ἔλεγαν εἰς τὸν διδάσκαλόν των διὰ τὸν Ἰησοῦν· «Αὐτός», λέγουν, «ποὺ ἦτο μαζί σου πέραν ἀπὸ τὸν Ἰορδάνην, διὰ τὸν ὁποῖον σὺ ἔδωσες μαρτυρίαν, κοίταξε ὅτι αὐτὸς βαπτίζει καὶ ὅλοι πηγαίνουν εἰς αὐτόν»[11]· καὶ πάλιν· «Ἐγένετο συζήτησις μεταξὺ τῶν μαθητῶν τοῦ Ἰωάννου καὶ τῶν Ἰουδαίων διὰ τὸν καθαρισμόν»[12]. Ἀλλὰ καὶ εἰς τὸν Ἰησοῦν προσῆλθαν καὶ τὸν ἠρώτησαν· «Διατί ἡμεῖς οἱ Φαρισαῖοι νηστεύομεν πολύ, ἐνῷ οἱ μαθηταί σου δὲν νηστεύουν;»[13].

2. Διότι δὲν ἐγνώριζαν ἀκόμη ποῖος ἦτο ὁ Χριστός, ἀλλὰν τὸν μὲν Ἰησοῦν τὸν ἐθεώρουν ὡσὰν ἕνα ἁπλοῦν ἄνθρωπον, ἐνῷ τὸν Ἰωάννην τὸν ἐπίστευαν ὡσὰν κάτι ἀνώτερον ἀπὸ κοινὸν ἄνθρωπον καὶ ἐστεοχωροῦντο ποὺ τὸν ἔβλεπαν νὰ κυριεύῃ τὰς καρδίας τῶν ἀκροατῶν του, τὸν δὲ Ἰωάννην, ὅπως καὶ ὁ ἴδιος εἶπε, νὰ τελειώνῃ πλέον ἡ ἀποστολή του. Καὶ αὐτὸ τοὺς ἠμπόδιζε νὰ πλησιάσουν τὸν Ἰησοῦν, ἐπειδὴ ὁ φθόνος των τοὺς ἔφρασεν, ὡσὰν μὲ τεῖχος, τὸν δρόμον ποὺ ἔφερε πρὸς αὐτόν. Καὶ ὅσον χρόνον, βέβαια, ὁ Ἰωάννης εὑρίσκετο μεταξύ των τοὺς προέτρεπε συνεχῶς καὶ τοὺς ἐδίδασκεν, ἀλλὰ καὶ πάλιν δὲν τοὺς ἔπειθε μ' αὐτό. Ἐπειδὴ ὅμως ἐπρόκειτο ν' ἀποθάνῃ, ἐπιδεικνύει μεγαλύτερον ἐνδιαφέρον. Καθόσον ἐφοβεῖτο μήπως ἀφήσῃ ὀπίσω του κάποιαν πονηρὰν ὑπόνοιαν καὶ παραμείνουν ἔτσι οἱ μαθηταί του μακρυὰ ἀπὸ τὸν Χριστόν. Ὁ ἴδιος βέβαια ἐφρόντιζεν ἀπὸ τὴν ἀρχὴν νὰ ὁδηγήσῃ ὅλους γενικῶς τοὺς ἰδικούς του πρὸς τὸν Ἰησοῦν. Ἐπειδὴ ὅμως δὲν τοὺς ἔπειθε, τώρα ποὺ ἐπρόκειτο ν' ἀποθάνῃ τὸ κάνει μὲ μεγαλυτέραν προθυμίαν. Διότι, ἐὰν μὲν ἔλεγε, πηγαίνετε πρὸς τὸν Ἰησοῦν διότι εἶ-

πρὸς αὐτόν, αὐτός μου βελτίων ἐστίν, οὐκ ἂν ἔπεισε δυσαναποσπάστως ἔχοντας· ἀλλὰ καὶ ἐνομίσθη μετριάζων ἂν ταῦτα λέγειν, καὶ μᾶλλον ἂν αὐτῷ προσηλώθησαν· εἰ δὲ ἐσίγησε, πάλιν οὐδὲν πλέον ἐγίνετο.

5 Τί οὖν ποιεῖ; Ἀναμένει παρ' αὐτῶν ἀκοῦσαι, ὅτι θαύματα ἐργάζεται· καὶ οὐδὲ οὕτως αὐτοῖς παραινεῖ, οὐδὲ πάντας πέμπει, ἀλλὰ δύο τινὰς οὓς ᾔδει ἴσως τῶν ἄλλων εὐπειθεστέρους ὄντας, ἵνα ἀνύποπτος ἡ ἐρώτησις γένηται, ἵνα παρὰ τῶν πραγμάτων μάθωσι τὸ μέσον τοῦ Ἰησοῦ κἀκείνου·
10 καί φησιν· ἀπέλθετε καὶ εἴπατε· «Σὺ εἶ ὁ ἐρχόμενος, ἢ ἕτερον προσδοκῶμεν;». Ὁ δὲ Χριστὸς τὴν γνώμην εἰδὼς τὴν Ἰωάννου, οὐκ εἶπεν, ὅτι ἐγώ εἰμι· πάλιν γὰρ προσέστη τοῦτο τοῖς ἀκούουσι, καίτοι τοῦτο ἀκόλουθον ἦν εἰπεῖν· ἀλλὰ ἀπὸ τῶν πραγμάτων αὐτοὺς ἀφίησι μανθάνειν. Λέγει
15 γάρ, ὅτι προσελθόντων αὐτῷ τούτων, τότε ἐθεράπευσε πολλούς. Καίτοι ποία ἀκολουθία ἦν, ἐρωτηθέντα, σὺ εἶ; πρὸς μὲν τοῦτο μηδὲν εἰπεῖν, θεραπεῦσαι δὲ εὐθέως τοὺς κακῶς ἔχοντας, εἰ μὴ τοῦτο ἐβούλετο κατασκευάσαι, ὅπερ εἶπον ἐγώ; Καὶ γὰρ τὴν ἀπὸ τῶν πραγμάτων μαρτυρίαν πιστο-
20 τέραν καὶ μᾶλλον ἀνύποπτον εἶναι ἐνόμιζον τῆς ἀπὸ τῶν ρημάτων.

Εἰδὼς τοίνυν, ἅτε Θεὸς ὤν, τὴν διάνοιαν μεθ' ἧς αὐτοὺς ἔπεμψεν ὁ Ἰωάννης, εὐθέως ἐθεράπευσε τυφλούς, χωλούς, καὶ ἑτέρους πολλούς, οὐκ ἐκεῖνον διδάσκων, (πῶς
25 γὰρ τὸν πεπεισμένον;) ἀλλὰ τούτους τοὺς ἀμφιβάλλοντας·

---

14. Πρβλ. Λουκᾶ 7, 21.

ναι ἀνώτερός μου, δὲν θὰ τοὺς ἔπειθε νὰ τὸ κάνουν αὐτό, ἐπειδὴ ἦσαν πάρα πολὺ προσκολλημένοι εἰς αὐτόν, ἀλλὰ καὶ θὰ ἐσχημάτιζαν τὴν γνώμην ὅτι τὸ λέγει αὐτὸ ἀπὸ μετριοφροσύνην, καὶ θὰ παρέμειναν περισσότερον προσκολλημένοι εἰς αὐτόν. Ἐὰν ὅμως ἐσιώπει, τίποτε πάλιν ἐπὶ πλέον δὲν θὰ συνέβαινε.

Τί κάνει λοιπόν; Περιμένει ν' ἀκούσῃ ἀπὸ τοὺς ἰδίους ὅτι ὁ Ἰησοῦς ἐπιτελεῖ θαύματα. Καὶ πάλιν βέβαια δὲν τοὺς προτρέπει πρὸς τὸν Κύριον, οὔτε τοὺς ἀποστέλλει ὅλους, ἀλλὰ μόνον δύο, οἱ ὁποῖοι ἐγνώριζεν ὅτι τοῦ ἦσαν οἱ πιὸ ἀφωσιωμένοι, ὥστε ἡ ἐρώτησις νὰ μὴ δημιουργήσῃ ὑποψίας καὶ ἔτσι νὰ πληροφορηθοῦν ἀπὸ τὰ ἴδια τὰ γεγονότα τὴν ἀπόστασιν ποὺ ὑπῆρχε μεταξὺ τοῦ Ἰησοῦ καὶ τοῦ ἰδίου. Καὶ τοὺς λέγει· Πηγαίνετε καὶ ἐρωτήσατέ τον· «Σὺ εἶσαι ὁ Μεσσίας ποὺ ἀναμένομεν νὰ ἔλθῃ ἢ πρέπει νὰ περιμένωμεν ἄλλον;». Ὁ δὲ Χριστός, ἐπειδὴ ἐγνώριζε τὴν σκέψιν τοῦ Ἰωάννου, δὲν τοὺς ἀπήντησεν, ὅτι ἐγὼ εἶμαι· καθόσον βέβαια θὰ ἠμποροῦσε νὰ σκανδαλίσῃ αὐτὸ τοὺς ἀκροατάς του, παρὰ τὸ γεγονὸς ὅτι ἦτο πολὺ φυσικὸν νὰ τοὺς δώσῃ αὐτὴν τὴν ἀπάντησιν, ἀλλὰ τοὺς ἀφήνει νὰ διδαχθοῦν αὐτὸ ἀπὸ τὰ ἴδια τὰ γεγονότα. Διότι λέγει ὁ εὐαγγελιστής, ὅτι ὅταν οἱ μαθηταὶ τοῦ Ἰωάννου ἐπισκέφθησαν τὸν Ἰησοῦν, τότε αὐτὸς ἐθεράπευσε πολλούς[14]. Καὶ ποίαν βέβαια ἀπάντησιν ἔπρεπε νὰ δώσῃ ὅταν τὸν ἠρώτησαν, σὺ εἶσαι ὁ Μεσσίας; Νὰ μὴ εἰπῇ μὲν τίποτε δι' αὐτό, ἀλλ' ἀμέσως νὰ θεραπεύσῃ τοὺς ἀσθενεῖς, ἐὰν δὲν ἤθελε νὰ ἐπιτύχῃ αὐτὸ ποὺ εἶπα ἐγώ; Διότι τὴν ἐπιβεβαίωσιν ποὺ προέρχεται ἀπὸ τὰ πράγματα τὴν ἐθεώρουν πιὸ πειστικὴν ἀπὸ τὴν μαρτυρίαν τῶν λόγων καὶ ὡς μὴ δημιουργοῦσαν καμμίαν ὑποψίαν.

Ἐπειδὴ λοιπόν, ὡσὰν Θεὸς ποὺ ἦτο, ἐγνώριζε τὴν σκέψιν μὲ τὴν ὁποίαν τοὺς ἔστειλεν ὁ Ἰωάννης, ἀμέσως ἐθεράπευσε τυφλούς, χωλοὺς καὶ πολλοὺς ἄλλους, ὄχι διὰ νὰ διδάξῃ τὸν Ἰωάννην (διότι πῶς νὰ διδάξῃ τὸν ἀπόλυτα πιστόν;), ἀλλὰ αὐτοὺς ποὺ εἶχαν ἀμφιβολίας. Ἀφοῦ ἐθερά-

καὶ θεραπεύσας φησί· «Πορευθέντες ἀπαγγείλατε Ἰωάννῃ ἃ ἀκούετε καὶ βλέπετε· τυφλοὶ ἀναβλέπουσι, καὶ χωλοὶ περιπατοῦσι, καὶ λεπροὶ καθαρίζονται, καὶ κωφοὶ ἀκούουσι, καὶ νεκροὶ ἐγείρονται, καὶ πτωχοὶ εὐαγγελίζονται»· καὶ προσέ-
5 *θηκε· «Καὶ μακάριος ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί»· δεικνὺς ὅτι καὶ τὰ ἀπόρρητα αὐτῶν οἶδεν. Εἰ μὲν γὰρ εἶπεν, ὅτι ἐγώ εἰμι, καὶ προσέστη ἄν, ὅπερ ἔφθην εἰπών, τοῦτο αὐτοῖς, καὶ ἐνενόησαν ἄν, εἰ καὶ μὴ εἶπον, ὅπερ Ἰουδαῖοι πρὸς αὐτὸν ἔλεγον· «Σὺ περὶ σεαυτοῦ μαρτυρεῖς». Διὰ*
10 *τοῦτο αὐτὸς μὲν οὐ λέγει τοῦτο, ἀπὸ δὲ τῶν θαυμάτων ἀφίησιν αὐτοὺς πάντα μαθεῖν, ἀνύποπτον τὴν διδασκαλίαν ποιούμενος καὶ σαφεστέραν. Διὰ τοῦτο καὶ τὸν ἔλεγχον αὐτῶν λανθανόντως ἐπήγαγεν. Ἐπειδὴ γὰρ ἐσκανδαλίζοντο ἐν αὐτῷ, τὸ πάθος αὐτῶν ἀνακηρύξας καὶ τῷ συνειδότι αὐτῶν*
15 *μόνῳ τοῦτο καταλιπών, καὶ οὐδένα μάρτυρα τῆς κακηγορίας ταύτης ποιησάμενος, ἀλλ' ἢ μόνους ἐκείνους τοὺς ταῦτα ἐπισταμένους, μειζόνως αὐτοὺς καὶ ταύτῃ ἐπεσπάσατο, εἰπών· «Μακάριος ὃς ἐὰν μὴ σκανδαλισθῇ ἐν ἐμοί». Καὶ γὰρ αὐτοὺς αἰνιττόμενος ταῦτα ἔλεγεν.*

20 *Ἵνα δὲ μὴ τὰ παρ' ἡμῶν εἰρημένα μόνον, ἀλλὰ καὶ τὰ παρ' ἑτέρων λεγόμενα θέντες εἰς μέσον, σαφεστέραν ὑμῖν ἐκ τῆς παραθέσεως τῶν λεγομένων ποιήσωμεν τὴν ἀλήθειαν, ἀναγκαῖον κἀκεῖνα εἰπεῖν. Τί οὖν φασί τινες; Ὅτι οὐχ αὕτη ἐστὶν ἡ αἰτία ἡ παρ' ἡμῶν εἰρημένη, ἀλλ' ἠγνόει ὁ*
25 *Ἰωάννης, ἠγνόει δὲ οὐ τὸ πᾶν· ἀλλ' ὅτι μὲν αὐτὸς ἦν ὁ Χριστός, ᾔδει, εἰ δὲ καὶ ὑπὲρ ἀνθρώπων ἔμελλε τελευτᾶν, οὐκ ᾔδει· διὰ τοῦτο εἶπε, «Σὺ εἶ ὁ ἐρχόμενος;», τουτέστιν*

---

15. Ἰω. 8, 13.

πευσε τοὺς ἀσθενεῖς τοὺς λέγει· «Πηγαίνετε καὶ ἀναγγείλατε εἰς τὸν Ἰωάννην αὐτὰ ποὺ ἀκούετε καὶ βλέπετε. Τυφλοὶ ἀποκτοῦν τὸ φῶς των καὶ χωλοὶ περιπατοῦν καὶ λεπροὶ καθαρίζονται καὶ κωφοὶ ἀκούουν καὶ νεκροὶ ἀνασταίνονται καὶ πτωχοὶ ἀκούουν τὸ εὐαγγέλιον διὰ τὴν βασιλείαν τῶν οὐρανῶν». Καὶ προσέθεσε· «Καὶ μακάριος εἶναι αὐτὸς ποὺ δὲν θὰ σκανδαλισθῇ μὲ ἐμέ», ἀποδεικνύων ἔτσι ὅτι ἐγνώριζε καλὰ τὰς ἀποκρύφους σκέψεις των. Ἐὰν ὅμως τοὺς ἔλεγεν, ἐγὼ εἶμαι ὁ Μεσσίας, αὐτὴ ἡ ἀπάντησις καὶ θὰ τοὺς ἐσκανδάλιζεν, ὅπως προανέφερα, καὶ θὰ ἐσκέπτοντο, ἔστω καὶ ἂν δὲν θὰ τὸ ἔλεγαν, ἐκεῖνο ποὺ καὶ οἱ Ἰουδαῖοι ἔλεγαν πρὸς αὐτόν· «Σὺ δίδεις μαρτυρίαν διὰ τὸν ἑαυτόν σου»[15]. Διὰ τοῦτο ὁ ἴδιος δὲν τοὺς λέγει αὐτό, ἀλλὰ τοὺς ἀφήνει νὰ πληροφορηθοῦν τὰ πάντα ἀπὸ τὰ θαύματα, καθιστῶν ἔτσι ἀνύποπτον τὴν διδασκαλίαν του καὶ περισσότερον σαφῆ. Καὶ ἀκριβῶς δι' αὐτὸ καὶ τοὺς ἤλεγξε κρυφά. Ἐπειδὴ δηλαδὴ ἐσκανδαλίζοντο ἀπὸ ὅλας τὰς ἐνεργείας τοῦ Ἰησοῦ τοὺς ἀποκαλύπτει τὸ πάθος των αὐτὸ καὶ τοὺς ἀφήνει αὐτὴν τὴν ἀποκάλυψιν μόνον εἰς τὴν συνείδησίν των, χωρὶς νὰ ὑπάρχῃ κανεὶς ἄλλος μάρτυς τοῦ ἐλέγχου αὐτοῦ, παρὰ μόνον ἐκεῖνοι ποὺ ἐγνώριζαν αὐτά, καὶ ἔτσι τοὺς προσείλκυσε περισσότερον κοντά του ὅταν εἶπε· «Καὶ μακάριος εἶναι ἐκεῖνος ποὺ δὲν θὰ σκανδαλισθῇ δι' ἐμέ». Διότι αὐτὰ τὰ ἔλεγεν ὑπονοῶν αὐτούς.

Ὅμως ἂς μὴ ἀναφέρω μόνον τὰς ἰδικάς μου ἀπόψεις, ἀλλ' ἂς ἀναφέρω καὶ τὰς γνώμας τῶν ἄλλων, ὥστε μὲ τὴν παράθεσιν ὅλων τῶν ἀπόψεων νὰ κάνωμεν περισσότερον σαφῆ τὴν ἀλήθειαν. Ἀνάγκη λοιπὸν ν' ἀναφέρω καὶ αὐτά. Τί λέγουν λοιπὸν ὡρισμένοι; Ὅτι ὁ Ἰωάννης δὲν ἀπέστειλε τοὺς μαθητάς του διὰ τὸν λόγον ποὺ σᾶς ἀνέφερα ἐγώ, ἀλλὰ ἐπειδὴ δὲν ἐγνώριζε τὸν Ἰησοῦν, ἡ δὲ ἄγνοιά του δὲν ἦτο καθολική. Τὸ ὅτι βέβαια αὐτὸς ἦτο ὁ Χριστὸς τὸ ἐγνώριζε, δὲν ἐγνώνιζεν ὅμως ὅτι ἐπρόκειτο νὰ θανατωθῇ διὰ τὴν σωτηρίαν τῶν ἀνθρώπων. Διὰ τοῦτο καὶ ἠρώτησε· «Σὺ

ὁ εἰς τὸν ᾅδην μέλλων καταβαίνειν. Ἀλλ' οὐκ ἂν ἔχοι τοῦτο λόγον· ὁ γὰρ Ἰωάννης οὐδὲ τοῦτο ἠγνόει. Τοῦτο γοῦν καὶ πρὸ τῶν ἄλλων ἐκήρυσσε, καὶ πρῶτον τοῦτο ἐμαρτύρησεν. «Ἴδε», γάρ, φησίν, «ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτί-
5 *αν τοῦ κόσμου». Ἀμνὸν δὲ ἐκάλεσε, τὸν σταυρὸν ἀνακηρύττων· καὶ τῷ εἰπεῖν δέ, «Ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου», τὸ αὐτὸ τοῦτο ἐδήλωσεν. Οὐ γὰρ ἑτέρως, ἀλλ' ἢ διὰ τοῦ σταυροῦ τοῦτο εἰργάσατο· ὃ καὶ Παῦλος ἔλεγε· «Καὶ τὸ χειρόγραφον, ὃ ἦν ὑπεναντίον ἡμῖν, καὶ αὐτὸ ἦρκεν ἐκ μέ-*
10 *σου, προσηλώσας αὐτὸ τῷ σταυρῷ». Καὶ τὸ λέγειν δέ, ὅτι «Ἐν Πνεύματι βαπτίσει ὑμᾶς», τὰ μετὰ τὴν ἀνάστασιν προφητεύσαντος ἦν. Ἀλλ' ὅτι μὲν ἀναστήσεται, φησίν, ᾔδει, καὶ δώσει Πνεῦμα ἅγιον· ὅτι δὲ καὶ σταυρωθήσεται, οὐκ ᾔδει. Πῶς οὖν ἔμελλεν ἀνίστασθαι ὁ μὴ παθών, μηδὲ σταυ-*
15 *ρωθείς; πῶς δὲ μείζων προφήτου οὗτος, ὁ μηδὲ τὰ τῶν προφητῶν ἐπιστάμενος;*

3. Ὅτι γὰρ μείζων προφήτου ἦν, καὶ αὐτὸς ὁ Χριστὸς ἐμαρτύρησεν· ὅτι δὲ οἱ προφῆται τὸ πάθος ᾔδεσαν, παντί που δῆλόν ἐστι. Καὶ γὰρ Ἠσαΐας φησίν· «Ὡς πρόβατον
20 *ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος αὐτὸν ἄφωνος». Καὶ πρὸ τῆς μαρτυρίας δὲ ταύτης φησίν· «Ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαί, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν». Εἶτα τὸ πάθος λέγων καὶ τὴν ἀπ' αὐτοῦ δόξαν, ἐπήγαγε· «Καὶ ἔσται ἡ ἀνάπαυσις αὐτοῦ*

---

16. Ἰω. 1, 29.
17. Κολ. 2, 14.
18. Ματθ. 3, 11.
19. Πρβλ. Λουκᾶ 7, 28.
20. Ἠσ. 53, 7.
21. Ἠσ. 11,10.
22. Ἠσ. 11,10.

εἶσαι ὁ Μεσσίας ποὺ ἀναμένομεν νὰ ἔλθῃ;», δηλαδὴ αὐτὸς ποὺ πρόκειται νὰ κατεβῇ εἰς τὸν Ἅδην. Αὐτὴ ἡ ἄποψις ὅμως δὲν ἠμπορεῖ νὰ στηριχθῇ λογικῶς, καθόσον ὁ Ἰωάννης καὶ αὐτὸ τὸ ἐγνώριζε. Διότι αὐτὸ καὶ τὸ ἐκήρυττε πρὶν ἀπὸ τὰ ἄλλα καὶ αὐτὴν τὴν μαρτυρίαν τὴν ἔδωσε πρώτην. Διότι λέγει· «Νὰ ὁ ἀμνὸς τοῦ Θεοῦ ποὺ σηκώνει τὴν ἁμαρτίαν τοῦ κόσμου»[16]. Τὸν ὠνόμασε δὲ ἀμνὸν διὰ νὰ ἀνακηρύξῃ μὲ αὐτὸ τὸν σταυρικὸν θάνατόν του· καὶ μὲ τοὺς λόγους του «ποὺ σηκώνει τὴν ἁμαρτίαν τοῦ κόσμου», τὸ ἴδιο ἀκριβῶς ἐδήλωσε. Διότι αὐτὸ δὲν τὸ ἐπέτυχε μὲ ἄλλον τρόπον, παρὰ διὰ τοῦ σταυροῦ, πρᾶγμα διὰ τὸ ὁποῖο καὶ ὁ Παῦλος ἔλεγε· «Καὶ τὸ εἰς βάρος μας χειρόγραφον καὶ αὐτὸ τὸ ἐσήκωσεν ἀπὸ τὸ μέσον καὶ τὸ ἐκάρφωσεν εἰς τὸν σταυρόν»[17]. Ἀλλὰ καὶ οἱ λόγοι του ὅτι, «θὰ σᾶς βαπτίσῃ μὲ ἅγιον Πνεῦμα»[18], εἶναι λόγοι μὲ τοὺς ὁποίους ἐπροφήτευε τὰ ὅσα θὰ συνέβαιναν μετὰ τὴν ἀνάστασίν του. Τὸ ὅτι βέβαια, ἰσχυρίζονται ὡρισμένοι, θὰ ἀναστηθῇ καὶ ὅτι θὰ χορηγήσῃ τὸ ἅγιον Πνεῦμα ὁ Ἰησοῦς, τὸ ἐγνώριζεν ὁ Ἰωάννης, δὲν ἐγνώριζεν ὅμως διὰ τὴν σταύρωσίν του. Πῶς ὅμως εἶναι δυνατὸν ν' ἀναστηθῇ ἐκεῖνος ποὺ δὲν θὰ ὑφίστατο τὸ πάθος, ποὺ δὲν θὰ ἐσταυροῦτο; καὶ πῶς αὐτὸς ἦτο ἀνώτερος ἀπὸ προφήτην, καθ' ἣν στιγμὴν δὲν ἐγνώριζεν οὔτε ἐκεῖνα ποὺ ἐγνώριζαν οἱ προφῆται;

3. Διότι τὸ ὅτι ὁ Ἰωάννης ἦτο ἀνώτερος ἀπὸ προφήτην τὸ ἐβεβαίωσεν ὁ ἴδιος ὁ Χριστός[19], τὸ ὅτι δὲ οἱ προφῆται ἐγνώριζαν τὸ πάθος, εἶναι νομίζω, σχεδὸν πασίγνωστον. Διότι πράγματι ὁ Ἠσαΐας λέγει· «Ὡσὰν πρόβατον ὡδηγήθη εἰς τὴν σφαγὴν καὶ ὡσὰν ἀμνὸς δὲν ἀνοίγει τὸ στόμα του εἰς ἐκεῖνον ἀπὸ τὸν ὁποῖον κουρεύεται»[20]. Καὶ πρὶν ἀπὸ αὐτὴν τὴν μαρτυρίαν λέγει· «Θὰ εἶναι ἡ ρίζα τοῦ Ἰεσσαὶ καὶ ἐκεῖνος ποὺ θὰ ἀναστηθῇ διὰ νὰ κυβερνᾷ τὰ ἔθνη. Εἰς αὐτὸν θὰ στηρίξουν τὴν ἐλπίδα των ὅλα τὰ ἔθνη»[21]. Ἐν συνεχείᾳ ὁμιλῶν διὰ τὸ πάθος καὶ τὴν δόξαν ποὺ θὰ ἐλάμβανεν ἀπὸ αὐτὸν λέγει· «Καὶ ὁ θάνατός του θὰ τοῦ δώσῃ τιμήν»[22].

τιμή». Οὐ μόνον δὲ ὅτι σταυρωθήσεται προὔλεγεν οὗτος, ἀλλὰ καὶ μετὰ τίνων· «Καὶ γὰρ ἐν τοῖς ἀνόμοις ἐλογίσθη», φησί. Καὶ οὐδὲ τοῦτο μόνον, ἀλλ' ὅτι οὐδὲ ἀπολογήσεται· «Οὗτος», γάρ, φησίν, «οὐκ ἀνοίγει τὸ στόμα αὐτοῦ»· καὶ ὅτι 5 *ἀδίκως κατακριθήσεται· «Ἐν τῇ ταπεινώσει γὰρ αὐτοῦ», φησίν, «ἡ κρίσις αὐτοῦ ἤρθη». Καὶ πρὸ τούτου δὲ ὁ Δαυῒδ καὶ τοῦτο λέγει, καὶ τὸ δικαστήριον ὑπογράφει. «Ἵνα τί γάρ», φησίν, «ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά; Παρέστησαν οἱ βασιλεῖς τῆς γῆς, καὶ οἱ ἄρχοντες συνήχθη-* 10 *σαν ἐπὶ τὸ αὐτό, κατὰ τοῦ Κυρίου καὶ κατὰ τοῦ Χριστοῦ αὐτοῦ». Ἀλλαχοῦ δὲ καὶ τὸν τύπον λέγει τοῦ σταυροῦ, οὕτω λέγων· «Ὤρυξαν χεῖράς μου καὶ πόδας μου»· καὶ τὰ παρὰ τῶν στρατιωτῶν τολμηθέντα προστίθησι μετὰ πάσης ἀκριβείας· «Διεμερίσαντο γάρ», φησί, «τὰ ἱμάτιά μου ἑαυτοῖς,* 15 *καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον». Καὶ ἀλλαχοῦ δὲ ὅτι καὶ ὄξος προσήνεγκαν αὐτῷ λέγει· «Ἔδωκαν γάρ», φησίν, «εἰς τὸ βρῶμά μου χολήν, καὶ εἰς τὴν δίψαν μου ἐπότισάν με ὄξος».*

Εἶτα οἱ μὲν προφῆται πρὸ τοσούτων ἐτῶν καὶ τὸ δικα- 20 *στήριον, καὶ τὴν καταδίκην, καὶ τοὺς συσταυρωθέντας μετ' αὐτοῦ λέγουσι, καὶ τῶν ἱματίων τὴν διανομήν, καὶ τὸν ἐπ' αὐτῶν κλῆρον, καὶ πολλῷ πλείονα ἕτερα· οὐδὲ γὰρ πάντα ἀναγκαῖον παρατιθέναι νῦν, ὥστε μὴ μακρὸν ποιῆσαι τὸν λόγον· οὗτος δὲ ὁ μείζων ἐκείνων ἁπάντων, ἅπαντα ταῦτα* 25 *ἠγνόει; Καὶ πῶς ἂν ἔχοι λόγον; Τίνος δὲ ἕνεκεν οὐκ ἔλεγε, σὺ εἶ ὁ ἐρχόμενος εἰς τὸν ᾅδην; ἀλλ' ἁπλῶς, «Ὁ ἐρχόμενος»; Καίτοι πολλῷ καταγελαστότερον τούτου ἐκεῖνο ἂν εἴη· φασὶ γάρ, διὰ τοῦτο ταῦτα ἔλεγεν, ἵνα κἀκεῖ ἀπελθὼν*

---

23. Ἠσ. 53, 12.
24. Ἠσ. 53, 7.
25. Ἠσ. 53, 8.
26. Ψαλμ. 2, 1-2.
27. Ψαλμ. 21, 17.
28. Ψαλμ. 21, 19.
29. Ψαλμ. 68, 22.

Ἀλλ' ὁ Ἠσαΐας δὲν προεῖπε μόνον τὴν σταύρωσιν τοῦ Ἰησοῦ, ἀλλὰ καὶ μὲ ποίους μαζὶ θὰ ἐσταυροῦτο. Διότι λέγει· «Καὶ συνηριθμήθη μεταξὺ τῶν ἀνόμων»[23]. Καὶ ὄχι μόνον αὐτό, ἀλλὰ καὶ τὸ ὅτι δὲν θὰ ἀπολογηθῇ. Διότι λέγει «Αὐτὸς δὲν ἀνοίγει τὸ στόμα του»[24], καὶ ὅτι θὰ καταδικασθῇ ἀδίκως. Διότι λέγει· «Κατὰ τὴν ταπείνωσιν αὐτοῦ παρεγνωρίσθη τὸ δίκαιόν του καὶ τοῦ ἠρνήθησαν δικαίαν κρίσιν»[25]. Ἀλλὰ καὶ πρὶν ἀπὸ τὸν Ἠσαΐαν ὁ Δαυῒδ καὶ αὐτὸ ἀναφέρει καὶ περιγράφει καὶ τὸ δικαστήριον ποὺ θὰ τὸν ἐδίκαζε. «Διατί», λέγει, «ἐκυριεύθησαν τὰ ἔθνη ἀπὸ μανίαν καὶ οἱ λαοὶ ἐμελέτησαν μάταια καὶ ἀνόητα σχέδια; Ἔλαβαν στάσιν ἀπειλητικὴν ὅλοι μαζὶ οἱ βασιλεῖς τῆς γῆς καὶ οἱ ἄρχοντες συνεκεντρώθησαν εἰς τὸ ἴδιον μέρος μὲ ἐχθρικὰς διαθέσεις ἐναντίον τοῦ Κυρίου καὶ ἐναντίον τοῦ Χριστοῦ αὐτοῦ»[26]. Εἰς ἄλλο δὲ σημεῖον ἀναφέρει καὶ τὸν σταυρικὸν θάνατον, λέγων τὰ ἑξῆς· «Ἐτρύπησαν τὰς χεῖρας καὶ τοὺς πόδας μου»[27], προσθέτων μὲ κάθε λεπτομέρειαν καὶ ἐκεῖνα ποὺ ἔπραξαν οἱ στρατιῶται εἰς βάρος του. Διότι λέγει· «Διεμοίρασαν τὰ ἐνδύματά μου μεταξύ των καὶ διὰ τὰ ἐνδύματά μου ἔρριψαν κλῆρον»[28]. Εἰς ἄλλο πάλιν σημεῖον λέγει ὅτι τοῦ ἔδωσαν νὰ πιῇ καὶ ὄξος, διότι λέγει «Μοῦ ἔδωσαν χολὴν διὰ φαγητὸν καὶ εἰς τὴν δίψαν μου μὲ ἐπότισαν ὄξος»[29].

Ἔπειτα ἀφοῦ οἱ προφῆται ὁμιλοῦν πρὶν ἀπὸ τόσα ἔτη καὶ διὰ τὸ δικαστήριον καὶ διὰ τὴν καταδίκην καὶ διὰ τοὺς λῃστὰς ποὺ ἐσταυρώθησαν μαζί του καὶ διὰ τὴν διανομὴν τῶν ἐνδυμάτων καὶ διὰ τὸν κλῆρον ποὺ ἔρριψαν δι' αὐτὰ καὶ διὰ πολλὰ ἄλλα ἀκόμη, τὰ ὁποῖα δὲν εἶναι ἀπαραίτητον νὰ τὰ ἀναφέρω ὅλα τώρα διὰ νὰ μὴ γίνῃ μακρὺς ὁ λόγος, ὁ Ἰωάννης, ποὺ ἦτο ἀνώτερος ὅλων αὐτῶν, δὲν τὰ ἐγνώριζεν ὅλα αὐτά; Καὶ πῶς θὰ ἦτο δυνατὸν νὰ δικαιολογηθῇ αὐτό; Καὶ διατί δὲν εἶπε· Σὺ εἶσαι ποὺ ἔρχεσαι εἰς τὸν Ἅδην; ἀλλ' ἁπλῶς εἶπεν «ὁ ἐρχόμενος»; Βεβαίως αὐτὸ θὰ ἠμποροῦσε νὰ εἶναι περισσότερον γελοῖον ἀπὸ τὸ προηγούμενον. Διότι λέγουν, ὅτι δι' αὐτὸ τὰ ἔλεγεν ὁ Ἰωάννης αὐτά, διὰ

*κηρύξῃ. Πρὸς οὓς εὔκαιρον εἰπεῖν· «Ἀδελφοί, μὴ παιδία γίνεσθε ταῖς φρεσίν, ἀλλὰ τῇ κακίᾳ νηπιάζετε». Ὁ μὲν γὰρ παρὼν βίος πολιτείας ἐστὶ καιρός· μετὰ δὲ τελευτὴν κρίσις καὶ κόλασις. «Ἐν γὰρ τῷ ᾅδῃ», φησί, «τίς ἐξομολογήσεταί
5 σοι;». Πῶς οὖν συνετρίβησαν πύλαι χαλκαῖ, καὶ μοχλοὶ σιδηροῖ συνεθλάσθησαν; Διὰ τοῦ σώματος τοῦ αὐτοῦ. Τότε γὰρ πρῶτον ἐδείχθη σῶμα ἀθάνατον, καὶ διαλῦον τοῦ θανάτου τὴν τυραννίδα. Ἄλλως δὲ τοῦτο τοῦ θανάτου δείκνυσι τὴν ἰσχὺν ἀνῃρημένην, οὐ τῶν πρὸ τῆς παρουσίας
10 αὐτοῦ τετελευτηκότων τὰ ἁμαρτήματα λελυμένα. Εἰ δὲ μὴ τοῦτο, ἀλλὰ καὶ τοὺς ἔμπροσθεν ἅπαντας ἀπήλλαξε γεέννης, πῶς φησιν, «Ἀνεκτότερον ἔσται γῇ Σοδόμων καὶ Γομόρρων»; Τοῦτο γὰρ ὡς καὶ ἐκείνων κολασθησομένων εἴρηται, ἡμερώτερον μέν, κολασθησομένων δ' οὖν ὅμως. Καίτοιγε
15 καὶ δίκην ἐνταῦθα ἔδοσαν τὴν ἐσχάτην· ἀλλ' ὅμως οὐδὲ τοῦτο αὐτοὺς ἐξαιρήσεται. Εἰ δὲ τούτους, πολλῷ μᾶλλον τοὺς μηδὲν πεπονθότας.*

*Τί οὖν; ἠδικήθησαν, φησίν, οἱ πρὸ τῆς παρουσίας αὐτοῦ; Οὐδαμῶς· ἐνῆν γὰρ καὶ μὴ ὁμολογήσαντας τὸν Χρι-
20 στὸν τότε σωθῆναι. Οὐ γὰρ τοῦτο ἀπῃτεῖτο παρ' αὐτῶν, ἀλλὰ τὸ μὴ εἰδωλολατρεῖν, καὶ τὸ τὸν ἀληθινὸν Θεὸν εἰδέναι. «Κύριος», γὰρ φησίν, «ὁ Θεός σου, Κύριος εἷς ἐστι». Διὰ τοῦτο καὶ οἱ Μακκαβαῖοι ἐθαυμάζοντο, ὅτι ὑπὲρ τῆς τοῦ νόμου φυλακῆς ἔπαθον ἅπερ ἔπαθον, καὶ οἱ παῖδες οἱ τρεῖς,*

---

30. Α΄ Κορ. 14, 20.
31. Ψαλμ. 6, 6.
32. Πρβλ. Ψαλμ. 106, 16.
33. Δευτ. 6, 4.
34. Μακκαβαῖοι· Ἀπόγονοι τοῦ Ἰούδα, ἠγωνίσθησαν μὲ φανατισμὸν διὰ νὰ ἐλευθερώσουν τὴν Παλαιστίνην ἀπὸ τοὺς Ἕλληνας. Βλ. Α΄ καὶ Β΄ Μακκαβαίων, καὶ εἰδικώτερον Δ΄ Μακκαβαίων ποὺ δὲν εἶναι κανονικὸν βιβλίον τῆς Π. Διαθήκης.

νὰ κηρύξῃ δηλαδὴ καὶ εἰς τοὺς νεκροὺς ὅταν θὰ ἐπήγαινε καὶ ἐκεῖ. Πρὸς αὐτοὺς ποὺ λέγουν αὐτὰ εἶναι εὐκαιρία νὰ εἴπωμεν τὰ ἑξῆς· «Ἀδελφοί, μὴ συμπεριφέρεσθε ὡσὰν νὰ εἶσθε παιδιὰ εἰς τὴν σκέψιν, ἀλλὰ νὰ ὁμοιάζετε τὰ νήπια μόνον ὡς πρὸς τὴν κακίαν»[30]. Διότι ἡ παροῦσα ζωὴ εἶναι περίοδος ἐναρέτου βίου καὶ περισκέψεως, ἐνῷ μετὰ τὸν θάνατον ἀκολουθεῖ ἡ κρίσις καὶ ἡ κόλασις. Διότι λέγει· «Ποῖος θὰ μετανοήσῃ εἰς τὸν Ἅδην;»[31]. Μὰ πῶς τότε συνετρίβησαν οἱ χάλκιναι πύλαι καὶ ἔσπασαν οἱ σιδερένιοι μοχλοί[32]; Ἀσφαλῶς μὲ τὸ σῶμα τοῦ Κυρίου. Διότι τότε διὰ πρώτην φορὰν ἐπαρουσιάσθη σῶμα ἀθάνατον τὸ ὁποῖον διέλυσε τὴν κυριαρχίαν τοῦ θανάτου. Ἄλλωστε αὐτὸ ἀποδεικνύει ὅτι ἡ δύναμις τοῦ θανάτου ἔχασε τὴν ἰσχύν της, ὅτι δηλαδὴ δὲν εἶχαν συγχωρηθῆ τὰ ἁμαρτήματα ἐκείνων ποὺ ἀπέθαναν πρὸ τῆς ἐλεύσεως τοῦ Κυρίου εἰς τὴν γῆν. Διότι ἐὰν δὲν συνέβαινεν αὐτό, ἀλλ' εἶχεν ἀπαλλάξει ἀπὸ τὴν γέενναν τοῦ πυρὸς ὅλους ἐκείνους ποὺ εἶχαν ἀποθάνει, τότε πῶς λέγει· «Θὰ εἶναι περισσότερον ἐπιεικὴς ἡ τιμωρία διὰ τοὺς κατοίκους τῶν Σοδόμων καὶ τῶν Γομόρρων»; Αὐτὰ ἐλέχθησαν διὰ νὰ δείξουν ὅτι θὰ τιμωρηθοῦν καὶ ἐκεῖνοι, ὀλιγώτερον μέν, ἀλλ' ὁπωσδήποτε θὰ τιμωρηθοῦν. Μολονότι ἐτιμωρήθησαν εἰς τὴν γῆν πάρα πολύ, ὅμως αὐτὸ δὲν θὰ τοὺς ἀπαλλάξῃ ἀπὸ τὴν κόλασιν ἐκείνην. Ἐὰν δὲ τιμωρηθοῦν αὐτοὶ πολὺ περισσότερον θὰ τιμωρηθοῦν αὐτοὶ ποὺ δὲν ἔπαθαν τίποτε ἐδῶ εἰς τὴν γῆν.

Τί λοιπόν; θὰ ἔλεγε κανείς· Ἠδικήθησαν ὅσον ἔζησαν πρὶν ἀπὸ τὸν ἐρχομὸν τοῦ Κυρίου; Ἀσφαλῶς ὄχι. Διότι ὑπῆρχεν ἡ δυνατότης καὶ τότε νὰ σωθοῦν, χωρὶς νὰ ὁμολογήσουν πίστιν εἰς τὸν Χριστόν, καθόσον τότε δὲν τοὺς ἐζητεῖτο ἡ πίστις αὐτή, ἀλλὰ νὰ μὴ λατρεύουν τὰ εἴδωλα καὶ νὰ γνωρίσουν τὸν ἀληθινὸν Θεόν. Διότι λέγει· «Κύριος ὁ Θεός σου, ἕνας εἶναι ὁ Κύριός σου»[33]. Καὶ ἀκριβῶς διὰ τοῦτο ἐθαυμάζοντο καὶ οἱ Μακκαβαῖοι[34], ἐπειδὴ αὐτὰ ποὺ ἔπαθαν τὰ ἔπαθαν διὰ νὰ διαφυλάξουν τὸν νόμον τοῦ Θεοῦ. Καὶ οἱ τρεῖς

καὶ ἕτεροι δὲ πολλοὶ παρὰ Ἰουδαίοις, βίον ἄριστον ἐπιδειξάμενοι, καὶ τὸ μέτρον τῆς γνώσεως ταύτης διατηρήσαντες, οὐδὲν ἀπῃτήθησαν πλέον. Τότε μὲν γὰρ ἤρκει εἰς σωτηρίαν, καθάπερ ἔφθην εἰπών, τὸ τὸν Θεὸν εἰδέναι μόνον·
5 *νυνὶ δὲ οὐκέτι, ἀλλὰ δεῖ καὶ τῆς τοῦ Χριστοῦ γνώσεως. Διὰ τοῦτο ἔλεγεν· «Εἰ μὴ ἦλθον καὶ ἐλάλησα αὐτοῖς, ἁμαρτίαν οὐκ εἶχον· νῦν δὲ πρόφασιν οὐκ ἔχουσι περὶ τῆς ἁμαρτίας αὐτῶν». Οὕτω καὶ ἐπὶ τῆς πολιτείας. Τότε μὲν ὁ φόνος ἀπώλλυε τὸν ἐργασάμενον, νῦν δὲ καὶ τὸ ὀργίζεσθαι. Καὶ*
10 *τότε μὲν τὸ μοιχεύειν καὶ μίγνυσθαι ἀλλοτρίᾳ γυναικὶ κόλασιν ἔφερε· νῦν δὲ καὶ τὸ ἀκολάστοις ἰδεῖν ὀφθαλμοῖς. Ὥσπερ γὰρ ἡ γνῶσις, οὕτω καὶ ἡ πολιτεία ἐπιτέταται νῦν. Ὥστε οὐδὲν ἔδει προδρόμου ἐκεῖ. Ἄλλως δέ, εἰ μέλλοιεν μετὰ τὸ ἀποθανεῖν οἱ ἄπιστοι πιστεύοντες σῴζεσθαι, οὐδεὶς ἀπο-*
15 *λεῖταί ποτε. Πάντες γὰρ μεταγνώσονται τότε καὶ προσκυνήσουσι. Καὶ ὅτι τοῦτό ἐστιν ἀληθές, ἄκουσον Παύλου λέγοντος, ὅτι «Πᾶσα γλῶσσα ἐξομολογήσεται, καὶ πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπίγειων καὶ καταχθονίων»· καὶ ὅτι «Ἔσχατος ἐχθρὸς καταργεῖται ὁ θάνατος». Ἀλλ' οὐδὲν*
20 *ὄφελος τῆς ὑποταγῆς ἐκείνης· οὐ γὰρ προαιρέσεώς ἐστιν εὐγνώμονος, ἀλλὰ τῆς τῶν πραγμάτων, ὡς ἂν εἴποι τις, λοιπὸν ἀνάγκης.*

4. Μὴ δὴ τοιαῦτα λοιπὸν εἰσάγωμεν δόγματα γραώδη, καὶ μύθους Ἰουδαϊκούς. Ἄκουσον γοῦν τί περὶ τούτων ὁ Παῦ-
25 *λός φησιν· «Ὅσοι γὰρ ἀνόμως ἥμαρτον, ἀνόμως καὶ ἀπολοῦνται»· περὶ τῶν ἐν τῷ πρὸ τοῦ νόμου χρόνῳ διαλεγόμε-*

---

35. Ἰω. 15, 22.
36. Φιλιπ. 2, 10-11.
37. Α΄ Κορ. 15, 26.
38. Ρωμ. 2, 12.

παῖδες καθὼς καὶ πολλοὶ ἄλλοι ἀπὸ τοὺς Ἰουδαίους ποὺ ἐπέδειξαν ἄριστον βίον καὶ ἐτήρησαν τὸ μέτρον αὐτῆς τῆς γνώσεως, δὲν τοὺς ἐζητήθη τίποτε περισσότερον. Διότι τότε μὲν ἦτο ἀρκετὸν διὰ τὴν σωτηρίαν, ὅπως εἶπα καὶ προηγουμένως, τὸ νὰ γνωρίζῃ κανεὶς τὸν ἀληθινὸν Θεόν, τώρα ὅμως δὲν εἶναι πλέον αὐτὸ ἀρκετόν, ἀλλὰ ἀπαιτεῖται καὶ ἡ πίστις εἰς τὸν Χριστόν. Διὰ τοῦτο καὶ ἔλεγεν· «Ἐὰν δὲν εἶχα ἔλθει καὶ δὲν τοὺς εἶχα ὁμιλήσει, δὲν θὰ εἶχαν ἁμαρτίαν, τώρα ὅμως δὲν ἔχουν δικαιολογίαν διὰ τὴν ἁμαρτίαν των»[35]. Τὸ αὐτὸ ἰσχύει καὶ διὰ τὴν συμπεριφοράν μας. Τότε μὲν ὁ φόνος κατεδίκαζε τὸν φονέα, τώρα ὅμως τὸν καταδικάζει καὶ ἡ ὀργὴ ἀκόμη. Καὶ τότε μὲν ἡ μοιχεία καὶ αἱ παράνομοι σχέσεις μὲ ξένην γυναῖκα συνεπήγοντο τιμωρίαν, τώρα ὅμως συνεπάγεται τιμωρίαν καὶ τὸ νὰ ἰδῇ κανεὶς γυναῖκα μὲ ἀκόλαστον βλέμμα. Διότι ὅπως ἀκριβῶς ἡ γνῶσις τοῦ Θεοῦ εἶναι τελειοτέρα τώρα, ἔτσι καὶ ἡ ζωή μας ἐπιβάλλεται νὰ εἶναι ἀνάλογος. Ὥστε δὲν ἐχρειάζοντο οἱ εὑρισκόμενοι εἰς τὸν Ἅδην κανένα πρόδρομον τοῦ Χριστοῦ. Ἄλλωστε ἐὰν ἐπρόκειτο οἱ ἄπιστοι νὰ σώζωνται πιστεύοντες μετὰ θάνατον, κανεὶς δὲν θὰ ἐτιμωρεῖτο, διότι ὅλοι θὰ μετανοήσουν τότε καὶ θὰ προσκυνήσουν τὸν Κύριον. Καὶ τὸ ὅτι αὐτὸ εἶναι ἀληθὲς ἄκουσε τὸν Παῦλον ποὺ λέγει· «Κάθε γλῶσσα θὰ ὁμολογήσῃ καὶ κάθε γόνατον θὰ λυγίσῃ πρὸ τοῦ Χριστοῦ, τόσον εἰς τὸν οὐρανὸν καὶ εἰς τὴν γῆν, ὅσον καὶ εἰς αὐτὰ τὰ καταχθόνια»[36], καὶ ὅτι· «Τελευταῖος ἀπὸ ὅλους τοὺς ἐχθροὺς καταργεῖται ὁ θάνατος»[37]. Ἀλλὰ ἀπὸ τὴν ὑποταγὴν ἐκείνην δὲν ἀπορρέει κανὲν ὄφελος, διότι δὲν προέρχεται ἀπὸ διάθεσιν εὐγνώμονα, ἀλλὰ συμβαίνει, θὰ ἠμποροῦσε νὰ εἰπῇ κανείς, ἀπὸ ἀνάγκην.

4. Ἑπομένως ἂς μὴ εἰσάγωμεν παρομοίας γραώδεις ἀντιλήψεις καὶ μύθους ἰουδαϊκούς. Διότι ἄκουσε τί λέγει ὁ Παῦλος σχετικὰ μ' αὐτό· «Διότι ὅσοι ἡμάρτησαν χωρὶς νὰ τοὺς εἶχε δοθῇ νόμος γραπτός, αὐτοὶ θὰ καταδικασθοῦν καὶ χωρὶς νὰ ἔχουν κατήγορον αὐτὸν τὸν νόμον»[38]. Αὐτὰ τὰ λέ-

νος· «Καὶ ὅσοι ἐν νόμῳ ἥμαρτον, διὰ νόμου κριθήσονται»· περὶ τῶν μετὰ Μωϋσέα πάντων λέγων· καί, «Ὅτι ἀποκαλύπτεται ὀργὴ Θεοῦ ἀπ' οὐρανοῦ ἐπὶ πᾶσαν ἀσέβειαν καὶ ἀδικίαν ἀνθρώπων»· καί, «Θυμὸς καὶ ὀργὴ καὶ θλῖψις καὶ 5 *στενοχωρία ἐπὶ πᾶσαν ψυχὴν ἀνθρώπου τοῦ κατεργαζομένου τὸ κακόν, Ἰουδαίου τε πρῶτον καὶ Ἕλληνος».*

Καίτοι μυρία ἔπαθον ἐνταῦθα Ἕλληνες κακά· καὶ τοῦτο καὶ αἱ τῶν ἔξωθεν ἱστορίαι δηλοῦσι, καὶ αἱ Γραφαὶ αἱ παρ' ἡμῖν. Τίς γὰρ ἂν διηγήσαιτο τὰς τῶν Βαβυλωνίων τραγῳ- 10 *δίας, ἢ τὰς τῶν Αἰγυπτίων; Ὅτι δὲ καὶ οἱ τὸν Χριστὸν οὐκ ἐγνωκότες πρὸ τῆς ἐνσάρκου παρουσίας, εἰδωλολατρίας δὲ ἀποστάντες, καὶ τὸν Θεὸν προσκυνήσαντες, μόνον καὶ πολιτείαν ἀρίστην ἐπιδειξάμενοι, ἁπάντων ἀπολαύσονται τῶν ἀγαθῶν, ἄκουσον τί φησιν· «Δόξα δὲ καὶ τιμὴ καὶ εἰρήνη* 15 *παντὶ τῷ ἐργαζομένῳ τὸ ἀγαθόν, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι». Ὁρᾷς ὅτι ἀγαθῶν ἀμοιβαὶ πολλαὶ τούτοις εἰσί, καὶ κολάσεις καὶ τιμωρίαι πάλιν τοῖς τὰ ἐναντία πεποιηκόσι;*

Ποῦ τοίνυν εἰσὶν οἱ τῇ γεέννῃ διαπιστοῦντες; Εἰ γὰρ 20 *οἱ πρὸ τῆς παρουσίας τοῦ Χριστοῦ, οἱ μηδὲ ὄνομα γεέννης ἀκούσαντες, μηδὲ ἀναστάσεως, καὶ ἐνταῦθα κολασθέντες, κἀκεῖ δώσουσι δίκην· πόσῳ μᾶλλον ἡμεῖς οἱ τοσούτοις τραφέντες λόγοις φιλοσοφίαις; Καὶ πῶς εὔλογον, φησί, τοὺς μηδὲν περὶ γεέννης ἀκούσαντας, εἰς γέενναν ἐμπεσεῖν; Ἐ-* 25 *ροῦσι γάρ, ὅτι εἰ ἠπείλησας γέενναν, μᾶλλον ἂν ἐφοβήθημεν καὶ ἐσωφρονήσαμεν. Πάνυ γε· οὐ γάρ; ὡς ἡμεῖς βιοῦμεν νῦν, καθ' ἑκάστην ἡμέραν ἀκούοντες τοὺς περὶ γεέννης*

---

39. Ρωμ. 2, 12.
40. Ρωμ. 1, 18.
41. Ρωμ. 2, 8-9.
42. Ρωμ. 2, 10.

γει δι' ὅσους ἔζησαν πρὶν δοθῇ ὁ νόμος. «Καὶ ὅσοι ἡμάρτησαν, ἔχοντες τὸν γραπτὸν νόμον, αὐτοὶ θὰ κριθοῦν ἐπὶ τῇ βάσει αὐτοῦ τοῦ νόμου»[39], λέγων αὐτὰ δι' ἐκείνους ποὺ ἔζησαν μετὰ τὸν Μωϋσῆ· καὶ «ὅτι ἀποκαλύπτεται ἡ ὀργὴ τοῦ Θεοῦ ἐκ τοῦ οὐρανοῦ ἐναντίον κάθε ἀσεβείας καὶ κάθε ἀδικίας τῶν ἀνθρώπων»[40], καί· «Θυμὸς καὶ ὀργὴ καὶ θλῖψις καὶ στενοχωρία θὰ κατακυριεύσῃ τὸν κάθε ἄνθρωπον ποὺ πράττει τὸ κακόν, ἀρχικῶς τὸν Ἰουδαῖον καὶ ἀκολούθως τὸν εἰδωλολάτρην»[41].

Καὶ εἶναι ἀλήθεια ὅτι οἱ εἰδωλολάτραι ἔπαθαν πάρα πολλὰ κακὰ ἐδῶ, πρᾶγμα ποὺ τὸ ἐπιβεβαιώνει καὶ ἡ θύραθεν ἱστορία καὶ αἱ ἰδικαί μας Γραφαί. Διότι ποῖος θὰ ἠμποροῦσε νὰ διηγηθῇ τὰς τραγῳδίας τῶν Βαβυλωνίων ἢ τῶν Αἰγυπτίων; Τὸ ὅτι ὅμως καὶ ἐκεῖνοι, ποὺ πρὸ τῆς ἐνσάρκου παρουσίας του δὲν ἐγνώρισαν τὸν Χριστόν, ἀλλ' ἐγκατέλειψαν τὴν εἰδωλολατρίαν καὶ προσεκύνησαν μόνον τὸν Θεὸν ἐπιδείξαντες ἄριστον βίον, θὰ ἀπολαύσουν ὅλα τὰ ἀγαθά, ἄκουσε τί λέγει· «Δόξα δὲ καὶ τιμὴ καὶ εἰρήνη θὰ ἀποδοθῇ εἰς τὸν καθένα ποὺ πράττει τὸ ἀγαθὸν καὶ εἰς τὸν Ἰουδαῖον κατὰ πρῶτον καὶ εἰς τὸν εἰδωλολάτρην»[42]. Βλέπεις ὅτι ἐπιφυλάσσονται πολλαὶ ἀμοιβαὶ ἀγαθῶν εἰς αὐτοὺς καὶ ὅτι θὰ ὑποστοῦν κολάσεις καὶ τιμωρίας ὅλοι ὅσοι ἔπραξαν τὰ ἀντίθετα;

Ποῦ εἶναι λοιπὸν ἐκεῖνοι ποὺ δὲν πιστεύουν εἰς τὴν γέενναν; Διότι ἐὰν καὶ αὐτοὶ ποὺ δὲν ἤκουσαν πρὸ τῆς παρουσίας τοῦ Χριστοῦ οὔτε τὸ ὄνομα τῆς γεέννης οὔτε περὶ τῆς ἀναστάσεως καὶ ἐδῶ ἐτιμωρήθησαν, ἀλλὰ καὶ ἐκεῖ θὰ τιμωρηθοῦν, πόσον περισσότερον θὰ τιμωρηθοῦμεν ἡμεῖς ποὺ ἐτράφημεν μὲ τόσους λόγους ἀληθοῦς γνώσεως καὶ εὐσεβείας; Καὶ πῶς δικαιολογεῖται, θὰ ἔλεγε κανείς, νὰ ριφθοῦν εἰς τὴν αἰώνιον κόλασιν ἐκεῖνοι ποὺ δὲν ἤκουσαν τίποτε περὶ τῆς γεέννης; Διότι θὰ εἴπουν, ὅτι ἐὰν μᾶς εἶχες ἀπειλήσει μὲ τὴν γέενναν θὰ ἐφοβούμεθα περισσότερον καὶ θὰ ἐγινόμεθα περισσότερον σώφρονες. Ὁπωσδήποτε βέβαια πάρα πολύ. Καὶ διατί ὄχι; Διότι καὶ ἡμεῖς ζῶμεν σήμερα καὶ καθη-

λόγους, καὶ οὐδὲ ὅλως προσέχοντες. Χωρὶς δὲ τούτων κἀκεῖνό ἐστιν εἰπεῖν, ὅτι ὁ ταῖς παρὰ πόδας μὴ κατεχόμενος τιμωρίαις, πολλῷ μᾶλλον ἐκείναις οὐ κατασχεθήσεται. Τοὺς γὰρ ἀλογωτέρους καὶ παχύτερον διακειμένους τὰ ἐν χερσὶ 5 μᾶλλον καὶ εὐθέως συμβησόμενα εἴωθε σωφρονίζειν, ἢ τὰ μακροῖς ὕστερον ἐκβησόμενα χρόνοις.

Ἀλλ' ἡμῖν, φησί, μείζων ἐπεκρεμάσθη ὁ φόβος, καὶ τοῦτο ἐκεῖνοι ἠδίκηνται. Οὐδαμῶς. Πρῶτον μὲν γὰρ οὐ τὰ αὐτὰ πρόκειται σκάμματα ἡμῖν κἀκείνοις, ἀλλὰ πολλῷ 10 μείζονα ἡμῖν. Τοὺς δὲ μείζονας ἀναδεξαμένους πόνους, μείζονος ἔδει βοηθείας ἀπολαῦσαι. Βοήθεια δὲ οὐ μικρά, τὸ αὐξηθῆναι τὸν φόβον. Εἰ δὲ πλεονεκτοῦμεν αὐτῶν τῷ τὰ μέλλοντα εἰδέναι, πλεονεκτοῦσιν ἡμῶν κἀκεῖνοι τῷ παραυτίκα σφοδρὰς ἐπιφέρεσθαι τὰς τιμωρίας αὐτοῖς.

15 *Ἀλλ' ἕτερόν τι καὶ πρὸς ταῦτα λέγουσιν οἱ πολλοί. Ποῦ γὰρ τὸ δίκαιον, φησί, τοῦ Θεοῦ, ὅταν τις ἐνταῦθα ἁμαρτών, καὶ ἐνταῦθα κἀκεῖ κολάζηται; Βούλεσθε οὖν ὑμᾶς ἀναμνήσω τῶν ὑμετέρων λόγων, ἵνα μηκέτι κόπους ἡμῖν παρέχητε, ἀλλ' οἴκοθεν φέρητε τὴν λύσιν; Ἐγὼ πολλῶν 20 ἤκουσα ἀνθρώπων ἡμετέρων, εἴποτε μάθοιεν ἀνδροφόνον ἀποτμηθέντα ἐν δικαστηρίῳ, δυσχεραινόντων καὶ ταῦτα λεγόντων τὰ ῥήματα· τριάκοντα φόνους ὁ μιαρὸς οὗτος καὶ ἐναγὴς τολμήσας, ἢ καὶ πολλῷ πλείους, ἕνα μόνον αὐτὸς ὑπέμεινε θάνατον· καὶ ποῦ τὸ δίκαιον; Ὥστε ὑμεῖς αὐτοὶ*

μερινῶς ἀκούομεν τοὺς λόγους διὰ τὴν γέενναν χωρὶς ὅμως νὰ τοὺς προσέχωμεν καθόλου. Ἐκτὸς ἀπὸ αὐτὸ ἠμπορεῖ κανεὶς νὰ ἀναφέρῃ καὶ τὸ ἑξῆς, ὅτι δηλαδὴ ὅποιος δὲν συνετίζεται μὲ τὰς ἐδῶ τιμωρίας πολὺ περισσότερον δὲν θὰ συνετισθῇ μὲ ἐκείνας τὰς τιμωρίας. Διότι τοὺς ἀνθρώπους ποὺ τὰ ἔνστικτά των εἶναι καὶ περισσότερον ζωώδη καὶ δὲν ἔχουν πνευματικὸν ὑπόβαθρον μεγάλον συνήθως τοὺς σωφρονίζουν τὰ χειροπιαστὰ πράγματα καὶ ἐκεῖνα ποὺ συμβαίνουν ἀμέσως, παρὰ ἐκεῖνα ποὺ θὰ συμβοῦν μετὰ ἀπὸ πολλὰ χρόνια.

Ναί, ἀλλὰ θὰ εἰπῇ κάποιος, ἡμεῖς ἠπειλήθημεν μὲ μεγαλύτερον φόβον καὶ ὡς πρὸς αὐτὸ ἐκεῖνοι ἔχουν ἀδικηθῇ. Δὲν ἔχει καθόλου δίκαιον. Διότι κατ' ἀρχὴν δὲν ἔχομεν τὰ ἴδια ἀγωνίσματα εἰς τὰ ὁποῖα καλούμεθα ν' ἀγωνισθῶμεν ἡμεῖς καὶ ἐκεῖνοι, ἀλλὰ τὰ ἰδικά μας εἶναι πολὺ μεγαλύτερα. Καὶ ἐκεῖνοι δὲ ποὺ ἐπεφορτίσθησαν μὲ μεγαλυτέρους κόπους πρέπει νὰ ἀπολαύσουν καὶ μεγαλυτέραν βοήθειαν. Δὲν εἶναι δὲ μικρὰ βοήθεια τὸ ὅτι ηὐξήθη ὁ φόβος. Ἐὰν λοιπὸν πλεονεκτοῦμεν ἡμεῖς ἔναντι ἐκείνων ὡς πρὸς τὸ ὅτι γνωρίζομεν τὰ μέλλοντα, πλεονεκτοῦν καὶ ἐκεῖνοι ἔναντί μας ὡς πρὸς τὸ ὅτι ἐδέχοντο ἀμέσως σκληρὰς τιμωρίας.

Ἀλλ' ὅμως ἐκτὸς ἀπὸ αὐτὸ πολλοὶ προβάλλουν καὶ κάποιαν ἄλλην ἀντίρρησιν. Ποῦ εἶναι, λέγουν, ἡ δικαιοσύνη τοῦ Θεοῦ, ὅταν κάποιος ἁμαρτάνῃ εἰς τὴν γῆν καὶ τιμωρεῖται καὶ ἐδῶ καὶ ἐκεῖ εἰς τὸν οὐρανόν; Θέλετε λοιπὸν νὰ σᾶς ὑπενθυμίσω τοὺς λόγους σας, ὥστε εἰς τὸ ἑξῆς πλέον καὶ νὰ μὴ μᾶς ἐνοχλῆτε, ἀλλὰ καὶ μόνοι σας νὰ λύσετε τὰς ἀπορίας σας; Ἐγὼ ἤκουσα πολλοὺς ἀπὸ τοὺς ἰδικούς μας ἀνθρώπους ποὺ ὅταν κάποτε ἐπληροφορήθησαν ὅτι κάποιος φονεὺς κατεδικάσθη εἰς θάνατον ἀπὸ τὸ δικαστήριον ν' ἀγανακτοῦν καὶ νὰ λέγουν τὰ ἑξῆς. Τριάντα φόνους διέπραξεν ὁ μιαρὸς αὐτὸς καὶ βδελυρὸς ἄνθρωπος ἴσως δὲ καὶ πολὺ περισσοτέρους καὶ τιμωρεῖται μόνον μὲ ἕνα θάνατον· ποὺ εἶναι λοιπὸν ἡ δικαιοσύνη; Ὥστε σεῖς οἱ ἴδιοι ὁμολογεῖτε,

ὁμολογεῖτε, ὅτι οὐκ ἀρκεῖ θάνατος εἷς εἰς τιμωρίαν. Πῶς οὖν τὰ ἐναντία ψηφίζεσθε νῦν; Ὅτι οὐχ ἑτέροις, ἀλλ' ὑμῖν αὐτοῖς δικάζετε. Τοσοῦτον ἡ φιλαυτία γίνεται κώλυμα εἰς τὸ μὴ συνορᾶν τὸ δίκαιον. Διὰ τοῦτο ὅταν μὲν ἑτέροις
5 *κρίνωμεν, μετὰ ἀκριβείας ἅπαντα ἐξετάζομεν, ὅταν δὲ ἡμῖν αὐτοῖς δικάζωμεν, ἐσκοτώμεθα· ὡς ἐὰν καὶ ἐφ' ἡμῶν αὐτῶν ταῦτα ἐξετάζωμεν, ὥσπερ καὶ ἐπὶ τῶν ἄλλων, ἀδέκαστον τὴν ψῆφον οἴσομεν. Ἔστι γὰρ καὶ ἡμῖν ἁμαρτήματα, οὐ δύο καὶ τριῶν, ἀλλὰ μυρίων θανάτων ἄξια. Καὶ ἵνα τὰ*
10 *ἄλλα παρῶ, ἀναμνήσωμεν ἑαυτοὺς ὅσοι τῶν μυστηρίων μετέχομεν ἀναξίως· οἱ δὲ τοιοῦτοι ἔνοχοί εἰσι τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ. Ὥστε ὅταν τὸν ἀνδροφόνον λέγῃς, καὶ σεαυτὸν λογίζου. Ἐκεῖνος μὲν γὰρ ἄνθρωπον ἐφόνευσε, σὺ δὲ τῆς σφαγῆς ὑπεύθυνος εἶ τοῦ Δεσπότου·*
15 *κἀκεῖνος μέν, οὐ μετασχὼν μυστηρίων, ἡμεῖς δέ, τραπέζης ἀπολαύοντες ἱερᾶς.*

Τί δὲ οἱ τοὺς ἀδελφοὺς δάκνοντες καὶ κατεσθίοντες, καὶ πολὺν ἀφιέντες τὸν ἰόν; τί δὲ ὁ τὴν τροφὴν τῶν πενήτων ἀφαιρούμενος; Εἰ γὰρ ὁ μὴ μεταδιδοὺς τοιοῦτός ἐστι, πολ-
20 *λῷ μᾶλλον ὁ τὰ ἀλλότρια λαμβάνων. Πόσων λῃστῶν οἱ πλεονέκται χείρους εἰσί; πόσων ἀνδροφόνων οἱ ἅρπαγες; πόσων τυμβωρύχων; πόσοι μετὰ τὸ ἀποδῦσαι καὶ αἱμάτων εἰσὶν ἐπιθυμηταί; Ἄπαγε· μὴ γένοιτο, φησί. Νῦν λέγεις, μὴ γένοιτο; ὅταν ἐχθρὸν ἔχῃς, τότε εἰπέ, μὴ γένοιτο, καὶ μέμνη-*
25 *σο τῶν εἰρημένων, καὶ βίον ἐπιδείκνυσο πολλῆς γέμοντα ἀκριβείας, ἵνα μὴ καὶ ἡμᾶς τὰ Σοδόμων μείνῃ, ἵνα μὴ τὰ Γομόρρων πάθωμεν, ἵνα μὴ τὰ Τυρίων ὑπομείνωμεν καὶ*

ὅτι δὲν εἶναι ἀρκετὸς ἕνας θάνατος διὰ νὰ τιμωρηθῇ κάποιος. Πῶς λοιπὸν τώρα ὑποστηρίζετε τὰ ἀντίθετα; Ἐπειδὴ δὲν δικάζετε τοὺς ἄλλους ἀλλὰ τοὺς ἑαυτούς σας. Τόσον μεγάλο ἐμπόδιον καθίσταται ἡ φιλαυτία ὥστε νὰ μὴ διακρίνωμεν τὸ δίκαιον. Διὰ τοῦτο ὅταν κρίνωμεν τοὺς ἄλλους ἐξετάζομεν τὰ πάντα μὲ κάθε λεπτομέρειαν, ὅταν ὅμως δικάζωμεν τοὺς ἑαυτούς μας ρίπτομεν σκότος εἰς τὰ πράγματα· διότι ἐὰν ἡ ἔρευνα καὶ διὰ τὸν ἑαυτόν μας ἐγίνετο ὅπως γίνεται καὶ διὰ τοὺς ἄλλους τότε ἡ ἀπόφασίς μας θὰ εἶναι ἀδέκαστος. Διότι ἔχομεν καὶ ἡμεῖς ἁμαρτήματα ποὺ εἶναι ἄξια ὄχι δύο ἢ τριῶν θανάτων ἀλλὰ ἀμετρήτων. Καί, διὰ νὰ παραλείψω τὰ ἄλλα, ἂς ἐνθυμηθῶμεν πόσοι ἀπὸ ἡμᾶς μετέχομεν ἀναξίως τῆς θείας εὐχαριστίας. Ὅλοι αὐτοὶ εἶναι ἔνοχοι τοῦ σώματος καὶ τοῦ αἵματος τοῦ Χριστοῦ. Ὥστε ὅταν ὁμιλῇς διὰ τὸν φονέα νὰ ἀναλογίζεσαι καὶ τὸν ἑαυτόν σου. Διότι ἐκεῖνος μὲν ἐφόνευσεν ἄνθρωπον, σὺ ὅμως εἶσαι ὑπεύθυνος τῆς σφαγῆς τοῦ Κυρίου· καὶ ἐκεῖνος μὲν ἐπειδὴ δὲν μετέχει τῶν μυστηρίων, ἡμεῖς δὲ ἐπειδὴ λαμβάνομεν μέρος εἰς τὴν ἱερὰν τράπεζαν.

Τί νὰ εἰπῇ δὲ κανεὶς δι' ἐκείνους ποὺ δαγκώνουν καὶ κατατρώγουν τοὺς ἀδελφούς των καὶ ρίπτουν πολὺ δηλητήριον ἐναντίον των; τί δὲ δι' ἐκεῖνον ποὺ στερεῖ τοὺς πτωχοὺς ἀπὸ τὴν τροφήν των; Διότι ἐὰν εἶναι ἄξιος κατηγορίας αὐτὸς ποὺ δὲν ἐλεεῖ πολὺ περισσότερον ἄξιος κατηγορίας εἶναι ἐκεῖνος ποὺ παίρνει τὰ ξένα ἀγαθά. Ἀπὸ πόσους ληστὰς δὲν εἶναι χειρότεροι οἱ πλεονέκται; ἀπὸ πόσους φονεῖς οἱ ἅρπαγες; ἀπὸ πόσους τυμβωρύχους; πόσοι δὲ δὲν εἶναι ἐκεῖνοι ποὺ μετὰ τὴν ἁρπαγὴν ἐπιθυμοῦν νὰ φονεύσουν τὰ θύματά των; Μακρὰν ἀπὸ ἐδῶ, μὴ γένοιτο, θὰ εἰπῇ κάποιος. Τώρα λέγεις, μὴ γένοιτο; Μὴ γένοιτο νὰ εἰπῇς ὅταν κρατᾷς τὸν ἐχθρὸν καὶ νὰ ἐνθυμῆσαι τὰ ὅσα ἐλέχθησαν καὶ νὰ παρουσιάζῃς ζωὴν μεγάλην ἀπὸ εὐσέβειαν, διὰ νὰ μὴ συμβῇ ὅ,τι συνέβη εἰς τὰ Σόδομα, διὰ νὰ μὴ πάθωμεν αὐτὸ ποὺ ἔπαθαν οἱ κάτοικοι τῶν Γομόρων, διὰ νὰ μὴ ὑποστῶμεν τὰ

τὰ Σιδωνίων κακά· μᾶλλον δὲ ἵνα μὴ τῷ Χριστῷ προσκρούσωμεν, ὅπερ ἁπάντων ἐστὶ χαλεπώτερον καὶ φοβερώτερον. Εἰ γὰρ καὶ πολλοῖς ἡ γέεννα φοβερὸν εἶναι δοκεῖ, ἀλλ' ἔγωγε οὐ παύσομαι συνεχῶς βοῶν, ὅτι τοῦτο γεέννης ἁπάσης χαλεπώτερον καὶ φοβερώτερον· καὶ ὑμᾶς οὕτω διακεῖσθαι 5 *παρακαλῶ. Οὕτω γὰρ καὶ γεέννης ἀπαλλαγησόμεθα, καὶ τῆς παρὰ τοῦ Χριστοῦ ἀπολαύσομεν δόξης· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

κακὰ τῶν κατοίκων τῆς Τύρου καὶ τῆς Σιδῶνος, μᾶλλον δὲ διὰ νὰ μὴ ἔλθωμεν εἰς σύγκρουσιν μὲ τὸν Χριστόν, πρᾶγμα ποὺ εἶναι τὸ χειρότερον καὶ φοβερώτερον ἀπὸ ὅλα γενικῶς. Διότι ἂν καὶ εἰς πολλοὺς ἡ γέεννα φαίνεται ὅτι εἶναι φοβερά, παραταῦτα ἐγὼ τοὐλάχιστον δὲν θὰ παύσω νὰ φωνάζω συνεχῶς, ὅτι αὐτὴ ἡ σύγκρουσις μὲ τὸν Χριστὸν εἶναι χειροτέρα καὶ φοβερωτέρα ἀπὸ ὅλην γενικῶς τὴν γέενναν. Καὶ σᾶς παρακαλῶ καὶ σεῖς νὰ σκέπτεσθε τὸ ἴδιο δι' ὅλα αὐτά. Διότι ἔτσι καὶ θ' ἀπαλλαγῶμεν ἀπὸ τὴν γέενναν καὶ θὰ ἀπολαύσωμεν τὴν δόξαν τοῦ Χριστοῦ, τὴν ὁποίαν μακάρι ὅλοι μας νὰ ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν 'Ιησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. 'Αμήν.

ΟΜΙΛΙΑ ΛΖ'

Ματθ. 11, 7 - 24

«Τούτων δὲ πορευομένων, ἤρξατο ὁ Ἰησοῦς λέγειν τοῖς ὄχλοις περὶ Ἰωάννου· τί ἐξήλθετε εἰς τὴν ἔρημον θεάσασθαι; κάλαμον ὑπὸ ἀνέμου σαλευόμενον; Ἀλλὰ τί ἐξήλθετε ἰδεῖν; ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον; Ἰδοὺ οἱ τὰ μαλακὰ φοροῦντες, ἐν τοῖς οἴκοις τῶν βασιλέων εἰσίν. Ἀλλὰ τί ἐξήλθετε ἰδεῖν; προφήτην; ναί, λέγω ὑμῖν, καὶ περισσότερον προφήτου».

1. Τὸ μὲν γὰρ κατὰ τοὺς μαθητὰς Ἰωάνου ᾠκονομήθη καλῶς, καὶ βεβαιωθέντες ἀπῆλθον ἀπὸ τῶν παραυτίκα γενομένων σημείων· ἔδει δὲ λοιπὸν καὶ τὰ πρὸς τὸν δῆμον ἰάσασθαι. Ἐκεῖνοι μὲν γὰρ οὐδὲν ἂν τοιοῦτον ὑπώπτευσαν περὶ τοῦ ἑαυτῶν διδασκάλου· ὁ δὲ πολὺς ὄχλος ἐκ τῆς ἐρωτήσεως τῶν Ἰωάννου μαθητῶν πολλὰ ἂν ἄτοπα ὑπενόησεν, οὐκ εἰδὼς τὴν γνώμην μεθ' ἧς ἔπεμψε τοὺς μαθητάς. Καὶ εἰκὸς ἦν διαλογίζεσθαι πρὸς ἑαυτοὺς καὶ λέγειν· ὁ τοσαῦτα μαρτυρήσας μετεπείσθη νῦν, καὶ ἀμφιβάλλει εἴτε οὗτος, εἴτε ἕτερος εἴη ὁ ἐρχόμενος; ἆρα μὴ στασιάζων πρὸς τὸν Ἰησοῦν ταῦτα λέγει; ἆρα μὴ δειλότερος ὑπὸ τοῦ δεσμωτηρίου γενόμενος; ἆρα μὴ μάτην καὶ εἰκῇ τὰ πρότερα εἴρηκεν; Ἐπεὶ οὖν πολλὰ τοιαῦτα εἰκὸς ἦν αὐτοὺς ὑποπτεύειν, ὅρα πῶς αὐτῶν διορθοῦται τὴν ἀσθένειαν, καὶ ταύτας ἀναιρεῖ τὰς ὑποψίας. «Πορευομένων γὰρ αὐτῶν, ἤρξατο λέγειν τοῖς

ΟΜΙΛΙΑ ΛΖ΄

Ματθ. 11, 7 - 24

«Ὅταν δὲ οἱ μαθηταὶ τοῦ Ἰωάννου ἀνεχώρησαν, ἤρχισεν ὁ Ἰησοῦς νὰ ὁμιλῇ εἰς τὰ πλήθη τοῦ λαοῦ περὶ τοῦ Ἰωάννου. Τί ἐπήγατε νὰ ἰδῆτε εἰς τὴν ἔρημον; Μήπως διὰ νὰ ἰδῆτε ἄνθρωπον ὁμοιάζοντα μὲ κάλαμον καὶ σαλευόμενον ἀπὸ τὸ φύσημα τοῦ ἀέρος; Ἀλλὰ τί ἐξήλθατε νὰ ἰδῆτε; Ἄνθρωπον ἐνδεδυμένον μὲ μαλακὰ φορέματα; Νά, αὐτοὶ ποὺ φοροῦν τὰ μαλακά, διαμένουν εἰς τὰ βασιλικὰ ἀνάκτορα. Ἀλλὰ τί ἐξήλθατε νὰ ἰδῆτε; μήπως προφήτην; ναί, σᾶς λέγω, καὶ περισσότερον μάλιστα ἀπὸ προφήτην».

1. Τὸ μὲν θέμα ποὺ ἀπησχόλει τοὺς μαθητὰς τοῦ Ἰωάννου ἔτυχεν ἱκανοποιητικῆς ἀπαντήσεως καὶ ἔφυγαν ἀφοῦ ἐβεβαιώθησαν διὰ τὴν φύσιν τοῦ Ἰησοῦ ἀπὸ τὰ θαύματα ποὺ συνέβησαν ἐκείνην τὴν στιγμήν. Ἐχρειάζετο δὲ ἐπὶ πλέον νὰ διορθώσῃ καὶ τὰς ἐσφαλμένας ἀντιλήψεις τοῦ πλήθους. Διότι οἱ μὲν μαθηταὶ τοῦ Ἰωάννου δὲν θὰ ὑπωπτεύθησαν τίποτε τὸ παρόμοιον διὰ τὸν διδάσκαλόν των, ἐνῷ τὸ περισσότερον πλῆθος τῶν ἀνθρώπων παρασυρόμενον ἀπὸ τὴν ἐρώτησιν τῶν μαθητῶν θὰ ὑπωπτεύθη ἐνδεχομένως πολλὰ ἄτοπα, διότι δὲν ἐγνώριζε τὸν σκοπὸν διὰ τὸν ὁποῖον τοὺς ἀπέστειλεν ὁ Ἰωάννης. Καὶ ἦτο φυσικὸν νὰ σκέπτωνται καὶ νὰ λέγουν· Αὐτὸς ποὺ ἔδωσε τόσας μαρτυρίας περὶ τοῦ Ἰησοῦ ἤλλαξε τώρα γνώμην καὶ ἀμφιβάλλει ἐὰν εἶναι αὐτὸς ἢ ἐὰν εἶναι ἄλλος ὁ ἐρχόμενος; Μήπως ἆρά γε τὰ λέγει αὐτὰ ἐπειδὴ ἀντιτίθεται πρὸς τὸ ἔργον τοῦ Ἰησοῦ; μήπως ἆρά γε ἐξ αἰτίας τῆς φυλακῆς ἔγινε περισσότερον δειλός; ἢ μήπως ἆρά γε ἄδικα καὶ χωρὶς κανένα σκοπὸν ἔδωσε τὰς προηγουμένας μαρτυρίας; Ἐπειδὴ λοιπὸν ἦτο φυσικὸν νὰ ἔχουν πολλὰς παρομοίας ὑποψίας, πρόσεξε πῶς θεραπεύει τὴν ἀσθένειάν των καὶ ἀφαιρεῖ αὐτὰς τὰς ὑποψίας των. «Διότι, ὅταν αὐτοὶ ἀνεχώρησαν, ἤρχισε νὰ ὁμιλῇ πρὸς τὸ πλῆθος τοῦ λαοῦ». Διατί ἤρχισε νὰ ὁμιλῇ ὅταν ἔφυ-

ὄχλοις». Διατί, πορευομένων αὐτῶν; Ἵνα μὴ δόξῃ κολακεύειν τὸν ἄνθρωπον.

Διορθούμενος δὲ τὸν δῆμον, οὐκ ἄγει εἰς μέσον αὐτῶν τὴν ὑπόνοιαν, ἀλλὰ τὴν λύσιν μόνον ἐπάγει τῶν κατὰ διά-
5 *νοιαν θορυβούντων αὐτοὺς λογισμῶν, δεικνὺς ὅτι ᾔδει τὰ ἀπόρρητα ἁπάντων. Οὐδὲ γὰρ λέγει καθάπερ πρὸς Ἰουδαίους· «Τί ἐνθυμεῖσθε πονηρά;»[1]. Εἰ γὰρ καὶ ἐνενόησαν, οὐκ ἀπὸ πονηρίας ἐλογίζοντο ταῦτα, ἀλλ' ἀπὸ τῆς τῶν εἰρημένων ἀγνοίας. Διὰ τοῦτο οὐδὲ ἐπιπληκτικῶς αὐτοῖς*
10 *διαλέγεται, ἀλλὰ διορθοῦται αὐτῶν μόνον τὴν διάνοιαν, καὶ ἀπολογεῖται ὑπὲρ Ἰωάννου· καὶ δείκνυσιν ὅτι οὐ μετέπεσε τῆς προτέρας δόξης, οὐδὲ μεταβέβληται. Οὐδὲ γάρ ἐστιν εὔκολος ἄνθρωπος καὶ εὐρίπιστος, ἀλλὰ πεπηγὼς καὶ βέβαιος, καὶ οὐ τοιοῦτος, ὡς καὶ προδοῦναι τὰ ἐμπεπιστευμένα.*
15 *Ταῦτα δὲ κατασκευάζων, οὐκ ἐκ τῆς οἰκείας ἀποφάσεως εὐθέως, ἀλλ' ἐκ τῆς ἐκείνων πρότερον ταῦτα κατασκευάζει μαρτυρίας· οὐ δι' ὧν εἶπον μόνον, ἀλλὰ καὶ δι' ὧν ἔπραξαν, δεικνὺς αὐτοὺς μαρτυροῦντας αὐτοῦ τῇ στερρότητι. Διό φησι· «Τί ἐξήλθετε εἰς τὴν ἔρημον ἰδεῖν;».*
20 *Ὡσανεὶ ἔλεγε· διατί τὰς πόλεις ἀφέντες καὶ τὰς οἰκίας, συνήλθετε εἰς τὴν ἔρημον ἅπαντες; ἵνα οἰκτρόν τινα ἴδητε καὶ εὔκολον ἄνθρωπον; Ἀλλ' οὐκ ἂν ἔχοι λόγον. Οὐ γὰρ τοῦτο δείκνυσιν ἡ σπουδὴ ἐκείνη, καὶ τὸ πάντας συντρέχειν εἰς τὴν ἔρημον. Οὐ γὰρ ἂν δῆμος τοσοῦτος καὶ πόλεις το-*
25 *σαῦται μετὰ τοσαύτης προθυμίας εἰς τὴν ἔρημον καὶ τὸν Ἰορδάνην ποταμὸν ἐξεχύθησαν τότε, εἰ μὴ μέγαν τινὰ καὶ*

1. Ματθ. 9, 4.

γαν αὐτοί; Διὰ νὰ μὴ σχηματισθῇ ἡ ἐντύπωσις ὅτι κολακεύει τὸν Ἰωάννην.

Ἐνῷ δὲ διορθώνει τὴν γνώμην τοῦ πλήθους, δὲν φανερώνει τὴν ὑποψίαν αὐτῶν, ἀλλὰ δίδει μόνον τὴν ἀπάντησιν εἰς τὰς ὑποψίας ποὺ ἐνοχλοῦσαν τὴν διάνοιάν των, καὶ ἀποδεικνύει ἔτσι ὅτι ἐγνώριζε τὰς ἀποκρύφους σκέψεις ὅλων. Καθόσον δὲν τοὺς λέγει αὐτὸ ἀκριβῶς ποὺ εἶπεν εἰς τοὺς Ἰουδαίους· «Διατί βάζετε εἰς τὸν νοῦν σας σκέψεις πονηράς;»[1]. Διότι ἂν καὶ ἔκαναν διαφόρους σκέψεις δὲν τὸ ἔκαμναν αὐτὸ ἀπὸ πονηρὰν διάθεσιν, ἀλλὰ ἐπειδὴ εἶχαν ἄγνοιαν τῶν ὅσων ἐλέχθησαν. Διὰ τοῦτο δὲν τοὺς ὁμιλεῖ διὰ νὰ τοὺς ψέξῃ, ἀλλὰ θέλει ἁπλῶς καὶ μόνον νὰ διορθώσῃ τὴν σκέψιν των καὶ νὰ ἀπολογηθῇ ὑπὲρ τοῦ Ἰωάννου, καὶ ἀποδεικνύει ὅτι ὁ Ἰωάννης δὲν ἤλλαξε τὴν ἀρχικὴν ἰδέαν του οὔτε ἔχει μεταβληθῆ ἡ γνώμη του. Διότι δὲν εἶναι ἄνθρωπος μαλακὸς καὶ εὐμετάβλητος, ἀλλὰ σταθερὸς καὶ ἀκλόνητος εἰς τὰς σκέψεις του, καὶ δὲν εἶναι τέτοιος, ὥστε νὰ θελήσῃ νὰ προδώσῃ αὐτὰ ποὺ τοῦ ἔχουν ἐμπιστευθῆ.

Ὅλας αὐτὰς τὰς σκέψεις ὁ Ἰησοῦς δὲν τὰς διατυπώνει στηριζόμενος κατ' εὐθεῖαν εἰς τὴν ἰδικήν του γνώμην, ἀλλὰ τὰς διατυπώνει στηριζόμενος εἰς τὴν προηγουμένην μαρτυρίαν τοῦ ἰδίου τοῦ πλήθους. Καὶ ὄχι μόνον μὲ ὅσα εἶπαν, ἀλλὰ καὶ μὲ ὅσα ἔπραξαν, ἀποδεικνύων ἔτσι ὅτι αὐτοὶ οἱ ἴδιοι εἶναι μάρτυρες τῆς σταθερότητος τοῦ Ἰωάννου. Διὰ τοῦτο λέγει· «Τί ἐξήλθατε νὰ ἰδῆτε εἰς τὴν ἔρημον;». Δηλαδὴ ὡσὰν νὰ τοὺς ἔλεγε· Διατί ἐγκατελείψατε τὰς πόλεις καὶ τὰς οἰκίας σας καὶ συνεκεντρώθητε ὅλοι εἰς τὴν ἔρημον; Μήπως διὰ νὰ ἰδῆτε κάποιον ἄνθρωπον ἀξιολύπητον καὶ εὐκολομετάβλητον; Ἀλλ' αὐτὸ θὰ ἦτο παράλογον. Διότι δὲν ἀποδεικνύει κάτι παρόμοιον ἡ προθυμία ἐκείνη τοῦ πλήθους καὶ τὸ ὅτι ὅλοι ἔτρεχαν εἰς τὴν ἔρημον. Οὔτε βέβαια θὰ ἐξεχύνετο τότε τόσον πλῆθος καὶ οἱ κάτοικοι μεγάλων πόλεων μὲ τόσην προθυμίαν εἰς τὴν ἔρημον τοῦ Ἰορδάνου καὶ τὸν

θαυμαστὸν καὶ πέτρας στερρότερον ὄψεσθαι προσεδοκήσατε. Οὐ γὰρ δὴ κάλαμον ἐξήλθετε ἰδεῖν, ὑπὸ ἀνέμου σαλευόμενον· οἱ γὰρ εὔκολοι, καὶ ῥαδίως περιφερόμενοι, καὶ νῦν μὲν ταῦτα, νῦν δὲ ἐκεῖνα λέγοντες, καὶ ἐπὶ μηδενὸς ἑστῶ-
5 *τες, τούτῳ μάλιστα ἐοίκασι. Καὶ ὅρα πῶς πᾶσαν πονηρίαν ἀφείς, ταύτην τίθησι τὴν μάλιστα ὑφορμοῦσαν αὐτοῖς τότε, καὶ ἀναιρεῖ τὴν τῆς εὐκολίας ὑπόθεσιν.*

Ἀλλὰ τί ἐξήλθετε ἰδεῖν; ἄνθρωπον ἐν μαλακοῖς ἱματίοις ἠμφιεσμένον; Ἰδοὺ οἱ τὰ μαλακὰ φοροῦντες, ἐν τοῖς
10 *οἴκοις τῶν βασιλέων εἰσίν». Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν, ὅτι οἴκοθεν οὐκ ἦν εὐρίπιστος· καὶ τοῦτο ἐδηλώσατε διὰ τῆς σπουδῆς ὑμεῖς. Οὐ μὴν οὐδὲ ἐκεῖνο ἔχοι τις ἂν εἰπεῖν, ὡς στερρὸς μὲν ἦν, τρυφῇ δὲ δουλεύσας ὕστερον χαῦνος γέγονε. Τῶν γὰρ ἀνθρώπων οἱ μὲν οἴκοθέν εἰσι τοιοῦτοι, οἱ δὲ γί-*
15 *νονται· οἷον, ὁ μέν ἐστιν ὀργίλος φύσει, ὁ δὲ εἰς ἀρρωστίαν ἐμπεσὼν μακράν, τοῦτο κτᾶται τὸ νόσημα. Πάλιν εὔκολοι καὶ κοῦφοι οἱ μέν εἰσι φύσει, οἱ δὲ ἀπὸ τοῦ τρυφῇ δουλεύειν καὶ μαλακίζεσθαι τοῦτο γίνονται.*

Ἀλλ' ὁ Ἰωάννης φησίν, οὔτε φύσει τοιοῦτος ἦν· οὐδὲ
20 *γὰρ κάλαμον ἐξήλθετε ἰδεῖν· οὔτε τρυφῇ δοὺς ἑαυτόν, ἀπώλεσεν ὅπερ εἶχε πλεονέκτημα. Ὅτι γὰρ οὐκ ἐδούλευσε τρυφῇ, δείκνυσιν ἡ στολὴ καὶ ἡ ἐρημία καὶ τὸ δεσμωτήριον. Εἰ γὰρ ἐβούλετο μαλακὰ φορεῖν, οὐκ ἂν τὴν ἔρημον ᾤκησεν,*

Ἰορδάνην ποταμόν, ἐὰν δὲν ἀνέμεναν νὰ ἰδοῦν κάποιον ἄνθρωπον μεγάλον, ἀξιοθαύμαστον καὶ πιὸ σταθερὸν ἀπὸ τὴν πέτραν ὡς πρὸς τὰς ἰδέας του. Οὔτε βέβαια ἐπήγατε εἰς τὴν ἔρημον νὰ ἰδῆτε κάποιαν κάλαμον ποὺ τὴν σαλεύει ὁ ἄνεμος. Διότι οἱ εὐμετάβλητοι ἄνθρωποι καὶ αὐτοὶ ποὺ εὐκόλως παρασύρονται, καὶ ποὺ τώρα μὲν ὑποστηρίζουν αὐτά, ὕστερα δὲ ἐκεῖνα, καὶ δὲν παραμένουν σταθεροὶ εἰς τίποτε, αὐτοὶ ὁμοιάζουν πάρα πολὺ μὲ τὴν κάλαμον. Καὶ πρόσεξε πῶς παραλείπει πᾶσαν ἄλλην πονηρίαν καὶ ἐξετάζει μόνον ἐκεῖνο ποὺ τοὺς κατεῖχεν ἐξ ὁλοκλήρου τὴν στιγμὴν ἐκείνην καὶ ἀναιρεῖ τὴν ὑποψίαν ὅτι ὁ Ἰωάννης εὐκόλως ἤλλασσε γνώμην.

«Ἀλλὰ τί ἐξήλθατε νὰ ἰδῆτε; ἄνθρωπον ἐνδεδυμένον μὲ μαλακὰ ἐνδύματα; Νὰ αὐτοὶ ποὺ φοροῦν τὰ μαλακὰ ἐνδύματα διαμένουν εἰς τὰ ἀνάκτορα τῶν βασιλέων». Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Ἐκ φύσεως ὁ Ἰωάννης δὲν ἦτο ἄνθρωπος εὐμετάβλητος καὶ αὐτὸ τὸ ἀπεδείξατε σεῖς μὲ τὸ ὅτι ἐτρέξατε μὲ προθυμίαν κοντά του. Οὔτε ἐκεῖνο πάλιν ἠμπορεῖ κανεὶς νὰ ἰσχυρισθῇ, ὅτι δηλαδὴ ἦτο μὲν σταθερός, ἀλλ' ἐπειδὴ ἀργότερα ἔγινε δοῦλος τῆς τρυφηλῆς ζωῆς ἔγινεν ἀσταθής. Διότι ἀπὸ τοὺς ἀνθρώπους ἄλλοι μὲν ἐκ φύσεως εἶναι τέτοιοι, ἄλλοι δὲ γίνονται ἐξ αἰτίας τῆς ζωῆς ποὺ κάνουν. Ὅπως, ἐπὶ παραδείγματι, ἄλλος μὲν εἶναι ἐκ φύσεως ὀξύθυμος, ἄλλος δὲ ἀποκτᾷ αὐτὸ τὸ πάθος ἐπειδὴ ὑπέφερε κάποιαν μακροχρόνιον ἀσθένειαν. Ἄλλοι πάλιν ἐκ φύσεως εἶναι ἄνθρωποι μαλακοὶ καὶ εὐμετάβλητοι, ἐνῷ ἄλλοι γίνονται τέτοιοι ἀπὸ τὴν τρυφηλὴν ζωὴν ποὺ κάνουν καὶ τὴν μαλθακότητά των.

Ὁ Ἰωάννης ὅμως, λέγει ὁ Ἰησοῦς, οὔτε ἐκ φύσεως ἦτο τέτοιος ἄνθρωπος, οὔτε βέβαια σεῖς ἐπήγατε νὰ ἰδῆτε κάλαμον, οὔτε παρέδωσε τὸν ἑαυτόν του εἰς τὴν τρυφηλὴν ζωήν, ὥστε νὰ χάσῃ τὸ πλεονέκτημα ποὺ εἶχε. Τὸ ὅτι δὲ δὲν ἦτο δοῦλος τῶν ἡδονῶν τὸ ἀποδεικνύει ἡ στολή του, ἡ ἔρημος ποὺ ἔζει καὶ ἡ φυλάκισίς του. Διότι ἐὰν ἤθελε νὰ

οὐκ ἂν τὸ δεσμωτήριον, ἀλλὰ τὰ βασίλεια. Ἐξῆν γὰρ αὐτῷ σιγήσαντι μόνον μυρίας ἀπολαῦσαι τιμῆς. Ὅπου γὰρ καὶ ἐλέγξαντα καὶ δεδεμένον οὕτως ᾐδεῖτο ὁ Ἡρώδης, πολλῷ μᾶλλον σιγήσαντα ἐκολάκευσεν ἄν. Ἔργῳ τοίνυν τῆς αὐτοῦ 5 *στερρότητος παρασχὼν βάσανον καὶ τῆς καρτερίας, πῶς ἂν εἴη δίκαιος ἐπὶ τοιούτοις ὑποπτεύεσθαι;*

2. Καὶ ἀπὸ τοῦ τόπου τοίνυν, καὶ ἀπὸ τῶν ἱματίων, καὶ ἀπὸ τῆς συνδρομῆς τὸ ἦθος αὐτοῦ χαρακτηρίσας, ἐπάγει λοιπὸν καὶ τὸν προφήτην. Εἰπὼν γάρ, «Τί ἐξήλθετε; προφή- 10 *την ἰδεῖν; ναί, λέγω ὑμῖν, καὶ περισσότερον προφήτου»· φησίν· «Οὗτος γάρ ἐστι, περὶ οὗ γέγραπται· ἰδοὺ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου». Πρότερον τὴν Ἰουδαίων μαρτυρίαν θείς, τότε τὴν τῶν προφητῶν ἐφαρμόζει· μᾶλλον δὲ* 15 *πρῶτον μὲν τὴν ψῆφον τίθησι τὴν Ἰουδαϊκήν, ἥπερ μεγίστη γένοιτ' ἂν ἀπόδειξις, ὅταν παρὰ τῶν ἐχθρῶν ἡ μαρτυρία φέρηται· δεύτερον, τὸν βίον τὸν τοῦ ἀνδρός· τρίτον, τὴν ἑαυτοῦ κρίσιν· τέταρτον, τὸν προφήτην, πάντοθεν αὐτοὺς ἐπιστομίζων.*

20 *Εἶτα ἵνα μὴ λέγωσι, τί οὖν, εἰ τότε μὲν τοιοῦτος ἦν, νῦν δὲ μεταβέβληται; ἐπήγαγε καὶ τὰ μετὰ ταῦτα, τὰ ἱμάτια, τὸ δεσμωτήριον, καὶ μετὰ τούτων τὴν προφητείαν. Εἶτα εἰπὼν ὅτι μείζων προφήτου, δείκνυσι καὶ κατὰ τί μείζων. Κατὰ τί τοίνυν μείζων; Κατὰ τὸ ἐγγὺς εἶναι τοῦ παραγενο-*

---

2. Ματθ. 11, 10. Πρβλ. Μαλ. 3, 1.

φορῇ μαλακὰ ἐνδύματα δὲν θὰ ἐπήγαινε νὰ κατοικήσῃ εἰς τὴν ἔρημον, δὲν θὰ ἐφυλακίζετο, ἀλλὰ θὰ ἔζη εἰς τὰ βασιλικὰ ἀνάκτορα. Καὶ βέβαια ἠμποροῦσε νὰ παύσῃ ἁπλῶς καὶ μόνον τὸν ἔλεγχον καὶ νὰ ἀπολαύσῃ μεγάλας τιμάς. Διότι ἀφοῦ ὁ Ἡρώδης τὸν ἐσέβετο τόσον πολὺ ἂν καὶ τὸν ἤλεγχε καὶ τὸν εἶχε φυλακίσει, ὁπωσδήποτε θὰ ἐδείκνυε πολὺ περισσοτέραν φροντίδα, ἐὰν ἔπαυε νὰ τὸν ἐλέγχῃ. Ἑπομένως πῶς δικαιολογεῖται νὰ ἔχῃ κανεὶς τέτοιου εἴδους ὑποψίας διὰ τὸν Ἰωάννην, ποὺ ἐμπράκτως ἀπέδειξε τὴν σταθερότητα καὶ τὴν καρτερίαν του;

2. Ἀφοῦ λοιπὸν ἐχαρακτήρισε τὸ ἦθος τοῦ Ἰωάννου καὶ ἀπὸ τὸν τόπον τῆς κατοικίας του καὶ ἀπὸ τὰ ἐνδύματά του καὶ ἀπὸ τὴν συρροὴν τοῦ πλήθους πρὸς αὐτόν, τότε πλέον ἀναφέρει καὶ τὸν προφήτην. Ἀφοῦ δηλαδὴ εἶπε· «Διατί ἐξήλθατε; διὰ νὰ ἰδῆτε προφήτην; Ναί, σᾶς λέγω, καὶ περισσότερον ἀπὸ προφήτην», προσέθεσε· «Διότι αὐτὸς εἶναι ἐκεῖνος, διὰ τὸν ὁποῖον ἔχει γραφῆ· Ἰδοὺ ἀποστέλλω τὸν ἀγγελιαφόρον μου πρὶν ἀπὸ σέ, ὁ ὁποῖος θὰ προετοιμάσῃ τὴν ὁδόν σου ἔμπροσθέν σου»[2]. Ἀφοῦ ἀνέφερε κατ' ἀρχὴν τὴν μαρτυρίαν τῶν Ἰουδαίων, εἰς τὴν συνέχειαν κάνει λόγον διὰ τοὺς προφήτας. Μᾶλλον δὲ κατ' ἀρχὴν παρουσιάζει τὴν γνώμην τῶν Ἰουδαίων, ποὺ ἦτο δυνατὸν ν' ἀποτελέσῃ μεγάλο στοιχεῖον, καθόσον ἡ μαρτυρία προήρχετο ἀπὸ τοὺς ἐχθρούς. Δεύτερον παρουσιάζει ὡς ἀπόδειξιν τὴν ζωὴν τοῦ ἀνδρός. Τρίτον τὴν ἰδικήν του γνώμην καὶ τέταρτον ἀναφέρει τὴν μαρτυρίαν τοῦ προφήτου, ἀποστομώνων αὐτοὺς ἐξ ὁλοκλήρου.

Ἔπειτα διὰ νὰ μὴ λέγουν· Τί λοιπόν, τότε μὲν ἦτο ἔτσι ὅπως τὸν περιέγραψες, ἐνῷ τώρα ἔχει ἀλλάξει; προσέθεσε καὶ τὰ ἑπόμενα, τὰ ἐνδύματα δηλαδή, τὴν φυλακὴν καὶ μαζὶ μ' αὐτὰ καὶ τὴν μαρτυρίαν τοῦ προφήτου. Ἀκολούθως ἀφοῦ εἶπεν ὅτι ὁ Ἰωάννης ἦτο ἀνώτερος ἀπὸ προφήτην, ἀποδεικνύει καὶ ὡς πρὸς τί ὑπερέχει αὐτῶν. Ὡς πρὸς τί λοιπὸν ἦτο ἀνώτερος; Ὡς πρὸς τὸ ὅτι εὑρίσκεται πολὺ κον-

μένου. «Ἀποστέλλω», γάρ, φησί, «τὸν ἄγγελόν μου πρὸ προσώπου σου»· τουτέστιν, ἐγγύς σου. Καθάπερ γὰρ ἐπὶ τῶν βασιλέων οἱ ἐγγὺς τοῦ ὀχήματος ἐλαύνοντες, οὗτοι τῶν ἄλλων εἰσὶ λαμπρότεροι· οὕτω δὴ καὶ ὁ Ἰωάννης ἐγγὺς αὐτῆς 5 φαίνεται τῆς παρουσίας ἐλαύνων.

Ὅρα πῶς καὶ ἐντεῦθεν τὴν ὑπεροχὴν ἔδειξε· καὶ οὐδὲ ἐνταῦθα ἵσταται, ἀλλὰ καὶ τὴν παρ' ἑαυτοῦ λοιπὸν ἐπάγει ψῆφον, λέγων· «Ἀμὴν λέγω ὑμῖν, οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου τοῦ βαπτιστοῦ». Ὃ δὲ λέ- 10 γει, τοιοῦτόν ἐστιν· οὐκ ἔτεκε γυνὴ τούτου μείζονα. Καὶ ἀρκεῖ μὲν καὶ ἡ ἀπόφασις· εἰ δὲ βούλει καὶ ἀπὸ τῶν πραγμάτων μαθεῖν ἐννόησον αὐτοῦ τὴν τράπεζαν, τὴν διαγωγήν, τῆς γνώμης τὸ ὕψος. Ὥσπερ γὰρ ἐν οὐρανῷ, οὕτω διῆγε, καὶ τῶν τῆς φύσεως ἀναγκῶν ἀνωτέρω γενόμενος, ξένην 15 τινὰ ὥδευσεν ὁδόν, ἐν ὕμνοις καὶ εὐχαῖς τὸν πάντα διάγων χρόνον, καὶ ἀνθρώπων μὲν οὐδενί, Θεῷ δὲ ὁμιλῶν μόνῳ διηνεκῶς. Οὐδὲ γὰρ εἶδέ τινα τῶν ὁμοδούλων, οὔτε ὤφθη τινὶ τούτων, οὐκ ἐγαλακτοτροφήθη, οὐ κλίνης, οὐ στέγης, οὐκ ἀγορᾶς, οὐκ ἄλλου τινὸς ἀπέλαυσε τῶν ἀνθρωπίνων· 20 καὶ ὅμως ἥμερος ἦν ὁμοῦ καὶ σφοδρός. Ἄκουσον γοῦν πῶς μετ' ἐπιεικείας τοῖς ἑαυτοῦ μαθηταῖς διαλέγεται, πῶς μετὰ ἀνδρείας τῷ δήμῳ τῶν Ἰουδαίων, πῶς μετὰ παρρησίας τῷ βασιλεῖ. Διὰ τοῦτο καὶ ἔλεγεν· «Οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου βαπτιστοῦ».

τὰ εἰς ἐκεῖνον ποὺ ἐπρόκειτο νὰ ἔλθῃ. Διότι, λέγει, «Ἀποστέλλω τὸν ἀγγελιαφόρον μου πρὶν ἀπὸ σέ», δηλαδὴ πλησίον σου. Διότι ὅπως ἀκριβῶς συμβαίνει ἐκ τῶν ἀνθρώπων τοῦ βασιλέως ἐκεῖνοι ποὺ βαδίζουν κοντὰ εἰς τὴν βασιλικὴν ἅμαξαν εἶναι ἐπισημότεροι ἀπὸ τοὺς ἄλλους, κατὰ τὸν ἴδιον τρόπον βέβαια καὶ ὁ Ἰωάννης φαίνεται νὰ βαδίζῃ κοντὰ εἰς τὴν παρουσίαν τοῦ Κυρίου ἐπὶ τῆς γῆς.

Πρόσεξε πῶς καὶ εἰς τὴν περίπτωσιν αὐτὴν ἀπέδειξε τὴν ὑπεροχὴν τοῦ Ἰωάννου. Δὲν σταματᾷ ὅμως ἐδῶ, ἀλλὰ προσθέτει ἐπὶ πλέον καὶ τὴν ἰδικήν του γνώμην λέγων τὰ ἑξῆς· «Ἀλήθεια σᾶς λέγω, ὅτι δὲν ἐνεφανίσθη ἄλλος, μεταξὺ τῶν γεννηθέντων ὑπὸ τῶν γυναικῶν, μεγαλύτερος ἀπὸ τὸν Ἰωάννην τὸν βαπτιστήν». Αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Καμμία γυναῖκα δὲν ἐγέννησε κανένα ἄνθρωπον ἀνώτερον ἀπὸ αὐτόν. Καὶ ἀρκεῖ μὲν ἡ γνώμη αὐτὴ τοῦ Κυρίου, ἐὰν ὅμως θέλῃς νὰ πληροφορηθῇς τὴν ἀξίαν του καὶ ἀπὸ τὰ πράγματα, τότε σκέψου τὴν τράπεζάν του, τὴν διαγωγήν του καὶ τὸ ὕψος τῆς σκέψεώς του. Διότι πράγματι ἔζησεν ἔτσι ὡσὰν ἀκριβῶς νὰ εὑρίσκετο εἰς τὸν οὐρανόν, καὶ ἀφοῦ ἐστάθη ἐπάνω ἀπὸ τὰς φυσικὰς ἀνάγκας, ἐβάδισεν ἕνα ἄγνωστον δρόμον, ζῶν εἰς ὅλην τὴν ζωήν του μὲ ὕμνους καὶ προσευχάς, καὶ ἐκ μὲν τῶν ἀνθρώπων δὲν ἐπεκοινώνει μὲ κανένα, εὑρίσκετο δὲ εἰς διαρκῆ ἐπικοινωνίαν μόνον μὲ τὸν Θεόν. Οὔτε βέβαια εἶδε ποτὲ κανένα συνάνθρωπόν του, οὔτε παρουσιάσθη εἰς κάποιον ἀπὸ αὐτούς, οὔτε ἐτράφη μὲ γάλα, οὔτε ἀπήλαυσε κρεββάτι, οὔτε στέγην, οὔτε ἀγοράν, οὔτε τίποτε ἄλλο ἀπὸ τὰ ἀνθρώπινα πράγματα. Καὶ παρὰ ταῦτα ἦτο συγχρόνως ἥμερος καὶ ὁρμητικός. Ἄκουσε λοιπὸν μὲ πόσην ἐπιείκειαν ὁμιλεῖ πρὸς τοὺς μαθητάς του, μὲ πόσην γενναιότητα ἀπευθύνεται πρὸς τὸ πλῆθος τῶν Ἰουδαίων καὶ μὲ πόσην παρρησίαν ἐλέγχει τὸν βασιλέα. Διὰ τοῦτο ἀκριβῶς ἔλεγεν ὁ Κύριος, «Δὲν ἀνεφάνη, μεταξὺ τῶν ἀνθρώπων τῶν γεννηθέντων ὑπὸ γυναικῶν, ἄλλος μεγαλύτερος ἀπὸ τὸ Ἰωάννην τὸν βαπτιστήν».

Ἀλλ' ἵνα μὴ πάλιν ἡ ὑπερβολὴ τῶν ἐγκωμίων τέκῃ τινὰ ἀτοπίαν, προτιμώντων αὐτὸν τοῦ Χριστοῦ τῶν Ἰουδαίων, σκόπει πῶς καὶ τοῦτο διορθοῦται. Καθάπερ γὰρ ἐξ ὧν ᾠκοδομοῦντο οἱ μαθηταί, ἐβλάπτοντο οἱ ὄχλοι, εὔκολον αὐ- 5 *τὸν εἶναι νομίζοντες· οὕτω καὶ ἐξ ὧν ἐθεραπεύοντο οἱ ὄχλοι, μείζων ἂν ἐγένετο ἡ βλάβη, σεμνοτέραν τοῦ Χριστοῦ περὶ αὐτοῦ λαμβανόντων αὐτῶν ὑπόνοιαν ἐκ τῶν εἰρημένων. Διὸ καὶ τοῦτο ἀνυπόπτως διορθοῦται λέγων· «Ὁ δὲ μικρότερος, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν μείζων αὐτοῦ ἐστι». Μι-* 10 *κρότερος κατὰ τὴν ἡλικίαν καὶ κατὰ τὴν τῶν πολλῶν δόξαν· καὶ γὰρ ἔλεγον αὐτὸν φάγον καὶ οἰνοπότην· καί, «Οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱός;», καὶ πανταχοῦ αὐτὸν ἐξηυτέλιζον.*

Τί οὖν; φησί· κατὰ σύγκρισιν τοῦ Ἰωάννου μείζων ἦν; Ἄπαγε. Οὐδὲ γὰρ Ἰωάννης ὅταν λέγῃ, «Ἰσχυρότερός 15 *μού ἐστι», συγκρίνων λέγει· οὐδὲ Παῦλος, ὅταν Μωϋσέως μεμνημένος γράφῃ, «Πλείονος γὰρ δόξης οὗτος παρὰ Μωϋσῆν ἠξίωται», συγκρίνων γράφει. Καὶ αὐτὸς δέ, «Ἰδοὺ πλέον Σολομῶντος ὧδε», λέγων, οὐχὶ συγκρίνων φησίν. Εἰ δ' ἄρα δοίημεν καὶ κατὰ σύγκρισιν εἰρῆσθαι παρ' αὐτοῦ τοῦτο,* 20 *οἰκονομικῶς ἐγίνετο διὰ τὴν τῶν ἀκουόντων ἀσθένειαν. Καὶ γὰρ σφόδρα ἦσαν πρὸς αὐτὸν κεχηνότες οἱ ἄνθρωποι· τότε δὲ λαμπρότερον αὐτὸν καὶ τὸ δεσμωτήριον ἐποίησε, καὶ ἡ πρὸς τὸν βασιλέα παρρησία, καὶ ἀγαπητὸν ἦν τέως τοῦτο*

---

3. Πρβλ. Ματθ. 11, 19.
4. Ματθ. 13, 55.
5. Ματθ. 3, 11.
6. Ἑβρ. 3, 3.
7. Ματθ. 12, 42.

Όμως διὰ νὰ μὴ δημιουργηθῇ πάλιν ἀπὸ τὴν ὑπερβολὴν τῶν ἐπαίνων καμμία ἀτοπία, ὥστε νὰ φθάσουν νὰ προτιμήσουν οἱ Ἰουδαῖοι τὸν Ἰωάννην ἀντὶ τοῦ Χριστοῦ, πρόσεξε πῶς τὸ προλαμβάνει καὶ αὐτὸ ὁ Κύριος. Ὅπως ἀκριβῶς δηλαδὴ μὲ ἐκεῖνα ποὺ ὠφελοῦντο οἱ μαθηταὶ τοῦ Ἰωάννου, ἐβλάπτοντο οἱ ἄνθρωποι, ἐπειδὴ ἐθεώρουν τὸν Ἰωάννην ὡσὰν ἕνα εὐμετάβλητον ἄνθρωπον, ἔτσι ἦτο πιθανὸν νὰ προκληθῇ μεγαλυτέρα βλάβη μὲ ἐκεῖνα ποὺ ὁ λαὸς ἐδιδάσκετο, ἐὰν οἱ ἄνθρωποι ἐσχημάτιζαν ἀπὸ τοὺς λόγους ὑψηλοτέραν γνώμην διὰ τὸν Ἰωάννην παρὰ διὰ τὸν Χριστόν. Διὰ τοῦτο αὐτὸ ὁ Κύριος τὸ προλαμβάνει τελείως ἀνύποπτα, λέγων τὰ ἑξῆς· «Ὁ δὲ μικρότερος εἰς τὴν βασιλείαν τῶν οὐρανῶν εἶναι μεγαλύτερος ἀπὸ τὸν Ἰωάννην». Ὁ μικρότερος κατὰ τὴν ἡλικίαν καὶ κατὰ τὴν γνώμην τῶν πολλῶν ἀνθρώπων. Καθόσον τὸ πλῆθος ὠνόμαζε τὸν Κύριον φάγον καὶ οἰνοπότην[3], καί· «Δὲν εἶναι αὐτὸς ὁ υἱὸς τοῦ ξυλουργοῦ;»[4], καὶ πάντοτε ὡμίλουν μὲ περιφρόνησιν δι' αὐτόν.

Τί λοιπόν; θὰ εἰπῇ κάποιος· ὁ Κύριος εἶναι ἀνώτερος ἐν συγκρίσει πρὸς τὸν Ἰωάννην; Μακρὰν ἀπὸ ἐδῶ αὐτὴ ἡ σκέψις. Διότι οὔτε καὶ ὁ Ἰωάννης ὅταν λέγῃ· «Εἶναι ἰσχυρότερος ἀπὸ ἐμέ»[5], τὸ λέγει αὐτὸ διὰ νὰ κάνῃ σύγκρισιν, ἀλλ' οὔτε καὶ ὁ Παῦλος ὅταν γράφῃ ἀναφορικὰ μὲ τὸν Μωϋσῆν «Διότι ὁ Κύριος ἐθεωρήθη ἄξιος νὰ λάβῃ μεγαλυτέραν δόξαν ἀπὸ τὴν δόξαν τοῦ Μωϋσέως»[6], τὸ γράφει μὲ σκοπὸν νὰ κάνῃ σύγκρισιν. Καὶ ὁ ἴδιος δὲ ὁ Ἰησοῦς λέγων· «Νά, ἐδῶ πρόκειται διὰ κάτι μεγαλύτερον ἀπὸ τὸν Σολομῶντα»[7], δὲν τὸ λέγει διὰ νὰ κάνῃ σύγκρισιν. Ἀλλὰ καὶ ἂν ἀκόμη δεχθῶμεν ὅτι ἐλέχθη αὐτὸ διὰ νὰ κάνῃ σύγκρισιν, αὐτὸ ἔγινε κατ' οἰκονομίαν, ἐξ αἰτίας τῆς ἀδυναμίας τῶν ἀκροατῶν του. Καθόσον οἱ ἄνθρωποι ἐθαύμαζαν πάρα πολὺ τὸν Ἰωάννην, ἡ δὲ φυλάκισίς του τότε τοῦ εἶχε δώσει μεγαλυτέραν λαμπρότητα, καθὼς καὶ ἡ παρρησία μὲ τὴν ὁποίαν ἤλεγξε τὸν βασιλέα, συντελοῦσαν ἀρχικῶς εἰς τοὺς πολλούς, ὥστε εὐχαρίστως νὰ δεχθοῦν τὴν ἀνωτερότητα

δεχθῆναι παρὰ τοῖς πολλοῖς. Καὶ γὰρ καὶ ἡ Παλαιὰ οἶδεν οὕτω διορθοῦν τὰς τῶν πεπλανημένων ψυχάς, τὰ ἀσύγκριτα κατὰ σύγκρισιν παραβάλλουσα· ὡς ὅταν λέγῃ· «Οὐκ ἔστιν ὅμοιός σοι ἐν θεοῖς, Κύριε»· καὶ πάλιν, «Οὐκ ἔστι θεὸς ὡς 5 *ὁ Θεὸς ἡμῶν».*

Τινὲς δέ φασιν, ὅτι περὶ τῶν ἀποστόλων τοῦτο εἴρηκεν ὁ Χριστός· ἕτεροι δὲ περὶ ἀγγέλων. Ὅταν γὰρ τῆς ἀληθείας τινὲς ἐκτραπῶσι, πολλὰ πλανᾶσθαι εἰώθασι. Ποία γὰρ ἀκολουθία, ἢ περὶ ἀγγέλων ἢ περὶ ἀποστόλων εἰπεῖν; Ἄλ- 10 *λως δέ, εἰ περὶ τῶν ἀποστόλων ἔλεγε, τί ἐκώλυεν ὀνομαστὶ παραγαγεῖν; Περὶ μὲν γὰρ ἑαυτοῦ λέγων, εἰκότως κρύπτει τὸ πρόσωπον διὰ τὴν ἔτι κρατοῦσαν ὑπόνοιαν, καὶ τὸ μὴ δόξαι περὶ ἑαυτοῦ μέγα τι λέγειν· καὶ γὰρ πολλαχοῦ φαίνεται τοῦτο ποιῶν. Τί δέ ἐστιν, «Ἐν τῇ βασιλείᾳ τῶν* 15 *οὐρανῶν;». Ἐν τοῖς πνευματικοῖς καὶ τοῖς κατὰ τὸν οὐρανὸν ἅπασι. Καὶ τὸ εἰπεῖν δέ, «Οὐκ ἐγήγερται ἐν γεννητοῖς γυναικῶν μείζων Ἰωάννου», ἀντιδιαστέλλοντος ἦν ἑαυτῷ τὸν Ἰωάννην, καὶ οὕτως ἑαυτὸν ὑπεξαιροῦντος.*

3. Εἰ γὰρ καὶ γεννητὸς γυναικὸς ἦν αὐτός, ἀλλ' οὐχ 20 *οὕτως ὡς Ἰωάννης· οὐ γὰρ ψιλὸς ἄνθρωπος ἦν, οὐδὲ ὁμοίως ἀνθρώπῳ ἐτέχθη, ἀλλὰ ξένον τινὰ τόκον καὶ παράδοξον.*

«Ἀπὸ δὲ τῶν ἡμερῶν Ἰωάννου τοῦ βαπτιστοῦ», φησίν, «ἕως ἄρτι, ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν». Καὶ ποίαν τοῦτο ἀκολουθίαν ἔχοι πρὸς

---

8. Ψαλμ. 85, 8.
9. Ψαλμ. 76, 14.

τοῦ Ἰωάννου. Καὶ βέβαια καὶ ἡ Π. Διαθήκη συνηθίζει ἔτσι νὰ διορθώνῃ τὰς ψυχὰς ὅσων ἐπλανήθησαν, συγκρίνει δηλαδὴ τὰ ἀσύγκριτα. Ὅπως, ἐπὶ παραδείγματι, ὅταν λέγῃ· «Δὲν ὑπάρχει ὅμοιός σου μεταξὺ τῶν Θεῶν, Κύριε»[8]. Καὶ πάλιν· «Δὲν ὑπάρχει κανεὶς θεὸς ὡσὰν τὸν Θεόν μας»[9].

Ὡρισμένοι δὲ ὑποστηρίζουν ὅτι ὁ Κύριος τὸ εἶπεν αὐτὸ διὰ νὰ συγκρίνῃ τὸν Ἰωάννην πρὸς τοὺς ἀποστόλους. Ἄλλοι δὲ διὰ νὰ τὸν συγκρίνῃ πρὸς τοὺς ἀγγέλους. Διότι, ὅταν ὡρισμένοι ἀπομακρυνθοῦν ἀπὸ τὴν ἀλήθειαν, περιπίπτουν συνήθως εἰς πολλὰς πλάνας. Διότι ποῖον θὰ ἦτο τὸ ἀποτέλεσμα ἐὰν ἔλεγε διὰ νὰ τὸν συγκρίνῃ μὲ τοὺς ἀγγέλους ἢ τοὺς ἀποστόλους; Ἐξ ἄλλου δέ, ἐὰν ἀνεφέρετο εἰς τοὺς ἀποστόλους, τί τὸν ἠμπόδιζε νὰ τοὺς ἀναφέρῃ ὀνομαστικῶς; Ἀναφερόμενος ὅμως ὁ Ἰησοῦς εἰς τὸν ἑαυτόν του φυσικῷ τῷ λόγῳ ἀποκρύπτει τὸ πρόσωπόν του καὶ ἐξ αἰτίας τῆς ὑποψίας ποὺ ὑπῆρχε καὶ διὰ νὰ μὴ δώσῃ τὴν ἐντύπωσιν ὅτι λέγει κάτι ὑπερβολικὸν διὰ τὸν ἑαυτόν του, καθόσον εἰς πολλὰς ἄλλας περιπτώσεις φαίνεται νὰ κάνῃ τὸ ἴδιο. Τί σημαίνει ὅμως «εἰς τὴν βασιλείαν τῶν οὐρανῶν»; Σημαίνει ὅλα τὰ πνευματικὰ καὶ ὅλα ἐκεῖνα ποὺ ὑπάρχουν εἰς τὸν οὐρανόν. Καὶ τὸ ὅτι εἶπε δέ, «Δὲν ἀνεφάνη μεταξὺ τῶν ἀνθρώπων τῶν γεννηθέντων ὑπὸ γυναικῶν ἄλλος μεγαλύτερος ἀπὸ τὸν Ἰωάννην», δεικνύει ὅτι διέκρινε τὸν ἑαυτόν του ἀπὸ τὸν Ἰωάννην καὶ κατ' αὐτὸν τὸν τρόπον ἐξύψωνε τὸν ἑαυτόν του.

3. Διότι μολονότι εἶχε γεννηθῆ καὶ αὐτὸς ἀπὸ γυναῖκα, δὲν εἶχε γεννηθῆ ὅμως ὅπως ἀκριβῶς ὁ Ἰωάννης. Οὔτε ἦτο ἁπλοῦς ἄνθρωπος, οὔτε ἐγεννήθη καθ' ὃν τρόπον γεννᾶται ὁ κάθε ἄνθρωπος, ἀλλὰ μὲ μίαν γέννησιν πρωτοφανῆ καὶ παράδοξον.

«Ἀπὸ τὴν ἐποχὴν τοῦ Ἰωάννου τοῦ βαπτιστοῦ», λέγει, «καὶ μέχρι σήμερα ἐκβιάζεται ἡ βασιλεία τῶν οὐρανῶν καὶ βιασταὶ ἁρπάζουν αὐτήν». Καὶ ποίαν σχέσιν θὰ ἠμποροῦσαν νὰ ἔχουν οἱ λόγοι αὐτοὶ πρὸς ἐκεῖνα ποὺ ἐλέχθησαν προη-

τὰ ἔμπροσθεν εἰρημένα; Πολλὴν μὲν οὖν καὶ σφόδρα συνᾴδουσαν. Καὶ γὰρ ὠθεῖ καὶ ἐπείγει λοιπὸν αὐτοὺς καὶ ἐντεῦθεν εἰς τὴν πίστιν τὴν ἑαυτοῦ· ἅμα δὲ καὶ τοῖς ἔμπροσθεν εἰρημένοις παρὰ Ἰωάννου συνηγορεῖ. Εἰ γὰρ 5 μέχρι Ἰωάννου πάντα πεπλήρωται, ἐγώ εἰμι ὁ ἐρχόμενος. «Πάντες γάρ», φησίν, «οἱ προφῆται καὶ ὁ νόμος ἕως Ἰωάννου προεφήτευσαν». Οὐ γὰρ ἂν ἔστησαν οἱ προφῆται, εἰ μὴ ἦλθον ἐγώ. Μηδὲν τοίνυν προσδοκᾶτε περαιτέρω, μηδὲ ἕτερόν τινα μένετε. Ὅτι γὰρ ἐγώ εἰμι, δῆλον καὶ ἐκ τοῦ 10 τοὺς προφήτας στῆναι, καὶ ἐκ τῶν καθ' ἑκάστην ἁρπαζόντων ἡμέραν τὴν πίστιν τὴν εἰς ἐμέ. Οὕτω γὰρ δήλη ἐστὶ καὶ σαφής, ὡς καὶ πολλοὺς ἁρπάζειν αὐτήν. Καὶ τίς ἥρπασεν; εἰπέ μοι. Πάντες οἱ μετὰ σπουδῆς προσιόντες.

Εἶτα καὶ ἕτερον τεκμήριον τίθησι λέγων· «Εἰ θέλετε 15 δέξασθαι, αὐτός ἐστιν Ἠλίας, ὁ μέλλων ἔρχεσθαι». «Ἀποστελῶ γάρ», φησίν, «ὑμῖν Ἠλίαν τὸν Θεσβίτην, ὃς ἐπιστρέψει καρδίαν πατρὸς ἐπὶ τέκνα». Οὗτος οὖν ἐστιν Ἠλίας, ἐὰν προσέχητε μετὰ ἀκριβείας, φησί. Καὶ γὰρ «Ἀποστελῶ», φησί, «τὸν ἄγγελόν μου πρὸ προσώπου σου». Καὶ καλῶς 20 εἶπεν, «Εἰ θέλετε δέξασθαι», τὸ ἀβίαστον δεικνύς. Οὐ γὰρ ἀναγκάζω, φησί. Τοῦτο δὲ ἔλεγεν, εὐγνώμονα ἀπαιτῶν διάνοιαν, καὶ δηλῶν ὅτι οὗτος ἐκεῖνός ἐστι, κἀκεῖνος οὗτος. Ἀμφότεροι γὰρ μίαν διακονίαν ἀνεδέξαντο, καὶ πρόδρομοι γεγόνασιν ἀμφότεροι. Διόπερ οὐδὲ ἁπλῶς εἶπεν, οὗτός ἐ-25 στιν Ἠλίας, ἀλλ', «Εἰ θέλετε δέξασθαι, οὗτός ἐστι»· τουτέστιν, εἰ μετὰ εὐγνώμονος διανοίας προσέχετε τοῖς γινομένοις. Καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ προσέθηκε, δεικνὺς ὅτι

---

10. Μαλ. 4, 4-5.
11. Μαλ. 3, 1.

γουμένως; Ἔχουν μεγάλην σχέσιν καὶ συνδέονται στενὰ μὲ ἐκεῖνα. Διότι μὲ τοὺς λόγους αὐτοὺς ὠθεῖ καὶ ὁδηγεῖ τώρα πλέον τοὺς ἀνθρώπους εἰς τὸ νὰ πιστεύσουν εἰς αὐτόν, συγχρόνως δὲ συνηγορεῖ ὑπὲρ τῶν ὅσων ἐλέχθησαν προηγουμένως ὑπὸ τοῦ Ἰωάννου. Διότι ἐὰν ἔχουν ἐκπληρωθῆ ὅλα μέχρι τοῦ Ἰωάννου, τότε ἐγὼ εἶμαι ὁ ἀναμενόμενος Μεσσίας. «Διότι», λέγει, «ὅλοι οἱ προφῆται καὶ ὁ νόμος προεφήτευσαν μέχρι τοῦ Ἰωάννου». Δὲν θὰ ἦτο δυνατὸν βέβαια νὰ παύσουν οἱ προφῆται, ἐὰν δὲν ἠρχόμην ἐγώ. Ἑπομένως μὴ περιμένετε τίποτε ἄλλο πέραν αὐτῶν, οὔτε νὰ ἀναμένετε κανένα ἄλλον. Τὸ ὅτι βέβαια ἐγὼ εἶμαι ὁ ἀναμενόμενος καθίσταται φανερὸν ἀπὸ τὸ ὅτι καθημερινῶς ἁρπάζουν οἱ ἄνθρωποι τὴν πίστιν ποὺ ἀναφέρεται εἰς ἐμέ. Διότι ἡ πίστις αὐτὴ εἶναι τόσον σαφής, ὥστε πολλοὶ ἁρπάζουν αὐτήν. Καὶ ποῖος τὴν ἥρπασεν; εἰπέ μου. Ὅλοι ἐκεῖνοι ποὺ πλησιάζουν μὲ προθυμίαν.

Ἐν συνεχείᾳ παραθέτει καὶ ἄλλην ἀπόδειξιν λέγων τὰ ἑξῆς· «Ἐὰν θέλετε νὰ τὸ παραδεχθῆτε, αὐτὸς εἶναι ὁ Ἠλίας ποὺ ἐπρόκειτο νὰ ἔλθῃ». «Διότι», λέγει, «θ' ἀποστείλω εἰς σᾶς τὸν Θεσβίτην Ἠλίαν, ὁ ὁποῖος θὰ ἐπαναφέρῃ εἰς τὴν καρδίαν τοῦ πατρὸς τὴν ἀγάπην διὰ τὰ τέκνα του»[10]. Αὐτὸς λοιπὸν εἶναι ὁ Ἠλίας καὶ ἐὰν προσέχετε, λέγει, μὲ ἀκρίβειαν θὰ τὸ ἀντιληφθῆτε. Διότι, λέγει, «Θὰ ἀποστείλω τὸν ἀγγελιαφόρον μου ἔμπροσθέν σου»[11]. Καὶ πολὺ σωστὰ εἶπεν, «ἐὰν θέλετε νὰ τὸ παραδεχθῆτε», καθόσον ἤθελε νὰ δείξῃ ὅτι δὲν ἤσκει βίαν. Διότι, λέγει, δὲν ἀναγκάζω κανένα. Αὐτὸ δὲ τὸ ἔλεγεν ἐπειδὴ ἤθελε ψυχὴν γεμάτην ἀπὸ εὐγνωμοσύνην καὶ διὰ νὰ δηλώσῃ ὅτι ὁ Ἰωάννης ἦτο ὁ Ἠλίας καὶ ὁ Ἠλίας ἦτο ὁ Ἰωάννης. Διότι καὶ οἱ δύο εἶχαν τὴν αὐτὴν ἀποστολὴν καὶ συγχρόνως καὶ οἱ δύο ἔγιναν πρόδρομοί του. Καὶ ἀκριβῶς διὰ τοῦτο δὲν εἶπεν ἁπλῶς, αὐτὸς εἶναι ὁ Ἠλίας, ἀλλά, «ἐὰν θέλετε νὰ τὸ παραδεχθῆτε, αὐτὸς εἶναι», δηλαδὴ ἐὰν ἐξετάζετε τὰ γεγονότα μὲ καλὴν διάθεσιν. Καὶ δὲν ἠρκέσθη μόνον εἰς αὐτά, ἀλλὰ διὰ νὰ δείξῃ

συνέσεως χρεία, πρὸς τὸ «Οὗτός ἐστιν Ἠλίας, ὁ μέλλων ἔρχεσθαι». «Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω». Τοσαῦτα δὲ αἰνίγματα ἐτίθει, διεγείρων αὐτοὺς εἰς ἐρώτησιν. Εἰ δὲ οὐδὲ οὕτως ἐξυπνίζοντο, πολλῷ μᾶλλον εἰ δῆλα ἦν καὶ σα-
5 *φῆ. Οὐδὲ γὰρ ἐκεῖνο ἂν ἔχοι τις εἰπεῖν, ὅτι οὐκ ἐτόλμων ἐρωτᾶν, καὶ ὅτι δυσπρόσιτος ἦν. Οἱ γὰρ ὑπὲρ τῶν τυχόντων αὐτὸν ἐρωτῶντες καὶ πειράζοντες, καὶ μυριάκις ἐπιστομισθέντες, καὶ οὐκ ἀποστάντες, πῶς ἂν ὑπὲρ τῶν ἀναγκαίων οὐκ ἐπύθοντο καὶ ἠρώτησαν, εἴγε καὶ μαθεῖν ἐπεθύ-*
10 *μουν; Εἰ γὰρ ὑπὲρ τῶν νομίμων ἠρώτων, ποία ἐντολὴ πρώτη, καὶ ὅσα τοιαῦτα, καίτοιγε οὐδεμία ἦν ἀνάγκη ταῦτα εἰπεῖν, πῶς τῶν παρ' αὐτοῦ λεγομένων, ὧν καὶ ταῖς ἀποκρίσεσι μᾶλλον ὑπεύθυνος ἦν, οὐκ ἂν ἐξήταζον τὴν διάνοιαν; καὶ μάλιστα ὁπότε αὐτὸς ἦν ὁ προτρέπων εἰς τοῦτο, καὶ ἐφελ-*
15 *κόμενος; Τῷ γὰρ εἰπεῖν, «Βιασταὶ ἁρπάζουσιν αὐτήν», εἰς προθυμίαν αὐτοὺς διεγείρει· καὶ τῷ εἰπεῖν· «Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω», τὸ αὐτὸ τοῦτο ποιεῖ.*

«Τίνι δὲ ὁμοιώσω τὴν γενεὰν ταύτην;» φησίν. «Ὁμοία ἐστὶ παιδίοις καθημένοις ἐπὶ τῆς ἀγορᾶς, καὶ λέγουσιν·
20 *ηὐλήσαμεν ὑμῖν, καὶ οὐκ ὠρχήσασθε· ἐθρηνήσαμεν ὑμῖν, καὶ οὐκ ἐκόψασθε». Πάλιν ταῦτα δοκεῖ μὲν ἀπηρτῆσθαι τῶν προτέρων, σφόδρα δὲ αὐτοῖς ἐστιν ἀκόλουθα. Καὶ γὰρ ἔτι τοῦ κεφαλαίου ἔχεται τοῦ αὐτοῦ, καὶ τοῦ δεῖξαι συνῳδὰ αὐτῷ*

ὅτι ἀπαιτεῖται σύνεσις, μετὰ τό, «αὐτὸς εἶναι ὁ Ἠλίας ποὺ ἐπρόκειτο νὰ ἔλθῃ», προσέθεσεν· «Αὐτὸς ποὺ ἔχει πνευματικὰ αὐτιὰ διὰ ν' ἀκούῃ, ἂς τὰ ἀκούῃ αὐτά». Τόσον μεγάλα δὲ αἰνίγματα τοὺς παρέθετεν, ὥστε νὰ τοὺς παρακινήσῃ νὰ τὸν ἐρωτήσουν. Ἐὰν ὅμως οὔτε ἔτσι ἀφυπνίζοντο, κατὰ μεγαλύτερον λόγον δὲν θὰ συνέβαινεν αὐτὸ ἐὰν οἱ λόγοι ἦσαν φανεροὶ καὶ σαφεῖς. Διότι οὔτε ἠμπορεῖ κανεὶς νὰ ἰσχυρισθῇ αὐτό, ὅτι δηλαδὴ δὲν εἶχαν τὴν τόλμην νὰ τὸν ἐρωτήσουν, καὶ ὅτι ἦτο δυσκολοπλησίαστος. Διότι αὐτοὶ ποὺ τὸν ἠρώτουν καὶ τὸν ἐπείραζαν διὰ τυχαῖα πράγματα καὶ ἀπεστομώθησαν πολλὰς φορὰς καὶ ὅμως δὲν ἔπαυσαν νὰ ἐρωτοῦν, διατί δὲν ἐζήτησαν νὰ πληροφορηθοῦν καὶ δὲν τὸν ἠρώτησαν διὰ τὰ ἀπαραίτητα πράγματα, ἐὰν βέβαια ἐπεθύμουν πράγματι νὰ μάθουν; Διότι ἐὰν τὸν ἠρώτουν διὰ τὰς διατάξεις τοῦ νόμου, ὅπως, ἐπὶ παραδείγματι, ποία ἐντολὴ εἶναι πρώτη καὶ πολλὰ ἄλλα παρόμοια, μολονότι δὲν ὑπῆρχε καμμία ἀνάγκη νὰ διευκρινίσουν αὐτά, διατί δὲν ἐπρόσεξαν τὸ νόημα τῶν λόγων τοῦ Κυρίου διὰ τοὺς ὁποίους ἦτο ὁ μόνος ὑπεύθυνος νὰ δώσῃ ἐξηγήσεις; καὶ μάλιστα ὅταν ὁ ἴδιος ἦτο ἐκεῖνος ποὺ τοὺς προέτρεπεν εἰς τοῦτο καὶ τοὺς προεκάλει; Διότι ὅπως ὅταν εἶπεν· «Οἱ βιασταὶ ἁρπάζουν τὴν βασιλείαν», διήγειρε τὴν ἐπιθυμίαν των νὰ ἐρωτήσουν, ἔτσι καὶ ὅταν εἶπεν· «Ἐκεῖνος ποὺ ἔχει πνευματικὰ αὐτιὰ διὰ ν' ἀκούῃ τοὺς λόγους μου, ἂς τοὺς ἀκούῃ», κάνει τὸ ἴδιο πρᾶγμα.

«Ἀλλά», λέγει, «μὲ τί νὰ παρομοιάσω τὴν γενεὰν αὐτήν; ὁμοιάζει μὲ ἀνόητα παιδιὰ ποὺ κάθονται εἰς τὴν ἀγορὰν καὶ λέγουν· Ἐπαίξαμεν χαρούμενα ἄσματα μὲ τὸν αὐλὸν καὶ δὲν ἐχορεύσατε· ἐθρηνήσαμεν πρὸς χάριν σας καὶ δὲν ἐκλαύσατε κατὰ τρόπον ἀπαρηγόρητον». Καὶ αὐτὰ τὰ λόγια ἐκ πρώτης μὲν ὄψεως φαίνονται ὅτι δὲν ἔχουν σχέσιν πρὸς τὰ προηγούμενα, εἰς τὴν πραγματικότητα ὅμως συνδέονται ἄμεσα μὲ αὐτά. Καθόσον ὁ Κύριος ἐξετάζει ἀκόμη τὸ ἴδιο θέμα καὶ θέλει ν' ἀποδείξῃ ὅτι ὁ Ἰωάννης βοη-

πράττοντα τὸν Ἰωάννην, εἰ καὶ τὰ γινόμενα ἐναντία ἦν· ὥσπερ οὖν καὶ ἐπὶ τῆς ἐρωτήσεως· καὶ δείκνυσιν ὅτι οὐδὲν ἦν ὀφεῖλον γενέσθαι εἰς σωτηρίαν αὐτῶν, καὶ παρελείφθη· ὃ πρὸς τὸν ἀμπελῶνά φησιν ὁ προφήτης· «Τὶ ἔδει με ποιῆσαι τῷ ἀμπελῶνι τούτῳ, καὶ οὐ ἐποίησα;».

«Τίνι γάρ», φησίν, «ὁμοιώσω τὴν γενεὰν ταύτην; Ὁμοία ἐστὶ παιδίοις καθημένοις ἐπὶ τῆς ἀγορᾶς, καὶ λέγουσιν· ηὐλήσαμεν ὑμῖν, καὶ οὐκ ὠρχήσασθε· ἐθρηνήσαμεν ὑμῖν, καὶ οὐκ ἐκόψασθε. Ἦλθε γὰρ Ἰωάννης μήτε ἐσθίων, μήτε πίνων, καὶ λέγουσι· δαιμόνιον ἔχει. Ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων, καὶ λέγουσιν· ἰδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης, τελωνῶν φίλος καὶ ἁμαρτωλῶν».

Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἐναντίαν ἑκάτερος ἤλθομεν ὁδόν, ἐγὼ καὶ Ἰωάννης, καὶ ταὐτὸν ἐποιήσαμεν, οἷον ἂν εἴ τινες θηραταὶ ζῷον δυσθήρατον διὰ δύο μέλλον ἐμπίπτειν ὁδῶν εἰς τὰ θήρατρα, ἑκατέραν ἕκαστος ἀπολαβὼν ὁδὸν ἐλαύνοι ἐξεναντίας ἑστὼς τῷ ἑτέρῳ, ὥστε πάντως εἰς θάτερον ἐμπεσεῖν. Σκόπει γοῦν ἅπαν τὸ τῶν ἀνθρώπων γένος, ὅπως πρὸς τὸ τῆς νηστείας ἐπτόηται θαῦμα, καὶ τὸν σκληρὸν τοῦτον καὶ φιλόσοφον βίον. Διὰ τοῦτο ᾠκονόμητο τοῦτο, ἐκ πρώτης ἡλικίας οὕτω τραφῆναι τὸν Ἰωάννην, ὥστε καὶ ἐντεῦθεν ἀξιόπιστα γενέσθαι τὰ λεγόμενα παρ' αὐτοῦ.

Καὶ τίνος ἕνεκεν οὐκ αὐτός, φησί, ταύτην εἵλετο τὴν

12. Ἡσ. 5, 4.

θεῖ τὰ μέγιστα τὸ ἰδικόν του ἔργον, ἂν καὶ ἦσαν ἀντίθετα τὰ ὅσα συνέβησαν, ὅπως ἀκριβῶς συνέβη καὶ μὲ τὴν ἐρώτησίν του πρὸς τὸν Κύριον μέσῳ τῶν μαθητῶν του. Καὶ ἀκόμη ἀποδεικνύει ὅτι τίποτε δὲν παρελείφθη ἀπὸ ἐκεῖνα ποὺ ἔπρεπε νὰ γίνουν διὰ τὴν σωτηρίαν των, πρᾶγμα ποὺ ὁ προφήτης τὸ λέγει διὰ τὸν ἀμπελῶνα· «Τί εἶναι αὐτὸ ποὺ ἔπρεπε νὰ τὸ κάνω διὰ τὸν ἀμπελῶνα αὐτὸν καὶ δὲν τὸ ἔκανα;»[12].

«'Αλλά», λέγει, «μὲ τί νὰ παρομοιάσω τὴν γενεὰν αὐτήν; ὁμοιάζει μὲ ἀνόητα παιδιὰ ποὺ κάθονται εἰς τὴν ἀγορὰν καὶ λέγουν· 'Επαίξαμεν χαρούμενα ἄσματα μὲ τὸν αὐλὸν καὶ δὲν ἐχορεύσατε· ἐθρηνήσαμεν πρὸς χάριν σας καὶ δὲν ἐκτυπήσατε τὰ στήθη σας κατὰ τρόπον ἀπαρηγόρητον. Διότι ἦλθεν ὁ 'Ιωάννης, ὁ ὁποῖος οὔτε ἔτρωγεν, οὔτε ἔπινε, καὶ λέγουν· Δαιμόνιον ἔχει μέσα του. Ἦλθεν ὁ υἱὸς τοῦ ἀνθρώπου, ποὺ τρώγει καὶ πίνει, καὶ λέγουν· 'Ιδοὺ ἄνθρωπος φάγος καὶ οἰνοπότης, φίλος τῶν τελωνῶν καὶ τῶν ἁμαρτωλῶν».

Οἱ λόγοι αὐτοὶ σημαίνουν τὸ ἑξῆς. 'Ο καθεὶς ἀπὸ τοὺς δύο μας, ἐγὼ δηλαδὴ καὶ ὁ 'Ιωάννης, ἐβαδίσαμεν διαφορετικὸν δρόμον καὶ ὅμως ἐπετύχαμεν τὸ ἴδιο πρᾶγμα. Ὅπως, λόγου χάριν, ὅταν μερικοὶ κυνηγοὶ κυνηγοῦν ἕνα ζῶον ποὺ δύσκολα συλλαμβάνεται, ἐπειδὴ πρόκειται ἀπὸ δύο δρόμους νὰ πέσῃ εἰς τὰς παγίδας, ἀφοῦ ὁ καθεὶς ἀναλάβῃ ἀπὸ ἕνα δρόμον τρέχει ἐναντίον τοῦ ζώου εὑρισκόμενος ἀπέναντι τοῦ ἄλλου, ὥστε νὰ πέσῃ αὐτὸ ὁπωσδήποτε εἰς μίαν ἀπὸ τὰς δύο παγίδας. Πρόσεξε λοιπὸν πῶς ὅλοι οἱ ἄνθρωποι ἔμειναν κατάπληκτοι ἀπὸ τὴν ἀξιοθαύμαστον νηστείαν τοῦ 'Ιωάννου καὶ τὸν σκληρὸν καὶ θεάρεστον τρόπον τῆς ζωῆς του. Κατὰ θείαν οἰκονομίαν συνέβη ν' ἀνατραφῇ ἀπὸ τὴν παιδικὴν ἡλικίαν του ὁ 'Ιωάννης κατ' αὐτὸν τὸν τρόπον ὥστε καὶ ἐξ αἰτίας αὐτοῦ νὰ γίνουν πιστευτὰ τὰ ὅσα ἐκηρύσσοντο ὑπ' αὐτοῦ.

Καὶ διὰ ποῖον λόγον, θὰ ἔλεγε κανείς, δὲν ἐβάδισε καὶ

ὁδόν; Μάλιστα μὲν οὖν καὶ αὐτὸς ταύτην ἦλθεν, ὅτε τὰς τεσσαράκοντα ἡμέρας ἐνήστευσε, καὶ περιήει διδάσκων, καὶ οὐκ ἔχων ποῦ τὴν κεφαλὴν κλίνῃ· πλὴν ἀλλὰ καὶ ἑτέρως τὸ αὐτὸ τοῦτο κατεσκεύαζε, καὶ τὸ ἐντεῦθεν ᾠκονόμει κέρδος.
5 *Τοῦ γὰρ ἐλθεῖν αὐτὸν τὴν ὁδὸν ταύτην, ταὐτὸν ἦν, ἢ καὶ πολλῷ μεῖζον, τὸ ὑπὸ τοῦ ἐλθόντος μαρτυρεῖσθαι. Ἄλλως δέ, ὁ μὲν Ἰωάννης οὐδὲν πλέον ἐπεδείξατο, πλὴν τοῦ βίου καὶ τῆς πολιτείας· «Ἰωάννης γάρ», φησίν, «οὐδὲν ἐποίησε σημεῖον»· αὐτὸς δὲ καὶ τὴν ἀπὸ τῶν σημείων καὶ τὴν ἀπὸ*
10 *τῶν θαυμάτων μαρτυρίαν εἶχεν. Ἀφεὶς τοίνυν Ἰωάννην ἀπὸ τῆς νηστείας λάμπειν, αὐτὸς τὴν ἐναντίαν ἦλθε, καὶ εἰς τραπέζας εἰσιὼν τελωνῶν, καὶ ἐσθίων καὶ πίνων.*

4. Ἐρώμεθα τοίνυν Ἰουδαίους· καλὸν ἡ νηστεία καὶ θαυμαστόν; Οὐκοῦν ἔδει πείθεσθαι Ἰωάννῃ, καὶ ἀποδέχεσθαι
15 *αὐτόν, καὶ πιστεύειν τοῖς ὑπ' αὐτοῦ λεγομένοις. Οὕτω γὰρ ὑμᾶς ἔμελλεν ἐκεῖνα τὰ ῥήματα προσάγειν τῷ Ἰησοῦ. Ἀλλὰ φορτικὸν ἡ νηστεία καὶ ἐπαχθές; Οὐκοῦν ἔδει πείθεσθαι τῷ Ἰησοῦ καὶ πιστύειν αὐτῷ τὴν ἐναντίαν ἐλθόντι. Δι' ἀμφοτέρας γὰρ ὁδοῦ εἰς τὴν βασιλείαν ἐμέλλετε ἐμπίπτειν. Ἀλλ'*
20 *ὥσπερ θηρίον δύστροπον ἑκατέρους ἐκάκιζον. Οὐκ ἄρα τὸ ἔγκλημα τῶν μὴ πιστευθέντων, ἀλλ' ἡ κατηγορία τῶν μὴ πιστευσάντων ἦν. Οὐδεὶς γάρ ποτε τὰ ἐναντία κακίζειν ἕλοιτο, ὥσπερ οὖν οὐδὲ ἐπαινεῖν. Οἷον τι λέγω· ὁ τὸν φαιδρὸν ἀποδεχόμενος ἄνθρωπον καὶ ἀνειμένον, τὸν σκυθρωπὸν*

13. Ἰω. 10, 41.

ὁ Ἰησοῦς τὸν ἴδιον δρόμον; Κατ' οὐσίαν βέβαια καὶ ὁ Κύριος ἐβάδισε τὸν ἴδιον δρόμον, ὅταν ἐνήστευσεν ἐπὶ σαράντα ἡμέρας εἰς τὴν ἔρημον, ὅταν περιήρχετο τὰς πόλεις καὶ τὰ χωρία καὶ ἐδίδασκε καὶ δὲν εἶχε ποῦ νὰ κλίνῃ τὴν κεφαλήν του. Πλὴν ὅμως καὶ μὲ ἄλλον τρόπον ἐπετύγχανε τὸ ἴδιο πρᾶγμα καὶ προσέφερε μεγάλην ὠφέλειαν καὶ μὲ τὸν τρόπον αὐτόν. Διότι τὸ νὰ βαδίσῃ ὁ Κύριος τὸν δρόμον τοῦ Ἰωάννου ἦτο τὸ ἴδιο πρᾶγμα, ὅμως ἦτο πολὺ ἀνώτερον τὸ νὰ ἐπαινῆται ὁ Ἰωάννης ἀπὸ τὸν ἐλθόντα Κύριον. Ἐξ ἄλλου ὁ μὲν Ἰωάννης δὲν εἶχε νὰ παρουσιάσῃ τίποτε περισσότερον ἀπὸ τὴν ζωήν του καὶ τὸν ὅλον ἐν γένει τρόπον μὲ τὸν ὁποῖον ἔζησε. «Διότι ὁ Ἰωάννης», θὰ ἔλεγε κανείς, «δὲν ἔκανε κανένα θαῦμα»[13], ἀντιθέτως ὁ Ἰησοῦς εἶχε καὶ τὴν μαρτυρίαν ἀπὸ τὰ σημεῖα καὶ τὰ θαύματα ποὺ ἔκανεν. Ἀφοῦ λοιπὸν ὁ Κύριος ἄφησε τὸν Ἰωάννην νὰ λάμπῃ μὲ τὴν νηστείαν του, ὁ ἴδιος ἠκολούθησε τὸν ἀντίθετον δρόμον καὶ ἐπήγαινεν εἰς τὰ συμπόσια τῶν τελωνῶν καὶ ἔπινεν.

4. Ἄς ἐρωτήσωμεν λοιπὸν τοὺς Ἰουδαίους· Ἡ νηστεία εἶναι καλὸν καὶ ἀξιοθαύμαστον πρᾶγμα; Τότε ἔπρεπε νὰ ὑπακούετε εἰς τὸν Ἰωάννην, νὰ τὸν δέχεσθε καὶ νὰ πιστεύετε εἰς τὰ ὑπ' αὐτοῦ λεγόμενα. Διότι ἔτσι οἱ λόγοι ἐκεῖνοι ἐπρόκειτο νὰ σᾶς ὁδηγήσουν πλησίον τοῦ Ἰησοῦ. Μήπως ὅμως ἡ νηστεία εἶναι δύσκολον καὶ βαρὺ πρᾶγμα; Μὰ τότε λοιπὸν ἔπρεπε νὰ ὑπακούετε εἰς τὸν Ἰησοῦν καὶ νὰ πιστεύτε εἰς αὐτὸν ποὺ ἐβάδισε τὸν ἀντίθετον δρόμον. Διότι καὶ μὲ τοὺς δύο δρόμους ἐπρόκειτο νὰ ὁδηγηθῆτε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Ἀλλ' ὅμως ὡσὰν νὰ ἐπρόκειτο δι' ἄγρια θηρία κατηγόρουν καὶ τοὺς δύο. Ἑπομένως δὲν εὐθύνονται ἐκεῖνοι ποὺ δὲν ἔγιναν πιστευτοί, ἀλλ' ἡ κατηγορία βαρύνει τοὺς Ἰουδαίους ποὺ δὲν τοὺς ἐπίστευσαν. Διότι οὐδέποτε συνέβη ἕνας ἄνθρωπος νὰ κατηγορῇ δύο πράγματα ἀντίθετα μεταξύ των, ὅπως πάλιν οὔτε καὶ νὰ τὰ ἐπαινῇ. Σημαίνει δὲ αὐτὸ ποὺ λέγω τὸ ἑξῆς· Ἐκεῖνος ποὺ ἀποδέχεται τὸν πρόσχαρον καὶ ἤπιον ἄνθρωπον, δὲν θὰ ἀποδεχθῇ

καὶ βαρὺν οὐκ ἀποδέξεται· ὁ τὸν σκυθρωπὸν ἐπαινῶν, τὸν φαιδρὸν οὐκ ἐπαινέσει. Ἀμήχανον γὰρ καὶ ταύτην κἀκείνην τιθέναι τὴν ψῆφον. Διὰ τοῦτο καὶ αὐτός φησιν· «Ηὐλήσαμεν ὑμῖν, καὶ οὐκ ὠρχήσασθε»· τουτέστι, τὸν ἀνειμένον βίον ὑπέδειξα καὶ οὐκ ἐπείσθητε· καί, «ἐθρηνήσαμεν καὶ οὐκ ἐκόψασθε»· τουτέστιν, Ἰωάννης τὸν σκληρὸν καὶ βαρὺν μετῆλθε βίον καὶ οὐ προσέσχετε. Καὶ οὐ λέγει, ἐκεῖνος τοῦτον, κἀγὼ τοῦτον· ἀλλ' ἐπειδὴ μία γνώμη ἑκατέρων ἦν, εἰ καὶ τὰ ἐπιτηδεύματα ἐναντία, διὰ τοῦτο κοινὰ τὰ γεγενημένα φησὶν εἶναι. Καὶ γὰρ καὶ τὸ τὴν ἐναντίαν ἐλθεῖν ὁδόν, ἀπὸ συμφωνίας ἐπιτεταμένης ἐγίνετο, καὶ πρὸς ἓν βλεπούσης τέλος.

Ποίαν οὖν σχοίητε λοιπὸν ἀπολογίαν; Διὰ τοῦτο καὶ ἐπήγαγε· «Καὶ ἐδικαιώθη ἡ σοφία ἀπὸ τῶν τέκνων αὐτῆς»· τουτέστιν, εἰ καὶ ὑμεῖς οὐκ ἐπείσθητε, ἀλλ' ἐμοὶ λοιπὸν ἐγκαλεῖν οὐκ ἔχετε. Ὃ περὶ τοῦ Πατρός φησιν ὁ προφήτης· «Ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου». Ὁ γὰρ Θεός, κἂν μηδὲν ἀνύῃ πλέον ἀπὸ τῆς περὶ ἡμᾶς κηδεμονίας, τὰ παρ' ἑαυτοῦ πάντα πληροῖ, ὥστε τοῖς ἀναισχυντεῖν βουλομένοις μηδὲ σκιὰν καταλιπεῖν ἀγνώμονος ἀμφιβολίας. Εἰ δὲ τὰ παραδείγματα εὐτελῆ καὶ κακέμφατα, μὴ θαυμάσῃς· πρὸς γὰρ τὴν ἀσθένειαν τῶν ἀκουόντων διελέγετο. Ἐπεὶ καὶ ὁ Ἰεζεκιὴλ πολλὰ λέγει παραδείγματα αὐτοῖς πρόσφορα καὶ τῆς τοῦ Θεοῦ μεγαλωσύνης ἀνάξια. Ἀλλὰ καὶ τοῦτο μάλιστα ἄξιον αὐτοῦ τῆς κηδεμονίας. Σκόπει δὲ αὐτοὺς καὶ ἑτέρω-

14. Ψαλμ. 50, 6.
15. Πρβλ. Ἰεζ. κεφ. 4 καὶ 16.

τὸν σκυθρωπὸν καὶ τὸν αὐστηρόν, καὶ ἐκεῖνος ποὺ ἐπαινεῖ τὸν σκυθρωπὸν δὲν θὰ ἐπαινέσῃ τὸν πρόσχαρον. Διότι εἶναι ἀδύνατον νὰ ἐπαινέσῃ καὶ τὸν ἕνα καὶ τὸν ἄλλον. Καὶ ἀκριβῶς διὰ τοῦτο ὁ Κύριος λέγει· «Ἐπαίξαμεν χαρούμενα ἄσματα μὲ τὸν αὐλὸν καὶ δὲν ἐχορεύσατε», δηλαδὴ σᾶς παρουσίασα τὸν μὴ αὐστηρὸν τρόπον ζωῆς καὶ δὲν ἐπιστεύσατε. Καί· «Ἐθρηνήσαμεν πρὸς χάριν σας καὶ δὲ ἐκτυπήσατε τὰ στήθη σας κλαίοντες κατὰ τρόπον ἀπαρηγόρητον», δηλαδὴ ὁ Ἰωάννης ἔζησε κατὰ τρόπον σκληρὸν καὶ δύσκολον καὶ δὲν τὸν προσέξατε. Καὶ δὲν λέγει ὅτι ἐκεῖνος ἔζησε κατ' αὐτὸν τὸν τρόπον καὶ ἐγὼ κατ' ἄλλον, ἀλλ' ἐπειδὴ καὶ οἱ δύο εἶχαν τὴν αὐτὴν γνώμην, ἂν καὶ αἱ ἐκδηλώσεις των ἦσαν διαφορετικαί, διὰ τοῦτο λέγει ὅτι αἱ πράξεις των ἦσαν κοιναί. Καθόσον καὶ τὸ ὅτι ὁ Κύριος ἠκολούθησε τὸν ἀντίθετον δρόμον, αὐτὸ συνέβη ἐξ αἰτίας τῆς μεγάλης των συμφωνίας καὶ ἀπέβλεπε πρὸς ἕνα καὶ τὸν αὐτὸν σκοπόν.

Ποίαν λοιπὸν δικαιολογίαν θὰ ἠμπορέσετε εἰς τὸ ἑξῆς νὰ παρουσιάσετε; Καὶ ἀκριβῶς διὰ τὸν λόγον αὐτὸν προσέθεσε· «Καὶ ἐδικαιώθη ἡ σοφία τοῦ Θεοῦ ἀπὸ τὰ ἴδια τὰ τέκνα της», δηλαδὴ ἂν καὶ δὲν ἐπιστεύσατε σεῖς, ὅμως δὲν ἠμπορεῖτε εἰς τὸ μέλλον νὰ μὲ κατηγορῆτε. Πρᾶγμα ποὺ καὶ ὁ προφήτης τὸ λέγει διὰ τὸν Πατέρα· «Διὰ νὰ ἀποδειχθοῦν δίκαιοι οἱ λόγοι σου»[14]. Διότι ὁ Θεὸς μολονότι δὲν κάνει τίποτε ἐπὶ πλέον ἀπὸ τὸ νὰ φροντίζῃ διαρκῶς δι' ἡμᾶς, παρὰ ταῦτα προσφέρει ὅλα ὅσα ἐξαρτῶνται ἀπὸ αὐτόν, ὥστε εἰς ἐκείνους ποὺ θέλουν νὰ συμπεριφέρωνται μὲ ἀναισχυντίαν νὰ μὴ ἀφήνῃ οὔτε κἂν σκιὰν ἀγνώμονος ἀμφιβολίας. Τὸ ἂν συμβαίνῃ ὅμως τὰ παραδείγματα νὰ εἶναι ἁπλᾶ καὶ δὲν ἠχοῦν καλὰ εἰς τὰ αὐτιά, μὴ ἀπορῇς, διότι ὡμίλει ἀνάλογα μὲ τὰς πνευματικὰς δυνάμεις τῶν ἀκροατῶν του. Διότι καὶ ὁ Ἰεζεκιὴλ τοὺς ἀναφέρει πολλὰ παραδείγματα ποὺ ἦσαν κατάλληλα δι' αὐτούς, ἀνάξια ὅμως τῆς μεγαλωσύνης τοῦ Θεοῦ[15]. Ἀλλὰ καὶ τὸ γεγονὸς αὐτὸ ἀποδεικνύει ὅλως ἰδιαιτέρως τὸ μεγάλον ἐνδιαφέρον τοῦ Κυρίου δι' αὐτούς. Πρό-

θεν εἰς ἐναντίας περιενεχθέντας δόξας. Εἰπόντες γὰρ περὶ Ἰωάννου, ὅτι δαιμόνιον ἔχει, οὐκ ἔστησαν μέχρι τούτου, ἀλλὰ καὶ περὶ αὐτοῦ τὰ ἐναντία αἱρουμένου τὸ αὐτὸ τοῦτο εἶπον πάλιν· οὕτως εἰς μαχομένας ἀεὶ περιεφέροντο δόξας.
5 *Ὁ δὲ Λουκᾶς μετὰ τούτων καὶ ἑτέραν μείζονα τίθησιν αὐτῶν κατηγορίαν, εἰπών· «Οἱ γὰρ τελῶναι ἐδικαίωσαν τὸν Θεόν, δεξάμενοι τὸ βάπτισμα Ἰωάννου».*

Τότε λοιπὸν ὀνειδίζει τὰς πόλεις, ὅτε ἐδικαιώθη ἡ σοφία, ὅτε ἀπέδειξε πάντα πεπληρωμένα. Ἐπειδὴ γὰρ οὐκ
10 *ἔπεισε, ταλανίζει λοιπόν, ὃ τοῦ φοβῆσαι πλέον ἐστί. Καὶ γὰρ τὴν ἀπὸ τῶν λόγων διδασκαλίαν ἐπεδείξατο, καὶ τὴν ἀπὸ τῶν σημείων θαυματουργίαν. Ἐπειδὴ δὲ ἔμειναν ἐπὶ τῆς αὐτῶν ἀπειθείας, ὀνειδίζει λοιπόν. «Τότε γάρ», φησίν, «ὁ Ἰησοῦς ἤρξατο ὀνειδίζειν τὰς πόλεις,, ἐν αἷς ἐγένοντο αἱ*
15 *πλεῖσται δυνάμεις αὐτοῦ, ὅτι οὐ μετενόησαν, λέγων· οὐαί σοι Χοραζίν· οὐαί σοι Βηθσαϊδά». Εἶτα ἵνα μάθῃς οὐ ἀπὸ φύσεως αὐτοὺς τοιούτους ὄντας, τίθησι καὶ τὸ ὄνομα τῆς πόλεως, ἀφ' ἧς πέντε προῆλθον ἀπόστολοι. Ὅ τε γὰρ Φίλιππος καὶ αἱ δύο ξυνωρίδες ἐκεῖναι αἱ τῶν κορυφαίων*
20 *ἐντεῦθεν ἦσαν. «Ὅτι εἰ ἐν Τύρῳ καὶ Σιδῶνι ἐγένοντο», φησίν, «αἱ δυνάμεις αἱ γενόμεναι ἐν ὑμῖν, ἐν σάκκῳ καὶ σποδῷ μετενόησαν. Πλὴν λέγω ὑμῖν, Τύρῳ καὶ Σιδῶνι ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως, ἢ ὑμῖν. Καὶ σὺ Καπερναούμ, ἡ ἕως τοῦ οὐρανοῦ ὑψωθεῖσα, ἕως ᾅδου καταβιβα-*

---

16. Λουκᾶ 7, 29.
17. Χοραζίν· πόλις παρὰ τὴν λίμνην τῆς Γαλιλαίας.
18. Βηθσαϊδά· πόλις παρὰ τὴν λίμνην τῆς Τιβεριάδος ἀπὸ ὅπου κατήγετο ὁ Φίλιππος.
19. Πέτρος - Ἀνδρέας, Ἰάκωβος - Ἰωάννης.

σεξε ὅμως ὅτι αὐτοὶ καὶ ἀπὸ ἄλλης ἀπόψεως ἔφθασαν εἰς τὸ νὰ διατυπώνουν ἀντιφατικὰς γνώμας. Διότι ὅταν εἶπαν διὰ τὸν Ἰωάννην ὅτι ἔχει δαιμόνιον, δὲν ἠρκέσθησαν μόνον εἰς αὐτόν, ἀλλὰ τὸ ἴδιο εἶπαν πάλιν καὶ διὰ τὸν Ἰησοῦν ποὺ ἠκολούθησε τὸν ἀντίθετον δρόμον, καὶ ἔτσι διετύπωναν συνεχῶς ἀλληλοσυγκρουομένας γνώμας. Ὁ Λουκᾶς ὅμως μαζὶ μὲ αὐτὰ τοὺς ἀποδίδει καὶ ἄλλην μεγαλυτέραν κατηγορίαν, λέγων τὰ ἑξῆς· «Ἀκόμη καὶ οἱ τελῶναι ἀπέδωσαν δίκαιον εἰς τὸν Θεὸν μὲ τὸ ν' ἀποδεχθοῦν τὸ βάπτισμα τοῦ Ἰωάννου»[16].

Ὅταν λοιπὸν ἐδικαιώθη ἡ σοφία τοῦ Θεοῦ καὶ ἀπέδειξεν ὅτι ὅλα εἶχαν ἐκπληρωθῆ, τότε πλέον προχωρεῖ εἰς τὴν ἐπίπληξιν τῶν πόλεων. Ἐπειδὴ δηλαδὴ δὲν τοὺς ἔπεισεν, εἰς τὴν συνέχειαν τοὺς ταλανίζει, πρᾶγμα ποὺ εἶναι πιὸ φοβερὸν ἀπὸ τὸν ἐκφοβισμόν. Διότι πράγματι τοὺς παρουσίασε καὶ τὴν διὰ τοῦ κηρύγματος διδασκαλίαν καὶ τὴν θαυματουργικὴν δύναμίν του μὲ τὰ θαύματα ποὺ ἔκανεν. Ἐπειδὴ ὅμως ἐξηκολούθησαν νὰ παραμένουν εἰς τὴν ἀπιστίαν των, διὰ τοῦτο εἰς τὴν συνέχειαν τοὺς ἐπιπλήττει. Διότι, λέγει, «Τότε ἤρχισεν ὁ Ἰησοῦς νὰ ἐπιπλήττῃ τὰς πόλεις εἰς τὰς ὁποίας εἶχαν γίνει τὰ περισσότερα θαύματά του, διότι δὲν μετενόησαν, λέγων τὰ ἑξῆς· «Ἀλλοίμονόν σου Χοραζίν[17], ἀλλοίμονόν σου Βηθσαϊδά»[18]. Ἔπειτα διὰ νὰ πληροφορηθῇς ὅτι αὐτοὶ οἱ ἄνθρωποι δὲν ἦσαν ἐκ φύσεως ἄπιστοι, ἀναφέρει καὶ τὸ ὄνομα τῆς πόλεως, ἀπὸ τὴν ὁποίαν προήρχοντο πέντε ἀπόστολοι. Διότι καὶ ὁ Φίλιππος καὶ τὰ δύο ἐκεῖνα ζεύγη τῶν κορυφαίων μαθητῶν[19] κατήγοντο ἀπὸ τὴν Βηθσαϊδά. «Διότι», λέγει «ἐὰν εἰς τὰς πόλεις Τύρον καὶ Σιδῶνα εἶχαν γίνει τὰ θαύματα ποὺ ἔγιναν εἰς σᾶς, οἱ κάτοικοί των θὰ εἶχαν μετανοήσει ἐκδηλώνοντες τὴν συντριβήν των μὲ σάκκον καὶ στάκτην. Ἀλλὰ σᾶς διαβεβαιῶ ὅτι κατὰ τὴν ἡμέραν τῆς κρίσεως οἱ κάτοικοι τῆς Τύρου καὶ τῆς Σιδῶνος θὰ τιμωρηθοῦν ἐπιεικέστερα παρὰ σεῖς. Καὶ σὺ Καπερναοὺμ ποὺ ὑψώθης μέχρι τὸν οὐρανὸν θὰ καταβιβασθῇς

σθήσῃ· ὅτι εἰ ἐν Σοδόμοις ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν σοί, ἔμειναν ἂν μέχρι τῆς σήμερον. Πλὴν λέγω ὑμῖν, ὅτι γῇ Σοδόμων ἀνεκτότερον ἔσται ἐν ἡμέρᾳ κρίσεως, ἢ σοί». Καὶ τὰ Σόδομα δὲ αὐτοῖς οὐχ ἁπλῶς προστίθησιν, ἀλλ'
5 *αὔξων τὴν κατηγορίαν. Καὶ γὰρ μεγίστη κακίας ἀπόδειξις, ὅταν μὴ τῶν τότε ὄντων, ἀλλὰ καὶ τῶν πώποτε γενομένων πονηρῶν φαίνωνται χείρους ἐκεῖνοι. Οὕτω καὶ ἀλλαχοῦ ποιεῖται σύγκρισιν, διὰ Νινευϊτῶν αὐτοὺς κατακρίνων καὶ διὰ τῆς βασιλίσσης τοῦ νότου· ἀλλ' ἐκεῖ μέν, διὰ τῶν κα-*
10 *τωρθωκότων· ἐνταῦθα δέ, καὶ διὰ τῶν ἡμαρτηκότων, ὃ πολὺ βαρύτερον ἦν. Τοῦτον καὶ ὁ Ἰεζεκιὴλ οἶδε τῆς κατακρίσεως τὸν νόμον· διὸ καὶ ἔλεγε τῇ Ἰερουσαλήμ· «Ἐδικαίωσας τὰς ἀδελφάς σου ἐν πάσαις ταῖς ἁμαρτίαις σου». Οὕτω πανταχοῦ τῇ παλαιᾷ ἐμφιλοχωρεῖν εἴωθε. Καὶ οὐδὲ ἐνταῦθα τὸν λόγον*
15 *ἵστησιν, ἀλλὰ καὶ τὸν φόβον ἐπιτείνει λέγων, ὅτι χαλεπώτερα πείσονται Σοδομηνῶν καὶ Τυρίων, ὥστε πανταχόθεν αὐτοὺς ἐναγαγεῖν, καὶ ἀπὸ τοῦ ταλανίζειν καὶ ἀπὸ τοῦ φοβεῖν.*

5. Ταῦτα δὴ καὶ ἡμεῖς ἀκούωμεν. Οὐδὲ γὰρ τοῖς ἀπιστοῦσι μόνον, ἀλλὰ καὶ ἡμῖν χαλεπωτέραν ὥρισε κόλασιν
20 *Σοδομηνῶν, εἰ μὴ δεξόμεθα τοὺς εἰσιόντας πρὸς ἡμᾶς ξένους, ὅτε καὶ τὸν κονιορτὸν ἐκτινάξαι ἐκέλευσε· καὶ μάλα εἰκότως. Ἐκεῖνοι μὲν γάρ, εἰ καὶ παράνομα ἥμαρτον, ἀλλὰ πρὸ τοῦ νόμου καὶ τῆς χάριτος· ἡμεῖς δὲ μετὰ τοσαύτην ἐπιμέλειαν, τίνος ἂν εἴημεν συγγνώμης ἄξιοι, μισοξενίαν το-*

---

20. Πρβλ. Ματθ. 12, 41-42.
21. Ἰεζ. 16, 51.

μέχρι τὸν Ἅδην. Διότι, ἐὰν εἶχαν γίνει εἰς τὰ Σόδομα τὰ θαύματα ποὺ ἔγιναν εἰς σέ, θὰ ἦτο δυνατὸν νὰ μείνουν μέχρι σήμερα. Ἀλλὰ σᾶς διαβεβαιῶ ὅτι οἱ κάτοικοι τῶν Σοδόμων θὰ τιμωρηθοῦν ἐπιεικέστερα κατὰ τὴν ἡμέραν τῆς κρίσεως, παρὰ σύ». Καὶ δὲν τὰ ἀναφέρει τὰ Σόδομα χωρὶς λόγον, ἀλλὰ διὰ νὰ αὐξήσῃ τὴν ἐναντίον των κατηγορίαν. Διότι πράγματι εἶναι πάρα πολὺ μεγάλη ἡ ἀπόδειξις τῆς κακίας των, ὅταν ἀποδεικνύωνται ὅτι εἶναι χειρότεροι ὄχι μόνον ἀπὸ τοὺς συγχρόνους των ἀλλὰ καὶ ἀπὸ τοὺς πονηροὺς ὅλων τῶν ἐποχῶν. Κατὰ τὸν ἴδιον τρόπον καὶ εἰς ἄλλην περίπτωσιν συγκρίνει καὶ τοὺς κατακρίνει μὲ βάσιν τὸ παράδειγμα τῶν Νινευϊτῶν καὶ τῆς βασιλίσσης τοῦ νότου[20]. Ἀλλ' ἐκεῖ μὲν τοὺς κατακρίνει μὲ τὰ ὅσα ἐπέτυχαν οἱ ἐνάρετοι ἄνθρωποι, ἐδῶ ὅμως τοὺς κατακρίνει ἐξ αἰτίας τῶν ἁμαρτιῶν των, πρᾶγμα ποὺ εἶναι πολὺ βαρύτερον. Τὸν νόμον αὐτὸν τῆς κατακρίσεως τὸν ἐγνώριζε καὶ ὁ Ἰεζεκιὴλ καὶ διὰ τοῦτο ἔλεγεν ἀπευθυνόμενος πρὸς τὴν Ἰερουσαλήμ· «Ἐδικαίωσας τὰς ἀδελφὰς πόλεις μὲ ὅλας τὰς ἁμαρτίας ποὺ διέπραξες»[21]. Ἡ σύγκρισις κατ' αὐτὸν τὸν τρόπον συνηθίζεται πάρα πολὺ εἰς τὴν Π. Διαθήκην. Καὶ φυσικὰ δὲν σταματᾷ τὸν λόγον εἰς τὸ σημεῖον αὐτό, ἀλλὰ τοὺς αὐξάνει καὶ τὸν φόβον, λέγων ὅτι θὰ πάθουν χειρότερα ἀπὸ αὐτὰ ποὺ ἔπαθαν οἱ κάτοικοι τῶν Σοδόμων καὶ τῆς Τύρου, ὥστε μὲ κάθε τρόπον νὰ τοὺς προσελκύσῃ κοντά του, καὶ μὲ τὴν ἐπίπληξιν καὶ μὲ τὸν φόβον.

5. Αὐτὰ λοιπὸν ἂς τὰ ἀκούωμεν καὶ ἡμεῖς. Διότι δὲν ὥρισε χειροτέραν τιμωρίαν ἀπὸ τὴν κόλασιν τῶν Σοδομιτῶν δι' ἐκείνους μόνον ποὺ δὲν πιστεύουν, ἀλλὰ καὶ δι' ἡμᾶς ἐὰν δὲν δεχώμεθα τοὺς ξένους ποὺ ἔρχονται εἰς ἡμᾶς, ἀφοῦ παρήγγειλεν εἰς τοὺς μαθητάς του καὶ τὴν σκόνην νὰ ἐκτινάσσουν ἀπὸ τὰ πόδια των. Καὶ κατὰ πολὺ φυσικὸν λόγον. Διότι ἐκεῖνοι μέν, ἂν καὶ διέπραξαν μεγάλας ἁμαρτίας, τοῦτο συνέβη πρὶν δοθῇ ὁ νόμος καὶ ἡ χάρις τοῦ Κυρίου. Ἡμεῖς ὅμως ποίας συγγνώμης ἀξίζομεν νὰ τύχωμεν,

σαύτην ἐπιδεικνύμενοι, καὶ τοῖς δεομένοις τὰς θύρας ἀποκλείοντες, καὶ πρὸ τῶν θυρῶν τὰς ἀκοάς; μᾶλλον δὲ οὐ τοῖς πένησι μόνον, ἀλλὰ καὶ αὐτοῖς τοῖς ἀποστόλοις; Διὰ γὰρ τοῦτο καὶ τοῖς πένησιν, ἐπειδὴ καὶ τοῖς ἀποστόλοις
5 *Ὅταν γὰρ ἀναγινώσκηται Παῦλος, καὶ σὺ μὴ προσέχῃς, ὅταν κηρύττῃ Ἰωάννης, καὶ σὺ μὴ ἀκούῃς, πότε δέξῃ πένητα, ἀπόστολον μὴ δεχόμενος;*

Ἵνα οὖν καὶ τούτοις αἱ οἰκίαι, κἀκείνοις αἱ ἀκοαὶ διηνεκῶς ἀνεῳγμέναι ὦσιν, ἐκκαθάρωμεν τὸν ῥύπον ἀπὸ τῶν
10 *τῆς ψυχῆς ὤτων. Καθάπερ γὰρ ῥύπος καὶ πηλὸς τὰ ὦτα τῆς σαρκός, οὕτω τὰ πορνικὰ ᾄσματα, καὶ τὰ βιωτικὰ διηγήματα, καὶ τὰ χρέα, καὶ τὰ περὶ τόκων καὶ δανεισμάτων, ῥύπου παντὸς χαλεπώτερον ἐμφράττει τῆς διανοίας τὴν ἀκοήν· μᾶλλον δὲ οὐκ ἐμφράττει μόνον, ἀλλὰ καὶ ἀκάθαρτον*
15 *ποιεῖ. Καὶ γὰρ κόπρον ἐνιᾶσιν ὑμῶν ταῖς ἀκοαῖς οἱ ταῦτα διηγούμενοι. Καὶ ὅπερ ὁ βάρβαρος ἠπείλει λέγων· «Φάγεσθε τὴν κόπρον ὑμῶν», καὶ τὰ ἑξῆς· τοῦτο καὶ οὗτοι οὐ λόγῳ, ἀλλὰ διὰ τῶν ἔργων ὑμᾶς ὑπομένειν ποιοῦσι· μᾶλλον δὲ καὶ πολλῷ χαλεπώτερον. Καὶ γὰρ καὶ τούτων ἀηδέστερα*
20 *ἐκεῖνα τὰ ᾄσματα· καὶ τὸ δὴ χαλεπώτερον, ὅτι οὐ μόνον οὐκ ἐνοχλεῖσθαι νομίζετε τούτων ἀκούοντες, ἀλλὰ καὶ γελᾶτε, δέον βδελύττεσθαι καὶ φεύγειν. Εἰ δὲ οὐ βδελυκτά, κατάβηθι εἰς τὴν ὀρχήστραν, ζήλωσον ὅπερ ἐπαινεῖς· μᾶλλον δὲ βάδισον μόνον μετὰ τούτου τοῦ κινοῦντος τὸν γέλωτα ἐκεῖ-*

---

22. Πρβλ. Ἠσ. 36, 12.

ὅταν μετὰ ἀπὸ τόσην φροντίδα ποὺ ἐπέδειξεν ὁ Θεὸς δι' ἡμᾶς, ἐπιδεικνύωμεν τόσον πολὺ μῖσος πρὸς τοὺς ξένους καὶ κλείωμεν τὰς θύρας τῶν οἰκιῶν μας εἰς αὐτοὺς ποὺ ἔχουν ἀνάγκην, καὶ μάλιστα ὅταν πρὶν ἀπὸ τὰς θύρας κλείωμεν τὰ αὐτιά μας; Ἢ καλύτερα δὲν τὸ κάνομεν αὐτὸ μόνον εἰς τοὺς ξένους, ἀλλὰ καὶ εἰς αὐτοὺς τοὺς ἰδίους τοὺς ἀποστόλους; Καὶ ἀκριβῶς διὰ τοῦτο συμπεριφερόμεθα ἔτσι πρὸς τοὺς πτωχούς, ἐπειδὴ τὸ ἴδιο κάνομεν καὶ πρὸς τοὺς ἀποστόλους. Διότι ὅταν ἀναγινώσκεται ὁ Παῦλος καὶ σὺ δὲν προσέχεις, ὅταν κηρύττῃ ὁ Ἰωάννης καὶ σὺ δὲν ἀκούεις, πῶς θὰ δεχθῇς τὸν πτωχόν, ἀφοῦ δὲν δέχεσαι τὸν ἀπόστολον;

Ἄρα λοιπὸν διὰ νὰ εἶναι συνεχῶς καὶ εἰς τοὺς πτωχοὺς αἱ οἰκίαι μας ἀνοικταὶ καὶ τὰ αὐτιά μας εἰς τὰ ἀναγνώσματα τῶν ἀποστόλων, ἂς καθαρίσωμεν τὸν ρύπον τῆς ἁμαρτίας ἀπὸ τὰ αὐτιὰ τῆς ψυχῆς μας. Διότι ὅπως ἀκριβῶς ὁ ρύπος καὶ ἡ λάσπη φράσσουν τὰ αὐτιὰ τοῦ σώματός μας, ἔτσι καὶ τὰ πορνικὰ τραγούδια, τὰ κοσμικὰ διηγήματα καὶ τὰ χρέη καὶ ἡ φροντὶς διὰ τοὺς τόκους καὶ τὰ δάνεια φράσσουν τὰ αὐτιὰ τῆς διανοίας μας χειρότερα ἀπὸ κάθε ἄλλον ρύπον. Μᾶλλον δὲ ὄχι μόνον τὴν φράσσουν, ἀλλὰ καὶ τὴν καθιστοῦν ἀκάθαρτον. Διότι πράγματι κοπριὰν ρίπτουν εἰς τὰ αὐτιά σας ἐκεῖνοι ποὺ σᾶς διηγοῦνται ὅλα αὐτά. Καὶ ὅπως ὁ βάρβαρος ἠπείλει καὶ ἔλεγε· «Θὰ φάγετε τὴν κοπριάν σας»[22] καὶ τὰς ἄλλας ἐν συνεχείᾳ ἀπειλάς, τὸ ἴδιο σᾶς κάνουν καὶ αὐτοὶ νὰ ὑπομένετε, ὄχι μὲ τὰ λόγια, ἀλλὰ μὲ τὰ ἔργα, μᾶλλον δὲ καὶ πολὺ χειρότερα. Καθόσον καὶ αὐτῶν τὰ ᾄσματα εἶναι πολὺ πιὸ ἀηδιαστικὰ ἀπὸ αὐτά· καὶ τὸ φοβερώτερον βέβαια εἶναι ὅτι ὄχι μόνον δὲν νομίζετε ὅτι βλάπτεσθε ἀκούοντες αὐτά, ἀλλὰ καὶ γελᾶτε, ἐνῷ ἔπρεπε νὰ νοιώθετε ἀηδίαν καὶ νὰ φεύγετε μακρυά. Διότι ἐὰν αὐτὰ δὲν εἶναι σιχαμερά, τότε κατέβα εἰς τὴν ὀρχήστραν καὶ μιμήσου αὐτὸ ἀκριβῶς ποὺ ἐπαινεῖς. Μᾶλλον δὲ βάδισε μόνον μαζὶ μὲ αὐτὸν ποὺ προκαλεῖ τὸν γέλωτα ἐκεῖνον. Ὅμως δὲν θὰ

νον. Ἀλλ' οὐκ ἂν ἀνάσχοιο. Τί τοίνυν τοσαύτην ἀπονέμεις αὐτῷ τιμήν; Καὶ οἱ μὲν νόμοι οἱ παρὰ τῶν Ἑλλήνων γραφέντες ἀτίμους αὐτοὺς εἶναι βούλονται· σὺ δὲ αὐτοὺς ὅλῃ τῇ πόλει δέχῃ, ὥσπερ πρεσβευτὰς καὶ στρατηγούς, καὶ ἅ-
5 *παντας συγκαλεῖς, ἵνα δέξωνται κόπρον ταῖς ἀκοαῖς. Καὶ ὁ μὲν οἰκέτης αἰσχρόν τι φθεγγόμενος ἀκούοντός σου, μυρίας λήψεται μάστιγας· κἂν υἱός, κἂν γυνή, κἂν ὁστισοῦν αὐτὸ τοῦτο ποιήσῃ, ὕβριν τὸ πρᾶγμα καλεῖς· ἂν δὲ ἄνθρωποι μαστιγίαι καὶ τριωβολιμαῖοι καλέσωσί σε τῶν αἰσχρῶν ἀκου-*
10 *σόμενον ῥημάτων, οὐ μόνον οὐκ ἀγανακτεῖς, ἀλλὰ καὶ χαίρεις καὶ ἐπαινεῖς. Καὶ τί ταύτης τῆς ἀλογίας ἴσον γένοιτ' ἄν; Ἀλλ' αὐτὸς οὐ φθέγγῃ τὰ αἰσχρὰ ταῦτα; Καὶ τί τὸ κέρδος; μᾶλλον δὲ καὶ αὐτὸ τοῦτο πόθεν δῆλον; Εἰ γὰρ μὴ ἐφθέγγου, οὐκ ἂν οὐδὲ ἀκούων ἐγέλας, οὐδ' ἂν μετὰ τοσαύ-*
15 *της σπουδῆς ἔδραμες ἐπὶ τὴν καταισχύνουσάν σε φωνήν. Εἰπὲ γάρ μοι, χαίρεις ἀκούων βλασφημούντων; ἀλλ' οὐχὶ φρίττεις καὶ τὰ ὦτα ἐμφράττεις; Ἔγωγε οἶμαι. Τί δήποτε; Ὅτι οὐδὲ αὐτὸς βλασφημεῖς. Οὕτω δὴ καὶ ἐπὶ τῆς αἰσχρολογίας ποίει· καὶ εἰ βούλει δεῖξαι σαφῶς ἡμῖν, ὅτι*
20 *οὐ χαίρεις αἰσχρὰ φθέγγεσθαι, μηδὲ ἀκούειν ἀνέχου. Πότε γὰρ δυνήσῃ γενέσθαι σπουδαῖος, τοιούτοις ἐντρεφόμενος ἀκούσμασι; πότε τοὺς ὑπὲρ σωφροσύνης ἱδρῶτας ἐνεγκεῖν ἀνέξῃ, κατὰ μικρὸν ἀπορρέων ἀπὸ τοῦ γέλωτος καὶ τῶν ᾀσμάτων καὶ τῶν αἰσχρῶν ῥημάτων τούτων; Καὶ γὰρ ἀγα-*
25 *πητὸν ἁπάντων τούτων καθαρεύουσαν ψυχὴν δυνηθῆναι γενέσθαι σεμνὴν καὶ σώφρονα, μήτιγε τοιούτοις ἀκούσμασιν ἐντρεφομένην. Ἢ οὐκ ἴστε, ὅτι πρὸς κακίαν ἐπιρρεπέστερον*

ἠμποροῦσες νὰ τὸ κάνῃς αὐτό. Διατί λοιπὸν τότε τοῦ ἀπονέμεις τόσον μεγάλην τιμήν; Καὶ οἱ μὲν νόμοι ποὺ ἐθεσπίσθησαν ὑπὸ τῶν εἰδωλολατρῶν θεωροῦν αὐτοὺς τοὺς ἀνθρώπους ἀναξίους τιμῆς, σὺ δὲ τοὺς ὑποδέχεσαι μὲ ὅλην τὴν πόλιν, ὡσὰν ἀκριβῶς νὰ ἦσαν πρεσβευταὶ καὶ στρατηγοὶ καὶ συγκεντρώνεις ὅλους γενικῶς διὰ νὰ δεχθοῦν κοπριὰν εἰς τὰ αὐτιά των. Καὶ ὁ μὲν ὑπηρέτης σου, ὅταν εἰπῇ κάτι τι τὸ αἰσχρὸν καὶ τὸν ἀκούσῃς, θὰ τιμωρηθῇ μὲ ἀμετρήτους μαστιγώσεις καὶ τὸ θεωρεῖς αὐτὸ τὸ πρᾶγμα προσβολή, εἴτε τὸ κάνει αὐτὸ ὁ υἱός σου, εἴτε ἡ γυναῖκα σου, εἴτε ὁποιοσδήποτε ἄλλος, ἐὰν ὅμως σὲ καλέσουν ἄνθρωποι ἐλεεινοὶ καὶ μὴ ἔχοντες καμμίαν ἀξίαν διὰ ν' ἀκούσῃς τοὺς αἰσχρούς των λόγους, ὄχι μόνον δὲν ἀγανακτεῖς ἀλλὰ χαίρεσαι καὶ τοὺς ἐπαινεῖς. Καὶ ποῖο πρᾶγμα θὰ ἠμποροῦσε νὰ ἐξισωθῇ μὲ αὐτὸν τὸν παραλογισμόν; Ἀλλὰ δὲν λέγεις σὺ αὐτὰς τὰς αἰσχρολογίας; Καὶ ποῖον τὸ κέρδος; μᾶλλον δὲ ἐὰν αὐτὸ συμβαίνῃ θὰ ἠμποροῦσες νὰ τὸ ἀποδείξῃς; Διότι ἐὰν δὲν τὰ ἔλεγες, οὔτε θὰ ἐγέλας ὅταν τὰ ἤκουες, οὔτε θὰ ἔτρεχες μὲ τόσην μεγάλην προθυμίαν πρὸς τὴν φωνὴν ποὺ σὲ γεμίζει μὲ ἐντροπήν. Διότι εἰπέ μου, σὲ παρακαλῶ, χαίρεσαι ὅταν ἀκούῃς νὰ βλασφημοῦν; Μήπως δὲν φρίττεις καὶ δὲν φράσσεις τὰ αὐτιά σου; ἐγὼ τουλάχιστον αὐτὸ πιστεύω. Τί τέλος πάντων συμβαίνει; Λέγεις ὅτι δὲν βλασφημεῖς σὺ ὁ ἴδιος. Τὸ ἴδιο νὰ κάνῃς καὶ διὰ τὰς αἰσχρολογίας. Καὶ ἐὰν θέλῃς νὰ μᾶς ἀποδείξῃς καθαρὰ ὅτι δὲν χαίρεσαι νὰ αἰσχρολογῇς νὰ μὴ ἀνέχεσαι οὔτε καὶ νὰ τὰ ἀκούῃς. Διότι πότε θὰ ἠμπορέσῃς νὰ γίνῃς σπουδαῖος ὅταν τρέφεσαι μὲ παρόμοια ἀκροάματα; πότε θὰ δεχθῇς νὰ ὑπομείνῃς τοὺς ἱδρῶτας διὰ τὴν σωφροσύνην, ὅταν ὀλίγον κατ' ὀλίγον παρασύρεσαι εἰς τὸ κακὸν ἀπὸ τὰ γέλοια καὶ τὰ ἄσματα καὶ τοὺς αἰσχροὺς αὐτοὺς λόγους; Καθόσον πράγματι εἶναι σπουδαῖον νὰ ἠμπορέσῃ μία ψυχή, ποὺ εἶναι καθαρὰ ἀπὸ ὅλα αὐτά, νὰ καταστῇ σεμνὴ καὶ σώφρων, χωρὶς βέβαια νὰ ἐκτρέφεται μὲ παρόμοια ἀκούσματα. Ἢ δὲν γνωρίζετε ὅτι εἴμεθα

ἔχομεν; Ὅταν οὖν καὶ τὴν τέχνην αὐτὸ ποιησώμεθα καὶ ἔργον, πότε διαφευξόμεθα τὴν κάμινον ἐκείνην; Οὐκ ἤκουσας τί φησιν ὁ Παῦλος, «Χαίρετε ἐν Κυρίῳ»; Οὐκ εἶπεν ἐν διαβόλῳ.

5 *6. Πότε οὖν ἀκοῦσαι δυνήσῃ Παύλου; πότε αἴσθησιν λαβεῖν τῶν πεπλημμελημένων, μεθύων ἀεὶ καὶ διηνεκῶς ἀπὸ τῆς θεωρίας ἐκείνης; Ὅτι γὰρ παραγέγονας ἐνταῦθα, οὐ θαυμαστὸν καὶ μέγα· μᾶλλον δὲ θαυμαστόν. Ἐνταῦθα μὲν γὰρ καὶ ἁπλῶς ἀφοσιούμενος παραγίνῃ· ἐκεῖ δέ, μετὰ σπου-* 10 *δῆς καὶ δρόμου καὶ πολλῆς τῆς προθυμίας. Καὶ δῆλον ἐξ ὧν οἴκαδε φέρεις, ἐκεῖθεν ἀναχωρῶν. Καὶ γὰρ τὸν βόρβορον ἅπαντα τὸν ἐκχυθέντα ὑμῖν ἐκεῖ διὰ τῶν ῥημάτων, διὰ τῶν ᾠδῶν, διὰ τοῦ γέλωτος, εἰς τὴν οἰκίαν ἕκαστος συνάγοντες φέρετε· μᾶλλον δὲ οὐκ εἰς τὴν οἰκίαν μόνον, ἀλλὰ* 15 *καὶ εἰς τὴν διάνοιαν ἕκαστος τὴν ἑαυτοῦ. Καὶ τὰ μὲν οὐκ ἄξια τοῦ βδελύττεσθαι ἀποστρέφῃ, τὰ δὲ βδελυκτὰ οὐ μισεῖς, ἀλλὰ καὶ ἀγαπᾷς.*

Πολλοὶ γοῦν ἀπὸ μὲν τάφων ἐπανελθόντες ἐλούσαντο· ἀπὸ δὲ θεάτρων ἀναχωροῦντες οὐκ ἐστέναξαν, οὐδὲ ἐξέχε- 20 *αν δακρύων πηγάς· καίτοιγε ὁ μὲν νεκρὸς οὐκ ἀκάθαρτον· ἡ δὲ ἁμαρτία τοσαύτην ἐντίθησι κηλῖδα, ὡς μηδὲ μυρίας ἐκκαθᾶραι ταύτην δύνασθαι, ἀλλὰ μόνοις δάκρυσι καὶ ἐξομολογήσεσιν. Ἀλλ' οὐδεὶς ὁ αἰσθανόμενος τῆς κηλῖδος ταύτης. Ἐπειδὴ γὰρ ἃ χρὴ οὐ φοβούμεθα, διὰ τοῦτο ἃ μὴ χρὴ* 25 *δεδοίκαμεν.*

Τίς δὲ καὶ ὁ πάταγος; τίς δὲ καὶ ὁ θόρυβος, καὶ αἱ σατανικαὶ κραυγαὶ καὶ τὰ διαβολικὰ σχήματα; Ὁ μὲν γὰρ ὄπισθεν ἔχει κόμην νέος ὢν καὶ τὴν φύσιν ἐκθηλύνων καὶ

---

23. Φιλ. 4, 4.

περισσότερον ἐπιρρεπεῖς πρὸς τὴν κακίαν; Ὅταν λοιπὸν τὴν κάνωμεν καὶ τέχνην καὶ κυρίαν ἀπασχόλησίν μας, πῶς θὰ ἠμπορέσωμεν ν' ἀποφύγωμεν τὴν κάμινον ἐκείνην τῆς κολάσεως; Δὲν ἤκουσες τὰ λόγια τοῦ Παύλου «χαίρετε ἐν Κυρίῳ»[23]; Δὲν εἶπεν, ἐν διαβόλῳ.

6. Πότε λοιπὸν θὰ ἠμπορέσῃς ν' ἀκούσῃς τὸν Παῦλον; πότε θὰ συναισθανθῇς τὰς ἁμαρτίας σου, ὅταν πάντοτε μεθύῃς καὶ ζῇς ὑπὸ τὴν ἐπίρροιαν ἐκείνων τῶν θεαμάτων; Τὸ ὅτι βέβαια ἦλθες ἐδῶ εἰς τὴν ἐκκλησίαν δὲν εἶναι ἄξιον θαυμασμοῦ καὶ σπουδαῖον πρᾶγμα· μᾶλλον δὲ εἶναι ἄξιον θαυμασμοῦ. Διότι ἐδῶ ἦλθες καὶ χωρὶς ἐνδιαφέρον καὶ ἀπὸ συνήθειαν, ἐνῷ ἐκεῖ πηγαίνεις μὲ ζῆλον, τροχάδεν καὶ μὲ μεγάλην προθυμίαν. Καὶ εἶναι φανερὸν αὐτὸ ἀπὸ αὐτὰ ποὺ μεταφέρεις εἰς τὴν οἰκίαν σου, ὅταν ἀποχωρήσῃς ἀπὸ ἐκεῖ. Καθόσον ἀφοῦ συγκεντρώσετε ἐκεῖ ὅλον τὸν βοῦρκον ποὺ χύνεται εἰς τὴν ψυχήν σας μὲ τὰ αἰσχρόλογα, τὰ ᾄσματα καὶ τὰ γέλοια, τὸν μεταφέρετε ὁ καθεὶς εἰς τὴν οἰκίαν του· ἢ καλύτερα ὄχι μόνον εἰς τὴν οἰκίαν του, ἀλλὰ ὁ καθεὶς καὶ μέσα εἰς τὴν διάνοιάν του. Καὶ ἐκεῖνα μὲν ποὺ δὲν εἶναι ἄξια βδελυγμοῦ τὰ ἀποστρέφεσαι, ἐνῷ ἐκεῖνα ποὺ εἶναι ἄξια βδελυγμοῦ δὲν τὰ μισεῖς, ἀλλὰ τὰ ἀγαπᾷς.

Πολλοὶ λοιπὸν ἐπιστρέφοντες ἀπὸ τοὺς τάφους πλένονται διὰ νὰ καθαρισθοῦν ἀπὸ τὸν μολυσμόν, ὅταν ὅμως φεύγουν ἀπὸ τὰ θέατρα οὔτε στενάζουν οὔτε χύνουν πηγὰς δακρύων, μολονότι βέβαια ὁ νεκρὸς δὲν εἶναι ἀκάθαρτος, ἐνῷ ἡ ἁμαρτία ἐναποθέτει τόσον μεγάλην κηλῖδα, ποὺ δὲν ἠμποροῦν νὰ τὴν καθαρίσουν ἀμέτρηται πηγαί, παρὰ μόνον τὰ δάκρυα καὶ αἱ ἐξομολογήσεις. Κανεὶς ὅμως δὲν αἰσθάνεται αὐτὴν τὴν κηλῖδα. Διότι, ἐπειδὴ αὐτὸ ποὺ πρέπει νὰ φοβούμεθα δὲν τὸ φοβούμεθα, διὰ τοῦτο καὶ φοβούμεθα ὅσα δὲν πρέπει νὰ φοβούμεθα.

Ἀλλὰ διὰ ποῖον λόγον τόσος πάταγος; διατί τόσος θόρυβος καὶ σατανικαὶ κραυγαὶ καὶ διαβολικὰ σχήματα; Ὁ μὲν ἕνας, ἂν καὶ εἶναι νέος, τρέφει κόμην πολὺ μακρὰν ποὺ

τῷ βλέμματι καὶ τῷ σχήματι καὶ τοῖς ἱματίοις καὶ πᾶσιν ἁπλῶς εἰς εἰκόνα κόρης ἁπαλῆς ἐκβῆναι φιλονεικεῖ. Ἄλλος δέ τις γεγηρακὼς ὑπεναντίως τούτῳ τὰς τρίχας ξυρῷ περιελών, καὶ ἐζωσμένος τὰς πλευράς, πρὸ τῶν τριχῶν ἐκτέμνων τὴν αἰδῶ, πρὸς τὸ ῥαπίζεσθαι ἕτοιμος ἕστηκε, πάντα καὶ λέγειν καὶ ποιεῖν παρεσκευασμένος. Αἱ δὲ γυναῖκες γυμνῇ τῇ κεφαλῇ ἀπηρυθριασμέναι πρὸς δῆμον ἑστήκασι διαλεγόμεναι, τοσαύτην μελέτην ἀναισχυντίας ποιούμεναι καὶ καὶ πᾶσαν ἰταμότητα καὶ ἀσέλγειαν εἰς τὰς τῶν ἀκουόντων ἐκχέουσαι ψυχάς. Καὶ μία σπουδή, πᾶσαν ἐκ βάθρων ἀνασπάσαι τὴν σωφροσύνην, καταισχῦναι τὴν φύσιν, ἐμπλῆσαι τοῦ πονηροῦ δαίμονος τὴν ἐπιθυμίαν. Καὶ γὰρ καὶ ῥήματα αἰσχρὰ αὐτόθι καὶ σχήματα αἰσχρότερα καὶ κουρὰ τοιαύτη καὶ βάδισις καὶ στολὴ καὶ φωνὴ καὶ μελῶν διάκλασις καὶ ὀφθαλμῶν ἐκστροφαὶ καὶ σύριγγες καὶ αὐλοὶ καὶ δράματα καὶ ὑποθέσεις καὶ πάντα ἁπλῶς τῆς ἐσχάτης ἀσελγείας ἀνάμεστα.

Πότε οὖν ἀνανήψεις, εἰπέ μοι, τοσοῦτόν σοι πορνείας ἄκρατον ἐκχέοντος τοῦ διαβόλου, τοσαύτας ἀκολασίας κύλικας κεραννύντος; Καὶ γὰρ καὶ μοιχεῖαι καὶ γάμων ἐκεῖ κλοπαὶ καὶ γυναῖκες ἐκεῖ πορνευόμεναι, ἄνδρες ἡταιρηκότες, νέοι μαλακιζόμενοι, πάντα παρανομίας μεστά, πάντα τερατωδίας, πάντα αἰσχύνης. Οὐκ ἄρα γελᾶν ἐπὶ τούτοις τοὺς καθημένους ἐχρῆν, ἀλλὰ δακρύειν καὶ στένειν πικρόν.

Τί οὖν; ἀποκλείσομεν τὴν ὀρχήστραν, φησί, καὶ τῷ λόγῳ τῷ σῷ πάντα ἀνατραπήσεται; Νῦν μὲν οὖν πάντα ἀνα-

φθάνει μέχρι τὸν ὦμόν του, καθιστάμενος ἔτσι θηλυπρεπής, καὶ προσπαθεῖ καὶ μὲ τὸ βλέμμα του καὶ μὲ τὴν μορφήν του καὶ μὲ τὴν ἐνδυμασίαν του νὰ δώσῃ εἰς ὅλους τὴν εἰκόνα μιᾶς τρυφερᾶς κόρης. Κάποιος ἄλλος πάλιν, ποὺ εἶναι γέρων, ἀντίθετα πρὸς αὐτὸν ἔχει ξυρίσει τὰ μαλλιά του καὶ φορεῖ ζώνην εἰς τὴν μέσην του, ἀφοῦ ἀπέβαλε πρὶν ἀπὸ τὰ μαλλιά του τὴν ἐντροπήν, καὶ εἶναι ἕτοιμος νὰ δεχθῇ τὰ ραπίσματα καὶ τὰ πάντα νὰ λέγῃ καὶ νὰ πράττῃ. Αἱ δὲ γυναῖκες πάλιν παρουσιάζονται μὲ ἀκάλυπτον τὴν κεφαλὴν καὶ χωρὶς καμμίαν ἐντροπὴν καὶ ὁμιλοῦν πρὸς τὸν κόσμον μὲ τόσον ἐπιμελημένην ἀδιαντροπίαν καὶ χύνουν εἰς τὰς ψυχὰς τῶν ἀκροατῶν των κάθε εἶδος αὐθαδείας καὶ ἀσελγείας. Καὶ μοναδικὴ φροντίς των εἶναι νὰ ἐκριζώσουν ὅλην γενικῶς τὴν σωφροσύνην ἀπὸ τὰς ψυχάς των, νὰ ἐντροπιάσουν τὴν φύσιν καὶ νὰ γεμίσουν τὴν ἐπιθυμίαν των ἀπὸ τὸν πονηρὸν δαίμονα. Καθόσον εἰς αὐτὰς θὰ εὕρῃ κανεὶς καὶ αἰσχροὺς λόγους καὶ αἰσχρότερα ἐνδύματα καὶ κόμμωσιν παρομοίαν καὶ βάδισμα καὶ στολὴν καὶ φωνὴν καὶ κινήσεις τῶν μελῶν καὶ ἀλλαγὴν τῶν ματιῶν καὶ μουσικὰ ὄργανα καὶ αὐλοὺς καὶ δράματα καὶ ὑποθέσεις, ποὺ ὅλα, μὲ ὀλίγα λόγια, εἶναι γεμᾶτα ἀπὸ ἀσέλγειαν.

Εἰπέ μου λοιπόν, πότε θ' ἀνανήψῃς, ὅταν τόσον πολὺ ποτὸν τῆς πορνείας σοῦ προσφέρει ὁ διάβολος, ὅταν σὲ κερνᾷ τόσα ποτήρια ἀκολασίας; Διότι ἐκεῖ συμβαίνουν καὶ μοιχεῖαι καὶ κλοπαὶ τοῦ γάμου, καὶ γυναῖκες ποὺ πορνεύουν, ἄνδρες ποὺ φέρονται ὅπως αἱ ἑταῖραι, νέοι θηλυπρεπεῖς, καὶ ὅλα εἶναι γεμᾶτα ἀπὸ παρανομίαν, ὅλα γεμᾶτα ἀπὸ τερατωδίαν, ὅλα γεμᾶτα ἀπὸ αἰσχύνην. Ἑπομένως δὲν πρέπει νὰ γελοῦν ἐκεῖνοι ποὺ κάθονται καὶ παρακολουθοῦν ὅλα αὐτὰ τὰ θεάματα, ἀλλὰ πρέπει νὰ δακρύζουν καὶ νὰ στενάζουν πικρά.

Τί λοιπόν; θὰ εἰπῇ κάποιος. Θὰ ἀπορρίψωμεν τὸ θέατρον καὶ σύμφωνα μὲ τὴν θεωρίαν σου θ' ἀνατρέψωμεν τὰ πάντα; Μὰ ἀκριβῶς τώρα εἶναι ποὺ τὰ πάντα ἔχουν ανα-

τέτραπται. Πόθεν γὰρ οἱ τοῖς γάμοις ἐπιβουλεύοντες; εἰπέ μοι· οὐκ ἀπὸ τῆς σκηνῆς ταύτης; Πόθεν οἱ τοὺς θαλάμους διορύττοντες; οὐκ ἀπὸ τῆς ὀρχήστρας ἐκείνης; Οὐκ ἐντεῦθεν οἱ ἄνδρες ταῖς γυναιξὶ φορτικοί; οὐκ ἐντεῦθεν τοῖς ἀνδρά-
5 σιν αἱ γυναῖκες εὐκαταφρόνητοι; οὐκ ἐντεῦθεν οἱ πλείους μοιχοί;

Ὥστε ὁ τὰ πάντα ἀνατρέπων ὁ πρὸς τὸ θέατρον βαδίζων ἐστίν, ὁ τυραννίδα χαλεπὴν ἐπεισάγων. Οὐχί, φησίν, ἀλλὰ τῇ τῶν νόμων εὐταξίᾳ τοῦτο δοκεῖ. Τὸ γὰρ γυναῖκας
10 διασπᾶν καὶ παῖδας ὑβρίζειν νέους καὶ οἰκίας ἀνατρέπειν, τῶν τὰς ἀκροπόλεις κατειληφότων ἐστί. Καὶ τίς μοιχός, φησίν, ἀπὸ τῶν θεαμάτων τούτων γέγονε; Τίς γὰρ οὐ μοιχός; Καὶ εἴγε ἦν ὀνομαστὶ νῦν εἰπεῖν, ἔδειξα ἂν ὅσους ἄνδρας ἀπέσχισαν γυναικῶν, ὅσους ἔλαβον αἰχμαλώτους αἱ
15 πόρναι ἐκεῖναι, τοὺς μὲν ἀπ' αὐτῆς ἀναστήσασαι τῆς εὐνῆς, τοὺς δὲ οὐδὲ τὴν ἀρχὴν ἀφεῖσαι ὁμιλῆσαι γάμῳ.

Τί οὖν; εἰπέ μοι· τοὺς νόμους ἀνατρέψομεν ἅπαντας; Καὶ μὴν παρανομίαν ἐστὶν ἀνατρέψαι, ταῦτα λύοντας τὰ θέατρα. Οἱ γὰρ ταῖς πόλεσι λυμαινόμενοι ἐκ τούτων εἰσίν· ἐν-
20 τεῦθεν γοῦν στάσεις καὶ ταραχαί. Οἱ γὰρ ὑπὸ τῶν ὀρχουμένων τρεφόμενοι καὶ γαστρὶ τὴν ἑαυτῶν πωλοῦντες φωνήν, οἷς ἔργον βοῆσαι καὶ πρᾶξαι πᾶν ἄτοπον, οὗτοι μάλιστά εἰσιν οἱ τοὺς δήμους ἀναρριπίζοντες, οἱ τὰς ταραχὰς ἐμποιοῦντες ταῖς πόλεσι. Νεότης γὰρ ἀργίας ἐπιλαβομένη καὶ
25 τοσούτοις ἐντρεφομένη κακοῖς, θηρίου παντὸς ἀγριωτέρα γίνεται.

7. Οἱ γὰρ γόητες, εἰπέ μοι, πόθεν; οὐκ ἐντεῦθεν, ἵνα δῆ-

τραπῇ. Διότι, σὲ παρακαλῶ, εἰπέ μου, ἀπὸ ποῦ διαλύονται οἱ γάμοι; Δὲν διαλύονται ἐξ αἰτίας αὐτοῦ τοῦ θεάτρου; Ἀπὸ ποῦ προκαλοῦνται αἱ διαρρήξεις τῶν οἰκιῶν; δὲν προκαλοῦνται ἐξ αἰτίας τῶν θεατρικῶν παραστάσεων; ἐξ αἰτίας αὐτοῦ δὲν γίνονται χυδαῖοι οἱ ἄνδρες πρὸς τὰς γυναῖκάς των; ἐξ αἰτίας αὐτοῦ οἱ ἄνδρες δὲν περιφρονοῦν τὰς συζύγους των; ἐξ αἰτίας αὐτοῦ δὲν γίνονται οἱ περισσότεροι μοιχοί;

Ἄρα λοιπὸν ἐκεῖνος ποὺ ἀνατρέπει τὰ πάντα εἶναι αὐτὸς ποὺ συχνάζει εἰς τὰ θέατρα καὶ εἰσάγει πρωτοφανῆ βαρεῖαν τυραννίαν εἰς τὴν ζωήν. Ὄχι, θὰ εἰπῇ κάποιος, διότι αὐτὰ προστατεύονται ἀπὸ τὴν τάξιν τῶν νόμων. Διότι ἡ ἁρπαγὴ τῶν γυναικῶν καὶ ἡ προσβολὴ τῶν νέων καὶ ἡ ἀνατροπὴ τῶν οἰκιῶν εἶναι γνώρισμα ἐκείνων ποὺ κυριεύουν μίαν πόλιν. Καὶ ποῖος ἔγινε μοιχός, λέγει, ἀπὸ αὐτὰ τὰ θεάματα; Μὰ ποῖος δὲν ἔγινε; Καὶ ἐὰν βέβαια ἦτο δυνατὸν νὰ ἀναφέρω τώρα καὶ ὀνόματα, θὰ ἠμποροῦσα νὰ σᾶς ἀποδείξω πόσους ἄνδρας ἀπεμάκρυναν ἀπὸ τὰς συζύγους των, πόσους συνέλαβαν αἰχμαλώτους αἱ πόρναι αὐταί, ἐκ τῶν ὁποίων ἄλλους μὲν τοὺς ἥρπασαν ἀπὸ τὸ συζυγικὸν κρεββάτι, ἄλλους δὲ δὲν τοὺς ἄφησαν οὔτε κἂν νὰ συνάψουν γάμον.

Τί λοιπόν; εἰπέ μου, θὰ ἀνατρέψωμεν ὅλους τοὺς νόμους; Βέβαια ἐὰν καταργήσωμεν τὰ θέατρα εἶναι ὡσὰν νὰ ἐξαφανίζωμεν κάθε παρανομίαν. Διότι ἀπὸ αὐτοὺς προέρχονται ἐκεῖνοι ποὺ λυμαίνονται τὰς πόλεις· ἀπὸ αὐτοὺς δημιουργοῦνται ἐπαναστάσεις καὶ ἀναταραχαί. Διότι ἐκεῖνοι ποὺ διατρέφονται ἀπὸ τοὺς ἀνθρώπους τῶν θεάτρων, ποὺ πωλοῦν τὴν φωνήν των διὰ τὴν κοιλίαν των, ποὺ ὡς ἔργον των ἔχουν νὰ λέγουν καὶ νὰ πράττουν κάθε τι τὸ ἄτοπον, αὐτοὶ πρὸ πάντων εἶναι ἐκεῖνοι ποὺ ξεσηκώνουν τὸν λαὸν καὶ δημιουργοῦν τὰς ταραχὰς εἰς τὰς πόλεις. Διότι οἱ νέοι ποὺ εἶναι ἄνεργοι καὶ ἀνατρέφονται μὲ τόσον μεγάλα κακά, γίνονται ἀγριώτεροι ἀπὸ κάθε θηρίον.

7. Ἀλλὰ εἰπέ μου, σὲ παρακαλῶ, οἱ μάγοι ἀπὸ ποῦ προ-

μον ἀναπτερώσωσιν εἰκῇ σχολάζοντα καὶ τοὺς ὀρχουμένους πολλῶν ἀπολαῦσαι ποιήσωσι θορύβων καὶ τὰς πορνευομένας γυναῖκας ταῖς σωφρονούσαις ἐπιτειχίσωσιν, εἰς τοῦτο ἔρχονται μαγγανείας, ὡς μηδὲ τὰ ὀστᾶ τῶν κατοιχομένων κι-
5 *νεῖν ὀκνεῖν. Οὐκ ἐντεῦθεν, ὅταν μυρία ἀναγκάζωνται εἰς τὸν πονηρὸν ἐκεῖνον τοῦ διαβόλου χορὸν ἀναλίσκειν; Ἡ δὲ ἀσέλγεια πόθεν καὶ τὰ μυρία κακά; Ὁρᾷς ὅτι σὺ μὲν τὸν βίον ἀνατρέπεις, ἐπὶ ταῦτα ἕλκων, ἐγὼ δὲ συγκροτῶ καταλύων.*

10 *Καθέλωμεν οὖν τὴν ὀρχήστραν, φησίν. Εἴθε καθελεῖν δυνατὸν ἦν· μᾶλλον δὲ ἂν ἐθέλητε, τὸ ἡμέτερον μέρος καθῄρηται καὶ κατέσκαπται. Πλὴν ἀλλ' οὐδὲν τούτων κελεύω. Τὰ ἑστῶτα ποιήσατε ἄκυρα, ὅπερ μεῖζόν ἐστιν ἐγκώμιον τοῦ καθελεῖν. Εἰ καὶ μηδένα ἕτερον, τοὺς γοῦν βαρβάρους*
15 *ζηλώσατε· καὶ γὰρ πάσης τοιαύτης ἐκεῖνοι καθαρεύουσι θεωρίας.*

Τίς οὖν ἡμῖν ἔσται ἀπολογία λοιπόν, ὅταν ἡμεῖς οἱ τῶν οὐρανῶν πολῖται καὶ τῶν Χερουβὶμ συγχορευταὶ καὶ τῶν ἀγγέλων κοινωνοὶ καὶ τῶν βαρβάρων χείρους ταύτῃ γινώ-
20 *μεθα καὶ ταῦτα ἐξὸν μυρίας ἑτέρας τούτων βελτίους τέρψεις εὑρεῖν; Εἰ γὰρ βούλει ψυχαγωγεῖσθαι, βάδιζε εἰς παραδείσους, ἐπὶ παραρρέοντα ποταμὸν καὶ λίμνας· καταμάνθανε κήπους, ἄκουε τεττίγων ᾀδόντων, ἐπιχωρίαζε σηκοῖς μαρτύρων, ὅπου σώματος ὑγεία καὶ ψυχῆς ὠφέλεια, καὶ βλά-*

έρχονται; Δὲν προέρχονται ἀπὸ ἐδῶ μὲ σκοπὸν νὰ ἐνθαρρύνουν τὸ πλῆθος τοῦ λαοῦ νὰ ἀφήνῃ ἄσκοπα τὰς ἐργασίας του καὶ νὰ δημιουργῇ πρὸς ἱκανοποίησιν τῶν θεατρίνων παντὸς εἴδους ἐπευφημίας. Ἐπίσης αὐτοὶ προσπαθοῦν νὰ προφυλάξουν τὰς πόρνας γυναῖκας διὰ τῶν σωφρόνων γυναικῶν, ἐφαρμόζοντες πάσης φύσεως μαγείας καὶ ποὺ δὲν διστάζουν νὰ κινοῦν καὶ τὰ ὀστᾶ τῶν ἀποθανόντων. Ἀλλὰ μήπως ἀπ' αὐτοὺς δὲν προέρχεται καὶ τὸ ὅτι ἀναγκάζονται νὰ δαπανοῦν τόσα πολλὰ εἰς τὴν πονηρὰν ἐκείνην ὁμάδα; Ἐπίσης ἀπὸ ποῦ προέρχεται ἡ ἀσέλγεια καὶ τὰ ἀναρίθμητα κακά; Βλέπεις ὅτι σὺ μὲν ἀνατρέπεις τὴν ὁμαλὴν ζωὴν προσελκύων τοὺς ἀνθρώπους εἰς τὰ θέατρα, ἐνῷ ἐγὼ τὴν συγκρατῶ καταργῶν αὐτά.

Τότε, θὰ εἰπῇ κάποιος, ἃς καταργήσωμεν τὰς θεατρικὰς σκηνάς. Μακάρι νὰ ἠμπορούσαμεν νὰ τὰς καταργήσωμεν· ἢ καλύτερα, ἐὰν τὸ θέλετε, ὅσον ἐξαρτᾶται ἀπὸ ἡμᾶς, ἔχουν καταργηθῆ καὶ καταστραφῆ τὰ θέατρα. Πλὴν ὅμως δὲν σᾶς προτρέπω νὰ κάνετε τίποτε τὸ παρόμοιον, ἀλλὰ ἀχρηστεύσατε τὰ ἤδη ὑπάρχοντα θέατρα μὲ τὸ νὰ μὴ συχνάζετε εἰς αὐτά, πρᾶγμα ποὺ εἶναι πολὺ ἀνώτερον ἐγκώμιον ἀπὸ τὸ νὰ τὰ καταστρέψετε. Καὶ ἂν ἀκόμη δὲν τὸ κάνετε αὐτὸ διὰ κανένα ἄλλο λόγον, τοὐλάχιστον μιμηθῆτε τοὺς βαρβάρους, καθόσον αὐτοὶ εἶναι καθαροὶ ἀπὸ ὅλα τὰ παρόμοια θεάματα.

Ἑπομένως ποίαν ἀπολογίαν θὰ ἔχωμεν, ὅταν ἡμεῖς ποὺ εἴμεθα πολῖται τῶν οὐρανῶν καὶ συγχορευταὶ τῶν Χερουβὶμ καὶ κοινωνοὶ τῶν ἀγγέλων ἀποδεικνυώμεθα ὡς πρὸς αὐτὸ χειρότεροι καὶ ἀπὸ τοὺς βαρβάρους, ἐνῷ ἔχομεν τὴν δυνατότητα νὰ εὕρωμεν ἀπείρους ἄλλας τέρψεις ἀνωτέρας ἀπὸ αὐτάς; Διότι ἐὰν θέλῃς νὰ ψυχαγωγηθῇς πήγαινε περίπατον εἰς τοὺς κήπους, εἰς τὰς ὄχθας τῶν ποταμῶν καὶ τῶν λιμνῶν. Γνώρισε τὰ ἄλση, ἄκουε τὰ τζιτζίκια ποὺ τραγουδοῦν, νὰ ἐπισκέπτεσε τοὺς ναοὺς τῶν μαρτύρων, ὅπου εὑρίσκει κανεὶς τοῦ σώματος τὴν ὑγείαν καὶ τῆς ψυχῆς τὴν

βος οὐδέν, οὐδὲ μετάνοια μετὰ τὴν ἡδονήν, καθάπερ ἐνταῦθα. Ἔχεις γυναῖκα, ἔχεις παιδία· τί ταύτης τῆς ἡδονῆς ἴσον; Ἔχεις οἰκίαν, ἔχεις φίλους, ταῦτα τὰ τερπνά, πολὺ μετὰ τῆς σωφροσύνης καὶ τὸ κέρδος παρέχοντα. Τί γὰρ 5 παίδων γλυκύτερον, εἰπέ μοι; τί δὲ γυναικός, τῷ σωφρονεῖν βουλομένῳ;

Λέγονται γοῦν οἱ βάρβαροί ποτε εἰπεῖν ῥῆμα φιλοσοφίας γέμον. Περὶ γὰρ τῶν θεάτρων τούτων ἀκούσαντες τῶν παρανόμων, καὶ τῆς ἀκαίρου τέρψεως, Ῥωμαῖοι γάρ, 10 φησίν, ὡς οὐκ ἔχοντες παῖδας καὶ γυναῖκας, οὕτω τοιαύτας ἐπενόησαν τὰς ἡδονάς· δεικνύντες ὅτι οὐδὲν παίδων γλυκύτερον καὶ γυναικός, ἐὰν σεμνῶς ἐθέλῃς βιοῦν.

Τί οὖν, ἐὰν δείξω, φησί, μηδὲν βλαβέντας ἐκ τῆς ἐκεῖ διατριβῆς; Μάλιστα μὲν καὶ τοῦτο βλάβος, τὸ εἰκῇ καὶ μάτην τὸν 15 καιρὸν δαπανᾶν, καὶ ἑτέροις γίνεσθαι σκάνδαλον. Κἂν γὰρ σὺ μὴ βλαβῇς, ἕτερον ποιεῖς εἰς τοῦτο σπουδαιότερον. Πῶς δὲ καὶ αὐτὸς οὐ βλαβήσῃ, παρέχων ἀφορμὰς τοῖς γινομένοις; Καὶ γὰρ ὁ γόης καὶ ὁ πορνευόμενος παῖς καὶ ἡ πορνευομένη γυνὴ καὶ πάντες ἐκεῖνοι οἱ διαβολικοὶ χοροί, ἐπὶ τὴν 20 σὴν κεφαλὴν τὴν αἰτίαν τῶν γινομένων φέρουσιν. Ὥσπερ γὰρ εἰ μὴ ἦσαν οἱ θεωροῦντες, οὐκ ἂν ἦσαν οἱ ταῦτα μετιόντες, οὕτως ἐπειδή εἰσι καὶ αὐτοὶ μερίζονται τῶν γινομένων τὸ πῦρ. Ὥστε εἰ καὶ εἰς σωφροσύνην μηδὲν παρεβλάβης, ὅπερ ἐστὶν ἀμήχανον, ἀλλὰ τῆς ἀπωλείας τῆς ἑ-

ὠφέλειαν καὶ μάλιστα χωρὶς καμμίαν ζημίαν, οὔτε μετάνοιαν μετὰ τὴν ἡδονήν, πράγματα ποὺ συμβαίνουν εἰς τὰ θέατρα. Ἔχεις γυναῖκα, ἔχεις παιδιά, τί ἠμπορεῖ νὰ ἐξισωθῇ μ' αὐτὴν τὴν ἡδονήν; Ἔχεις οἰκίαν, ἔχεις φίλους, ὅλα δηλαδὴ αὐτὰ τὰ εὐχάριστα ποὺ μαζὶ μὲ τὴν σωφροσύνην σοῦ παρέχουν καὶ μεγάλην ὠφέλειαν. Διότι, εἰπέ μου, ποῖο πρᾶγμα εἶναι γλυκύτερον ἀπὸ τὰ παιδιά; Τί γλυκύτερον ἀπὸ τὴν σύζυγον, δι' ἐκεῖνον ποὺ θέλει νὰ ζῇ μὲ σωφροσύνην;

Λέγουν λοιπὸν ὅτι οἱ βάρβαροι εἶπαν κάποτε μίαν γνώμην γεμάτην ἀπὸ πολλὴν φιλοσοφίαν. Ὅταν δηλαδὴ ἐπληροφορήθησαν διὰ τὰ παράνομα αὐτὰ θέατρα καὶ τὴν πρόσκαιρον εὐχαρίστησιν ποὺ προσφέρουν αὐτὰ εἶπαν· Οἱ Ρωμαῖοι λοιπὸν ὡσὰν νὰ μὴ εἶχαν παιδιὰ καὶ γυναῖκας ἐπενόησαν αὐτὰς τὰς ἡδονάς, διὰ νὰ δείξουν ὅτι τίποτε δὲν εἶναι πιὸ εὐχάριστον ἀπὸ τὰ παιδιὰ καὶ τὴν σύζυγον εἰς ἐκεῖνον ποὺ θέλει νὰ ζῇ μὲ σεμνότητα.

Τί λοιπόν; θὰ εἰπῇ κάποιος· ἐὰν ἀποδείξω ὅτι δὲν ἐπάθαμεν καμμίαν ζημίαν ἀπὸ τὰς ἐπισκέψεις μας εἰς τὰ θέατρα; Ὁπωσδήποτε βέβαια καὶ τὸ ὅτι σπαταλᾷς ἄσκοπα καὶ ἄδικα τὸν καιρόν σου καὶ γίνεσαι σκάνδαλον εἰς τοὺς ἄλλους καὶ αὐτὸ εἶναι πολὺ μεγαλυτέρα ζημία. Διότι καὶ ἂν ἀκόμη σὺ δὲν ζημιωθῇς ὑποβοηθεῖς μὲ τὴν παρουσίαν σου τὸν ἄλλον νὰ γίνῃ χειρότερος. Καὶ πῶς εἶναι δυνατὸν σὺ νὰ μὴ ζημιωθῇς, ἀφοῦ δίδῃς ἀφορμὰς εἰς τὰ ὅσα συμβαίνουν; Καθόσον ὁ μάγος καὶ τὸ πορνευόμενον παιδὶ καὶ ἡ πορνευομένη γυναῖκα καὶ ὅλοι ἐκεῖνοι οἱ διαβολικοὶ ὅμιλοι ἀποδίδουν εἰς τὴν ἰδικήν σου κεφαλὴν τὴν εὐθύνην διὰ τὰ ὅσα συμβαίνουν. Διότι ὅπως ἀκριβῶς ἐὰν δὲν θὰ ὑπῆρχαν οἱ θεαταί, δὲν θὰ ὑπῆρχαν καὶ οἱ ἄνθρωποι ποὺ ἀσχολοῦνται μὲ αὐτά, ἔτσι καὶ τώρα ποὺ ὑπάρχουν οἱ θεαταὶ μοιράζονται καὶ αὐτοὶ τὴν τιμωρίαν διὰ τὰ ὅσα συμβαίνουν. Ὥστε καὶ ἂν ἀκόμη ἡ σωφροσύνη σου δὲν ὑπέστη καμμίαν βλάβην, πρᾶγμα ποὺ εἶναι ἀδύνατον, ὅμως πάλιν θὰ τιμωρη-

τέρων χαλεπὰς δώσεις εὐθύνας καὶ τῶν θεωρούντων καὶ τῶν αὐτοὺς συναγόντων. Καὶ εἰς σωφροσύνην δὲ μείζονα ἂν ἐκέρδανας, εἰ μὴ ἐκεῖσε ἐβάδιζες. Εἰ γὰρ καὶ νῦν εἶ σώφρων, σωφρονέστερος ἂν ἐγένου τὰς τοιαύτας φεύγων θέας.

5 *Μὴ τοίνυν περιττὰ φιλονεικῶμεν, μηδὲ ἀνοήτους ἀπολογίας ἐπινοῶμεν. Μία γὰρ ἀπολογία, τὸ φεύγειν τὴν κάμινον τὴν Βαβυλωνίαν, τὸ πόρρω γενέσθαι τῆς Αἰγυπτίας πόρνης, κἂν γυμνὸν δέῃ τὰς ἐκείνης χεῖρας διαφυγεῖν. Οὕτω γὰρ καὶ ἡδονῆς πολλῆς ἀπολαυσόμεθα, τοῦ συνειδότος* 10 *ἡμῶν οὐ κατηγοροῦντος ἡμῶν, καὶ τὸν παρόντα μετὰ σωφροσύνης βιωσόμεθα βίον, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

θῆς αὐστηρὰ διὰ τὴν ἀπώλειαν τῶν ἄλλων, τόσον τῶν θεατῶν, ὅσον καὶ αὐτῶν ποὺ τοὺς συναθροίζουν ἐκεῖ. Ἀλλὰ καὶ εἰς σωφροσύνην θὰ εἶχες πολὺ πιὸ μεγαλύτερον κέρδος ἐὰν δὲν ἐπήγαινες εἰς τὰ θέατρα. Διότι ἐὰν τώρα εἶσαι σώφρων, ὁπωσδήποτε θὰ ἠμποροῦσες νὰ γίνῃς σωφρονέστερος ἐὰν ἀπέφευγες τὰ παρόμοια θεάματα.

Ἂς μὴ κάνωμεν λοιπὸν περιττὰς συζητήσεις καὶ ἂς μὴ ἐπινοῶμεν δικαιολογίας ποὺ δὲν μᾶς ὠφελοῦν. Διότι μία εἶναι ἡ πραγματικὴ ἀπολογία, ν' ἀποφεύγωμεν τὴν κάμινον τῆς Βαβυλῶνος, ν' ἀπομακρυνώμεθα ἀπὸ τὴν αἰγυπτίαν πόρνην, ἔστω καὶ ἂν εἶναι ἀνάγκη νὰ ξεφύγωμεν γυμνοὶ ἀπὸ τὰ χέρια της. Διότι ἔτσι καὶ μεγαλυτέραν ἡδονὴν θ' ἀπολαύσωμεν, ὅταν δὲν θὰ ἔχωμεν τύψεις εἰς τὴν συνείδησίν μας, καὶ τὴν παροῦσαν ζωὴν θὰ ζήσωμεν μὲ σωφροσύνην, καὶ θὰ ἐπιτύχωμεν τὰ μελλοντικὰ ἀγαθά, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΛΗ΄

Ματθ. 11, 25 - 30

«Ἐν ἐκείνῳ τῷ καιρῷ ἀποκριθεὶς ὁ Ἰησοῦς εἶπεν· ἐξομολογοῦμαί σοι, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, 5 ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις. Ναί, ὁ Πατήρ, ὅτι οὕτως ἐγένετο εὐδοκία ἔμπροσθέν σου».

1. Ὁρᾷς διὰ πόσων αὐτοὺς ἐνάγει εἰς τὴν πίστιν; Πρῶτον, διὰ τῶν ἐγκωμίων τῶν Ἰωάννου. Δείξας γὰρ αὐτὸν 10 μέγαν καὶ θαυμαστόν, ἀξιόπιστα καὶ τὰ παρ' αὐτοῦ ἅπαντα ἀπέφηνε, δι' ὧν εἰς τὴν αὐτοῦ γνῶσιν αὐτοὺς ἐφείλκετο. Δεύτερον, τῷ εἰπεῖν, «Ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν»[1]· τοῦτο γάρ ἐστιν ἐπείγοντος καὶ ὠθοῦντος. Τρίτον, διὰ τοῦ δεῖξαι ὅτι οἱ προφῆται πάν-15 τες ἀπηρτίσθησαν· καὶ γὰρ καὶ τοῦτο ἐδήλου αὐτὸν εἶναι τὸν δι' ἐκείνων προαναφωνούμενον. Τέταρτον, διὰ τοῦ δεῖξαι ὅτι πάντα ὅσα γενέσθαι ἐχρῆν παρ' αὐτοῦ, πάντα γέγονεν, ὅτε καὶ τῆς παραβολῆς τῶν παίδων ἐμνημόνευσε[2]. Πέμπτον, διὰ τοῦ ὀνειδίσαι τοὺς μὴ πιστεύσαντας, καὶ φο-20 βῆσαι καὶ ἀπειλῆσαι μεγάλα. Ἕκτον, διὰ τοῦ εὐχαριστῆσαι ὑπὲρ τῶν πιστευσάντων. Τὸ γὰρ «Ἐξομολογοῦμαί σοι», ἐνταῦθα εὐχαριστῶ ἐστιν· εὐχαριστῶ, φησίν, «Ὅτι ἀπέκρυψας ταῦτα ἀπὸ σοφῶν καὶ συνετῶν».

Τί οὖν; ἐπ' ἀπωλείᾳ χαίρει καὶ τῷ μὴ μαθεῖν ἐκεί-25 νους ταῦτα; Οὐδαμῶς· ἀλλ' αὕτη τῆς σωτηρίας ὁδὸς ἀρίστη, τὸ τοὺς διαπτύοντας καὶ μὴ βουλομένους δέχεσθαι τὰ

---

1. Ματθ. 11, 12.
2. Πρβλ. Ματθ. 11, 16-19.

ΟΜΙΛΙΑ ΛΗ΄

Ματθ. 11, 25 - 30

«Κατ' ἐκεῖνον τὸν καιρὸν ἀπεκρίθη ὁ Ἰησοῦς καὶ εἶπε· Σ' εὐχαριστῶ, Πάτερ, Κύριε τοῦ οὐρανοῦ καὶ τῆς γῆς, διότι ἀπέκρυψες τὰς μυστηριώδεις ἀληθείας σου ἀπὸ τοὺς δῆθεν σοφοὺς καὶ συνετοὺς καὶ τὰς ἐφανέρωσες εἰς τοὺς ἁπλοϊκοὺς ἀνθρώπους. Ναί, Πάτερ, διότι αὐτὸ ἦτο τὸ ἀγαθὸν καὶ δίκαιον θέλημά σου».

1. Βλέπεις μὲ πόσους τρόπους προσπαθεῖ ὁ Κύριος νὰ τοὺς ὁδηγήσῃ εἰς τὴν πίστιν; Πρῶτον μὲ τὰ ἐγκώμια ποὺ ἔπλεξε διὰ τὸν Ἰωάννην. Διότι, ἀποδεικνύων ὅτι ἦτο μέγας καὶ ἄξιος θαυμασμοῦ, ἀπέδειξεν ὅτι ὅλα τὰ λεχθέντα ὑπ' αὐτοῦ ἦσαν ἀξιόπιστα, καὶ ἔτσι μὲ ὅλα αὐτὰ τοὺς προσείλκυεν εἰς τὸ νὰ γνωρίσουν τὸν ἴδιον. Δεύτερον μὲ τὸ ὅτι εἶπεν· «Ἡ βασιλεία τῶν οὐρανῶν βιάζεται καὶ οἱ βιασταὶ ἁρπάζουν αὐτήν»[1]. Διότι αὐτὸ εἶναι ἴδιον ἐκείνου ποὺ ἀνυπομονεῖ καὶ βιάζεται νὰ ἐπιτύχῃ κάτι. Τρίτον μὲ τὸ ὅτι ἀπέδειξεν, ὅτι ἔλαβε τέλος πλέον ἡ δρᾶσις τῶν προφητῶν, καθόσον αὐτὸ ἐφανέρωνεν, ὅτι αὐτὸς ἦτο ἐκεῖνος περὶ τοῦ ὁποίου ὡμίλησαν οἱ προφῆται. Τέταρτον μὲ τὸ ὅτι ἀπέδειξεν, ὅτι ὅλα ὅσα ἔπρεπε νὰ γίνουν ἀπὸ αὐτὸν τὸν ἴδιον ὅλα ἔγιναν· αὐτὸ τὸ ἐφανέρωσεν ὅταν ἀνέφερε τὴν παραβολὴν τῶν παίδων[2]. Πέμπτον μὲ τὸ ὅτι ὠνείδισεν ἐκείνους ποὺ δὲν ἐπίστευσαν καὶ τοὺς ἐφόβισε καὶ τοὺς ἠπείλησε μὲ μεγάλας τιμωρίας. Ἕκτον μὲ τὸ ὅτι ηὐχαρίστησε τὸν Θεὸν Πατέρα δι' ὅσους ἐπίστευσαν. Διότι τὸ «ἐξομολογοῦμαί σοι» εἰς τὴν περίπτωσιν αὐτὴν σημαίνει εὐχαριστῶ. Σὲ εὐχαριστῶ, λέγει, «διότι ἀπέκρυψες τὰς μυστηριώδεις καὶ οὐρανίους αὐτὰς ἀληθείας ἀπὸ τοὺς θεωρουμένους σοφοὺς καὶ συνετούς».

Τί λοιπόν; Χαίρεται διὰ τὴν ἀπώλειαν τῶν ἀνθρώπων καὶ διὰ τὸ ὅτι ἐκεῖνοι δὲν ἐγνώρισαν αὐτά; Ἀσφαλῶς ὄχι. Ἀλλ' αὐτὴ εἶναι ἡ ἀρίστη ὁδὸς τῆς σωτηρίας, τὸ νὰ μὴ ἐξαναγκάζῃ ἐκείνους ποὺ περιφρονοῦν καὶ δὲν θέλουν νὰ

*λεγόμενα μὴ καταναγκάζειν· ἵν᾽ ἐπειδὴ τῷ κληθῆναι βελτίους οὐκ ἐγένοντο, ἀλλ᾽ ἀνέπεσον καὶ κατεφρόνησαν, τῷ ἐκβληθῆναι εἰς ἐπιθυμίαν τούτων ἐμπέσωσιν. Οὕτω γὰρ καὶ οἱ προσέχοντες σπουδαιότεροι γίνεσθαι ἔμελλον. Τὸ μὲν
5 γὰρ ἀποκαλυφθῆναι τούτοις, ἄξιον χαρᾶς, τὸ δὲ κρυβῆναι ἐξ ἐκείνων, οὐκέτι χαρᾶς, ἀλλὰ δακρύων ἄξιον. Τοῦτο γοῦν καὶ ποιεῖ, δακρύων τὴν πόλιν. Οὐ τοίνυν διὰ τοῦτο χαίρει, ἀλλ᾽ ὅτι ἃ σοφοὶ οὐκ ἔγνωσαν, ἔγνωσαν οὗτοι. Ὡς ὅταν λέγῃ Παῦλος· «Εὐχαριστῶ τῷ Θεῷ, ὅτι ἦτε δοῦλοι
10 τῆς ἁμαρτίας, ὑπηκούσατε δὲ ἐκ καρδίας εἰς ὃν παρεδόθητε τύπον διδαχῆς». Οὐ τοίνυν οὔτε Παῦλος διὰ τοῦτο χαίρει, ὅτι ἦσαν δοῦλοι τῆς ἁμαρτίας, ἀλλ᾽ ὅτι ὄντες τοιοῦτοι, τοιούτων ἀπέλαυσαν.*

*Σοφοὺς δὲ ἐνταῦθα τοὺς γραμματέας φησὶ καὶ τοὺς
15 Φαρισαίους. Ταῦτα δὲ λέγει τοὺς μαθητὰς προθυμοτέρους ποιῶν καὶ δηλῶν τίνων κατηξιώθησαν οἱ ἁλιεῖς, ὧν ἐκεῖνοι πάντες ἐξέπεσον. Εἰπὼν δὲ σοφούς, οὐ τὴν ἀληθινὴν σοφίαν λέγει καὶ ἐπαινετὴν ἀλλὰ ταύτην ἣν ἐδόκουν ἀπὸ δεινότητος ἔχειν· (διὰ τοῦτο οὐδὲ εἶπεν, ἀπεκάλυψας μωροῖς, ἀλλά,
20 νηπίοις· ἀπλάστοις, φησίν, ἀφελέσι)· καὶ δείκνυσιν οὐ μόνον παρ᾽ ἀξίαν οὐκ ἀπολαύσαντες τούτων, ἀλλὰ καὶ κατὰ τὸ εἰκός· καὶ παιδεύει διὰ πάντων ἡμᾶς, ἀπονοίας μὲν ἀπηλλάχθαι, ἀφέλειαν δὲ ζηλοῦν. Διὰ τοῦτο καὶ Παῦλος αὐτὸ ἔλεγε μετὰ πλείονος τῆς ὑπερβολῆς, οὕτω γράφων·*

---

3. Προβλ. 11, 23-24.
4. Ρωμ. 6, 17.

δεχθοῦν τὰ λεγόμενα, ὥστε, ἐπειδὴ προσκληθέντες δὲν ἔγιναν καλύτεροι, ἀλλὰ τὰ ἀπέφυγαν ἀπὸ δειλίαν καὶ τὰ περιεφρόνησαν, ἀπομακρυθέντες νὰ ἐπιθυμήσουν αὐτά. Διότι κατ' αὐτὸν τὸν τρόπον καὶ ἐκεῖνοι ποὺ ἐπρόσεξαν αὐτὰ ἐπρόκειτο νὰ γίνουν περισσότερον σπουδαῖοι. Διότι ἡ μὲν ἀποκάλυψις τῶν ἀληθειῶν εἰς αὐτοὺς ἦτο πρόξενος χαρᾶς, ἐνῷ ἡ ἀπόκρυψις αὐτῶν ἀπὸ αὐτοὺς ποὺ θεωροῦνται συνετοὶ καὶ σοφοὶ δὲν ἦτο πλέον αἰτία χαρᾶς, ἀλλὰ δακρύων. Αὐτὸ κάνει λοιπόν, ὅταν δακρύζῃ διὰ τὴν πόλιν[3]. Δὲν χαίρεται βέβαια δι' αὐτό, ἀλλὰ ἐπειδὴ αὐτὸ ποὺ δὲν ἠμπόρεσαν νὰ κατανοήσουν οἱ σοφοὶ τὸ ἐγνώρισαν οἱ ἁπλοῖ ἄνθρωποι. Ὅπως ὅταν ὁ Παῦλος λέγῃ· «Εὐχαριστῶ τὸν Θεόν, διότι ἤσασθε κάποτε δοῦλοι τῆς ἁμαρτίας, ὅμως ὑπακούσατε μὲ ὅλην τὴν καρδίαν σας εἰς τὸν κανόνα τῆς διδασκαλίας καὶ ἀφωσιώθητε εἰς αὐτόν»[4]. Οὔτε καὶ ὁ Παῦλος λοιπὸν χαίρεται δι' αὐτό, ἐπειδὴ δηλαδὴ ἦσαν δοῦλοι τῆς ἁμαρτίας, ἀλλ' ἐπειδή, ἂν καὶ εὑρίσκοντο εἰς τοιαύτην κατάστασιν, παρὰ ταῦτα ἀπήλαυσαν τόσον μεγάλα ἀγαθά.

Σοφοὺς δὲ εἰς τὴν περίπτωσιν αὐτὴν ὀνομάζει τοὺς γραμματεῖς καὶ τοὺς Φαρισαίους. Αὐτὰ δὲ τὰ λέγει διὰ νὰ καταστήσῃ προθυμοτέρους τοὺς μαθητάς του καὶ διὰ νὰ δείξῃ ποίας ἀληθείας ἠξιώθησαν νὰ γνωρίσουν οἱ ἁλιεῖς, ἀπὸ τὰς ὁποίας ἀπεκλείσθησαν ὅλοι ἐκεῖνοι. Λέγων δέ, σοφούς, δὲν ἐννοεῖ τὴν πραγματικὴν καὶ ἀξίαν ἐπαίνου σοφίαν, ἀλλὰ τὴν σοφίαν ἐκείνην ποὺ ἐνόμιζαν αὐτοὶ ὅτι κατεῖχαν ἐξ ἰδίας ἱκανότητος. (Διὰ τοῦτο δὲν εἶπε, τὰ ἀπεκάλυψες εἰς τοὺς μωρούς, ἀλλά, εἰς τοὺς νηπίους, ὑπονοῶν τοὺς ἁπλοῦς καὶ τοὺς ἀφελεῖς). Καὶ ἀποδεικνύει ὅτι δὲν ἀπήλαυσαν αὐτὰς τὰς ἀληθείας, ὄχι μόνον λόγῳ ἀναξιότητός των, ἀλλὰ καὶ ἐπειδὴ ἦτο φυσικὸν νὰ συμβῇ αὐτό, καὶ μὲ ὅλα αὐτὰ μᾶς διδάσκει ἀφ' ἑνὸς μὲν ν' ἀπαλλαγῶμεν ἀπὸ τὴν ἀπόνοιάν μας, ἀφ' ἑτέρου δὲ νὰ ἐπιδιώξωμεν τὴν ἁπλότητα. Διὰ τὸν λόγον αὐτὸν καὶ ὁ Παῦλος ἔλεγε τὸ ἴδιο κατὰ τρόπον μάλιστα πολὺ ὑπερβολικὸν γράφων τὰ ἑξῆς· «Ἐὰν κα-

«Εἴ τις δοκεῖ ἐν ὑμῖν σοφὸς εἶναι ἐν τῷ αἰῶνι τούτῳ, μωρὸς γενέσθω, ἵνα γένηται σοφός». Οὕτω γὰρ δείκνυται ἡ τοῦ Θεοῦ χάρις.

Διατί δὲ εὐχαριστεῖ τῷ Πατρί, καίτοιγε αὐτὸς αὐτὸ
5 *ἐποίησεν; Ὥσπερ εὔχεται καὶ ἐντυγχάνει τῷ Θεῷ, τὴν πολλὴν ἀγάπην τὴν περὶ ἡμᾶς ἐνδεικνύμενος, οὕτω καὶ τοῦτο ποιεῖ· πολλῆς γὰρ καὶ τοῦτο ἀγάπης· καὶ δείκνυσιν, ὅτι οὐ παρ' αὐτοῦ ἐξέπεσον μόνον, ἀλλὰ καὶ παρὰ τοῦ Πατρός. Ὅπερ γὰρ εἶπε τοῖς μαθηταῖς λέγων, «Μὴ βάλητε τὰ ἅ-*
10 *για τοῖς κυσί», τοῦτο προλαβὼν αὐτὸς ἐποίησεν. Εἶτα δείκνυσιν ἐκ τούτων καὶ τὸ αὐτοῦ προηγούμενον θέλημα καὶ τὸ τοῦ Πατρός· αὐτοῦ μὲν γάρ, τῷ εὐχαριστεῖν καὶ χαίρειν ἐπὶ τῷ γενομένῳ, τοῦ Πατρὸς δέ, τῷ δεικνύναι, ὅτι οὐδὲ ἐκεῖνος παρακληθεὶς τοῦτο ἐποίησεν, ἀλλ' ὅτι αὐτὸς οἴκοθεν*
15 *ὁρμηθείς· «Οὕτω» γάρ φησιν, «ἐγένετο εὐδοκία ἔμπροσθέν σου»· τουτέστιν, οὕτω σοι ἤρεσε.*

Καὶ διατί ἀπεκρύβη ἀπ' ἐκείνων; Ἄκουσον Παύλου λέγοντος, ὅτι «Ζητοῦντες τὴν ἰδίαν δικαιοσύνην στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν». Ἐννόησον τοίνυν
20 *τί εἰκὸς εἶναι τοὺς μαθητὰς ταῦτα ἀκούοντας, ὅτι ἃ σοφοὶ οὐκ ἔγνωσαν, οὗτοι ἔγνωσαν· καὶ ἔγνωσαν μείναντες νήπιοι, καὶ ἔγνωσαν τοῦ Θεοῦ ἀποκαλύψαντος. Ὁ δὲ Λουκᾶς φησιν, ὅτι ἐν αὐτῇ τῇ ὥρᾳ, ὅτε ἦλθον οἱ ἑβδομήκοντα ἐπαγγέλλοντες περὶ τῶν δαιμόνων, τότε ἠγαλλιάσατο καὶ εἶπε*
25 *ταῦτα, ἅπερ μετὰ τοῦ σπουδαιοτέρους αὐτοὺς ποιεῖν, καὶ*

---

5. Α΄ Κορ. 3, 19.
6. Ματθ. 7, 6.
7. Ρωμ. 10, 3.
8. Πρβλ. Λουκᾶ 10, 17.
9. Πρβλ. Λουκᾶ 10, 21.

νεὶς νομίζῃ ὅτι εἶναι σοφὸς μεταξύ σας εἰς τὸν παρόντα κόσμον, αὐτὸς ἂς γίνῃ μωρὸς διὰ νὰ γίνῃ πραγματικὸς σοφός»[5]. Διότι ἔτσι ἀποδεικνύεται ἡ χάρις τοῦ Θεοῦ.

Διατί ὅμως εὐχαριστεῖ τὸν Πατέρα του, ἀφοῦ ὁ ἴδιος ἔπραξεν αὐτό; Ὅπως ἀκριβῶς προσεύχεται καὶ παρακαλεῖ τὸν Θεὸν διὰ νὰ ἀποδείξῃ τὴν μεγάλην ἀγάπην του δι' ἡμᾶς, καθ' ὅμοιον τρόπον πράττει καὶ αὐτό. Διότι καὶ αὐτὸ ἀποδεικνύει τὴν μεγάλην ἀγάπην του. Καὶ ἀκόμη φανερώνει ὅτι δὲν ἀπεμακρύνθησαν μόνον ἀπὸ αὐτόν, ἀλλὰ καὶ ἀπὸ τὸν Πατέρα του. Διότι αὐτὸ ἀκριβῶς ποὺ παρήγγειλεν εἰς τοὺς μαθητάς του, λέγων· «Μὴ ρίπτετε τὰ ἅγια εἰς τοὺς σκύλους»[6], αὐτὸ τὸ ἐφαρμόζει πρῶτος ὁ ἴδιος. Ἀκόμη δὲ μὲ τοὺς λόγους αὐτοὺς ἀποκαλύπτει καὶ τὸ προηγούμενον θέλημά του, καὶ τὸ θέλημα τοῦ Πατρός του. Τὸ ἰδικόν του τὸ ἀποκαλύπτει μὲ τὴν εὐχαριστίαν πρὸς τὸν Πατέρα του καὶ τὴν χαράν του δι' αὐτὸ ποὺ συμβαίνει, τοῦ Πατρός του δὲ ὅταν λέγῃ, ὅτι οὔτε αὐτὸς ἔπραξεν αὐτὸ ἐπειδὴ παρεκλήθη, ἀλλ' ὁ ἴδιος ἀφ' ἑαυτοῦ ἔπραξεν αὐτό. Διότι, λέγει, «τοιαύτη ὑπῆρξεν ἡ ἀγαθὴ προαίρεσίς σου», δηλαδὴ ἔτσι ἦτο ἀρεστὸν εἰς σέ.

Καὶ διὰ ποῖον λόγον ἀπεκρύβησαν αἱ θεῖαι ἀλήθειαι ἀπὸ ἐκείνους; Ἄκουσε τὸν Παῦλον ποὺ λέγει, ὅτι· «Ἐπειδὴ ἐζήτουν νὰ στήσουν τὸν ἰδικόν των τρόπον δικαιώσεως, διὰ τοῦτο δὲν ὑπετάγησαν εἰς τὴν δικαίωσιν ποὺ προέρχεται ἀπὸ τὸν Θεόν»[7]. Ἀναλογίσου λοιπὸν πῶς ἦτο φυσικὸν νὰ αἰσθάνωνται οἱ μαθηταὶ τοῦ Κυρίου, ὅταν ἤκουαν αὐτοὺς τοὺς λόγους, ὅτι δηλαδὴ αὐτὰ ποὺ δὲν ἠμπόρεσαν νὰ γνωρίσουν οἱ σοφοί, τὰ ἐγνώρισαν ἐκεῖνοι. Καὶ τὰ ἐγνώρισαν ἐπειδὴ παρέμειναν ἁπλοῖ ὡσὰν τὰ νήπια καὶ τὰ κατενόησαν ἐπειδὴ τοὺς τὰ ἀπεκάλυψεν ὁ Θεός. Ὁ δὲ εὐαγγελιστὴς Λουκᾶς λέγει, ὅτι αὐτὰ τὰ εἶπεν ὁ Ἰησοῦς ὅταν ἐπέστρεψαν οἱ ἑβδομήκοντα μαθηταί του καὶ τοῦ ἀνήγγειλαν τὰ περὶ τῆς ὑποταγῆς τῶν δαιμόνων[8]. Τότε ὁ Ἰησοῦς ἐδοκίμασε μεγάλην χαρὰν καὶ εἶπεν αὐτά[9], τὰ ὁποῖα ἐκτὸς τοῦ

μετριάζειν παρεσκεύαζεν. Ἐπειδὴ γὰρ εἰκὸς ἦν αὐτοὺς μέγα φρονεῖν ἐπὶ τῷ τοὺς δαίμονας ἐλαύνειν, καὶ ἐντεῦθεν αὐτοὺς καταστέλλει. Ἀποκάλυψις γὰρ ἦν τὸ γινόμενον, οὐκ ἐκείνων σπουδή.

5 *2. Διὸ καὶ οἱ γραμματεῖς καὶ οἱ σοφοί, συνετοὶ νομίζοντες εἶναι παρ' ἑαυτοῖς, ἐξέπεσον διὰ τὸν οἰκεῖον τῦφον. Οὐκοῦν εἰ διὰ τοῦτο ἐξ αὐτῶν ἀπεκρύβη, φοβήθητε, φησί, καὶ ὑμεῖς καὶ μείνατε νήπιοι. Τοῦτο γὰρ ὑμᾶς ἐποίησε τῆς ἀποκαλύψεως ἀπολαῦσαι, ὥσπερ οὖν καὶ ἐκείνους τὸ ἐναν-*
10 *τίον ἀποστερηθῆναι. Οὐδὲ γὰρ ὅταν λέγῃ, ἀπέκρυψας, τοῦ Θεοῦ τὸ πᾶν εἶναί φησιν· ἀλλ' ὥσπερ ὅταν λέγῃ Παῦλος, ὅτι παρέδωκεν αὐτοὺς εἰς ἀδόκιμον νοῦν, καὶ ἐτύφλωσεν αὐτῶν τὰ νοήματα, οὐκ αὐτὸν εἰσάγων ταῦτα ἐνεργοῦντα τοῦτό φησιν, ἀλλ' ἐκείνους τοὺς τὴν αἰτίαν παρέχοντας· οὕτω*
15 *καὶ ἐνταῦθά φησι τό, ἀπέκρυψας.*

Ἐπειδὴ γὰρ εἶπεν, «Ἐξομολογοῦμαί σοι, ὅτι ἀπέκρυψας, καὶ ἀπεκάλυψας αὐτὰ νηπίοις», ἵνα μὴ νομίσῃς, ὅτι ὡς αὐτὸς ἀπεστερημένος τῆς δυνάμεως ταύτης, καὶ μὴ δυνάμενος αὐτὸ κατορθῶσαι, οὕτως εὐχαριστεῖ, φησί· «Πάντα μοι παρε-
20 *δόθη ὑπὸ τοῦ Πατρός μου». Πρὸς δὲ τοὺς χαίροντας, ὅτι τὰ δαιμόνια αὐτοῖς ὑπακούει, τί γὰρ θαυμάζετε, φησίν, ὅτι δαίμονες ὑμῖν ὑπείκουσιν; Ἐμὰ πάντα ἐστί, «Πάντα μοι παρεδόθη». Ὅταν δὲ ἀκούσῃς, παρεδόθη, μηδὲν ἀνθρώπινον ὑποπτεύσῃς· ἵνα γὰρ μὴ δύο θεοὺς ἀγεννήτους νομίσῃς, ταύτην*
25 *τὴν λέξιν τίθησιν. Ἐπεὶ ὅτι ὁμοῦ τε ἐγεννήθη καὶ πάντων*

---

10. Παρβλ. Ρωμ. 1, 28. Β' Κορ. 4, 4.
11. Παρβλ. Λουκᾶ 10, 20.

ὅτι ἀπεδείκνυαν τὸ πόσον σπουδαῖοι ἦσαν αὐτοὶ τοὺς προετοίμασεν καὶ νὰ εἶναι μετριόφρονες. Ἐπειδὴ δηλαδὴ ἦτο φυσικὸν νὰ ὑψηλοφρονοῦν μὲ τὴν ἐκδίωξιν τῶν δαιμόνων, διὰ τοῦτο τοὺς προφυλάσσει ἀπ' αὐτὸ μὲ ὅσα τοὺς λέγει. Αὐτὸ ποὺ συνέβαινεν ἦτο ἀποκάλυψις τοῦ Θεοῦ πρὸς αὐτοὺς καὶ ὄχι ἀποτέλεσμα τῆς ἰδικῆς των δυνάμεως.

2. Διὰ τοῦτο καὶ οἱ γραμματεῖς καὶ οἱ σοφοί, ποὺ εἶχαν τὴν γνώμην ὅτι ἦσαν συνετοί, ἀπεκλείσθησαν ἀπὸ τὴν θείαν ἀλήθειαν λόγῳ τοῦ ἐγωϊσμοῦ των. Ἀφοῦ λοιπὸν διὰ τὸν λόγον αὐτὸν τοὺς ἀπεκρύβη ἡ ἀλήθεια φοβηθῆτε, λέγει, καὶ σεῖς καὶ παραμείνατε ἁπλοῖ ὡσὰν τὰ νήπια. Διότι αὐτὸ εἶναι ἐκεῖνο ποὺ σᾶς κατέστησεν ἀξίους ν' ἀπολαύσετε τὴν θείαν ἀποκάλυψιν, καθὼς ἐπίσης καὶ ἐκείνους ἀκριβῶς τὸ ἀντίθετον τοὺς ἐστέρησεν αὐτήν. Διότι, οὔτε ὅταν λέγῃ «ἀπέκρυψας» ἀποδίδει τὸ πᾶν εἰς τὸν Θεόν, ἀλλ' ὅπως ἀκριβῶς ὅταν λέγῃ ὁ Παῦλος, ὅτι ὁ Θεὸς τοὺς παρέδωσεν εἰς νοῦν ἀνάξιον νὰ διακρίνῃ τὸ ὀρθὸν καὶ ὅτι ἐτύφλωσε τὴν σκέψιν των[10], δὲν τὰ λέγει διὰ νὰ παρουσιάσῃ τὸν Θεὸν ὡς πράττοντα αὐτά, ἀλλὰ ἐκείνους ποὺ ἔγιναν αἰτία νὰ συμβοῦν αὐτά. Ἔτσι καὶ εἰς τὴν περίπτωσιν αὐτὴν μὲ αὐτὴν τὴν ἔννοιαν λέγει τό, ἀπέκρυψας.

Ἐπειδὴ ὅμως εἶπε· «Σ' εὐχαριστῶ διότι τὰ ἀπέκρυψες καὶ τὰ ἀπεκάλυψες εἰς τοὺς ἁπλοϊκοὺς ἀνθρώπους», διὰ νὰ μὴ νομίσῃς, ὅτι εὐχαριστεῖ τὸν Πατέρα του ἐπειδὴ ὁ ἴδιος δὲν εἶχε τὴν δύναμιν καὶ δὲν ἠμποροῦσε νὰ τὸ κάνῃ αὐτό, λέγει· «Ὅλα μοῦ παρεδόθησαν ἀπὸ τὸν Πατέρα μου». Πρὸς ἐκείνους δὲ ποὺ ἐχαίροντο ἐπειδὴ ὑπήκουαν τὰ δαιμόνια εἰς αὐτούς, λέγει. Διατί ἐκπλήσσεσθε ποὺ τὰ δαιμόνια ὑποτάσσονται εἰς σᾶς[11]; Ὅλα εἶναι ἰδικά μου. «Ὅλα μοῦ παρεδόθησαν». Ὅταν ὅμως ἀκούῃς νὰ λέγῃ «παρεδόθη», νὰ μὴ νομίσῃς ὅτι πρόκειται διὰ κάτι ἀνθρώπινον, διότι ἐχρησιμοποίησεν αὐτὴν τὴν λέξιν διὰ νὰ μὴ νομίσῃς ὅτι ὑπάρχουν δύο θεοὶ ἀγέννητοι. Ἐπειδὴ ποικιλοτρόπως καὶ εἰς πολλὰ ἄλλα σημεῖα ἀποκαλύπτει ὅτι συγχρόνως καὶ ἐγεννήθη ἀ-

δεσπότης ἦν, πολλαχόθεν καὶ ἀλλαχόθεν δηλοῖ. Εἶτα λέγει τι καὶ τούτου μεῖζον, ἀνορθῶν σου τὴν διάνοιαν· «Καὶ οὐδεὶς γινώσκει τὸν Υἱόν, εἰ μὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ Υἱός». Καὶ δοκεῖ μὲν ἀπηρτῆσθαι τῶν ἔμ-
5 *προσθεν τοῖς ἀγνοοῦσι, πολὺ δὲ ἔχει τὸ σύμφωνον. Ἐπειδὴ γὰρ εἶπε, «Πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου», ἐπάγει· καὶ τί θαυμαστόν, φησίν, εἰ πάντων εἰμὶ δεσπότης, ὅπου γε καὶ ἕτερόν τι μεῖζον ἔχω, τὸ εἰδέναι τὸν Πατέρα καὶ τῆς αὐτῆς οὐσίας εἶναι; Καὶ γὰρ καὶ τοῦτο λανθανόντως δείκνυ-*
10 *σιν ἐκ τοῦ μόνος αὐτὸν οὕτως εἰδέναι. Ὅταν γὰρ εἴπῃ, «Οὐδεὶς γινώσκει τὸν Πατέρα, εἰ μὴ ὁ Υἱός», τοῦτο λέγει. Καὶ ὅρα πότε λέγει ταῦτα. Ὅτε διὰ τῶν ἔργων ἔλαβον αὐτοῦ τῆς δυνάμεως τὴν ἀπόδειξιν, οὐχὶ θαυματουργοῦντα ἰδόντες μόνον, ἀλλὰ καὶ ἐν τῷ ὀνόματι αὐτοῦ τοσαῦτα δυνηθέντες.*

15 *Εἶτα, ἐπειδὴ εἶπεν ὅτι «Ἀπεκάλυψας αὐτὰ νηπίοις», δείκνυσι καὶ τοῦτο αὐτοῦ ὄν· «Οὐδὲ γὰρ τὸν Πατέρα τις ἐπιγινώσκει», φησίν, «εἰ μὴ ὁ Υἱός, καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι»· οὐχ ᾧ ἂν ἐπιτάττηται, οὐδὲ ᾧ ἂν κελεύηται. Εἰ δὲ ἐκεῖνον ἀποκαλύπτει, καὶ ἑαυτόν. Ἀλλὰ τοῦτο μὲν ὡς*
20 *ὡμολογημένον ἀφῆκεν, ἐκεῖνο δὲ τέθεικε. Καὶ πανταχοῦ τοῦτό φησιν, ὡς ὅταν λέγῃ· «Οὐδεὶς δύναται πρὸς τὸν Πατέρα*

πὸ τὸν Πατέρα του καὶ ἦτο κύριος τοῦ σύμπαντος. Εἰς τὴν συνέχειαν λέγει καὶ κάτι ὑψηλότερον ἀπὸ αὐτὸ ἐξυψώνων ἔτσι τὴν σκέψιν σου. «Καὶ κανεὶς ἄλλος δὲν γνωρίζει τὸν Υἱὸν παρὰ μόνον ὁ Πατήρ. Οὔτε τὸν Πατέρα τὸν γνωρίζει κανεὶς ἄλλος παρὰ μόνον ὁ Υἱός». Καὶ μὲ ὅλα αὐτὰ ποὺ λέγει δίδει τὴν ἐντύπωσιν εἰς τοὺς μὴ γνώστας τῶν πραγμάτων, ὅτι συμπληρώνει τὰ ὅσα εἶπε προηγουμένως, παρὰ ταῦτα εὑρίσκεται εἰς πλήρη συμφωνίαν πρὸς αὐτά. Διότι ἐπειδὴ εἶπεν· «Ὅλα παρεδόθησαν εἰς ἐμὲ ἀπὸ τὸν Πατέρα μου», προσθέτει· Καὶ διατί εἶναι ἄξιον θαυμασμοῦ, λέγει, ἐὰν εἶμαι κύριος τῶν πάντων, καθ' ἣν στιγμὴν βέβαια ἔχω καὶ κάτι ἄλλο ἀνώτερον, νὰ γνωρίζω καλὰ τὸν Πατέρα καὶ νὰ ἔχω τὴν ἰδίαν οὐσίαν μὲ αὐτόν; Καθόσον καὶ αὐτὸ φανερώνει, κατὰ τρόπον λανθάνοντα, ὅτι αὐτὸς μόνον τὸν γνωρίζει κατὰ τοιοῦτον τρόπον. Διότι, ὅταν λέγῃ· «Κανεὶς ἄλλος δὲν γνωρίζει καλὰ τὸν Πατέρα παρὰ μόνον ὁ Υἱός», αὐτὸ ἐννοεῖ. Καὶ πρόσεξε πότε τὰ λέγει αὐτά. Ὅταν οἱ μαθηταὶ εἶχαν γνωρίσει διὰ τῶν ἔργων τὴν δύναμίν του, ὄχι ἐπειδὴ τὸν εἶδαν μόνον νὰ θαυματουργῇ, ἀλλὰ καὶ ὅταν οἱ ἴδιοι ἠμπόρεσαν νὰ ἐπιτελέσουν εἰς τὸ ὄνομά του τόσον πολλὰ θαύματα.

Ἀκολούθως ἐπειδὴ εἶπε, «καὶ τὰ ἀπεκάλυψες εἰς τοὺς ἁπλοϊκοὺς ἀνθρώπους», ἀποδεικνύει ὅτι καὶ αὐτὴ ἡ ἀποκάλυψις ὀφείλεται εἰς αὐτόν. «Διότι κανεὶς ἄλλος δὲν γνωρίζει τὸν Πατέρα», λέγει, «παρὰ μόνον ὁ Υἱὸς καὶ ἐκεῖνος εἰς τὸν ὁποῖον ὁ Υἱὸς θὰ θελήσῃ νὰ τὸν ἀποκαλύψῃ»· ἡ ἀποκάλυψις δὲ αὐτὴ δὲν θὰ γίνῃ εἰς ὁποιονδήποτε ποὺ λαμβάνει διαταγὴν οὔτε εἰς ἐκεῖνον ποὺ λαμβάνει ἐντολήν. Ἐὰν λοιπὸν ἀποκαλύπτῃ τὸν Πατέρα φυσικὸν εἶναι ὅτι ἀποκαλύπτει καὶ τὸν ἑαυτόν του. Ἀλλὰ τὴν ἀποκάλυψιν τοῦ ἑαυτοῦ του τὴν παρέλειψεν ὡς εὐκόλως ἐννοουμένην, ἀνέφερεν ὅμως τὴν ἀποκάλυψιν τοῦ Πατρός του. Καὶ εἰς κάθε εὐκαιρίαν τὸ τονίζει αὐτό, ὅπως ὅταν λέγῃ· «Κανεὶς δὲν εἶναι δυνατὸν νὰ ἔλθῃ πρὸς τὸν Πατέρα, παρὰ μόνον δι' ἐ-

ἐλθεῖν, εἰ μὴ δι' ἐμοῦ. Διὰ δὲ τούτων καὶ ἄλλο κατασκευάζει, τὸ σύμφωνος αὐτῷ εἶναι καὶ ὁμογνώμων. Τοσοῦτον γάρ, φησίν, ἀπέχω τοῦ μάχεσθαι αὐτῷ καὶ πολεμεῖν, ὅτι οὐδὲ δυνατὸν ἐλθεῖν τινα πρὸς ἐκεῖνον, εἰ μὴ δι' ἐμοῦ. Ἐπειδὴ γὰρ 5 μάλιστα τοῦτο αὐτοὺς ἐσκανδάλιζε, τὸ δοκεῖν ἀντίθεον αὐτὸν εἶναι, διὰ πάντων τοῦτο ἀναιρεῖ, καὶ τῶν σημείων οὐκ ἔλαττον, ἀλλὰ καὶ πολλῷ πλέον περὶ τούτου ἐσπούδακεν.

Ὅταν δὲ λέγῃ, «Οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει, εἰ μὴ ὁ Υἱός», οὐ τοῦτό φησιν, ὅτι πάντες αὐτὸν ἠγνόησαν, ἀλλ' 10 ὅτι τὴν γνῶσιν, ἣν αὐτὸς αὐτὸν οἶδεν, οὐδεὶς αὐτὸν ἐπίσταται· ὃ καὶ περὶ τοῦ Υἱοῦ ἐστιν εἰπεῖν. Οὐδὲ γὰρ περὶ ἀγνώστου τινὸς Θεοῦ καὶ μηδενὶ γενομένου γνωρίμου ταῦτα ἔφασκεν, ὥς φησιν ὁ Μαρκίων, ἀλλὰ τὴν ἀκριβῆ γνῶσιν ἐνταῦθα αἰνιττόμενος· ἐπεὶ οὐδὲ τὸν Υἱὸν ἴσμεν ὡς χρὴ εἰ-15 δέναι· καὶ τοῦτο γοῦν αὐτὸ Παῦλος δηλῶν ἔλεγεν· «Ἐκ μέρους γινώσκομεν, καὶ ἐκ μέρους προφητεύομεν».

Εἶτα καταστήσας διὰ τῶν εἰρημένων εἰς ἐπιθυμίαν αὐτοὺς καὶ δείξας αὐτοῦ τὴν δύναμιν ἄφατον, τότε καλεῖ λέγων· «Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτι-20 σμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς». Οὐχ ὁ δεῖνα καὶ ὁ δεῖνα, ἀλλὰ πάντες οἱ ἐν φροντίσιν, οἱ ἐν λύπαις, οἱ ἐν ἁμαρτίαις. Δεῦτε, οὐχ ἵνα ἀπαιτήσω εὐθύνας, ἀλλ' ἵνα λύσω τὰ ἁμαρτήματα· δεῦτε, οὐκ ἐπειδὴ δέομαι ὑμῶν τῆς δόξης, ἀλλ' ἐπειδὴ δέομαι ὑμῶν τῆς σωτηρίας «Ἐγώ», γάρ, φησίν, 25 «ἀναπαύσω ὑμᾶς». Οὐκ εἶπε, σώσω μόνον, ἀλλὰ καὶ ὃ πολλῷ πλέον ἦν, ἐν ἀδείᾳ καταστήσω πάσῃ.

---

12. Ἰω. 14, 6.
13. Α' Κορ. 13, 9.

μου»[12]. Μὲ αὐτὰ τὰ λόγια δὲ ἀποδεικνύει καὶ κάτι ἄλλο, ὅτι δηλαδὴ εὑρίσκεται εἰς συμφωνίαν καὶ ὅτι ἔχει τὴν αὐτὴν γνώμην μὲ τὸν Πατέρα του. Διότι, λέγει, τόσον πολὺ ἀπέχω ἀπὸ τὸ νὰ μάχωμαι καὶ νὰ πολεμῶ τὸν Πατέρα, ὥστε νὰ μὴ εἶναι δυνατὸν νὰ ἔλθῃ κανεὶς πρὸς ἐκεῖνον παρὰ μόνον δι' ἐμοῦ. Ἐπειδὴ βέβαια αὐτὸ κατ' ἐξοχὴν ἐσκανδάλιζε τοὺς μαθητάς, τὸ ὅτι δηλαδὴ ἐνομίζετο ὅτι ἐνεργεῖ ἀντίθετα πρὸς τὸ θέλημα τοῦ Πατρός του, ἐξαλείφει μὲ ὅλας αὐτὰς τὰς ἐνεργείας του αὐτὴν τὴν ἀντίληψιν καὶ πολὺ περισσότερον μὲ τὰ θαύματά του· γενικῶς δὲ ἐφρόντισε πάρα πολὺ διὰ νὰ ἐκριζώσῃ αὐτὴν τὴν ἐσφαλμένην σκέψιν.

Ὅταν δὲ λέγῃ· «Οὔτε τὸν Πατέρα γνωρίζει κανεὶς ἄλλος, παρὰ μόνον ὁ Υἱός», δὲν ἐννοεῖ αὐτό, ὅτι δηλαδὴ ὅλοι οἱ ἄνθρωποι δὲν ἐγνώρισαν τὸν Πατέρα, ἀλλὰ ὅτι τὴν γνῶσιν ποὺ ἔχει ὁ ἴδιος δι' αὐτὸν δὲν τὴν ἔχει κανεὶς ἄλλος· πρᾶγμα ποὺ ἠμποροῦμεν νὰ εἴπουμεν καὶ διὰ τὸν Υἱόν. Διότι δὲν τὰ ἔλεγεν αὐτὰ διὰ κάποιον ἄγνωστον Θεόν, τὸν ὁποῖον κανεὶς δὲν τὸν ἐγνώριζεν, ὅπως λέγει ὁ Μαρκίων, ἀλλ' ἐδῶ ὑπαινίσσετο τὴν ἀκριβῆ γνῶσιν τοῦ Θεοῦ. Διότι οὔτε καὶ τὸν Υἱὸν γνωρίζομεν, ὅπως πρέπει νὰ γνωρίζωμεν. Καὶ ἀκριβῶς αὐτὸ δηλώνων ὁ Παῦλος ἔλεγε· «Τώρα εἶναι μερικὴ μόνον ἡ γνῶσις μας καὶ μερικῶς προφητεύομεν περὶ αὐτοῦ»[13].

Ἐν συνεχείᾳ, ἀφοῦ μὲ ὅσα εἶπε τοὺς ἐνέβαλε τὴν ἐπιθυμίαν νὰ μάθουν καὶ τοὺς ἔδειξε τὴν ἀπερίγραπτον δύναμίν του, τότε πλέον τοὺς προσκαλεῖ καὶ τοὺς λέγει· «Ἐλᾶτε πρὸς ἐμὲ ὅλοι ὅσοι εἶσθε κουρασμένοι καὶ φορτωμένοι καὶ ἐγὼ θὰ σᾶς ἀναπαύσω». Ὄχι ὁ τάδε καὶ ὁ τάδε, ἀλλ' ὅλοι ὅσοι κατέχεσθε ἀπὸ φροντίδας, λύπας καὶ ἁμαρτίας. Ἐλᾶτε, ὄχι διὰ νὰ σᾶς ζητήσω εὐθύνας, ἀλλὰ διὰ νὰ συγχωρήσω τὰς ἁμαρτίας σας· ἐλᾶτε, ὄχι ἐπειδὴ ἔχω ἀνάγκην ἀπὸ τὴν δόξαν σας, ἀλλ' ἐπειδὴ ἐνδιαφέρομαι διὰ τὴν σωτηρίαν σας. Διότι, λέγει, «ἐγὼ θὰ σᾶς ἀναπαύσω». Δὲν εἶπε, θὰ σᾶς σώσω μόνον, ἀλλὰ καὶ ἐκεῖνο ποὺ εἶναι ἀνώτερον, ὅτι θὰ σᾶς προσφέρω ἀπόλυτον ἀσφάλειαν.

«Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς, καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν. Ὁ γὰρ ζυγός σου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν». Μὴ γὰρ φοβηθῆτε, φησί, ζυγὸν ἀκούοντες· χρη-
5 στὸς γάρ ἐστι· μὴ δείσητε, ἐπειδὴ φορτίον εἶπον· ἐλαφρὸν γάρ ἐστι. Καὶ πῶς ἔμπροσθεν ἔλεγε· «Στενὴ ἡ πύλη καὶ τεθλιμμένη ἡ ὁδός»; Ὅταν ῥάθυμος ᾖς, ὅταν ἀναπεπτωκώς· ὡς ἐὰν κατορθώσῃς τὰ εἰρημένα, ἐλαφρὸν ἔσται τὸ φορτίον· διὸ καὶ νῦν αὐτὸ τοιοῦτον ἐκάλεσε. Πῶς δὲ κατορθοῦται;
10 Ἂν ταπεινὸς γένῃ καὶ πρᾶος καὶ ἐπιεικής. Αὕτη γὰρ μήτηρ ἐστὶν ἡ ἀρετὴ φιλοσοφίας ἁπάσης. Διὸ καὶ ἀρχόμενος τῶν θείων νόμων ἐκείνων, ἐντεῦθεν ἤρξατο. Καὶ ἐνταῦθα πάλιν τὸ αὐτὸ τοῦτο ποιεῖ, καὶ μέγιστον τίθησι τὸ ἔπαθλον. Οὐ γὰρ ἑτέρῳ γίνῃ χρήσιμος μόνον, ἀλλὰ καὶ σαυ-
15 τὸν πρὸ πάντων ἀναπαύεις, φησίν. «Εὑρήσετε γὰρ ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν». Καὶ πρὸ τῶν μελλόντων ἐντεῦθεν δίδωσί σοι τὴν ἀμοιβὴν καὶ τὸ βραβεῖον ἤδη παρέχει, καὶ ταύτῃ καὶ τῷ ἑαυτὸν ὑπόδειγμα θεῖναι εἰς μέσον, εὐπαράδεκτον ποιῶν τὸν λόγον.

20 3. Τί γὰρ δέδοικας; φησί· μὴ ἐλαττωθῇς ταπεινὸς ὤν; Ἐμὲ σκόπει καὶ τὰ ἐμὰ πάντα· ἀπ' ἐμοῦ μάνθανε καὶ τότε εἴσῃ σαφῶς, ἡλίκον τὸ ἀγαθόν. Ὁρᾷς πῶς διὰ πάντων αὐτοὺς ἐνάγει εἰς τὴν ταπεινοφροσύνην; Ἀφ' ὧν αὐτὸς ἐποίησε· «Μάθετε γὰρ ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι»· ἀφ' ὧν
25 αὐτοὶ κερδαίνειν μέλλουσιν· «Εὑρήσετε γάρ», φησίν, «ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν»· ἀφ' ὧν αὐτοῖς χαρίζεται· «Ἀναπαύσω γὰρ ὑμᾶς κἀγώ», φησίν· ἀφ' ὧν κοῦφον αὐτὸ

---

14. Ματθ. 7, 14.
15. Ἡ ταπεινοφροσύνη.
16. Πρβλ. Ματθ. 5, 3.

«Σηκώσατε καὶ φορτωθῆτε τὸν ζυγόν μου καὶ μάθετε ἀπὸ ἐμὲ ὅτι εἶμαι πρᾶος καὶ ταπεινὸς εἰς τὴν καρδίαν καὶ θὰ εὕρετε ἀνάπαυσιν διὰ τὰς ψυχάς σας. Διότι ὁ ζυγὸς τῆς ὑπακοῆς εἰς ἐμὲ εἶναι ὠφέλιμος καὶ τὸ φορτίον μου εἶναι ἐλαφρόν». Μὴ φοβηθῆτε, λέγει, ἀκούοντες ζυγόν, διότι εἶναι ὠφέλιμος· μὴ φοβηθῆτε ἐπειδὴ εἶπα φορτίον, διότι εἶναι ἐλαφρόν. Καὶ πῶς τότε ἔλεγε προηγουμένως· «Εἶναι στενὴ ἡ πύλη καὶ στενόχωρος ὁ δρόμος»[14]; Αὐτὸ συμβαίνει ὅταν εἶσαι ράθυμος καὶ χάνεις τὸ θάρρος σου· ὅταν ὅμως ἐφαρμόσῃς τὰ ὅσα ἐλέχθησαν τότε καὶ τὸ φορτίον γίνεται ἐλαφρόν. Διὰ τοῦτο καὶ ἐδῶ τὸ παρουσίασεν αὐτὸ κατ' αὐτὸν τὸν τρόπον. Καὶ πῶς ἠμπορεῖ κανεὶς νὰ ἐπιτύχῃ αὐτό; Ἂν γίνῃ ταπεινός, πρᾶος καὶ ἐπιεικής. Διότι αὐτὴ ἡ ἀρετὴ[15] εἶναι ἡ μητέρα ὅλης τῆς εὐσεβείας. Διὰ τοῦτο καὶ ὅταν ἤρχισε τὴν θέσπισιν τῶν θείων νόμων του ἔκανε τὴν ἀρχὴν ἀπὸ αὐτὴν τὴν ἀρετήν[16]. Καὶ εἰς τὴν περίπτωσιν αὐτὴν κάνει ἀκριβῶς τὸ ἴδιο καὶ μάλιστα δίδει μεγάλο βραβεῖον. Διότι, λέγει, δὲν θὰ γίνῃς χρήσιμος μόνον εἰς τοὺς ἄλλους, ἀλλὰ πρὸ πάντων θ' ἀναπαυθῇς σὺ ὁ ἴδιος. «Διότι θὰ εὕρετε ἀνάπαυσιν εἰς τὰ» ψυχάς σας». Προτοῦ δηλαδὴ ἀπολαύσῃς τὰ μελλοντικὰ ἀγαθὰ σοῦ δίδει ἐδῶ εἰς τὴν γῆν τὴν ἀμοιβὴν καὶ σοῦ προσφέρει ἤδη τὸ βραβεῖον καὶ προβάλων ὡσὰν παράδειγμα τὸν ἑαυτόν του κάνει τὸν λόγον εὐπρόσδεκτον.

3. Διατί λοιπὸν φοβεῖσαι; Μήπως μειωθῇς μὲ τὸ νὰ εἶσαι ταπεινός; Κοίταξε ἐμὲ καὶ ὅλα τὰ ἰδικά μου. Ἀπὸ τὸ ἰδικόν μου παράδειγμα νὰ διδάσκεσαι καὶ τότε θὰ κατανοήσῃς πλήρως πόσο μεγάλο ἀγαθὸν εἶναι ἡ ταπεινοφροσύνη. Βλέπεις πῶς μὲ κάθε τρόπον τοὺς ὁδηγεῖ πρὸς τὴν ταπεινοφροσύνην; Μὲ ὅσα ἔκανεν ὁ ἴδιος· «Μάθετε ἀπὸ ἐμὲ ὅτι εἶμαι πρᾶος». Μὲ ὅσα ἐπρόκειτο νὰ κερδίσουν αὐτοὶ οἱ ἴδιοι· «Διότι», λέγει, «θὰ εὕρετε ἀνάπαυσιν εἰς τὰς ψυχάς σας». Μὲ ὅσα τοὺς προσφέρει κατὰ χάριν· Διότι, λέγει, «ἐγὼ θὰ σᾶς ἀναπαύσω». Μὲ τὸ ὅτι κατέστησεν ἐλαφρὸν τὸν ζυγόν

κατεσκεύασεν· «Ὁ γὰρ ζυγός μου χρηστός, καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν». Οὕτω καὶ Παῦλος ποιεῖ λέγων· «Τὸ γὰρ παραυτίκα ἐλαφρὸν τῆς θλίψεως καθ' ὑπερβολὴν εἰς ὑπερβολὴν αἰώνιον βάρος δόξης κατεργάζεται».

5 *Καὶ πῶς ἐλαφρόν, φησί, τὸ φορτίον, ὅταν λέγῃ· «Ἐὰν μή τις μισήσῃ πατέρα καὶ μητέρα»· καί, «Ὃς οὐκ αἴρει τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθεῖ μοι, οὐκ ἔστι μου ἄξιος»· καί, «Ὃς οὐκ ἀποτάσσεται πᾶσιν αὐτοῦ τοῖς ὑπάρχουσιν, οὐ δύναταί μου εἶναι μαθητής»· ὅταν κελεύῃ καὶ αὐτὴν ἐκδιδόναι 10 τὴν ψυχήν; Διδασκέτω σε Παῦλος λέγων· «Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις; ἢ στενοχωρία; ἢ διωγμός; ἢ λιμός; ἢ γυμνότης; ἢ κίνδυνος; ἢ μάχαιρα;»· καὶ ὅτι· «Οὐκ ἄξια τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι εἰς ἡμᾶς». Διδασκέτωσάν 15 σε οἱ ἐκ τοῦ συνεδρίου τῶν Ἰουδαίων μετὰ μυρίας μάστιγας ὑποστρέφοντες, καὶ «Χαίροντες ὅτι κατηξιώθησαν ὑπὲρ τοῦ ὀνόματος τοῦ Χριστοῦ ἀτιμασθῆναι».*

Εἰ δὲ ἔτι δέδοικας καὶ φρίττεις, τὸν ζυγὸν καὶ τὸ φορτίον ἀκούων, οὐ τῆς φύσεως τοῦ πράγματος ὁ φόβος, ἀλλὰ 20 τῆς σῆς ῥᾳθυμίας· ὡς ἐὰν ᾖς παρεσκευασμένος καὶ προθυμίαν ἔχων, πάντα σοι ῥᾴδια ἔσται καὶ κοῦφα. Διὰ γὰρ τοῦτο καὶ ὁ Χριστὸς δεικνὺς ὅτι δεῖ καὶ ἡμᾶς αὐτοὺς πονεῖν, οὐ τὰ χρηστὰ μόνον εἶπε καὶ ἐσίγησεν, οὐδὲ τὰ φορτικὰ μόνον, ἀλλ' ἑκάτερα τέθεικε. Καὶ γὰρ ζυγὸν εἶπε καὶ

---

17. Β' Κορ. 4, 17.
18. Λουκᾶ 14, 26.
19. Λουκᾶ 14, 27.
20. Λουκᾶ 14, 33.
21. Πρβλ. Ματθ. 10, 39.
22. Ρωμ. 8, 35.
23. Ρωμ. 8, 18.
24. Πράξ. 4, 41.

του· «Διότι ὁ ζυγός μου εἶναι ὠφέλιμος καὶ τὸ φορτίον μου ἐλαφρόν». Τὸ ἴδιο κάνει καὶ ὁ Παῦλος ὅταν λέγῃ· «Διότι αἱ θλίψεις μας ποὺ εἶναι στιγμιαῖαι λόγῳ τῆς προσωρινότητός των μᾶς προετοιμάζουν αἰώνιον βάρος δόξης ποὺ ὑπερβαίνει κάθε μέτρον»[17].

Καὶ πῶς εἶναι ἐλαφρὸν τὸ φορτίον, θὰ εἰπῇ κάποιος, ὅταν λέγῃ· «Ἐὰν κάποιος δὲν μισήσῃ τὸν πατέρα καὶ τὴν μητέρα του»[18], καὶ «ὅποιος δὲν σηκώνει τὸν σταυρόν του καὶ δὲν μὲ ἀκολουθεῖ δὲν εἶναι ἄξιος νὰ ὀνομάζεται μαθητής μου»[19], καὶ «ὅποιος δὲν ἀπαρνεῖται ὅλα τὰ ὑπάρχοντά του δὲν εἶναι δυνατὸν νὰ εἶναι μαθητής μου»[20], καὶ ὅταν διατάσσῃ νὰ θυσιάζωμεν καὶ αὐτὴν τὴν ζωήν μας[21]; Ἂς σὲ διδάξῃ σχετικὰ μ' αὐτὸ ὁ Παῦλος ποὺ λέγει· «Ποῖος θὰ ἠμπορέσῃ νὰ μᾶς χωρίσῃ ἀπὸ τὴν ἀγάπην ποὺ μᾶς ἑνώνει μὲ τὸν Χριστόν; ἡ θλῖψις; ἡ στενοχωρία; ὁ διωγμός; ἡ πεῖνα; ἡ γυμνότης; ὁ κίνδυνος; ἡ μάχαιρα;»[22], καὶ ὅτι· «Δὲν ἠμποροῦν τὰ ὅσα πάσχομεν καὶ ὑποφέρομεν κατὰ τὸν τωρινὸν καιρὸν νὰ ἐξισωθοῦν πρὸς τὴν δόξαν, ἡ ὁποία πρόκειται νὰ ἀποκαλυφθῇ εἰς ἡμᾶς»[23]. Ἂς σὲ διδάξουν οἱ ἀπόστολοι ποὺ ἐπιστρέφοντες ἀπὸ τὸ συνέδριον τῶν Ἰουδαίων μετὰ ἀπὸ ἀμετρήτους μαστιγώσεις «ἐχαίροντο, διότι ἠξιώθησαν νὰ ὑποστοῦν ἀτιμωτικὴν τιμωρίαν χάριν τοῦ ὀνόματος τοῦ Κυρίου»[24].

Ἐὰν ὅμως φοβῆσαι ἀκόμη καὶ φρίττῃς ἐπειδὴ ἀκούεις διὰ ζυγὸν καὶ φορτίον, ὁ φόβος δὲν προέρχεται ἀπὸ τὴν φύσιν αὐτῶν τῶν πραγμάτων, ἀλλὰ ἀπὸ τὴν ἰδικήν σου ῥᾳθυμίαν, διότι ἐὰν εἶσαι προετοιμασμένος δι' αὐτὰ καὶ ἔχῃς προθυμίαν, ὅλα θὰ σοῦ εἶναι εὔκολα καὶ ἐλαφρά. Ἀκριβῶς διὰ τοῦτο καὶ ὁ Χριστὸς διὰ νὰ μᾶς δείξῃ ὅτι πρέπει καὶ ἡμεῖς οἱ ἴδιοι νὰ κοπιάζωμεν δὲν ἀνέφερε μόνον τὰ ὠφέλιμα καὶ εὔκολα καὶ ἀπεσιώπησε τὰ ἄλλα, οὔτε μόνον τὰ δύσκολα, ἀλλὰ παρέθεσε καὶ τὰ δύο. Καθόσον ἀνέφερε τὸν ζυγὸν καὶ συγχρόνως τὸν ἀπεκάλεσε εὔκολον καὶ ὠφέλιμον. Ἐπίσης ἀνέφερε τὸ φορτίον καὶ προσέθεσεν ὅτι εἶναι ἐλα-

χρηστὸν ἐκάλεσε· καὶ φορτίον ὠνόμασε καὶ ἐλαφρὸν προσέθηκεν· ἵνα μήτε ὡς ἐπίπονα φύγῃς, μήτε ὡς σφόδρα εὐκόλων καταφρονήσῃς. Εἰ δὲ καὶ μετὰ ταῦτα πάντα δύσκολον ἡ ἀρετὴ εἶναί σοι δοκεῖ, ἐννόησον ὅτι δυσκολώτερον ἡ κα-
5 *κία· ὅπερ οὖν καὶ αὐτὸ αἰνιττόμενος, οὐ πρότερον εἶπε, «Λάβετε τὸν ζυγόν μου»· ἀλλὰ πρῶτον, «Δεῦτε οἱ κοπιῶντες καὶ πεφορτισμένοι», δεικνὺς ὅτι καὶ ἡ ἁμαρτία κόπον ἔχει καὶ φορτίον βαρὺ καὶ δυσβάστακτον. Οὐδὲ γὰρ κοπιῶντες εἶπε μόνον, ἀλλὰ καὶ πεφορτισμένοι. Τοῦτο καὶ ὁ*
10 *προφήτης ἔλεγε, τὴν φύσιν αὐτῆς ὑπογράφων· «Ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ' ἐμέ». Καὶ ὁ Ζαχαρίας δὲ ὑπογράφων αὐτήν, μολίβδου τάλαντον αὐτὴν εἶναί φησι. Καὶ τοῦτο καὶ ἡ πεῖρα αὐτὴ δείκνυσιν. Οὐδὲν γὰρ οὕτω βαρεῖ ψυχήν, οὐδὲν οὕτω πηροῖ διάνοιαν καὶ πιέζει κάτω, ὡς*
15 *ἁμαρτίας συνειδός· οὐδὲν οὕτω πτεροῖ καὶ μετέωρον ποιεῖ, ὡς δικαιοσύνης κτῆσις καὶ ἀρετῆς.*

Σκόπει δέ. Τί φορτικώτερον, εἰπέ μοι, τοῦ μηδὲν κεκτῆσθαι; τοῦ στρέψει τὴν σιαγόνα καὶ τυπτόμενον μὴ ἀντιτύπτειν, τοῦ ἀποθανεῖν βιαίῳ θανάτῳ; Ἀλλ' ὅμως ἐὰν φιλοσοφῶμεν,
20 *ταῦτα πάντα κοῦφα καὶ ῥᾴδια καὶ ἡδονῆς ποιητικά. Ἀλλὰ μὴ θορυβηθῆτε, ἀλλ' ἕκαστον αὐτῶν μετὰ ἀκριβείας ἐξετάσωμεν μεταχειρίσαντες· καί, εἰ βούλεσθε, τὸ πρῶτον τὸ καὶ πολλοῖς ἐπίπονον εἶναι δοκοῦν. Πότερον οὖν, εἰπέ μοι, βαρὺ καὶ ἐπαχθές, τὸ μίαν γαστέρα μεριμνᾶν ἢ τὸ μυρίων φροντίζειν;*
25 *τὸ ἓν περιβεβλῆσθαι ἱμάτιον καὶ μηδὲν πλέον ἐπιζητεῖν ἢ τὸ πολλὰ ἔνδον ἔχοντα καθ' ἑκάστην ἡμέραν καὶ νύκτα κόπτεσθαι, δεδοικότα, τρέμοντα ὑπὲρ τῆς φυλακῆς, ἀλγοῦντα καὶ ἀγχόμενον ὑπὲρ τῆς ζημίας, μὴ σητόβρωτον γένηται,*

---

25. Ψαλμ. 37, 5.
26. Ζαχ. 5, 7.

φρόν. Ὥστε οὔτε νὰ τὰ ἀποφύγῃς μὲ τὴν σκέψιν ὅτι εἶναι δύσκολα, οὔτε καὶ νὰ τὰ περιφρονήσῃς θεωρῶν αὐτὰ ὡς πολὺ εὔκολα. Ἐὰν ὅμως ὕστερα ἀπὸ ὅλα αὐτὰ σοῦ φαίνεται ὅτι ἡ ἀρετὴ εἶναι δύσκολον πρᾶγμα, σκέψου ὅτι ἡ κακία εἶναι δυσκολώτερον. Καὶ ἀκριβῶς αὐτὸ λοιπὸν ὑπονοῶν ὁ Κύριος δὲν εἶπε προηγουμένως «λάβετε τὸν ζυγόν μου», ἀλλὰ ἀρχικῶς εἶπεν, «ἐλᾶτε πρὸς ἐμὲ ὅλοι οἱ κουρασμένοι καὶ φορτωμένοι», δεικνύων ὅτι καὶ ἡ ἁμαρτία ἀπαιτεῖ κόπον καὶ ὅτι εἶναι φορτίον βαρὺ καὶ δυσβάστακτον. Διότι δὲν εἶπε μόνον 'οἱ κουρασμένοι', ἀλλὰ καὶ 'οἱ φορτωμένοι'. Τὸ ἴδιο ἔλεγε καὶ ὁ προφήτης ὑποδηλῶν τὴν φύσιν τῆς ἁμαρτίας· «Ὡσὰν βαρὺ φορτίον ἔπεσαν ἐπάνω μας»[25]. Ἀλλὰ καὶ ὁ προφήτης Ζαχαρίας διὰ νὰ παρουσιάσῃ αὐτὴν λέγει ὅτι ὁμοιάζει μὲ βάρος ἀπὸ μολύβι[26]. Αὐτὸ βέβαια τὸ ἀποδεικνύει καὶ ἡ πεῖρα. Διότι τίποτε δὲν βαρύνει τόσον τὴν ψυχήν, τίποτε δὲν τραυματίζει τόσον τὴν διάνοιαν καὶ δὲν ταπεινώνει τόσον, ὅσον ἡ συνείδησις τῆς ἁμαρτωλότητός μας. Καὶ τίποτε δὲν ἀναπτερώνει καὶ δὲν ἀνυψώνει τόσον τὸν ἄνθρωπον, ὅσον ἡ ἀπόκτησις τῆς δικαιοσύνης καὶ τῆς ἀρετῆς.

Πρόσεξε λοιπόν. Εἰπέ μου, τί εἶναι δυσκολώτερον ἀπὸ τὸ νὰ μὴ ἔχῃς τίποτε; ἀπὸ τὸ νὰ στρέψῃς τὴν σιαγόνα σου καὶ νὰ μὴ ἀνταποδίδῃς τὸ κτύπημα ὅταν σὲ κτυποῦν; ἀπὸ τὸ νὰ ἀποθάνῃς μὲ βίαιον θάνατον; Καὶ ὅμως ἐὰν ζῶμεν εὐσεβῶς ὅλα αὐτὰ εἶναι ἐλαφρὰ καὶ εὔκολα καὶ χαρίζουν πολλὴν εὐχαρίστησιν. Μὴ θορυβῆσθε ὅμως ἀλλὰ ἂς ἐξετάσωμεν τὸ καθένα ἀπὸ αὐτὰ κατὰ τρόπον πολὺ προσεκτικόν. Καὶ ἐὰν θέλετε ἂς πάρωμεν τὸ πρῶτον ποὺ φαίνεται εἰς τοὺς περισσοτέρους ἀνθρώπους δύσκολον. Εἰπέ μου λοιπόν, ποῖον ἀπὸ τὰ δύο εἶναι βαρὺ καὶ δύσκολον, τὸ νὰ μεριμνᾷ κανεὶς διὰ μίαν κοιλίαν ἢ τὸ νὰ φροντίζῃ διὰ πολλάς; Τὸ νὰ φορῇ ἕνα μόνον ἔνδυμα καὶ νὰ μὴ ζητῇ τίποτε περισσότερον ἢ τὸ νὰ ἔχῃ πολλὰ ἐνδύματα εἰς τὴν οἰκίαν του καὶ κάθε ἡμέραν καὶ νύκτα νὰ κλαίῃ, φοβούμενος καὶ τρέμων διὰ τὴν φύλαξίν των, λυπούμενος καὶ κατεχόμενος ἀπὸ ἄγχος μὴ τυχὸν πάθῃ καμμίαν ζημίαν, μὴ τυχὸν τὰ φάῃ ὁ

μὴ οἰκέτης ἀφελόμενος ἀπέλθῃ; Πλὴν ἀλλ' ὅσα ἂν εἴπω, οὐδὲν παραστήσει τοιοῦτον ὁ λόγος, οἷον ἡ τῶν πραγμάτων πεῖρα. Διὸ ἐβουλόμην τινὰ τῶν εἰς ἐκείνην φθασάντων τὴν κορυφὴν τῆς φιλοσοφίας ἡμῖν παρεῖναι καὶ τότε σαφῶς 5 ἂν εἶδες τοῦ πράγματος τὴν ἡδονήν· καὶ ὡς οὐκ ἄν τις ἂν ἐδέξατο ἐκείνων τῶν ἐρώντων ἀκτημοσύνης, μυρίων παρεχόντων πλουτεῖν. Οὗτοι δὲ κατεδέξαντο ἄν ποτε γενέσθαι πένητες, φησί, καὶ ῥῖψαι τὰς φροντίδας ἃς ἔχουσι; Καὶ τί τοῦτο; Τῆς γὰρ ἀνοίας αὐτῶν καὶ τοῦ χαλεποῦ νοσήματος 10 τοῦτο δεῖγμα, οὐ τοῦ τὸ πρᾶγμα ἥδιστον εἶναι.

4. Καὶ τοῦτο καὶ αὐτοὶ μαρτυρήσαιεν ἂν ἡμῖν, οἱ καθ' ἑκάστην ἡμέραν ἐπὶ ταύταις ἀποδυρόμενοι ταῖς φροντίσι, καὶ τὸν βίον ἀβίωτον εἶναι νομίζοντες. Ἀλλ' οὐκ ἐκεῖνοι οὕτως, ἀλλὰ γελῶσι, σκιρτῶσι καὶ τῶν τὸ διάδημα περικειμέ- 15 νων μᾶλλον ἐπὶ τῇ πενίᾳ καλλωπίζονται. Πάλιν τὸ στρέψαι τὴν σιαγόνα τοῦ πλῆξαι ἕτερον κουφότερον τῷ προσέχοντι· ἐκεῖ μὲν γὰρ ἀρχὴν ὁ πόλεμος λαμβάνει, ἐνταῦθα δὲ λύσιν· καὶ ἐκείνῳ μὲν καὶ τὴν ἑτέρου πυρὰν ἀνῆψας, τούτῳ δὲ καὶ τὴν σαυτοῦ φλόγα ἔσβεσας. Ὅτι δὲ τὸ μὴ καίεσθαι τοῦ 20 καίεσθαι ἥδιον, παντί που δῆλόν ἐστιν. Εἰ δὲ ἐπὶ σωμάτων τοῦτο, πολλῷ μᾶλλον ἐπὶ ψυχῆς. Τί δὲ κουφότερον, ἀγωνίζεσθαι ἢ στεφανοῦσθαι; πυκτεύειν ἢ τὸ βραβεῖον ἔχειν; καὶ κυμάτων ἀνέχεσθαι, ἢ εἰς λιμένα καταίρειν; Οὐκοῦν καὶ τὸ ἀποθανεῖν τοῦ ζῆν βέλτιον. Τοῦτο μὲν γὰρ ἐξάγει

σκόρος, μὴ τυχὸν τὰ κλέψῃ ὁ ὑπηρέτης καὶ φύγῃ; Ὅσα ὅμως καὶ ν' ἀναφέρω εἶναι ἀδύνατον τὰ λόγια νὰ τὸ παρουσιάσουν κατὰ τὸν τρόπον ἐκεῖνον ποὺ μᾶς τὸ παρουσιάζει ἡ πεῖρα τῶν πραγμάτων. Διὰ τοῦτο θὰ ἤθελα νὰ παρευρίσκεται ἐδῶ κάποιος ἀπὸ ἐκείνους ποὺ ἔφθασαν εἰς τὴν κορυφὴν τῆς εὐσεβείας καὶ τότε θὰ ἠμποροῦσες νὰ διαπιστώσῃς τὴν ἡδονὴν ποὺ παρέχει ἡ ἀκτημοσύνη καὶ ὅτι κανεὶς ἀπὸ τοὺς ἐραστὰς τῆς ἀκτημοσύνης δὲν ἀπέκτησε τίποτε, ἂν καὶ εἶχαν πολλὰς εὐκαιρίας νὰ πλουτίσουν. Ἀλλὰ θὰ εἰπῇ κάποιος, αὐτοὶ θὰ ἐδέχοντο ποτὲ νὰ γίνουν πτωχοὶ καὶ ν' ἀπαλλαγοῦν ἀπὸ τὰς φροντίδας ποὺ ἔχουν; Μὰ τί σημασία ἔχει αὐτό; Διότι αὐτὸ θὰ εἶναι ἀπόδειξις τῆς μωρίας των καὶ τῆς φοβερᾶς ἀσθενείας των καὶ ὄχι ὅτι ὁ πλοῦτος εἶναι εὐχάριστον πρᾶγμα.

4. Καὶ αὐτὸ θὰ ἠμποροῦσαν νὰ μᾶς τὸ ἐπιβεβαιώσουν καὶ αὐτοὶ ποὺ καθημερινῶς ὀδύρονται διὰ τὰς βιοτικὰς αὐτὰς φροντίδας καὶ θεωροῦν τὴν ζωὴν ἀφόρητον. Οἱ ἐρασταὶ ὅμως τῆς ἀκτημοσύνης δὲν συμπεριφέρονται ἔτσι, ἀλλὰ γελοῦν, σκιρτοῦν ἀπὸ χαρὰν καὶ καυχῶνται διὰ τὴν πενίαν των περισσότερον ἀπὸ ἐκείνους ποὺ φοροῦν τὸ βασιλικὸν στέμμα. Ἐπίσης ἐφ' ὅσον κανεὶς εἶναι προσεκτικὸς εἶναι εὐκολώτερον τὸ νὰ στρέψῃ τὴν σιαγόνα του παρὰ νὰ κτυπήσῃ κάποιον ἄλλον. Διότι μὲ τὸ νὰ ἀνταποδώσῃ τὸ κτύπημα ἀρχίζει ὁ πόλεμος, ἐνῷ μὲ τὸ νὰ στρέψῃ τὴν σιαγόνα τερματίζεται ὁ πόλεμος. Καὶ μὲ τὸ ν' ἀνταποδώσῃς τὸ κτύπημα ἀνάβεις καὶ τὴν φωτιὰν τοῦ ἄλλου, ἐνῷ μὲ τὴν ὑποχώρησιν σβήνεις καὶ τὴν ἰδικήν σου. Τὸ ὅτι δὲ εἶναι περισσότερον εὐχάριστον τὸ νὰ μὴ καίγεσαι ἀπὸ τὸ νὰ καίγεσαι εἶναι βέβαια φανερὸν εἰς τὸν καθένα. Ἐὰν αὐτὸ συμβαίνῃ εἰς τὰ σώματα πολὺ περισσότερον θὰ συμβαίνῃ καὶ εἰς τὴν ψυχήν. Τί εἶναι δὲ εὐκολώτερον, ν' ἀγωνίζεται κανεὶς ἢ νὰ στεφανώνεται; νὰ πυγμαχῇ ἢ νὰ λαμβάνῃ τὸ βραβεῖον; νὰ ὑφίσταται τὴν τρικυμίαν ἢ νὰ καταφεύγῃ εἰς τὸν λιμένα; Ἀλλὰ καὶ ὁ θάνατος βέβαια εἶναι προτιμότερος ἀπὸ τὴν ζωήν. Διότι ὁ μὲν θάνατος μᾶς ἀπαλλάσσει ἀπὸ τὰς τρικυμίας καὶ

τῶν κλυδωνίων καὶ τῶν κινδύνων, ἐκεῖνο δὲ προστίθησι, καὶ ὑπεύθυνον ποιεῖ μυρίαις ἐπιβουλαῖς καὶ ἀνάγκαις, δι᾿ ἃς ἀβίωτον εἶναι τὸν βίον ἐνόμισας. Εἰ δὲ ἀπιστεῖς τοῖς λεγομένοις, ἄκουσον τῶν ἑωρακότων τὰ πρόσωπα τῶν μαρ-
5 *τύρων ἐν τῷ καιρῷ τῶν ἀγώνων, πῶς μαστιζόμενοι καὶ ξεόμενοι, περιχαρεῖς ἦσαν καὶ φαιδροὶ καὶ τῶν ἐπὶ ροδωνιᾶς κατακεκλιμένων ἐπὶ τηγάνων προκείμενοι μᾶλλον ἔχαιρον καὶ εὐφραίνοντο. Διὸ καὶ Παῦλος ἔλεγε, μέλλων ἐντεῦθεν ἀπιέναι καὶ καταλύειν βιαίῳ θανάτῳ τὴν ζωήν·*
10 *«Χαίρω καὶ συγχαίρω πᾶσιν ὑμῖν· τὸ δὲ αὐτὸ καὶ ὑμεῖς χαίρετε καὶ συγχαίρετέ μοι». Εἶδες μεθ᾿ ὅσης ὑπερβολῆς τὴν οἰκουμένην ἅπασαν ἐπὶ τὴν κοινωνίαν τῆς εὐφροσύνης καλεῖ; Οὕτω μέγα ἀγαθὸν ᾔδει τὴν ἐντεῦθεν ἀποδημίαν οὖσαν· οὕτω ποθεινὸν τὸν οὕτω φοβερὸν θάνατον καὶ ἐπέ-*
15 *ραστον καὶ εὐχῆς ἄξιον.*

Ἀλλ᾿ ὅτι μὲν ἡδὺς καὶ κοῦφος ὁ τῆς ἀρετῆς ζυγὸς καὶ ἑτέρωθεν πολλαχόθεν δῆλον· λοιπὸν δέ, εἰ δοκεῖ, καὶ τῆς ἁμαρτίας ἴδωμεν τὰ φορτία. Οὐκοῦν τοὺς πλεονέκτας εἰς μέσον ἀγάγωμεν, τοὺς καπήλους καὶ παλιγκαπήλους τῶν
20 *ἀναισχύντων συμβολαίων. Τί οὖν φορτικώτερον τῆς τοιαύτης πραγματείας γένοιτ᾿ ἄν; πόσαι λύπαι, πόσαι φροντίδες, πόσα προσκρούσματα, πόσοι κίνδυνοι, πόσαι ἐπιβουλαὶ καὶ πόλεμοι καθ᾿ ἑκάστην ἡμέραν τούτοις φύονται τοῖς κέρδεσι; πόσοι θόρυβοι καὶ ταραχαί; Ὥσπερ γὰρ τὴν θάλατταν οὐκ*
25 *ἔστιν ἰδεῖν ποτε κυμάτων χωρίς, οὕτως οὐδὲ τὴν τοιαύτην ψυχὴν φροντίδος καὶ ἀθυμίας καὶ φόβου καὶ ταραχῆς ἐκτός, ἀλλὰ τὰ πρότερα καταλαμβάνει τὰ δεύτερα καὶ πάλιν*

27. Φιλιπ. 2, 17-18.

τοὺς κινδύνους, ἐνῷ ἡ συνέχισις τῆς ζωῆς προσθέτει αὐτὰ καὶ μᾶς ἐκθέτει εἰς ἀμετρήτους ἐπιβουλὰς καὶ ἀνάγκας ἐξ αἰτίας τῶν ὁποίων θεωρεῖς ἀφόρητον τὴν ζωήν. Ἐὰν ὅμως δὲν πιστεύῃς εἰς τοὺς λόγους μου ἄκουσε ἐκείνους ποὺ ἔχουν ἰδεῖ τὰ πρόσωπα τῶν μαρτύρων κατὰ τὸν καιρὸν τῶν μαρτυρίων, πῶς δηλαδή, ἐνῷ ἐμαστιγώνοντο καὶ ἐξέοντο, ἦσαν γεμᾶτοι ἀπὸ χαρὰν καὶ γελαστοὶ καὶ μολονότι ἐπρόκειτο νὰ ριφθοῦν εἰς τὴν φωτιὰν ἐχαίροντο καὶ εὐφραίνοντο περισσότερον ἀπὸ ἐκείνους ποὺ εὑρίσκονται ἐξαπλωμένοι μέσα εἰς κῆπον μὲ τριανταφυλλιές. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγε ὅταν ἐπρόκειτο νὰ φύγῃ ἀπὸ τὸν κόσμον αὐτὸν καὶ νὰ τελειώσῃ τὴν ζωήν του μὲ βίαιον θάνατον· «Χαίρω καὶ συμμετέχω εἰς τὴν χαρὰν ὅλων σας. Καὶ σεῖς δὲ τὸ ἴδιο νὰ κάνετε. Νὰ χαίρεσθε καὶ νὰ συμμετέχετε εἰς τὴν χαράν μου»[27]. Εἶδες μὲ πόσην ὑπερβολὴν προσκαλεῖ ὁλόκληρον τὴν οἰκουμένην νὰ συμμετάσχῃ εἰς τὴν εὐφροσύνην του; Διότι τόσον μεγάλο ἀγαθὸν ἐπίστευεν ὅτι ἦτο ἡ ἀναχώρησίς του ἀπὸ αὐτὴν τὴν ζωήν· τόσον ποθητὸν καὶ τόσον ἀγαπητὸν καὶ μάλιστα πρᾶγμα ποὺ ἀξίζει νὰ τὸ εὔχεται κανεὶς ἐθεώρει τὸν τόσον φοβερὸν θάνατον.

Ἀλλὰ τὸ ὅτι ὁ ζυγὸς τῆς ἀρετῆς εἶναι γλυκὺς καὶ ἐλαφρὸς καὶ ἀπὸ πολλὰς ἄλλας περιπτώσεις ἠμπορεῖ ν' ἀποδειχθῇ. Εἰς τὴν συνέχειαν ὅμως, ἐὰν θέλετε, ἂς ἐξετάσωμεν καὶ τὰ βάρη τῆς ἁμαρτίας. Ἂς πάρωμεν λοιπὸν ὡς παράδειγμα τοὺς πλεονέκτας, τοὺς πωλητὰς καὶ μεταπωλητὰς τῶν αἰσχρῶν συμβολαίων. Τί πρᾶγμα λοιπὸν θὰ ἠμποροῦσε νὰ θεωρηθῇ χειρότερον ἀπὸ αὐτὴν τὴν ἀπασχόλησιν; πόσαι λύπαι, πόσαι φροντίδες, πόσαι συγκρούσεις, πόσοι κίνδυνοι, πόσαι ἐπιβουλαὶ καὶ πόλεμοι δημιουργοῦνται καθημερινῶς μαζὶ μὲ αὐτὰ τὰ κέρδη; πόσοι θόρυβοι καὶ ταραχαί; Διότι ὅπως ἀκριβῶς δὲν εἶναι δυνατὸν ν' ἀντικρύσῃς ποτὲ τὴν θάλασσαν χωρὶς κύματα, ἔτσι δὲν ἠμπορεῖς νὰ ἰδῇς καὶ τὴν ψυχὴν αὐτὴν χωρὶς φροντίδα, λύπην, φόβον καὶ ταραχήν, ἀλλὰ τοὺς ἀρχικοὺς κινδύνους τοὺς διαδέχονται οἱ

ἕτερα ἔπεισι καὶ τούτων οὐδέπω παυομένων ἕτερα κορυφοῦται.

Ἀλλὰ τῶν λοιδόρων βούλει καὶ τῶν ἀκροχόλων τὰς ψυχὰς ἰδεῖν; Καὶ τί τῆς βασάνου ταύτης χεῖρον; τί τῶν
5 *τραυμάτων ὧν ἔχουσιν ἔνδον; τί τῆς καμίνου τῆς διηνεκῶς καιομένης, καὶ τῆς φλογὸς τῆς μηδέποτε σβεννυμένης;*

Ἀλλὰ τῶν φιλοσωμάτων καὶ τῇ παρούσῃ προστετηκότων ζωῇ; Καὶ τί ταύτης τῆς δουλείας χαλεπώτερον; Τὸν τοῦ Κάιν βίον ζῶσι, τρόμῳ διηνεκεῖ συνόντες καὶ φόβῳ,
10 *καθ' ἕκαστον τῶν τελευτώντων, μᾶλλον τῶν ἐκείνοις προσηκόντων, τὴν οἰκείαν θρηνοῦντες τελευτήν. Τί δὲ τῶν πεφυσιωμένων ταραχωδέστερόν τε καὶ μανικώτερον; «Μάθετε γάρ, φησίν, ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν». Ἁπάντων*
15 *γὰρ ἡ ἀνεξικακία μήτηρ τῶν ἀγαθῶν.*

Μὴ τοίνυν φοβηθῇς, μηδὲ ἀποπηδήσῃς τὸν πάντων σε τούτων κουφίζοντα ζυγόν, ἀλλ' ὕπελθε μετὰ προθυμίας ἁπάσης αὐτὸν καὶ τότε αὐτοῦ εἴσῃ σαφῶς τὴν ἡδονήν. Οὐδὲ γὰρ τρίβει σου τὸν αὐχένα, ἀλλ' εὐταξίας ἕνεκεν ἐπίκειται
20 *μόνης καὶ τοῦ πεῖσαι βαδίζειν εὔρυθμα καὶ πρὸς τὴν βασιλικήν σε ὁδὸν ἀγαγεῖν καὶ τῶν ἑκατέρωθεν ἀπαλλάξαι κρημνῶν καὶ ποιῆσαι μετ' εὐκολίας τὴν στενὴν βαδίσαι ὁδόν.*

Ἐπεὶ οὖν τοσαῦτα αὐτοῦ τὰ ἀγαθά, τοσαύτη ἡ ἀσφάλεια, τοσαύτη ἡ εὐφροσύνη, πάσῃ ψυχῇ, πάσῃ σπουδῇ τοῦτον
25 *ἕλκωμεν τὸν ζυγόν, ἵνα καὶ ἐνταῦθα ἀνάπαυσιν εὕρωμεν ταῖς ψυχαῖς ἡμῶν καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν*

δεύτεροι καὶ πάλιν ἄλλοι προστίθενται καὶ προτοῦ ἀκόμη τελειώσουν αὐτοὶ προστίθενται ἄλλοι.

Μήπως ὅμως θέλεις νὰ ἐξετάσωμεν τὰς ψυχὰς τῶν ὑβριστῶν καὶ τῶν ὀξυθύμων; Καὶ τί εἶναι χειρότερον ἀπὸ αὐτὴν τὴν βάσανον; τί χειρότερον ἀπὸ τὰ τραύματα ποὺ ἔχουν μέσα των; τί χειρότερον ἀπὸ τὴν κάμινον ποὺ διαρκῶς καίει καὶ ἀπὸ τὴν φλόγα ποὺ ποτὲ δὲν σβήνει;

Ἀλλὰ καὶ τί εἶναι χειρότερον ἀπὸ αὐτοὺς ποὺ ἀγαποῦν ὑπερβολικὰ τὸ σῶμά των καὶ εἶναι προσκολλημένοι εἰς τὴν παροῦσαν ζωήν; Καὶ τί πρᾶγμα εἶναι φοβερώτερον ἀπὸ αὐτὴν τὴν δουλείαν; Ζοῦν ὡσὰν τὸν Κάϊν, ἔχοντες ὡς σύντροφον διαρκῶς τὸν φόβον καὶ τὸν τρόμον καὶ κάθε φορὰν ποὺ πεθαίνει κάποιος θρηνοῦν περισσότερον ἀπὸ τοὺς συγγενεῖς τοῦ νεκροῦ διὰ τὸν ἰδικόν των θάνατον. Καὶ ποῖο πρᾶγμα δὲ δημιουργεῖ εἰς τὸν ἄνθρωπον τόσην ταραχὴν καὶ μανίαν ὅσον ὁ ἐγωϊσμὸς εἰς τοὺς ἐγωϊστάς; Διότι, λέγει, «Μάθετε ἀπὸ ἐμέ, ὅτι εἶμαι πρᾶος καὶ ταπεινὸς εἰς τὴν καρδίαν καὶ θὰ εὕρετε ἀνάπαυσιν εἰς τὰς ψυχάς σας». Διότι ἡ ἀνεξικακία εἶναι ἡ μητέρα ὅλων τῶν ἀγαθῶν.

Μὴ φοβηθῇς λοιπὸν οὔτε νὰ ἐγκαταλείψῃς τὸν ζυγὸν ποὺ ὅλα σοῦ τὰ καθιστᾷ ἐλαφρά, ἀλλὰ νὰ τὸν δεχθῇς μὲ προθυμίαν καὶ τότε θὰ γνωρίσῃς τὴν ἡδονὴν ποὺ πηγάζει ἀπὸ αὐτόν. Διότι δὲν σοῦ πληγώνει τὸν αὐχένα, ἀλλὰ ὑπάρχει μόνον διὰ νὰ διατηρῆται ἡ εὐταξία καὶ νὰ σὲ πείσῃ νὰ βαδίζῃς ὀρθὰ καὶ νὰ σὲ ὁδηγῇ πρὸς τὴν βασιλικὴν ὁδὸν καὶ νὰ σὲ προφυλάξῃ ἀπὸ τοὺς κρημνοὺς ποὺ τὴν περιβάλλουν καὶ νὰ σὲ βοηθήσῃ νὰ βαδίσῃς μὲ εὐκολίαν τὴν στενὴν ὁδόν.

Ἀφοῦ λοιπὸν τόσα εἶναι τὰ ἐξ αὐτοῦ ἀγαθὰ καὶ τόση ἡ ἀσφάλεια καὶ ἡ εὐφροσύνη, ἂς σύρωμεν τὸν ζυγὸν αὐτὸν μὲ ὅλην τὴν ψυχήν μας καὶ ὅλην τὴν προθυμίαν, διὰ νὰ εὕρωμεν καὶ ἐδῶ εἰς τὴν γῆν ἀνάπαυσιν εἰς τὰς ψυχάς μας καὶ νὰ ἐπιτύχωμεν τὰ μελλοντικὰ ἀγαθὰ μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΛΘ´

Ματθ. 12, 1 - 8

«Ἐν ἐκείνῳ τῷ καιρῷ ἐπορεύθη ὁ Ἰησοῦς τοῖς Σάββασι διὰ τῶν σπορίμων· οἱ δὲ μαθηταὶ αὐτοῦ ἐπείνασαν καὶ
5 *ἤρξαντο τίλλειν στάχυας καὶ ἐσθίειν».*

1. Ὁ δὲ Λουκᾶς φησιν, «Ἐν Σαββάτῳ δευτεροπρώτῳ»[1]. Τί δέ ἐστιν ἐν δευτεροπρώτῳ; Ὅταν διπλῆ ἡ ἀργία ᾖ καὶ τοῦ Σαββάτου τοῦ Κυρίου καὶ ἑτέρας ἑορτῆς διαδεχομένης. Σάββατον γὰρ ἑκάστην ἀργίαν καλοῦσι.

10 *Καὶ τί δήποτε ἐκεῖθεν αὐτοὺς ἤγαγεν ὁ πάντα προειδώς, εἰ μὴ ἐβούλετο λυθῆναι τὸ Σάββατον; Ἐβούλετο μέν, ἀλλ' οὐχ ἁπλῶς· διόπερ οὐδέποτε χωρὶς αἰτίας αὐτὸ λύει, ἀλλὰ διδοὺς προφάσεις εὐλόγους, ἵνα καὶ τὸν νόμον ἀναπαύσῃ καὶ ἐκείνους μὴ πλήξῃ. Ἔστι δὲ ὅπου καὶ προηγου-*
15 *μένως αὐτὸ λύει, οὐ μετὰ περιστάσεως· ὡς ὅταν τὸν πηλὸν χρίῃ τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ[2]· ὡς ὅταν λέγῃ· «Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι»[3]. Ποιεῖ δὲ ταῦτα, τούτῳ μὲν δοξάζων τὸν ἑαυτοῦ Πατέρα, ἐκείνῳ δὲ τὴν ἀσθένειαν τῶν Ἰουδαίων παραμυθούμενος. Ὃ δὴ καὶ*
20 *ἐνταῦθα κατασκευάζει, τὴν τῆς φύσεως ἀνάγκην προβαλλόμενος· καίτοιγε ἐπὶ τῶν ἁμαρτημάτων τῶν ὡμολογουμένων οὐκ ἂν γένοιτό ποτε ἀπολογία. Οὔτε γὰρ ὁ φονεύων τὸν θυμὸν ἂν σχοίη προβαλέσθαι, οὔτε ὁ μοιχεύων τὴν ἐπιθυμίαν, μᾶλλον δὲ οὐδὲ ἄλλην οὐδεμίαν αἰτίαν εἰπεῖν· ἐνταῦθα*
25 *δὲ τὴν πεῖναν εἰπών, παντὸς ἀπήλλαξεν αὐτοὺς ἐγκλήματος.*

---

1. Λουκᾶ 6, 1.
2. Πρβλ. Ἰω. 9, 6-14.
3. Ἰω. 5, 17.

ΟΜΙΛΙΑ ΛΘ'

Ματθ. 12, 1 - 8

«Κατ' ἐκεῖνον τὸν καιρὸν ἐπέρασεν ὁ Ἰησοῦς ἐν ἡμέρᾳ Σαββάτου ἀνάμεσα ἀπὸ τὰ ἐσπαρμένα χωράφια, οἱ δὲ μαθηταί του ἐπείνασαν καὶ ἤρχισαν νὰ ξεφλουδίζουν στάχυα καὶ νὰ τρώγουν».

1. Ὁ δὲ εὐαγγελιστὴς Λουκᾶς λέγει «Κατὰ τὸ Σάββατον τὸ δευτερόπρωτον»[1]. Τί σημαίνει ὅμως ἡ λέξις «δευτερόπρωτον»; Ὅταν εἶναι διπλῆ ἀργία καὶ ἡ κυρία δηλαδὴ ἑορτὴ τοῦ Σαββάτου καὶ μία ἄλλη ἑορτὴ συνεορταζόμενη μὲ αὐτό. Διότι κάθε ἀργία τὴν ὀνομάζουν Σάββατον.

Καὶ διὰ ποῖον λόγον ὡδήγησε τοὺς μαθητὰς πρὸς τὰ ἐσπαρμένα χωράφια, αὐτὸς ποὺ ἐγνώριζε τὰ πάντα ἐκ τῶν προτέρων, ἐὰν δὲν ἤθελε νὰ καταλυθῇ ἡ ἀργία τοῦ Σαββάτου; Ἤθελε βέβαια, ἀλλ' ὄχι χωρὶς αἰτίαν. Διὰ τοῦτο ἀκριβῶς οὐδέποτε καταλύει τὴν ἀργίαν χωρὶς αἰτίαν, ἀλλ' ἀφοῦ πρῶτα εὕρῃ εὐλόγους δικαιολογίας, ὥστε καὶ τὴν ἰσχὺν τοῦ νόμου νὰ καταπαύσῃ καὶ ἐκείνους νὰ μὴ καταπλήξῃ. Ὑπάρχουν βέβαια καὶ περιπτώσεις κατὰ τὰς ὁποίας καὶ προηγουμένως καταλύει τὴν ἀργίαν τοῦ Σαββάτου, χωρὶς ὅμως συγκεκριμένην ἀφορμήν, ὅπως ὅταν ἀλείφῃ μὲ τὸν πηλὸν τοὺς ὀφθαλμοὺς τοῦ τυφλοῦ[2]. Καθὼς ἐπίσης ὅταν λέγῃ· «Ὁ Πατήρ μου ἐργάζεται διαρκῶς, καὶ ἐγὼ ἐπίσης ἐργάζομαι»[3]. Ὅλα αὐτὰ δὲ τὰ κάνει ὁ Κύριος ἀφ' ἑνὸς μὲν διὰ νὰ δοξάσῃ τὸν Πατέρα του, ἀφ' ἑτέρου δὲ διὰ νὰ ἐνισχύσῃ τὴν ἀδυναμίαν τῶν Ἰουδαίων, πρᾶγμα βέβαια ποὺ κάνει καὶ εἰς τὴν παροῦσαν στιγμήν, προβάλων τὴν ἀνάγκην τῆς φύσεως, μολονότι βέβαια δὲν ἠμπορεῖ νὰ ὑπάρξῃ ποτὲ δικαιολογία διὰ τὰ ἁμαρτήματα ποὺ ἀποδεικνύονται. Διότι οὔτε ὁ φονεὺς ἠμπορεῖ νὰ προβάλῃ ὡς δικαιολογίαν τὸν θυμόν του, οὔτε ὁ μοιχὸς τὴν ἐπιθυμίαν, μᾶλλον δὲ οὔτε καμμίαν ἄλλην αἰτίαν νὰ προβάλῃ. Ἐδῶ ὅμως μὲ τὸ νὰ προβάλῃ τὴν πεῖναν τῶν μαθητῶν τοὺς ἀπήλλαξεν ἀπὸ κάθε κατηγορίαν.

Σὺ δέ μοι θαύμασον τοὺς μαθητάς, τοὺς οὕτω συνεσταλμένους καὶ μηδένα τῶν σωματικῶν ποιουμένους λόγον, ἀλλὰ πάρεργον τιθεμένους τὴν τῆς σαρκὸς τράπεζαν, καὶ λιμῷ μαχομένους διηνεκεῖ καὶ οὐδὲ οὕτως ἀφισταμένους. Εἰ 5 *γὰρ μὴ ἠνάγκαζεν αὐτοὺς σφόδρα τὸ πεινᾶν, οὐκ ἂν οὐδὲ τοῦτο ἐποίησαν.*

Τί οὖν οἱ Φαρισαῖοι; «Ἰδόντες», φησίν, «εἶπον αὐτῷ· ἰδοὺ οἱ μαθηταί σου ποιοῦσιν ὃ οὐκ ἔξεστι ποιεῖν ἐν Σαββάτῳ». Ἐνταῦθα μὲν οὐ πάνυ σφοδρῶς, (καίτοιγε ἀκόλου- 10 *θον ἦν τοῦτο)· ἀλλ᾽ ὅμως οὐ σφόδρα παροξύνονται, ἀλλ᾽ ἐγκαλοῦσιν ἁπλῶς. Ὅτε δὲ τὴν χεῖρα τὴν ξηρὰν ἐξέτεινε καὶ διώρθωσε, τότε οὕτως ἐξεθηριώθησαν, ὡς καὶ περὶ σφαγῆς αὐτοῦ βουλεύεσθαι καὶ ἀναιρέσεως. Ἔνθα μὲν γὰρ οὐδὲν γίνεται μέγα καὶ γενναῖον, ἡσυχάζουσιν· ἔνθα δὲ* 15 *ὁρῶσί τινας σωζομένους, ἀγριαίνουσι καὶ ταράττονται καὶ πάντων εἰσὶ φορτικώτεροι· οὕτως ἐχθροὶ τῆς τῶν ἀνθρώπων σωτηρίας εἰσί.*

Πῶς οὖν ἀπολογεῖται περὶ αὐτῶν ὁ Ἰησοῦς; «Οὐκ ἀνέγνωτε», φησί, «τί ἐποίησε Δαυῒδ ἐν τῷ ἱερῷ, ὅτε ἐπείνασεν 20 *αὐτὸς καὶ οἱ μετ᾽ αὐτοῦ πάντες; πῶς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγεν, οὓς οὐκ ἐξὸν αὐτῷ φαγεῖν, οὐδὲ τοῖς μετ᾽ αὐτοῦ, εἰ μὴ μόνοις τοῖς ἱερεῦσιν;». Ὅταν μὲν γὰρ ὑπὲρ τῶν μαθητῶν ἀπολογῆται, τὸν Δαυῒδ εἰς μέσον παράγει, ὅταν δὲ ὑπὲρ ἑαυτοῦ,* 25 *τὸν Πατέρα. Καὶ ὅρα πῶς ἐπιπληκτικῶς· «Οὐκ ἀνέγνωτε τί ἐποίησε Δαυῒδ;». Καὶ γὰρ πολλὴ τοῦ προφήτου ἦν ἡ δόξα, ὡς καὶ Πέτρον μετὰ ταῦτα ἀπολογούμενον πρὸς Ἰουδαίους οὕτως εἰπεῖν· «Ἐξὸν εἰπεῖν μετὰ παρρησίας πρὸς*

---

4. Πρβλ. Ματθ. 12, 10-13.
5. Πρβλ. Ματθ. 12, 14.
6. Ματθ. 12, 3-4. Α᾽ Βασ. 21, 1 ἑ.

Σὺ ὅμως, σὲ παρακαλῶ, νὰ θαυμάσῃς τοὺς μαθητὰς ποὺ εἶναι τόσον πολὺ συνεσταλμένοι καὶ δὲν φροντίζουν καθόλου διὰ τὰς ἀνάγκας τοῦ σώματος, ἀλλὰ θεωροῦν ὡς δευτερεύουσαν φροντίδα τὴν διατροφὴν τῆς σαρκός καὶ ἀγωνίζονται συνεχῶς ἐναντίον τῆς πείνης, χωρὶς καὶ πάλιν ν' ἀπομακρύνωνται ἀπὸ τὸν Ἰησοῦν. Διότι ἐὰν δὲν τοὺς κατεπίεζεν ὑπερβολικὰ ἡ πεῖνα δὲν θὰ ἔφθαναν εἰς τὸ σημεῖον νὰ κάνουν αὐτό.

Πῶς ἀντιδροῦν λοιπὸν οἱ Φαρισαῖοι; «Ὅταν εἶδαν», λέγει, «αὐτό, τοῦ εἶπαν· Ἰδού, οἱ μαθηταί σου κάνουν αὐτὸ ποὺ δὲν ἐπιτρέπεται νὰ τὸ κάνῃ κανεὶς κατὰ τὴν ἡμέραν τοῦ Σαββάτου». Εἰς τὴν προκειμένην περίπτωσιν δὲν ὁμιλοῦν μὲ μεγάλην σφοδρότητα (ἂν καὶ θὰ ἦτο αὐτὸ βέβαια φυσικὸν ἐπακόλουθον). Ἀλλ' ὅμως δὲν ἐξοργίζονται πάρα πολύ, ἁπλῶς δὲ τοὺς κατηγοροῦν. Ὅταν ὅμως ἐθεράπευσε τὴν ξηρανθεῖσαν χεῖραν[4], τότε τόσον πολὺ ἐξηγριώθησαν, ὥστε ἐσκέπτοντο νὰ τὸν φονεύσουν καὶ νὰ τὸν ἐξαφανίσουν[5]. Ὅπου δηλαδὴ δὲν γίνεται τίποτε τὸ μεγάλο καὶ τὸ γενναῖον ἡσυχάζουν, ὅπου ὅμως βλέπουν ἀνθρώπους νὰ σώζωνται ἀγριεύουν καὶ ταράσσονται καὶ εἶναι πιὸ βάναυσοι ἀπὸ ὅλους. Τόσον μεγάλοι ἐχθροὶ τῆς σωτηρίας τῶν ἀνθρώπων εἶναι.

Πῶς λοιπὸν ἀπολογεῖται ὁ Ἰησοῦς διὰ τὴν πρᾶξιν τῶν μαθητῶν του; «Δὲν ἀνεγνώσατε», λέγει, «τί ἔκανεν ὁ Δαυῒδ εἰς τὸ ἱερὸν ὅταν ἐπείνασεν αὐτὸς καὶ ὅλοι ὅσοι ἦσαν μαζί του; πῶς δηλαδὴ εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ καὶ ἔφαγε τοὺς ἄρτους τῆς προθέσεως, τοὺς ὁποίους δὲν ἐπετρέπετο νὰ φάγῃ οὔτε αὐτός, οὔτε ἐκεῖνοι ποὺ ἦσαν μαζί του, παρὰ μόνον οἱ ἱερεῖς;»[6]. Ὅταν δηλαδὴ ἀπολογῆται διὰ τοὺς μαθητάς του ἐπικαλεῖται τὸ παράδειγμα τοῦ Δαυῒδ, ὅταν ὅμως ἀπολογῆται διὰ τὸν ἑαυτόν του ἐπικαλεῖται τὸν Πατέρα του. Καὶ πρόσεξε μὲ τί τρόπον αὐστηρόν. «Δὲν ἀνεγνώσατε τί ἔκανεν ὁ Δαυῒδ;». Καθόσον ἡ δόξα τοῦ προφήτου ἦτο μεγάλη, ὥστε καὶ ὁ Πέτρος, ὅταν ἀργότερα ἀπελογεῖτο πρὸς τοὺς Ἰουδαίους, ὡμίλησεν ὡς ἑξῆς· «Ἐπιτρέψα-

ὑμᾶς περὶ τοῦ πατριάρχου Δαυΐδ, ὅτι καὶ ἐτελεύτησε καὶ ἐτάφη». Διατί δὲ αὐτὸν οὐχὶ μετὰ τοῦ ἀξιώματος καλεῖ, οὔτε ἐνταῦθα, οὔτε μετὰ ταῦτα; Ἴσως ἐπειδὴ ἐκεῖθεν τὸ γένος κατῆγεν. Εἰ μὲν οὖν συγγνωμονικοί τινες ἦσαν, ἐπὶ
5 *τὸ πάθος ἂν τῆς πείνης τὸν λόγον ἤγαγεν, ἐπειδὴ δὲ μιαροὶ καὶ ἀπάνθρωποι, καὶ ἱστορίαν αὐτοῖς ἀναγινώσκει. Ὁ δὲ Μᾶρκος, «Ἐπὶ Ἀβιάθαρ τοῦ ἀρχιερέως», φησίν, οὐκ ἐναντία λέγων τῇ ἱστορίᾳ, ἀλλὰ δεικνὺς ὅτι διώνυμος ἦν καὶ προστίθησιν ὅτι ἐκεῖνος ἔδωκεν αὐτῷ· δεικνὺς καὶ ἐν-*
10 *τεῦθεν μεγάλην οὖσαν ἀπολογίαν, ὅπου γε καὶ ὁ ἱερεὺς ἐπέτρεψε· καὶ οὐ μόνον ἐπέτρεψεν ἀλλὰ καὶ διηκονήσατο. Μὴ γάρ μοι λέγε, ὅτι προφήτης ἦν ὁ Δαυΐδ· οὐδὲ γὰρ οὕτως ἐξῆν, ἀλλὰ τῶν ἱερέων ἦν τὸ προτέρημα· διὸ καὶ προσέθηκεν, «Εἰ μὴ τοῖς ἱερεῦσι μόνοις». Εἰ γὰρ καὶ μυριάκις ἦν*
15 *προφήτης, ἀλλ' οὐχ ἱερεύς· εἰ δὲ καὶ ἐκεῖνος προφήτης, ἀλλ' οὐχὶ καὶ οἱ μετ' αὐτοῦ· καὶ γὰρ καὶ ἐκείνοις ἔδωκε. Τί οὖν; φησίν· ἴσον Δαυΐδ καὶ οὗτοι; Τί μοι λέγεις ἀξίαν, ὅπου νόμου παράβασις εἶναι δοκεῖ, κἂν φύσεώς ἐστιν ἀνάγκη; Καὶ γὰρ καὶ ταύτῃ μᾶλλον αὐτοὺς ἀπήλλαξε τῶν*
20 *ἐγκλημάτων, ὅταν ὁ μείζων φαίνηται τὸ αὐτὸ πεποιηκώς.*

2. Καὶ τί τοῦτο πρὸς τὸ ζητούμενον; φησίν· οὐ γὰρ δὴ Σάββατον ἐκεῖνος παρέβη. Τὸ μεῖζόν μοι λέγεις καὶ ὃ μάλιστα δείκνυσι τοῦ Χριστοῦ τὴν σοφίαν, ὅτι τὸ Σάββατον ἀφεὶς, ἕτερον ὑπόδειγμα φέρει τοῦ Σαββάτου μεῖζον. Οὐ-
25 *δὲ γὰρ ἴσον παραβῆναι ἡμέραν καὶ τῆς ἱερᾶς ἐκείνης ἅψασθαι τραπέζης, ἧς μηδενὶ θέμις ἦν. Τὸ μὲν γὰρ Σάββατον*

7. Πράξ. 2, 29.
8. Πρβλ. Ματθ. 12, 23.
9. Μάρκ. 2, 26.
10. Πρβλ. Α' Βασ. 21, 2.

τέ μου νὰ σᾶς εἰπῶ μὲ παρρησίαν διὰ τὸν πατριάρχην Δαυΐδ, ὅτι καὶ ἀπέθανε καὶ ἐτάφη»[7]. Ἀλλὰ διατί οὔτε ἐδῶ τὸν ἀναφέρει τὸν Δαυΐδ μὲ τὸ ἀξίωμά του, οὔτε εἰς τὴν συνέχειαν[8]; Ἴσως ἐπειδὴ ἕλκει τὴν καταγωγήν του ἀπὸ τὸν Δαυΐδ. Ἐὰν λοιπὸν ἦσαν ἄνθρωποι μὲ κατανόησιν θὰ ἦτο δυνατὸν νὰ τοὺς ἀναφέρῃ ὡς δικαιολογίαν τὴν μεγάλην πεῖνάν των, ἐπειδὴ ὅμως ἦσαν μιαροὶ καὶ ἀπάνθρωποι, διὰ τοῦτο τοὺς ἀναγινώσκει τὴν ἱστορίαν. Ὁ δὲ Μᾶρκος λέγει «ἐπὶ τοῦ Ἀβιάθαρ τοῦ ἀρχιερέως»[9] χωρὶς αὐτὸ νὰ σημαίνῃ ἀντίθετα πράγματα πρὸς τὴν διήγησιν, ἀλλὰ δεικνύει ὅτι εἶχε δύο ὀνόματα[10], καὶ προσθέτει ὅτι ἐκεῖνος τοῦ ἔδωσε τοὺς ἄρτους, καὶ ἔτσι τὸν δικαιολογεῖ ἀπολύτως ἀφοῦ βέβαια τὸ ἐπέτρεψεν ὁ ἱερεύς. Καὶ ὄχι μόνον τὸ ἐπέτρεψεν, ἀλλὰ καὶ τοὺς ὑπηρέτησε. Μὴ μοῦ εἴπῃς βέβαια ὅτι ὁ Δαυΐδ ἦτο προφήτης, διότι οὔτε καὶ ἔτσι ἐπετρέπετο νὰ φάγῃ τοὺς ἄρτους, ἀλλ' αὐτὸ ἦτο προνόμιον τῶν ἱερέων. Διὰ τοῦτο καὶ προσέθεσε· «Παρὰ μόνον εἰς τοὺς ἱερεῖς». Διότι καὶ ἂν ἀκόμη χιλίας φορὰς ἦτο προφήτης δὲν ἦτο ὅμως ἱερεύς. Ἀλλὰ καὶ ἂν ἀκόμη ἐκεῖνος ἦτο προφήτης, δὲν ἦσαν προφῆται καὶ οἱ σύντροφοί του· καθόσον καὶ εἰς ἐκείνους ἔδωσε νὰ φάγουν. Τί λοιπόν; θὰ εἰπῇ κάποιος· Ἦσαν ἴσοι ὁ Δαυΐδ καὶ αὐτοί; Καὶ διατί ὁμιλεῖς διὰ ἀξίαν ἐκεῖ ὅπου ὑπάρχει παράβασις τοῦ νόμου, ἔστω καὶ ἂν αὐτὸ συνέβη ἀπὸ φυσικὴν ἀνάγκην; Καθόσον ἐξ αἰτίας αὐτοῦ κατὰ μεγαλύτερον λόγον ἀπηλλάγησαν αὐτοὶ ἀπὸ τὴν ἐνοχήν, ἀφοῦ ὁ ἀνώτερός των φαίνεται νὰ κάνῃ τὸ ἴδιο.

2. Καὶ ποίαν σχέσιν ἔχει αὐτό, θὰ εἰπῇ κάποιος, μὲ τὸ ὑπὸ ἐξέτασιν θέμα; Διότι ὁ Δαυΐδ δὲν παρέβη τὸν νόμον περὶ ἀργίας τοῦ Σαββάτου. Μοῦ λέγεις τὸ σπουδαιότερον, τὸ ὁποῖον κατ' ἐξοχὴν ἀποδεικνύει τὴν σοφίαν τοῦ Χριστοῦ, ὅτι δηλαδή, ἀφοῦ παρέλειψε τὸ Σάββατον, ἀναφέρει ἄλλο παράδειγμα σημαντικώτερον τοῦ Σαββάτου. Διότι δὲν εἶναι τὸ ἴδιο πρᾶγμα νὰ παραβῇς μίαν ἡμέραν καὶ νὰ ἐγγίσῃς τὴν ἱερὰν ἐκείνην τράπεζαν, πρᾶγμα ποὺ κανεὶς δὲν ἐπιτρέπεται νὰ

καὶ ἐλύθη πολλάκις, μᾶλλον δὲ ἀεὶ λύεται, καὶ ἐν τῇ περιτομῇ καὶ ἐν ἑτέροις πλείοσιν ἔργοις· καὶ ἐν τῇ Ἱεριχῷ δὲ τὸ αὐτὸ γενόμενον ἴδοι τις ἄν· τοῦτο δὲ τότε μόνον ἐγένετο. Ὥστε ἀπὸ τοῦ πλείονος ἡ νίκη. Πῶς οὖν οὐδεὶς ἐνε-
5 *κάλεσε τῷ Δαυΐδ, καίτοι καὶ τούτου μεῖζον ἔγκλημα ἕτερον ἦν, τὸ τοῦ φόνου τῶν ἱερέων ἐντεῦθεν λαβὸν τὴν ἀρχήν; Ἀλλ᾽ οὐ τίθησιν αὐτό· πρὸς γὰρ τὸ προκείμενον ἵσταται μόνον.*

Εἶτα πάλιν καὶ ἑτέρως αὐτὸ λύει. Ἐν ἀρχῇ μὲν γὰρ
10 *τὸν Δαυΐδ παρήγαγε, τῷ ἀξιώματι τοῦ προσώπου καταστέλλων αὐτῶν τὴν ἀπόνοιαν· ἐπειδὴ δὲ αὐτοὺς ἐπεστόμισε, καὶ τὴν ἀλαζονείαν καθεῖλε, τότε καὶ τὴν κυριωτέραν ἐπάγει λύσιν. Ποία δὲ ἦν αὕτη; «Οὐκ οἴδατε, ὅτι ἐν τῷ ἱερῷ οἱ ἱερεῖς τὸ Σάββατον βεβηλοῦσι καὶ ἀναίτιοί εἰσιν;». Ἐ-*
15 *κεῖ μὲν γάρ, φησίν, ἡ περίστασις τὴν λύσιν ἐποίησεν, ἐνταῦθα δὲ καὶ χωρὶς περιστάσεως ἡ λύσις.*

Ἀλλ᾽ οὐκ εὐθέως οὕτως ἔλυσεν· ἀλλὰ πρῶτον κατὰ συγγνώμην, εἶτα κατὰ ἔνστασιν. Τὸ γὰρ ἰσχυρότερον ὕστερον ἐπάγειν ἐχρῆν, καίτοιγε καὶ τὸ πρότερον τὴν οἰκείαν
20 *εἶχε δύναμιν.*

Μὴ γάρ μοι λέγε, ὅτι οὐκ ἔστιν ἀπηλλάχθαι ἐγκλήματος, τὸ καὶ ἕτερον τὸ αὐτὸ ἁμαρτάνοντα εἰς μέσον ἐνεγκεῖν. Ὅταν γὰρ μὴ ἐγκαλῆται ὁ πεποιηκώς, νόμος ἀπολογίας γίνεται τὸ τολμηθέν. Πλὴν οὐκ ἠρκέσθη τούτῳ, ἀλλὰ

---

11. Πρβλ. Ἰησ. Ναυῆ 6, 1 ἑ.
12. Πρβλ. Α' Βασ. 22, 16-23.
13. Δηλαδὴ ἡ ὅλη ἐργασία ποὺ ἐγίνετο διὰ τὴν προετοιμασίαν τῆς θυσίας.

τὸ πράξῃ. Διότι τὸ μὲν Σάββατον πολλάκις κατελύθη ἢ μᾶλλον συνεχῶς καταλύεται καὶ ὅταν γίνεται ἡ περιτομὴ καὶ εἰς πολλὰ ἄλλα ἔργα. Αὐτὸ τὸ ἴδιο πρᾶγμα ἠμπορεῖς νὰ τὸ διαπιστώσῃς καὶ εἰς τὴν Ἱεριχώ[11]. Ἀλλ' αὐτὸ ποὺ συνέβη μὲ τὸν Δαυΐδ τότε μόνον συνέβη. Ὥστε ἡ νίκη εἶναι μὲ τὸ μέρος τοῦ ἰσχυροτέρου. Πῶς λοιπὸν δὲν κατηγόρησε κανεὶς τὸν Δαυΐδ, μολονότι ἀπὸ τὴν πρᾶξιν αὐτὴν προῆλθεν ἄλλο ἔγκλημα μεγαλύτερον· δὲν ἐφονεύθησαν ἐξ αἰτίας αὐτοῦ οἱ ἱερεῖς[12]; Ἀλλ' ὅμως δὲν τὸ ἀναφέρει αὐτό· διότι ἀρκεῖται μόνον εἰς τὸ προκείμενον.

Εἰς τὴν συνέχεια πάλιν καὶ κατ' ἄλλον τρόπον καταλύει τὸ Σάββατον. Διότι εἰς τὴν ἀρχὴν μὲν ἀνέφερε τὸ παράδειγμα τοῦ Δαυΐδ καταπαύων μὲ τὸ ἀξίωμα τοῦ προσώπου τὴν ἀνόητον ἐξέγερσιν τῶν Φαρισαίων. Ἀφοῦ ὅμως τοὺς ἀπεστόμωσε καὶ κατέστειλε τὴν ὑπερηφάνειάν των, τότε πλέον ἐπροχώρησε καὶ εἰς τὴν κυριωτέραν κατάργησιν τῆς ἀργίας τοῦ Σαββάτου. Ποία δὲ ἦτο αὐτή; «Δὲν γνωρίζετε, ὅτι κατὰ τὴν ἡμέραν τοῦ Σαββάτου οἱ ἱερεῖς βεβηλώνουν ἐντὸς τοῦ ναοῦ τὸ Σάββατον[13], καὶ παρὰ ταῦτα εἶναι ἐκτὸς κατηγορίας;». Διότι ὁ Δαυΐδ, λέγει, κατέλυσε τὸ Σάββατον ἀπὸ περιστασιακὴν ἀνάγκην, ἐνῷ εἰς τὴν περίπτωσιν τῶν ἱερέων καταλύεται χωρὶς καμμίαν ἀνάγκην.

Ὁ Κύριος ὅμως δὲν προχωρεῖ ἀμέσως εἰς τὴν κατάλυσιν τοῦ Σαββάτου, ἀλλ' ἀρχικῶς μὲν ἔδειξεν ὅτι ἡ κατάλυσις τοῦ Σαββάτου ἔγινε κατὰ τρόπον συγκαταβατικόν, ἐν συνεχείᾳ δὲ τοὺς ἀποκαλύπτει μὲ τόνον αὐστηρὸν τὴν συνεχῆ κατάλυσιν αὐτοῦ χωρὶς καμμίαν αἰτίαν. Διότι ἔπρεπε ν' ἀναφέρῃ τελευταῖον τὸ ἰσχυρότερον ἐπιχείρημα, μολονότι τὸ πρῶτον εἶχε τὴν ἰδικήν του ἀποδεικτικὴν δύναμιν.

Μὴ μοῦ εἰπῇς ὅμως, ὅτι δὲν εἶναι δυνατὸν ν' ἀπαλλαγῇ κανεὶς ἀπὸ τὴν κατηγορίαν μὲ τὸ νὰ παρουσιάζῃ καὶ ἄλλον ποὺ διέπραξε τὸ ἴδιο ἁμάρτημα. Διότι ὅταν δὲν ψέγεται ὁ δράστης τότε τὸ τόλμημά του ἀποτελεῖ δικαιολογίαν διὰ τοὺς ἄλλους. Πλὴν ὅμως δὲν ἠρκέσθη εἰς αὐτό, ἀλλὰ προσ-

καὶ τὸ κυριώτερον ἐπάγει λέγων, ὅτι οὐδὲ ἁμάρτημά ἐστι τὸ γεγενημένον· ὅπερ μάλιστα λαμπρᾶς νίκης ἦν, τὸ δεῖξαι τὸν νόμον ἑαυτὸν παραλύοντα, καὶ διπλῇ τοῦτο ποιοῦντα, καὶ ἀπὸ τοῦ τόπου καὶ ἀπὸ τοῦ Σαββάτου· μᾶλλον δὲ καὶ 5 τριπλῇ, τῷ καὶ διπλοῦν τὸ ἔργον γενέσθαι καὶ μετὰ τούτου καὶ ἕτερον, τὸ ὑπὸ τῶν ἱερέων· καὶ τὸ δὴ μεῖζον, τὸ μηδὲ ἔγκλημα εἶναι· «Ἀναίτιοι γάρ», φησίν, «εἰσίν».

Εἶδες πόσα τέθεικε; τὸν τόπον· ἐν τῷ ἱερῷ γάρ φησι· τὸ πρόσωπον· οἱ ἱερεῖς γάρ· τὸν καιρόν· τὸ Σάββατον γάρ 10 φησι· τὸ πρᾶγμα αὐτό· βεβηλοῦσι γάρ· οὐδὲ γὰρ εἶπε, λύουσιν, ἀλλὰ τὸ φορτικώτερον, «βεβηλοῦσι»· τὸ μὴ μόνον μὴ δίκην διδόναι, ἀλλὰ καὶ αἰτίας ἀπηλλάχθαι· «Ἀναίτιοι γάρ εἰσι».

Μὴ δὴ νομίσητε τοῦτο ὅμοιον εἶναι, φησί, τῷ προτέρῳ. 15 Ἐκεῖνο μὲν γὰρ καὶ ἅπαξ γέγονε, καὶ οὐχ ὑπὸ ἱερέως, καὶ ἀνάγκης ἦν· διὰ τοῦτο καὶ συγγνώμης ἐγένοντο ἄξιοι· τοῦτο δὲ καὶ καθ' ἕκαστον Σάββατον καὶ ὑπὸ ἱερέων καὶ ἐν ἱερῷ καὶ κατὰ νόμον. Διόπερ οὐδὲ κατὰ συγγνώμην, ἀλλὰ κατὰ νόμον εἰσὶν ἀπηλλαγμένοι τῶν ἐγκλημάτων. Οὐ-20 δὲ γὰρ ἐγκαλῶν ταῦτα εἶπον, φησίν, οὐδὲ κατὰ συγγνώμην αὐτοὺς αἰτίας ἀπαλλάττων, ἀλλὰ κατὰ τὸν τοῦ δικαίου λόγον.

Καὶ δοκεῖ μὲν ὑπὲρ ἐκείνων ἀπολογεῖσθαι, τούτους δὲ ἐλευθεροῖ τῶν ἐγκλημάτων. Ὅταν γὰρ εἴπῃ· ἀναίτιοί 25 εἰσιν ἐκεῖνοι· πολλῷ μᾶλλον οὗτοι, φησίν. Ἀλλ' οὐκ εἰσὶν ἱερεῖς. Ἀλλ' ἱερέων μείζους. Αὐτὸς γὰρ πάρεστιν ἐνταῦθα ὁ τοῦ ἱεροῦ δεσπότης· ἡ ἀλήθεια, οὐχ ὁ τύπος. Διὸ καὶ ἔ-

θέτει καὶ τὸ σπουδαιότερον, λέγων ὅτι οὔτε κἂν ἁμάρτημα εἶναι τὸ διαπραχθέν, πρᾶγμα βέβαια ποὺ ἀποτελεῖ λαμπρὰν νίκην, τὸ ὅτι δηλαδὴ ἀπέδειξεν, ὅτι ὁ νόμος καταλύει τὸν ἑαυτόν του καὶ μάλιστα κατὰ τρόπον διπλοῦν· καὶ ἀπὸ τὸν τόπον καὶ ἀπὸ τὸ Σάββατον. Ἢ καλύτερα κατὰ τρόπον τριπλοῦν· καὶ μὲ τὴν προηγουμένην διπλῆν κατάλυσιν, καὶ μαζὶ μὲ αὐτὸ καὶ κατὰ ἕνα τρίτον τρόπον, μὲ τὸ ὅτι δηλαδὴ ἡ κατάλυσις αὐτὴ γίνεται ἀπὸ τοὺς ἱερεῖς. Καὶ τὸ πιὸ σπουδαῖον βέβαια εἶναι ὅτι ἡ πρᾶξις δὲν θεωρεῖται οὔτε κἂν ἁμάρτημα. Διότι λέγει «εἶναι ἐκτὸς κατηγορίας».

Εἶδες πόσα ἐπιχειρήματα παρέθεσε; Τὸν τόπον, διότι λέγει αὐτὸ συμβαίνει εἰς τὸν ναόν. Τὸ πρόσωπον, διότι ἀναφέρει τοὺς ἱερεῖς. Τὴν ἡμέραν, διότι λέγει ὅτι συμβαίνει αὐτὸ κατὰ τὴν ἡμέραν τοῦ Σαββάτου. Αὐτὴν τὴν ἰδίαν τὴν πρᾶξιν, διότι τὴν χαρακτηρίζει βεβήλωσιν. Διότι δὲν εἶπε, καταλύουν, ἀλλὰ τὸ πλέον χειρότερον, «βεβηλώνουν», καὶ ὅτι ὄχι μόνον δὲν τιμωροῦνται, ἀλλὰ καὶ εἶναι ἀπηλλαγμένοι ἀπὸ κάθε κατηγορίαν. «Διότι εἶναι ἐκτὸς κατηγορίας».

Μὴ νομίσετε βέβαια, λέγει, ὅτι ἡ περίπτωσις αὐτὴ εἶναι ὁμοία μὲ τὴν περίπτωσιν τοῦ Δαυΐδ. Διότι ἐκείνη ἔγινε μίαν φορὰν καὶ ὄχι ἀπὸ ἱερέα καὶ ὅτι συνέβη κατ' ἀνάγκην, διὰ τοῦτο καὶ συνεχωρήθησαν. Αὐτὴ ὅμως ἡ παράβασις γίνεται κάθε Σάββατον καὶ μάλιστα ἀπὸ τοὺς ἱερεῖς καὶ ἐντὸς τοῦ ναοῦ καὶ σύμφωνα μὲ τὸν νόμον. Διὰ τοῦτο ἀκριβῶς εἶναι ἀπηλλαγμένοι ἀπὸ τὰς κατηγορίας ὄχι κατὰ συγκατάβασιν, ἀλλὰ σύμφωνα μὲ τὸν νόμον. Οὔτε βέβαια λέγει τὰ ἀνέφερα αὐτὰ διὰ νὰ τοὺς κατηγορήσω οὔτε διὰ νὰ τοὺς ἀπαλλάξω ἀπὸ τὴν κατηγορίαν κατὰ συγκατάβασιν, ἀλλὰ σύμφωνα μὲ τὰς ἐντολὰς τοῦ δικαίου.

Καὶ φαίνεται μὲν μὲ ὅσα λέγει ὅτι ἀπολογεῖται ὑπὲρ τῶν ἱερέων, εἰς τὴν πραγματικότητα ὅμως ἀπαλλάσσει τοὺς μαθητάς του ἀπὸ τὴν κατηγορίαν. Διότι ὅταν λέγῃ· εἶναι ἀθῶοι ἐκεῖνοι, πολὺ περισσότερον, λέγει, ὅτι εἶναι ἀθῶοι καὶ οἱ μαθηταί του. Ναί, ἀλλὰ αὐτοὶ δὲν εἶναι ἱερεῖς. Εἶναι ὅμως ἀνώτεροι ἀπὸ τοὺς ἱερεῖς. Διότι ἐδῶ εἶναι παρὼν ὁ ἴ-

λεγε· «Λέγω δὲ ὑμῖν, ὅτι τοῦ ἱεροῦ μεῖζόν ἐστιν ὧδε». Ἀλλ' ὅμως τηλικαῦτα ἀκούσαντες, οὐδὲν εἶπον· οὐ γὰρ ἦν σωτηρία ἀνθρώπου τὸ προκείμενον.

Εἶτα ἐπειδὴ βαρὺ τοῖς ἀκούουσιν ἐδόκει εἶναι ταχέως
5 *αὐτὸ συνεκάλυψε, πάλιν ἐπὶ συγγνώμην τὸν λόγον ἄγων, καὶ μετὰ ἐπιπλήξεως καὶ οὕτω λέγων. «Εἰ δὲ ἐγνώκειτε τί ἐστιν, ἔλεον θέλω καὶ οὐ θυσίαν, οὐκ ἂν κατεδικάσατε τοὺς ἀναιτίους». Εἶδες πῶς πάλιν ἐπὶ συγγνώμην ἄγει τὸν λόγον καὶ πάλιν συγγνώμης ἀνωτέρους ἀποφαίνει; «Οὐ γὰρ*
10 *ἂν κατεδικάσατε, φησί, τοὺς ἀναιτίους». Τὸ μὲν πρότερον συνήγαγε τὸ τῶν ἱερέων εἰς τὸ αὐτὸ λέγων, «Ἀναίτιοί εἰσι»· τοῦτο δὲ ἀφ' ἑαυτοῦ τίθησι· μᾶλλον δὲ καὶ τοῦτο ἀπὸ τοῦ νόμου· προφητικὴν γὰρ ἀνέγνω ῥῆσιν.*

3. Εἶτα καὶ ἄλλην αἰτίαν λέγει· «Κύριος γάρ», φησίν,
15 *«ἐστὶ τοῦ Σαββάτου ὁ υἱὸς τοῦ ἀνθρώπου», περὶ ἑαυτοῦ λέγων. Ὁ δὲ Μᾶρκος καὶ περὶ τῆς κοινῆς φύσεως αὐτὸν τοῦτο εἰρηκέναι φησίν· ἔλεγε γάρ· «Τὸ Σάββατον διὰ τὸν ἄνθρωπον ἐγένετο, οὐχ ὁ ἄνθρωπος διὰ τὸ Σάββατον». Τίνος οὖν ἕνεκεν ἐκολάζετο ὁ τὰ ξύλα συνάγων; Ὅτι εἰ*
20 *ἔμελλον καὶ ἐν ἀρχῇ καταφρονεῖσθαι οἱ νόμοι, σχολῇ γ' ἂν ὕστερον ἐφυλάχθησαν. Καὶ γὰρ πολλὰ ὠφέλει παρὰ τὴν ἀρχὴν τὸ Σάββατον καὶ μεγάλα· οἷον, ἡμέρους ἐποίει πρὸς τοὺς οἰκείους εἶναι καὶ φιλανθρώπους· ἐδίδασκεν αὐτοὺς τοῦ Θεοῦ τὴν πρόνοιαν καὶ τὴν δημιουργίαν· ὅπερ φησὶν*

---

14. Πρβλ. Ὠσ. 6, 6.
15. Μάρκ. 2, 27.
16. Πρβλ. Ἀριθμ. 15, 32-36.

διος ὁ Κύριος τοῦ ἱεροῦ· ἡ ἰδία ἡ ἀλήθεια καὶ ὄχι ὁ τύπος αὐτῆς. Διὰ τοῦτο καὶ ἔλεγε· «Σᾶς λέγω δὲ ὅτι ἐδῶ εἶναι κάτι μεγαλύτερον ἀπὸ τὸν ναόν». Οἱ Φαρισαῖοι ὅμως ἀκούσαντες ὅλα αὐτὰ δὲν εἶπαν τίποτε ἀπολύτως, διότι εἰς τὴν περίπτωσιν αὐτὴν ἐπρόκειτο διὰ τὴν σωτηρίαν κάποιου ἀνθρώπου.

Ἔπειτα ἐπειδὴ αὐτὸ ποὺ εἶπεν ἐφαίνετο βαρύ, ἀμέσως τὸ συνεκάλυψε καὶ μεταφέρων τὸν λόγον πάλιν εἰς τὸ θέλημα τῆς συγχωρήσεως καὶ μὲ τόνον ἐπιπλήξεως λέγει τὰ ἑξῆς· «Ἐὰν δὲ εἴχατε κατανοήσει τί σημαίνει ἀγάπην θέλω καὶ ὄχι θυσίαν[14], δὲν θὰ κατεδικάζατε τοὺς ἀθώους». Εἶδες μὲ ποῖον τρόπον μεταφέρει πάλιν τὸν λόγον εἰς τὴν εὐσπλαγχνίαν καὶ ἀποδεικνύει ὅτι οἱ μαθηταί του ἦσαν ὑπεράνω πάσης κατηγορίας; «Διότι δὲν θὰ κατεδικάζατε», λέγει, «τοὺς ἀθώους». Τὸ μὲν πρῶτον συνεπέρανε μὲ τοὺς λόγους του ὑπὲρ τῶν ἱερέων «ἦσαν ἀθῶοι», τὸ δὲ δεύτερον, τὸ ὅτι δηλαδὴ ἦσαν ἀθῶοι, ἐφανέρωσε μὲ τὸ ὅτι εἰσήγαγεν εἰς τὸ μέσον τὸν ἑαυτόν του. Μᾶλλον ὅμως καὶ αὐτὸ τὸ ἐστήριξεν εἰς τὸν νόμον, διότι ἀνέφερε τοὺς λόγους τοῦ προφήτου.

3. Εἰς τὴν συνέχειαν ἀναφέρει καὶ ἄλλην αἰτίαν συγχωρήσεως τῶν μαθητῶν. Διότι λέγει «εἶναι ἀθῶοι, ἐπειδὴ ὁ Υἱὸς τοῦ ἀνθρώπου εἶναι κύριος καὶ τοῦ Σαββάτου», ἀναφερόμενος μὲ αὐτὰ εἰς τὸν ἑαυτόν του. Ὁ δὲ Μᾶρκος λέγει ὅτι αὐτὸ τὸ εἶπεν ὁ Κύριος δι' ὅλους τοὺς ἀνθρώπους. Διότι ἔλεγε· «Τὸ Σάββατον ἔγινε διὰ τὸν ἄνθρωπον καὶ ὄχι ὁ ἄνθρωπος διὰ τὸ Σάββατον»[15]. Μὰ τότε διατί ἐτιμωρεῖτο ἐκεῖνος ποὺ ἐμάζευε ξύλα κατὰ τὴν ἡμέραν τοῦ Σαββάτου[16]; Διότι ἐὰν ἐπρόκειτο ἀπὸ τὴν ἀρχὴν τῆς θεσπίσεως νὰ παραβαίνωνται οἱ νόμοι, δὲν θὰ ἦτο δυνατὸν νὰ τηρηθοῦν εἰς τὸ μέλλον μὲ προθυμίαν. Διότι εὐθὺς ἐξ ἀρχῆς ἦσαν πολλαὶ καὶ μεγάλαι αἱ ὠφέλειαι ποὺ προήρχοντο ἀπὸ τὸ Σάββατον. Ἐπὶ παραδείγματι τοὺς ἔκανε νὰ εἶναι ἥμεροι καὶ φιλάνθρωποι πρὸς τὰ μέλη τῆς οἰκογενείας των. Τοὺς ἐδίδασκε τὴν πρόνοιαν τοῦ Θεοῦ καὶ τὸ ἔργον τῆς δημιουργίας,

ὁ Ἰεζεχιήλ· ἐπαίδευσεν αὐτοὺς κατὰ μικρὸν ἀπέχεσθαι πονηρίας καὶ τοῖς πνευματικοῖς προσέχειν παρεσκεύαζεν. Ἐπειδὴ γάρ, τὸν νόμον διδοὺς τὸν τοῦ Σαββάτου, εἰ εἶπε, τὰ μὲν ἀγαθὰ πράττετε ἐν τῷ Σαββάτῳ, τὰ δὲ κακὰ μὴ
5 ποιεῖτε, οὐκ ἂν ἠνέσχοντο· ἁπάντων ὁμοίως ἀπεῖργε· μηδὲν γὰρ ποιήσητε, φησί· καὶ οὐδὲ οὕτω κατείχοντο. Αὐτὸς δὲ καὶ τὸν νόμον διδοὺς τὸν τοῦ Σαββάτου, καὶ οὕτως ᾐνίξατο, ὅτι τῶν πονηρῶν αὐτοὺς ἀπέχεσθαι βούλεται μόνον. «Μηδὲν γὰρ ποιήσητε», φησί, «πλὴν ὧν ποιηθήσεται ψυχῇ». Καὶ ἐν
10 τῷ ἱερῷ δὲ πάντα ἐγίνετο καὶ μετὰ πλείονος τῆς σπουδῆς καὶ διπλασίονος τῆς ἐργασίας. Οὕτω καὶ δι' αὐτῆς τῆς σκιᾶς τὴν ἀλήθειαν αὐτοῖς παρήνοιγε.

Τοσοῦτον οὖν κέρδος, φησίν, ἔλυσεν ὁ Χριστός; Μὴ γένοιτο· ἀλλὰ καὶ σφόδρα ἐπέτεινε. Καιρὸς γὰρ ἦν διὰ τῶν
15 ὑψηλοτέρων αὐτοὺς πάντα παιδεύεσθαι καὶ οὐκ ἔδει δεδέσθαι τὰς χεῖρας τοῦ πονηρίας μὲν ἀπηλλαγμένου, πρὸς δὲ τὰ ἀγαθὰ πάντα ἐπτερωμένου· οὐδὲ ἐντεῦθεν μανθάνειν, ὅτι ὁ Θεὸς ἅπαντα ἐποίησεν· οὐδὲ ἐντεῦθεν ἡμέρους εἶναι τοὺς πρὸς αὐτὴν τοῦ Θεοῦ τῆς φιλανθρωπίας τὴν μίμησιν καλου-
20 μένους· («Γίνεσθε», γάρ φησίν, «οἰκτίρμονες ὡς ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος»)· οὐδὲ μίαν ἡμέραν ἑορτάζειν τοὺς πάντα τὸν βίον ἑορτὴν ἄγειν κελευομένους· («Ἑορτάζομεν», γάρ, φησί, «μὴ ἐν ζύμῃ παλαιᾷ, μηδὲ ἐν ζύμῃ κακίας καὶ πονηρίας, ἀλλ' ἐν ἀζύμοις εἰλικρινείας καὶ ἀληθείας»)· οὐδὲ γὰρ
25 παρὰ κιβωτὸν ἑστάναι καὶ θυσιαστήριον χρυσοῦν τοὺς αὐτὸν τὸν πάντων Δεσπότην ἔνοικον ἔχοντας καὶ διὰ πάντων ὁμιλοῦντας αὐτῷ καὶ δι' εὐχῆς καὶ διὰ προσφορᾶς καὶ διὰ

---

17. Πρβλ. Ἰεζ. 20, 12.
18. Ἐξ. 12, 16.
19. Λουκᾶ 6, 36.
20. Α' Κορ. 5, 8.

πρᾶγμα ποὺ τὸ λέγει καὶ ὁ προφήτης Ἰεζεκιὴλ[17]. Τοὺς ἐπαίδευσε ν' ἀποφεύγουν ὀλίγον κατ' ὀλίγον τὴν πονηρίαν καὶ τοὺς προετοίμαζε νὰ ἐπιδεικνύουν ἐνδιαφέρον διὰ τὰ πνευματικὰ ζητήματα. Διότι ἐὰν τοὺς ἔλεγεν, ὅταν ἔδιδε τὸν νόμον περὶ τοῦ Σαββάτου, νὰ κάνουν μόνον τὰ ἀγαθὰ ἔργα τὴν ἡμέραν αὐτὴν καὶ ν' ἀποφεύγουν τὰ κακά, ὁπωσδήποτε δὲν θὰ τὸ ἐτήρουν, διὰ τοῦτο ἀπαγορεύει κάθε ἔργον ἀδιακρίτως. Διότι, λέγει, μὴ κάνετε τίποτε. Ἀλλὰ οὔτε καὶ ἔτσι συνεκρατοῦντο πάλιν. Ὁ Θεὸς δὲ ὅταν τοὺς ἔδιδε τὸν νόμον περὶ τοῦ Σαββάτου, αὐτὸ ἄφηνε νὰ ἐννοηθῇ, ὅτι δηλαδὴ ἐπιθυμεῖ νὰ ἀπέχουν μόνον ἀπὸ τὰ πονηρὰ ἔργα. «Διότι», λέγει, «δὲν θὰ κάνετε τίποτε, παρὰ μόνον ὅσα θὰ συντελοῦν διὰ τὸ καλὸν τῆς ψυχῆς»[18]. Καὶ εἰς τὸ ἱερὸν δὲ ἐγίνοντο τὰ πάντα καὶ μὲ μεγάλην προθυμίαν καὶ μὲ διπλασίαν ἐργασίαν. Ἔτσι καὶ μὲ αὐτὸν τὸν σκιώδη τύπον ἤνοιγε τὸν δρόμον πρὸς τὴν ἀλήθειαν.

Ὥστε λοιπόν, θὰ εἰπῇ κάποιος, κατήργησεν ὁ Χριστὸς μὲ αὐτὸν τὸν τρόπον τόσον μεγάλας ὠφελείας; Μὴ γένοιτο. Ἀντιθέτως ηὔξησεν ἀκόμη περισσότερον τὴν ὠφέλειάν μας. Διότι ἦτο καιρὸς νὰ διδάσκωνται συνεχῶς πλέον μὲ τὰ ὑψηλότερα νοήματα καὶ δὲν ἦτο ἀνάγκη νὰ εἶναι δεμένα τὰ χέρια ἐκείνου ποὺ εἶχεν ἀπαλλαγῇ ἀπὸ τὴν πονηρίαν καὶ ἐπεθύμει ὅλα τὰ ἀγαθά. Οὔτε μὲ τὸ Σάββατον νὰ μαθαίνουν ὅτι ὁ Θεὸς ἐδημιούργησε τὰ πάντα, ἀλλὰ νὰ μὴ διδάσκωνται ἀπὸ ἐδῶ νὰ εἶναι εὐσπλαγχνικοί, αὐτοὶ ποὺ ἐκαλοῦντο νὰ μιμηθοῦν τὴν φιλανθρωπίαν τοῦ Θεοῦ. (Διότι, λέγει, «Νὰ εἶσθε εὐσπλαγχνικοί, ὅπως εἶναι ὁ οὐράνιος Πατήρ σας[19]»). Οὔτε νὰ ἑορτάζουν μίαν μόνον ἡμέραν, αὐτοὶ ποὺ προετρέποντο νὰ ἔχουν ἑορτὴν ὅλην τὴν ζωήν των. (Διότι λέγει· «Ἂς ἑορτάζωμεν ὄχι μὲ τὸ παλαιὸν προζύμιον, οὔτε μὲ προζύμιον κακίας καὶ πονηρίας, ἀλλὰ μὲ ἄζυμα εἰλικρινείας καὶ ἀληθείας»[20]). Οὔτε βέβαια νὰ συγκεντρώνωνται γύρω ἀπὸ τὴν Κιβωτὸν τῆς Διαθήκης καὶ τὸ χρυσὸν θυσιαστήριον, αὐτοὶ ποὺ εἶχαν μέσα των τὸν Κύριον τῶν πάντων καὶ μὲ ὅλας τὰς ἐκδηλώσεις των ἤρχοντο εἰς ἐπικοινωνίαν μαζί του καὶ

Γραφῶν καὶ δι' ἐλεημοσύνης καὶ διὰ τοῦ ἔχειν αὐτὸν ἔνδον. Τί τοίνυν Σαββάτου χρεία τῷ διαπαντὸς ἑορτάζοντι, τῷ πολιτευομένῳ ἐν οὐρανῷ;

Ἑορτάζωμεν τοίνυν διηνεκῶς καὶ μηδὲν πονηρὸν πράτ-
5 *τωμεν· τοῦτο γὰρ ἑορτή· ἀλλ' ἐπιτεινέσθω μὲν τὰ πνευματικὰ καὶ παραχωρείτω τὰ ἐπίγεια καὶ ἀργῶμεν ἀργίαν πνευματικήν, τὰς χεῖρας πλεονεξίας ἀφιστῶντες, τὸ σῶμα τῶν περιττῶν καὶ ἀνοήτων ἀπαλλάττοντες καμάτων καὶ ὧν ἐν Αἰγύπτῳ ὑπέμεινε τότε ὁ τῶν Ἑβραίων δῆμος. Οὐδὲν γὰρ*
10 *διαφέρομεν οἱ χρυσίον συνάγοντες τῶν τῷ πηλῷ προσδεδεμένων καὶ τὴν πλίνθον ἐκείνην ἐργαζομένων καὶ ἄχυρα συλλεγόντων καὶ μαστιζομένων. Καὶ γὰρ καὶ νῦν ὁ διάβολος ἐπιτάττει πλινθουργεῖν, καθάπερ τότε ὁ Φαραώ. Τί γάρ ἐστιν ἄλλο τὸ χρυσίον ἢ πηλός; τί δὲ ἄλλο τὸ ἀργύριον ἢ ἄ-*
15 *χυρον; Ὡς ἄχυρα γοῦν ἀνάπτει τῆς ἐπιθυμίας τὴν φλόγα, ὡς πηλὸς οὕτω ῥυποῖ τὸν ἔχοντα ὁ χρυσός. Διὰ τοῦτο ἔπεμψεν ἡμῖν οὐ Μωϋσέα ἐξ ἐρήμου, ἀλλὰ τὸν Υἱὸν ἐξ οὐρανοῦ. Ἂν τοίνυν μετὰ τὸ ἐλθεῖν αὐτὸν μείνῃς ἐν Αἰγύπτῳ, πείσῃ τὰ τῶν Αἰγυπτίων· ἂν δὲ ἀφεὶς ἐκείνην ἀναβῇς μετὰ τοῦ*
20 *πνευματικοῦ Ἰσραήλ, ὄψει τὰ θαύματα ἅπαντα.*

4. Πλὴν οὐδὲ τοῦτο ἀρκεῖ εἰς σωτηρίαν. Οὐδὲ γὰρ ἐξ Αἰγύπτου δεῖ μόνον ἀπαλλαγῆναι, ἀλλὰ καὶ εἰς τὴν ἐπαγγελίαν εἰσελθεῖν. Ἐπεὶ καὶ Ἰουδαῖοι, καθὼς ὁ Παῦλός φησι, καὶ διὰ τῆς Ἐρυθρᾶς διῆλθον καὶ μάννα ἔφαγον καὶ
25 *πόμα πνευματικὸν ἔπιον, ἀλλ' ὅμως πάντες ἀπώλοντο.*

---

21. Πρβλ. Α' Κορ. 10, 1-5.

μὲ τὴν προσευχὴν καὶ μὲ τὰς προσφορὰς καὶ μὲ τὰς Γραφὰς καὶ μὲ τὴν ἐλεημοσύνην καὶ μὲ τὸ ὅτι τὸν εἶχαν μέσα εἰς τὴν ψυχήν των. Τί χρειάζεται λοιπὸν τὸ Σάββατον εἰς ἐκεῖνον ποὺ εἰς ὅλην του τὴν ζωὴν ἔχει ἑορτὴν καὶ ζῇ ἐδῶ εἰς τὴν γῆν ὡσὰν νὰ εὑρίσκεται εἰς τὸν οὐρανόν;

Ἂς ἑορτάζωμεν λοιπὸν συνεχῶς καὶ ἂς μὴ πράττωμεν τίποτε τὸ πονηρόν· διότι αὐτὸ εἶναι πραγματικὴ ἑορτή. Καὶ ἀκόμη ἂς ἐντείνωμεν τὴν προσπάθειάν μας διὰ τὰ πνευματικὰ πράγματα καὶ ἂς παραμελῶμεν τὰ ἐπίγεια, ἂς τηρῶμεν πνευματικὴν ἀργίαν, ἂς ἀπομακρύνωμεν τὰς χεῖράς μας ἀπὸ τὴν πλεονεξίαν, ἂς ἀπαλλάσσωμεν τὰ σῶμά μας ἀπὸ τοὺς περιττοὺς καὶ ἀνωφελεῖς κόπους καὶ ἀπὸ ὅλα τὰ βάσανα ποὺ ὑπέφερε τότε εἰς τὴν Αἴγυπτον ὁ λαὸς τῶν Ἑβραίων. Διότι δὲν διαφέρομεν ὡς πρὸς τίποτε ὅσοι συγκεντρώνομεν χρυσὸν ἀπὸ ἐκείνους ποὺ ἦσαν προσκολλημένοι εἰς τὴν λάσπην καὶ ἐδούλευαν εἰς τὴν κατασκευὴν τῶν πλίνθων καὶ συνεκέντρωναν ἄχυρα καὶ ἐδέχοντο μαστιγώσεις. Καθόσον καὶ τώρα ὁ διάβολος μᾶς προστάσσει νὰ κατασκευάζωμεν πλίνθους, ὅπως ἀκριβῶς τότε ὁ Φαραὼ τοὺς Ἑβραίους. Διότι τί ἄλλο εἶναι ὁ χρυσὸς παρὰ λάσπη; τί ἄλλο ὁ ἄργυρος παρὰ ἄχυρον; Διότι ὁ χρυσὸς ὡσὰν τὰ ἄχυρα ἀνάπτει τὴν φλόγα τῆς ἐπιθυμίας καὶ ὅπως ἡ λάσπη, ἔτσι ρυπαίνει ἐκεῖνον ποὺ τὸν ἔχει. Διὰ τοῦτο δὲν μᾶς ἔστειλεν ὁ Θεὸς τὸν Μωϋσῆ ἀπὸ τὴν ἔρημον ἀλλὰ τὸν Υἱόν του ἀπὸ τὸν οὐρανόν. Ἂν λοιπὸν μετὰ τὸν ἐρχομὸν τοῦ Υἱοῦ παραμείνῃς εἰς τὴν Αἴγυπτον, θὰ πάθῃς ὅ,τι ἔπαθαν οἱ Αἰγύπτιοι, ἂν ὅμως ἐγκαταλείψῃς τὴν Αἴγυπτον καὶ ὑψωθῇς μαζὶ μὲ τὸν πνευματικὸν Ἰσραήλ, θὰ ἰδῇς ὅλα τὰ θαύματα.

4. Πλὴν ὅμως οὔτε αὐτὸ εἶναι ἀρκετὸν διὰ τὴν σωτηρίαν μας. Διότι δὲν πρέπει μόνον ν' ἀπομακρυνθῶμεν ἀπὸ τὴν Αἴγυπτον, ἀλλὰ νὰ εἰσέλθωμεν καὶ εἰς τὴν γῆν τῆς ἐπαγγελίας. Καθόσον καὶ οἱ Ἰουδαῖοι, ὅπως λέγει ὁ Παῦλος, καὶ διέβησαν τὴν Ἐρυθρὰν Θάλασσαν, καὶ τὸ μάννα ἔφαγαν καὶ τὸ πνευματικὸν νερὸ ἤπιαν, παρὰ ταῦτα ὅμως κατεδικάσθησαν ὅλοι[21].

Ἵν' οὖν μὴ καὶ ἡμεῖς τὰ αὐτὰ πάθωμεν, μὴ ὀκνῶμεν, μηδὲ ἀναδυώμεθα· ἀλλ' ὅταν ἀκούσῃς πονηρῶν καὶ νῦν κατασκόπων διαβαλλόντων τὴν στενὴν καὶ τεθλιμμένην ὁδὸν καὶ λεγόντων ἅπερ εἶπον τότε ἐκεῖνοι οἱ κατάσκοποι, μὴ τὸν δῆμον τὸν πολύν, ἀλλὰ τὸν Ἰησοῦν ζηλώσωμεν, τὸν Χάλεβ τὸν τοῦ Ἰεφονῆ παῖδα· καὶ μὴ πρότερον ἀποστῇς, ἕως ἂν ἐπιλάβῃ τῆς ἐπαγγελίας καὶ τῶν οὐρανῶν ἐπιβῇς. Μηδὲ δύσκολον τὴν ὁδοιπορίαν νομίσῃς εἶναι. «Εἰ γὰρ ἐχθροὶ ὄντες κατηλλάγημεν τῷ Θεῷ, πολλῷ μᾶλλον καταλλαγέντες σωθησόμεθα».

Ἀλλὰ στενὴ καὶ τεθλιμμένη, φησίν, ἡ ὁδὸς αὕτη. Ἀλλ' ἡ προτέρα, δι' ἧς διῆλθες, οὐ στενὴ καὶ τεθλιμμένη μόνον, ἀλλὰ καὶ ἄβατος καὶ θηρίων ἀγρίων γέμουσα. Καὶ ὥσπερ οὐκ ἦν διὰ τῆς Ἐρυθρᾶς διαβῆναι θαλάσσης, εἰ μὴ τὸ θαῦμα ἐκεῖνο ἐγένετο, οὕτως οὐκ ἦν ἐν τῷ προτέρῳ βίῳ μείναντας εἰς τὸν οὐρανὸν ἀνελθεῖν, εἰ μὴ τὸ βάπτισμα μέσον ἐφάνη. Εἰ δὲ τὸ ἀδύνατον γέγονε δυνατόν, πολλῷ μᾶλλον τὸ δύσκολον ἔσται ῥᾴδιον.

Ἀλλ' ἐκεῖνο, φησί, χάριτος μόνον ἦν. Διὰ γὰρ τοῦτο μάλιστα δίκαιος ἂν εἴης θαρρεῖν. Εἰ γὰρ ἔνθα χάρις ἦν μόνη, συνήργησεν, ἔνθα καὶ πόνους ἐπιδείκνυσθε, οὐ πολλῷ μᾶλλον συμπράξει; εἰ ἀργοῦντα ἔσωσεν, οὐ πολλῷ μᾶλλον ἐργαζομένῳ βοηθήσει; Ἀνωτέρω μὲν οὖν ἔλεγον, ὅτι ἀπὸ τῶν ἀδυνάτων καὶ τοῖς δυσκόλοις ὀφείλεις θαρρεῖν· νυνὶ δὲ ἐκεῖνο ἐρῶ, ὅτι ἐὰν νήφωμεν, οὐδὲ δύσκολα ταῦτα ἔσται. Ὅρα γάρ· θάνατος πεπάτηται, διάβολος κατέπεσεν, ὁ νόμος τῆς ἁμαρτίας ἐσβέσθη, τοῦ Πνεύματος ἡ χάρις ἐδόθη, ἡ ζωὴ εἰς ὀλίγον συνεστάλη, τὰ φρικτὰ ἐπιτέτμηται. Καὶ ἵνα μάθῃς

---

22. Προβλ. Ἀριθ. κεφ. 13 καὶ 14.
23. Προβλ. Ἀριθ. 14, 38.
24. Ρωμ. 5, 10.

Διὰ νὰ μὴ πάθωμεν λοιπὸν καὶ ἡμεῖς τὰ ἴδια, ἂς μὴ εἴμεθα ὀκνηροὶ καὶ ἂς μὴ ὑποχωροῦμεν ἀπὸ τὰς προσπαθείας μας. Ἀλλ' ὅταν ἀκούσῃς καὶ τώρα κατασκόπους πονηροὺς νὰ συκοφαντοῦν τὴν στενὴν καὶ δύσκολον ὁδὸν καὶ νὰ λέγουν ἐκεῖνα ποὺ εἶπαν τότε οἱ κατάσκοποι ἐκεῖνοι[22], ἂς μὴ μιμηθῶμεν τὸν λαόν, ἀλλὰ τὸν Ἰησοῦν τοῦ Ναυῆ καὶ τὸν Χάλεβ τὸν υἱὸν τοῦ Ἰεφονῆ[23]. Καὶ νὰ μὴ ἀποχωρήσῃς πρὶν ἐπιτύχῃς τὴν ἐπαγγελίαν καὶ ἀνεβῇς εἰς τοὺς οὐρανούς. Οὔτε νὰ θεωρήσῃς δύσκολον τὴν ἱστορίαν αὐτήν. «Διότι ἐάν, ἐχθροὶ ὄντες, συνεφιλιώθημεν μὲ τὸν Θεόν, πολὺ περισσότερον θὰ σωθῶμεν τώρα ποὺ συνεφιλιώθημεν»[24].

Μά, θὰ εἰπῇ κάποιος, ἡ ὁδὸς αὐτὴ εἶναι στενὴ καὶ γεμάτη θλίψεις. Ναί, ἀλλὰ καὶ ἡ ὁδὸς ποὺ ἐβάδιζες προηγουμένως δὲν ἦτο μόνον στενὴ καὶ γεμάτη θλίψεις, ἀλλὰ καὶ ἀδιάβατος καὶ γεμάτη ἀπὸ ἄγρια θηρία. Καὶ ὅπως δὲν ἦτο δυνατὸν νὰ διαβοῦν οἱ Ἑβραῖοι τὴν Ἐρυθρὰν Θάλασσαν, ἐὰν δὲν ἐγίνετο ἐκεῖνο τὸ θαῦμα, κατὰ τὸν ἴδιον τρόπον δὲν ἦτο δυνατὸν νὰ ἀνέλθωμεν εἰς τὸν οὐρανὸν ἐὰν ἐμέναμεν προσκολλημένοι εἰς τὴν προηγουμένην ζωήν μας, ἐὰν δὲν ἀπεκαλύπτετο τὸ βάπτισμα. Ἐὰν δὲ τὸ ἀδύνατον ἔγινε δυνατόν, πολὺ περισσότερον τὸ δύσκολον θὰ γίνῃ εὔκολον.

Ἀλλά, θὰ εἰπῇ κάποιος, τὸ βάπτισμα εἶναι ἀποτέλεσμα τῆς θείας χάριτος μόνον. Διὰ τοῦτο ἀκριβῶς βέβαια πρέπει νὰ λάβῃς θάρρος. Διότι ἐὰν ἐβοήθησεν ἐκεῖ ὅπου ὑπῆρχε μόνον ἡ χάρις του, δὲν θὰ βοηθήσῃ πολὺ περισσότερον σᾶς ποὺ καταβάλλετε προσπαθείας; Ἐὰν ἔσωσε τὸν ἀργόν, δὲν θὰ βοηθήσῃ πολὺ περισσότερον τὸν ἐργαζόμενον; Προηγουμένως ἔλεγα, ὅτι ἐὰν τὰ ἀδύνατα ἔγιναν δυνατά, ὀφείλεις νὰ ἀντιμετωπίζῃς μὲ θάρρος καὶ τὰς δυσκολίας. Τώρα ὅμως θὰ εἰπῶ καὶ τοῦτο, ὅτι δηλαδὴ ἐὰν ἐπαγρυπνῶμεν δὲν θὰ εἶναι οὔτε κἂν δύσκολα αὐτά. Διότι πρόσεξε. Ὁ θάνατος ἔχει νικηθῆ, ὁ διάβολος κατέπεσεν, ὁ νόμος τῆς ἁμαρτίας κατελύθη, ἡ χάρις τοῦ ἁγίου Πνεύματος ἐδόθη, ἡ ζωὴ περιωρίσθη πολύ, αἱ δυσκολίαι ἐλιγόστευσαν. Καὶ διὰ νὰ

ταῦτα καὶ διὰ τῶν ἔργων αὐτῶν, σκόπει πόσοι ὑπερηκόντισαν τὰ προστάγματα τοῦ Χριστοῦ· σὺ δὲ καὶ τὸ μέτρον αὐτὸ δέδοικας; Ποίαν οὖν ἕξεις ἀπολογίαν, ὅταν ἑτέρων ὑπὲρ τὰ σκάμματα πηδώντων, ὀκνῇς πρὸς τὰ νενομισμένα αὐτός;
5 *Σοὶ μὲν γὰρ παραινοῦμεν ἐλεημοσύνην διδόναι ἀπὸ τῶν ὄντων, ἕτερος δὲ καὶ τὰ ὄντα ἅπαντα ἀπεδύσατο· σὲ σωφρόνως ζῆν ἀξιοῦμεν μετὰ τῆς γυναικός, ἕτερος δὲ οὐδὲ ὡμίλησε γάμῳ· καὶ σὲ μὲν παρακαλοῦμεν μὴ βάσκανον εἶναι, ἕτερον δὲ ἔχομεν καὶ τὴν ψυχὴν ὑπὲρ ἀγάπης ἐπιδιδόντα τὴν ἑαυ-*
10 *τοῦ· καὶ σὲ μὲν παρακαλοῦμεν συγγνωμονικὸν εἶναι καὶ μὴ βαρὺν τοῖς ἁμαρτάνουσιν, ἄλλος δὲ ῥαπιζόμενος καὶ τὴν ἑτέραν ἔστρεψε σιαγόνα.*

Τί οὖν ἐροῦμεν, εἰπέ μοι; τί δὲ ἀπολογησόμεθα, μηδὲ ταῦτα ποιοῦντες, ἑτέρων τοσοῦτον ὑπερβαινόντων ἡμᾶς; οὐκ
15 *ἂν δὲ ὑπερέβησαν, εἰ μὴ πολλὴ τοῦ πράγματος ἦν ἡ εὐκολία. Τίς γὰρ τήκεται, ὁ φθονῶν τοῖς ἑτέρων ἀγαθοῖς ἢ ὁ συνηδόμενος καὶ χαίρων; τίς ὑποπτεύει πάντα καὶ τρέμει διηνεκῶς, ὁ σώφρων ἢ ὁ μοιχεύων; τίς ἐν ἐλπίσιν εὐφραίνεται χρησταῖς, ὁ ἁρπάζων ἢ ὁ ἐλεῶν καὶ τῶν ἑαυτοῦ μετα-*
20 *διδοὺς τῷ δεομένῳ;*

Ταῦτ' οὖν ἐννοοῦντες, μὴ ναρκῶμεν πρὸς τοὺς ὑπὲρ τῆς ἀρετῆς δρόμους, ἀλλὰ μετὰ προθυμίας ἁπάσης ἀποδυσάμενοι πρὸς τὰ καλὰ ταῦτα παλαίσματα, ὀλίγον κάμωμεν χρόνον, ἵνα τοὺς διηνεκεῖς καὶ ἀμαράντους λάβωμεν στε-
25 *φάνους· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

τὰ διαπιστώσῃς αὐτὰ καὶ εἰς τὴν πρᾶξιν, ἀναλογίσου πόσοι ἐξεπέρασαν τὰ προστάγματα τοῦ Χριστοῦ. Καὶ σὺ φοβεῖσαι καὶ αὐτὸ τὸ μέτρον τῶν ἐντολῶν του; Ποίαν δικαιολογίαν λοιπὸν θὰ ἔχῃς ὅταν οἱ ἄλλοι ὑπερπηδοῦν τὰ ἐσκαμμένα καὶ σὺ διστάζῃς νὰ ἐπιτελέσῃς τὰ καθιερωμένα διὰ νόμου; Διότι σένα μὲν σὲ προτρέπω νὰ δίδῃς ἐλεημοσύνην ἀπὸ τὰ ὑπάρχοντά σου, ἐνῷ ἄλλος προσέφερε ὁλόκληρον τὴν περιουσίαν του. Ἀπὸ σένα ἀξιῶ νὰ ζῇς μαζὶ μὲ τὴν σύζυγόν σου μὲ σωφροσύνην, ἐνῷ ἄλλος οὔτε κἂν συνῆψε γάμον. Καὶ σένα μὲν σὲ παρακαλῶ νὰ μὴ εἶσαι φθονερός, ἐνῷ ἔχομεν ἄλλον ποὺ προσέφερε καὶ τὴν ζωήν του ἀκόμη διὰ τὴν ἀγάπην του πρὸς τὸν συνάνθρωπόν του. Προσέτι σένα σὲ συμβουλεύω νὰ εἶσαι εὐσπλαγχνικὸς καὶ νὰ μὴ φέρεσαι σκληρὰ πρὸς τοὺς ἁμαρτάνοντας, ἐνῷ ἄλλος ὅταν ἐρραπίζετο ἔστρεψε καὶ τὴν ἄλλην σιαγόνα του.

Εἰπέ μου λοιπόν, τί θὰ εἰποῦμεν; πῶς θὰ δικαιολογηθῶμεν λοιπὸν ὅταν ἡμεῖς μὲν δὲν ἐφαρμόζωμεν οὔτε αὐτὰ ἐνῷ ἄλλοι Χριστιανοὶ μᾶς ξεπερνοῦν τόσον πολὺ εἰς τὸν ἀγῶνα τῆς ἀρετῆς; Καὶ ὁπωσδήποτε δὲν θὰ μᾶς ὑπερέβαιναν, ἐὰν δὲν ἦσαν τὰ πράγματα τόσον εὔκολα. Διότι ποῖος λειώνει, ἐκεῖνος ποὺ φθονεῖ τὰ ἀγαθὰ τῶν ἄλλων ἢ ἐκεῖνος ποὺ εὐχαριστεῖται καὶ χαίρεται δι' αὐτά; ποῖος εἶναι γεμᾶτος ὑποψίαν δι' ὅλα καὶ τρέμει συνεχῶς, ὁ σώφρων ἢ ὁ μοιχός; ποῖος εὐφραίνεται μὲ τὰς ἀγαθὰς ἐλπίδας, ὁ ἁρπάζων ἢ ἐκεῖνος ποὺ ἐλεεῖ καὶ δίδει ἀπὸ τὰ ὑπάρχοντά του εἰς αὐτὸν ποὺ ἔχει ἀνάγκην;

Ἔχοντες λοιπὸν αὐτὰ ὑπ' ὄψιν μας, ἂς μὴ ἀδιαφορῶμεν διὰ τοὺς ἀγῶνας ὑπὲρ τῆς ἀρετῆς, ἀλλ' ἂς ριφθῶμεν μὲ ὅλην τὴν προθυμίαν μας εἰς τοὺς καλοὺς αὐτοὺς ἀγῶνας καὶ ἂς κουρασθῶμεν δι' ὀλίγον χρόνον, ὥστε νὰ λάβωμεν τοὺς αἰωνίους καὶ ἀμαράντους ἐκείνους στεφάνους, τοὺς ὁποίους εὔχομαι ὅλοι μας ν' ἀποκτήσωμεν μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ Μ′

Ματθ. 12, 9 - 24

«Καὶ μεταβὰς ἐκεῖθεν, ἦλθεν εἰς τὴν συναγωγὴν αὐτῶν· καὶ ἰδοὺ ἄνθρωπος τὴν χεῖρα ἔχων ξηράν».

5 *1. Πάλιν ἐν Σαββάτῳ θεραπεύει, ὑπὲρ τῶν παρὰ τῶν μαθητῶν γεγενημένων ἀπολογούμενος. Καὶ οἱ μὲν ἄλλοι εὐαγγελισταί φασιν, ὅτι ἔστησε τὸν ἄνθρωπον μέσον καὶ ἠρώτησεν αὐτούς, εἰ ἔξεστι τοῖς Σάββασιν ἀγαθοποιῆσαι. Θέα τὴν εὐσπλαγχνίαν τοῦ Δεσπότου. Ἔστησεν αὐτὸν μέ-*
10 *σον, ἵνα τῇ ὄψει αὐτοὺς ἐπικάμψῃ· ἵνα κατακλασθέντες τῇ θέᾳ τὴν πονηρίαν ἐκβάλωσι καὶ τὸν ἄνθρωπον αἰδεσθέντες, παύσωνται τῆς θηριωδίας. Ἀλλ' οἱ ἀτίθασοι καὶ μισάνθρωποι μᾶλλον αἱροῦνται τοῦ Χριστοῦ βλάψαι τὴν δόξαν, ἢ τοῦτον ἰδεῖν σῳζόμενον, ἑκατέρωθεν ἐνδεικνύμενοι τὴν πονη-*
15 *ρίαν καὶ τῷ πολεμεῖν τῷ Χριστῷ καὶ τῷ μετὰ φιλονεικίας τοσαύτης, ὡς καὶ ταῖς ἑτέρων εὐεργεσίαις ἐπηρεάζειν.*

Οἱ μὲν οὖν ἄλλοι εὐαγγελισταί φασιν, ὅτι αὐτὸς ἠρώτησεν· οὗτος δέ, ὅτι ἠρωτήθη. «Καὶ ἐπηρώτησαν αὐτόν», φησί, «λέγοντες, εἰ ἔξεστι τοῖς Σάββασι θεραπεύειν, ἵνα κατηγο-
20 *ρήσωσιν αὐτοῦ». Εἰκὸς δὲ ἀμφότερα γεγενῆσθαι. Μιαροὶ γὰρ ὄντες καὶ εἰδότες ὅτι ἥξει πάντως ἐπὶ τὴν ἰατρείαν, τῇ πεύσει προκαταλαβεῖν αὐτὸν ἔσπευδον, προσδοκῶντες ταύτῃ κωλύειν. Διὸ καὶ ἠρώτων, «εἰ ἔξεστι τοῖς Σάββασι θεραπεῦσαι»· οὐχ ἵνα μάθωσιν, ἀλλ' «ἵνα κατηγορήσωσι». Καίτοι-*

---

1. Προβλ. Ματθ. 12, 1-2.
2. Τοὺς Γραμματεῖς καὶ Φαρισαίους.
3. Προβλ. Μάρκ. 3, 4. Λουκᾶ 6, 9.

ΟΜΙΛΙΑ Μ′

Ματθ. *12, 9 - 24*

«Καὶ ἀφοῦ ἔφυγεν ἀπὸ ἐκεῖ ἦλθεν εἰς τὴν συναγωγήν των. Καὶ τότε παρουσιάσθη ἐκεῖ κάποιος ἄνθρωπος ποὺ εἶχε ξηρὰν χεῖραν».

1. Πάλιν θεραπεύει κατὰ τὴν ἡμέραν τοῦ Σαββάτου μὲ σκοπὸν νὰ δικαιολογήσῃ τὴν πρᾶξιν τῶν μαθητῶν του[1]. Καὶ οἱ μὲν ἄλλοι εὐαγγελισταὶ λέγουν, ὅτι ἔβαλε τὸν ἄνθρωπον νὰ σταθῇ εἰς τὸ μέσον τῆς συναγωγῆς καὶ ἀκολούθως ἠρώτησεν αὐτοὺς[2] ἐὰν ἐπιτρέπεται νὰ κάνῃ κανεὶς καλὸν κατὰ τὰς ἡμέρας τοῦ Σαββάτου[3]. Πρόσεξε τὴν εὐσπλαγχνίαν τοῦ Κυρίου. Τὸν ἔβαλε νὰ σταθῇ εἰς τὸ μέσον αὐτῶν διὰ νὰ συγκινηθοῦν, διὰ νὰ καμφθοῦν ἀντικρύζοντές τον καὶ ν' ἀποβάλουν τὴν πονηρίαν των, διὰ νὰ σεβασθοῦν τὸν ἄνθρωπον καὶ νὰ σταματήσουν τὴν θηριωδίαν των. Ἀλλὰ οἱ σκληροὶ καὶ μισάνθρωποι προτιμοῦν μᾶλλον νὰ βλάψουν τὴν δόξαν τοῦ Χριστοῦ, παρὰ νὰ ἰδοῦν τὸν ἄνθρωπον νὰ θεραπεύεται, δεικνύοντες ἔτσι τὴν πονηρίαν των εἰς διπλοῦν· καὶ μὲ τὸν πόλεμόν των ἐναντίον τοῦ Χριστοῦ, καὶ μὲ τὸ ὅτι ὁ πόλεμός των ἦτο τόσον ἀπάνθρωπος, ὥστε νὰ ἐμποδίζῃ τὸν Κύριον νὰ εὐεργετήσῃ καὶ ἄλλους ἀνθρώπους.

Οἱ ἄλλοι εὐαγγελισταὶ λέγουν ὅτι ὁ Κύριος τοὺς ἠρώτησεν. Ὁ Ματθαῖος ὅμως λέγει, ὅτι αὐτοὶ ἠρώτησαν τὸν Ἰησοῦν. «Καὶ τὸν ἠρώτησαν», λέγει, λέγοντές του, «ἐὰν ἐπιτρέπεται ἀπὸ τὸν νόμον νὰ θεραπεύῃ κανεὶς κατὰ τὰ Σάββατα, μὲ σκοπὸν νὰ τὸν κατηγορήσουν». Φυσικὸν ἦτο νὰ συνέβησαν καὶ τὰ δύο. Διότι ἐπειδὴ ἦσαν μιαροὶ καὶ ἐγνώριζαν ὅτι ὁπωσδήποτε θὰ προβῇ εἰς τὴν θεραπείαν, ἔσπευσαν νὰ προκαταλάβουν τὸν Ἰησοῦν μὲ τὴν ἐρώτησίν των, ἐλπίζοντες ὅτι θὰ παρεμποδίσουν τὴν θεραπείαν. Διὰ τοῦτο καὶ τὸν ἠρώτησαν, «ἐὰν ἐπιτρέπεται νὰ θεραπεύῃ κανεὶς κατὰ τὰ Σάββατα», ὄχι διὰ νὰ μάθουν, ἀλλὰ «διὰ νὰ τὸν κατηγορήσουν». Καὶ μολονότι ἦτο ἀρκετὴ ἡ πρᾶξις ἐὰν ἤθελαν

γε ἤρκει τὸ ἔργον, εἴγε ἐβούλοντο κατηγορεῖν· ἀλλὰ καὶ διὰ ῥημάτων ἤθελον λαβὴν εὑρεῖν, ἀφθονίαν ἑαυτοῖς λημμάτων προπαρασκευάζοντες. Ὁ δὲ φιλάνθρωπος καὶ τοῦτο ποιεῖ καὶ ἀποκρίνεται, παιδεύων τὴν οἰκείαν ἡμερότητα, καὶ εἰς
5 *αὐτοὺς περιτρέπων τὸ πᾶν, καὶ δείκνυσιν αὐτῶν τὴν ἀπανθρωπίαν. Καὶ ἵστησι τὸν ἄνθρωπον μέσον· οὐχὶ δεδοικὼς αὐτούς, ἀλλ' ὠφελῆσαι σπεύδων καὶ εἰς ἔλεον ἐμβαλεῖν. Ὡς δὲ οὐδὲ οὕτως ἐπέκαμψε, τότε ἐλυπήθη, φησί, καὶ ὠργίσθη αὐτοῖς διὰ τὴν πώρωσιν τῆς καρδίας αὐτῶν, καί φησι»· «Τίς*
10 *ἐστιν ἐξ ὑμῶν ἄνθρωπος, ὃς ἕξει πρόβατον ἓν καὶ ἐὰν ἐμπέσῃ τοῦτο τοῖς Σάββασιν εἰς βόθυνον, οὐχὶ κρατήσει αὐτὸ καὶ ἐγερεῖ; Πόσῳ οὖν διαφέρει ἄνθρωπος προβάτου; Ὥστε ἔξεστι τοῖς Σάββασι καλῶς ποιεῖν». Ἵνα γὰρ μὴ ἔχωσιν ἀναισχυντεῖν, μηδὲ παράβασιν πάλιν ἐγκαλεῖν, συλλογίζε-*
15 *ται αὐτοὺς διὰ τοῦ παραδείγματος τούτου.*

Σὺ δέ μοι σκόπει, πῶς ποικίλως καὶ καταλλήλως πανταχοῦ τὰς ἀπολογίας ἐπάγει τὰς περὶ τῆς λύσεως τοῦ Σαββάτου. Ἐπὶ μὲν γὰρ τοῦ τυφλοῦ οὐδὲ ἀπολογεῖται αὐτοῖς, ὅτε τὸν πηλὸν ἐποίησε· καίτοι καὶ τότε ἐνεκάλουν, ἀλλ' ἤρκει
20 *τῆς δημιουργίας ὁ τρόπος δεῖξαι τοῦ νόμου τὸν Δεσπότην. Ἐπὶ δὲ τοῦ παραλύτου, ἡνίκα τὴν κλίνην ἐβάστασε καὶ ἐνεκάλουν, νῦν μὲν ὡς Θεός, νῦν δὲ ὡς ἄνθρωπος ἀπολογεῖται· ὡς ἄνθρωπος μέν, ὅταν λέγῃ, «Εἰ περιτομὴν λαμβάνει ἄνθρωπος ἐν Σαββάτῳ, ἵνα μὴ λυθῇ ὁ νόμος» (καὶ οὐκ*
25 *εἶπεν, ἵνα ὠφεληθῇ ἄνθρωπος), «ἐμοὶ χολᾶτε, ὅτι ὅλον ἄν-*

---

4. Προβλ. Ἰω. 9, 1 ἑ.
5. Ἰω. 9, 14.
6. Προβλ. Γεν. 3, 7.
7. Προβλ. Ἰω. 5, 1 ἑ.

νὰ τὸν κατηγορήσουν, παρὰ ταῦτα ἤθελαν νὰ ἔχουν ἀφορμὴν καὶ ἀπὸ τοὺς λόγους του, ὥστε νὰ ἔχουν ἄφθονα ἐπιχειρήματα ἐναντίον τοῦ Κυρίου. Ὁ δὲ φιλάνθρωπος Κύριος τὸ κάνει καὶ αὐτὸ καὶ τοὺς ἀπαντᾷ, διὰ νὰ τοὺς διδάξῃ τὴν ἰδικήν του εὐσπλαγχνίαν, καὶ ἀφήνει τὸ ὅλον θέμα εἰς τὴν διάθεσίν των καὶ ἀποδεικνύει κατ' αὐτὸν τὸν τρόπον τὴν ἀπανθρωπίαν των. Καὶ ἔστησε τὸν ἄνθρωπον εἰς τὸ μέσον. Ὄχι βέβαια ἀπὸ φόβον, ἀλλ' ἐπειδὴ ἤθελε νὰ τοὺς ὠφελήσῃ καὶ νὰ ἐμβάλῃ μέσα των αἰσθήματα φιλανθρωπίας. Ἐπειδὴ ὅμως δὲν ἐκάμφθη καὶ ἔτσι ἡ σκληρότης των, τότε ἐλυπήθη, λέγει, καὶ ὠργίσθη διὰ τὴν πώρωσιν τῆς καρδίας των καὶ τοὺς λέγει. «Ποῖος ἀπὸ σᾶς ποὺ ἐὰν ἔχῃ ἕνα πρόβατον καὶ πέσῃ κατὰ τὴν ἡμέραν τοῦ Σαββάτου ἐντὸς λάκκου δὲν θὰ τὸ πιάσῃ καὶ δὲν θὰ τὸ σηκώσῃ ἀπὸ ἐκεῖ; Πόσον λοιπὸν διαφέρει ὁ ἄνθρωπος ἀπὸ τὸ πρόβατον; Ὥστε ἐπιτρέπεται τὸ Σάββατον νὰ εὐεργετῇ κανείς». Διὰ νὰ μὴ ἠμποροῦν λοιπὸν νὰ ἀναισχυντοῦν, οὔτε νὰ τὸν κατηγοροῦν πάλιν διὰ παράβασιν τοῦ νόμου τοὺς παρουσιάζει μὲ τὸ παράδειγμα αὐτὸ αὐτὸν τὸν συλλογισμόν.

Σὺ ὅμως, σὲ παρακαλῶ, πρόσεξε πῶς πάντοτε μὲ διαφόρους καὶ καταλλήλους δικαιολογίας δικαιολογεῖ ὁ Κύριος τὴν κατάλυσιν τῆς ἀργίας τοῦ Σαββάτου. Διότι εἰς μὲν τὴν περίπτωσιν τῆς θεραπείας τοῦ τυφλοῦ[4] δὲν προβάλλει καμμίαν δικαιολογίαν, ὅταν ἔκαμε τὸν πηλὸν τὴν ἡμέραν τοῦ Σαββάτου[5], μολονότι καὶ τότε τὸν κατηγόρουν, ἀλλ' ἦτο ἀρκετὸς ὁ τρόπος τῆς δημιουργίας[6] ν' ἀποδείξῃ ὅτι αὐτὸς ἦτο Κύριος τοῦ νόμου. Εἰς τὴν περίπτωσιν πάλιν τῆς θεραπείας τοῦ παραλύτου[7] ὅταν ἐκεῖνος ἐσήκωσε τὸ κρεββάτι του καὶ τὸν κατηγόρουν, διότι ἦτο Σάββατον, ἀπολογεῖται ἀφ' ἑνὸς μὲν ὡς Θεὸς ἀφ' ἑτέρου δὲ ὡς ἄνθρωπος. Ὡς ἄνθρωπος μὲν ὅταν λέγῃ· «Ἐὰν εἶναι ἐπιβεβλημένον νὰ περιτέμνεται ὁ ἄνθρωπος κατὰ τὸ Σάββατον διὰ νὰ τηρηθῇ ὁ νόμος (καὶ δὲν εἶπε διὰ νὰ ὠφεληθῇ ὁ ἄνθρωπος), πῶς ὀργίζεσθε ἐναντίον μου ποὺ ἐθεράπευσα ὁλόκληρον ἄνθρω-

θρωπον ὑγιῆ ἐποίησα;»· ὡς δὲ Θεός, ὅταν λέγῃ· «Ὁ Πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι». Ὑπὲρ δὲ τῶν μαθητῶν ἐγκαλούμενος ἔλεγεν· «Οὐκ ἀνέγνωτε τί ἐποίησε Δαυΐδ, ὅτε ἐπείνασεν αὐτὸς καὶ οἱ μετ' αὐτοῦ; πῶς εἰσῆλθεν 5 εἰς τὸν οἶκον τοῦ Θεοῦ καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγε;». Καὶ τοὺς ἱερεῖς εἰς μέσον παράγει. Καὶ ἐνταῦθα πάλιν, ὅτι «Ἔξεστιν ἐν Σαββάτῳ ἀγαθοποιῆσαι ἢ κακοποιῆσαι;». «Τίς ἐξ ὑμῶν ἕξει πρόβατον ἕν;». Ἤδει γὰρ αὐτῶν τὸ φιλοχρήματον, ὅτι τοῦτο μᾶλλον ἦσαν ἢ φιλάνθρω-10 ποι. Καίτοι ὁ ἄλλος εὐαγγελιστής φησιν, ὅτι καὶ περιεβλέψατο ταῦτα ἐρωτῶν, ὥστε καὶ τῷ ὄμματι αὐτοὺς ἐπισπάσασθαι· ἀλλ' οὐδὲ οὕτως ἐγένοντο βελτίους. Καίτοι ἐνταῦθα φθέγγεται μόνον, ἀλλαχοῦ δὲ πολλαχοῦ καὶ χεῖρας ἐπιτιθεὶς θεραπεύει. Ἀλλ' ὅμως οὐδὲν αὐτοὺς τούτων ἐποίει πράους· 15 ἀλλ' ὁ μὲν ἄνθρωπος ἐθεραπεύετο, ἐκεῖνοι δὲ διὰ τῆς ὑγείας τῆς τούτου χείρους ἐγένοντο. Αὐτὸς μὲν γὰρ ἐβούλετο πρὸ ἐκείνου θεραπεῦσαι ἐκείνους καὶ μυρίους ἐκίνησε τρόπους ἰατρείας, καὶ δι' ὧν ἔμπροσθεν ἐποίησε καὶ δι' ὧν εἶπεν· ἐπειδὴ δὲ ἀνίατα λοιπὸν ἐνόσουν, ἐπὶ τὸ ἔργον ἐ-20 χώρησε.

«Τότε λέγει τῷ ἀνθρώπῳ· ἔκτεινον τὴν χεῖρά σου. Καὶ ἐξέτεινε καὶ ἀπεκατεστάθη ὑγιής, ὡς ἡ ἄλλη». Τί οὖν ἐκεῖνοι; Ἐξέρχονται, φησί, καὶ συμβουλεύονται, ἵνα ἀνέλωσιν αὐτόν. «Οἱ γὰρ Φαρισαῖοι», φησίν, «ἐξελθόντες συμβούλιον 25 ἔλαβον κατ' αὐτοῦ, ὅπως αὐτὸν ἀπολέσωσιν». Οὐδὲν ἀδικηθέντες ἀνελεῖν ἐπεχείρουν.

---

8. Ἰω. 7, 23.
9. Ἰω. 5, 17.
10. Ματθ. 12, 3.
11. Πρβλ. Ματθ. 12, 5.
12. Μάρκ. 3, 4.
13. Πρβλ. Λουκᾶ 6, 10. Μάρκ. 3, 5.

πον;»[8]. Ὡς Θεὸς δὲ ὅταν λέγῃ· «Ὁ Πατήρ μου ἐργάζεται μέχρι τώρα συνεχῶς, ἐπίσης καὶ ἐγὼ ἐργάζομαι»[9]. Ὅταν δὲ κατηγορεῖτο διὰ τοὺς μαθητάς του ἔλεγε τὰ ἑξῆς· «Δὲν ἀνεγνώσατε τί ἔκανεν ὁ Δαυΐδ, ὅταν ἐπείνασεν αὐτὸς καὶ ἐκεῖνοι ποὺ ἦσαν μαζί του; Πῶς δηλαδὴ εἰσῆλθεν εἰς τὸν ναὸν τοῦ Θεοῦ καὶ ἔφαγε τοὺς ἄρτους ποὺ ἦσαν τοποθετημένοι ἐπάνω εἰς τὴν πρόθεσιν;»[10]. Καὶ μάλιστα ἀνέφερε καὶ τὸ παράδειγμα τῶν ἱερέων ποὺ καταλύουν τὸ Σάββατον ἐντὸς τοῦ ναοῦ[11]. Καὶ εἰς τὴν περίπτωσιν αὐτὴν πάλιν τοὺς ἐρωτᾷ· «Ἐπιτρέπεται κατὰ τὴν ἡμέραν τοῦ Σαββάτου νὰ εὐεργετῇ κανεὶς ἢ νὰ κάνῃ τὸ κακόν;»[12]. Καί· «Ποῖος ἀπὸ σᾶς ἂν ἔχῃ ἕνα πρόβατον;». Διότι ἐγνώριζε πολὺ καλὰ τὴν φιλαργυρίαν των καὶ ὅτι ἦσαν περισσότερον φιλοχρήματοι παρὰ φιλάνθρωποι. Μολονότι βέβαια ὁ ἄλλος εὐαγγελιστὴς λέγει ὅτι ἔρριψε τὸ βλέμμα του εἰς ὅλους ποὺ ἦσαν γύρω του ὅταν τοὺς ἠρώτησεν, ὥστε καὶ μὲ τὸ βλέμμα του νὰ τοὺς συγκινήσῃ. Ἀλλὰ καὶ οὔτε ἔτσι ἔγιναν καλύτεροι. Καὶ βέβαια ἐδῶ μόνον ὁμιλεῖ ὁ Κύριος, ἐνῷ εἰς ἄλλας περιπτώσεις πολλάκις θεραπεύει θέτων τὸ χέρι του εἰς τοὺς ἀσθενεῖς. Παρὰ ταῦτα ὅμως τίποτε ἀπὸ αὐτὰ δὲν ἐλύγιζε τὴν σκληρότητά των, ἀλλ᾽ ἐνῷ ὁ ἀσθενὴς ἄνθρωπος ἐθεραπεύετο ἐκεῖνοι μὲ τὴν ὑγείαν αὐτοῦ ἐγίνοντο χειρότεροι. Ὁ Ἰησοῦς βέβαια ἤθελε πρὶν ἀπὸ τὸν ἀσθενῆ νὰ θεραπεύσῃ ἐκείνους καὶ διὰ τοῦτο μετεχειρίσθη ἀπείρους τρόπους θεραπείας καὶ μὲ ὅσα ἔκανε προηγουμένως καὶ μὲ ὅσα εἶπεν. Ἐπειδὴ ὅμως ἡ ἀσθένειά των ἦτο ἀθεράπευτος διὰ τοῦτο ἐπροχώρησε καὶ εἰς τὴν πρᾶξιν.

«Τότε λέγει εἰς τὸν ἄνθρωπον· Ἅπλωσε τὸ χέρι σου. Καὶ ἐκεῖνος τὸ ἥπλωσε καὶ ἔγινε καλὰ ὅπως καὶ τὸ ἄλλο»[13]. Τί κάνουν λοιπὸν ἐκεῖνοι; Ἐξέρχονται, λέγει, καὶ συσκέπτονται μὲ σκοπὸν νὰ τὸν φονεύσουν. Διότι λέγει· «Ἀφοῦ ἔφυγαν ἀπὸ τὴν συναγωγὴν οἱ Φαρισαῖοι συνεσκέφθησαν ἐναντίον του μὲ ποῖον τρόπον νὰ τὸν θανατώσουν». Χωρὶς νὰ ἠδικήθησαν εἰς τίποτε ἐπιχειροῦν νὰ τὸν φονεύσουν.

2. Τοσοῦτον ἡ βασκανία κακόν. Οὐδὲ γὰρ τοῖς ἀλλοτρίοις μόνον, ἀλλὰ καὶ τοῖς οἰκείοις ἀεὶ πολεμεῖ. Ὁ δὲ Μᾶρκος φησίν, ὅτι μετὰ τῶν Ἡρωδιανῶν τοῦτο ἐβουλεύσαντο. Τί οὖν ὁ ἥμερος καὶ πρᾶος; Ἀνεχώρησε ταῦτα μαθών.
5 *«Ὁ δὲ Ἰησοῦς γνοὺς τὰς ἐνθυμήσεις αὐτῶν, ἀνεχώρησε», φησίν, «ἐκεῖθεν». Ποῦ τοίνυν εἰσὶν οἱ λέγοντες, ὅτι σημεῖα γίνεσθαι ἔδει; Διὰ γὰρ τούτων ἔδειξεν, ὅτι ἡ ἀγνώμων ψυχὴ οὐδὲ ἐντεῦθεν πείθεται, καὶ ἐδήλωσεν ὅτι καὶ τοῖς μαθηταῖς εἰκῇ ἐνεκάλουν. Ἐκεῖνο μέντοι παρατηρεῖν χρή,*
10 *ὅτι μάλιστα πρὸς τὰς τῶν πλησίον ἀγριαίνουσιν εὐεργεσίας· καὶ ὅταν ἴδωσί τινα ἢ νοσήματος ἢ κακίας ἀπαλλαττόμενον, τότε καὶ ἐγκαλοῦσι καὶ ἐκθηριοῦνται. Καὶ γὰρ ὅτε τὴν πόρνην σῴζειν ἔμελλε, διέβαλλον αὐτόν· καὶ ὅτε μετὰ τελωνῶν ἔφαγε· καὶ νῦν πάλιν, ἐπειδὴ τὴν χεῖρα ἀποκατασταθεῖσαν*
15 *εἶδον.*

Σὺ δέ μοι σκόπει πῶς οὐδὲ τῆς πρὸς τοὺς ἀρρώστους κηδεμονίας ἀφίσταται καὶ τὸν ἐκείνων παραμυθεῖται φθόνον. «Καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοὶ καὶ ἐθεράπευσεν αὐτοὺς πάντας· καὶ ἐπετίμησε τοῖς θεραπευθεῖσιν, ἵνα μη-
20 *δενὶ φανερὸν αὐτὸν ποιήσωσιν». Οἱ μὲν γὰρ ὄχλοι πανταχοῦ καὶ θαυμάζουσι καὶ ἀκολουθοῦσιν, ἐκεῖνοι δὲ τῆς πονηρίας οὐκ ἀφίστανται.*

Εἶτα ἵνα μὴ θορυβηθῇς ἐπὶ τοῖς γινομένοις καὶ τῷ παραδόξῳ τῆς ἐκείνων μανίας, εἰσάγει καὶ τὸν προφήτην
25 *ταῦτα προαναφωνοῦντα. Τοσαύτη γὰρ ἦν τῶν προφητῶν ἡ ἀκρίβεια, ὡς μηδὲ ταῦτα παραλιπεῖν, ἀλλὰ καὶ τὰς ὁδοὺς αὐτοῦ καὶ τὰς μεταβάσεις προφητεύειν, καὶ τὴν γνώμην μεθ'*

---

14. Προβλ. Μάρκ. 3, 6.

2. Τόσον μεγάλο κακὸν εἶναι ὁ φθόνος. Διότι δὲν καταπολεμεῖ μόνον τοὺς ξένους, ἀλλὰ καὶ αὐτοὺς τοὺς ἰδίους ἀκόμη τοὺς φθονερούς. Ὁ δὲ εὐαγγελιστὴς Μᾶρκος λέγει ὅτι συνεσκέφθησαν μαζὶ μὲ τοὺς Ἡρωδιανούς[14].

Τί ἔκανε λοιπὸν ὁ γαλήνιος καὶ πρᾶος Ἰησοῦς; Ὅταν ἔμαθεν αὐτὰ ἔφυγεν. «Ὁ δὲ Ἰησοῦς, λέγει, ἀντιληφθεὶς τὰ σχέδιά των ἀνεχώρησεν ἀπὸ ἐκεῖ». Ποῦ εἶναι λοιπὸν ἐκεῖνοι ποὺ ὑποστηρίζουν ὅτι ἔπρεπε νὰ γίνωνται θαύματα; Διότι μὲ ὅσα συνέβησαν ἐδῶ ἀπέδειξεν ὁ Ἰησοῦς ὅτι ἡ ἀχάριστος ψυχὴ δὲν πιστεύει οὔτε μὲ τὰ θαύματα καὶ κατέστησε φανερὸν ὅτι ἀδίκως κατηγόρουν τοὺς μαθητάς του. Ἐκεῖνο λοιπὸν πρέπει νὰ προσέχωμεν, ὅτι δηλαδὴ οἱ ἀχάριστοι ἐξαγριώνονται περισσότερον διὰ τὰς εὐεργεσίας του πρὸς τοὺς συνανθρώπους των. Καὶ ὅταν ἰδοῦν κάποιον νὰ θεραπεύεται ἀπὸ κάποιαν σωματικὴν ἢ ψυχικὴν ἀσθένειαν τότε καὶ κατηγορίας διατυπώνουν καὶ γίνονται θηρία ἀνήμερα. Καθόσον καὶ ὅταν ἠθέλησε νὰ σώσῃ τὴν πόρνην τὸν ἐσυκοφάντησαν, καὶ τὸ ἴδιο ἔκαναν ὅταν ἔφαγε μαζὶ μὲ τοὺς τελώνας. Καὶ τώρα πάλιν τὸ ἴδιο κάνουν, ἐπειδὴ εἶδαν ὅτι ἐθεραπεύθη τὸ χέρι τοῦ ἀσθενοῦς ἀνθρώπου.

Σὺ ὅμως, σὲ παρακαλῶ, πρόσεξε, ὅτι ὁ Κύριος δὲν παύει νὰ φροντίζῃ διὰ τοὺς ἀσθενεῖς καὶ παράλληλα καταπραΰνει καὶ τὸν φθόνον τῶν Φαρισαίων. «Καὶ τὸν ἠκολούθησαν πολλὰ πλήθη λαοῦ καὶ τοὺς ἐθεράπευσεν ὅλους. Καὶ παρήγγειλε μὲ αὐστηρότητα εἰς αὐτοὺς νὰ μὴ φανερώσουν ὅτι ἐθεραπεύθησαν ἀπ' αὐτόν». Οἱ πολλοὶ λοιπὸν ἄνθρωποι εἰς κάθε περίπτωσιν θαυμάζουν καὶ ἀκολουθοῦν τὸν Κύριον, ἐκεῖνοι ὅμως δὲν ἐγκαταλείπουν τὴν πονηρίαν των.

Ἐν συνεχείᾳ, διὰ νὰ μὴ κατακυριευθῇς ἀπὸ φόβον διὰ τὰ ὅσα συνέβησαν καὶ διὰ τὴν παράδοξον μανίαν τῶν Φαρισαίων, παρουσιάζει καὶ τὸν προφήτην, ὁ ὁποῖος προεῖπεν ὅλα αὐτά. Διότι τόσον μεγάλη ἦτο ἡ ἀκρίβεια τῶν προφητῶν, ὥστε οὔτε καὶ αὐτὰ νὰ μὴ παραλείψουν, ἀλλ' ἐπροφήτευσαν καὶ τὰς ὁδοὺς ποὺ θὰ ἐβάδιζε καὶ τὰς μετακινήσεις

ἧς ταῦτα ἐποίει· ἵνα μάθῃς, ὅτι πάντα Πνεύματι ἐφθέγγοντο. Εἰ γὰρ τὰ ἀνθρώπων ἀπόρρητα ἀμήχανον εἰδέναι, πολλῷ μᾶλλον τοῦ Χριστοῦ τὸν σκοπὸν ἀδύνατον ἦν μαθεῖν, μὴ τοῦ Πνεύματος ἀποκαλύψαντος.

5 *Τί οὖν ὁ προφήτης φησίν; Ἐπήγαγε γοῦν· «Ὅπως πληρωθῇ τὸ ῥηθὲν ὑπὸ Ἠσαΐου τοῦ προφήτου λέγοντος· ἰδοὺ ὁ παῖς μου, ὃν ᾑρέτισα, ὁ ἀγαπητός μου, εἰς ὃν εὐδόκησεν ἡ ψυχή μου. Θήσω τὸ Πνεῦμά μου ἐπ' αὐτόν, καὶ κρίσιν τοῖς ἔθνεσιν ἀναγγελεῖ. Οὐκ ἐρίσει, οὐδὲ κραυγάσει, οὐδὲ ἀκού-* 10 *σει τις ἐν ταῖς πλατείαις τὴν φωνὴν αὐτοῦ· κάλαμον συντετριμμένον οὐ κατεάξει καὶ λίνον τυφόμενον οὐ σβέσει, ἕως ἂν ἐκβάλῃ εἰς νῖκος τὴν κρίσιν αὐτοῦ· καὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσι». Τὴν πραότητα αὐτοῦ καὶ τὴν δύναμιν τὴν ἄφατον ἀνυμνεῖ καὶ θύραν τοῖς ἔθνεσιν ἀνοίγνυσι μεγάλην* 15 *καὶ ἐνεργῆ καὶ τὰ καταληψόμενα τοὺς Ἰουδαίους προλέγει κακὰ καὶ δείκνυσιν αὐτοῦ τὴν ὁμόνοιαν τὴν πρὸς τὸν Πατέρα. «Ἰδοὺ» γάρ, φησίν, «ὁ παῖς μου, ὃν ᾑρέτισα, ὁ ἀγαπητός μου, εἰς ὃν εὐδόκησεν ἡ ψυχή μου» Εἰ δὲ ᾑρέτισεν, οὐχ ὡς ἐναντιούμενος λύει τὸν νόμον, οὐδὲ ὡς ἐχθρὸς ὢν τοῦ* 20 *νομοθέτου, ἀλλ' ὡς ὁμογνώμων καὶ τὰ αὐτὰ πράττων. Εἶτα τὴν πραότητα αὐτοῦ ἀνακηρύττων, φησίν· «Οὐκ ἐρίσει, οὐδὲ κραυγάσει». Αὐτὸς μὲν γὰρ ἐβούλετο θεραπεύειν ἐπ' αὐτῶν· ἐπειδὴ δὲ ἀπεκρούοντο, οὐδὲ πρὸς τοῦτο ἀντέτεινε. Καὶ δεικνὺς καὶ τὴν αὐτοῦ ἰσχὺν καὶ τὴν ἐκείνων ἀσθένειαν,*

---

15. Πρβλ. Ἠσ. 42, 1-4. 41, 9.

του καὶ τὴν σκέψιν μὲ τὴν ὁποίαν ἔπραττεν αὐτά, διὰ νὰ πληροφορηθῇς ὅτι ὅλα ἐλέγοντο μὲ τὴν δύναμιν τοῦ ἁγίου Πνεύματος. Διότι ἐὰν εἶναι ἀδύνατον νὰ γνωρίσῃ κανεὶς τὰς ἀποκρύφους σκέψεις τῶν ἀνθρώπων ἦτο πολὺ περισσότερον ἀδύνατον νὰ μάθουν τὸν σκοπὸν τοῦ Ἰησοῦ οἱ προφῆται, ἐὰν δὲν τοὺς τὸν ἀπεκάλυπτε τὸ Πνεῦμα.

Τί λέγει λοιπὸν ὁ προφήτης; Προσέθεσε λοιπὸν ὁ Κύριος· «Διὰ νὰ ἐπαληθεύσῃ ἐκεῖνο ποὺ ἐλέχθη διὰ τοῦ προφήτου Ἠσαΐου[15], ὁ ὁποῖος εἶπεν· Ἰδοὺ ὁ υἱός μου ὁ ἀγαπητός, τὸν ὁποῖον ἐξέλεξα καὶ εἰς τὸν ὁποῖον εὐηρεστήθη ἡ ψυχή μου. Θὰ βάλω τὸ Πνεῦμά μου ἐπάνω του καὶ θὰ ἀναγγείλῃ δικαιοσύνην εἰς τὰ ἔθνη. Δὲν θὰ φιλονεικήσῃ, οὔτε θὰ κραυγάσῃ, οὔτε θ' ἀκούσῃ κανεὶς τὴν φωνήν του εἰς τὰς πλατείας. Ψυχὰς ποὺ ὁμοιάζουν μὲ ραγισμένην κάλαμον δὲν θὰ τὰς συντρίψῃ, καὶ λίχνον ποὺ πλησιάζει νὰ σβήσῃ δὲν θὰ τὸν σβήσῃ, μέχρις ὅτου νὰ νικήσῃ ἡ δικαιοσύνη τοῦ Θεοῦ. Καὶ εἰς τὸ ὄνομά του θὰ στηρίξουν οἱ ἐθνικοὶ τὰς ἐλπίδας των». Ἐδῶ ὁ προφήτης ὑμνεῖ τὴν πρᾳότητα καὶ τὴν ἀπερίγραπτον δύναμιν τοῦ Κυρίου καὶ ἀνοίγει μεγάλην καὶ ἰσχυρὰν θύραν πρὸς τοὺς ἐθνικοὺς καὶ ἀκόμη προλέγει τὰ κακὰ ποὺ θὰ εὕρουν τοὺς Ἰουδαίους, συγχρόνως δὲ ἀποδεικνύει τὴν ὁμόνοιάν του πρὸς τὸν Πατέρα του. Διότι λέγει· «Ἰδοὺ ὁ Υἱός μου ὁ ἀγαπητός, τὸν ὁποῖον ἐξέλεξα καὶ εἰς τὸν ὁποῖον εὐηρεστήθη ἡ ψυχή μου». Ἐὰν λοιπὸν τὸν ἐξέλεξε τότε δὲν καταλύει τὸν νόμον μὲ διάθεσιν ἐχθρικὴν πρὸς τὸν Πατέρα του, οὔτε ἐνεργεῖ ὡσὰν ἐχθρὸς τοῦ Νομοθέτου, ἀλλ' ἐνεργεῖ ἔχων τὴν ἰδίαν γνώμην μὲ αὐτὸν καὶ πράττει τὰ ἴδια μὲ τὸν Πατέρα του. Ἔπειτα διὰ νὰ διακηρύξῃ τὴν πρᾳότητα αὐτοῦ λέγει· «Δὲν θὰ φιλονεικήσῃ, οὔτε θὰ κραυγάσῃ δυνατά». Ὁ μὲν Κύριος ἤθελε νὰ θεραπεύῃ αὐτούς, ἐπειδὴ ὅμως αὐτοὶ ἀντέδρουν, δὲν ἀντέδρα εἰς αὐτὴν τὴν ἀντίδρασίν των. Καὶ διὰ νὰ καταστήσῃ γνωστὴν τὴν δύναμιν τοῦ Κυρίου καὶ τὴν ἀδυναμίαν ἐκείνων λέγει· «Ψυχὰς ποὺ ὁμοιάζουν μὲ ραγισμένην κάλαμον δὲν

φησί· «Κάλαμον συντετριμμένον οὐ κατεάξει». Καὶ γὰρ ἦν ῥᾴδιον ἅπαντας αὐτοὺς ὥσπερ κάλαμον διακλάσαι· καὶ οὐδὲ ἁπλῶς κάλαμον, ἀλλ' ἤδη συντριβέντα. «Καὶ λίνον τυφόμενον οὐ σβέσει». Ἐνταῦθα καὶ τὸν ἐκείνων θυμὸν τὸν ἀνα- 5 *πτόμενον παρίστησι καὶ τὴν τούτου ἰσχὺν ἱκανὴν οὖσαν καταλῦσαι τὸν θυμὸν αὐτῶν καὶ κατασβέσαι μετ' εὐκολίας ἁπάσης· ὅθεν ἡ πολλὴ ἐπιείκεια δείκνυται.*

Τί οὖν; ἀεὶ ταῦτα ἔσται; καὶ οἴσει διὰ τέλους τοιαῦτα ἐπιβουλεύοντας καὶ μαινομένους; Ἄπαγε· ἀλλ' ὅταν τὰ αὐ- 10 *τοῦ ἐπιδείξηται, τότε καὶ ἐκεῖνα ἐργάσεται. Τοῦτο γὰρ ἐδήλωσεν εἰπών· «Ἕως ἂν ἐκβάλῃ εἰς νῖκος τὴν κρίσιν· καὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσι»· καθάπερ καὶ ὁ Παῦλός φησιν· «Ἕτοιμοι ὄντες ἐκδικῆσαι πᾶσαν παρακοήν, ὅταν πληρωθῇ ὑμῶν ἡ ὑπακοή».*

15 *Τί δέ ἐστιν, «ὅταν ἐκβάλῃ εἰς νῖκος τὴν κρίσιν»; Ὅταν τὰ παρ' ἑαυτοῦ πάντα πληρώσῃ, φησί, τότε καὶ τὴν ἐκδίκησιν ἐπάξει καὶ ἐκδίκησιν τελείαν. Τότε τὰ δεινὰ πείσονται, ὅταν λαμπρὸν στῇ τὸ τρόπαιον καὶ νικήσῃ τὰ παρ' αὐτοῦ δικαιώματα καὶ μηδὲ ἀναίσχυντον αὐτοῖς καταλίπῃ* 20 *ἀντιλογίας πρόφασιν. Οἶδε γὰρ κρίσιν τὴν δικαιοσύνην λέγειν. Ἀλλ' οὐκ ἐν τούτῳ στήσεται τὰ τῆς οἰκονομίας, ἐν τῷ κολασθῆναι τοὺς ἀπιστήσαντας μόνον· ἀλλὰ καὶ τὴν οἰκουμένην ἐπισπάσεται. Διὸ καὶ ἐπήγαγε· «Καὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν». Εἶτα ἵνα μάθῃς, ὅτι καὶ τοῦτο κατὰ γνώ-* 25 *μην ἐστὶ τοῦ Πατρός, ἐν τῷ προοιμίῳ ὁ προφήτης καὶ τοῦτο*

---

16. Β' Κορ. 10, 6.

θὰ συντρίψῃ». Καθόσον ἦτο εὔκολον εἰς τὸν Ἰησοῦν νὰ τοὺς συντρίψῃ ὅλους αὐτοὺς ὡσὰν νὰ ἦσαν κάλαμος. Καὶ μάλιστα ὄχι ἁπλῶς κάλαμος, ἀλλὰ κάλαμος ποὺ εἶναι ραγισμένη. «Καὶ λίχνον ποὺ πλησιάζει νὰ σβήσῃ δὲν θὰ τὸν ἀφήσῃ νὰ σβήσῃ». Μὲ ὅσα λέγει ἐδῶ παρουσιάζει καὶ τὸν θυμὸν ἐκείνων ποὺ ἤναπτεν, ἀλλὰ καὶ τὴν δύναμιν τοῦ Ἰησοῦ ποὺ ἦτο ἱκανὴ νὰ διαλύσῃ τὸν θυμόν των καὶ νὰ τὸν σβήσῃ μὲ κάθε εὐκολίαν. Ἑπομένως ἀποδεικνύεται ἡ μεγάλη ἐπιείκεια τοῦ Κυρίου.

Τί λοιπόν; θὰ εἰπῇ κάποιος. Συνεχῶς θὰ συμβαίνουν αὐτά; Καὶ θὰ ἀνέχεται μέχρι τέλους νὰ σχεδιάζουν τόσας ἐπιβουλὰς εἰς βάρος του καὶ νὰ μαίνωνται ἐναντίον του; Μακρυὰ αὐτοῦ τοῦ εἴδους αἱ σκέψεις. Διότι ὅταν καταστήσῃ γνωστὰ ὅλα τὰ σχέδιά του, τότε θὰ πράξῃ καὶ ἐκεῖνα. Καὶ αὐτὸ βέβαια τὸ ἐδήλωσεν ὅταν εἶπεν· «Ἕως ὅτου νὰ νικήσῃ ἡ δικαιοσύνη τοῦ Θεοῦ καὶ στηρίξουν εἰς τὸ ὄνομά του τὰ ἔθνη τὰς ἐλπίδας των». Ὅπως ἀκριβῶς λέγει καὶ ὁ Παῦλος· «Καὶ εἴμεθα ἕτοιμοι νὰ τιμωρήσωμεν κάθε παρακοήν, ὅταν ὁλοκληρωθῇ ἡ ὑπακοή σας»[16].

Τί σημαίνει ὅμως ἡ φράσις, «μέχρις ὅτου νὰ νικήσῃ ἡ δικαιοσύνη τοῦ Θεοῦ»; Ὅταν, λέγει, θὰ ὁλοκληρώσῃ ὅ,τι ἐξαρτᾶται ἀπὸ αὐτόν, τότε θὰ ἐπιφέρῃ καὶ τὴν τιμωρίαν, καὶ μάλιστα τιμωρίαν τελείαν. Τότε θὰ ὑποστοῦν τὰ δεινά, ὅταν στήσῃ τὸ λαμπρὸν τρόπαιον τῆς νίκης καὶ ἐπικρατήσουν αἱ ἀρχαὶ ποὺ ἐκήρυξε, καὶ δὲν θὰ ἔχουν πλέον καμμίαν ἀναίσχυντον πρόφασιν ἀντιλογίας. Διότι βέβαια ὀνομάζει τὴν δικαιοσύνην κρίσιν, ἀλλὰ τὸ ἔργον τῆς θείας οἰκονομίας δὲν θὰ ἀρκεσθῇ εἰς αὐτό, εἰς τὸ νὰ τιμωρηθοῦν δηλαδὴ ὅσοι δὲν ἐπίστευσαν μόνον, ἀλλὰ καὶ ὁλόκληρον τὴν οἰκουμένην θὰ προσελκύσῃ κοντά του. Διὰ τοῦτο καὶ προσέθεσε· «Καὶ εἰς τὸ ὄνομά του θὰ στηρίξουν τὰ ἔθνη τὰς ἐλπίδας των διὰ τὴν σωτηρίαν των». Ἔπειτα διὰ ν' ἀντιληφθῇς ὅτι καὶ αὐτὸ γίνεται σύμφωνα μὲ τὴν γνώμην τοῦ Πατρός του, εἰς τὸ προοίμιον καὶ αὐτὸ ὁ προφήτης τὸ ἡγ-

μετὰ τῶν ἔμπροσθεν ἐνεγγυήσατο, εἰπών· «Ὁ ἀγαπητός μου, εἰς ὃν εὐδόκησεν ἡ ψυχή μου». Ὁ γὰρ ἀγαπητὸς εὔδηλον ὅτι κατὰ γνώμην τοῦ φιλουμένου καὶ ταῦτα ἐποίει.

«Τότε προσήνεγκαν αὐτῷ δαιμονιζόμενον, τυφλὸν καὶ 5 *κωφόν, καὶ ἐθεράπευσεν αὐτόν, ὥστε τὸν τυφλὸν καὶ κωφὸν καὶ λαλεῖν καὶ βλέπειν».*

3. Ὢ πονηρία δαίμονος. Ἑκατέραν εἴσοδον ἐνέφραξε, δι' ἧς ἔμελλε πιστεύειν ἐκεῖνος, καὶ ὄψιν καὶ ἀκοήν· ἀλλ' ὅμως ἑκατέρας ὁ Χριστὸς ἀνέῳξε. «Καὶ ἐξίσταντο οἱ 10 *ὄχλοι λέγοντες· μήτι οὗτός ἐστιν ὁ υἱὸς Δαυΐδ; Οἱ δὲ Φαρισαῖοι εἶπον· οὗτος οὐκ ἐκβάλλει τὰ δαιμόνια, εἰ μὴ ἐν τῷ Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμόνων. Καίτοι τί μέγα ἐφθέγξαντο; Ἀλλ' ὅμως οὐδὲ τοῦτο ἤνεγκαν· οὕτως, ὅπερ ἔφθην εἰπών, ἀεὶ ταῖς τῶν πλησίον δάκνονται εὐεργεσίαις καὶ οὐδὲν* 15 *αὐτοὺς οὕτω λυπεῖ ὡς ἡ τῶν ἀνθρώπων σωτηρία. Καίτοι καὶ ἀνεχώρησε καὶ λωφῆσαι ἔδωκε τῷ πάθει· ἀλλὰ πάλιν ἀνήπτετο τὸ κακόν, ἐπειδὴ πάλιν εὐεργεσία ἐγένετο· καὶ μᾶλλον τοῦ δαίμονος ἠγανάκτουν. Ἐκεῖνος μὲν γὰρ καὶ ἐξίστατο τοῦ σώματος καὶ ἀνεχώρει καὶ ἐδραπέτευε, μηδὲν* 20 *φθεγγόμενος· οὗτοι δὲ νῦν μὲν ἀνελεῖν ἐπεχείρουν, νῦν δὲ διαβάλλειν. Ἐπειδὴ γὰρ ἐκεῖνο οὐ προεχώρει, τὴν δόξαν ἤθελον βλάψαι.*

Τοιοῦτον ἡ βασκανία, ἧς οὐκ ἂν γένοιτο κακία χείρων. Ὁ μὲν γὰρ μοιχὸς κἂν ἡδονήν καρποῦταί τινα καὶ ἐν βρα- 25 *χεῖ χρόνῳ τὴν ἁμαρτίαν ἀπαρτίζει τὴν ἑαυτοῦ· ὁ δὲ βάσκα-*

γυήθη μαζὶ μὲ τὰ προηγούμενα λέγων· «Ὁ ἀγαπητός μου, εἰς τὸν ὁποῖον ἔδειξα ὅλην τὴν εὔνοιαν τῆς ψυχῆς μου». Διότι εἶναι ὁλοφάνερον ὅτι ὁ ἀγαπητός του υἱὸς ἐνήργει καὶ αὐτὰ σύμφωνα μὲ τὴν γνώμην ἐκείνου ποὺ τὸν ἀγαπᾷ.

Τότε τοῦ ἔφεραν ἕνα δαιμονιζόμενον, ποὺ ἦτο τυφλὸς καὶ κουφός, καὶ τὸν ἐθεράπευσεν, ὥστε ὁ τυφλὸς καὶ κουφὸς καὶ νὰ ὁμιλῇ καὶ νὰ βλέπῃ».

3. Ὢ πονηρία τοῦ δαίμονος. Ἔφραζε καὶ τὰς δύο εἰσόδους μὲ τὰς ὁποίας ἐπρόκειτο ἐκεῖνος νὰ πιστεύσῃ, καὶ τὰ μάτια δηλαδὴ καὶ τὰ αὐτιά. Ὁ Χριστὸς ὅμως τὰς ἤνοιξε καὶ τὰς δύο. «Καὶ ἐθαύμαζαν ὅλα τὰ πλήθη τοῦ λαοῦ καὶ ἔλεγαν· Μήπως εἶναι αὐτὸς ὁ ἀναμενόμενος υἱὸς τοῦ Δαυΐδ; Οἱ δὲ Φαρισαῖοι, ὅταν ἐπληροφορήθησαν αὐτὰ εἶπαν· Αὐτὸς βγάζει τὰ δαιμόνια ὄχι μὲ τίποτε ἄλλο, παρὰ μὲ τὴν βοήθειαν καὶ τὴν δύναμιν τοῦ Βεελζεβούλ, τοῦ ἄρχοντος τῶν δαιμονίων». Μολονότι βέβαια οἱ ἄνθρωποι δὲν εἶπαν κάτι τὸ πολὺ μεγάλο, παρὰ ταῦτα οἱ Φαρισαῖοι δὲν τὸ ἠνέχθησαν καὶ αὐτό. Διότι, ὅπως προανέφερα, συνεχῶς ἠνοχλοῦντο πάρα πολὺ ἀπὸ τὰς εὐεργεσίας ποὺ ἐγίνοντο πρὸς τοὺς συνανθρώπους των καὶ τίποτε δὲν τοὺς ἠνόχλει τόσον, ὅσον ἡ σωτηρία τῶν ἀνθρώπων. Καὶ μολονότι ἔφυγεν ὁ Κύριος μακρυά των καὶ τοὺς ἔδωσε τὴν εὐκαιρίαν νὰ καθησυχάσῃ τὸ πάθος των, παρὰ ταῦτα πάλιν τὸ κακὸν ἤναπτε, ἐπειδὴ πάλιν εὐεργέτησε, καὶ ἀγανακτοῦν περισσότερον ἀπὸ τὸν ἴδιον τὸν δαίμονα. Διότι ἐκεῖνος καὶ ἐξῆλθεν ἀπὸ τὸ σῶμα τοῦ ἀνθρώπου καὶ ἔφυγε καὶ ἐδραπέτευσε, χωρὶς νὰ εἰπῇ τίποτε, αὐτοὶ ὅμως ἀφ' ἑνὸς μὲν ἐπιχειροῦν νὰ τὸν φονεύσουν, ἀφ' ἑτέρου νὰ τὸν συκοφαντήσουν. Καὶ ἐπειδὴ δὲν συνέβαινε τὸ πρῶτον, ἤθελαν νὰ μειώσουν τὴν φήμην του.

Τόσον μεγάλο κακὸν εἶναι ὁ φθόνος, τοῦ ὁποίου δὲν ἠμπορεῖ νὰ ὑπάρξῃ μεγαλυτέρα κακία. Διότι ὁ μὲν μοιχὸς ἀπολαμβάνει κάποιαν ἡδονὴν καὶ εἰς μικρὸν διάστημα χρόνου ὁλοκληρώνει τὴν ἁμαρτίαν του, ὁ φθονερὸς ὅμως κο-

νος πρὸ τοῦ φθονουμένου ἑαυτὸν κολάζει καὶ τιμωρεῖται καὶ οὐδέποτε παύεται τῆς ἁμαρτίας, ἀλλ' ἐν τῷ πράττειν αὐτήν ἐστι διηνεκῶς. Καθάπερ γὰρ χοῖρος βορβόρῳ καὶ δαίμονες βλάβῃ τῇ ἡμετέρᾳ, οὕτω καὶ οὗτος τοῖς τοῦ πλησίον χαίρει 5 κακοῖς· κἂν γένηταί τι ἀηδές, τότε ἀναπαύεται καὶ ἀναπνεῖ, τὰς ἀλλοτρίας συμφορὰς οἰκείας εὐθυμίας ἡγούμενος καὶ οἰκεῖα κακὰ τὰ τῶν ἄλλων ἀγαθά· καὶ οὐ σκοπεῖ τί ἂν αὐτῷ γένοιτο ἡδύ, ἀλλὰ τί τῷ πλησίον λυπηρόν. Τούτους οὖν οὐ καταλεύειν καὶ ἀποτυμπανίζειν ἄξιον, ὡς κύνας λυττῶν-10 τας, ὡς δαίμονας ἀλάστορας, ὡς αὐτὰς τὰς ἐριννῦς; Καθάπερ γὰρ οἱ κάνθαροι τρέφονται τῇ κόπρῳ, οὕτω καὶ οὗτοι ταῖς ἑτέρων δυσημερίαις, κοινοί τινες ἐχθροὶ καὶ πολέμιοι τῆς φύσεως ὄντες. Καὶ οἱ μὲν ἄλλοι ἄλογον σφαττόμενον ἐλεοῦσι· σὺ δὲ ἄνθρωπον ὁρῶν εὐεργετούμενον, ἐκθηριοῦσαι 15 καὶ τρέμεις καὶ ὠχριᾷς; Καὶ τί ταύτης τῆς μανίας χεῖρον γένοιτ' ἄν; Διά τοι τοῦτο πόρνοι μὲν καὶ τελῶναι εἰς βασιλείαν ἠδυνήθησαν εἰσελθεῖν, οἱ δὲ βάσκανοι ἔνδον ὄντες, ἐξῆλθον. «Οἱ γὰρ υἱοὶ τῆς βασιλείας», φησίν, «ἔξω βληθήσονται». Κἀκεῖνοι μὲν τῆς ἐν χερσὶν ἀπαλλαγέντες πονηρί-20 ας, ὧν οὐδέποτε προσεδόκησαν ἐπέτυχον, οὗτοι δὲ καὶ ἃ εἶχον ἀγαθὰ ἀπώλεσαν· καὶ μάλα εἰκότως. Τοῦτο γὰρ διάβολον ἐξ ἀνθρώπου ποιεῖ· τοῦτο δαίμονα ἄγριον ἀπεργάζεται. Οὕτως ὁ πρῶτος φόνος ἐγένετο· οὕτως ἡ φύσις ἠγνοήθη· οὕτως ἡ γῆ ἐμολύνθη· οὕτω μετὰ ταῦτα τὸ στόμα ἀνοί-

---

17. Ἐρινύες· ἦσαν μυθολογικαὶ θεότητες ποὺ κατεδίωκαν τοὺς φονεῖς.
18. Ματθ. 8, 12.

λάζει καὶ τιμωρεῖ τὸν ἑαυτόν του πρὶν ἀπὸ τὸν φθονούμενον καὶ οὐδέποτε σταματᾷ τὴν ἁμαρτίαν του, ἀλλὰ ἐξακολουθεῖ πάντοτε νὰ πράττῃ αὐτήν. Διότι, ὅπως ἀκριβῶς ὁ χοῖρος εὐχαριστεῖται μέσα εἰς τὸν βόρβορον καὶ οἱ δαίμονες μὲ τὴν ἰδικήν μας βλάβην, ἔτσι καὶ ὁ φθονερὸς χαίρεται διὰ τὰ κακὰ ποὺ παθαίνει ὁ πλησίον του. Καὶ ὅταν συμβῇ κάτι δυσάρεστον, τότε εὐχαριστεῖται καὶ ἀνακουφίζεται, ἐπειδὴ θεωρεῖ τὰς συμφορὰς τῶν ἄλλων ὡσὰν ἰδικά του εὐχάριστα πράγματα καὶ ὡσὰν ἰδικά του κακὰ τὰ ἀγαθὰ τῶν ἄλλων· καὶ δὲν ἐξετάζει τί καλὸν θὰ ἠμποροῦσε νὰ συμβῇ εἰς τὸν ἑαυτόν του, ἀλλὰ τί κακὸν θὰ συμβῇ εἰς τὸ πλησίον του. Δὲν πρέπει λοιπὸν αὐτοὺς νὰ τοὺς λιθοβολῇ κανεὶς καὶ νὰ τοὺς θανατώνῃ μὲ τοὺς πιὸ σκληροὺς τρόπους, ὡσὰν σκύλους λυσσασμένους καὶ δαίμονας καταστρεπτικοὺς καὶ ὡσὰν αὐτὰς τὰς Ἐρινύας[17]; Διότι ὅπως ἀκριβῶς οἱ κάνθαροι τρέφονται μὲ τὴν κοπριάν, ἔτσι καὶ αὐτοὶ εὐχαριστοῦνται μὲ τὰς δυστυχίας τῶν ἄλλων, ὡσὰν νὰ εἶναι κοινοὶ ἐχθροὶ καὶ πολέμιοι τῆς φύσεως. Καὶ οἱ μὲν ἄλλοι ἄνθρωποι αἰσθάνονται λύπην καὶ ὅταν σφάζεται ἕνα ἄλογον ζῶον, σὺ ὅμως ὅταν βλέπῃς κάποιον ἄνθρωπον νὰ εὐεργετῆται γίνεσαι θηρίον ἀνήμερον καὶ τρέμεις καὶ χλομιάζεις; Καὶ τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ χειρότερον ἀπὸ αὐτὴν τὴν μανίαν; Καὶ ἀκριβῶς λοιπὸν διὰ τοῦτο οἱ μὲν πόρνοι καὶ οἱ τελῶναι κατώρθωσαν νὰ εἰσέλθουν εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, ἐνῷ οἱ φθονεροὶ ἂν καὶ εὑρίσκοντο μέσα ἐξεδιώχθησαν. Διότι, λέγει, «οἱ κληρονόμοι τῆς βασιλείας θὰ ριφθοῦν ἔξω ἀπὸ αὐτήν»[18]. Καὶ ἐκεῖνοι μὲν ἀπαλλαχθέντες τῆς πονηρίας, ἡ ὁποία τοὺς διακατεῖχεν, ἀπέκτησαν ἐκεῖνα ποὺ δὲν ἤλπισαν ποτέ, ἐνῷ αὐτοὶ ἔχασαν καὶ τὰ ἀγαθὰ ποὺ εἶχαν. Καὶ ἦτο αὐτὸ πολὺ φυσικόν. Διότι τὸ πάθος αὐτὸ τοῦ φθόνου εἶναι ποὺ κάνει τὸν ἄνθρωπον διάβολον. Αὐτὸ κάνει τὸν ἄνθρωπον ἄγριον δαίμονα. Ἐξ αἰτίας αὐτοῦ συνέβη καὶ ὁ πρῶτος φόνος. Ἐξ αἰτίας αὐτοῦ περιεφρονήθησαν οἱ νόμοι τῆς φύσεως. Ἐξ αἰτίας αὐτοῦ ἐμολύνθη ἡ γῆ. Ἐξ αἰτίας αὐτοῦ ἀργότερα ἤνοιξεν ἡ γῆ τὸ στόμα της καὶ κατέπιε καὶ

ξασα ζῶντας ὑπεδέξατο καὶ ἀπώλεσε τοὺς περὶ Δαθὰν καὶ Κορὲ καὶ Ἀβειρὼν καὶ τὸν δῆμον ἐκεῖνον ἅπαντα.

Ἀλλὰ τὸ μὲν κατηγορεῖν βασκανίας εἴποι τις ἂν ῥάδιον εἶναι, δεῖ δὲ σκοπεῖν καὶ ὅπως ἀπαλλαγήσονται τοῦ νοσήματος. Πῶς οὖν ἀπαλλαγησόμεθα τῆς πονηρίας ταύτης; Ἂν ἐννοήσωμεν, ὅτι ὥσπερ τῷ πεπορνευκότι οὐ θέμις εἰσελθεῖν εἰς τὴν ἐκκλησίαν, οὕτως οὐδὲ τῷ βασκαίνοντι· καὶ πολλῷ μᾶλλον τούτῳ ἢ ἐκείνῳ. Νῦν μὲν γὰρ καὶ ἀδιάφορον εἶναι δοκεῖ· διὸ καὶ ἠμέληται· ἂν δὲ φανερὸν γένηται πονηρὸν ὄν, ἀποστησόμεθα ῥᾳδίως. Κλαῦσον τοίνυν καὶ στέναξον· θρήνησον καὶ παρακάλεσον τὸν Θεόν. Μάθε ὡς περὶ ἁμαρτήματος χαλεποῦ διακεῖσθαι καὶ μετανοεῖν. Κἂν οὕτω διατεθῇς, ταχέως ἀπαλλαγήσῃ τοῦ νοσήματος.

Καὶ τίς ἀγνοεῖ, φησίν, ὅτι πονηρὸν ἡ βασκανία; Ἀγνοεῖ μὲν οὐδείς· οὐ μὴν τὴν αὐτὴν περὶ πορνείας καὶ μοιχείας ἔχουσι δόξαν, καὶ περὶ τοῦ πάθους τούτου. Πότε γοῦν ἑαυτοῦ τις κατέγνω πικρῶς βασκήνας; πότε Θεὸν ἠξίωσεν ὑπὲρ τούτου τοῦ νοσήματος, ὥστε γενέσθαι αὐτῷ ἵλεων; Οὐδεὶς οὐδέποτε· ἀλλ' εἰ νηστεύσει καὶ πένητι δῷ μικρὸν ἀργύριον, κἂν μυριάκις βάσκανος ᾖ, οὐδὲν ἡγεῖται πεποιηκέναι δεινόν, τῷ πάντων μιαρωτέρῳ κατεχόμενος πάθει.

Πόθεν γοῦν ὁ Κάιν τοιοῦτος ἐγένετο; πόθεν ὁ Ἡσαῦ; πόθεν οἱ τοῦ Λάβαν παῖδες; πόθεν οἱ τοῦ Ἰακὼβ υἱοί; πόθεν οἱ περὶ Κορὲ καὶ Δαθὰν καὶ Ἀβειρών; πόθεν Μαρία; πόθεν Ἀαρών; πόθεν αὐτὸς ὁ διάβολος;

4. Μετὰ τούτων κἀκεῖνο ἐννόει, ὅτι οὐ τὸν φθονούμενον

---

19. Δαθάν· ἐκ τῆς φυγῆς τοῦ Ρουβήμ, υἱοῦ τοῦ Ἐλιάβ, ἔλαβε μέρος εἰς τὴν στάσιν τοῦ λευίτου Κορὲ ἐναντίον τοῦ Μωϋσέως (Ἀριθ. 16 καὶ 26 κεφ.).

20. Κορέ· υἱὸς τοῦ Ἰσσάαρ, ἐξάδελφος τοῦ Μωϋσέως, λευΐτης, ἐστασίασεν ἐναντίον τοῦ Μωϋσέως καὶ τοῦ Ἀαρὼν μὲ σκοπὸν νὰ καταλάβῃ τὴν ἀρχιερωσύνην ἀπὸ τὸν Ἀαρών· διὸ καὶ τὸν κατέπιεν ἡ γῆ μαζὶ μὲ αὐτοὺς ποὺ τὸν ἐβοήθησαν (Ἀριθ. κεφ. 16-17).

21. Ἀβειρὼν ἀδελφὸς τοῦ Δαθάν, ἔλαβε μέρος μετ' αὐτοῦ εἰς τὴν ἐναντίον τοῦ Μωϋσέως στάσιν καὶ εἶχε τὸ ἴδιο τέλος (Ἀριθ. 16 κεφ.).

ἐξηφάνισε ζῶντας τὸν Δαθάν[19], τὸν Κορέ[20], τὸν Ἀβειρὼν[21] καὶ ὅλους ἐκείνους ποὺ τοὺς ἐβοήθησαν.

Ἀλλὰ θὰ ἠμποροῦσε κάποιος νὰ εἰπῇ, ὅτι εἶναι εὔκολον μὲν πρᾶγμα νὰ κατηγορῇ κανεὶς τὸν φθόνον, ὅμως πρέπει νὰ ἐξετάσωμεν καὶ τὸ πῶς θ' ἀπαλλαγῶμεν ἀπ' αὐτὸ τὸ πάθος. Πῶς λοιπὸν θ' ἀπαλλαγῶμεν ἀπ' αὐτὴν τὴν πονηρίαν; Ἂν ἀναλογισθῶμεν, ὅτι ὅπως ἀκριβῶς δὲν ἐπιτρέπεται νὰ εἰσέλθῃ εἰς τὴν ἐκκλησίαν αὐτὸς ποὺ ἔχει πορνεύσει, ἔτσι δὲν ἐπιτρέπεται νὰ εἰσέλθῃ εἰς αὐτὴν καὶ ὁ φθονερός. Καὶ μάλιστα πολὺ περισσότερον αὐτὸς παρὰ ἐκεῖνος. Σήμερα βέβαια ὁ φθόνος θεωρεῖται κάτι χωρὶς σημασίαν, διὰ τοῦτο καὶ παραμελεῖται. Ἂν ὅμως γίνῃ κατανοητὸν ὅτι εἶναι κακόν, τότε θ' ἀπαλλαγῶμεν εὐκόλως ἀπ' αὐτόν. Κλαῦσε λοιπὸν καὶ στέναξε. Θρήνησε καὶ παρακάλεσε τὸν Θεόν. Μάθε ὅτι εὑρίσκεσαι εἰς φοβερὸν ἁμάρτημα καὶ μετανοεῖς. Ἐὰν ἔτσι σκεφθῇς γρήγορα θ' ἀπαλλαγῇς ἀπὸ τὴν ἀσθένειαν αὐτήν.

Καὶ ποῖος ἀγνοεῖ, θὰ εἰπῇ κάποιος, ὅτι ὁ φθόνος εἶναι κακόν; Κανεὶς βέβαια δὲν τὸ ἀγνοεῖ, ἀλλὰ δὲν ἔχουν τὴν ἰδίαν γνώμην, ποὺ ἔχουν διὰ τὴν πορνείαν καὶ τὴν μοιχείαν, καὶ διὰ τὸ πάθος αὐτό. Διότι πότε συνέβη νὰ κατηγορήσῃ κάποιος αὐστηρὰ τὸν ἑαυτόν του, ἐπειδὴ ἐφθόνησε κάποιον; Πότε παρεκάλεσε τὸν Θεὸν δι' αὐτὸ τὸ πάθος του, ὥστε νὰ τὸν εὐσπλαγχνισθῇ; Κανεὶς ποτὲ δὲν τὸ ἔκανεν αὐτό. Ἀλλ' ἐὰν νηστεύσῃ καὶ δώσῃ μικρὰν βοήθειαν εἰς τὸν πτωχόν, καὶ ἂν ἀκόμη εἶναι εἰς μεγάλον βαθμὸν φθονερὸς νομίζει ὅτι δὲν ἔχει κάνει κανένα κακόν· μολονότι κατέχεται ἀπὸ τὸ πλέον μιαρὸν πάθος.

Πῶς λοιπὸν ἔγινεν ὁ Κάϊν τέτοιος; πῶς ὁ Ἠσαῦ; πῶς τὰ παιδιὰ τοῦ Λάβαν[22]; πῶς οἱ υἱοὶ τοῦ Ἰακώβ; πῶς ὁ Κορέ, ὁ Δαθὰν καὶ ὁ Ἀβειρὼν καὶ οἱ περὶ αὐτούς; πῶς ἡ Μαρία[23]; πῶς ὁ Ἀαρών; πῶς αὐτὸς ὁ ἴδιος ὁ διάβολος;

4. Μαζὶ μὲ αὐτὰ ἀναλογίσου καὶ ἐκεῖνα, ὅτι δηλαδὴ

---

22. Πρβλ. Γεν. 31, 1 ἑ.
23. Ἡ ἀδελφὴ τοῦ Μωϋσέως.

ἀδικεῖς, ἀλλὰ κατὰ σαυτοῦ τὸ ξίφος ὠθεῖς. Τί γὰρ τὸν Ἄβελ ἠδίκησεν ὁ Κάιν; Οὐκ ἐκεῖνον μὲν ταχύτερον καὶ ἄκων εἰς βασιλείαν παρέπεμψεν, ἑαυτὸν δὲ μυρίοις περιέπειρε κακοῖς; Τί τὸν Ἰακὼβ ἔβλαψεν ὁ Ἠσαῦ; οὐχὶ ὁ μὲν
5 *ἐπλούτει καὶ μυρίων ἀπέλαυεν ἀγαθῶν, αὐτὸς δὲ καὶ τῆς πατρῴας οἰκίας ἐξέπιπτε καὶ ἐν ἀλλοτρίᾳ ἐπλανᾶτο μετὰ τὴν ἐπιβουλὴν ἐκείνην; Τί δὲ οἱ παῖδες τούτου τὸν Ἰωσὴφ ἐποίησαν χεῖρω καὶ ταῦτα μέχρις αἵματος ἐλθόντες; οὐχὶ οὗτοι μὲν καὶ λιμὸν ὑπέμειναν καὶ περὶ τῶν ἐσχάτων ἐκιν-*
10 *δύνευσαν, ἐκεῖνος δὲ βασιλεὺς γέγονε τῆς Αἰγύπτου ἁπάσης; Ὅσῳ γὰρ ἂν φθονῇς, τοσούτῳ γίνῃ μειζόνων πρόξενος ἀγαθῶν τῷ φθονουμένῳ. Θεὸς γάρ ἐστιν ὁ ταῦτα ἐφορῶν· καὶ ὅταν ἴδῃ τὸν οὐδὲν ἀδικοῦντα ἀδικούμενον, αὐτὸν μὲν ἐπαίρει μᾶλλον καὶ ποιεῖ λαμπρὸν ταύτῃ, σὲ δὲ κολά-*
15 *ζει. Εἰ γὰρ τοὺς ἐφηδομένους τοῖς ἐχθροῖς οὐκ ἀφίησιν ἀτιμωρητὶ παρελθεῖν, («Μὴ ἐπίχαιρε», γάρ, φησίν, «ἐπὶ πτώματι ἐχθρῶν σου, μή ποτε ἴδῃ ὁ Θεὸς καὶ οὐ μὴ ἀρέσῃ αὐτῷ»), πολλῷ μᾶλλον τοὺς βασκαίνοντας τοῖς οὐδὲν ἠδικηκόσιν.*

20 *Ἐκκόψωμεν τοίνυν τὸ πολυκέφαλον θηρίον. Καὶ γὰρ πολλὰ τὰ εἴδη τῆς βασκανίας. Εἰ γὰρ ὁ τὸν φιλοῦντα ἀγαπῶν οὐδὲν πλέον ἔχει τοῦ τελώνου, ὁ τὸν οὐδὲν ἀδικοῦντα μισῶν ποῦ στήσεται; πῶς δὲ ἐκφεύξεται τὴν γέενναν, τῶν ἐθνικῶν χείρων γινόμενος; Διὸ καὶ σφόδρα ὀδυνῶμαι, ὅτι*

---

24. Παρμ. 24, 17-18.

δὲν βλάπτεις ἐκεῖνον ποὺ φθονεῖς, ἀλλὰ σπρώχνεις τὸ ξίφος ἐναντίον τοῦ ἑαυτοῦ σου. Διότι ὡς πρὸς τί ἔβλαψεν ὁ Κάϊν τὸν Ἄβελ; Δὲν ἔστειλεν αὐτὸν μὲν συντομώτερα καὶ χωρὶς τὴν θέλησίν του εἰς τὴν βασιλείαν τῶν οὐρανῶν, τὸν δὲ ἑαυτόν του τὸν περιέβαλε μὲ ἀμέτρητα κακά; Ὡς πρὸς τί ἔβλαψε τὸν Ἰακὼβ ὁ Ἠσαῦ; Μήπως ὁ μὲν Ἰακὼβ δὲν ἀπέκτα πλούτη καὶ δὲν ἀπελάμβανεν ἄπειρα ἀγαθά, ἐνῷ αὐτὸς δὲν ἐξεδιώχθη μετὰ τὴν ἐπιβουλήν του ἐκείνην ἀπὸ τὴν πατρικήν του οἰκίαν καὶ δὲν περιεπλανᾶτο εἰς ξένην χώραν; Ἀλλὰ καὶ τὰ παιδιὰ τοῦ Ἰακὼβ τί χειρότερον θὰ ἠμποροῦσαν νὰ κάνουν εἰς τὸν Ἰωσὴφ ποὺ παρ' ὀλίγον μάλιστα θὰ τὸν ἐφόνευαν; Μήπως αὐτοὶ δὲν ὑπέμειναν καὶ πεῖναν καὶ δὲν ἐκινδύνευσαν εἰς μέγιστον βαθμόν, ἐνῷ ἐκεῖνος ἔγινε βασιλεὺς ὁλοκλήρου τῆς Αἰγύπτου; Ὅσον δηλαδὴ περισσότερον φθονεῖς κάποιον, τόσον περισσοτέρων ἀγαθῶν πρόξενος γίνεσαι δι' αὐτόν. Διότι ὁ Θεὸς εἶναι ἐκεῖνος ποὺ παρακολουθεῖ αὐτὰ τὰ πράγματα. Καὶ ὅταν ἰδῇ ν' ἀδικῆται ἐκεῖνος ποὺ δὲν ἔχει διαπράξει καμμίαν ἀδικίαν, αὐτὸν μὲν τὸν ἐξυψώνει καὶ τὸν καθιστᾷ ἔνδοξον ἐξ αἰτίας αὐτοῦ, ἐνῷ σένα τὸν ἴδιον σὲ τιμωρεῖ. Διότι ἐὰν δὲν ἀφήνῃ ἀτιμωρήτους ἐκείνους ποὺ χαίρονται διὰ τὰ παθήματα τῶν ἐχθρῶν των (Διότι, λέγει, «νὰ μὴ χαίρεσαι διὰ τὴν ἀποτυχίαν τοῦ ἐχθροῦ σου, μήπως σὲ ἰδῇ κάποτε ὁ Θεὸς καὶ δὲν τοῦ ἀρέσῃ αὐτό»[21]), πολὺ περισσότερον δὲν θὰ ἀφήσῃ ὅσους φθονοῦν ἐκείνους ποὺ δὲν ἔχουν διαπράξει καμμίαν ἀδικίαν.

Ἂς ἐξολοθρεύσωμεν λοιπὸν τὸ πολυκέφαλον θηρίον· καθόσον ὑπάρχουν πολλὰ εἴδη φθόνου. Διότι ἐὰν αὐτὸς ποὺ ἀγαπᾷ ἐκεῖνον ποὺ τὸν ἀγαπᾷ δὲν ὑπερέχει ὡς πρὸς τίποτε τοῦ τελώνου, ποῦ θὰ σταθῇ αὐτὸς ποὺ μισεῖ ἐκεῖνον ποὺ δὲν τὸν ἀδικεῖ ὡς πρὸς τίποτε; Πῶς θὰ ἀποφύγῃ τὴν γέενναν αὐτὸς ποὺ γίνεται χειρότερος ἀπὸ τοὺς εἰδωλολάτρας; Διὰ τοῦτο καὶ ἡ λύπη μου εἶναι πάρα πολὺ μεγάλη, ἐπειδὴ ἡμεῖς ποὺ προτρεπόμεθα νὰ μιμούμεθα τοὺς ἀγγέλους ἢ καλύτερα τὸν Κύριον τῶν ἀγγέλων, γινόμεθα μιμη-

οἱ τοὺς ἀγγέλους, μᾶλλον δὲ τῶν ἀγγέλων τὸν Δεσπότην μιμεῖσθαι κελευόμενοι, τὸν διάβολον ζηλοῦμεν. Καὶ γὰρ πολλὴ καὶ ἐν τῇ ἐκκλησίᾳ ἡ βασκανία· μᾶλλον δὲ ἐν ἡμῖν ἢ ἐν τοῖς ἀρχομένοις. Διὸ καὶ ἡμῖν αὐτοῖς διαλεκτέον.

5 *Τίνος γὰρ ἕνεκεν, εἰπέ μοι, βασκαίνεις τῷ πλησίον; Ὅτι τιμῆς ἀπολαύοντα βλέπεις καὶ χρηστῶν ῥημάτων; Εἶτα οὐκ ἐννοεῖς πόσον φέρουσι κακὸν αἱ τιμαὶ τοῖς μὴ προσέχουσιν; εἰς κενοδοξίαν αἴρουσαι, εἰς τῦφον, εἰς ἀπόνοιαν, εἰς ὑπεροψίαν, ῥαθυμοτέρους ποιοῦσαι· καὶ μετὰ τούτων τῶν κα-* 10 *κῶν καὶ μαραίνονται ῥαδίως. Τὸ γὰρ δὴ χαλεπώτερον τοῦτο, ὅτι τὰ μὲν ἐξ αὐτοῦ κακὰ ἀθάνατα μένει, ἡ δὲ ἡδονὴ ὁμοῦ τε ἐφάνη καὶ ἀπέπτη. Διὰ ταῦτα οὖν βασκαίνεις; εἰπέ μοι.*

Ἀλλ' ἐξουσίαν ἔχει παρὰ τῷ κρατοῦντι πολλὴν καὶ 15 *ἄγει καὶ φέρει πάντα ὅποι θέλει καὶ τοὺς προσκρούοντας λυπεῖ καὶ τοὺς κολακεύοντας εὐεργετεῖ καὶ πολλὴν ἔχει δύναμιν. Βιωτικῶν ταῦτα τὰ ῥήματα, καὶ τῶν τῇ γῇ προσηλωμένων ἀνθρώπων ἐστί. Τὸν γὰρ πνευματικὸν οὐδὲν λυπῆσαι δυνήσεται. Τί γὰρ αὐτῷ ἐργάσεται δεινόν; ἀποχειροτο-* 20 *νήσει τῆς ἀξίας; Καὶ τί τοῦτο; Ἂν μὲν γὰρ δικαίως, καὶ ὠφελεῖται· οὐδὲν γὰρ οὕτω παροξύνει Θεόν, ὡς τὸ παρ' ἀξίαν ἱερᾶσθαι· ἂν δὲ ἀδίκως, τὸ ἔγκλημα πάλιν ἐπ' ἐκεῖνον, οὐκ ἐπὶ τοῦτον χωρεῖ· ὁ γὰρ ἀδίκως τι παθὼν καὶ γενναίως ἐνεγκών, πλείονα ταύτῃ κτᾶται πρὸς τὸν Θεὸν τὴν παρ-* 25 *ρησίαν.*

Μὴ τοίνυν τοῦτο σκοπῶμεν, ὅπως ὦμεν ἐν δυναστείαις καὶ ἐν τιμαῖς καὶ ἐν ἐξουσίαις, ἀλλ' ὅπως ὦμεν ἐν ἀρετῇ

ταὶ τοῦ διαβόλου. Καθόσον καὶ ἐντὸς τῆς Ἐκκλησίας ὑπάρχει μεγάλος φθόνος. Καὶ μάλιστα μεγαλύτερος εἶναι εἰς ἡμᾶς, παρὰ εἰς τὰ μέλη τοῦ ποιμνίου μας, καὶ διὰ τοῦτο πρέπει ν' ἀπευθύνω τὸν λόγον μου καὶ πρὸς ἡμᾶς τοὺς ἰδίους.

Εἰπέ μου λοιπόν, ποῖος ὁ λόγος ποὺ φθονεῖς τὸν πλησίον σου; Ἐπειδὴ βλέπεις νὰ τὸν τιμοῦν καὶ νὰ τὸν ἐπαινοῦν; Μὰ δὲν ἀναλογίζεσαι πόσον κακὸν προξενοῦν αἱ τιμαὶ εἰς ἐκείνους ποὺ δὲν προσέχουν; Ὁδηγοῦν εἰς κενοδοξίαν, εἰς ὑπερηφάνειαν, εἰς ἀπόγνωσιν, εἰς ὑπεροψίαν καὶ κάνουν τὸν ἄνθρωπον περισσότερον ἀδιάφορον. Καὶ μαζὶ μὲ αὐτὰ τὰ κακὰ καταστρέφονται καὶ αὐτοὶ εὔκολα. Ἀλλὰ τὸ πιὸ φοβερὸν εἶναι αὐτό· ὅτι δηλαδὴ τὰ μὲν κακὰ ποὺ προέρχονται ἀπὸ αὐτὴν τὴν κατάστασιν παραμένουν ἀθάνατα, ἐνῷ ἡ εὐχαρίστησις εὐθὺς μὲ τὴν ἐμφάνισίν της ἐξαφανίζεται ἀμέσως. Εἰπέ μου λοιπόν, δι' αὐτὰ φθονεῖς;

Ἀλλὰ θὰ μοῦ εἰπῇς ὅτι ἔχει μεγάλην ἰσχὺν κοντὰ εἰς τὸν ἄρχοντα καὶ κάνει πάντοτε ὅ,τι θέλει καὶ τοὺς ἀντιπάλους του δυσαρεστεῖ καὶ αὐτοὺς ποὺ τὸν κολακεύουν τοὺς εὐεργετεῖ καὶ γενικὰ ἔχει μεγάλην δύναμιν. Οἱ λόγοι αὐτοὶ εἶναι λόγοι ὑλοφρόνων ἀνθρώπων ποὺ σκέπονται τὰ ὑλικὰ ἀγαθὰ καὶ εἶναι προσκολλημένοι εἰς τὴν γῆν. Διότι τὸν πνευματικὸν ἄνθρωπον τίποτε δὲν ἠμπορεῖ νὰ τὸν λυπήσῃ. Διότι τί κακὸν ἠμπορεῖ νὰ τοῦ κάνῃ ὁ ἰσχυρός; Θὰ τοῦ ἀφαιρέσῃ μήπως τὸ ἀξίωμα; Καὶ τί μ' αὐτό; Διότι ἐὰν μὲν ἡ καθαίρεσις εἶναι δικαία, τότε ὠφελεῖται. Καθόσον τίποτε δὲν ἐξοργίζει τόσον τὸν Θεόν, ὅσον τὸ νὰ ἀσκῇ κανεὶς τὸ λειτούργημα τοῦ ἱερέως χωρὶς νὰ τὸ ἀξίζῃ. Ἐὰν δὲ ἡ καθαίρεσις εἶναι ἄδικος, τότε ἡ εὐθύνη βαρύνει ἐκεῖνον καὶ ὄχι τὸν καθαιρούμενον. Διότι ἐκεῖνος ποὺ ἄδικα ὑφίσταται κάτι καὶ ἀντιμετωπίζει τὴν ἀδικίαν μὲ γενναιότητα, ἀποκτᾷ μὲ τὴν στάσιν του αὐτὴν μεγαλυτέραν παρρησίαν ἐνώπιον τοῦ Θεοῦ.

Ἑπομένως ἂς μὴ ἔχωμεν ἐστραμμένην τὴν προσοχήν μας εἰς τὸ πῶς θὰ μετέχωμεν εἰς τὰς ἀρχάς, εἰς τὰς τιμὰς καὶ εἰς τὰς ἐξουσίας, ἀλλὰ εἰς τὸ πῶς θὰ ζῶμεν μὲ ἀρετὴν

καὶ φιλοσοφία. Ὡς αἵ γε ἐξουσίαι πολλὰ τῶν τῷ Θεῷ μὴ δοκούντων ποιεῖν πείθουσι καὶ σφόδρα νεανικῆς δεῖ ψυχῆς, ὥστε τῇ ἐξουσίᾳ εἰς δέον χρήσασθαι. Ὁ μὲν γὰρ ἀπεστερημένος αὐτῆς καὶ ἑκὼν καὶ ἄκων φιλοσοφεῖ, ὁ δὲ ἀπολαύων
5 *αὐτῆς, τοιοῦτόν τι πάσχει, οἷον ἂν εἴ τις κόρῃ συνοικῶν εὐειδεῖ καὶ καλῇ, νόμους δέξαιτο μηδέποτε εἰς αὐτὴν ἰδεῖν ἀκολάστως. Τοιοῦτον γὰρ ἡ ἐξουσία. Διὸ πολλοὺς καὶ ἄκοντας εἰς τὸ ὑβρίζειν ἐνέβαλε καὶ θυμὸν ἤγειρε καὶ χαλινὸν γλώττης ἀφεῖλε καὶ θύραν ἀνέσπασε στόματος, ὥσπερ ὑπὸ πνεύ-*
10 *ματος τὴν ψυχὴν ἀναρριπίζουσα, καὶ εἰς τὸν ἔσχατον τῶν κακῶν βυθὸν καταποντίζουσα τὸ σκάφος.*

Τὸν οὖν ἐν τοσούτῳ κινδύνῳ θαυμάζεις καὶ ζηλωτὸν εἶναι φῄς; καὶ πόσης ταῦτα ἀνοίας; Ἐννόησον γοῦν μετὰ τῶν εἰρημένων, πόσους ἐχθροὺς καὶ κατηγόρους, πόσους δὲ
15 *κόλακας οὗτος ἔχει πολιορκοῦντας αὐτόν. Ταῦτ' οὖν, εἰπέ μοι, μακαρισμῶν ἄξια; Καὶ τίς ἂν τοῦτο εἴποι;*

Ἀλλὰ παρὰ τῷ λαῷ, φησίν, εὐδοκιμεῖ. Καὶ τί τοῦτο; Οὐ γὰρ δὴ ὁ λαός ἐστιν ὁ Θεός, ᾧ μέλλει τὰς εὐθύνας ὑπέχειν. Ὥστε ὅταν λαὸν εἴπῃς, οὐδὲν ἄλλο λέγεις ἢ προβό-
20 *λους ἑτέρους καὶ σκοπέλους καὶ ὑφάλους καὶ σπιλάδας. Τὸ γὰρ εὐδοκιμεῖν ἐν δήμῳ, ὅσῳ λαμπρότερον ποιεῖ, τοσούτῳ μείζους ἔχει τοὺς κινδύνους, τὰς φροντίδας, τὰς ἀθυμίας. Ἀναπνεῦσαι γὰρ ὁ τοιοῦτος ἢ στῆναι οὐ δύναται ὅλως, οὕτω πικρὸν ἔχων δεσπότην. Καὶ τί λέγω στῆναι καὶ ἀναπνεῦσαι;*

καὶ εὐσέβειαν. Διότι βέβαια αἱ ἐξουσίαι μᾶς παρασύρουν νὰ πράττωμεν πολλὰ πράγματα ἀπὸ αὐτὰ ποὺ δὲν εἶναι ἀρεστὰ εἰς τὸν Θεὸν καὶ ἀπαιτεῖται ψυχὴ ρωμαλέα διὰ νὰ χρησιμοποιῇ τὴν ἐξουσίαν ὅπως πρέπει. Διότι ἐκεῖνος μὲν ποὺ δὲν διαθέτει ἐξουσίαν, οὔτε μὲ τὴν θέλησίν του φιλοσοφεῖ οὔτε χωρὶς τὴν θέλησίν του, ἐνῷ ἐκεῖνος ποὺ ἔχει τὴν ἐξουσίαν παθαίνει αὐτὸ ἀκριβῶς ποὺ παθαίνει ἐκεῖνος ποὺ συγκατοικεῖ μὲ μίαν γυναῖκα ὡραίαν καὶ καλὴν καὶ τοῦ τίθεται νόμος νὰ μὴ τὴν κοιτάζῃ ποτὲ μὲ ἀκόλαστον βλέμμα. Διότι τέτοιο ἀκριβῶς πρᾶγμα εἶναι καὶ ἡ ἐξουσία. Διὰ τοῦτο καὶ πολλοὺς ἀνθρώπους παρὰ τὴν θέλησίν των τοὺς κατέστησεν ὑβριστάς, τοὺς ἔκανε νὰ ὀργίζωνται εὔκολα, ἀφῄρεσε τὸν χαλινὸν τῆς γλώσσης, κατέστρεψε τὴν θύραν τοῦ στόματος καὶ συνταράσσει τὴν ψυχὴν ἰσχυρὸς ἄνεμος, καταποντίζει τὸ σκάφος εἰς χειρότερον βυθὸν κακῶν.

Αὐτὸν λοιπὸν θαυμάζεις ποὺ εὑρίσκεται εἰς τόσον μεγάλον κίνδυνον καὶ λέγεις ὅτι εἶναι ἄξιος μιμήσεως; Ἀλήθεια, πόσην ἀνοησίαν φανερώνουν αὐτά; Σκέψου λοιπὸν μαζὶ μὲ ὅλα αὐτὰ ποὺ εἴπαμεν πόσους ἐχθροὺς καὶ κατηγόρους καὶ πόσους κόλακας ἔχει ὁ ἄνθρωπος αὐτὸς ποὺ τὸν πολιορκοῦν. Εἰπέ μου λοιπόν, ὅλα αὐτὰ εἶναι ἄξια μακαρισμοῦ; Ἀλλὰ ποῖος θὰ ἠμποροῦσε νὰ τὰ ὑποστηρίξῃ αὐτά;

Ἀλλά, θὰ εἰπῇ κάποιος, μεταξὺ τῶν ἀνθρώπων χαίρει μεγάλης ἐκτιμήσεως. Καὶ τί μ' αὐτό; Διότι δὲν εἶναι οἱ ἄνθρωποι ὁ Θεός, εἰς τοὺς ὁποίους ὀφείλει νὰ δίδῃ ἀπολογίαν, ποὺ πρέπει νὰ εἶναι ὑπεύθυνοι δι' αὐτόν. Ὥστε ὅταν ἀναφέρῃς τοὺς ἀνθρώπους, δὲν λέγεις τίποτε ἄλλο, παρὰ διάφορα ἐμπόδια, σκοπέλους, ὑφάλους καὶ βράχια ἐπικίνδυνα. Διότι τὸ νὰ ἐκτιμᾶται κανεὶς ἀπὸ τοὺς ἀνθρώπους, ὅσον αὐτὸ συμβαίνει εἰς μεγαλύτερον βαθμὸν τόσον μεγαλυτέρους κινδύνους ἐμπεριέχει, ὅπως εἶναι αἱ φροντίδες καὶ αἱ στενοχωρίαι. Διότι ὁ ἄνθρωπος αὐτοῦ τοῦ εἴδους δὲν ἠμπορεῖ καθόλου ν' ἀναπνεύσῃ ἢ νὰ ἡσυχάσῃ, διότι ἔχει πολὺ σκληρὸν κύριον. Καὶ διατί λέγω μόνον ὅτι δὲν ἠμπορεῖ νὰ ἡσυχάσῃ καὶ ν' ἀναπνεύσῃ; Διότι ὁ ἄν-

Κἂν μυρία κατορθώματα ἔχῃ ὁ τοιοῦτος, δυσκόλως εἰς βασιλείαν εἰσέρχεται. Οὐδὲν γὰρ οὕτως ἐκτραχηλιάζειν εἴωθεν, ὡς ἡ παρὰ τῶν πολλῶν δόξα, δειλούς, ἀγενεῖς, κόλακας, ὑποκριτὰς ποιοῦσα.

5 *Τίνος γοῦν ἕνεκεν οἱ Φαρισαῖοι τὸν Χριστὸν ἔλεγον δαιμονᾶν; οὐκ ἐπειδὴ τῆς παρὰ τῶν πολλῶν ἐπεθύμουν δόξης; Πόθεν δὲ οἱ πολλοὶ τὴν ὀρθὴν περὶ αὐτοῦ ἔφερον ψῆφον; Οὐκ ἐπειδὴ τούτῳ οὐ κατείχοντο τῷ νοσήματι; Οὐδὲν γάρ, οὐδὲν οὕτω ποιεῖ παρανόμους καὶ ἀνοήτους, ὡς τὸ* 10 *πρὸς τὴν τῶν πολλῶν κεχηνέναι δόξαν· οὐδὲν εὐδοκίμους καὶ ἀδαμαντίνους, ὡς τὸ ταύτης ὑπερορᾶν. Διὸ καὶ σφόδρα νεανικῆς δεῖ ψυχῆς τῷ μέλλοντι πρὸς τοσαύτην ἀντέχειν ῥύμην καὶ βίαν πνεύματος. Καὶ γὰρ ὅταν εὐημερῇ, πάντων ἑαυτὸν προτίθησι· καὶ ὅταν τἀναντία ὑπομείνῃ, κατορύξαι* 15 *ἑαυτὸν βούλεται· καὶ τοῦτο αὐτῷ καὶ γέεννα καὶ βασιλεία, ὅταν ὑποβρύχιος ὑπὸ τοῦ πάθους γένηται τούτου.*

5. Ταῦτα οὖν φθόνων ἄξια, εἰπέ μοι; ἀλλ' οὐχὶ θρήνων καὶ δακρύων; Παντί που δῆλον. Σὺ δὲ ταὐτὸν ποιεῖς φθονῶν τῷ οὕτως εὐδοκιμοῦντι, ὥσπερ ἂν εἴ τις δεδεμένον ἰδὼν καὶ 20 *μεμαστιγωμένον καὶ ὑπὸ μυρίων ἑλκόμενον θηρίων, ἐβάσκαινεν αὐτῷ τῶν τραυμάτων καὶ μαστίγων. Καὶ γὰρ ὅσους ἂν ἀνθρώπους ὁ δῆμος ἔχῃ, τοσούτους καὶ οὗτος δεσμούς, τοσούτους δεσπότας· καὶ τὸ δὴ χαλεπώτερον, ὅτι καὶ διάφορον τούτων ἕκαστος γνώμην ἔχει, καὶ τὰ ἐπιόντα περὶ τοῦ* 25 *δουλεύοντος αὐτῆς ψηφίζονται πάντες, οὐδὲν βασανίζοντες, ἀλλ' ἅπερ ἂν τῷ δεῖνι δόξῃ καὶ τῷ δεῖνι, ταῦτα καὶ αὐτοὶ κυροῦντες.*

Ποίων οὖν ταῦτα κυμάτων ποίου κλύδωνος οὐ χαλεπώ-

θρωπος αὐτός, καὶ ἂν ἀκόμη ἔχῃ ἀμετρήτους ἀρετάς, δύσκολα εἰσέρχεται εἰς τὴν βασιλείαν. Διότι συνήθως τίποτε δὲν ὁδηγεῖ τόσον πολὺ εἰς παραφρόνους ἐνεργείας, ὅσον ἡ ἐξάρτησις ἀπὸ τὴν γνώμην τῶν ἀνθρώπων, ἡ ὁποία καθιστᾷ τοὺς ἀνθρώπους δειλούς, ἀγενεῖς, κόλακας καὶ ὑποκριτάς.

Διὰ ποῖον λόγον λοιπὸν οἱ Φαρισαῖοι ἔλεγαν ὅτι ὁ Χριστὸς ἔχει δαιμόνιον; Δὲν τὸ ἔλεγαν ἐπειδὴ ἐπεθύμουν τὴν δόξαν ἐκ μέρους τῶν ἀνθρώπων; Διατί δὲ οἱ περισσότεροι ἄνθρωποι ἐσκέπτοντο ὀρθῶς περὶ τοῦ Ἰησοῦ; Δὲν τὸ ἔκαναν αὐτὸ ἐπειδὴ δὲν τοὺς κατεῖχε τὸ πάθος τοῦ φθόνου; Διότι τίποτε ἀπολύτως δὲν καθιστᾷ τόσον παρανόμους καὶ ἀνοήτους τοὺς ἀνθρώπους, ὅσον τὸ ὅτι ἐξαρτῶνται ἀπὸ τὴν γνώμην τοῦ κόσμου. Καὶ τίποτε δὲν τοὺς καθιστᾷ πιὸ ἐναρέιους καὶ ἀδαμαντίνους, ὅσον τὸ νὰ περιφρονοῦν αὐτήν. Διὰ τοῦτο χρειάζεται πάρα πολὺ δυνατὴν ψυχὴν ἐκεῖνος ποὺ σκέπτεται ν' ἀντισταθῇ εἰς τὴν τόσον ἰσχυρὰν ὁρμὴν καὶ βίαν αὐτοῦ τοῦ ἀνέμου. Καθόσον, ὅταν μὲν εὐημερῇ προβάλλει τὸν ἑαυτόν του ἐπάνω ἀπὸ ὅλους, ὅταν δὲ εὑρεθῇ εἰς τὴν ἀντίθετον κατάστασιν, θέλει νὰ ἐξαφανίσῃ τὸν ἑαυτόν του. Καὶ αὐτὸ ἀποτελεῖ δι' αὐτὸν καὶ γέενναν καὶ βασιλείαν, ὅταν περιέρχεται ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ τοῦ πάθους.

Εἰπέ μου λοιπόν, ἀξίζει αὐτὰ νὰ τὰ φθονῇ κανείς; Ἢ μήπως δὲν εἶναι ἄξια θρήνων καὶ δακρύων; Καὶ φυσικὰ αὐτὸ εἶναι ὁλοφάνερον. Σὺ δὲ ὅταν φθονῇς αὐτὸν ποὺ εὐδοκιμεῖ ὑπ' αὐτὰς τὰς συνθήκας, κάνεις τὸ ἴδιο μὲ τὸν ἄνθρωπον ἐκεῖνον, ποὺ ἐὰν ἔβλεπε κάποιον δεμένον νὰ μαστιγώνεται καὶ νὰ σύρεται ἀπὸ ἀμέτρητα θηρία, θὰ τὸν ἐφθόνει διὰ τὰς πληγὰς καὶ τὰς μαστιγώσεις. Διότι ὅσους ἀνθρώπους ἔχει ὁ δῆμος, τόσα δεσμὰ καὶ τόσους κυρίους ἔχει καὶ αὐτός. Καὶ τὸ χειρότερον βέβαια εἶναι ὅτι ὁ καθένας ἀπὸ αὐτοὺς ἔχει διαφορετικὴν γνώμην καὶ σχηματίζουν ἐπιπολαίαν γνώμην διὰ τὸν δοῦλόν των, μὴ βασανίζοντες καθόλου τὴν σκέψιν των, ἀλλ' αὐτὰ ποὺ ἤθελαν φανῇ καλὰ εἰς τὸν ἕνα ἢ τὸν ἄλλον, αὐτὰ τὰ ἐπικυρώνουν καὶ αὐτοί.

Ἀπὸ ποῖα λοιπὸν κύματα καὶ ποίας τρικυμίας δὲν εἶ-

τερα; Καὶ γὰρ καὶ φυσᾶται ἀθρόον ὑπὸ τῆς ἡδονῆς ὁ τοιοῦτος καὶ βαπτίζεται πάλιν εὐκόλως, ἐν ἀνωμαλίᾳ μὲν ἀεί, ἐν ἡσυχίᾳ δὲ οὐδέποτε ὤν. Πρὸ μὲν γὰρ τοῦ θεάτρου καὶ τῶν ἐν τῷ λέγειν ἀγώνων, ἐν ἀγωνίᾳ καὶ τρόμῳ κατέχεται, με- 5 *τὰ δὲ τὸ θέατρον ἢ ἀποτέθνηκεν ἀπὸ τῆς ἀθυμίας ἢ χαίρει πάλιν ἀμέτρως, ὅπερ λύπης ἐστὶ χαλεπώτερον. Ὅτι γὰρ ἡδονὴ λύπης οὐκ ἔλαττόν ἐστι κακόν, δῆλον ἀφ' ὧν τὴν ψυχὴν διατίθησι· καὶ γὰρ καὶ κούφην ποιεῖ καὶ μετέωρον καὶ ἀνεπτερωμένην. Καὶ τοῦτο καὶ ἀπὸ τῶν προτέρων ἀνδρῶν* 10 *ἐστιν ἰδεῖν. Πότε γοῦν καλὸς ἦν Δαυΐδ; ὅτε ἔχαιρεν ἢ ὅτε ἐν στενοχωρίᾳ ἦν; Πότε τῶν Ἰουδαίων ὁ δῆμος; ὅτε ἔστενον καὶ τὸν Θεὸν ἐκάλουν ἢ ὅτε ἔχαιρον ἐπὶ τῆς ἐρήμου καὶ τὸν μόσχον προσεκύνουν; Διὸ καὶ ὁ Σολομῶν, ὁ μάλιστα πάντων εἰδὼς τί ποτέ ἐστιν ἡδονή, φησίν· «Ἀγαθὸν πορευ-* 15 *θῆναι εἰς οἶκον πένθους ἢ εἰς οἶκον γέλωτος». Διὸ καὶ ὁ Χριστὸς τοὺς μὲν μακαρίζει λέγων, «Μακάριοι οἱ πενθοῦντες»· τοὺς δὲ ταλανίζει· Καὶ μάλα εἰκότως. Ἐν μὲν γὰρ τρυφῇ χαυνοτέρα ἐστὶν ἡ ψυχὴ καὶ μαλακωτέρα· ἐν δὲ πένθει συνέσταλται καὶ σωφρονεῖ, καὶ τοῦ τῶν παθῶν ἐ-* 20 *σμοῦ παντὸς ἀπήλλακται καὶ ὑψηλοτέρα γίνεται καὶ ἰσχυροτέρα.*

Ταῦτ' οὖν ἅπαντα εἰδότες, φεύγωμεν τὴν παρὰ τῶν πολλῶν δόξαν καὶ τὴν ἐξ αὐτῆς ἡδονήν, ἵνα τῆς ὄντως δόξης καὶ μενούσης ἀεὶ τύχωμεν· ἧς γένοιτο πάντας ἡμᾶς 25 *ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

---

25. Πρβλ. Ἐκκλ. 7, 2-4.
26. Λουκᾶ 6, 25.

ναι φοβερώτερα αὐτά; Καθόσον ὁ ἄνθρωπος αὐτοῦ τοῦ εἴδους παρασύρεται εὔκολα ἀπὸ τὴν ἡδονὴν καὶ βυθίζεται πάλιν εὔκολα καὶ διαρκῶς εὑρίσκεται εἰς ἀνωμαλίαν καὶ δὲν ἡσυχάζει ποτέ. Διότι πρὶν ἀπὸ τὸ θέατρον καὶ τοὺς ρητορικοὺς ἀγῶνας κατέχεται ἀπὸ ἀγωνίαν καὶ τρόμον, μετὰ δὲ ἀπὸ τὸ θέατρον ἢ ἔχει πεθάνει ἀπὸ τὴν λύπην του ἢ χαίρει ὑπέρμετρα, πρᾶγμα ποὺ εἶναι χειρότερον ἀπὸ τὴν λύπην. Διότι τὸ ὅτι ἡ ἡδονὴ δὲν εἶναι μικρότερον κακὸν ἀπὸ τὴν λύπην καθίσταται φανερὸν ἀπὸ τὸ πῶς διαθέτει τὴν ψυχήν, ἀπὸ τὸ ὅτι δηλαδὴ τὴν καθιστᾷ ἐλαφράν, μετέωρον καὶ ἀβεβαίαν. Καὶ αὐτὸ δυνάμεθα νὰ τὸ διαπιστώσωμεν καὶ ἀπὸ τὴν ζωὴν τῶν παλαιῶν ἀνθρώπων. Πότε λοιπὸν ἦτο καλὸς ὁ Δαυΐδ; Ὅταν ἦτο χαρούμενος ἢ ὅταν ἦτο στενοχωρημένος; Πότε ἐπίσης ἦτο καλὸς ὁ Ἰουδαϊκὸς λαός; ὅταν ἐστέναζαν καὶ ἐζήτουν τὴν βοήθειαν τοῦ Θεοῦ ἢ ὅταν ἐχαίροντο εἰς τὴν ἔρημον καὶ προσεκύνουν τὸν μόσχον; Διὰ τοῦτο καὶ ὁ Σολομῶν, ποὺ περισσότερον ἀπὸ ὅλους ἐγνώρισε τί τέλος πάντων εἶναι ἡ ἡδονή, λέγει· «Εἶναι προτιμότερον νὰ μεταβῇ κανεὶς εἰς οἰκίαν ποὺ πενθεῖ, παρὰ εἰς οἰκίαν ποὺ χαίρεται»[25]. Διὰ τοῦτο καὶ ὁ Χριστὸς τοὺς μὲν μακαρίζει, λέγων, «μακάριοι οἱ πενθοῦντες», τοὺς δὲ ταλανίζει λέγων, «ἀλλοίμονον λοιπὸν εἰς σᾶς ποὺ γελᾶτε, διότι θὰ κλαύσετε»[26]. Καὶ κατὰ πολὺν φυσικὸν λόγον. Διότι εἰς μὲν τὰς ἀπολαύσεις καθίσταται ἡ ψυχὴ περισσότερον ἀδιάφορη καὶ μαλθακή, ἐνῷ μὲ τὸ πένθος συγκρατεῖται καὶ συμπεριφέρεται μὲ σωφροσύνην καὶ ἀπαλλάσσεται ἐξ ὁλοκλήρου ἀπὸ τὸ πλῆθος τῶν παθῶν καὶ γίνεται ὑψηλοτέρα καὶ ἰσχυροτέρα.

Ἔχοντες λοιπὸν ὅλα αὐτὰ ὑπ' ὄψιν, ἂς ἀποφεύγωμεν τὴν δόξαν τοῦ κόσμου καὶ τὴν ἡδονὴν ποὺ προέρχεται ἀπὸ αὐτήν, διὰ νὰ ἐπιτύχωμεν τὴν πραγματικὴν δόξαν, ἡ ὁποία εἶναι αἰώνιος, καὶ ποὺ εὔχομαι ὅλοι μας νὰ τὴν ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΜΑʹ

Ματθ. 12, 25 - 32

«Εἰδὼς δὲ ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν, εἶπεν αὐτοῖς· πᾶσα βασιλεία μερισθεῖσα καθ' ἑαυτῆς, ἐρημωθήσεται·
5 *καὶ πᾶσα πόλις ἢ οἰκία μερισθεῖσα καθ' ἑαυτῆς, οὐ σταθήσεται. Καὶ εἰ ὁ Σατανᾶς τὸν Σατανᾶν ἐκβάλλει, ἐφ' ἑαυτὸν ἐμερίσθη· πῶς οὖν σταθήσεται ἡ βασιλεία αὐτοῦ;».*

1. Καὶ ἤδη τοῦτο κατηγόρησαν, ὅτι ἐν τῷ Βεελζεβοὺλ ἐκβάλλει τὰ δαιμόνια. Ἀλλὰ τότε μὲν οὐκ ἐπετίμησε, δι-
10 *δοὺς αὐτοῖς ἀπό τε τῶν πλειόνων σημείων γνῶναι αὐτοῦ τὴν δύναμιν, ἀπό τε τῆς διδασκαλίας μαθεῖν αὐτοῦ τὴν μεγαλωσύνην. Ἐπειδὴ δὲ ἐπέμενον τὰ αὐτὰ λέγοντες, καὶ ἐπιτιμᾷ λοιπόν· πρώτῳ μὲν τούτῳ τὴν θεότητα ἐνδεικνύμενος τὴν αὐτοῦ, τῷ τὰ ἀπόρρητα αὐτῶν εἰς μέσον ἐξάγειν·*
15 *δευτέρῳ δέ, αὐτῷ τῷ μετ' εὐκολίας τοὺς δαίμονας ἐκβάλλειν. Καίτοι καὶ ἡ κατηγορία σφόδρα ἀναίσχυντος ἦν. Ὅπερ γὰρ ἔφην, ὁ φθόνος οὐ ζητεῖ τί εἴπῃ, ἀλλ' ἵνα εἴπῃ μόνον. Ἀλλ' ὅμως οὐδὲ οὕτω κατεφρόνησεν αὐτῶν ὁ Χριστός, ἀλλ' ἀπολογεῖται μετὰ τῆς αὐτῷ προσηκούσης ἐπιεικείας, παι-*
20 *δεύων ἡμᾶς πράους εἶναι τοῖς ἐχθροῖς· κἂν τοιαῦτα λέγωσιν, ἃ μήτε ἑαυτοῖς σύνισμεν ἡμεῖς, μήτε τὸν τυχόντα ἔχει λόγον, μὴ θορυβεῖσθαι, μηδὲ ταράττεσθαι, ἀλλὰ μετὰ μακροθυμίας ἁπάσης παρέχειν αὐτοῖς εὐθύνας. Ὃ δὴ μάλιστα καὶ τότε ἐποίει, δεῖγμα μέγιστον παρεχόμενος τοῦ ψευδῆ*
25 *εἶναι τὰ παρ' αὐτῶν εἰρημένα. Οὐδὲ γὰρ δαιμονῶντος ἦν*

---

1. Πρβλ. Ματθ. 12, 24.

ΟΜΙΛΙΑ ΜΑ΄

Ματθ. 12, 25 - 32

«Ἐπειδὴ ὅμως ὁ Ἰησοῦς διέγνω τὰς ἀποκρύφους σκέψεις των τοὺς εἶπε· Κάθε βασίλειον, ποὺ διεχωρίσθη εἰς ἀντίπαλα μέρη θὰ ἐρημωθῇ ὁπωσδήποτε· καὶ κάθε πόλις ἢ οἰκία ποὺ διῃρέθη εἰς ἐχθρικὰ μέρη, δὲν θὰ ἐπιζήσῃ. Καὶ ἐὰν ὁ σατανᾶς ἐκβάλλῃ διὰ τῆς βίας τὸν σατανᾶν, διῃρέθη κατὰ τοῦ ἑαυτοῦ του. Πῶς, λοιπόν, θὰ ἐπιζήσῃ ἡ βασιλεία του;».

1. Ἤδη τοῦ εἶχαν ἀποδώσει κατηγορίαν ὅτι ἐκβάλλει τὰ δαιμόνια μὲ τὴν δύναμιν τοῦ Βεελζεβούλ[1]. Ἀλλὰ τότε μὲν δὲν τοὺς ἐπετίμησε, παρὰ τοὺς ἔδωσε τὴν εὐκαιρίαν νὰ γνωρίσουν τὴν δύναμίν του ἀπὸ τὰ πολλὰ θαύματα καὶ νὰ διδαχθοῦν τὴν μεγαλωσύνην του ἀπὸ τὴν διδασκαλίαν του. Ἐπειδὴ ὅμως ἐπέμεναν νὰ διακηρύσσουν αὐτὰ τοὺς ἐπιτιμᾷ πλέον. Καὶ μὲ αὐτὴν τὴν ἐνέργειάν του ἀποδεικνύει τὴν θεότητά του κατὰ πρῶτον μὲν μὲ τὸ ὅτι φέρει εἰς φῶς τὰς ἀποκρύφους σκέψεις των. Κατὰ δεύτερον δὲ μὲ τὸ ὅτι ἐξεδιώκει τόσον εὔκολα τοὺς δαίμονας. Καὶ μολονότι ἡ κατηγορία αὐτὴ ἐναντίον τοῦ Κυρίου ἦτο πολὺ ἀναίσχυντος, διότι, ὅπως εἶπα εἰς ἄλλην ὁμιλίαν, ὁ φθόνος δὲν ζητεῖ τί νὰ εἰπῇ, ἀλλὰ ἁπλῶς καὶ μόνον θέλει νὰ εἰπῇ κάτι, παρὰ ταῦτα καὶ μὲ τὴν τοιαύτην συμπεριφοράν των δὲ τοὺς περιεφρόνησεν ὁ Χριστός, ἀλλὰ ἀπολογεῖται μὲ τὴν ἁρμόζουσαν εἰς αὐτὸν ἐπιείκειαν, διὰ νὰ μᾶς διδάξῃ νὰ συμπεριφερώμεθα μὲ πρᾳότητα πρὸς τοὺς ἐχθρούς μας. Καὶ ἂν ἀκόμη μᾶς ἀποδίδουν κατηγορίας, ποὺ γνωρίζομεν ὅτι δὲν εὐσταθοῦν δι᾽ ἡμᾶς, οὔτε ἠμποροῦν λογικῶς νὰ σταθοῦν, νὰ μὴ μᾶς καταλαμβάνῃ οὔτε φόβος οὔτε καὶ ταραχή, ἀλλὰ μὲ πολλὴν μακροθυμίαν νὰ ἀποδίδωμεν εἰς αὐτοὺς εὐθύνας, πρᾶγμα λοιπὸν ποὺ ἔκανε καὶ τότε ὁ Κύριος καὶ ἀπέδειξε περιτράνως ὅτι ἦσαν ψευδῆ τὰ ὅσα ἔλεγαν ἐναντίον του. Διότι δὲν εἶναι ἴδιον τοῦ δαιμονιζομένου νὰ ἐπιδεικνύῃ

τοσαύτην ἐπιδείκνυσθαι ἐπιείκειαν· οὐ δαιμονῶντος τὸ τὰ ἀπόρρητα εἰδέναι. Καὶ γὰρ καὶ διὰ τὸ σφόδρα ἀναίσχυντον εἶναι τὴν τοιαύτην ὑπόνοιαν καὶ διὰ τὸν παρὰ τῶν πολλῶν φόβον, οὐδὲ ἐτόλμων δημοσιεύειν τὰ ἐγκλήματα ταῦτα, ἀλλ'
5 *ἐν διανοίᾳ ἔστρεφον.*

Αὐτὸς δὲ δεικνὺς αὐτοῖς, ὅτι κἀκεῖνα οἶδε, τὴν μὲν κατηγορίαν οὐ τίθησιν, οὐδὲ ἐκπομπεύει αὐτῶν τὴν πονηρίαν, τὴν δὲ λύσιν ἐπάγει, τῷ συνειδότι τῶν εἰρηκότων καταλιμπάνων τὸν ἔλεγχον. Ἓν γὰρ αὐτῷ περισπούδαστον ἦν μό-
10 *νον, ὠφελῆσαι τοὺς ἁμαρτάνοντας, οὐκ ἐκπομπεῦσαι. Καίτοιγε, εἴγε ἐβούλετο μακρὸν ἀποτεῖναι λόγον, καὶ καταγελάστους ποιῆσαι καὶ μετὰ τούτων καὶ δίκην αὐτοὺς ἀπαιτῆσαι τὴν ἐσχάτην, οὐδὲν τὸ κωλύον ἦν· ἀλλ' ὅμως ταῦτα πάντα παρείς, εἰς ἓν ἔβλεπε μόνον, τὸ μὴ φιλονεικοτέρους ἐργάσα-*
15 *σθαι, ἀλλ' ἐπιεικεστέρους, καὶ ταύτῃ πρὸς διόρθωσιν ἐπιτηδειοτέρους ποιῆσαι.*

Πῶς οὖν αὐτοῖς ἀπολογεῖται; Οὐδὲν ἀπὸ τῶν Γραφῶν φησιν, (οὐδὲ γὰρ προσεῖχον, ἀλλὰ καὶ παρερμηνεύειν ἔμελλον), ἀλλ' ἀπὸ τῶν κοινῇ συμβαινόντων. «Πᾶσα γὰρ βασι-
20 *λεία», φησίν, «ἐφ' ἑαυτὴν μερισθεῖσα, οὐ σταθήσεται· καὶ πόλις καὶ οἰκία ἂν σχισθῇ, ταχέως διαλύεται». Οὐ γὰρ οὕτως οἱ ἔξωθεν πόλεμοι ὡς οἱ ἐμφύλιοι διαφθείρουσι. Τοῦτο γὰρ καὶ ἐν σώμασι γίνεται· τοῦτο καὶ ἐν ἅπασι πράγμασιν· ἀλλὰ τέως ἀπὸ τῶν γνωριμωτέρων τὰ ὑποδείγματα*
25 *ἄγει. Καίτοι τί βασιλείας ἐπὶ τῆς γῆς δυνατώτερον; Οὐ-*

τόσην μεγάλην ἐπιείκειαν. Οὔτε πάλιν ἠμποροῦσεν ὁ δαιμονιζόμενος νὰ γνωρίζῃ τὰς ἀποκρύφους σκέψεις των. Καθόσον, ἐπειδὴ καὶ ἡ ὑπόνοιά των αὐτὴ ἦτο πάρα πολὺ ἀναίσχυντος καὶ ἐπειδὴ ἐφοβοῦντο τὰ πλήθη τοῦ λαοῦ, δὲν ἐτόλμουν νὰ διακηρύξουν δημοσίως τὰς κατηγορίας των αὐτάς, ἀλλὰ τὰς ἐστριφογύριζαν εἰς τὸ μυαλόν των.

Ὁ Κύριος, ὅμως, διὰ νὰ τοὺς ἀποδείξῃ ὅτι ἐγνώριζε καὶ αὐτὰς τὰς ἀποκρύφους σκέψεις των τὴν μὲν κατηγορίαν δὲν τὴν ἀναφέρει, οὔτε ἀποκαλύπτει τὴν πονηρίαν των, ἀλλὰ δίδει ἀπάντησιν εἰς αὐτὰς καὶ ἀφήνει τὸν ἔλεγχον εἰς τὴν συνείδησιν αὐτῶν ποὺ ἔλεγον αὐτά. Διότι δι' ἕνα πρᾶγμα μόνον ἐφρόντιζε πάρα πολύ· τὸ νὰ ὠφελήσῃ τοὺς ἁμαρτωλοὺς καὶ ὄχι νὰ τοὺς διασύρῃ. Μολονότι βέβαια δὲν τὸν ἠμπόδιζε τίποτε, ἐὰν ἤθελε καὶ νὰ τοὺς ἀπαντήσῃ διὰ μακροῦ λόγου καὶ νὰ τοὺς γελοιοποιήσῃ καὶ συγχρόνως νὰ ζητήσῃ νὰ ὑποστοῦν τὴν βαρυτέραν τιμωρίαν. Ἀλλ' ὅμως ἀφήνων ὅλ' αὐτὰ κατὰ μέρος εἰς ἕνα καὶ μόνον ἀπέβλεπε· τὸ νὰ μὴ τοὺς κανῃ δηλαδὴ πιὸ ἐριστικούς, ἀλλὰ περισσότερον ἐπιεικεῖς, καὶ κατ' αὐτὸν τὸν τρόπον νὰ τοὺς καταστήσῃ καταλληλοτέρους διὰ μετάνοιαν καὶ διόρθωσιν.

Πῶς ἀπολογεῖται λοιπὸν εἰς αὐτούς; Δὲν ἐπικαλεῖται καμμίαν μαρτυρίαν ἀπὸ τὰς Γραφὰς (διότι καὶ δὲν ἔδιδαν προσοχὴν εἰς αὐτὰς καὶ θὰ τὰς παρερμήνευαν), ἀλλὰ τοὺς ἀπαντᾷ μὲ τὰ συμβαίνοντα εἰς τὴν καθημερινὴν ζωήν. Διότι λέγει, «κάθε βασίλειον, ποὺ διῃρέθη εἰς ἀντίπαλα μέρη ὥστε νὰ στραφῇ κατὰ τοῦ ἑαυτοῦ του, δὲν θὰ ἐπιζήσῃ, καὶ κάθε πόλις καὶ οἰκία ποὺ θὰ διαιρεθῇ ταχέως θὰ διαλυθῇ». Διότι οἱ πόλεμοι ποὺ προέρχονται ἀπὸ ἐξωτερικοὺς ἐχθρούς, δὲν καταστρέφουν τόσον ὅσον οἱ ἐμφύλιοι πόλεμοι. Τὸ ἴδιο βέβαια συμβαίνει καὶ εἰς τὰ σώματα. Τὸ ἴδιο δὲ καὶ εἰς ὅλα γενικῶς τὰ πράγματα. Ἀλλὰ κατ' ἀρχὴν λαμβάνει τὰ παραδείγματα ἀπὸ τὰ πιὸ γνωστὰ θέματα. Καὶ βέβαια ποῖον πρᾶγμα εἶναι ἰσχυρότερον εἰς τὴν γῆν ἀπὸ τὸ βασίλειον; Τίποτε. Παρὰ ταῦτα ὅμως ὅταν ξεσηκωθοῦν εἰς ἐμφύλιον

δέν· ἀλλ' ὅμως ἀπόλλυται στασιάζουσα. Εἰ δὲ ἐκεῖ τὸν ὄγκον αἰτιᾶται τῶν πραγμάτων, ὡς ἑαυτῷ συρρηγνύμενον, τί ἂν εἴποις περὶ πόλεως; τί δὲ περὶ οἰκίας; Κἂν γὰρ μικρόν τι, κἂν μέγα ᾖ, πρὸς ἑαυτὸ στασιάζον ἀπόλλυται.

5 *Εἰ τοίνυν ἐγὼ δαίμονα ἔχων, δι' ἐκείνου ἐκβάλλω τοὺς δαίμονας, στάσις καὶ μάχη μεταξὺ δαιμόνων ἐστὶ καὶ κατ' ἀλλήλων ἵστανται. Εἰ δὲ κατ' ἀλλήλων ἵστανται, ἀπόλωλεν αὐτῶν ἡ ἰσχὺς καὶ διέφθαρται. «Εἰ γὰρ ὁ Σατανᾶς τὸν Σατανᾶν ἐκβάλλει», (καὶ οὐκ εἶπε, τοὺς δαίμονας, δεικνὺς*
10 *πολλὴν αὐτοῖς πρὸς ἀλλήλους συμφωνίαν οὖσαν), «ἐφ' ἑαυτὸν οὖν ἐμερίσθη», φησίν. Εἰ δὲ ἐμερίσθη, ἀσθενέστερος γέγονε καὶ ἀπόλωλεν· εἰ δὲ ἀπόλωλε, πῶς δύναται ἕτερον ἐκβάλλειν; Εἶδες πόσος τῆς κατηγορίας ὁ γέλως; πόση ἡ ἄνοια; πόση ἡ μάχη; Οὐδὲ γάρ ἐστι τῶν αὐτῶν λέγειν μέν,*
15 *ὅτι ἕστηκε καὶ ὅτι ἐκβάλλει τοὺς δαίμονας· λέγειν δέ, ὅτι διὰ τοῦτο ἕστηκε, δι' ὃ εἰκὸς ἦν αὐτὸν καταλελύσθαι.*

Καὶ πρώτη μὲν αὕτη ἡ λύσις· δευτέρα δὲ μετ' ἐκείνην, ἡ περὶ τῶν μαθητῶν. Οὐδὲ γὰρ ἑνὶ μόνον ἀεὶ τρόπῳ, ἀλλὰ καὶ δευτέρῳ καὶ τρίτῳ καταλύει τὰς ἀντιθέσεις αὐτῶν, ἐκ
20 *περιουσίας ἐπιστομίσαι βουλόμενος αὐτῶν τὴν ἀναισχυντίαν. Ὅπερ καὶ ἐπὶ τοῦ Σαββάτου πεποίηκε, τὸν Δαυῒδ φέρων εἰς μέσον, τοὺς ἱερέας, τὴν μαρτυρίαν τὴν λέγουσαν, «Ἔλεον θέλω, καὶ οὐ θυσίαν», τὴν αἰτίαν τοῦ Σαββάτου δι' ἣν γέγονε· «Διὰ γὰρ τὸν ἄνθρωπον», φησί, «τὸ Σάββατον». Τοῦ-*
25 *το δὴ καὶ ἐνταῦθα ποιεῖ. Μετὰ γὰρ τὴν προτέραν ἐπὶ δευ-*

---

2. Πρβλ. Ματθ. 12, 3-4.
3. Πρβλ. Ματθ. 12, 5.
3α. Ὠσ. 6, 6. Ματθ. 12, 7.
4. Μάρκ. 2, 27.

πόλεμον τὰ μέλη του καταστρέφεται. Ἐὰν ὅμως εἰς τὴν περίπτωσιν τοῦ βασιλείου ἐπιρρίπτῃ τὸ βάρος εἰς τὸ πολὺ πλῆθος, ποὺ στασιάζει κατὰ τοῦ ἑαυτοῦ του, τί θὰ ἠμποροῦσες νὰ εἰπῇς διὰ μίαν πόλιν; ἢ τί διὰ μίαν οἰκίαν; Διατί εἴτε εἶναι μία δύναμις μεγάλη, εἴτε μικρά, καταστρέφεται ὅταν στασιάσῃ πρὸς τὸν ἑαυτόν της.

Συνεπῶς, ἐὰν ἐγὼ ἔχων δαιμόνιον μέσα μου ἐκδιώκω καὶ μὲ τὴν βοήθειαν αὐτοῦ τοὺς δαίμονας, τότε ἔχει ἀρχίσει ἐμφύλιος πόλεμος καὶ μάχη μεταξὺ τῶν δαιμόνων καὶ ἵστανται ὁ ἕνας ἐναντίον τοῦ ἄλλου. Ἐὰν ὅμως πολεμοῦν μεταξύ των, τότε ἔχει πλέον καταστραφῆ καὶ ἐξαφανισθῆ ἡ δύναμίς των. «Διότι ἐὰν ὁ Σατανᾶς ἐκδιώκῃ τὸν σατανᾶν», (καὶ δὲν εἶπε τοὺς δαίμονας, διὰ νὰ δείξῃ ὅτι ὑπάρχει μεγάλη συμφωνία μεταξύ των), «τότε», λέγει, «διῃρέθη ὁ ἴδιος». Ἐὰν δὲ διῃρέθη, ἔγινεν ἀσθενέστερος καὶ κατεστράφη, καὶ ἐὰν κατεστράφη πῶς ἠμπορεῖ νὰ ἐκδιώκῃ ἄλλον σατανᾶν; Εἶδες τὸ μέγεθος τῆς γελοίας αὐτῆς κατηγορίας; τὸ μέγεθος τῆς ἀνοησίας; τὸ μέγεθος τῆς ἀλληλοσυγκρούσεως; Διότι δὲν εἶναι δυνατὸν νὰ λέγουν τὰ ἴδια ἄτομα, ἀφ' ἑνὸς μέν, ὅτι διατηρεῖ ὁ σατανᾶς τὴν δύναμίν του καὶ ὅτι ἐκδιώκει τοὺς δαίμονας, ἀφ' ἑτέρου δὲ νὰ λέγουν ὅτι διὰ τοῦτο ἀκριβῶς ὑπάρχει, ἐξ αἰτίας τοῦ ὁποίου φυσικὸν ἦτο νὰ καταστραφῇ.

Καὶ αὐτὴ εἶναι ἡ πρώτη ἀπάντησις τοῦ Κυρίου εἰς τὴν ὡς ἄνω κατηγορίαν τῶν Φαρισαίων, ἡ δὲ δευτέρα, μετὰ τὴν πρώτην, ἔχει σχέσιν μὲ τὰ ὅσα λέγει διὰ τοὺς μαθητάς. Διότι τὰς κατηγορίας των δὲν τὰς ἀνατρέπει μὲ ἕνα μόνον τρόπον ἀλλὰ μὲ δύο καὶ τρεῖς, ἐπειδὴ θέλει νὰ ἐξαφανίσῃ ἐξ ὁλοκλήρου τὴν ἀναισχυντίαν τοῦ Σαββάτου, ὅπου ἀνέφερε τὴν περίπτωσιν τοῦ Δαυΐδ[2], τοὺς ἱερεῖς[3], τὴν μαρτυρίαν ποὺ λέγει, «ἀγάπην θέλω καὶ ὄχι θυσίαν»[3α] καὶ τὸν σκοπὸν διὰ τὸν ὁποῖον καθιερώθη τὸ Σάββατον. «Διότι τὸ Σάββατον», λέγει, «ἔγινε διὰ τὸν ἄνθρωπον»[4]. Τὸ ἴδιο λοιπὸν κάνει καὶ εἰς αὐτὴν τὴν περίπτωσιν. Διότι, μετὰ τὴν πρώτην

τέραν ἔρχεται λύσιν τῆς προτέρας σαφεστέραν. «Εἰ γὰρ ἐ-γώ», φησίν, «ἐν Βεελζεβοὺλ ἐκβάλλω τὰ δαιμόνια, οἱ υἱοὶ ὑμῶν ἐν τίνι ἐκβάλλουσιν;».

2. Ὅρα κἀνταῦθα τὴν ἐπιείκειαν. Οὐ γὰρ εἶπεν, οἱ
5 *μαθηταί μου, οὐδέ, οἱ ἀπόστολοι, ἀλλ', «Οἱ υἱοὶ ὑμῶν», ἵν' εἰ μὲν βουληθεῖεν ἐπανελθεῖν πρὸς τὴν αὐτὴν ἐκείνοις εὐγένειαν, πολλὴν ἐντεῦθεν λάβωσι τὴν ἀφορμήν· εἰ δὲ ἀ-γνωμονοῖεν καὶ τοῖς αὐτοῖς ἐπιμένοιεν, μηδὲ ἀναίσχυντον λοιπὸν πρόφασιν ἔχωσιν εἰπεῖν. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν·*
10 *οἱ ἀπόστολοι ἐν τίνι ἐκβάλλουσι; Καὶ γὰρ ἦσαν ἐκβάλλον-τες ἤδη, διὰ τὸ λαβεῖν ἐξουσίαν παρ' αὐτοῦ καὶ οὐδὲν αὐ-τοῖς ἐνεκάλουν οὗτοι· οὐ γὰρ πράγμασιν, ἀλλὰ προσώπῳ μόνον ἐμάχοντο.*

Θέλων τοίνυν δεῖξαι, ὅτι φθόνου ἦν τοῦ πρὸς αὐτὸν
15 *τὰ εἰρημένα μόνον, ἄγει τοὺς ἀποστόλους εἰς μέσον. Εἰ γὰρ ἐγὼ οὕτως ἐκβάλλω, πολλῷ μᾶλλον ἐκεῖνοι οἱ παρ' ἐμοῦ τὴν ἐξουσίαν λαβόντες. Ἀλλ' ὅμως οὐδὲν τοιοῦτον εἰρήκατε αὐτοῖς. Πῶς οὖν ἐμοὶ τῷ κἀκείνοις αἰτίῳ τῶν γινομένων ταῦτα ἐγκαλεῖτε, ἐκείνους ἀπολύοντες τῶν ἐγκλημάτων;*
20 *Οὐ μὴν τοῦτο ὑμᾶς ἐλευθερώσει τῆς τιμωρίας, ἀλλὰ καὶ καταδικάσει μειζόνως. Διὰ τοῦτο καὶ ἐπήγαγεν· «Αὐτοὶ κριταὶ ὑμῶν ἔσονται». Ὅταν γὰρ ἐξ ὑμῶν ὄντες καὶ ταῦτα μεμελετηκότες, καὶ πείθωνταί μοι καὶ ὑπακούωσιν, εὔδηλον ὅτι καὶ κατακρινοῦσι τοὺς τὰ ἐναντία καὶ ποιοῦντας καὶ λέ-*
25 *γοντας. «Εἰ δὲ ἐν Πνεύματι Θεοῦ ἐκβάλλω τὰ δαιμόνια,*

---

5. Δηλαδὴ εἰς τὴν πρὸς τὸν Θεὸν εὐσέβειαν.

ἀπάντησιν προχωρεῖ εἰς τὴν δευτέραν ποὺ εἶναι περισσότερον σαφὴς ἀπὸ τὴν πρώτην. Διότι λέγει, «Ἐὰν ἐγὼ ἐκδιώκω τὰ δαιμόνια μὲ τὴν βοήθειαν τοῦ Βεελζεβούλ, πῶς τότε τὰ βγάζουν τὰ τέκνα σας;».

2. Πρόσεξε καὶ εἰς αὐτὴν τὴν περίπτωσιν τὴν ἐπιείκειάν του. Διότι δὲν εἶπεν οἱ μαθηταί μου, οὔτε οἱ ἀπόστολοι ἀλλὰ «τὰ τέκνα σας», ὥστε νὰ τοὺς δώσῃ μεγάλην εὐκαιρίαν, ἐὰν θελήσουν νὰ ἐπιστρέψουν εἰς τὴν ἀρχικήν των εὐγένειαν[5]. Ἐάν, ὅμως, φέρωνται μὲ ἀγνωμοσύνην καὶ ἐπιμένουν εἰς τὰς ἀπόψεις των, νὰ μὴ ἔχουν πλέον εἰς τὸ μέλλον καμμίαν ἀναίσχυντον δικαιολογίαν. Αὐτὸ δὲ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· Οἱ ἀπόστολοι μὲ τὴν βοήθειαν ποίου ἐκδιώκουν τὰ δαιμόνια; Καθόσον καὶ αὐτοὶ ἐξεδίωκαν τοὺς δαίμονας μὲ τὴν δύναμιν ποὺ ἔλαβαν ἀπὸ τὸν Ἰησοῦν, χωρὶς ὅμως νὰ κατηγοροῦνται δι' αὐτὸ ὑπὸ τῶν Φαρισαίων. Ἑπομένως δὲν ἐκατηγόρουν τὰς πράξεις, ἀλλὰ τὸ πρόσωπον μόνον τοῦ Κυρίου.

Θέλων, λοιπόν, ὁ Ἰησοῦς νὰ τοὺς ἀποδείξῃ ὅτι τὰ ὅσα ἔλεγον προήρχοντο μόνον ἀπὸ φθόνον, φέρει τοὺς ἀποστόλους εἰς τὸ μέσον. Διότι ἐὰν ἐγὼ ἐκδιώκω τὸ δαιμόνια κατ' αὐτὸν τὸν τρόπον, πολὺ περισσότερον θὰ τὸ κάνουν οἱ ἀπόστολοί μου οἱ ὁποῖοι ἔλαβαν τὴν ἐξουσίαν αὐτὴν ἀπὸ ἐμέ. Ἀλλ' ὅμως δὲν εἴπατε τίποτε τὸ παρόμοιον εἰς αὐτούς. Μὲ ποίαν λογικὴν λοιπὸν κατηγορεῖτε ἐμέ, ποὺ εἶμαι ὁ αἴτιος τῶν πράξεων ποὺ ἐπιτελοῦν ἐκεῖνοι, ἐνῷ αὐτοὺς τοὺς ἀπαλλάσσετε ἀπὸ τὰς κατηγορίας; Αὐτὴ ἡ στάσις σας δὲν θὰ σᾶς ἀπαλλάξῃ ἀπὸ τὴν τιμωρίαν, ἀλλὰ θὰ γίνῃ αἰτία διὰ μεγαλυτέραν τιμωρίαν σας. Καὶ ἀκριβῶς διὰ τοῦτο προσέθεσεν· «Αὐτοὶ θὰ εἶναι οἱ κριταὶ σας». Διότι ἀφοῦ οἱ μαθηταί μου προέρχωνται ἀπὸ σᾶς καὶ μελετήσαντες τὰ ζητήματα αὐτὰ καὶ πιστεύουν καὶ ὑπακούουν εἰς ἐμέ, εἶναι ὁλοφάνερον ὅτι θὰ καταδικάσουν ἐκείνους ποὺ πράττουν καὶ λέγουν τὰ ἀντίθετα. Ἀλλ' «Ἐὰν ἐγὼ ἐκδιώκω τὰ δαιμόνια μὲ τὴν δύναμιν τοῦ Πνεύματος τοῦ Θεοῦ τότε σημαίνει ὅτι

ἄρα ἔφθασεν ἐφ᾽ ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ». Τί ἐστιν, «Ἡ βασιλεία»; Ἡ παρουσία ἡ ἐμή.

Ὅρα πῶς πάλιν αὐτοὺς ἐφέλκεται καὶ θεραπεύει καὶ πρὸς τὴν ἑαυτοῦ γνῶσιν ἐπισπᾶται καὶ δείκνυσιν ὅτι τοῖς 5 οἰκείοις πολεμοῦσιν ἀγαθοῖς καὶ φιλονεικοῦσι κατὰ τῆς ἑαυτῶν σωτηρίας. Δέον γὰρ χαίρειν, φησί, καὶ σκιρτᾶν, ὅτι τὰ μεγάλα καὶ ἀπόρρητα ἐκεῖνα παραγέγονε δωρούμενος τὰ πάλαι παρὰ τῶν προφητῶν ᾀδόμενα, καὶ τῆς εὐπραγίας ὑμῶν ἐφέστηκεν ὁ καιρός· ὑμεῖς δὲ τοὐναντίον ποιεῖτε, οὐ 10 μόνον οὐ δεχόμενοι τὰ ἀγαθά, ἀλλὰ καὶ διαβάλλοντες καὶ συντιθέντες οὐκ οὔσας αἰτίας.

Ὁ μὲν οὖν Ματθαῖός φησιν· «Εἰ δὲ ἐγὼ ἐν Πνεύματι Θεοῦ ἐκβάλλω»· ὁ δὲ Λουκᾶς, «Εἰ δὲ ἐγὼ ἐν δακτύλῳ Θεοῦ ἐκβάλλω τὰ δαιμόνια», δεικνὺς ὅτι μεγίστης δυνά- 15 μεως ἔργον ἐστὶ τὸ δαίμονας ἐκβάλλειν καὶ οὐ τῆς τυχούσης χάριτος. Καὶ βούλεται μὲν ἀπὸ τούτων συλλογίσασθαι καὶ εἰπεῖν, ὅτι εἰ δὲ τοῦτό ἐστιν, ἄρα ὁ Υἱὸς τοῦ Θεοῦ παραγέγονεν. Ἀλλὰ τοῦτο μὲν οὐ λέγει· συνεσκιασμένος δέ, καὶ ὡς ἐκείνοις ἀνεπαχθὲς ἦν, αἰνίττεται αὐτὸ λέγων· «Ἄ- 20 ρα ἔφθασεν ἐφ᾽ ὑμᾶς ἡ βασιλεία τοῦ Θεοῦ». Εἶδες περιουσίαν σοφίας; Δι᾽ ὧν ἐνεκάλουν, διὰ τούτων ἔδειξεν αὐτοῦ τὴν παρουσίαν ἐκλάμπουσαν.

Εἶτα ἵνα ἐφελκύσηται, οὐκ εἶπεν ἁπλῶς, ἔφθασεν ἡ βασιλεία, ἀλλ᾽, «Ἐφ᾽ ὑμᾶς»· ὡσανεὶ ἔλεγεν· ὑμῖν ἥκει τὰ 25 ἀγαθά· διατί οὖν πρὸς τὰ οἰκεῖα καλὰ ἀηδῶς διάκεισθε; διατί τῇ ὑμῶν αὐτῶν πολεμεῖτε σωτηρίᾳ; Οὗτος ἐκεῖνος ὁ καιρός, ὃν πάλαι προὔλεγον οἱ προφῆται· τοῦτο τὸ σημεῖον τῆς παρουσίας τῆς παρ᾽ αὐτῶν ᾀδομένης, τὸ ταῦτα γίνεσθαι

ἔφθασεν εἰς σᾶς ἡ βασιλεία τοῦ Θεοῦ». Τί σημαίνει «ἡ βασιλεία»; Ἡ ἰδική μου παρουσία.

Πρόσεξε μὲ ποῖον τρόπον πάλιν τοὺς προσκαλεῖ κοντά του καὶ τοὺς θεραπεύει καὶ τοὺς παρακινεῖ νὰ τὸν γνωρίσουν καὶ τοὺς ἀποδεικνύει ὅτι βάζουν ἐναντίον τῶν ἰδικῶν των ἀγαθῶν καὶ μάχονται ἐναντίον τῆς ἰδικῆς των στωηρίας. Διότι, λέγει, ἔπρεπε νὰ χαίρεσθε καὶ νὰ σκιρτᾶτε ἀπὸ χαράν, ἐπειδὴ ἦλθε κοντά σας κάποιος, διὰ νὰ σᾶς δωρίσῃ τὰ μεγάλα καὶ ἀπόρρητα ἐκεῖνα ἀγαθά, τὰ ὁποῖα ἀπὸ παλαιότερα ὕμνησαν οἱ προφῆται καὶ ἔφθασε πλέον ὁ καιρὸς τῆς εὐτυχίας σας. Σεῖς ὅμως κάνετε τὸ ἀντίθετον καὶ ὄχι μόνον δὲν δέχεσθε τὰ ἀγαθά, ἀλλὰ τὸν συκοφαντεῖτε αὐτὸν καὶ τοῦ ἀποδίδετε κατηγορίας χωρὶς νὰ ὑπάρχουν.

Ὁ μὲν λοιπὸν Ματθαῖος λέγει· «Ἐὰν δὲ ἐγὼ ἐκδιώκω μὲ τὴν δύναμιν τοῦ Πνεύματος τοῦ Θεοῦ», ὁ δὲ Λουκᾶς λέγει· «Ἐὰν δὲ ἐγὼ μὲ τὸν δάκτυλον τοῦ Θεοῦ ἐκδιώκω τὰ δαιμόνια», διὰ νὰ δείξῃ ὅτι ἡ ἐκδίωξις τῶν δαιμόνων εἶναι ἔργον, ποὺ χρειάζονται μεγάλην δύναμιν καὶ ὄχι ἕνα ἁπλὸ χάρισμα. Καὶ θέλει μὲν μὲ ὅλα αὐτὰ ὁ Κύριος μὲ συλλογισμὸν νὰ τοὺς ἀποδείξῃ καὶ νὰ τοὺς εἰπῇ ὅτι ἐὰν πράγματι συμβαίνῃ αὐτό, τότε ἔχει ἔλθει πλέον ὁ Υἱὸς τοῦ Θεοῦ. Ἀλλὰ αὐτὸ μὲν δὲν τὸ λέγει κατ' εὐθεῖαν, ἀλλὰ τὸ ὑπαινίσσεται κατὰ τρόπον καλυμμένον καὶ ἔτσι ποὺ νὰ μὴ τοὺς φαίνεται βαρύ, λέγων· «Ἄρα λοιπὸν ἔφθασεν εἰς σᾶς ἡ βασιλεία τοῦ Θεοῦ». Εἶδες πλοῦτον σοφίας; Μὲ αὐτὰ ποὺ τὸν κατηγόρουν, μὲ αὐτὰ ἀπέδειξε τὴν ἀκτινοβολοῦσαν παρουσίαν του.

Ἐν συνεχείᾳ, διὰ νὰ τοὺς προσελκύσῃ, δὲν εἶπεν ἁπλῶς, ἔφθασεν ἡ βασιλεία, ἀλλά, «εἰς σᾶς», ὡσὰν δηλαδὴ νὰ τοὺς ἔλεγε· Διὰ σᾶς ἔχουν ἔλθει τὰ ἀγαθά, διατί λοιπὸν συμπεριφέρεσθε ἐχθρικὰ πρὸς τὰ ἰδικά σας καλά; διατί καταπολεμεῖτε τὴν ἰδικήν σας σωτηρίαν; Αὐτὸς εἶναι ἐκεῖνος ὁ καιρός, τὸν ὁποῖον προέλεγαν οἱ προφῆται· αὐτὴ εἶναι ἡ ἀπόδειξις τῆς παρουσίας τοῦ Θεοῦ εἰς τὸν κόσμον, τὴν ὁποίαν

θείᾳ δυνάμει. Ὅτι μὲν γὰρ γίνεται καὶ ὑμεῖς ἴστε, ὅτι δὲ θείᾳ δυνάμει γίνεται, τὰ πράγματα βοᾷ. Οὔτε γὰρ δυνατὸν Σατανᾶν ἰσχυρότερον εἶναι νῦν, ἀλλ' ἀνάγκη πᾶσα ἀσθενῆ· τὸν δὲ ἀσθενοῦντα οὐκ ἔστιν ὡς ἰσχυρὸν ἐκβάλλειν τὸν ἰσχυ-
5 *ρὸν δαίμονα. Ταῦτα δὲ ἔλεγε, τῆς ἀγάπης δεικνὺς τὴν δύναμιν καὶ τῆς διαστάσεως καὶ τῆς φιλονεικίας τὴν ἀσθένειαν. Διὸ καὶ αὐτὸς συνεχῶς τοῖς μαθηταῖς ἄνω καὶ κάτω περὶ ἀγάπης παρῄνει καὶ ὅτι ὁ διάβολος ὑπὲρ τοῦ ταύτην ἀνελεῖν πάντα ποιεῖ.*

10 *Εἰπὼν τοίνυν τὴν δευτέραν λύσιν ἐπάγει καὶ τρίτην οὕτω λέγων· «Πῶς δύναταί τις εἰσελθεῖν εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ καὶ τὰ σκεύη αὐτοῦ διαρπάσαι, ἐὰν μὴ πρῶτον δήσῃ τὸν ἰσχυρόν, καὶ τότε τὰ σκεύη αὐτοῦ διαρπάσῃ;». Ὅτι μὲν γὰρ οὐκ ἐγχωρεῖ Σατανᾶς Σατανᾶν ἐκβάλλειν, δῆλον*
15 *ἐκ τῶν εἰρημένων, ὅτι δὲ οὐδὲ ἄλλως δυνατὸν ἐκβάλλειν, ἐὰν μὴ πρότερον ἐκείνου περιγένηται, καὶ τοῦτο πᾶσίν ἐστιν ὡμολογημένον.*

Τί οὖν ἐκ τούτων συνίσταται; Τὸ ἔμπροσθεν εἰρημένον μετὰ πλείονος τῆς περιουσίας. Τοσοῦτον γὰρ ἀπέχω, φησί,
20 *συμμάχῳ χρήσασθαι τῷ διαβόλῳ, ὅτι καὶ πολεμῶ καὶ δεσμῶ· καὶ τούτου τεκμήριον, τὸ τὰ σκεύη αὐτοῦ διαρπάσαι. Ὅρα πῶς τοὐναντίον, οὗπερ ἐπεχείρουν ἐκεῖνοι κατασκευάσαι, ἀποδείκνυται. Ἐκεῖνοι μὲν γὰρ ἐβούλοντο δεῖξαι, ὅτι οὐκ ἰδίᾳ δυνάμει ἐκβάλλει δαίμονας, αὐτὸς δὲ δείκνυσιν,*
25 *ὅτι οὐ μόνον τοὺς δαίμονας, ἀλλὰ καὶ αὐτὸν τὸν ἀρχηγέτην*

ὕμνησαν οἱ προφῆται, ὅτι δηλαδὴ ὅλα αὐτὰ γίνονται μὲ τὴν δύναμιν τοῦ Θεοῦ. Διότι τὸ ὅτι μὲν λαμβάνουν χώραν θαυμαστὰ γεγονότα, τὸ γνωρίζετε πολὺ καλὰ καὶ σεῖς οἱ ἴδιοι, τὸ ὅτι δὲ αὐτὰ πραγματοποιοῦνται μὲ τὴν δύναμιν τοῦ Θεοῦ, τὸ διαλαλοῦν τὰ ἴδια τὰ γεγονότα. Διότι οὔτε εἶναι δυνατὸν νὰ εἶναι τώρα ἰσχυρότερος ὁ σατανᾶς, ἀλλ' ὁπωσδήποτε εἶναι ἀσθενέστερος. Ὁ ἀνίσχυρος ὅμως δὲν ἔχει τὴν δύναμιν νὰ ἐκδιώκῃ τὸν ἰσχυρὸν δαίμονα, ὡσὰν νὰ εἶναι ἰσχυρός. Τὰ ἔλεγε δὲ ὅλα αὐτὰ διὰ νὰ δείξῃ τὴν δύναμιν τῆς ἀγάπης καὶ τὴν ἀδυναμίαν τῆς διαιρέσεως καὶ τῆς φιλονεικίας. Διὰ τοῦτο καὶ ὁ Ἰησοῦς συνεβούλευε τοὺς μαθητάς του συνεχῶς εἰς κάθε περίπτωσιν περὶ τῆς ἀγάπης καὶ ὅτι ὁ διάβολος κάνει τὸ πᾶν διὰ νὰ τὴν ἀφανίσῃ.

Ἀφοῦ λοιπὸν ἔδωσε καὶ τὴν δευτέραν ἀπάντησιν προχωρεῖ εἰς τὴν τρίτην λέγων τὰ ἑξῆς· «Πῶς ἠμπορεῖ κανεὶς νὰ εἰσέλθῃ εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ καὶ νὰ ἁρπάσῃ τὰ πράγματά του, ἐὰν δὲν κατανικήσῃ καὶ δὲν δέσῃ πρῶτα τὸν ἰσχυρόν, ὥστε μετὰ νὰ διαρπάσῃ τὰ ὑπάρχοντά του;». Ὅτι βέβαια δὲν εἶναι δυνατὸν νὰ ἐκδιώκῃ ὁ σατανᾶς τὸν σατανᾶν καθίσταται φανερὸν ἀπὸ τὰ ὅσα προελέχθησαν, τὸ ὅτι δὲ δὲν ἦτο δυνατὸν νὰ ἐκδιωχθῇ ὁ σατανᾶς κατ' ἄλλον τρόπον, ἐὰν προηγουμένως δὲν ἀπεδεικνύετο ἰσχυρότερος ὁ Κύριος, καὶ αὐτὸ γίνεται παραδεκτὸν ἀπὸ ὅλους.

Ποῖον συμπέρασμα προκύπτει λοιπὸν ἀπὸ αὐτά; Αὐτὸ ποὺ ἐλέχθη προηγουμένως, ἀλλὰ μετὰ μεγαλυτέρας δυνάμεως. Διότι, λέγει, τόσον πολὺ ἀπέχω ἀπὸ τοῦ νὰ χρησιμοποιῶ τὸν διάβολον ὡς σύμμαχον, ὥστε καὶ νὰ τὸν καταπολεμῶ καὶ νὰ περιορίζω τὴν δύναμίν του. Καὶ ἀπόδειξις αὐτοῦ εἶναι τὸ ὅτι διαρπάζω τὰ ὑπάρχοντά του. Πρόσεξε πῶς ἀποδεικνύεται τὸ ἀντίθετον ἀπὸ ἐκεῖνο ποὺ ἐπεχείρουν οἱ Φαρισαῖοι μὲ τὴν κατηγορίαν των. Διότι ἐκεῖνοι μὲν ἤθελαν νὰ ἀποδείξουν ὅτι δὲν ἐκδιώκει τοὺς δαίμονας μὲ τὴν ἰδικήν του δύναμιν, ὁ Κύριος ὅμως ἀποδεικνύει ὅτι ὄχι μόνον τοὺς δαίμονας, ἀλλὰ καὶ τὸν ἀρχηγὸν αὐτῶν μὲ μεγάλην ἐ-

μετὰ πολλῆς τῆς ἐξουσίας δεδεμένον ἔχει καὶ ἐκείνου πρὸ τούτων ἐκράτησεν ἰδίᾳ δυνάμει· καὶ δῆλον ἀπὸ τῶν γινομένων. Εἰ γὰρ ὁ μὲν ἄρχων ἐστίν, οἱ δὲ ὑπόκεινται, πῶς ἄν, ἐκείνου μὴ ἡττηθέντος, μηδὲ ὑποκύψαντος, οὗτοι διηρπά- 5 *γησαν;*

Ἐνταῦθα δέ μοι καὶ προφητεία δοκεῖ τὸ λεγόμενον εἶναι. Οὐ γὰρ δὴ μόνον οἱ δαίμονες σκεύη τοῦ διαβόλου, ἀλλὰ καὶ οἱ τὰ ἐκείνου πράττοντες ἄνθρωποι. Δηλῶν τοίνυν ὅτι οὐ δαίμονας ἐκβάλλει μόνον, ἀλλὰ καὶ τὴν πλάνην τῆς οἰ- 10 *κουμένης ἅπασαν ἀπελάσει καὶ τὰς μαγγανείας αὐτοῦ καταλύσει καὶ πάντα ἄχρηστα ποιήσει τὰ ἐκείνου, ταῦτα εἴρηκε. Καὶ οὐκ εἶπεν, ἁρπάσει, ἀλλά, διαρπάσει· τὸ μετ' ἐξουσίας γινόμενον δηλῶν.*

3. Ἰσχυρὸν δὲ αὐτὸν καλεῖ, οὐκ ἐπειδὴ τῇ φύσει τοι- 15 *οῦτός ἐστι· μὴ γένοιτο· ἀλλὰ τὴν ἔμπροσθεν δηλῶν τυραννίδα, τὴν ἐκ τῆς ῥᾳθυμίας τῆς ἡμετέρας γεγενημένην.*

«Ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστι· καὶ ὁ μὴ συνάγων μετ' ἐμοῦ, σκορπίζει». Ἰδοὺ καὶ τετάρτη λύσις. Τί γὰρ ἐγὼ βούλομαι; φησί. Τῷ Θεῷ προσάγειν, ἀρετὴν διδάσκειν, βα- 20 *σιλείαν καταγγέλλειν. Τί δὲ ὁ διάβολος καὶ οἱ δαίμονες; Τἀναντία τούτοις. Πῶς οὖν ὁ μὴ μετ' ἐμοῦ συνάγων, μηδὲ μετ' ἐμοῦ ὤν, ἐμοὶ συμπράττειν ἔμελλε; Καὶ τί λέγω συμπράττειν; Τοὐναντίον δὲ καὶ σκορπίζειν αὐτῷ ἐπιθυμία τὰ ἐμά. Ὁ τοίνυν μὴ μόνον μὴ συμπράττων, ἀλλὰ καὶ σκορπί-* 25 *ζων, πῶς ἂν τοσαύτην πρὸς ἐμὲ ὁμόνοιαν ἐπεδείξατο, ὥστε μετ' ἐμοῦ τοὺς δαίμονας ἐκβάλλειν; Τοῦτο δὲ οὐ περὶ τοῦ*

ξουσίαν τὸν ἔχει δέσει καὶ αὐτὸν πρὶν ἀπὸ τοὺς ἄλλους δαίμονας καὶ τὸν κατετρόπωσε μὲ τὴν δύναμίν του. Καὶ αὐτὸ καθίσταται φανερὸν ἀπὸ τὰ γεγονότα. Διότι ἐὰν ὁ μὲν σατανᾶς ἐξακολουθῇ νὰ εἶναι ἄρχων καὶ οἱ ἄλλοι ὑποτάσσωνται εἰς αὐτόν, πῶς διηρπάγησαν αὐτοί, χωρὶς ἐκεῖνος νὰ νικηθῇ καὶ νὰ ὑποκύψῃ;

Ἐδῶ, νομίζω, ὅτι τὰ λεγόμενα ἔχουν προφητικὴν σημασίαν. Διότι δὲν εἶναι βέβαια μόνον οἱ δαίμονες σκεύη τοῦ διαβόλου, ἀλλὰ καὶ οἱ ἄνθρωποι ποὺ πράττουν τὰ ἔργα του. Τὰ εἶπε λοιπὸν αὐτὰ διὰ νὰ δηλώσῃ ὅτι δὲν ἐκδιώκει μόνον τοὺς δαίμονας, ἀλλὰ καὶ τὴν οἰκουμένην ὁλόκληρον θὰ ἀπαλλάξῃ ἀπὸ τὴν πλάνην, καὶ τὰς μαγικὰς ἐνεργείας αὐτοῦ θὰ καταλύσῃ καὶ θὰ καταστήσῃ ἄχρηστα ὅλα τὰ τεχνάσματα αὐτοῦ. Καὶ δὲν εἶπεν ὅτι, θὰ ἁρπάσῃ τὰ πράγματα τοῦ διαβόλου, ἀλλὰ «θὰ τὰ διαρπάσῃ», διὰ νὰ δείξῃ ὅτι αὐτὸ θὰ συνέβαινε μετὰ μεγάλης δυνάμεως.

3. Τὸν ὀνομάζει δὲ τὸν διάβολον ἰσχυρόν, ὄχι ἐπειδὴ ἐκ φύσεως εἶναι ἰσχυρός, μὴ γένοιτο, ἀλλὰ διὰ νὰ δείξῃ τὴν ἀρχικὴν δύναμίν του, ἡ ὁποία ἐδημιουργήθη ἀπὸ τὴν ἰδικήν μας ἀδιαφορίαν.

«Ἐκεῖνος ποὺ δὲν εἶναι μαζί μου, εἶναι ἐναντίον μου, καὶ ἐκεῖνος ποὺ δὲν συγκεντρώνει μαζὶ μὲ ἐμέ, αὐτὸς σκορπίζει». Νὰ καὶ ἡ τετάρτη ἀπάντησις. Διότι, λέγει, ποία εἶναι ἡ ἰδική μου ἐπιθυμία; Νὰ σᾶς ὁδηγήσω κοντὰ εἰς τὸν Θεόν, νὰ σᾶς διδάξω τὴν ἀρετήν, νὰ σᾶς ἐξαγγείλω τὴν βασιλείαν τῶν οὐρανῶν. Τί θέλουν δὲ ὁ διάβολος καὶ οἱ δαίμονες; Τὰ ἀντίθετα ἀπὸ αὐτά. Πῶς λοιπὸν ἐκεῖνος ποὺ δὲν συγκεντρώνει μαζὶ μὲ ἐμέ, οὔτε εἶναι μαζί μου, ἐπρόκειτο νὰ συμπράξῃ μὲ ἐμέ; Καὶ διατί λέγω νὰ συμπράξῃ; Διότι ἀντίθετα θὰ εἶχε τὴν ἐπιθυμίαν νὰ διασκορπίσῃ ὅλα τὰ ἰδικά μου. Αὐτὸς λοιπὸν ποὺ ὄχι μόνον δὲν συμπράττει μαζί μου, ἀλλὰ καὶ διασκορπίζει, πῶς θὰ ἦτο δυνατὸν νὰ δείξῃ τόσην ὁμόνοιαν πρὸς ἐμέ, ὥστε μαζί μου νὰ ἐκδιώκῃ τοὺς δαίμονας; Αὐτὸ δὲ φυσικὸν εἶναι νὰ ὑπονοήσωμεν ὅτι δὲν ἐλέχθη μό-

διαβόλου μόνον, ἀλλὰ καὶ αὐτὸν περὶ ἑαυτοῦ εἰκὸς ὑποπτεύειν εἰρηκέναι, ὡς καὶ κατὰ τοῦ διαβόλου ὄντος καὶ σκορπίζοντος τὰ ἐκείνου.

Καὶ πῶς, φησίν, ὁ μὴ ὢν μετ' ἐμοῦ, κατ' ἐμοῦ ἐστιν;
5 *Αὐτῷ τούτῳ τῷ μὴ συνάγειν. Εἰ δὲ τοῦτο ἀληθές, πολλῷ μᾶλλον ὁ κατ' αὐτοῦ ὤν. Εἰ γὰρ ὁ μὴ συμπράττων, ἐχθρός, πολλῷ μᾶλλον ὁ πολεμῶν. Ταῦτα δὲ πάντα λέγει, ἵνα δείξῃ πολλὴν αὐτοῦ πρὸς τὸν διάβολον τὴν ἔχθραν καὶ ἄφατον οὖσαν. Εἰπὲ γάρ μοι, εἰ δέοι τινὶ πολεμῆσαι, ὁ μὴ βουλό-*
10 *μενός σοι συμμαχῆσαι, αὐτῷ τούτῳ οὐκ ἔστι κατὰ σοῦ; Εἰ δὲ ἀλλαχοῦ φησιν, «Ὁ μὴ ὢν καθ' ὑμῶν, ὑπὲρ ὑμῶν ἐστιν», οὐκ ἔστιν ἐναντίον τούτῳ. Ἐνταῦθα γὰρ ἔδειξε κατ' αὐτῶν ὄντα, ἐκεῖ δὲ δείκνυσιν ἐν μέρει μετ' αὐτῶν ὄντα· «Ἐν γὰρ τῷ ὀνόματί σου», φησίν, «ἐκβάλλουσι τὰ δαιμόνια».*

15 *Ἐμοὶ δὲ δοκεῖ ἐνταῦθα καὶ Ἰουδαίους αἰνίττεσθαι, μετὰ τοῦ διαβόλου στήσας αὐτούς. Καὶ γὰρ καὶ αὐτοὶ κατ' αὐτοῦ ἦσαν καὶ ἐσκόρπιζον ἃ συνήγαγεν. Ὅτι γὰρ καὶ αὐτοὺς ἠνίττετο, ἐδήλωσεν οὕτως εἰπών· «Διὰ τοῦτο λέγω ὑμῖν, ὅτι πᾶσα ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώ-*
20 *ποις».*

Ἐπειδὴ γὰρ ἀπελογήσατο καὶ τὴν ἀντίθεσιν ἔλυσε καὶ ἀπέδειξεν ἀναισχυντοῦντας μάτην, φοβεῖ λοιπόν. Καὶ γὰρ καὶ τοῦτο συμβουλῆς οὐ μικρὸν μέρος καὶ διορθώσεως, τὸ μὴ μόνον ἀπολογεῖσθαι καὶ πείθειν, ἀλλὰ καὶ ἀπειλεῖν, ὃ
25 *πολλαχοῦ ποιεῖ νομοθετῶν καὶ συμβουλεύων. Καὶ δοκεῖ μὲν ἀσάφειαν ἔχειν πολλὴν τὸ εἰρημένον· ἐὰν δὲ προσέχωμεν, εὔκολον ἕξει τὴν λύσιν.*

---

6. Λουκᾶ 9, 50.
7. Πρβλ. Ματθ. 7, 22.

νον διὰ τὸν διάβολον, ἀλλὰ καὶ διὰ τὸν ἴδιον τὸν ἑαυτόν του, διότι καταπολεμεῖ τὸν διάβολον καὶ διασκορπίζει τὰ ὑπάρχοντα ἐκείνου.

Καὶ πῶς, θὰ εἰπῇ κάποιος, εἶναι ἐναντίον μου, ἐκεῖνος ποὺ δὲν εἶναι μὲ ἐμέ; Ἁπλούστατα μὲ τὸ ὅτι δὲν συγκεντρώνει μαζί μου. Ἐὰν δὲ αὐτὸ εἶναι ἀληθές, πολὺ περισσότερον θὰ εὑρίσκῃ αὐτὸ ἐφαρμογὴν εἰς ἐκεῖνον ποὺ εἶναι ἐναντίον του. Διότι ἐάν, ὅποιος δὲν συμπράττει, εἶναι ἐχθρός, πολὺ περισσότερον θὰ εἶναι ἐκεῖνος ποὺ τὸν καταπολεμεῖ. Ὅλα αὐτὰ δὲ τὰ λέγει διὰ νὰ δείξῃ, ὅτι μεγάλη καὶ ἀπερίγραπτος εἶναι ἡ ἔχθρα αὐτοῦ πρὸς τὸν διάβολον. Διότι εἰπέ μου, σὲ παρακαλῶ, ἐὰν πρέπει νὰ πολεμήσῃς ἐναντίον κάποιου, ἐκεῖνος ποὺ δὲν θέλει νὰ συμμαχήσῃ μαζί σου δὲν εἶναι ἐχθρός σου δι' αὐτὸν ἀκριβῶς τὸν λόγον; Ἐὰν δὲ εἰς ἄλλο σημεῖον λέγῃ ὅτι, «ἐκεῖνος ποὺ δὲν εἶναι ἐναντίον σας, εἶναι μὲ τὸ μέρος σας»[6], αὐτὸ δὲν ἀντιφάσκει πρὸς αὐτὸ ποὺ λέγεται ἐδῶ. Διότι εἰς τὴν περίπτωσιν αὐτὴν ἀπέδειξεν ὅτι εἶναι ἐναντίον αὐτῶν, ἐνῷ ἐκεῖ ἀποδεικνύει ὅτι ἐν μέρει εἶναι μαζί των. Διότι, λέγει· «ἐπ' ὀνόματί σου ἐκδιώκουν τοὺς δαίμονας»[7].

Ἐγὼ νομίζω ὅτι ἐδῶ ὑπονοεῖ καὶ τοὺς Ἰουδαίους, τοὺς ὁποίους ἐτοποθέτησε μὲ τὸ μέρος τοῦ διαβόλου. Καθόσον καὶ αὐτοὶ ἦσαν ἐναντίον του καὶ ἐσκόρπιζαν ὅσα συνεκέντρωνεν ὁ Κύριος. Διότι τὸ ὅτι ὑπῃνίσσετο καὶ τοὺς Ἰουδαίους τὸ ἐδήλωσε μὲ τοὺς λόγους του· «Διὰ τοῦτο σᾶς λέγω, ὅτι κάθε ἁμαρτία καὶ βλασφημία θὰ συγχωρηθῇ εἰς τοὺς ἀνθρώπους».

Ἀφοῦ λοιπὸν ἀπελογήθη καὶ ἀπήντησεν εἰς τὰς ἀντιρρήσεις των καὶ τοὺς ἀπέδειξεν ὅτι μάταια ἀναισχυντοῦν, τώρα πλέον τοὺς ἐκφοβίζει καθόσον καὶ αὐτὸς ὁ τρόπος δὲν εἶναι μικρὸν μέσον συμβουλῆς καὶ διορθώσεως, δηλαδὴ τὸ νὰ μὴ ἀπολογῆται καὶ νὰ μὴ προσπαθῇ νὰ τοὺς πείσῃ μόνον, ἀλλὰ καὶ νὰ τοὺς ἀπειλῇ, πρᾶγμα ποὺ τὸ κάνει πολλὰς φοράς, ὅταν νομοθετῇ καὶ τοὺς συμβουλεύῃ. Καὶ φαίνεται μὲν ὅτι τὰ λεχθέντα περιέχουν πολλὴν ἀσάφειαν, ἐὰν ὅμως προσέξωμεν, θὰ εὕρωμεν εὐκόλως τὴν ἀπάντησιν.

Πρότερον οὖν αὐτῶν ἐπακοῦσαι καλὸν τῶν ῥημάτων. «Πᾶσα», φησίν, «ἁμαρτία καὶ βλασφημία ἀφεθήσεται τοῖς ἀνθρώποις, ἡ δὲ τοῦ Πνεύματος βλασφημία οὐκ ἀφεθήσεται αὐτοῖς. Καὶ ὃς ἂν εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, 5 ἀφεθήσεται αὐτῷ, ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ Πνεύματος τοῦ ἁγίου, οὐκ ἀφεθήσεται αὐτῷ, οὔτε ἐν τῷ αἰῶνι τούτῳ, οὔτε ἐν τῷ μέλλοντι». Τί τοίνυν ἐστὶν ὅ φησι; Πολλὰ κατ' ἐμοῦ εἰρήκατε, ὅτι πλάνος, ὅτι ἀντίθεος. Ταῦτα ὑμῖν ἀφίημι μετανοοῦσι, καὶ οὐκ ἀπαιτῶ δίκας ὑμᾶς· ἡ δὲ τοῦ Πνεύμα-10 τος βλασφημία οὐκ ἀφεθήσεται, οὐδὲ μετανοοῦσι. Καὶ πῶς ἂν ἔχοι τοῦτο λόγον; Καὶ γὰρ καὶ αὕτη ἀφείθη μετανοοῦσι. Πολλοὶ γοῦν τῶν ταῦτα εἰρηκότων ἐπίστευσαν ὕστερον καὶ πάντα αὐτοῖς ἀφείθη.

Τί οὖν ἐστιν ὅ φησιν; Ὅτι ὑπὲρ πάντα αὕτη ἡ ἁμαρ-15 τία ἀσύγγνωστος. Τί δήποτε; Ὅτι αὐτὸν μὲν ἠγνόουν ὅστις ποτὲ ἦν, τοῦ δὲ Πνεύματος ἱκανὴν εἰλήφασι πεῖραν. Καὶ γὰρ οἱ προφῆται δι' αὐτοῦ ἐφθέγξαντο ἅπερ ἐφθέγξαντο, καὶ πάντες δὲ οἱ ἐν τῇ Παλαιᾷ μεγίστην περὶ αὐτοῦ εἶχον ἔννοιαν. Ὃ τοίνυν λέγει, τοῦτό ἐστιν· ἔστω, ἐμοὶ προσπταίε-20 τε διὰ τὴν σάρκα τὴν περικειμένην· μὴ καὶ περὶ τοῦ Πνεύματος ἔχετε εἰπεῖν, ὅτι ἀγνοοῦμεν αὐτό; Διὰ δὴ τοῦτο ἀσύγγνωστος ὑμῖν ἔσται ἡ βλασφημία καὶ ἐνταῦθα καὶ ἐκεῖ δώσετε δίκην. Πολλοὶ μὲν γὰρ ἐνταῦθα ἐκολάσθησαν μόνον, ὡς ὁ πεπορνευκώς, ὡς οἱ ἀναξίως μετασχόντες μυστηρίων 25 παρὰ Κορινθίοις· ὑμεῖς δὲ καὶ ἐνταῦθα καὶ ἐκεῖ.

Κατ' ἀρχὴν λοιπὸν εἶναι καλὸν νὰ ἀκούσωμεν τὰ ἴδια τὰ λόγια· «Πᾶσα ἁμαρτία», λέγει, «καὶ βλασφημία θὰ συγχωρηθῇ εἰς τοὺς ἀνθρώπους, ἡ βλασφημία των ὅμως κατὰ τοῦ ἁγίου Πνεύματος δὲν θὰ τοὺς συγχωρηθῇ. Καὶ ἐκεῖνος ποὺ θὰ εἰπῇ λόγον ἐναντίον τοῦ Υἱοῦ τοῦ ἀνθρώπου θὰ συγχωρηθῇ, ἐκεῖνος ὅμως ποὺ θὰ εἰπῇ βλάσφημον λόγον κατὰ τοῦ ἁγίου Πνεύματος, δὲν θὰ συγχωρηθῇ οὔτε εἰς τὴν παροῦσαν οὔτε εἰς τὴν μέλλουσαν ζωήν». Τί σημαίνουν λοιπὸν αὐτὰ ποὺ λέγει ἐδῶ; Πολλὰ εἴπατε ἐναντίον μου, ὅτι εἶμαι πλάνος, ὅτι εἶμαι ἀντίθεος. Ὅλα αὐτὰ σᾶς τὰ συγχωρῶ, ἐφ' ὅσον μετανοήσετε, καὶ δὲν ζητῶ τὴν τιμωρίαν σας, ἡ βλασφημία ὅμως κατὰ τοῦ ἁγίου Πνεύματος δὲν θὰ συγχωρηθῇ, καὶ ἂν ἀκόμη μετανοήσετε. Καὶ πῶς δικαιολογεῖται αὐτό; Καθόσον καὶ αὐτὴ ἡ βλασφημία συνεχωρήθη εἰς ἐκείνους ποὺ μετενόησαν. Πραγματικά, πολλοὶ ἀπὸ ἐκείνους ποὺ εἶπαν τὰς κατηγορίας αὐτὰς ἐπίστευσαν ἀργότερον καὶ τοὺς συνεχωρήθησαν ὅλαι αἱ ἁμαρτίαι των.

Τί σημαίνουν λοιπὸν τὰ ὅσα λέγει; Ὅτι ἀπὸ ὅλας γενικῶς τὰς ἁμαρτίας αὐτὴ εἶναι ἀσυγχώρητος. Διὰ ποῖον λόγον; Διότι τὸν μὲν Κύριον δὲν τὸν ἐγνώριζαν ποῖος ἦτο εἰς τὴν πραγματικότητα, ἐνῷ εἶχαν γνωρίσει ἱκανὰ τὸ ἅγιον Πνεῦμα. Καθόσον οἱ προφῆται ὅ,τι εἶπαν τὸ εἶπαν διὰ μέσου τοῦ ἁγίου Πνεύματος καὶ ὅλοι οἱ ἄνθρωποι τῆς Παλαιᾶς Διαθήκης τὸ ἐγνώριζαν εἰς μεγάλον βαθμόν. Οἱ λόγοι του αὐτοὶ σημαίνουν τὸ ἑξῆς· Ἔστω ὅτι ἀδυνατεῖτε νὰ ἀντιληφθῆτε ποῖος εἶμαι ἐγώ, ἐπειδὴ φέρω τὴν ἀνθρωπίνην σάρκα, μήπως ὅμως ἠμπορεῖτε νὰ εἰπῆτε καὶ διὰ τὸ ἅγιον Πνεῦμα, ὅτι δὲν τὸν γνωρίζομεν; Ἀκριβῶς διὰ τοῦτο λοιπὸν θὰ εἶναι ἀσυγχώρητος ἡ βλασφημία σας καὶ θὰ τιμωρηθῆτε καὶ εἰς τὴν παροῦσαν ζωὴν καὶ ἐκεῖ εἰς τὴν μέλλουσαν. Διότι πολλοὶ μὲν ἐτιμωρήθησαν ἐδῶ μόνον, ὅπως εἶναι αὐτὸς ποὺ διέπραξε τὴν πορνείαν καὶ ἐκεῖνοι ἀπὸ τοὺς Χριστιανοὺς τῆς Κορίνθου ποὺ ἀναξίως μετεῖχον εἰς τὰ μυστήρια. Σεῖς ὅμως θὰ τιμωρηθῆτε καὶ εἰς τὴν ἐδῶ ζωὴν καὶ εἰς τὴν ἐκεῖ.

Ὅσα μὲν οὖν ἐβλασφημήσατε κατ' ἐμοῦ πρὸ τοῦ σταυροῦ, ἀφίημι· καὶ αὐτὸ δὲ τοῦ σταυροῦ τὸ τόλμημα· καὶ ὑπὲρ τῆς ἀπιστίας οὐ κατακριθήσεσθε μόνης. (Οὐδὲ γὰρ οἱ πρὸ τοῦ σταυροῦ πιστεύσαντες πεπληρωμένην πίστιν εἶχον. Καὶ 5 πολλαχοῦ δὲ παραγγέλλει μηδενὶ κατάδηλον αὐτὸν ποιεῖν πρὸ τοῦ πάθους· καὶ ἐν τῷ σταυρῷ ταύτην ἔλεγεν ἀφεθῆναι αὐτοῖς τὴν ἁμαρτίαν). Ἃ δὲ περὶ τοῦ Πνεύματος εἰρήκατε, ταῦτα οὐχ ἕξει συγγνώμην.

Ὅτι γὰρ περὶ τῶν εἰς αὐτὸν εἰρημένων πρὸ τοῦ 10 σταυροῦ φησιν, ἐπήγαγεν· «Ὃς ἂν εἴπῃ λόγον κατὰ τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ, ὃς δ' ἂν εἴπῃ κατὰ τοῦ ἁγίου Πνεύματος», οὐκέτι. Διατί; Ὅτι τοῦτο γνώριμον ὑμῖν ἐστι καὶ πρὸς τὰ δῆλα ἀναισχυντεῖτε. Εἰ γὰρ καὶ ἐμὲ λέγετε ἀγνοεῖν, οὐ δήπου κἀκεῖνο ἀγνοεῖτε, 15 ὅτι τὸ δαίμονας ἐκβάλλειν καὶ ἰάσεις ἐπιτελεῖν τοῦ ἁγίου Πνεύματος ἔργον ἐστίν. Οὐκ ἄρα ἐμὲ ὑβρίζετε μόνον, ἀλλὰ καὶ τὸ Πνεῦμα τὸ ἅγιον. Διὸ καὶ ἀπαραίτητος ὑμῖν ἡ δίκη καὶ ἐνταῦθα καὶ ἐκεῖ. Καὶ γὰρ τῶν ἀνθρώπων οἱ μὲν καὶ ἐνταῦθα κολάζονται καὶ ἐκεῖ, οἱ δὲ ἐνταῦθα μόνον, οἱ δὲ 20 ἐκεῖ μόνον, οἱ δὲ οὐδὲ ἐνταῦθα, οὐδὲ ἐκεῖ. Ἐνταῦθα μὲν καὶ ἐκεῖ, ὡς οὗτοι αὐτοί· (καὶ γὰρ καὶ ἐνταῦθα ἔδοσαν δίκην, ἡνίκα ἔπαθον τὰ ἀνήκεστα ἐκεῖνα τῆς πόλεως ἁλούσης· καὶ ἐκεῖ χαλεπωτάτην ὑπομενοῦσιν)· ὡς οἱ Σοδόμων πολῖται, ὡς ἕτεροι πολλοί. Ἐκεῖ δὲ μόνον, ὡς ὁ πλούσιος 25 ὁ ἀποτηγανιζόμενος, καὶ οὐδὲ σταγόνος κύριος ὤν. Ἐνταῦθα

---

8. Τῆς Ἱερουσαλήμ, ἡ ὁποία ἐγένετο τὸ 70 μ.Χ. ὑπὸ τοῦ Ρωμαίου αὐτοκράτορος Τίτου.

Ὅσας λοιπὸν βλασφημίας εἴπατε ἐναντίον μου πρὶν νὰ σταυρωθῶ σᾶς τὰς συγχωρῶ. Καὶ αὐτὸ ἀκόμη τὸ τόλμημά σας νὰ μὲ σταυρώσετε σᾶς τὸ συγχωρῶ. Καὶ δὲν θὰ κατακριθῆτε διὰ τὴν ἐπιστίαν σας μόνον. (Διότι οὔτε καὶ ἐκεῖνοι ποὺ ἐπίστευσαν πρὸ τοῦ σταυροῦ εἶχαν ὁλοκληρωμένην πίστιν. Καὶ εἰς πολλὰς δὲ περιπτώσεις παραγγέλλει εἰς τοὺς ἀνθρώπους νὰ μὴ φανερώνουν τὴν πίστιν των εἰς αὐτὸν πρὶν ἀπὸ τὸ πάθος του. Καὶ ὅταν εὑρίσκετο εἰς τὸν σταυρὸν εἶπεν εἰς τὸν Πατέρα του νὰ συγχωρήσῃ αὐτὴν τὴν ἁμαρτίαν). Αὐτὰ ὅμως ποὺ εἴπατε ἐναντίον τοῦ ἁγίου Πνεύματος δὲν θὰ συγχωρηθοῦν.

Διότι διὰ νὰ δείξῃ ὅτι τὰ ὅσα λέγει διὰ τὸν ἑαυτόν του ἀναφέρονται εἰς τὸν πρὸ τῆς σταυρώσεως χρόνον προσέθεσεν· «Αὐτὸς δὲ ποὺ θὰ ὁμιλήσῃ ἐναντίον τοῦ Υἱοῦ τοῦ ἀνθρώπου, θὰ συγχωρηθῇ, ἐκεῖνος ὅμως ποὺ θὰ εἰπῇ βλάσφημον λόγον κατὰ τοῦ ἁγίου Πνεύματος» δὲν θὰ συγχωρηθῇ ποτέ. Διατί; Διότι τὸ ἅγιον Πνεῦμα σᾶς εἶναι γνωστὸν καὶ φέρεσθε κατὰ τρόπον ἀναίσχυντον πρὸς ὅ,τι εἶναι φανερόν. Διότι καὶ ἂν ἀκόμη λέγετε ὅτι δὲν γνωρίζετε ἐμένα, δὲν ἀγνοεῖτε βέβαια καὶ ἐκεῖνο, διότι ἡ ἐκδίωξις τῶν δαιμόνων καὶ ἡ θεραπεία τῶν ἀσθενῶν εἶναι ἔργον τοῦ ἁγίου Πνεύματος. Ἑπομένως δὲν ὑβρίζετε ἐμὲ μόνον, ἀλλὰ καὶ τὸ ἅγιον Πνεῦμα. Διὰ τοῦτο καὶ εἶναι ἀναπόφευκτος ἡ τιμωρία σας καὶ εἰς τὴν ἐδῶ ζωὴν καὶ εἰς τὴν ἐκεῖ. Καθόσον ἀπὸ τοὺς ἀνθρώπους, ἄλλοι μὲν τιμωροῦνται καὶ ἐδῶ καὶ ἐκεῖ, ἄλλοι δὲ μόνον ἐδῶ, ἐνῷ ἄλλοι μόνον ἐκεῖ, καὶ ἄλλοι πάλιν οὔτε ἐδῶ, οὔτε ἐκεῖ. Τιμωροῦνται μὲν ἐδῶ καὶ ἐκεῖ, ὅπως ἀκριβῶς συμβαίνει μὲ αὐτοὺς τοὺς ἰδίους. (Καθόσον καὶ ἐδῶ ἐτιμωρήθησαν, ὅταν ὑπέστησαν τὰ φοβερὰ ἐκεῖνα βάσανα κατὰ τὴν ἅλωσιν τῆς πόλεώς των[8] καὶ ἐκεῖ θὰ ὑποστοῦν τὴν πιὸ φοβερὰν τιμωρίαν)· ἐπίσης, ὅπως ἐτιμωρήθησαν οἱ κάτοικοι τῶν Σοδόμων καὶ ὅπως πολλοὶ ἄλλοι. Ἐκεῖ δὲ μόνον, ὅπως ὁ πλούσιος ποὺ κάποτε ἐκαίγετο καὶ δὲν εἶχεν οὔτε μίαν σταγόνα νεροῦ. Ἐδῶ δέ, ὅπως ὁ Χριστιανὸς εἰς

δέ, ὡς ὁ πεπορνευκὼς παρὰ Κορινθίοις. Οὔτε δὲ ἐνταῦθα, οὔτε ἐκεῖ, ὡς οἱ ἀπόστολοι, ὡς οἱ προφῆται, ὡς ὁ μακάριος Ἰώβ· οὐ γὰρ δὴ κολάσεως ἦν ἅπερ ἔπασχον, ἀλλ' ἀγώνων καὶ παλαισμάτων.

5 *4. Σπουδάσωμεν τοίνυν τῆς τούτων γενέσθαι μερίδος· εἰ δὲ μὴ τούτων, κἂν τῶν ἐνταῦθα ἀπολουομένων τὰ ἁμαρτήματα. Καὶ γὰρ φοβερὸν ἐκεῖνο τὸ κριτήριον καὶ ἀπαραίτητος ἡ τιμωρία καὶ ἀνήκεστος ἡ κόλασις. Εἰ δὲ βούλει μηδὲ ἐνταῦθα δοῦναι δίκην, σαυτῷ δίκασον, ἀπαίτησον σαυτὸν εὐ-*
10 *θύνας. Ἄκουσον Παύλου λέγοντος, ὅτι «Εἰ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα». Ἂν τοῦτο ποιῇς, ὁδῷ προβαίνων καὶ ἐπὶ στέφανον ἥξεις.*

Καὶ πῶς ἀπαιτήσομεν ἑαυτοὺς δίκην; φησί. Θρήνησον, στέναξον πικρόν, ταπείνωσον σαυτόν, κάκωσον, ἀνάμνη-
15 *σον τῶν ἁμαρτημάτων κατ' εἶδος. Οὐ μικρὰ τοῦτο βάσανος ψυχῆς. Εἴ τις ἐν κατανύξει γέγονεν, οἶδεν ὅτι μάλιστα πάντων ἡ ψυχὴ τούτῳ κολάζεται. Εἴ τις γέγονεν ἐν ἁμαρτιῶν μνήμῃ, οἶδε τὴν ἐντεῦθεν ὀδύνην. Διὰ τοῦτο δικαιοσύνην ἔπαθλον τίθησιν ὁ Θεὸς τῇ τοιαύτῃ μετανοίᾳ, λέγων· «Λέγε*
20 *σὺ πρῶτος τὰς ἁμαρτίας σου, ἵνα δικαιωθῇς». Οὐ γάρ ἐστιν, οὐκ ἔστι μικρὸν εἰς διόρθωσιν, τὸ πάντα συναγαγόντας τὰ ἁμαρτήματα, κατ' εἶδος αὐτὰ στρέφειν συνεχῶς καὶ ἀναλογίζεσθαι. Ὁ γὰρ τοῦτο ποιῶν οὕτω κατανυγήσεται, ὡς μήτε τοῦ ζῆν ἄξιον ἑαυτὸν εἶναι νομίζειν· ὁ δὲ τοῦτο νομίζων,*
25 *κηροῦ παντὸς ἁπαλώτερος ἔσται.*

---

9. Α' Κορ. 11, 31.
10. Ἡσ. 43, 26.

τὴν Κόρινθον ποὺ διέπραξε τὴν πορνείαν. Δὲν τιμωροῦνται δὲ ἐδῶ, οὔτε ἐκεῖ, ὅπως οἱ ἀπόστολοι, ὅπως οἱ προφῆται, ὅπως ὁ μακάριος Ἰώβ. Διότι βέβαια τὰ ὅσα ὑπέστησαν δὲν ἦσαν τιμωρία, ἀλλὰ ἀγῶνες καὶ παλαίσματα.

4. Ἂς προσπαθήσωμεν λοιπὸν νὰ ἀνήκωμεν εἰς τὴν μερίδα αὐτῶν· ἐὰν δὲν τὸ κατορθώσωμεν αὐτό, τουλάχιστον ἂς συμπεριληφθῶμεν εἰς ἐκείνους ποὺ καθαρίζονται ἐδῶ εἰς τὴν γῆν ἀπὸ τὰς ἁμαρτίας των. Διότι τὸ δικαστήριον ἐκεῖνο εἶναι φοβερόν, καὶ ἀναπόφευκτος ἡ τιμωρία καὶ ἀνυπόφορος ἡ κόλασις. Ἐὰν ὅμως θέλῃς νὰ μὴ τιμωρηθῇς οὔτε ἐδῶ, τότε δίκασε τὸν ἑαυτόν σου, ζήτησε εὐθύνας ἀπὸ αὐτόν. Ἄκουσε τὸν Παῦλον ποὺ λέγει· «ἐὰν ἀνεκρίναμεν τοὺς ἑαυτούς μας, δὲν θὰ κατεδικαζόμεθα»[9]. Ἂν αὐτὸ πράττῃς θὰ προοδεύσῃς ὀλίγον κατ' ὀλίγον καὶ θὰ φθάσῃς μέχρι τὸν στέφανον.

Καὶ πῶς θὰ ζητήσωμεν τὴν τιμωρίαν τοῦ ἑαυτοῦ μας; θὰ εἰπῇ κάποιος. Μὲ τὸ νὰ θρηνήσῃς, νὰ στενάξῃς πικρά, νὰ ταπεινώσῃς τὸν ἑαυτόν σου, νὰ τὸν ταλαιπωρήσῃς καὶ νὰ ἐνθυμηθῇς ἕνα πρὸς ἕνα τὰ ἁμαρτήματά σου. Αὐτὰ δὲν εἶναι μικρὰ βάσανα τῆς ψυχῆς. Ἐὰν δὲ κανεὶς ἔχῃ φθάσει εἰς πνευματικὴν κατάνυξιν, γνωρίζει καλὰ ὅτι ἡ ψυχὴ κατ' αὐτὸν τὸν τρόπον πρὸ πάντων τιμωρεῖται. Ἐὰν πάλιν κανεὶς σκέπτεται διαρκῶς τὰς ἁμαρτίας του, γνωρίζει καλὰ τὴν ὀδύνην ποὺ νοιώθει ἀπὸ αὐτάς. Διὰ τοῦτο ὁ Θεὸς ὥρισεν ὡς βραβεῖον τῆς μετανοίας αὐτοῦ τοῦ εἴδους τὴν δικαίωσιν μὲ τοὺς ἑξῆς λόγους· «Λέγε σὺ πρῶτος τὰς ἁμαρτίας σου, διὰ νὰ δικαιωθῇς»[10]. Διότι δὲν εἶναι, πραγματικὰ δὲν εἶναι, καθόλου μικρὸν πρᾶγμα διὰ τὴν διόρθωσίν μας τὸ νὰ συγκεντρώσωμεν ὅλας τὰς ἁμαρτίας μας καὶ νὰ τὰς σκεπτώμεθα καὶ νὰ τὰς συλλογιζώμεθα συνεχῶς μίαν-μίαν. Διότι ἐκεῖνος ποὺ ἐνεργεῖ κατ' αὐτὸν τὸν τρόπον θὰ φθάσῃ εἰς τόσον μεγάλην πνευματικὴν κατάνυξιν ὥστε θὰ νομίζῃ ὅτι δὲν ἀξίζει οὔτε καὶ νὰ ζῇ. Ἐκεῖνος δὲ ποὺ ἔχει φθάσει εἰς αὐτὴν τὴν κατάστασιν θὰ γίνῃ περισσότερον εὔπλαστος καὶ ἀπὸ τὸ κηρί.

Μὴ γάρ μοι πορνείας εἴπῃς μόνον, μηδὲ μοιχείας, μηδὲ ταῦτα τὰ δῆλα καὶ ὡμολογημένα παρὰ πᾶσιν· ἀλλὰ καὶ τὰς λαθραίους ἐπιβουλὰς καὶ τὰς συκοφαντίας καὶ τὰς κακηγορίας καὶ τὰς κενοδοξίας καὶ τὸν φθόνον καὶ πάντα τὰ τοι-
5 *αῦτα σύναγε. Οὐδὲ γὰρ ταῦτα μικρὰν οἴσει κόλασιν. Καὶ γὰρ ὁ λοίδορος εἰς γέενναν ἐμπεσεῖται· καὶ ὁ μεθύων οὐδὲν ἔχει κοινὸν πρὸς τὴν βασιλείαν· καὶ ὁ μὴ ἀγαπῶν τὸν πλησίον οὕτω προσκρούει Θεῷ, ὡς μηδὲ μαρτυροῦντος αὐτοῦ ὠφελεῖσθαι· καὶ ὁ τῶν οἰκείων ἀμελῶν τὴν πίστιν ἤρνηται·*
10 *καὶ ὁ πένητας περιορῶν εἰς τὸ πῦρ πέμπεται.*

Μὴ τοίνυν μικρὰ ταῦτα νόμιζε εἶναι, ἀλλὰ σύναγε πάντα καὶ ὡς ἐν βιβλίῳ γράφε. Ἂν γὰρ σὺ γράψῃς, ὁ Θεὸς ἐξαλείφει· ὥσπερ οὖν ἐὰν σὺ μὴ γράψῃς, ὁ Θεὸς καὶ ἐγγράφει καὶ δίκην ἀπαιτεῖ. Πολὺ τοίνυν βέλτιον παρ' ἡμῶν αὐ-
15 *τὰ γραφῆναι καὶ ἄνωθεν ἐξαλειφθῆναι ἢ τοὐναντίον, ἡμῶν ἐπιλαθομένων, τὸν Θεὸν αὐτὰ πρὸ τῶν ὀφθαλμῶν ἐνεγκεῖν τῶν ἡμετέρων κατὰ τὴν ἡμέραν ἐκείνην.*

Ἵν' οὖν μὴ τοῦτο γένηται, πάντα μετὰ ἀκριβείας ἀναλογιζώμεθα καὶ εὑρήσομεν πολλῶν ἑαυτοὺς ὑπευθύνους ὄν-
20 *τας. Τίς γὰρ πλεονεξίας καθαρός; Μὴ γάρ μοι τὸ μέτρον εἴπῃς, ἀλλ' ὅτι καὶ ἐν τῷ μικρῷ τὴν αὐτὴν δώσομεν δίκην, τοῦτο ἐννόει καὶ μετανόει. Τίς ὕβρεως ἀπήλλακται; τοῦτο δὲ εἰς γέενναν ἐμβάλλει. Τίς λάθρα τὸν πλησίον οὐκ ἐκακηγόρησε; τοῦτο δὲ βασιλείας ἀποστερεῖ. Τίς οὐκ ἀπενοή-*
25 *θη; οὗτος δὲ πάντων ἀκαθαρτότερος. Τίς δὲ οὐκ εἶδεν ἀ-*

Μὴ μοῦ ἀναφέρῃς βέβαια μόνον τὰς πορνείας, οὔτε τὰς μοιχείας, οὔτε τὰ ἁμαρτήματα ἐκεῖνα ποὺ εἶναι φανερὰ καὶ τὰ γνωρίζουν ὅλοι οἱ ἄνθρωποι. Ἀλλὰ συμπερίλαβε καὶ τὰς ἀποκρύφους κακίας των, τὰς συκοφαντίας των, τὰς κατηγορίας των, τὰς κενοδοξίας των, τὸν φθόνον καὶ ὅλα τὸ παρόμοια. Διότι οὔτε καὶ αὐτὰ κολάζουν εἰς μικρὸν βαθμόν. Καθόσον καὶ ὁ λοίδορος θὰ ριφθῇ εἰς τὴν γέενναν καὶ ὁ μέθυσος δὲν ἔχει καμμίαν σχέσιν μὲ τὴν βασιλείαν, καὶ ἐκεῖνος ποὺ δὲν ἀγαπᾷ τὸν πλησίον του συγκρούεται κατὰ τοιοῦτον τρόπον μὲ τὸν Θεόν, ὥστε οὔτε καὶ ἐὰν ἤθελε ὑποστῇ τὸν μαρτυρικὸν θάνατον ὠφελεῖται εἰς τίποτε. Ἀλλὰ καὶ ἐκεῖνος ποὺ παραμελεῖ τοὺς ἰδικούς του ἔχει ἀρνηθῆ τὴν πίστιν του καὶ ὁ περιφρονῶν τοὺς πτωχοὺς ρίπτεται εἰς τὸ πῦρ.

Μὴ τὰ θεωρῇς λοιπὸν ἀσήμαντα αὐτά, ἀλλὸ συγκέντρωσέ τα ὅλα καὶ κατάγραψέ τα ὡσὰν εἰς βιβλίον. Διότι ἂν τὰ γράψῃς σύ, ὁ Θεὸς τὰ σβήνει. Ὅπως, πάλιν, ἐὰν δὲν τὰ γράψῃς σύ, ὁ Θεὸς καὶ τὰ καταγράφει καὶ ζητεῖ τὴν τιμωρίαν σου. Ἑπομένως εἶναι πολὺ προτιμότερον νὰ καταγραφοῦν αὐτὰ ἀπὸ ἡμᾶς καὶ νὰ σβησθοῦν ἀπὸ τὸν Θεόν, παρὰ νὰ συμβῇ τὸ ἀντίθετον, νὰ λησμονήσωμεν δηλαδὴ ἡμεῖς καὶ νὰ τὰ παρουσιάσῃ ὁ Θεὸς ἔμπροσθέν μας κατὰ τὴν ἡμέραν ἐκείνην τῆς κρίσεως.

Διὰ νὰ μὴ συμβῇ λοιπὸν αὐτό, ἂς ἀναλογιζώμεθα τὰ πάντα μὲ ἀκρίβειαν καὶ τότε θὰ διαπιστώσωμεν ὅτι εἴμεθα ὑπεύθυνοι διὰ πολλὰς ἁμαρτίας. Διότι ποῖος εἶναι καθαρὸς ἀπὸ τὴν πλεονεξίαν; Μὴ μοῦ προβάλῃς βέβαια ὡσὰν ἐπιχείρημα τὴν μετρίαν κατάστασιν εἰς τὴν ὁποίαν εὑρίσκεσαι, ἀλλὰ νὰ σκέπτεσαι ὅτι διὰ τὰ μικρὰ ἁμαρτήματα θὰ τιμωρηθῶμεν τὸ ἴδιο καὶ διὰ τοῦτο νὰ μετανοήσῃς. Ποῖος εἶναι ἀπηλλαγμένος ἀπὸ τὴν ὕβριν; αὐτὴ σὲ ρίπτει εἰς τὴν γέενναν. Ποῖος δὲν κατηγόρησε τὸν πλησίον του κρυφά; καὶ αὐτὸ σοῦ στερεῖ τὴν βασιλείαν. Ποῖος δὲν ὑπερηφανεύθη; ὁ ἄνθρωπος αὐτὸς εἶναι ὁ πιὸ ἀκάθαρτος ἀπὸ ὅλους. Ποῖος

κολάστοις ὀφθαλμοῖς; οὗτος δὲ μοιχὸς ἀπηρτισμένος. Τίς οὐκ ὠργίσθη τῷ ἀδελφῷ εἰκῇ; οὗτος δὲ ἔνοχος τῷ συνεδρίῳ. Τίς οὐκ ὤμοσε; τοῦτο δὲ ἐκ τοῦ πονηροῦ. Τίς οὐκ ἐπιώρκησεν; οὗτος δὲ πλέον ἢ τοῦ πονηροῦ. Τίς οὐκ ἐδού-
5 *λευσε τῷ μαμωνᾷ; οὗτος δὲ τῆς γνησίας ἐξέπεσε τοῦ Χριστοῦ δουλείας. Ἔχω καὶ ἕτερα μείζονα τούτων εἰπεῖν· ἀλλ' ἀρκεῖ καὶ ταῦτα, καὶ ἱκανὰ τὸν μὴ λίθινον ὄντα μηδὲ σφόδρα ἀναίσθητον εἰς κατάνυξιν ἀγαγεῖν. Εἰ γὰρ ἕκαστον αὐτῶν εἰς γέενναν ἐμβάλλει, πάντα ὁμοῦ συνελθόντα τί οὐκ*
10 *ἐργάσεται;*

Πῶς οὖν ἐστι σωθῆναι; φησί. Τὰ ἀντίρροπα τούτων φάρμακα ἐπιτιθέντας, ἐλεημοσύνην, εὐχάς, κατάνυξιν, μετάνοιαν, ταπεινοφροσύνην, συντετριμμένην καρδίαν ὑπεροψίαν τῶν ὄντων. Μυρίας γὰρ ὁδοὺς σωτηρίας ἔτεμεν ὁ Θε-
15 *ός, ἐὰν ἐθέλωμεν προσέχειν.*

Προσέχωμεν τοίνυν καὶ διὰ πάντων τὰ τραύματα ἐκκαθαίρωμεν, ἐλεοῦντες, ὀργὴν τοῖς λελυπηκόσιν ἀφιέντες, εὐχαριστοῦντες ὑπὲρ πάντων τῷ Θεῷ, νηστεύοντες κατὰ δύναμιν, εὐχόμενοι γνησίως, φίλους ἑαυτοῖς ποιοῦντες ἐκ
20 *τοῦ μαμωνᾶ τῆς ἀδικίας. Οὕτω γὰρ δυνησόμεθα καὶ συγγνώμην ἐπὶ τοῖς πεπλημμελημένοις τυχεῖν καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἀξιωθῆναι, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

δὲν εἶδε μὲ ἀκόλαστα μάτια; Αὐτὸς δὲ εἶναι τέλειος μοιχός. Ποῖος δὲν ὠργίσθη εἰς τὰ καλὰ καθούμενα κατὰ τοῦ ἀδελφοῦ του; καὶ αὐτὸς εἶναι ἔνοχος ἐνώπιον τοῦ δικαστηρίου. Ποῖος δὲν ὡρκίσθη; Καὶ ὁ ὅρκος προέρχεται ἐκ τοῦ πονηροῦ. Ποῖος δὲν ὡρκίσθη ψευδῶς; ὁ ψευδῶς ὁρκιζόμενος εἶναι περισσότερον ἁμαρτωλὸς ἀπὸ ἐκεῖνον ποὺ ὁ ὅρκος του προέρχεται ἐκ τοῦ πονηροῦ. Ποῖος δὲν ἐδούλευσεν εἰς τὸν μαμωνᾶν; αὐτὸς ἐξέπεσε ἀπὸ τὴν γνησίαν δουλείαν τοῦ Χριστοῦ. Ἠμπορῶ νὰ ἀναφέρω καὶ ἄλλα σπουδαιότερα ἀπὸ αὐτὰ ἀλλὰ ἀρκοῦν καὶ αὐτὰ καὶ εἶναι ἱκανὰ νὰ ὁδηγήσουν εἰς πνευματικὴν κατάνυξιν ἐκεῖνον ποὺ δὲν εἶναι σκληρὸς σὰν πέτρα καὶ δὲν εἶναι εἰς μεγάλον βαθμὸν ἀναίσθητος. Διότι ἐὰν τὸ καθένα ἀπὸ αὐτὰ ρίπτῃ τὸν ἄνθρωπον εἰς τὴν κόλασιν, τί δὲν θὰ ἔκαναν, ἐὰν ἤθελαν συγκεντρωθῆ ὅλα μαζὶ εἰς τὸν αὐτὸν ἄνθρωπον;

Πῶς λοιπόν, θὰ εἰπῇ κανείς, εἶναι δυνατὸν νὰ σωθῶμεν; Ἐὰν προμηθευθῶμεν τὰ φάρμακα ποὺ ἠμποροῦν νὰ θεραπεύσουν αὐτά, ὅπως δηλαδὴ τὴν ἐλεημοσύνην, τὰς προσευχάς, τὴν κατάνυξιν, τὴν μετάνοιαν, τὴν ταπεινοφροσύνην, τὴν συντετριμμένην καρδίαν, τὴν περιφρόνησιν τῶν ὑλικῶν πραγμάτων. Διότι ὁ Θεὸς μᾶς ἐχάραξε πολλοὺς δρόμους σωτηρίας, ἐὰν θέλωμεν νὰ προσέχωμεν.

Ἂς προσέχωμεν λοιπὸν καὶ ἂς καθαρίζωμεν τὰ τραύματά μας μὲ ὅλα αὐτά, μὲ τὴν ἐλεημοσύνην, μὲ τὸ νὰ συγχωρῶμεν αὐτοὺς ποὺ μᾶς ἐλύπησαν, μὲ τὴν εὐχαριστίαν πρὸς τὸν Θεὸν δι' ὅλα, μὲ τὴν νηστείαν, μὲ τὴν ἀληθῆ προσευχὴν καὶ μὲ τὸ νὰ ἀποκτῶμεν φίλους χρησιμοποιοῦντες καλῶς τὰ χρήματα ποὺ ἀπεκτήσαμεν μὲ ἀδικίαν. Διότι ἔτσι θὰ ἠμπορέσωμεν νὰ εὕρωμεν συγχώρησιν διὰ τὰ ἁμαρτήματά μας καὶ νὰ ἐπιτύχωμεν τὰ ἀγαθά, ποὺ μᾶς ὑπεσχέθη ὁ Θεός, τὰ ὁποῖα μακάρι νὰ ἀξιωθῶμεν καὶ νὰ λάβωμεν ὅλοι, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΜΒ΄

Ματθ. 12, 33 - 37

«Ἢ ποιήσατε τὸ δένδρον καλόν, καὶ τὸν καρπὸν αὐτοῦ καλόν· ἢ ποιήσατε τὸ δένδρον σαπρόν, καὶ τὸν καρπὸν αὐτοῦ 5 σαπρόν· ἐκ γὰρ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται».

1. Πάλιν ἑτέρως αὐτοὺς καταισχύνει, καὶ οὐκ ἀρκεῖται τοῖς προτέροις ἐλέγχοις. Τοῦτο δὲ ποιεῖ, οὐχ ἑαυτὸν ἀπαλλάτων ἐγκλημάτων (ἤρκει γὰρ καὶ τὸ πρότερον), ἀλλ' αὐτοὺς διορθῶσαι βουλόμενος. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐ-10 δεὶς ὑμῶν οὔτε ἐμέμψατο τοῖς θεραπευθεῖσιν, ὡς οὐ θεραπευθεῖσιν, οὔτε εἶπεν, ὅτι πονηρὸν τὸ δαίμονος ἐλευθεροῦν. Εἰ γὰρ καὶ σφόδρα ἠναισχύντουν, οὐκ ἐδύναντο τοῦτο εἰπεῖν. Ἐπεὶ οὖν τοῖς μὲν ἔργοις οὐκ ἐπέσκηπτον, τὸν δὲ ταῦτα ἐργαζόμενον διέβαλλον, δείκνυσιν ὅτι καὶ παρὰ τοὺς κοινοὺς 15 λογισμοὺς καὶ παρὰ τὴν τῶν πραγμάτων ἀκολουθίαν ἡ κατηγορία αὕτη. Ὅπερ ἐπιτεταμένης ἐστὶν ἀναισχυντίας, τὸ μὴ μόνον πονηρεύεσθαι, ἀλλὰ καὶ τοιαῦτα συντιθέναι, ἃ καὶ παρὰ τὰς κοινάς ἐστιν ἐννοίας.

Καὶ ὅρα τὸ ἀφιλόνεικον. Οὐ γὰρ εἶπε· ποιήσατε τὸ 20 δένδρον καλόν, ἐπειδὴ καὶ ὁ καρπὸς καλός· ἀλλὰ μεθ' ὑπερβολῆς αὐτοὺς ἐπιστομίζων καὶ τὴν ἐπιείκειαν τὴν αὐτοῦ καὶ τὴν ἀναισχυντίαν τὴν ἐκείνων ἐνδεικνύμενός φησιν· εἰ καὶ τῶν ἔργων βούλεσθε ἐπιλαβέσθαι, οὐδὲν κωλύω· μόνον μὴ ἀσύμφωνα, μηδὲ ἀνακόλουθα ἐγκαλεῖτε. Οὕτω γὰρ σαφέστε-25 ρον ἁλίσκεσθαι ἔμελλον, πρὸς τὰ λίαν φανερὰ ἀναισχυντοῦν-

ΟΜΙΛΙΑ ΜΒ´

Ματθ. 12, 33 - 37

«Ἢ παραδεχθεῖτε καὶ διακηρύξατε ὅτι τὸ δένδρον εἶναι καλὸν καὶ ἑπομένως ὁ καρπὸς αὐτοῦ καλός, ἢ διακηρύξατε ὅτι τὸ δένδρον εἶναι κακὸν καὶ ἑπομένως ὁ καρπὸς αὐτοῦ κακός. Διότι ἀπὸ τὸν καρπὸν διακρίνεται τὸ δένδρον».

1. Πάλιν μὲ ἄλλον τρόπον τοὺς κάνει νὰ αἰσθανθοῦν ἐντροπὴν καὶ δὲν ἀρκεῖται εἰς τοὺς προηγουμένους ἐλέγχους. Αὐτὸ δὲ τὸ κάνει ὄχι διὰ νὰ ἀπαλλάξῃ τὸν ἑαυτόν του ἀπὸ τὰς κατηγορίας, (διότι ἦσαν ἀρκετὰ τὰ ὅσα προανέφερεν), ἀλλ᾽ ἐπειδὴ θέλει νὰ τοὺς διορθώσῃ. Ἡ σημασία αὐτῶν τῶν λόγων του εἶναι ἡ ἑξῆς· Κανεὶς ἀπὸ σᾶς οὔτε κατηγόρησε τοὺς θεραπευθέντας, ὅτι τάχα δὲν ἐθεραπεύθησαν, οὔτε εἶπεν ὅτι εἶναι κακὸν πρᾶγμα ἡ ἀπελευθέρωσις ἀπὸ τὰ δαιμόνια. Διότι, ἂν καὶ συμπεριεφέροντο μὲ μεγάλην ἀναισχυντίαν, δὲν ἠμποροῦσαν αὐτὸ νὰ τὸ ὑποστηρίξουν. Επειδὴ λοιπὸν τὰ μὲν ἔργα δὲν τὰ κατήγγελον, διέβαλλαν ὅμως ἐκεῖνον ποὺ τὰ ἔπραττε, τοὺς ἀποδεικνύει ὅτι ἡ κατηγορία των δὲν συμβιβάζεται μὲ τὴν κοινὴν λογικὴν καὶ μὲ τὰ ἀποτελέσματα τῶν γεγονότων. Καὶ αὐτὸ εἶναι δεῖγμα πάρα πολὺ μεγάλης ἀναισχυντίας τὸ ὅτι ὄχι μόνον ἐσκέπτοντο πονηρά, ἀλλὰ καὶ διότι ἐμηχανεύοντο ὅλα αὐτὰ τὰ πράγματα ποὺ δὲν συμφωνοῦν μὲ τὴν λογικήν.

Καὶ πρόσεξε πῶς ἀποφεύγει τὰς φιλονεικίας. Διότι δὲν τοὺς εἶπε· παραδεχθῆτε τὸ δένδρον ὡς καλόν, ἐπειδὴ καὶ ὁ καρπός του εἶναι καλός, ἀλλά, θέλων νὰ τοὺς ἀποστομώσῃ ἐξ ὁλοκλήρου καὶ νὰ παρουσιάσῃ ἀφ᾽ ἑνὸς μὲν τὴν ἰδικήν του ἐπιείκειαν καὶ ἀφ᾽ ἑτέρου τὴν ἰδικήν των ἀναισχυντίαν λέγει· Ἐὰν θέλετε νὰ κατηγορήσετε καὶ τὰ ἔργα μου, δὲν σᾶς ἐμποδίζω καθόλου. Μόνον νὰ μὴ διατυπώνετε τὰς κατηγορίας σας κατὰ τρόπον ἀσύμφωνον καὶ χωρὶς κανένα εἱρμόν. Διότι ἔτσι ἐπρόκειτο εὐκολώτερον νὰ ἀποκαλυφθῇ ὅτι ἐφέροντο μὲ ἀναισχυντίαν διὰ πράγματα ποὺ ἦσαν τε-

τες. Ὥστε εἰκῇ πονηρεύεσθε, φησί, καὶ ἀνακόλουθα ἑαυτοῖς λέγετε. Καὶ γὰρ ἡ τοῦ δένδρου διάκρισις ἀπὸ τοῦ καρποῦ φαίνεται, οὐχ ὁ καρπὸς ἀπὸ τοῦ δένδρου· ὑμεῖς δὲ τοὐναντίον ποιεῖτε. Εἰ γὰρ καὶ τὸ δένδρον τοῦ καρποῦ αἴτιον, ἀλλ' ὁ
5 καρπὸς τοῦ δένδρου γνωριστικός. Καὶ ἀκόλουθον ἦν ἢ καὶ τὰ ἔργα διαβάλλειν ἡμᾶς αἰτιωμένους ἢ ταῦτα ἐπαινοῦντας καὶ ἡμᾶς τοὺς ἐργαζομένους τῶν ἐγκλημάτων ἀπαλλάττειν τούτων. Νῦν δὲ τοὐναντίον ποιεῖτε· τοῖς γὰρ ἔργοις οὐδὲν ἐγκαλεῖν ἔχοντες, ὅπερ ἐστὶν ὁ καρπός, τὴν ἐναντίαν περὶ
10 τοῦ δένδρου φέρετε ψῆφον, ἐμὲ δαιμονῶντα καλοῦντες, ὅπερ ἐσχάτης ἐστὶ παροινίας. Καὶ γὰρ ὅπερ ἔμπροσθεν εἶπε, τοῦτο καὶ νῦν κατασκευάζει, ὅτι οὐ δύναται δένδρον ἀγαθὸν καρποὺς πονηροὺς ποιεῖν, οὐδ' αὖ τοὐναντίον πάλιν. Ὥστε παρὰ πᾶσαν ἀκολουθίαν καὶ φύσιν αὐτῶν τὰ ἐγκλήματα.

15 Εἶτα ἐπειδὴ οὐχ ὑπὲρ ἑαυτοῦ, ἀλλ' ὑπὲρ τοῦ Πνεύματος ποιεῖται τὸν λόγον καὶ καταφορικῶς κέχρηται τῇ κατηγορίᾳ λέγων· «Γεννήματα ἐχιδνῶν, πῶς δύνασθε ἀγαθὰ λαλεῖν, πονηροὶ ὄντες;». Τοῦτο δὲ ὁμοῦ καὶ ἐγκαλοῦντός ἐστι καὶ τῶν εἰρημένων τὴν ἀπόδειξιν ἐξ ἐκείνων παρέχοντος. Ἰδοὺ
20 γὰρ ὑμεῖς, φησί, δένδρα ὄντες πονηρά, οὐ δύνασθε φέρειν καρπὸν ἀγαθόν.

Οὐ τοίνυν θαυμάζω, ὅτι ταῦτα φθέγγεσθε· καὶ γὰρ ἐτράφητε κακῶς, προγόνων ὄντες πονηρῶν, καὶ διάνοιαν κέκτησθε πονηράν. Καὶ ὅρα πῶς ἀκριβῶς καὶ χωρὶς λαβῆς
25 ἁπάσης τέθεικε τὰ ἐγκλήματα. Οὐ γὰρ εἶπε· πῶς δύνασθε

1. Πρβλ. Ματθ. 7, 18.

λείως φανερά. Ὥστε, λέγει, ἄσκοπα σκέπτεσθε πονηρίας καὶ ὑποστηρίζετε πράγματα ποὺ δὲν συμφωνοῦν μεταξύ των. Καθόσον τὸ δένδρον διακρίνεται ἀπὸ τὸν καρπόν του καὶ ὄχι ὁ καρπὸς ἀπὸ τὸ δένδρον. Σεῖς ὅμως κάνετε τὸ ἀντίθετον. Διότι, ἂν καὶ τὸ δένδρον εἶναι ἡ αἰτία τοῦ καρποῦ παρὰ ταῦτα ὁ καρπὸς εἶναι ἐκεῖνος διὰ τοῦ ὁποίου γνωρίζεται τὸ δένδρον. Καὶ φυσικὸν ἦτο ἢ νὰ διαβάλλετε καὶ τὰ ἔργα μου, ἀφοῦ κατηγορῆτε ἡμᾶς ἢ ἀφοῦ τὰ ἐπαινῆτε, νὰ ἀπαλλάσσετε ἀπὸ τὰς κατηγορίας αὐτὰς καὶ ἡμᾶς ποὺ τὰ πράττομεν. Τώρα ὅμως κάνετε τὸ ἀντίθετον. Ἐπειδὴ δὲν ἠμπορεῖτε νὰ διατυπώσετε καμμίαν κατηγορίαν ἐναντίον τῶν ἔργων, τὰ ὁποῖα εἶναι ὁ καρπός, ἐκφέρετε ἀντίθετον γνώμην διὰ τὸ δένδρον, ὀνομάζοντές με δαιμονισμένον, πρᾶγμα ποὺ εἶναι ἀπόδειξις τῆς χειροτέρας ἀνοησίας. Καθόσον ἐκεῖνο ποὺ εἶπε προηγουμένως τὸ ἴδιο ἐπαναλαμβάνει καὶ τώρα, ὅτι δηλαδὴ δὲν εἶναι δυνατὸν δένδρον καλὸν νὰ παράγῃ καρποὺς κακοὺς οὔτε πάλιν νὰ συμβῇ τὸ ἀντίθετον[1]. Ὥστε αἱ κατηγορίαι των ἦσαν ἔξω ἀπὸ κάθε λογικὴν ἀκολουθίαν καὶ φυσικὴν πραγματικότητα.

Εἰς τὴν συνέχειαν, ἐπειδὴ ὁμιλεῖ διὰ τὸ ἅγιον Πνεῦμα καὶ ὄχι διὰ τὸν ἑαυτόν του, καταφέρεται ἐναντίον των μὲ πολλὴν αὐστηρότητα καὶ τοὺς λέγει: «Ἀπόγονοι φαρμακερῶν ὀχιῶν, πῶς ἠμπορεῖτε σεῖς νὰ λέγετε καλοὺς λόγους, ἀφοῦ εἶσθε πονηροί;». Οἱ λόγοι αὐτοὶ ἀποτελοῦν συγχρόνως καὶ κατηγορίαν ἐναντίον αὐτῶν, καὶ ἀπόδειξιν ἐναντίον των ποὺ προέρχεται ἀπὸ τοὺς λόγους των. Διότι, λέγει, νὰ σεῖς, ποὺ εἶσθε δένδρα πονηρά, δὲν ἠμπορεῖτε νὰ παράγετε καλὸν καρπόν.

Δὲν ἐκπλήσσομαι λοιπὸν ἀπὸ αὐτὰς τὰς κατηγορίας σας. Καθόσον ἔχετε ἀνατραφῆ κατὰ τρόπον κακόν, κατάγεσθε ἀπὸ πονηροὺς προγόνους καὶ ἔχετε πονηρὰν διάνοιαν. Καὶ κοίταξε μὲ πόσην ἀκρίβειαν καὶ χωρὶς νὰ δώσῃ καμμίαν εὐκαιρίαν δι' ἀμφισβήτησιν ἐξέθεσε τὰς κατηγορίας των. Διότι δὲν εἶπε· Πῶς ἠμπορεῖτε σεῖς νὰ λέγετε καλοὺς λό-

ἀγαθὰ λαλεῖν, γεννήματα ὄντες ἐχιδνῶν; οὐδὲν γὰρ τοῦτο πρὸς ἐκεῖνο· ἀλλά, «Πῶς δύνασθε ἀγαθὰ λαλεῖν, πονηροὶ ὄντες;». Γεννήματα δὲ ἐχιδνῶν αὐτοὺς εἴρηκεν, ἐπειδὴ ἐπὶ τοῖς προγόνοις ηὔχουν. Δεικνὺς τοίνυν, ὅτι οὐδὲν αὐτοῖς 5 *ἐντεῦθεν τὸ κέρδος, τῆς μὲν πρὸς τὸν Ἀβραὰμ ἐξέβαλεν αὐτοὺς συγγενείας· δίδωσι δὲ αὐτοῖς προγόνους ὁμοτρόπους, τῆς ἐκεῖθεν περιφανείας γυμνώσας αὐτούς.*

«Ἐκ γὰρ τοῦ περισσεύματος τῆς καρδίας τὸ στόμα λαλεῖ». Ἐνταῦθα πάλιν τὴν θεότητα αὐτοῦ δείκνυσιν εἰδυῖ- 10 *αν τὰ ἀπόρρητα· καὶ ὅτι οὐχὶ ῥημάτων μόνον, ἀλλὰ καὶ πονηρῶν ἐννοιῶν δώσουσι δίκην· καὶ ὅτι οἶδεν αὐτὰ ὡς Θεός. Λέγει δὲ ὅτι καὶ ἀνθρώποις δυνατὸν ταῦτα εἰδέναι· φύσεως γὰρ ἀκολουθία τοῦτο, τὸ ὑπερβλυζούσης ἔνδον τῆς πονηρίας ἐκχεῖσθαι ἔξω διὰ τοῦ στόματος τὰ ῥήματα. Ὥστε ὅταν* 15 *ἀκούσῃς ἀνθρώπου πονηρὰ φθεγγομένου, μὴ τοσαύτην νόμιζε πονηρίαν ἐγκεῖσθαι αὐτῷ, ὅσην τὰ ῥήματα ἐπιδείκνυται, ἀλλὰ πολλῷ πλείονα στοχάζου εἶναι τὴν πηγήν· τὸ γὰρ ἔξωθεν λεγόμενον, τὸ περιττόν ἐστι τοῦ ἔνδον.*

Εἶδες πῶς αὐτῶν καθήψατο σφοδρῶς; Εἰ γὰρ τὸ λε- 20 *χθὲν οὕτω πονηρόν, καὶ ἀπ' αὐτῆς τοῦ διαβόλου τῆς γνώμης ἐστίν, ἐννόησον ἡ ῥίζα καὶ ἡ πηγὴ τῶν ῥημάτων ἡλίκη. Συμβαίνει δὲ τοῦτο εἰκότως· ἡ μὲν γὰρ γλῶττα αἰσχυνομένη πολλάκις οὐκ ἀθρόον ἐκχεῖ τὴν πονηρίαν, ἡ δὲ καρδία οὐδένα ἀνθρώπων ἔχουσα μάρτυρα, ἀδεῶς ὅσα ἂν θέλῃ τί-* 25 *κτει κακά· τοῦ γὰρ Θεοῦ οὐ πολὺς λόγος αὐτῇ. Ἐπεὶ οὖν τὰ μὲν λεγόμενα εἰς ἐξέτασιν ἔρχεται καὶ πᾶσι προτίθεται,*

γους ἐφ' ὅσον εἶσθε ἀπόγονοι ὀχιῶν; Διότι αὐτὸ δὲν ἔχει καμμίαν σχέσιν πρὸς ἐκεῖνο. Ἀλλ' εἶπε· «Πῶς ἠμπορεῖτε νὰ λέγετε καλοὺς λόγους, ἀφοῦ εἶσθε πονηροί;». Τοὺς ὠνόμασε δὲ ἀπογόνους τῶν ὀχιῶν, ἐπειδὴ ἐκαυχῶντο διὰ τοὺς προγόνους των. Καὶ ἀφοῦ τοὺς ἀπέδειξε λοιπὸν ὅτι δὲν εἶχαν κανένα κέρδος ἀπὸ τοὺς προγόνους, ἀφ' ἑνὸς μὲν τοὺς ἀπεμάκρυνεν ἀπὸ τὴν συγγένειάν των μὲ τὸν Ἀβραάμ, ἀφ' ἑτέρου τοὺς ἔδωσε προγόνους ποὺ ἦσαν ὅμοιοι μὲ αὐτοὺς καὶ ἔτσι τοὺς ἀπεγύμνωσεν ἀπὸ τὴν περιοπὴν τὴν προερχομένην ἀπὸ ἐκείνους.

«Διότι τὸ στόμα ὁμιλεῖ ἀπὸ ἐκεῖνα ποὺ εἶναι γεμάτη ἡ ψυχή». Ἐδῶ πάλιν ἀποδεικνύει τὴν θεότητά του, ἡ ὁποία γνωρίζει τὰ ἀπόκρυφα, καὶ ὅτι δὲν θὰ τιμωρηθοῦν μόνον διὰ τοὺς λόγους των, ἀλλὰ καὶ διὰ τὰς πονηρὰς σκέψεις των, καθὼς ἐπίσης τοὺς ἀποδεικνύει ὅτι τὰς γνωρίζει ὡς Θεός. Λέγει δὲ ὅτι καὶ οἱ ἄνθρωποι εἶναι δυνατὸν νὰ τὰς γνωρίζουν. Διότι αὐτὸ εἶναι φυσικὸν ἐπακόλουθον, τὸ νὰ ἐκχύνωνται ἔξω μὲ τὸ στόμα οἱ πονηροὶ λόγοι, ὅταν μέσα εἰς τὴν ψυχὴν ὑπερεκχειλίζῃ ἡ πονηρία. Ὥστε ὅταν ἀκούσῃς ἄνθρωπον νὰ λέγῃ πονηροὺς λόγους νὰ μὴ νομίσῃς ὅτι τόση πονηρία ὑπάρχει μέσα του, ὅσην παρουσιάζουν οἱ λόγοι του, ἀλλὰ νὰ ἀναλογισθῇς ὅτι εἶναι πολὺ μεγαλυτέρα ἡ πηγὴ τῆς πονηρίας. Διότι ὅ,τι λέγεται εἶναι ἀπὸ τὸ περίσσευμα ποὺ ὑπάρχει εἰς τὸ ἐσωτερικόν.

Εἶδες μὲ πόσην αὐστηρότητα τοὺς ἤλεγξε; Διότι ἐὰν ἡ κατηγορία των ἦτο τόσον πονηρὰ καὶ προήρχετο ἀπὸ τὴν ἰδίαν τὴν συμβουλὴν τοῦ διαβόλου, ἀναλογίσου πόσον μεγάλη θὰ ἦτο ἡ ρίζα καὶ ἡ πηγὴ τῶν λόγων των. Αὐτὸ δὲ συμβαίνει κατὰ πολὺν φυσικὸν λόγον. Διότι πολλὰς φορὰς ἡ μὲν γλῶσσα ἀπὸ ἐντροπὴν δὲν ἐκχέει ὅλην μαζὶ τὴν πονηρίαν, ἡ καρδία ὅμως, ἐπειδὴ δὲν ἔχει κανένα μάρτυρα, γεννᾷ χωρὶς φόβον ὅσα κακὰ θέλει· διότι δὲν τὴν ἐνδιαφέρει καὶ πολὺ ὁ Θεός. Ἐπειδὴ λοιπὸν ὅσα λέγονται ὑπόκεινται εἰς ἐξέτασιν καὶ ἐκτίθενται ἐνώπιον ὅλων τῶν ἀν-

ἐκείνη δὲ συνεσκίασται, διὰ τοῦτο τὰ μὲν ταύτης ἐλάττω, τὰ δὲ ἐκείνης πλείονα γίνεται. Ὅταν δὲ πολὺ τὸ πλῆθος γένηται τῶν ἔνδον, πολλῷ τῷ ῥοίζῳ τὰ τέως κρυπτόμενα πρόεισι. Καὶ καθάπερ οἱ ἐμοῦντες, παρὰ μὲν τὴν ἀρχὴν
5 *βιάζονται ἔνδον κατέχειν ἐκπηδῶντας τοὺς χυμούς, ἐπειδὰν δὲ ἐκνικηθῶσι, πολλὴν τὴν βδελυγμίαν προΐενται, οὕτω καὶ οἱ τὰ πονηρὰ βουλεύματα ἔχοντες καὶ τοὺς πλησίον κακηγοροῦντες.*

«Ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ», φησίν,
10 *«ἐκβάλλει τὰ ἀγαθά· καὶ ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ ἐκβάλλει τὰ πονηρά». Μὴ γὰρ δὴ νομίσῃς, φησίν, ἐπὶ τῆς πονηρίας τοῦτο γίνεσθαι μόνον· καὶ γὰρ καὶ ἐπὶ τῆς ἀγαθότητος τοῦτο συμβαίνει· καὶ γὰρ καὶ ἐκεῖ πλείων τῶν ἔξωθεν ῥημάτων ἔνδον ἡ ἀρετή. Ἐξ ὧν ἐδεί-*
15 *κνυ, ὅτι κἀκείνους πονηροτέρους ἐχρῆν νομίζειν ἢ τὰ ῥήματα ἐνεδείκνυντο καὶ αὐτὸν ἀγαθώτερον ἢ τὰ λεγόμενα ἐνέφαινε. Θησαυρὸν δέ φησι, τὸ πλῆθος ἐνδεικνύμενος. Εἶτα πάλιν πολὺν ἐπιτειχίζει τὸν φόβον,*

2. Μὴ γὰρ δὴ νομίσητε, φησί, μέχρι τούτου καὶ τῆς
20 *τῶν πολλῶν καταγνώσεως τὸ πρᾶγμα ἑστηκέναι· καὶ γὰρ τὴν ἐσχάτην δώσουσι δίκην ἅπαντες οἱ τὰ τοιαῦτα πονηρευόμενοι. Καὶ οὐκ εἶπεν, ὑμεῖς· ὁμοῦ μὲν τὸ κοινὸν παιδεύων γένος, ὁμοῦ δὲ ἀνεπαχθέστερον τὸν λόγον ποιῶν. «Λέγω δὲ ὑμῖν, ὅτι πᾶν ῥῆμα ἀργόν», φησίν, «ὃ ἐὰν λαλήσωσιν οἱ ἄν-*
25 *θρωποι, ἀποδώσουσι περὶ αὐτοῦ λόγον ἐν ἡμέρᾳ κρίσεως». Ἀργὸν δέ, τὸ μὴ κατὰ πράγματος κείμενον, τὸ ψευδές, τὸ*

θρώπων, ἐνῷ ἡ καρδία εὑρίσκεται εἰς τὴν σκιάν, διὰ τοῦτο οἱ μὲν λόγοι τῆς γλώσσης εἶναι ὀλιγότεροι, τὰ δὲ ἐνυπάρχοντα εἰς τὴν καρδίαν εἶναι περισσότερα. Ὅταν ὅμως αὐξηθοῦν πολὺ τὰ ἐντὸς εὑρισκόμενα, τότε ἐξέρχονται μὲ μεγάλον θόρυβον αὐτὰ ποὺ προηγουμένως ἐκρύπτοντο μέσα. Καὶ ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ κάνουν ἐμετὸν προσπαθοῦν εἰς τὴν ἀρχὴν μὲν νὰ συγκρατήσουν ἐντός των τοὺς χυμοὺς ποὺ ἐκπηδοῦν, ὅταν ὅμως νικηθῇ αὐτὴ ἡ προσπάθειά των ἐκστομίζουν μὲ ἀφθονίαν τὴν βδελυγμίαν, κατὰ τὸν ἴδιον τρόπον ἐνεργοῦν καὶ αὐτοὶ ποὺ σκέπτονται πονηρὰ καὶ κατηγοροῦν τοὺς συνανθρώπους των.

«Ὁ ἀγαθὸς ἄνθρωπος», λέγει, «βγάζει ἀγαθὰ ἀπὸ τὸν ἀγαθὸν θησαυρὸν καὶ ὁ πονηρὸς ἄνθρωπος τοὺς βγάζει ἀπὸ τὸν πονηρὸν θησαυρόν του τοὺς πονηροὺς λόγους». Μὴ νομίσῃς λοιπόν, λέγει, ὅτι αὐτὸ συμβαίνει μόνον εἰς τὴν πονηρίαν, διότι αὐτὸ συμβαίνει καὶ εἰς τὴν ἀγαθότητα. Καθόσον καὶ εἰς τὴν περίπτωσιν αὐτὴν ἡ ἐσωτερικὴ ἀρετὴ εἶναι περισσοτέρα ἀπὸ τοὺς ἐξωτερικοὺς λόγους. Μὲ ὅλα αὐτὰ ἀπεδείκνυεν ὅτι ἔπρεπεν ἐκείνους μὲν νὰ τοὺς θεωροῦν πιὸ πονηροὺς ἀπὸ ὅσον τοὺς παρουσίαζαν οἱ λόγοι των, τὸν ἴδιον δὲ νὰ τὸν θεωροῦν περισσότερον ἀγαθόν, ἀπὸ ὅσον τὸν παρουσίαζαν οἱ λόγοι του. Διότι εἶπε «θησαυρόν, διὰ νὰ δείξῃ τὸ πλῆθος. Εἰς τὴν συνέχειαν πάλιν προσπαθεῖ νὰ τοὺς προφυλάξῃ χρησιμοποιῶν τὸν φόβον.

2. Διότι, λέγει, μὴ νομίσετε, ὅτι τὸ πρᾶγμα σταματᾷ μέχρις ἐδῶ καὶ εἰς τὴν ἐκ μέρους τοῦ κόσμου καταδίκην. Ὄχι, διότι θὰ ὑποστοῦν τὴν πλέον φοβερὰν τιμωρίαν ὅλοι ὅσοι διαπράττουν τὰς πονηρίας αὐτοῦ τοῦ εἴδους. Καὶ δὲν εἶπε, σεῖς. Διότι ἤθελεν ἀφ' ἑνὸς μὲν ν' ἀπευθυνθῇ πρὸς ὅλους τοὺς ἀνθρώπους, ἀφ' ἑτέρου δὲ νὰ καταστήσῃ τὸν λόγον ὀλιγώτερον ἐνοχλητικόν. Διότι, λέγει· «Σᾶς λέγω ὅτι διὰ κάθε λόγον τὸν ὁποῖον θὰ εἰποῦν τυχὸν οἱ ἄνθρωποι, θὰ δώσουν λόγον δι' αὐτὸν κατὰ τὴν ἡμέραν τῆς κρίσεως. Ἀργὸς δὲ λόγος εἶναι ἐκεῖνος ποὺ δὲν ἀνταποκρίνεται πρὸς

συκοφαντικὸν ἔχον· τινὲς δέ φασιν, ὅτι καὶ τὸ μάταιον· οἷον, τὸ γέλωτα κινοῦν ἄτακτον ἢ τὸ αἰσχρὸν καὶ ἀναίσχυντον καὶ ἀνελεύθερον.

«Ἐκ γὰρ τῶν λόγων σου δικαιωθήσῃ καὶ ἐκ τῶν λόγων 5 *σου κατακριθήσῃ». Εἶδες πῶς ἀνεπαχθὲς τὸ δικαστήριον; πῶς ἥμεροι αἱ εὐθῦναι; Οὐ γὰρ ἐξ ὧν ἕτερος εἶπε περὶ σοῦ, ἀλλ' ἐξ ὧν αὐτὸς ἐφθέγξω, τὰς ψήφου ὁ δικαστὴς οἴσει· ὅπερ ἁπάντων ἐστὶ δικαιότατον. Καὶ γὰρ σὺ κύριος εἶ καὶ τοῦ εἰπεῖν καὶ τοῦ μὴ εἰπεῖν. Οὐ τοίνυν τοὺς κακηγο-* 10 *ρουμένους ἀγωνιᾶν δεῖ καὶ τρέμειν, ἀλλὰ τοὺς κακηγοροῦντας. Οὐ γὰρ ἐκεῖνοι ἀναγκάζονται ἀπολογεῖσθαι ὑπὲρ ὧν κακῶς ἤκουσαν, ἀλλ' οὗτοι ὑπὲρ ὧν κακῶς εἶπον· καὶ τούτοις ἐπικρέμαται ὁ κίνδυνος ἅπας. Ὥστε τοὺς μὲν κακῶς ἀκούοντας ἀμερίμνους δεῖ εἶναι· οὐ γὰρ παρέξουσιν εὐθύνας ὧν* 15 *ἕτεροι εἶπον κακῶς· τοὺς δὲ κακῶς εἰρηκότας ἀγωνιᾶν καὶ τρέμειν, ἅτε αὐτοὺς μέλλοντας εἰς τὸ δικαστήριον ὑπὲρ τούτων ἕλκεσθαι. Καὶ γὰρ διαβολικὴ αὕτη παγὶς καὶ ἁμαρτία, οὐδεμίαν ἔχουσα ἡδονήν, ἀλλὰ βλάβην μόνον. Καὶ γὰρ πονηρὸν ἐν τῇ ψυχῇ θησαυρὸν ἀποτίθεται ὁ τοιοῦτος. Εἰ δὲ* 20 *ὁ χυμὸν πονηρὸν ἔχων, αὐτὸς καρποῦται πρῶτον τὴν νόσον, πολλῷ μᾶλλον ὁ τὸ χολῆς πάσης πικρότερον, τὴν πονηρίαν, ἐν ἑαυτῷ θησαυρίζων, τὰ ἔσχατα πείσεται, χαλεπὴν συνάγων νόσον. Καὶ δῆλον ἐξ ὧν ἐρεύγεται. Εἰ γὰρ τοὺς ἄλλους οὕτω λυπεῖ, πολλῷ μᾶλλον τὴν τίκτουσαν αὐτὰ ψυχήν. Ὁ*

τὴν πραγματικότητα, ὁ ψευδής, ποὺ περιέχει συκοφαντίαν. Μερικοὶ δὲ λέγουν ὅτι εἶναι καὶ ὁ λόγος ποὺ λέγεται χωρὶς κανέναν σκοπόν, ὅπως παραδείγματος χάριν ὁ λόγος ποὺ προκαλεῖ ἄτακτον γέλωτα ἢ ὁ αἰσχρός, ὁ ἀναίσχυντος καὶ ὁ φαῦλος λόγος.

«Διότι ἀπὸ τοὺς λόγους σου τοὺς καλοὺς θὰ δικαιωθῇς καὶ ἀπὸ τοὺς πονηρούς σου λόγους θὰ καταδικασθῇς». Εἶδες πῶς τὸ δικαστήριον δὲν εἶναι δυσάρεστον; Πῶς αἱ εὐθῦναι εἶναι ἐλαφραί; Διότι ὁ δικαστὴς δὲν θὰ βγάλῃ τὴν ἀπόφασίν του ἀπὸ ὅσα κάποιος ἄλλος εἶπεν ἐναντίον σου, ἀλλὰ ἀπὸ ὅσα ἐσὺ ὁ ἴδιος εἶπες. Πρᾶγμα ποὺ εἶναι τὸ πιὸ δίκαιον ἀπὸ ὅλα. Καθόσον εἶσαι ἐλεύθερος νὰ εἰπῇς κάτι ἢ νὰ μὴ τὸ εἰπῇς. Δὲν πρέπει ἑπομένως νὰ ἀγωνιοῦν καὶ νὰ τρέμουν οἱ κατηγορούμενοι, ἀλλὰ αὐτοὶ ποὺ κατηγοροῦν. Διότι δὲν ἀναγκάζονται νὰ ἀπολογηθοῦν οἱ κατηγορούμενοι δι' ὅσας κατηγορίας τοὺς ἀπεδόθησαν, ἀλλὰ οἱ κατήγοροι δι' ὅσας κατηγορίας εἶπαν. Καὶ αὐτοὶ ἀπειλοῦνται ἐξ ὁλοκλήρου ἀπὸ τὸν κίνδυνον τῆς καταδίκης. Ὥστε ἐκεῖνοι ποὺ κατηγοροῦνται πρέπει νὰ εἶναι ἀμέριμνοι, διότι δὲν θὰ δώσουν λόγον διὰ ὅσας κατηγορίας τοὺς ἀπέδωσαν οἱ ἄλλοι. Οἱ συκοφάνται ὅμως πρέπει νὰ ἀγωνιοῦν καὶ νὰ τρέμουν, διότι αὐτοὶ πρόκειται νὰ ὁδηγηθοῦν εἰς τὸ δικαστήριον ἐξ αἰτίας αὐτῶν. Καθόσον ἡ παγὶς αὐτὴ εἶναι διαβολικὴ καὶ εἶναι ἁμαρτία ποὺ δὲν προσφέρει καμμίαν ἡδονήν, παρὰ μόνον ζημίαν. Διότι ὁ ἄνθρωπος αὐτοῦ τοῦ εἴδους περικλείει εἰς τὴν ψυχήν του πονηρὸν θησαυρόν. Ἐὰν δὲ ἐκεῖνος ποὺ ἔχει εἰς τὸ σῶμα του αἷμα πονηρὸν ὑφίσταται πρῶτος τὰ κακὰ τῆς νόσου, πολὺ περισσότερον θὰ ὑποστῇ τὰ χειρότερα ἐκεῖνος ποὺ θησαυρίζει εἰς τὸν ἑαυτόν του τὴν πονηρίαν ποὺ εἶναι κακὸν πικρότερον ἀπὸ κάθε χολήν, συγκεντρώνων φοβερὰν ἀσθένειαν εἰς τὸν ἑαυτόν του. Καὶ αὐτὸ καθίσταται φανερὸν ἀπὸ τοὺς λόγους του. Διότι, ἐὰν οἱ λόγοι του προξενοῦν τόσην λύπην εἰς τοὺς ἄλλους, πολὺ περισσότερον βλάπτουν τὴν ψυχήν του ποὺ

γὰρ ἐπιβουλεύων, ἑαυτὸν ἀναιρεῖ πρῶτον· καὶ γὰρ ὁ πῦρ παιῶν, ἑαυτὸν κατακαίει· καὶ ὁ ἀδάμαντα παίων, ἑαυτῷ ἐπηρεάζει· καὶ ὁ πρὸς κέντρα λακτίζων, ἑαυτὸν αἱμάττει. Τοιοῦτον γάρ τί ἐστιν ὁ εἰδὼς ἀδικεῖσθαι καὶ φέρειν γεν-
5 *ναίως καὶ ἀδάμας καὶ κέντρα καὶ πῦρ, ὁ δὲ ἀδικεῖν μεμελετηκώς, πηλοῦ παντὸς ἀσθενέστερος.*

Οὐ τοίνυν τὸ ἀδικεῖσθαι κακόν, ἀλλὰ τὸ ἀδικεῖν, καὶ τὸ μὴ εἰδέναι φέρειν ἀδικούμενον. Πόσα γοῦν ἠδικεῖτο ὁ Δαυΐδ; πόσα δὲ ἠδίκει ὁ Σαούλ; Τίς οὖν ἰσχυρότερος γέγο-
10 *νε καὶ μακαριώτερος; τίς δὲ ἀθλιώτερος καὶ ἐλεεινότερος; οὐχ ὁ ἠδικηκώς; Σκόπει δέ. Ὑπέσχετο ὁ Σαούλ, εἰ καθέλοι τὸν ἀλλόφυλον Δαυΐδ, κηδεστὴν αὐτὸν λήψεσθαι καὶ δοῦναι τὴν θυγατέρα αὐτῷ μετὰ πολλῆς τῆς χάριτος. Καθεῖλε τὸν ἀλλόφυλον· παρέβη τὰς συνθήκας ἐκεῖνος καὶ οὐ μόνον οὐκ*
15 *ἐδίδου, ἀλλὰ καὶ ἀνελεῖν ἐπεχείρει. Τίς οὖν γέγονε λαμπρότερος; Οὐχ ὁ μὲν ἀπεπνίγετο ὑπὸ τῆς ἀθυμίας καὶ τοῦ πονηροῦ δαίμονος, ὁ δὲ ὑπὲρ τὸν ἥλιον ἔλαμπε τοῖς τροπαίοις καὶ τῇ πρὸς τὸν Θεὸν εὐνοίᾳ; Πάλιν ἐπὶ τοῦ χοροῦ τῶν γυναικῶν, οὐχ ὁ μὲν ἀπηγχονίζετο τῷ φθόνῳ, ὁ δὲ τῇ σιγῇ*
20 *πάντα φέρων, ἅπαντας εἷλε καὶ ἑαυτῷ προσέδησεν; Ἐπειδὴ δὲ καὶ αὐτὸς ἔλαβεν αὐτὸν εἰς χεῖρας καὶ ἐφείσατο, τίς πάλιν μακάριος ἦν; τίς δὲ ἄθλιος; τίς δὲ ὁ ἀσθενέστερος; τίς δὲ ὁ δυνατώτερος; Οὐχ οὗτος ὁ μηδὲ δικαίως ἐπεξελθών; Καὶ μάλα εἰκότως. Ὁ μὲν γὰρ στρατιώτας ὡπλισμένους,*
25 *ὁ δὲ τὴν δικαιοσύνην τὴν μυρίων στρατοπέδων ἰσχυροτέραν*

---

2. Α' Βασ. κεφ. 17-18.

τοὺς γεννᾷ. Διότι ὁ ἐπίβουλος ἄνθρωπος τὸν ἑαυτόν του βλάπτει πρῶτον. Καθόσον ἐκεῖνος ποὺ πατεῖ εἰς τὴν φωτιάν, καίγεται ὁ ἴδιος καὶ ἐκεῖνος ποὺ κτυπᾷ τὸν ἀδάμαντα, βλάπτεται ὁ ἴδιος, καθὼς ἐπίσης καὶ ὅποιος κλωτσᾷ τὰ καρφιά, πληγώνει τὸν ἑαυτόν του. Διότι ὁμοιάζει μὲ τὸν ἀδάμαντα, τὰ καρφιὰ καὶ τὴν φωτιάν, ἐκεῖνος ποὺ ἀδικεῖται καὶ γνωρίζει νὰ ὑποφέρῃ μὲ γενναιότητα τὰς ἀδικίας. Ἐνῷ ἐκεῖνος ποὺ φροντίζει πῶς νὰ ἀδικῇ εἶναι πιὸ ἀσθενὴς καὶ ἀπὸ τὸν πηλόν.

Ἑπομένως δὲν εἶναι κακὸν τὸ νὰ ἀδικῆται κανείς, ἀλλὰ τὸ νὰ ἀδικῇ καὶ τὸ νὰ μὴ γνωρίζῃ νὰ ὑφίσταται τὰς ἀδικίας. Διότι πόσας ἀδικίας ὑπέστη ὁ Δαυΐδ; πόσας δὲ ἀδικίας διέπραξεν ὁ Σαούλ; Ποῖος λοιπὸν ἀνεδείχθη ἰσχυρότερος καὶ μακαριώτερος; ποῖος ἀθλιώτερος καὶ ἐλεεινότερος; Δὲν ἀνεδείχθη ἐκεῖνος ποὺ διέπραξε τὰς ἀδικίας. Πρόσεξε λοιπόν. Ὑπεσχέθη[2] ὁ Σαοὺλ ὅτι ἐὰν ἤθελε φονεύσει ὁ Δαυΐδ τὸν ἀλλόφυλον, θὰ τὸν κάνῃ γαμβρόν του καὶ θὰ τοῦ δώσῃ τὴν θυγατέρα του μὲ μεγάλην εὐχαρίστησιν. Ἐφόνευσεν ὁ Δαυΐδ τὸν ἀλλόφυλον ὁ δὲ Σαοὺλ παρέβη τὰς συμφωνίας καὶ ὄχι μόνον δὲν ἐτήρησε τὴν ὑπόσχεσίν του, ἀλλὰ καὶ ἐπεχείρησε νὰ τὸν φονεύσῃ. Ποῖος λοιπὸν ἀνεδείχθη ἐνδοξότερος; Μήπως ὁ μὲν Σαοὺλ δὲν ἐβασανίζετο ἀπὸ τὴν λύπην του καὶ τὸν πονηρὸν δαίμονα, ἐνῷ ὁ Δαυΐδ ἔλαμπε περισσότερον καὶ ἀπὸ τὸν ἥλιον μὲ τὰ τρόπαιά του καὶ τὴν εὔνοιαν τοῦ Θεοῦ; Ἀλλὰ ἀκόμη καὶ εἰς τὸν κύκλον τῶν γυναικῶν ὁ μὲν Σαοὺλ δὲν ἐπνίγετο ἀπὸ τὸν φθόνον, ἐνῷ ὁ Δαυΐδ ὑποφέρων τὰ πάντα σιωπηλῶς, δὲν τὰς προσείλκυσεν ὅλας καὶ δὲν τὰς ἔκανεν αἰχμαλώτους του; Ἀλλὰ καὶ ὅταν ὁ Δαυΐδ συνέλαβε τὸν Σαοὺλ καὶ δὲν τὸν ἐφόνευσε, ποῖος ἦτο καὶ πάλιν ὁ μακάριος; ποῖος ὁ ἄθλιος; ποῖος ὁ ἀσθενέστερος; καὶ ποῖος ὁ δυνατώτερος; Δὲν ἦτο καὶ πάλιν ὁ Δαυΐδ ποὺ δὲν ἐξεδικήθη δικαίως; Καὶ αὐτὸ ἦτο πολὺ φυσικόν. Διότι ὁ μὲν Σαοὺλ εἶχεν ὡπλισμένους στρατιώτας, ὁ δὲ Δαυΐδ εἶχεν ὡς σύμμαχον καὶ βοηθὸν τὴν δικαιοσύνην

εἶχε σύμμαχον καὶ βοηθόν. Διά τοι τοῦτο ἐπιβουλευθεὶς ἀδίκως, οὐδὲ δικαίως ἀνελεῖν ὑπέμεινεν. Ἤδη γὰρ ἐκ τῶν ἔμπροσθεν, ὅτι οὐ τὸ ποιεῖν κακῶς, ἀλλὰ τὸ πάσχειν κακῶς, τοῦτο ποιεῖ δυνατωτέρους. Τοῦτο καὶ ἐπὶ τῶν σωμάτων γί-
5 νεται, τοῦτο καὶ ἐπὶ δένδρων.

Τί δὲ ὁ Ἰακώβ; οὐκ ἠδικήθη παρὰ τοῦ Λάβαν καὶ ἔπαθε κακῶς; Τίς οὖν ἦν ἰσχυρότερος; ὁ λαβὼν αὐτὸν εἰς χεῖρας καὶ μὴ τολμῶν ἅψασθαι, ἀλλὰ δεδοικὼς καὶ τρέμων ἢ οὗτος ὁ χωρὶς ὅπλων καὶ στρατιωτῶν μυρίων βασιλέων
10 γενόμενος αὐτῷ φοβερώτερος;

3. Ἵνα δὲ καὶ ἑτέραν μείζονα ταύτης ἀπόδειξιν ὑμῖν παράσχωμαι τῶν εἰρημένων, ἐπ' αὐτοῦ πάλιν τοῦ Δαυῒδ εἰς τοὐναντίον τὸν λόγον γυμνάσωμεν. Ὁ γὰρ ἀδικηθεὶς οὗτος καὶ ἰσχύσας, ἀδικήσας ὕστερον πάλιν ἀσθενέστερος γέ-
15 γονεν. Ὅτε γοῦν ἠδίκησε τὸν Οὐρίαν, μετέστη πάλιν ἡ τάξις, καὶ ἡ μὲν ἀσθένεια πρὸς τὸν ἀδικήσαντα, ἡ δὲ δύναμις πρὸς τὸν ἀδικηθέντα διέβη· νεκρὸς γὰρ ὢν ἐπόρθει τὴν οἰκίαν τὴν ἐκείνου. Καὶ αὐτὸς μὲν βασιλεὺς ὢν καὶ ζῶν οὐδὲν ἴσχυσεν· ἐκεῖνος δὲ καὶ στρατιώτης ὢν καὶ σφαγείς, πάντα
20 ἄνω καὶ κάτω πεποίηκε τὰ ἐκείνου.

Βούλεσθε καὶ ἑτέρωθεν, ὃ λέγω, ποιήσω σαφέστερον; Ἐξετάσωμεν καὶ τοὺς δικαίως ἀμυνομένους. Οἱ μὲν γὰρ ἀδικοῦντες, ὅτι πάντων εἰσὶν εὐτελέστεροι τῇ ἑαυτῶν πολεμοῦντες ψυχῇ, παντί που δῆλόν ἐστιν. Ἀλλὰ τίς ἠμύνατο
25 δικαίως καὶ μυρία ἀνῆψε κακὰ καὶ πολλαῖς ἑαυτὸν περιέπειρε συμφοραῖς τε καὶ ὀδύναις; Ὁ τοῦ Δαυῒδ στρατηγός.

---

3. Β' Βασ. 11, 1 ἑ.
4. Βλ. Β' Βασ. κεφ. 11, Γ' Βασ. κεφ. 2.

ποὺ εἶναι ἰσχυροτέρα ἀπὸ μυριάδας στρατιωτῶν. Καὶ ἀκριβῶς διὰ τὸν λόγον αὐτόν, ἂν καὶ ἐπεβουλεύθη ἀδίκως, δὲν ἠμπόρεσε νὰ φονεύσῃ τὸν Σαούλ, ἂν καὶ εἶχε τὸ δίκαιον μὲ τὸ μέρος του. Διότι ἐγνώριζεν ἀπὸ προηγουμένας περιπτώσεις ὅτι δὲν καθιστᾷ κάποιον ἰσχυρὸν τὸ νὰ κακοποιῇ ἀλλὰ τὸ νὰ κακοποιῆται. Τὸ ἴδιο συμβαίνει καὶ εἰς τὰ σώματα, τὸ ἴδιο δὲ καὶ εἰς αὐτὰ τὰ δένδρα.

Τί συνέβη ὅμως καὶ μὲ τὸν Ἰακώβ; Δὲν ἠδικήθη ἀπὸ τὸν Λάβαν καὶ δὲν ἐκακοποιήθη; Ποῖος λοιπὸν ἦτο ἰσχυρότερος; Ἐκεῖνος ποὺ τὸν συνέλαβε καὶ δὲν εἶχε τὴν τόλμην νὰ τὸν ἐγγίσῃ, ἀλλ ἐφοβεῖτο καὶ ἔτρεμεν, ἢ ὁ Ἰακώβ, ὁ ὁποῖος χωρὶς ὅπλα καὶ στρατιώτας κατέστη εἰς τὸν Λάβαν φοβερώτερος ἀπὸ πάρα πολλοὺς βασιλεῖς;

3. Ἀλλ' ὅμως διὰ νὰ σᾶς δώσω δι' ὅσα σᾶς λέγω καὶ ἄλλην ἀπόδειξιν μεγαλυτέραν ἀπὸ αὐτήν, ἂς ἐπαναφέρωμεν καὶ πάλιν τὸν λόγον εἰς τὸν Δαυῒδ καὶ ἂς τὸν ἐξετάσωμεν ἀπὸ τὴν ἀντίθετον σκοπιάν. Διότι αὐτὸς πού, ὅταν ἠδικήθη, ἐφάνη ἰσχυρός, ἀργότερα, ὅταν ἠδίκησε, πάλιν ἔγινεν ἀσθενέστερος. Καθόσον, ὅταν ἠδίκησε τὸν Οὐρίαν[3], ἀντεστράφησαν πάλιν τὰ πράγματα καὶ ἡ μὲν ἀδυναμία ἐπῆγε μὲ τὸ μέρος ἐκείνου ποὺ ἠδίκησεν, ἡ δὲ δύναμις μὲ τὸ μέρος ἐκείνου ποὺ ἠδικήθη. Διότι ὁ Οὐρίας ἀκόμη καὶ νεκρὸς ἐπολέμησε τὸ σπίτι τοῦ Δαυῒδ. Καὶ ὁ μὲν Δαυῒδ, ἂν καὶ ἦτο βασιλεὺς καὶ ἔζη, δὲν εἶχε καμμίαν δύναμιν, ἐκεῖνος δὲ ἂν καὶ ἦτο στρατιώτης καὶ εἶχε φονευθῆ, παρὰ ταῦτα ἔκανεν ἄνω κάτω τὴν ζωὴν τοῦ Δαυῒδ.

Μήπως ὅμως θέλετε καὶ ἀπὸ ἄλλην ἄποψιν νὰ σᾶς καταστήσω σαφέστερον αὐτὸ ποὺ λέγω; Ἂς ἐξετάσωμεν καὶ ἐκείνους ποὺ δίκαια ἀμύνονται. Τὸ ὅτι λοιπὸν οἱ ἀδικοῦντες εἶναι κατώτεροι ἀπὸ ὅλους καὶ καταπολεμοῦν τὸν ἴδιον τὸν ἑαυτόν των εἶναι νομίζω εἰς ὅλους φανερόν. Ποῖος ὅμως ἀντετάχθη δικαίως καὶ ὑπέστη ἀμέτρητα κακὰ καὶ ὡδήγησεν εἰς πολλὰς συμφορὰς καὶ ὀδύνας τὸν ἑαυτόν του; Ὁ στρατηγὸς τοῦ Δαυῒδ Ἰωάβ[4]. Διότι αὐτὸς καὶ πόλεμον φο-

Οὗτος γὰρ καὶ πόλεμον συνεκρότησε χαλεπὸν καὶ μυρία ἔπαθε κακά, ὧν οὐδὲ ἓν ἂν ἐγεγόνει, εἴγε ἠπίστατο φιλοσοφεῖν.

Φεύγωμεν τοίνυν τὴν ἁμαρτίαν ταύτην, καὶ μήτε ῥή- 5 *μασι, μήτε πράγμασιν ἀδικῶμεν τοὺς πλησίον. Οὐδὲ γὰρ εἶπεν, ἐὰν κακηγορήσῃς καὶ δικαστήριον καθίσῃς, ἀλλ' ἁπλῶς, ἐὰν κακῶς εἴπῃς, καὶ οὕτω τιμωρηθήσῃ. Οὐ γὰρ ἐξ ὧν ἔπραξεν ἐκεῖνος, ἀλλ' ἐξ ὧν εἶπες σύ, τὴν ψῆφον ὁ Θεὸς οἴσει· «Ἐκ γὰρ τῶν λόγων σου κατακριθήσῃ», φησίν.* 10 *Οὐκ ἀκούεις, ὅτι καὶ ὁ Φαρισαῖος τἀληθῆ ἐφθέγξατο καὶ τὰ πᾶσι κατάδηλα εἶπεν, οὐ τὰ λανθάνοντα ἐκκαλύψας; Ἀλλ' ὅμως τὴν ἐσχάτην ἔδωκε δίκην. Εἰ δὲ τῶν ὡμολογημένων οὐ δεῖ κατηγορεῖν, πολλῷ μᾶλλον τῶν ἠμφισβητημένων· καὶ γὰρ ἔχει δικαστὴν ὁ πεπλημμεληκώς. Μὴ τοίνυν ἁρπά-* 15 *σῃς τὴν ἀξίαν τοῦ Μονογενοῦς. Ἐκείνῳ τῆς κρίσεως ὁ θρόνος τετήρηται.*

Ἀλλὰ βούλει δικάζειν; Ἔστι σοι κριτήριον, πολὺ τὸ κέρδος ἔχον καὶ οὐδὲν ἔγκλημα φέρον. Κάθισον ἐπὶ τοῦ συνειδότος τὸν δικάζοντα λογισμόν, καὶ πάραγε εἰς μέσον 20 *τὰ πεπλημμελημένα σοι πάντα. Ἐξέτασόν σου τὰ ἁμαρτήματα τῆς ψυχῆς καὶ ἀπαίτει μετὰ ἀκριβείας τὰς εὐθύνας καὶ λέγε· Διατί τὸ καὶ τό σοι τετόλμηται; Κἂν ταῦτα μὲν φεύγῃ, τὰ δὲ ἑτέρων ἐξετάζῃ, λέγε πρὸς αὐτήν· Οὐχ ὑπὲρ τούτων σε κρίνω, οὐχ ὑπὲρ τούτων εἰσῆλθες ἀπολογησομένη.* 25 *Τί γάρ, ἂν ὁ δεῖνα πονηρός; Σὺ τίνος ἕνεκεν τὸ καὶ τὸ ἐπλημμέλησας; Ἀπολογοῦ, μὴ κατηγόρει· τὰ ἑαυτῆς σκόπει,*

βερὸν ἐπεχείρησε καὶ πολλὰ κακὰ ἔπαθεν, ἀπὸ τὰ ὁποῖα δὲν θὰ συνέβαινε κανένα, ἂν ἐγνώριζε νὰ ἐξετάζῃ τὰ πράγματα μὲ σύνεσιν.

Ἑπομένως ἂς ἀποφεύγωμεν αὐτὴν τὴν ἁμαρτίαν καὶ ἂς μὴ ἀδικῶμεν τοὺς συνανθρώπους μας οὔτε μὲ λόγους οὔτε μὲ πράξεις. Διότι ὁ Ἰησοῦς δὲν εἶπεν, ἐὰν κατηγορήσῃς κάποιον καὶ τὸν ὁδηγήσῃς εἰς τὸ δικαστήριον, ἀλλ' ἁπλῶς, ἐὰν τὸν κακολογήσῃς ἔστω καὶ μέσα σου, θὰ ὑποστῇς καὶ πάλιν σκληρὰν τιμωρίαν. Καὶ ἂν ἀκόμη εἶναι ἀληθὴς ἡ κατηγορία καὶ εἶσαι ἀπολύτως πεπεισμένος δι' αὐτὴν καὶ πάλιν θὰ τιμωρηθῇς. Διότι ὁ Θεὸς δὲν θὰ ἀποφασίσῃ ἐπὶ τῇ βάσει τῶν ὅσων ἔπραξεν ἐκεῖνος ποὺ κατηγορεῖς, ἀλλὰ ἐξ ὅσων σὺ εἶπες. «Διότι», λέγει, «ἀπὸ τοὺς λόγους σου θὰ καταδικασθῇς». Δὲν ἀκούεις ὅτι καὶ ὁ Φαρισαῖος εἶπε τὴν ἀλήθειαν καὶ ἀνέφερε τὰ γνωστὰ εἰς ὅλους, χωρὶς ν' ἀποκαλύψῃ τίποτε τὸ κρυφόν; Παρὰ ταῦτα ὅμως ὑπέστη τὴν ἐσχάτην τιμωρίαν. Ἐὰν λοιπὸν δὲν πρέπει νὰ κατηγοροῦμεν διὰ τὰ γνωστὰ εἰς ὅλους γεγονότα, πολὺ περισσότερον δὲν ἐπιτρέπεται νὰ συμβαίνῃ αὐτὸ διὰ τὰ ὑπὸ ἀμφισβήτησιν, καθόσον αὐτὸς ποὺ ἡμάρτησεν ἔχει δικαστὴν νὰ τὸν δικάσῃ. Ἑπομένως μὴ προσπαθῇς ν' ἁρπάσῃς τὸ ἀξίωμα τοῦ Μονογενοῦς. Δι' αὐτὸν ἐπιφυλάσσεται ὁ θρόνος τοῦ κριτοῦ.

Μήπως ὅμως ἐπιθυμῇς νὰ δικάζῃς; Ὑπάρχει δικαστήριον δι' ἐσέ, ποὺ σοῦ προσφέρει κέρδος, χωρὶς νὰ σοῦ προσάπτῃ καμμίαν κατηγορίαν. Τοποθέτησε εἰς τὴν συνείδησίν σου ὡς δικαστὴν τὴν λογικὴν καὶ φέρε εἰς τὸ μέσον ὅλα τὰ ἁμαρτήματά σου. Ἐξέτασε τὰ ἁμαρτήματα τῆς ψυχῆς σου καὶ ζήτησε μὲ ἀκρίβειαν εὐθύνας καὶ λέγε· Διατί ἐπεχείρησες νὰ πράξῃς αὐτὸ καὶ αὐτό; Καὶ ἂν αὐτὰ μὲν τὰ ἀποφεύγῃ, ἐξετάζῃ ὅμως τὰ σφάλματα τῶν ἄλλων, νὰ τῆς λέγῃς· Δὲν σὲ κρίνω δι' αὐτά, οὔτε δὲ ἦλθες ἐδῶ διὰ νὰ ἀπολογηθῇς δι' αὐτά. Διότι τί σ' ἐνδιαφέρει ἐὰν ὁ τάδε εἶναι πονηρός; Σὺ διατί διέπραξες αὐτὴν καὶ τὴν ἄλλην ἁμαρτίαν; Ἀπολογήσου καὶ μὴ κατηγορῇς. Ἐξέταζε τὰ ἴδικά σου καὶ ὄχι τὰ τῶν

μὴ τὰ ἑτέρων. Καὶ συνεχῶς αὐτὴν εἰς ταύτην ἐμβίβαζε τὴν ἀγωνίαν. Εἶτα, ἂν μηδὲν ἔχῃ λέγειν, ἀλλὰ καταδύηται, κατάξαινε μαστίζων αὐτήν, καθάπερ τινὰ θεραπαινίδα μετέωρον καὶ πορνευομένην. Καὶ τοῦτο καθ' ἑκάστην ἡμέραν κάθιζε τὸ δικαστήριον, καὶ ὑπόγραφε τὸν ποταμὸν τοῦ πυρός, 5 *τὸν σκώληκα τὸν ἰοβόλον, τὰ ἄλλα βασανιστήρια. Καὶ μὴ ἀφῇς αὐτὴν συγγενέσθαι τῷ διαβόλῳ λοιπόν, μηδὲ ἀνάσχῃ ἀναίσχυντα λεγούσης, ὅτι ἐκεῖνος πρός με ἔρχεται, αὐτός μοι ἐπιβουλεύει, αὐτός με πειράζει· ἀλλ' εἰπὲ πρὸς αὐτήν· ἂν σὺ μὴ θέλῃς, πάντα ἐκεῖνα περιττά.* 10 *Κἂν λέγῃ πάλιν, ὅτι σώματι συμπέπλεγμαι, σάρκα ἐνδέδυμαι, κόσμον οἰκῶ, ἐν γῇ διατρίβω· εἰπὲ πρὸς αὐτήν· ὅτι πάντα ταῦτα σκήψεις καὶ προφάσεις. Καὶ γὰρ ὁ δεῖνα σάρκα περιέκειτο καὶ ὁ δεῖνα κόσμον οἰκῶν καὶ ἐν γῇ διατρίβων εὐδοκίμει· καὶ σὺ δὲ αὐτή, ὅταν εὐπραγῇς, σάρκα περικειμένη τοῦτο ποιεῖς.* 15 *Κἂν ἀλγῇ ταῦτα ἀκούουσα, μὴ ἄρῃς τὴν χεῖρα· οὐ γὰρ ἀποθανεῖται, ἐὰν πατάξῃς, ἐκ θανάτου δὲ αὐτὴν ῥύσῃ. Κἂν λέγῃ πάλιν, ὅτι ὁ δεῖνα παρώξυνεν, εἰπὲ πρὸς αὐτήν· ἀλλ' ἔξεστί σοι μὴ παροξύνεσθαι· πολλάκις γοῦν κατέσχες ὀργῆς. Ἐὰν εἴπῃ, ὅτι ἡ εὐμορφία τῆς δεῖνος ἀνεπτέρωσέ με, εἰπὲ πρὸς* 20 *αὐτήν· ἀλλ' ἠδύνασο κρατεῖν. Πάραγε τοὺς περιγενομένους, πάραγε τὴν γυναῖκα τὴν πρώτην τὴν εἰποῦσαν, «Ὁ ὄφις ἠπάτησέ με», καὶ οὐκ ἀπαλλαγεῖσαν τοῦ ἐγκλήματος.*

4. Ὅταν δὲ ταῦτα ἐξετάζῃς, μηδεὶς παρέστω, μηδεὶς θορυβείτω· ἀλλ' ὥσπερ οἱ δικασταὶ ὑπὸ παραπετάσματα κα- 25

5. Γεν. 3, 13.

ἄλλων. Καὶ διαρκῶς νὰ τὴν κρατᾷς εἰς αὐτὴν τὴν ἀγωνίαν. Εἰς τὴν συνέχειαν ἐὰν δὲν ἔχῃ νὰ εἰπῇ κάτι, ἀλλὰ προσπαθῇ ν' ἀποφύγῃ κτύπα την μὲ τὸ μαστίγιον, ὡσὰν νὰ εἶναι κάποια δούλη ἀσταθὴς καὶ ποὺ διαπράττει πορνείαν. Καὶ αὐτὸ τὸ δικαστήριον νὰ τὸ προβάλλῃς καθημερινῶς καὶ νὰ ὑπενθυμίζῃς τὸν ποταμὸν τοῦ πυρός, τὸν σκώληκα τὸν φαρμακερόν, καθὼς καὶ τὰ ἄλλα βασανιστήρια. Καὶ εἰς τὸ ἑξῆς νὰ μὴ τὴν ἀφήσῃς νὰ συναναστρέφεται τὸν διάβολον, οὔτε νὰ ἀνεχθῇς νὰ λέγῃ ἀδιάντροπα λόγια, ὅτι ὁ διάβολος εἶναι ἐκεῖνος ποὺ ἔρχεται πλησίον μου, αὐτὸς μὲ ἐπιβουλεύεται, αὐτὸς μὲ πειράζει. Ἀλλὰ λέγε της τὰ ἑξῆς· Ἐὰν δὲν θέλῃς σύ, ὅλοι οἱ πειρασμοί του αὐτοὶ εἶναι μάταιοι. Ἂν καὶ μετὰ ἀπὸ αὐτὰ σοῦ λέγῃ ὅτι εἶμαι στενὰ συνδεδεμένη μὲ τὸ σῶμα, ἔχω σάρκα, κατοικῶ μέσα εἰς τὸν κόσμον, ζῶ εἰς τὴν γῆν, νὰ τῆς λέγῃς, ὅτι ὅλα αὐτὰ εἶναι δικαιολογίαι καὶ προφάσεις. Καθόσον καὶ ὁ τάδε ἔφερε σῶμα, καὶ ὁ τάδε ἂν καὶ ἐκατοικοῦσε μέσα εἰς τὸν κόσμον καὶ ἐζοῦσεν εἰς τὴν γῆν, παρὰ ταῦτα ἔζη ἐνάρετα. Ἀλλὰ καὶ σὺ ἡ ἰδία, ὅταν κάνῃς τὸ καλόν, μολονότι φέρεις τὸ σῶμα, προοδεύεις εἰς τὴν ἀρετήν. Ἂν πάλιν, ἀκούουσα αὐτά, πονᾷ πολύ, μὴ πάρῃς τὸ χέρι σου ἀπὸ ἐπάνω της. Διότι δὲν θὰ ἀποθάνῃ, ἐὰν τὴν κτυπήσῃς, ἀντιθέτως μάλιστα θὰ τὴν ἐλευθερώσῃς ἀπὸ τὸν θάνατον. Ἀλλὰ καὶ ἂν ἀκόμη σοῦ λέγῃ ὅτι ὁ τάδε τὴν ἔκανε νὰ ὀργισθῇ, εἰπὲ πρὸς αὐτήν· Καλά, εἶχες ὅμως τὴν δυνατότητα νὰ μὴ ὀργισθῇς. Διότι πολλάκις συνεκράτησες τὴν ὀργήν σου. Ἐὰν σοῦ εἰπῇ δέ, ὅτι ἡ ὀμορφιὰ τῆς τάδε μὲ διήγειρεν, εἰπὲ πρὸς αὐτήν· καλά, ἠμποροῦσες ὅμως νὰ συγκρατηθῇς. Παρουσίασέ της ὡσὰν παράδειγμα ἐκείνους ποὺ ἐξῆλθαν νικηταὶ τοιούτων πειρασμῶν, ὑπενθύμισέ της τὴν πρώτην γυναῖκα ποὺ εἶπεν, «Ὁ ὄφις μὲ ἐξηπάτησε»[5], ποὺ παρὰ ταῦτα ὅμως δὲν ἀπηλλάγη τῆς κατηγορίας.

4. Ὅταν δὲ θὰ κάνῃς αὐτὴν τὴν ἐξέτασιν, νὰ μὴ εἶναι ἐκεῖ κανεὶς ἄλλος, κανεὶς νὰ μὴ σὲ ἐνοχλῇ, ἀλλ' ὅπως ἀκριβῶς οἱ δικασταὶ δικάζουν καθισμένοι πίσω ἀπὸ παραπε-

θεζόμενοι κρίνουσιν, οὕτω καὶ σὺ ἀντὶ παραπετασμάτων καιρὸν ζήτησον ἡσυχίας καὶ τόπον. Καὶ ὅταν δειπνήσας ἀναστῇς καὶ μέλλῃς κατακλίνεσθαι, τότε ταῦτα δίκαζε· οὗτος ὁ καιρὸς ἐπιτήδειός σοι· τόπος δὲ ἡ κλίνη καὶ ὁ θάλαμος.
5 *Τοῦτο καὶ ὁ προφήτης ἐκέλευσεν, εἰπών· «Ἃ λέγετε ἐν ταῖς καρδίαις ὑμῶν, ἐπὶ ταῖς κοίταις ὑμῶν κατανύγητε».*

Καὶ τῶν μικρῶν μεγάλας εὐθύνας ἀπαίτει, ἵνα τῶν μεγάλων μηδὲ ἐγγὺς γένῃ ποτέ. Ἂν τοῦτο ποιῇς καθ' ἑκάστην ἡμέραν, μετὰ παρρησίας στήσῃ παρὰ τὸ βῆμα ἐκεῖνο
10 *τὸ φοβερόν. Οὕτως ὁ Παῦλος ἐγένετο καθαρός· διὰ τοῦτο καὶ ἔλεγεν· «Εἰ γὰρ ἑαυτοὺς ἐκρίνομεν, οὐκ ἂν ἐκρινόμεθα». Οὕτω τοὺς παῖδας ἐξεκάθαρεν ὁ Ἰώβ. Ὁ γὰρ ὑπὲρ ἀδήλων θυσίας ἀναφέρων, πολλῷ μᾶλλον τῶν δήλων εὐθύνας ἀπῄτει.*

15 *Ἀλλ' ἡμεῖς οὐχ οὕτω ποιοῦμεν, ἀλλὰ τοὐναντίον ἅπαν. Ὁμοῦ τε γὰρ κατεκλίθημεν, καὶ τὰ βιωτικὰ στρέφομεν ἅπαντα· καὶ οἱ μὲν ἀκαθάρτους εἰσάγουσι λογισμούς, οἱ δὲ δανείσματα καὶ συμβόλαια καὶ φροντίδας ἐπικήρους. Καὶ θυγατέρα μὲν ἔχοντες παρθενευομένην, ἀκριβῶς φυλάττομεν·*
20 *ὃ δὲ θυγατρὸς ἡμῖν τιμιώτερον, ἡ ψυχή, ταύτην ἐῶμεν πορνεύεσθαι καὶ μολύνεσθαι, μυρίας ἐπεισάγοντες ἐννοίας πονηράς· κἂν ὁ τῆς πλεονεξίας ἔρως, κἂν ὁ τῆς τρυφῆς, κἂν ὁ τῶν λαμπρῶν σωμάτων, κἂν ὁ τοῦ θυμοῦ, κἂν ὁστισοῦν ἕτερος ἐπεισελθεῖν βούληται, τὰς θύρας ἀναπετάσαντες ἕλ-*
25 *κομεν καὶ καλοῦμεν, καὶ μετὰ ἀδείας αὐτῇ παρέχομεν μίγνυσθαι. Οὗ τί γένοιτ' ἂν βαρβαρικώτερον, τὴν πάντων ἡ-*

---

6. Ψαλμ. 4, 5.
7. Α' Κορ. 11, 31.
8. Ἰὼβ 1, 5.

τάσματα, κατὰ τὸν ἴδιον τρόπον ἀναζήτησε καὶ σὺ ἀντὶ παραπετασμάτων καιρὸν ἡσυχίας καὶ τόπον. Καὶ ὅταν σηκωθῇς μετὰ ἀπὸ τὸ δεῖπνον καὶ πρόκειται νὰ κοιμηθῇς, τότε νὰ κάνῃς αὐτὴν τὴν δίκην· αὐτὸς ὁ καιρὸς εἶναι κατάλληλος, τόπος δὲ τὸ κρεββάτι καὶ τὸ ὑπνοδωμάτιον. Αὐτὴν τὴν ἐντολὴν ἔδωσε καὶ ὁ προφήτης, λέγων· «Ὅλα ὅσα ἔχετε εἰς τὰς καρδίας σας νὰ τὰ λέγετε μὲ συντριβὴν καρδίας εἰς τὰ κρεββάτια σας»[6].

Καὶ νὰ ζητᾷς διὰ τὰ μικρά σου ἁμαρτήματα μεγάλας εὐθύνας, ὥστε οὔτε κἂν νὰ φθάσῃς ποτὲ κοντὰ εἰς τὰ μεγάλα. Ἂν αὐτὸ τὸ κάνῃς καθημερινῶς, θὰ παρουσιασθῇς μὲ παρρησίαν πρὸ τοῦ φοβεροῦ ἐκείνου βήματος. Κατὰ παρόμοιον τρόπον καὶ ὁ Παῦλος ἔγινε καθαρός, καὶ διὰ τοῦτο ἔλεγεν· «Ἐὰν λοιπὸν ἐξετάζαμεν τὸν ἑαυτόν μας ὁ καθένας, δὲν θὰ κατεδικαζόμεθα»[7]. Μὲ τὸν ἴδιον τρόπον καὶ ὁ Ἰὼβ ἐπέτυχε τὸν ἐξαγνισμὸν τῶν παιδιῶν. Διότι αὐτὸς ποὺ προσέφερε θυσίας διὰ τὰ κρυφὰ πράγματα, πολὺ περισσότερον ἐζητοῦσεν εὐθύνας διὰ τὰ φανερά[8].

Ἡμεῖς ὅμως δὲν κάμνομεν τὸ ἴδιο, ἀλλὰ τελείως τὸ ἀντίθετον. Διότι μόλις κατακλιθοῦμεν, φέρομεν εἰς τὸν νοῦν μας ὅλα τὰ βιωτικά. Καὶ ἄλλοι μὲν φέρουν εἰς τὸν νοῦν των ἀκαθάρτους σκέψεις, ἄλλοι δὲ ἀσχολοῦνται μὲ τὰ δάνεια, τὰ συμβόλαια καὶ μὲ ἀσκόπους φροντίδας. Καὶ ὅταν μὲν συμβῇ νὰ ἔχωμεν κόρην παρθένον, τὴν προφυλάσσομεν μὲ πολλὴν φροντίδα, τὴν ψυχὴν ὅμως ποὺ εἶναι κατὰ πολὺ ἀνωτέρα τῆς θυγατρός, αὐτὴν τὴν ἀφήνομεν νὰ πορνεύεται καὶ νὰ μολύνεται, εἰσάγοντες ἐντὸς αὐτῆς μυρίας πονηρὰς σκέψεις. Καὶ εἴτε θελήσει νὰ εἰσέλθῃ εἰς τὴν ψυχήν μας ὁ ἔρως τῆς πλεονεξίας, εἴτε τῆς ἀπολαύσεως, εἴτε τῶν ὡραίων σωμάτων, εἴτε τοῦ θυμοῦ, εἴτε οἱοσδήποτε ἄλλος, ἀνοίγομεν τὰς θύρας καὶ τὸν προσελκύομεν καὶ τὸν προσκαλοῦμεν καὶ τὸν ἀφήνομεν χωρὶς φόβον νὰ ἔρχεται εἰς ἐπαφὴν μὲ αὐτήν. Τί θὰ ἠμποροῦσε νὰ θεωρηθῇ βαρβαρικώτερον ἀπὸ αὐτό, ὅταν τὴν ψυχήν μας, ποὺ εἶναι τὸ πολυτιμότερον ἐξ ὅ-

μῖν τιμιωτέραν ψυχὴν ὑπὸ τοσούτων μοιχῶν ὑβριζομένην περιορᾶν, καὶ μέχρι τοσούτου συγγινομένην, ἕως ἂν κορεσθῶσιν ἐκεῖνοι; Ὅπερ οὐδέποτε ἔσται. Διὰ δὴ τοῦτο ὅταν ὕπνος καταλάβῃ, τότε μόνον ἀφίστανται· μᾶλλον δὲ οὐδὲ τό-
5 *τε· καὶ γὰρ τὰ ὀνείρατα καὶ αἱ φαντασίαι τὰ αὐτὰ αὐτῇ φέρουσιν εἴδωλα. Ὅθεν καὶ ἡμέρας γενομένης, ἡ τοιαῦτα φανταζομένη ψυχὴ καὶ εἰς τὸ ἔργον τῶν φαντασιῶν ἐκείνων πολλάκις ἐξέπεσε.*

Σὺ δὲ τῇ μὲν κόρῃ τῶν ὀφθαλμῶν οὐδὲ μικρὰν κόνιν
10 *ἐπεισελθεῖν ἐᾷς, τὴν δὲ ψυχὴν φορυτὸν τοσούτων κακῶν ἐπισυρομένην περιορᾷς; Πότε οὖν τὴν κόπρον ταύτην ἐξαντλῆσαι δυνησόμεθα, ἣν καθ' ἑκάστην ἡμέραν ἀποτιθέμεθα; πότε τὰς ἀκάνθας ἐκτεμεῖν; πότε τὰ σπέρματα καταβαλεῖν; Οὐκ οἶσθα, ὅτι τοῦ ἀμήτου λοιπὸν ἐφέστηκεν ὁ καιρός; Ἡ-*
15 *μεῖς δὲ οὐδὲ ἐνεώσαμεν οὐδέπω τὰς ἀρούρας. Ἂν οὖν παραγένηται ὁ γεωργὸς καὶ ἐγκαλῇ, τί ἐροῦμεν; τί δὲ ἀποκρινόμεθα; Ὅτι τὰ σπέρματα οὐδεὶς ἔδωκε; Καὶ μὴν καθ' ἑκάστην καταβάλλεται ταῦτα τὴν ἡμέραν. Ἀλλ' ὅτι τὰς ἀκάνθας οὐδεὶς ἐξέτεμε; Καὶ μὴν καθ' ἑκάστην ἡμέραν τὴν*
20 *δρεπάνην θήγομεν. Ἀλλ' αἱ βιωτικαὶ περιέλκουσιν ἀνάγκαι; Καὶ διατί μὴ ἐσταύρωσας σαυτὸν τῷ κόσμῳ; Εἰ γὰρ ὁ τὸ δοθὲν ἀποδιδοὺς μόνον πονηρός, ἐπειδὴ μὴ ἐδιπλασίασεν, ὁ καὶ τοῦτο διαφθείρας, τί ἀκούσεται; Εἰ ἐκεῖνος δεθεὶς ἐξηνέχθη ὅπου ὁ βρυγμὸς τῶν ὀδόντων, ἡμεῖς τί*

λων τῶν πραγμάτων, τὴν ἀφήνωμεν νὰ καθυβρίζεται ἀπὸ τόσους μοιχούς, καὶ τὴν ἐπιτρέπωμεν νὰ τοὺς συναναστρέφεται μέχρι τέτοιου σημείου ὥς ποὺ νὰ χορτάσουν ἐκεῖνοι; Πρᾶγμα βέβαια ποὺ δὲν πρόκειται νὰ συμβῇ ποτέ. Διὰ τοῦτο λοιπὸν μόλις τὴν πάρῃ ὁ ὕπνος, τότε μόνον ἀπομακρύνονται· μᾶλλον δὲ οὔτε τότε φεύγουν. Καθόσον τὰ ὄνειρα καὶ αἱ φαντασίαι παρουσιάζουν εἰς τὴν ψυχήν μας τὰ ἴδια πράγματα. Διὰ τοῦτο μόλις ἔλθῃ ἡ ἡμέρα, ἡ ψυχὴ ποὺ εἶναι κυριευμένη ἀπὸ τέτοιου εἴδους φαντασίας, προχωρεῖ πολλὲς φορὲς καὶ εἰς τὴν πραγματοποίησιν αὐτῶν τῶν φαντασιῶν.

Σὺ ὅμως εἰς τὴν κόρην τοῦ ὀφθαλμοῦ σου δὲν ἐπιτρέπεις νὰ εἰσέλθῃ οὔτε κἂν μικρὴ σκόνη, ἀδιαφορεῖς ὅμως τελείως διὰ τὴν ψυχήν σου ποὺ μεταφέρει ἕνα φορτίον τόσον μεγάλων κακῶν; Πότε λοιπὸν θὰ ἠμπορέσωμεν νὰ καθαρίσωμεν αὐτὴν τὴν κόπρον, καθ' ἣν στιγμὴν καθημερινῶς προσθέτομεν ὅλο καὶ περισσοτέραν; πότε θὰ κόψωμεν τὰς ἀκάνθας; πότε θὰ σπείρωμεν τοὺς σπόρους τοὺς καλούς; Δὲν ἀντιλαμβάνεσαι ὅτι ἔφθασε πλέον ὁ καιρὸς τοῦ θερισμοῦ; Δὲν ἀντιλαμβάνεσαι ὅτι ἔφθασε πλέον ὁ καιρὸς τοῦ θερισμοῦ; Ἡμεῖς ὅμως ἀκόμη δὲν ὠργώσαμεν οὔτε τοὺς ἀγρούς. Ἂν λοιπὸν ἔλθῃ ὁ γεωργὸς καὶ μᾶς κατηγορήσῃ δι' αὐτό, τί ἀπάντησιν θὰ τοῦ δώσωμεν; τί θὰ τοῦ εἰποῦμεν; Ὅτι τάχα δὲν μᾶς ἔδωσε κανεὶς σπόρον; Καὶ ὅμως καθημερινῶς μᾶς προσφέρονται ἐν ἀφθονίᾳ οἱ σπόροι αὐτοί. Μήπως θὰ τοῦ εἰποῦμεν ὅτι δὲν ἔκοψε κανεὶς τὰς ἀκάνθας; Καὶ ὅμως καθημερινῶς ἀκονίζουν τὴν δρεπάνην. Μήπως θὰ τοῦ εἰποῦμεν ὅτι μᾶς παρασύρουν αἱ βιωτικαὶ φροντίδες; Καὶ διατί δὲν ἐσταύρωσες τὸν ἑαυτόν σου σχετικῶς μὲ τὰ πράγματα τοῦ κόσμου; Διότι ἐὰν θεωρῆται πονηρὸς δοῦλος ἐκεῖνος ποὺ ἀπέδωσε μόνον ὅ,τι τοῦ εἶχε δοθῇ, ἐπειδὴ δὲν τὸ ἐδιπλασίασε, τί θὰ ἀκούσῃ ἐκεῖνος ποὺ ἐξηφάνισε καὶ αὐτὸ ποὺ τοῦ ἐνεπιστεύθη; Ἐὰν ἐκεῖνος ὡδηγήθη δεμένος ἐκεῖ ὅπου εἶναι ὁ τριγμὸς τῶν ὀδόντων, τί θὰ πάθωμεν ἡμεῖς,

πεισόμεθα, μυρίων ἡμᾶς ἑλκόντων ἐπ' ἀρετήν, ἀναδυόμενοι καὶ ὀκνοῦντες; Τί γὰρ οὐχ ἱκανόν σε προτρέψαι; Οὐχ ὁρᾷς τὸ εὐτελὲς τοῦ βίου; τὸ ἄδηλον τῆς ζωῆς; τὸν πόνον τὸν ἐν τοῖς παροῦσι; τὸν ἱδρῶτα; Μὴ γὰρ τὴν μὲν ἀρετὴν μετὰ 5 *πόνου, τὴν δὲ κακίαν ἄνευ πόνου ἐστὶ μετελθεῖν; Εἰ οὖν καὶ ἐνταῦθα καὶ ἐκεῖ πόνος, διατί μὴ ταύτην εἵλου τὴν πολὺ τὸ κέρδος ἔχουσαν; Μᾶλλον δὲ ἔστι τινὰ τῆς ἀρετῆς, ἃ μηδὲ πόνον ἔχει. Ποῖος γὰρ πόνος τὸ μὴ κακηγορεῖν, μηδὲ ψεύδεσθαι, τὸ μὴ ὀμνύναι, τὸ τὴν ὀργὴν ἀφιέναι τῷ πλη-* 10 *σίον; Τοὐναντίον μὲν οὖν τὸ ταῦτα ποιεῖν ἐπίπονον καὶ πολλὴν φέρει τὴν φροντίδα. Τίς οὖν ἡμῖν ἔσται ἀπολογία, ποία συγγνώμη, μηδὲ ταῦτα κατορθοῦσιν; Ἀπὸ γὰρ τούτων δῆλον, ὅτι καὶ τὰ ἐπιπονώτερα ἀπὸ ῥαθυμίας ἡμᾶς διαφεύγει καὶ ὄκνου.*

15 *Ἅπερ ἅπαντα ἐννοήσαντες, φύγωμεν κακίαν, ἑλώμεθα ἀρετήν· ἵνα καὶ τῶν παρόντων καὶ τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

καθ' ἣν στιγμὴν ἄπειρα πράγματα μᾶς προσελκύουν πρὸς τὴν ἀρετήν, ἡμεῖς ὅμως τὰ ἀρνούμεθα ὅλα καὶ διστάζομεν ἀπὸ φόβον; Διότι πράγματι τί πρᾶγμα εἶναι αὐτὸ ποὺ δὲν εἶναι ἱκανὸν νὰ σὲ προτρέψῃ διὰ τὴν ἀρετήν; Δὲν βλέπεις τὴν εὐτέλειαν τοῦ βίου; τὸ ἀβέβαιον τῆς ζωῆς; τὸν κόπον τῶν ἐπιγείων πραγμάτων; τὸν ἱδρῶτα; Μήπως τὴν μὲν ἀρετὴν εἶναι δυνατὸν νὰ τὴν ἐπιτύχωμεν μὲ κόπον, τὴν δὲ κακίαν χωρὶς κόπον; Ἐὰν λοιπὸν καὶ εἰς τὴν μίαν καὶ εἰς τὴν ἄλλην περίπτωσιν ἀπαιτῆται κόπος, διατί δὲν ἐπροτίμησες τὴν ἀρετὴν ποὺ περιέχει τόσον πολὺ κέρδος; Μᾶλλον δὲ ὑπάρχουν καὶ ὡρισμέναι περιπτώσεις τῆς ἀρετῆς κατὰ τὰς ὁποίας δὲν ἀπαιτεῖται καθόλου κόπος. Πράγματι, ποῖος κόπος ἀπαιτεῖται διὰ νὰ μὴ κατηγορῇ κανεὶς οὔτε νὰ ψεύδεται, διὰ νὰ μὴ ὁρκίζεται, διὰ νὰ μὴ ὀργίζεται κατὰ τοῦ πλησίον του; Ἀντιθέτως μάλιστα τὸ νὰ πράττῃ κανεὶς ὅλα αὐτὰ εἶναι πολὺ κοπιαστικὸν καὶ ἀπαιτοῦνται πολλαὶ φροντίδες. Ποίαν λοιπὸν δικαιολογίαν θὰ ἔχωμεν καὶ ποίαν συγχώρησιν, καθ' ἣν στιγμὴν οὔτε αὐτὰ δὲν ἠμποροῦμεν νὰ πράξωμεν; Διότι ἀπὸ αὐτὰ γίνεται φανερὸν ὅτι καὶ τὰ δυσκολώτερα μᾶς διαφεύγουν ἀπὸ ἀδιαφορίαν καὶ ὀκνηρίαν.

Ὅλα αὐτὰ λοιπὸν ἀφοῦ τὰ βάλωμεν καλὰ μέσα εἰς τὸ μυαλόν μας, ἂς ἀποφύγωμεν τὴν κακίαν καὶ ἂς προτιμήσωμεν τὴν ἀρετήν, ὥστε νὰ ἀποκτήσωμεν καὶ τὰ παρόντα καὶ τὰ μελλοντικὰ ἀγαθά, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΜΓ´

Ματθ. 12, 38 - 45

«Τότε ἀπεκρίθησαν αὐτῷ τινες τῶν γραμματέων καὶ Φαρισαίων, λέγοντες· διδάσκαλε, θέλομεν ἀπὸ σοῦ σημεῖον ἰδεῖν.
5 *Ὁ δὲ ἀποκριθεὶς εἶπε· γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου».*

1. Ἆρα τι γένοιτ᾽ ἂν τούτων ἀνοητότερον, οὐκ ἀσεβέστερον μόνον; οἳ μετὰ τοσαῦτα σημεῖα, ὡς οὐδενὸς γενομέ-
10 νου, λέγουσι· «Θέλομεν ἀπὸ σοῦ σημεῖον ἰδεῖν». Τίνος οὖν ἕνεκεν τοῦτο ἔλεγον; Ἵνα ἐπιλάβωνται πάλιν. Ἐπειδὴ γὰρ ἀπὸ τῶν ῥημάτων αὐτοὺς ἐπεστόμισε, καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις, καὶ τὴν ἀναίσχυντον ἔφραξε γλῶτταν, ἐπὶ τὰ ἔργα πάλιν ἔρχονται· ὅπερ καὶ θαυμάζων πάλιν ὁ εὐαγγελιστὴς
15 ἔλεγε· «Τότε ἀπεκρίθησαν αὐτῷ τινες τῶν γραμματέων, σημεῖον αἰτοῦντες».

«Τότε», πότε; Ὅτε ὑποκύπτειν ἐχρῆν, ὅτε θαυμάζειν, ὅτε ἐκπλήττεσθαι καὶ παραχωρεῖν, τότε τῆς πονηρίας οὐκ ἀφίστανται. Ὅρα δὲ καὶ τὰ ῥήματα κολακείας γέμοντα καὶ
20 εἰρωνείας. Προσεδόκουν γὰρ αὐτὸν ἐπισπάσασθαι διὰ τούτων. Καὶ νῦν μὲν ὑβρίζουσι, νῦν δὲ κολακεύουσι· νῦν μὲν δαιμονῶντα καλοῦντες, νῦν δὲ διδάσκαλον· ἀμφότερα ἀπὸ πονηρᾶς γνώμης, εἰ καὶ ἐναντία τὰ λεγόμενα. Διὰ τοῦτο αὐτῶν καὶ σφόδρα καθάπτεται. Καὶ ὅτε μὲν αὐ-
25 τὸν τραχέως ἠρώτων καὶ ὕβριζον, ἐπιεικῶς αὐτοῖς διελέγε-

ΟΜΙΛΙΑ ΜΓ΄

Ματθ. 12, 38 - 45

«Τότε ἔλαβαν τὸν λόγον ὡρισμένοι ἀπὸ τοὺς Γραμματεῖς καὶ τοὺς Φαρισαίους καὶ εἶπαν· Διδάσκαλε, θέλομεν νὰ ἰδοῦμεν ἀπὸ σένα ἕνα θαῦμα. Ἐκεῖνος δὲ ἀποκριθεὶς εἶπεν εἰς αὐτούς· Ἡ πονηρὰ καὶ μοιχαλὶς γενεὰ ζητεῖ θαῦμα, πλὴν ὅμως δὲν θὰ τῆς δοθῇ θαῦμα, παρὰ μόνον τὸ θαῦμα τοῦ προφήτου Ἰωνᾶ».

1. Ἆρα γε ποία ἄλλη ἐνέργεια αὐτῶν θὰ ἠμποροῦσε νὰ θεωρηθῇ ὄχι μόνον πιὸ ἀσεβὴς ἀλλὰ καὶ πιὸ ἀνόητος; οἱ ὁποῖοι μετὰ ἀπὸ τόσα πολλὰ θαύματα, ὡσὰν νὰ μὴ εἶχε συμβῆ κανένα θαῦμα, λέγουν· «Θέλομεν νὰ ἰδοῦμεν ἀπὸ σένα ἕνα θαῦμα». Μὲ ποῖον σκοπὸν λοιπὸν τὸ ἔλεγαν αὐτό; Διὰ νὰ εὕρουν καὶ πάλιν αἰτίαν νὰ τὸν κατηγορήσουν. Ἐπειδὴ δηλαδὴ τοὺς ἀπεστόμωσε μὲ τοὺς λόγους του, μία, δύο καὶ πολλάκις καὶ ἔφραξε τὴν ἀδιάντροπην γλῶσσαν των, ἐπανέρχονται καὶ πάλιν εἰς τὰ ἔργα, πρᾶγμα διὰ τὸ ὁποῖο λέγει ὁ εὐαγγελιστὴς κατάπληκτος· «Τότε ἔλαβαν τὸν λόγον μερικοὶ ἀπὸ τοὺς Γραμματεῖς καὶ ἐζητοῦσαν νὰ κάμῃ θαῦμα».

«Τότε»· πότε δηλαδή; Τότε ποὺ ἔπρεπε κανονικὰ νὰ ὑποκύπτουν, ποὺ ἔπρεπε νὰ θαυμάζουν, ποὺ ἔπρεπε νὰ ἐκπλήσσωνται καὶ νὰ ὑποχωροῦν, ἀκριβῶς τότε δὲν ἀφήνουν τὴν πονηρίαν των. Πρόσεξε δὲ ὅτι καὶ τὰ λόγια των εἶναι γεμᾶτα ἀπὸ κολακείαν καὶ εἰρωνείαν. Διότι ἐπίστευαν πὼς κατ᾽ αὐτὸν τὸν τρόπον θ᾽ ἀποσπάσουν τὴν προσοχήν του. Καὶ ἄλλοτε μὲν τὸν ὑβρίζουν, ἄλλοτε δὲ τὸν κολακεύουν. Ἄλλοτε πάλιν τὸν ἀποκαλοῦν δαιμονισμένον, ἄλλοτε δὲ διδάσκαλον. Καὶ αἱ δύο ἐνέργειαί των ὅμως προέρχονται ἀπὸ τὴν πονηρὰν διάθεσίν των, ἔστω καὶ ἂν ἀκόμη εὑρίσκονται εἰς ἀντίθεσιν τὰ λεγόμενά των. Καὶ ἀκριβῶς διὰ τοῦτο τοὺς ἐπιπλήττει μὲ πολλὴν αὐστηρότητα. Καὶ ὅταν μὲν τὸν ἠρώτων κατὰ τρόπον σκληρὸν καὶ τὸν ὕβριζαν, τοὺς ἀπήντα

ΟΜΙΛΙΑ ΜΓ΄

Ματθ. 12, 38 - 45

«*Τότε ἀπεκρίθησαν αὐτῷ τινες τῶν γραμματέων καὶ Φαρισαίων, λέγοντες· διδάσκαλε, θέλομεν ἀπὸ σοῦ σημεῖον ἰδεῖν.* 5 *Ὁ δὲ ἀποκριθεὶς εἶπε· γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου*».

1. Ἆρα τι γένοιτ' ἂν τούτων ἀνοητότερον, οὐκ ἀσεβέστερον μόνον; οἳ μετὰ τοσαῦτα σημεῖα, ὡς οὐδενὸς γενομέ- 10 νου, λέγουσι· «Θέλομεν ἀπὸ σοῦ σημεῖον ἰδεῖν». Τίνος οὖν ἕνεκεν τοῦτο ἔλεγον; Ἵνα ἐπιλάβωνται πάλιν. Ἐπειδὴ γὰρ ἀπὸ τῶν ρημάτων αὐτοὺς ἐπεστόμισε, καὶ ἅπαξ καὶ δὶς καὶ πολλάκις, καὶ τὴν ἀναίσχυντον ἔφραξε γλῶτταν, ἐπὶ τὰ ἔργα πάλιν ἔρχονται· ὅπερ καὶ θαυμάζων πάλιν ὁ εὐαγγελιστὴς 15 ἔλεγε· «Τότε ἀπεκρίθησαν αὐτῷ τινες τῶν γραμματέων, σημεῖον αἰτοῦντες».

«Τότε», πότε; Ὅτε ὑποκύπτειν ἐχρῆν, ὅτε θαυμάζειν, ὅτε ἐκπλήττεσθαι καὶ παραχωρεῖν, τότε τῆς πονηρίας οὐκ ἀφίστανται. Ὅρα δὲ καὶ τὰ ρήματα κολακείας γέμοντα καὶ 20 εἰρωνείας. Προσεδόκουν γὰρ αὐτὸν ἐπισπάσασθαι διὰ τούτων. Καὶ νῦν μὲν ὑβρίζουσι, νῦν δὲ κολακεύουσι· νῦν μὲν δαιμονῶντα καλοῦντες, νῦν δὲ διδάσκαλον· ἀμφότερα ἀπὸ πονηρᾶς γνώμης, εἰ καὶ ἐναντία τὰ λεγόμενα. Διὰ τοῦτο αὐτῶν καὶ σφόδρα καθάπτεται. Καὶ ὅτε μὲν αὐ- 25 τὸν τραχέως ἠρώτων καὶ ὕβριζον, ἐπιεικῶς αὐτοῖς διελέγε-

ΟΜΙΛΙΑ ΜΓ΄

Ματθ. 12, 38 - 45

«Τότε ἔλαβαν τὸν λόγον ὡρισμένοι ἀπὸ τοὺς Γραμματεῖς καὶ τοὺς Φαρισαίους καὶ εἶπαν· Διδάσκαλε, θέλομεν νὰ ἰδοῦμεν ἀπὸ σένα ἕνα θαῦμα. Ἐκεῖνος δὲ ἀποκριθεὶς εἶπεν εἰς αὐτούς· Ἡ πονηρὰ καὶ μοιχαλὶς γενεὰ ζητεῖ θαῦμα, πλὴν ὅμως δὲν θὰ τῆς δοθῇ θαῦμα, παρὰ μόνον τὸ θαῦμα τοῦ προφήτου Ἰωνᾶ».

1. Ἆρα γε ποία ἄλλη ἐνέργεια αὐτῶν θὰ ἠμποροῦσε νὰ θεωρηθῇ ὄχι μόνον πιὸ ἀσεβὴς ἀλλὰ καὶ πιὸ ἀνόητος; οἱ ὁποῖοι μετὰ ἀπὸ τόσα πολλὰ θαύματα, ὡσὰν νὰ μὴ εἶχε συμβῆ κανένα θαῦμα, λέγουν· «Θέλομεν νὰ ἰδοῦμεν ἀπὸ σένα ἕνα θαῦμα». Μὲ ποῖον σκοπὸν λοιπὸν τὸ ἔλεγαν αὐτό; Διὰ νὰ εὕρουν καὶ πάλιν αἰτίαν νὰ τὸν κατηγορήσουν. Ἐπειδὴ δηλαδὴ τοὺς ἀπεστόμωσε μὲ τοὺς λόγους του, μία, δύο καὶ πολλάκις καὶ ἔφραξε τὴν ἀδιάντροπην γλῶσσαν των, ἐπανέρχονται καὶ πάλιν εἰς τὰ ἔργα, πρᾶγμα διὰ τὸ ὁποῖο λέγει ὁ εὐαγγελιστὴς κατάπληκτος· «Τότε ἔλαβαν τὸν λόγον μερικοὶ ἀπὸ τοὺς Γραμματεῖς καὶ ἐζητοῦσαν νὰ κάμῃ θαῦμα».

«Τότε»· πότε δηλαδή; Τότε ποὺ ἔπρεπε κανονικὰ νὰ ὑποκύπτουν, ποὺ ἔπρεπε νὰ θαυμάζουν, ποὺ ἔπρεπε νὰ ἐκπλήσσωνται καὶ νὰ ὑποχωροῦν, ἀκριβῶς τότε δὲν ἀφήνουν τὴν πονηρίαν των. Πρόσεξε δὲ ὅτι καὶ τὰ λόγια των εἶναι γεμᾶτα ἀπὸ κολακείαν καὶ εἰρωνείαν. Διότι ἐπίστευαν πὼς κατ' αὐτὸν τὸν τρόπον θ' ἀποσπάσουν τὴν προσοχήν του. Καὶ ἄλλοτε μὲν τὸν ὑβρίζουν, ἄλλοτε δὲ τὸν κολακεύουν. Ἄλλοτε πάλιν τὸν ἀποκαλοῦν δαιμονισμένον, ἄλλοτε δὲ διδάσκαλον. Καὶ αἱ δύο ἐνέργειαί των ὅμως προέρχονται ἀπὸ τὴν πονηρὰν διάθεσίν των, ἔστω καὶ ἂν ἀκόμη εὑρίσκονται εἰς ἀντίθεσιν τὰ λεγόμενά των. Καὶ ἀκριβῶς διὰ τοῦτο τοὺς ἐπιπλήττει μὲ πολλὴν αὐστηρότητα. Καὶ ὅταν μὲν τὸν ἠρώτων κατὰ τρόπον σκληρὸν καὶ τὸν ὕβριζαν, τοὺς ἀπήντα

το, ὅτε δὲ ἐκολάκευον, ὑβριστικῶς καὶ μετὰ πολλῆς τῆς σφοδρότητος, δεικνὺς ὅτι ἑκατέρου τοῦ πάθους ἐστὶν ἀνώτερος, καὶ οὔτε τότε εἰς ὀργὴν ἐξάγεται, οὔτε νῦν ὑπὸ κολακείας μαλακίζεται.

5 *Ὅρα δὲ καὶ τὴν ὕβριν οὐχ ἁπλῶς λοιδορίαν οὖσαν, ἀλλ' ἀπόδειξιν ἔχουσαν τῆς πονηρίας αὐτῶν. Τί γάρ φησι; «Γενεὰ πονηρὰ καὶ μοιχαλὶς σημεῖον ἐπιζητεῖ». Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· τί θαυμαστόν, εἰ ἐπ' ἐμοῦ ταῦτα ποιεῖτε τοῦ τέως ἀγνοουμένου παρ' ὑμῶν, ὅπου γε καὶ ἐπὶ τοῦ Πα-*
10 *τρός, οὗ τοσαύτην ἐλάβετε πεῖραν, τὸ αὐτὸ τοῦτο πεποιήκατε· καταλιπόντες αὐτόν, ἐπὶ τοὺς δαίμονας ἐτρέχετε, ἐραστὰς ἐπισπώμενοι πονηρούς; ὃ συνεχῶς αὐτοῖς καὶ ὁ Ἰεζεχιὴλ ὠνείδιζε.*

Ταῦτα δὲ ἔλεγε, δεικνὺς ἑαυτὸν τῷ Πατρὶ συμφωνοῦν-
15 *τα καὶ τούτους οὐδὲν ξένον ποιοῦντας καὶ τὰ ἀπόρρητα αὐτῶν ἐκκαλύπτων· καὶ ὅτι μεθ' ὑποκρίσεως καὶ ὡς ἐχθροὶ ἤτουν. Διὰ τοῦτο αὐτοὺς εἶπε «γενεὰν πονηράν», ὅτι ἀγνώμονες ἀεὶ γεγόνασι περὶ τοὺς εὐεργέτας, ὅτι εὖ πάσχοντες γίνονται χείρους· ὅπερ ἐσχάτης ἐστὶ πονηρίας. «Μοιχαλίδα»*
20 *δὲ ἐκάλεσε καὶ τὴν προτέραν καὶ τὴν παροῦσαν ἀπιστίαν δηλῶν· ὅθεν δείκνυσιν ἑαυτὸν πάλιν τῷ Πατρὶ ἴσον, εἴγε καὶ τὸ μὴ πιστεῦσαι αὐτῷ μοιχαλίδα ποιεῖ. Εἶτα ὑβρίσας, τί φησι; «Καὶ σημεῖον οὐ δοθήσεται αὐτῇ, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ*

---

1. Προβλ. Ἰεζ. 16, 1 ἑ.

μὲ ἐπιείκειαν, ὅταν ὅμως προσεπάθουν νὰ τὸν κολακεύσουν, τότε τοὺς ἀπῆντα κατὰ τρόπον ὑβριστικὸν καὶ μὲ πολλὴν αὐστηρότητα καὶ ἀπεδείκνυεν ἔτσι ὅτι εἶναι ἀνώτερος καὶ ἀπὸ τὰ δύο αὐτὰ πάθη· οὔτε δηλαδὴ εἰς τὴν πρώτην περίπτωσιν παρασύρεται εἰς ὀργήν, οὔτε εἰς τὴν προκειμένην περίπτωσιν καθίσταται μαλακότερος ἐξ αἰτίας τῆς κολακείας.

Πρόσεξε δὲ ὅτι καὶ ἡ ἐπίπληξίς του δὲν εἶναι μία ἁπλῆ λοιδορία, ἀλλὰ περιέχει καὶ ἀπόδειξιν τῆς πονηρίας των. Διότι τί τοὺς λέγει; «Ἡ πονηρὰ καὶ μοιχαλὶς γενεὰ ζητεῖ ἐπιμόνως θαῦμα». Ἡ σημασία δὲ αὐτοῦ ποὺ λέγει εἶναι ἡ ἑξῆς· Τί τὸ παράξενον, ἐὰν εἶναι τέτοιου εἴδους ἡ συμπεριφορά σας πρὸς ἐμέ, τὸν ὁποῖον δὲν ἐγνωρίζατε μέχρι τώρα, καθ' ἣν στιγμὴν βέβαια ἐπράξατε τὸ ἴδιο καὶ εἰς τὸν Πατέρα μου, ποὺ τὸν ἐγνωρίσατε τόσον πολὺ καλὰ ἀπὸ τὰς εὐεργετικάς του ἐνεργείας πρὸς ἐσᾶς, καὶ τὸν ὁποῖον ἐγκατελείψατε παρὰ ταῦτα καὶ ἐτρέχατε πρὸς τοὺς δαίμονας μὲ σκοπὸν ν' ἀποκτήσετε πονηροὺς ἐραστάς; Καὶ ἀκριβῶς διὰ τὸν λόγον αὐτὸν καὶ ὁ Ἰεζεκιὴλ τοὺς κατηγόρει συνεχῶς[1].

Ὅλα αὐτὰ ὁ Ἰησοῦς τὰ ἔλεγε διὰ νὰ δείξῃ ὅτι εὑρίσκεται εἰς πλήρη συμφωνίαν μὲ τὸν Πατέρα του καὶ ὅτι αὐτοὶ δὲν ἔπρατταν κάτι τὸ πρωτοφανές, ἐπὶ πλέον δὲ διὰ νὰ φέρῃ εἰς τὸ φῶς τὰς ἀποκρύφους σκέψεις των, καὶ διὰ νὰ δείξῃ ὅτι ἐζήτουν τὸ θαῦμα μὲ ὑποκρισίαν καὶ ἐχθρικὴν διάθεσιν. Καὶ ἀκριβῶς διὰ τοῦτο τοὺς ἀπεκάλεσε· «γενεὰν πονηράν», ἐπειδὴ πάντοτε συμπεριεφέροντο μὲ ἀγνωμοσύνην πρὸς τοὺς εὐεργέτας των, καὶ ἐνῷ εὐεργετοῦνται, αὐτοὶ γίνονται χειρότεροι, πρᾶγμα ποὺ ἀποτελεῖ ἀπόδειξιν τῆς μεγαλυτέρας πονηρίας. «Μοιχαλίδα» δὲ τοὺς ἀπεκάλεσε διὰ νὰ δηλώσῃ καὶ τὴν παλαιὰν καὶ τὴν τωρινὴν ἀπιστίαν των. Ὅθεν ἀποδεικνύει καὶ πάλιν τὸν ἑαυτόν του ἴσον πρὸς τὸν Πατέρα, καθόσον καὶ ἡ ἀπιστία εἰς αὐτὸν καθιστᾷ τὴν γενεὰν αὐτὴν «μοιχαλίδα». Τί λέγει ὅμως εἰς τὴν συνέχειαν μετὰ τὴν ἐπιτίμησιν; «Καὶ ὅμως δὲν θὰ τῆς δοθῇ θαῦμα, παρὰ μόνον τὸ θαῦμα τοῦ προφήτου Ἰωνᾶ». Μὲ τοὺς λόγους αὐ-

τοῦ προφήτου». Ἤδη τὸν περὶ τῆς ἀναστάσεως προανακρούεται λόγον καὶ πιστοῦται αὐτὸν ἀπὸ τοῦ τύπου.

Τί οὖν; οὐκ ἐδόθη αὐτῇ σημεῖον; φησίν. Οὐκ ἐδόθη αὐτῇ αἰτούσῃ. Οὐ γὰρ ὥστε αὐτοὺς ἐνάγειν ἐποίει τὰ σημεῖα·
5 *ᾔδει γὰρ πεπωρωμένους· ἀλλ' ὥστε ἑτέρους διορθοῦν. Ἢ τοῦτο οὖν ἐστιν εἰπεῖν ἢ ὅτι τοιοῦτον οὐ λήψονται σημεῖον, οἷον ἐκεῖνο. Σημεῖον γὰρ αὐτοῖς γέγονεν, ὅτε διὰ τῆς οἰκείας κολάσεως ἔγνωσαν αὐτοῦ τὴν δύναμιν. Ἐνταῦτα τοίνυν ἀπειλῶν λέγει καὶ τοῦτο αὐτὸ αἰνιττόμενος, ὡσανεὶ ἔ-*
10 *λεγε· μυρίας εὐεργεσίας ἐπεδειξάμην· οὐδὲν τούτων ὑμᾶς ἐπεσπάσατο, οὐδὲ ἠθελήσατε προσκυνῆσαί μου τὴν δύναμιν. Γνώσεσθε τοίνυν διὰ τῶν ἐναντίων τὴν ἰσχὺν τὴν ἐμήν, ὅταν τὴν πόλιν χαμαὶ ἐρριμένην ἴδητε, ὅτε καὶ τὰ τείχη περιῃρημένα, ὅτε τὸν ναὸν ἐρείπιον γεγενημένον, ὅταν καὶ*
15 *τῆς πολιτείας καὶ τῆς ἐλευθερίας ἐκπέσητε τῆς προτέρας, καὶ πάλιν ἄοικοι καὶ φυγάδες πανταχοῦ περιέρχησθε. Πάντα γὰρ ταῦτα μετὰ τὸν σταυρὸν γέγονε. Ταῦτα οὖν ὑμῖν ἀντὶ σημείων ἔσται μεγάλων. Καὶ γὰρ σφόδρα μέγα σημεῖόν ἐστι, τὸ ἀκίνητα αὐτῶν μένειν τὰ κακά, τὸ μυρίων ἐπιχειρη-*
20 *σάντων μηδένα δυνηθῆναι διαρθῶσαι τὴν ἅπαξ κατ' αὐτῶν ἐξενεχθεῖσαν δίκην. Ἀλλὰ ταῦτα μὲν οὐ λέγει, καταλιμπάνει δὲ τῷ μετὰ ταῦτα χρόνῳ γενέσθαι αὐτοῖς σαφῆ· τέως δὲ τὸν περὶ τῆς ἀναστάσεως γυμνάζει λόγον, ὃν ἔμελλον εἴσεσθαι δι' ὧν ἔμελλον ὕστερον ὑπομένειν. «Ὥσπερ γὰρ ἦν Ἰω-*
25 *νᾶς», φησίν, «ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, οὕτως ἔσται καὶ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ καρδίᾳ*

τοὺς προλέγει πλέον τὴν ἀνάστασίν του καὶ τὴν ἐπιβεβαιώνει ἀπὸ τὸν Ἰωνᾶν, τὸν τύπον αὐτοῦ.

Τί λοιπόν; θὰ εἰπῇ κάποιος. Δὲν ἐδόθη θαῦμα εἰς αὐτὴν τὴν γενεάν; Δὲν τῆς ἐδόθη τὸ θαῦμα ποὺ ἐζήτει. Διότι δὲν ἔκαμνε τὰ θαύματα ὁ Ἰησοῦς μὲ σκοπὸν νὰ τοὺς προσελκύσῃ, ἐπειδὴ ἐγνώριζε καλὰ ὅτι εἶχαν πάθει πώρωσιν, ἀλλὰ τὰ ἔκαμνε μὲ σκοπὸν νὰ διορθώσῃ τοὺς ἄλλους ἀνθρώπους. Ἢ αὐτὸ λοιπὸν ἠμποροῦμεν νὰ εἰποῦμεν ἢ ὅτι δὲν θὰ λάβουν παρόμοιον θαῦμα μὲ ἐκεῖνο. Διότι ἦτο θαῦμα εἰς αὐτούς, ὅταν μὲ τὴν κατάλληλον τιμωρίαν των ἐγνώρισαν τὴν δύναμιν τοῦ Κυρίου. Ἐνῷ εἰς τὴν περίπτωσιν αὐτὴν τὰ λέγει αὐτὰ διὰ νὰ τοὺς ἀπειλήσῃ καὶ αὐτὸ ἀκριβῶς ὑπαινίσσεται, ὡσὰν δηλαδὴ νὰ τοὺς ἔλεγε· Σᾶς εὐεργέτησα τόσες φορές. Τίποτε ὅμως ἀπὸ αὐτὰ δὲν σᾶς προσείλκυσε κοντά μου, οὔτε ἐθελήσατε νὰ προσκυνήσετε τὴν δύναμίν μου. Θὰ γνωρίσετε λοιπὸν τὴν δύναμίν μου μὲ τὰς ἀντιθέτους ἐνεργείας μου, ὅταν θὰ ἰδῆτε τὴν πόλιν σας κατεδαφισμένην, τὰ τείχη της νὰ κατακρημνίζωνται, ὅταν θὰ ἰδῆτε τὸν ναὸν νὰ μεταβάλλεται εἰς ἐρείπια, ὅταν θὰ χάσετε τὴν πολιτικήν σας ἰδιότητα καὶ τὴν ἐλευθερίαν σας τὴν προηγουμένην καὶ θὰ ἀρχίσετε νὰ περιπλανᾶσθε εἰς κάθε σημεῖον τῆς γῆς χωρὶς οἰκίαν καὶ πατρίδα. Ὅλα αὐτὰ βέβαια συνέβησαν μετὰ τὴν σταύρωσίν του. Αὐτὰ λοιπὸν θὰ σᾶς δοθοῦν ἀντὶ μεγάλων θαυμάτων. Καὶ πράγματι ἦτο πολὺ μεγάλον θαῦμα τὸ ὅτι τὰ βάσανά των παρέμειναν ἀμετακίνητα, καὶ μολονότι πάρα πολλοὶ ἐπεχείρησαν κανεὶς δὲν κατώρθωσε νὰ ἐπανορθώσῃ τὴν τιμωρίαν ποὺ τοὺς ἐπεβλήθη μίαν καὶ μόνον φοράν. Καὶ δὲν τοὺς τὰ λέγει αὐτά, ἀλλὰ ἀφήνει νὰ τὰ κατανοήσουν μελλοντικῶς. Τώρα τοὺς προετοιμάζει μὲ τοὺς λόγους του διὰ τὴν ἀνάστασίν του, ποὺ θὰ τοὺς κατανοοῦσαν πλήρως μὲ ὅσα θὰ ὑφίσταντο εἰς τὸ μέλλον. Διότι τοὺς λέγει· «Ὅπως ἀκριβῶς τότε ὁ Ἰωνᾶς παρέμεινεν ἐντὸς τῆς κοιλίας τοῦ κήτους ἐπὶ τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας, τὸ ἴδιο θὰ συμβῇ καὶ μὲ τὸν υἱὸν τοῦ ἀνθρώπου ἐντὸς

τῆς γῆς τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας». Φανερῶς μὲν γὰρ οὐκ εἶπεν, ὅτι ἀναστήσεται· ἐπεὶ ἂν καὶ κατεγέλασαν ἠνίξατο δὲ οὕτως, ὡς ἐκείνους πιστεῦσαι ὅτι προήδει. Ὅτι γὰρ ᾔδεσαν, λέγουσι πρὸς τὸν Πιλᾶτον· «Επε», φησίν, «ὁ πλάνος ἐκεῖνος ἔτι ζῶν, μετὰ τρεῖς ἡμέρας ἀναστήσομαι»· καίτοιγε οἱ μαθηταὶ τοῦτο ἠγνόουν· καὶ γὰρ ἀσυνετώτεροι αὐτῶν ἔμπροσθεν ἦσαν· διὸ καὶ αὐτοκατάκριτοι γεγόνασιν οὗτοι.

2. Ὅρα δὲ πῶς καὶ αἰνιττόμενος ἀκριβῶς αὐτὸ τίθησιν. Οὐ γὰρ εἶπεν, ἐν τῇ γῇ, ἀλλ' «Ἐν τῇ καρδίᾳ τῆς γῆς», ἵνα καὶ τὸν τάφον δηλώσῃ καὶ μηδεὶς δόκησιν ὑποπτεύσῃ. Καὶ τρεῖς δὲ ἡμέρας διὰ τοῦτο συνεχώρησεν, ἵνα πιστευθῇ ὅτι ἀπέθανεν. Οὐ γαρ τῷ σταυρῷ αὐτὸ μόνον βεβαιοῦται καὶ τῇ πάντων ὄψει, ἀλλὰ καὶ τῷ χρόνῳ τῶν ἡμερῶν. Τῇ μὲν γὰρ ἀναστάσει πᾶς ὁ μετὰ ταῦτα ἔμελλε μαρτυρήσειν χρόνος· ὁ σταυρὸς δέ, εἰ μὴ τότε πολλὰ ἔσχε τὰ μαρτυροῦντα αὐτῷ σημεῖα, κἂν ἠπιστήθη· τούτου δὲ ἀπιστηθέντος καὶ ἡ ἀνάστασις ἂν διηπιστήθη. Διὰ τοῦτο καὶ σημεῖον αὐτὸ καλεῖ. Εἰ δὲ μὴ ἐσταυρώθη, οὐκ ἂν ἐδόθη τὸ σημεῖον. Διὰ τοῦτο καὶ τὸν τύπον φέρει εἰς μέσον, ἵνα πιστευθῇ ἡ ἀλήθεια.

Εἰπὲ γάρ μοι, φαντασία ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους; Ἀλλ' οὐκ ἂν ἔχοις τοῦτο εἰπεῖν. Οὐκοῦν οὐδὲ ὁ Χριστὸς ἐν τῇ καρδίᾳ τῆς γῆς. Οὐ γὰρ δήπου ὁ μὲν τύπος ἐν ἀληθείᾳ, ἡ δὲ ἀλήθεια ἐν φαντασίᾳ. Διὰ τοῦτο πανταχοῦ τὸν θάνατον αὐτοῦ καταγγέλλομεν, καὶ ἐν τοῖς μυστηρίοις

---

2. Ματθ. 27, 63.
3. Τὴν διήγησιν περὶ τοῦ Ἰωνᾶ.

τῆς καρδίας τῆς γῆς ἐπὶ τρεῖς ἡμέρας καὶ νύκτας». Βέβαια, φανερὰ δὲν τοὺς εἶπεν ὅτι θὰ ἀναστηθῆ, διότι θὰ τὸν περιέπαιζαν. Ὑπῃνίχθη ὅμως αὐτὴν κατὰ τοιοῦτον τρόπον, ὥστε νὰ πιστεύσουν ὅτι τὴν προεγνώριζε. Καὶ πράγματι ἐπειδὴ τὸ ἐγνώριζαν αὐτὸ λέγουν πρὸς τὸν Πιλᾶτον· «Ὁ λαοπλάνος ἐκεῖνος», λέγουν, «εἶπεν, ὅταν ἀκόμη ἔζη, θὰ ἀναστηθῶ μετὰ ἀπὸ τρεῖς ἡμέρας»[2]. Καὶ βέβαια οἱ μαθηταί του δὲν τὸ ἐγνώριζαν αὐτό, διότι εἰς τὴν ἀρχὴν ἦσαν πιὸ ἀσύνετοι ἀπὸ αὐτούς· καὶ ἀκριβῶς διὰ τοῦτο αὐτοκατεδικάσθησαν.

2. Πρόσεξε ὅμως πῶς καὶ ὑπαινισσόμενος ἀναφέρει μὲ ἀκρίβειαν τὴν ἐκ νεκρῶν ἀνάστασίν του. Διότι δὲν εἶπεν, ἐντὸς τῆς γῆς, ἀλλὰ «ἐντὸς τῆς καρδίας τῆς γῆς», ὥστε καὶ τὸν τάφον νὰ φανερώσῃ καὶ κανεὶς νὰ μὴ θεωρήσῃ φαινομενικὸν τὸν θάνατόν του. Καὶ διὰ τοῦτο ἐδέχθη ἐπὶ τρεῖς ἡμέρας νὰ παραμείνῃ εἰς τὸν τάφον, διὰ νὰ πιστεύσουν ὅτι ἀπέθανε. Διότι αὐτὸ δὲν ἐπιβεβαιώνεται μόνον ἀπὸ τὸν σταυρικὸν θάνατόν του καὶ μὲ τὸ ὅτι ὅλοι τὸν εἶδαν ἐπάνω εἰς τὸν σταυρόν, ἀλλὰ καὶ ἀπὸ τὸν χρόνον τῶν τριῶν ἡμερῶν. Διότι τὴν μὲν ἀνάστασίν του ἐπρόκειτο νὰ τὴν ἐπιβεβαιώσῃ ὅλος ὁ μετὰ ταῦτα χρόνος, ἡ σταύρωσις ὅμως ἠμποροῦσε καὶ νὰ ἀμφισβητηθῇ ἐὰν δὲν ὑπῆρχαν τότε καὶ πολλὰ ἄλλα θαύματα ποὺ νὰ τὴν ἐπεβεβαίωναν. Ἐὰν ὅμως ἡ σταύρωσις δὲν ἐγίνετο πιστευτή, θὰ ἠμποροῦσε νὰ ἀμφισβητηθῇ καὶ ἡ ἀνάστασις. Διὰ τοῦτο καὶ τὸ ὀνομάζει αὐτὸ θαῦμα. Ἐὰν δὲ δὲν ἐσταυρώνετο, δὲν θὰ συνέβαινε καὶ τὸ θαῦμα τῆς ἀναστάσεως. Καὶ ἀκριβῶς διὰ τοῦτο προβάλλει εἰς τὸ μέσον τὸν τόπον[3], διὰ νὰ γίνῃ πιστευτὴ ἡ ἀλήθεια.

Διότι εἰπέ μου, σὲ παρακαλῶ, ἦτο φανταστικὸν γεγονὸς τὸ ὅτι ὁ Ἰωνᾶς εὑρέθη εἰς τὴν κοιλίαν τοῦ κήτους; Φυσικὰ δὲν ἠμπορεῖς νὰ τὸ ἰσχυρισθῇς αὐτό. Ἄρα οὔτε ἠμπορεῖς νὰ ἀρνηθῇς ὅτι καὶ ὁ Χριστὸς ἐτάφη εἰς τὴν καρδίαν τῆς γῆς. Διότι βέβαια δὲν εἶναι δυνατὸν ὁ μὲν τόπος νὰ εἶναι ἀληθινός, ἡ δὲ ἀλήθεια ν' ἀποτελῇ φαντασίαν. Διὰ τοῦτο καὶ εἰς κάθε εὐκαιρίαν διακηρύσσομεν τὸν θάνατον τοῦ Κυρίου,

καὶ ἐν τῷ βαπτίσματι καὶ ἐν τοῖς ἄλλοις ἅπασι. Διὰ τοῦτο καὶ ὁ Παῦλος λαμπρᾷ βοᾷ τῇ φωνῇ· «Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ».

5 *Ὅθεν δῆλον, ὅτι τέκνα τοῦ διαβόλου εἰσὶν οἱ τὰ Μαρκίωνος νοσοῦντες, ταῦτα ἐξαλείφοντες, ἅπερ ὥστε μὴ ἀφανισθῆναι μυρία ἐποίησεν ὁ Χριστός, καὶ ὥστε ἀφανισθῆναι μυρία ἐσπούδακεν ὁ διάβολος, τὸν σταυρὸν λέγω καὶ τὸ πάθος. Διὰ τοῦτο ἔλεγε καὶ ἀλλαχοῦ· «Λύσατε τὸν ναὸν τοῦτον 10 καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν»· καί, «Ἔσονται ἡμέραι, ὅταν ἀπαρθῇ ἀπ' αὐτῶν ὁ νυμφίος»· καὶ ἐνταῦθα, «Οὐ δοθήσεται αὐτῇ σημεῖον, εἰ μὴ τὸ σημεῖον Ἰωνᾶ τοῦ προφήτου»· καὶ ὅτι ὑπὲρ αὐτῶν πείσεται δηλῶν καὶ ὅτι οὐδὲν κερδανοῦσι· τοῦτο γὰρ μετὰ ταῦτα ἐδήλωσεν. Ἀλλ' ὅμως καὶ ταῦτα 15 εἰδὼς ἀπέθανε· τοσαύτη ἦν αὐτοῦ ἡ κηδεμονία.*

Ἵνα γὰρ μὴ νομίσῃς ὅτι καὶ τὰ ἑξῆς τοιαῦτα ἔσται ἐπὶ τῶν Ἰουδαίων, οἷα ἐπὶ τῶν Νινευϊτῶν, καὶ ἐπιστραφήσονται, καὶ καθάπερ ἐκείνοις σειομένην τὴν πόλιν ἔστησε καὶ τοὺς βαρβάρους ἐπέστρεψεν, οὕτω καὶ οὗτοι μετὰ τὴν ἀνά- 20 στασιν ἐπιστρέψουσιν, ἄκουσον πῶς τοὐναντίον ἅπαν δηλοῖ. Ὅτι γὰρ οὐδὲν καρπώσονται ἐντεῦθεν εἰς τὴν οἰκείαν εὐεργεσίαν, ἀλλὰ καὶ ἀνήκεστα πείσονται, καὶ τοῦτο ἑξῆς ἐδήλωσε διὰ τοῦ κατὰ τὸν δαίμονα παραδείγματος. Τέως δὲ ὑπὲρ ὧν μέλλουσι πάσχειν μετὰ ταῦτα ἀπολογεῖται, δει- 25 κνεὶς ὅτι δικαίως πείσονται. Τὰς μὲν γὰρ συμφορὰς αὐτῶν καὶ τὴν ἐρημίαν ἀπὸ τοῦ παραδείγματος ἐκείνου παρίστησι· τέως δὲ δείκνυσιν, ὅτι δικαίως ταῦτα πάντα ὑπομενοῦσιν·

---

4. Γαλ. 6, 14.
5. Ἰω. 2, 19.
6. Ματθ. 9, 15.

καὶ κατὰ τὴν θείαν Εὐχαριστίαν, καὶ κατὰ τὸ βάπτισμα καὶ εἰς ὅλα τὰ ἄλλα γενικῶς τὰ μυστήρια. Διὰ τοῦτο καὶ ὁ Παῦλος διακηρύσσει μὲ μεγαλοπρεπῆ φωνήν· «Ἐγὼ δὲ μὴ γένοιτο νὰ καυχηθῶ διὰ τίποτε ἄλλο, παρὰ διὰ τὸν σταυρὸν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ»[4].

Ἑπομένως εἶναι ὁλοφάνερον ὅτι εἶναι παιδιὰ τοῦ διαβόλου ἐκεῖνοι ποὺ ἀποδέχονται τὴν νοσηρὰν διδασκαλίαν τοῦ Μαρκίωνος, ἐξαλείφοντες αὐτά, διὰ τὰ ὁποῖα τόσα πολλὰ ἔκαμεν ὁ Χριστὸς διὰ νὰ μὴ ἐξαφανισθοῦν, ὁ δὲ διάβολος τόσας προσπαθείας κατέβαλε διὰ νὰ τὰ ἐξαφανίσῃ, δηλαδὴ τὸν σταυρὸν καὶ τὸ πάθος. Διὸ τοῦτο ἔλεγεν εἰς ἄλλας περιπτώσεις· «Κρημνίσατε αὐτὸν τὸν ναὸν καὶ εἰς τρεῖς ἡμέρας θὰ τὸν ἀνοικοδομήσω»[5]. Καί· «Θὰ ἔλθουν ἡμέραι κατὰ τὰς ὁποίας θὰ τοὺς πάρουν τὸν νυμφίον»[6]. Καὶ εἰς τὴν περίπτωσιν αὐτὴν λέγει· «Δὲν θὰ τῆς δοθῇ θαῦμα, παρὰ μόνον τὸ θαῦμα τοῦ προφήτου Ἰωνᾶ». Ἐπὶ πλέον φανερώνει ὅτι θὰ πάθῃ πρὸς χάριν των καὶ ὅτι αὐτοὶ δὲν ἔχουν κανὲν ὄφελος ἀπὸ τὸ πάθος του. Αὐτὸ δὲ τοὺς τὸ ἐφανέρωσεν ἐν συνεχείᾳ. Ἀλλ' ὅμως μολονότι τὰ ἐγνώριζεν αὐτά, ἀπέθανε· τόσον μεγάλο ἦτο τὸ ἐνδιαφέρον του.

Ἀλλὰ διὰ νὰ μὴ νομίσῃς ὅτι θὰ συμβοῦν μελλοντικῶς εἰς τοὺς Ἰουδαίους αὐτὰ τὰ ὁποῖα συνέβησαν καὶ εἰς τοὺς Νινευΐτας καὶ ὅτι θὰ ἐπιστρέψουν πρὸς τὸν Κύριον, καὶ ὅπως ἀκριβῶς διέσωσε τὴν πόλιν ἐκείνων ποὺ ἐσείετο καὶ ἀπεμάκρυνε τοὺς βαρβάρους, ἔτσι θὰ ἐπιστρέψουν καὶ αὐτοὶ μετὰ τὴν ἀνάστασίν του, ἄκουσε πῶς ἀποκαλύπτει ἀκριβῶς τὸ ἀντίθετον. Τὸ ὅτι βεβαίως δὲν θὰ ὠφεληθοῦν εἰς τίποτε ἀπὸ τὸν θάνατον τοῦ Κυρίου, ἀλλὰ θὰ ὑποστοῦν ἀντιθέτως καὶ ἀφόρητα κακά, καὶ αὐτὸ τὸ κατέστησε γνωστὸν εἰς τὴν συνέχειαν μὲ τὸ παράδειγμα τοῦ δαίμονος. Τώρα ὅμως ἀπολογεῖται δι' ὅσα πρόκειται νὰ ὑποστοῦν μετὰ ἀπὸ αὐτὰ καὶ δεικνύει ὅτι δικαίως θὰ τὰ πάθουν. Καὶ τὰς μὲν συμφοράς των καὶ τὴν ἐρήμωσίν των τὰ παρουσιάζει μ' αὐτὸ τὸ παράδειγμα. Κατ' ἀρχὴν τοὺς φανερώνει ὅτι ὅλα αὐτὰ θὰ τὰ ὑ-

ὅπερ καὶ ἐπὶ τῆς παλαιᾶς ἐποίει. Καὶ γὰρ τὰ Σόδομα μέλλων καθαιρεῖν, ἀπελογήσατο τῷ Ἀβραὰμ πρότερον, τὴν ἐρημίαν δείξας καὶ τὴν σπάνιν τῆς ἀρετῆς, ὅπου γε οὐδὲ δέκα εὑρέθησαν ἄνδρες ἐν πόλεσι τοσαύταις σωφρόνως ζῆν
5 *προῃρημένοι. Καὶ τῷ Λὼτ δὲ ὁμοίως δείξας τὴν μισοξενίαν καὶ τοὺς ἀτόπους αὐτῶν ἔρωτας, τότε ἐπάγει τὸ πῦρ. Καὶ ἐπὶ τοῦ κατακλυσμοῦ δὲ τὸ αὐτὸ τοῦτο ἐποίησε, διὰ τῶν ἔργων ἀπολογησάμενος τῷ Νῶε. Καὶ τῷ Ἰεζεκιὴλ δὲ ὁμοίως, ὅτε ἐν Βαβυλῶνι διάγοντα τὰ ἐν Ἱεροσολύμοις ἰδεῖν ἐποίησε*
10 *κακά. Καὶ τῷ Ἰερεμίᾳ δὲ πάλιν, ὅτε ἔλεγε, «Μὴ προσεύχου», ἀπολογούμενος ἔλεγεν· «Ἢ οὐχ ὁρᾷς τί οὗτοι ποιοῦσι;». Καὶ πανταχοῦ τὸ αὐτὸ τοῦτο ποιεῖ, ὃ δὴ καὶ ἐνταῦθα.*

Τί γάρ φησιν; «Ἄνδρες Νινευῖται ἀναστήσονται καὶ κατακρινοῦσι τὴν γενεὰν ταύτην· ὅτι μετενόησαν εἰς τὸ κή-
15 *ρυγμα Ἰωνᾶ· καὶ ἰδοὺ πλεῖον Ἰωνᾶ ὧδε». Ὁ μὲν γὰρ δοῦλος, ἐγὼ δὲ Δεσπότης· καὶ ὁ μὲν ἐκ κήτους ἐξῆλθεν, ἐγὼ δὲ ἐκ θανάτου ἀνέστην· καὶ ὁ μὲν καταστροφὴν ἐκήρυξεν, ἐγὼ δὲ βασιλείαν ἦλθον εὐαγγελιζόμενος. Καὶ οἱ μὲν χωρὶς σημείου ἐπίστευσαν, ἐγὼ δὲ πολλὰ σημεῖα ἐπεδειξάμην.*
20 *Καὶ οἱ μὲν οὐδὲν πλέον ἤκουσαν τῶν ῥημάτων ἐκείνων, ἐγὼ δὲ πᾶσαν ἐκίνησα φιλοσοφίας ἰδέαν. Καὶ ὁ μὲν διακονούμενος παρεγένετο, ἐγὼ δὲ αὐτὸς ὁ Δεσπότης καὶ ὁ πάντων Κύριος ἦλθον, οὐκ ἀπειλῶν, οὐκ ἀπαιτῶν εὐθύνας, ἀλλὰ συγχώρησιν κομίζων. Καὶ οἱ μὲν βάρβαροι, οὗτοι δὲ προ-*

---

7. Γεν. 18, 1 ἑ.
8. Γεν. κεφ. 5-10.
9. Ἰεζ. 5, 5 ἑ.
10. Ἰερ. 7, 16-17.

ποστοῦν δικαίως, πρᾶγμα ποὺ τὸ ἔκαμε καὶ εἰς τὴν Παλαιὰν Διαθήκην. Καθόσον ὅταν ἐπρόκειτο νὰ καταστρέψῃ τὰ Σόδομα, ἀπελογήθη εἰς τὸν 'Αβραὰμ προηγουμένως, ἀποδείξας τὴν ἔλλειψιν καὶ τὴν ἀπουσίαν τῆς ἀρετῆς, ὅπου δηλαδὴ δὲν εὑρέθησαν, εἰς τόσον μεγάλας πόλεις, οὔτε δέκα ἄνθρωποι ποὺ νὰ προτιμοῦσαν νὰ ζήσουν μὲ σωφροσύνην[7]. 'Ομοίως δὲ καὶ εἰς τὸν Λὼτ ἀφοῦ ἀπεκάλυψε πρῶτα τὴν ἀφιλοξενίαν των καὶ τοὺς παρανόμους ἔρωτάς των, τότε ἔρριψε καὶ τὴν φωτιάν. 'Αλλὰ καὶ εἰς τὴν περίπτωσιν τοῦ κατακλυσμοῦ ἔκαμεν ἀκριβῶς τὸ ἴδιο· ἀπελογήθη δηλαδὴ εἰς τὸν Νῶε διὰ τῶν ἐνεργειῶν του[8]. Καὶ εἰς τὸν 'Ιεζεκιὴλ δὲ ὁμοίως, ἀπεκάλυψε τὰ κακὰ ποὺ θὰ συνέβαιναν εἰς τὰ 'Ιεροσόλυμα καθ' ὃν χρόνον εὑρίσκετο αὐτὸς εἰς τὴν Βαβυλῶνα[9]. 'Αλλὰ καὶ εἰς τὸν 'Ιερεμίαν πάλιν, ὅταν ἔλεγε, «μὴ προσεύχεσαι σύ», «ἢ δὲν βλέπεις τί κάμνουν αὐτοί;»[10], τὰ ἔλεγεν ἀπολογούμενος. Καὶ παντοῦ δὲ κάνει ἀκριβῶς τὸ ἴδιο ποὺ ἔκανε καὶ εἰς τὴν περίπτωσιν αὐτήν.

Τί λέγει λοιπόν; «Θ' ἀναστηθοῦν ἄνδρες Νινευῖται καὶ θὰ κατακρίνουν τὴν γενεὰν αὐτήν, διότι ἐκεῖνοι μετενόησαν ἀκούσαντες τὸ κήρυγμα τοῦ 'Ιωνᾶ, ἐνῷ εἰς τὴν περίπτωσιν αὐτὴν εἶναι πολὺ περισσότερα τὰ πειστικὰ σημεῖα ἀπὸ ὅ,τι εἰς τὸν 'Ιωνᾶν». Διότι ἐκεῖνος μὲν ἦτο δοῦλος, ἐγὼ ὅμως εἶμαι Κύριος. Καὶ ἐκεῖνος μὲν ἐξῆλθεν ἀπὸ τὸ κῆτος, ἐνῷ ἐγὼ ἀνεστήθην ἀπὸ τὸν θάνατον. 'Επίσης ἐκεῖνος μὲν ἐκήρυξε τὴν καταστροφήν, ἐγὼ ὅμως ἦλθα διὰ νὰ κηρύξω τὴν οὐράνιον βασιλείαν. Καὶ ἐκεῖνοι μὲν ἐπίστευσαν χωρὶς θαῦμα, ἐνῷ ἐγὼ σᾶς παρουσίασα πολλὰ θαύματα. Καὶ ἐκεῖνοι μὲν δὲν ἤκουσαν τίποτε περισσότερον ἀπὸ τοὺς λόγους ἐκείνους, ἐγὼ ὅμως μετεχειρίσθην κάθε εἶδος διδασκαλίας. Καὶ ὁ μὲν 'Ιωνᾶς μετέβη ὡς δοῦλος τοῦ Θεοῦ, ἐνῷ ἐγὼ ἦλθα ὡς ὁ Δεσπότης καὶ ὁ Κύριος τῶν πάντων, ὄχι φυσικὰ διὰ νὰ σᾶς ἀπειλήσω, οὔτε διὰ νὰ ζητήσω εὐθύνας, ἀλλὰ διὰ νὰ σᾶς φέρω τὴν συγχώρησιν. Καὶ ἐκεῖνοι μὲν ἦσαν βάρβαροι, ἐνῷ αὐτοὶ συναναστράφησαν πάρα πολλοὺς προ-

φήταις συνανεστράφησαν μυρίοις. Καὶ περὶ ἐκείνου μὲν οὐδεὶς προεῖπεν, περὶ ἐμοῦ δὲ ἅπαντες καὶ τὰ ἔργα τοῖς λόγοις συνέβαινε. Κἀκεῖνος μὲν ἐδραπέτευσεν ἀπιέναι μέλλων ὑπὲρ τοῦ μὴ γελασθῆναι, ἐγὼ δὲ εἰδὼς ὅτι καὶ σταυ- 5 *ροῦσθαι καὶ γελᾶσθαι μέλλω, παρεγενόμην. Καὶ ἐκεῖνος μὲν οὐδὲ ὀνειδισθῆναι ἤνεγκεν ὑπὲρ τῶν σωζομένων, ἐγὼ δὲ καὶ θάνατον ὑπέμεινα, καὶ θάνατον τὸν αἴσχιστον, καὶ μετὰ ταῦτα πάλιν ἑτέρους ἀποστέλλω. Καὶ ὁ μὲν ξένος τις ἦν καὶ ἀλλότριος καὶ ἄγνωστος, ἐγὼ δὲ συγγενὴς κατὰ σάρκα* 10 *καὶ προγόνων τῶν αὐτῶν. Καὶ πολλὰ δὲ ἕτερα ἄν τις συναγάγοι τὰ πλέον ἐπιζητῶν.*

3. Αὐτὸς δὲ οὐδὲ ἐνταῦα ἵσταται, ἀλλὰ καὶ ἕτερον προστίθησι παράδειγμα, λέγων ὅτι «Καὶ βασίλισσα νότου ἐγερθήσεται ἐν τῇ κρίσει μετὰ τῆς γενεᾶς ταύτης καὶ κατακρι- 15 *νεῖ αὐτούς· ὅτι ἦλθεν ἐκ τῶν περάτων τῆς γῆς ἀκοῦσαι τὴν σοφίαν Σολομῶνος· καὶ ἰδοὺ πλεῖον Σολομῶνος ὧδε». Τοῦτο τοῦ προτέρου πλέον ἦν. Ὁ μὲν γὰρ Ἰωνᾶς πρὸς ἐκείνους ἀπῆλθεν, ἡ δὲ βασίλισσα τοῦ νότου οὐκ ἀνέμεινε τὸν Σολομῶνα πρὸς αὐτὴν ἐλθεῖν, ἀλλ' αὐτὴ πρὸς αὐτὸν παρεγένετο,* 20 *καὶ γυνὴ καὶ βάρβαρος οὖσα καὶ τοσοῦτον ἀφεστηκυῖα, οὐκ ἀπειλῆς ἐπικειμένης, οὐ θάνατον δεδοικυῖα, ἀλλ' ἔρωτι ῥημάτων μόνον σοφῶν. Ἀλλ' ἰδοὺ καὶ πλεῖον Σολομῶνος ὧδε. Ἐκεῖ μὲν γὰρ ἡ γυνὴ παρεγένετο, ἐνταῦθα δὲ ἐγὼ ἦλθον. Καὶ ἡ μὲν ἀπὸ τῶν περάτων τῆς γῆς ἀνέστη, ἐγὼ δὲ καὶ* 25 *πόλεις καὶ κώμας περιέρχομαι. Κἀκεῖνος μὲν ὑπὲρ δένδρων*

φήτας. Καὶ διὰ μὲν τὸν Ἰωνᾶν κανεὶς δὲν προεῖπε τίποτε, δι' ἐμένα ὅμως ἐπροφήτευσαν ὅλοι γενικῶς οἱ προφῆται καὶ τὰ ἔργα μου ἦσαν σύμφωνα μὲ τὰς προφητείας ἐκείνων. Καὶ ἐκεῖνος μὲν ἐδραπέτευσεν, ἐπειδὴ ἤθελε ν' ἀποφύγῃ τὴν ἀποστολήν του διὰ νὰ μὴ περιπαιχθῇ, ἐγὼ ὅμως ἂν καὶ ἐγνώριζα καλὰ ὅτι ἐπρόκειτο νὰ σταυρωθῶ καὶ νὰ ἐμπαιχθῶ, παρὰ ταῦτα ἦλθα εἰς τὸν κόσμον. Καὶ ὁ μὲν Ἰωνᾶς δὲν ἠνείχετο νὰ ὀνειδισθῇ πρὸς χάριν τῶν σωζομένων, ἐγὼ ὅμως ὑπέμεινα θάνατον, καὶ μάλιστα θάνατον τὸν πιὸ ἀτιμωτικόν, καὶ ἀκολούθως θὰ σᾶς στείλω καὶ ἄλλους πρὸς τὸν αὐτὸν σκοπόν. Καὶ ἐκεῖνος μὲν ἦτο κάποιος ξένος, ἀλλοεθνὴς καὶ ἄγνωστος, ἐνῷ ἐγὼ εἶμαι συγγενής σας κατὰ σάρκα καὶ ἔχω τοὺς ἰδίους προγόνους μὲ σᾶς. Καὶ πολλὰς δὲ ἄλλας μαρτυρίας θὰ ἠμποροῦσε κανεὶς νὰ συγκεντρώσῃ, ἐὰν ἤθελε περισσότερα.

3. Ὁ Κύριος ὅμως δὲν σταματᾷ ἁπλῶς εἰς τοὺς Νινευΐτας, ἀλλὰ ἀναφέρει καὶ ἄλλο παράδειγμα καὶ λέγει· «Ἡ βασίλισσα τοῦ νότου θ' ἀναστηθῇ κατὰ τὴν ἡμέραν τῆς κρίσεως μαζὶ μὲ τὴν γενεὰν αὐτὴν καὶ θὰ τοὺς κατακρίνῃ, διότι ἦλθεν ἀπὸ τὴν ἄκρην τοῦ κόσμου διὰ ν' ἀκούσῃ τὴν σοφίαν τοῦ Σολομῶντος. Ἰδοὺ ὅμως ὑπάρχουν περισσότερα ἀπὸ τὸν Σολομῶντα». Αὐτὸ τὸ παράδειγμα ἦτο σπουδαιότερον τοῦ προηγουμένου. Διότι ὁ μὲν Ἰωνᾶς μετέβη ὁ ἴδιος πρὸς τοὺς Νινευΐτας, ἡ βασίλισσα ὅμως τοῦ νότου δὲν ἐπερίμενε νὰ μεταβῇ ὁ Σολομῶν πρὸς αὐτήν, ἀλλ' ἡ ἰδία μετέβη εἰς αὐτόν, ἂν καὶ ἦτο γυναῖκα καὶ μάλιστα εἰδωλολάτρισσα καὶ εὑρίσκετο τόσον μακρυά, χωρὶς καμμίαν ἀπειλήν, οὔτε φόβον διὰ τὸν θάνατον, ἀλλὰ ἀπὸ ἔρωτα μόνον διὰ τοὺς σοφοὺς λόγους. Ἀλλ' ἰδού, αὐτὸ ποὺ συμβαίνει ἐδῶ εἶναι ἀνώτερον τοῦ Σολομῶντος. Διότι ἐκεῖ μὲν μετέβη ἡ γυνή, ἐνῷ εἰς τὴν περίπτωσιν αὐτὴν ἦλθα ἐγὼ ὁ ἴδιος. Καὶ ἐκείνη μὲν ἐσηκώθη καὶ ἦλθεν ἀπὸ τὴν ἄκρην τοῦ κόσμου, ἐνῷ ἐγὼ ἐπισκέπτομαι τὰς πόλεις καὶ τὰ χωρία. Καὶ ὁ μὲν Σολομῶν τῆς ὡμίλησε διὰ δένδρα καὶ ξύλα, ποὺ δὲν ἠμποροῦσαν νὰ τῆς

καὶ ξύλων διελέγετο, τὰ μηδὲν μέγα ὠφελῆσαι τὴν παραγενομένην δυνάμενα, ἐγὼ δὲ ὑπὲρ ἀπορρήτων πραγμάτων καὶ μυστηρίων φρικωδεστάτων.

Ἐπεὶ οὖν αὐτοὺς κατέκρινε, δείξας ἐκ πολλοῦ τοῦ περιόντος ἀσύγγνωστα ἁμαρτάνοντας καὶ τῆς αὐτῶν ἀγνωμοσύνης, οὐ τῆς τοῦ διδασκάλου ἀσθενείας, τὴν παρακοὴν οὖσαν, καὶ τοῦτο ἀπό τε ἄλλων πολλῶν καὶ τῶν Νινευϊτῶν καὶ τῆς βασιλίσσης ἀπέδειξε· τότε λέγει καὶ τὴν καταληψομένην αὐτοὺς κόλασιν· αἰνιγματωδῶς μέν, λέγει δὲ ὅμως, πολὺν τὸν φόβον ἐνυφαίνων τῷ διηγήματι. «Ὅταν γάρ», φησίν, «ἐξέλθῃ τὸ ἀκάθαρτον πνεῦμα ἐκ τοῦ ἀνθρώπου, πορεύεται δι' ἀνύδρων τόπων, ζητοῦν ἀνάπαυσιν· καὶ μὴ εὑρίσκον, λέγει· ἐπιστρέψω εἰς τὸν οἶκόν μου, ὅθεν ἐξῆλθον Καὶ ἐλθόν, εὑρίσκει σχολάζοντα καὶ σεσαρωμένον καὶ κεκοσμημένον. Τότε πορεύεται καὶ παραλαμβάνει μεθ' ἑαυτοῦ ἕτερα ἑπτὰ πνεύματα πονηρότερα ἑαυτοῦ, καὶ εἰσελθόντα κατοικεῖ ἐκεῖ καὶ γίνεται τὰ ἔσχατα τοῦ ἀνθρώπου ἐκείνου χείρονα τῶν πρώτων. Οὕτως ἔσται καὶ τῇ γενεᾷ ταύτῃ». Ἐντεῦθεν δείκνυσιν, ὅτι οὐκ ἐν τῷ μέλλοντι αἰῶνι μόνον, ἀλλὰ καὶ ἐνταῦθα χαλεπώτατα πείσονται. Ἐπειδὴ γὰρ εἶπεν, «Ἄνδρες Νινευῖται ἀναστήσονται ἐν τῇ κρίσει, καὶ κατακρινοῦσι τὴν γενεὰν ταύτην», ἵνα μὴ διὰ τὴν τοῦ χρόνου μέλλησιν καταφρονήσωσι καὶ ῥαθυμότεροι γένωνται, ἐντεῦθεν ἐφίστησιν αὐτοῖς τὰ δεινά. Ὃ καὶ ὁ προφήτης Ὠσηὲ αὐτοῖς ἀπειλῶν ἔλεγεν, ὅτι ἔσονται «Ὥσπερ ὁ προφήτης ὁ παρεξεστηκώς, ἄνθρωπος ὁ πνευματοφόρος»· τουτέστιν, ὥσπερ οἱ μαινόμενοι καὶ βακχευόμενοι ὑπὸ τῶν πο-

---

11. Ὠσ. 9, 7.

προσφέρουν καμμίαν μεγάλην ὠφέλειαν, ἐνῷ ἐγὼ σᾶς ὁμιλῶ διὰ τὰ ἀπόρρητα πράγματα καὶ διὰ τὰ μυστήρια ποὺ εἶναι τὰ πιὸ φρικιαστικά.

Ἀφοῦ λοιπὸν τοὺς κατέκρινε καὶ ἀπέδειξε περιτράνως ὅτι ἦσαν ἀσυγχώρητα τὰ ἁμαρτήματά των καὶ ὅτι ἡ παρακοὴ ὠφείλετο εἰς τὴν ἰδικήν των ἀχαριστίαν καὶ ὄχι εἰς τὴν ἀδυναμίαν τοῦ διδασκάλου, πρᾶγμα ποὺ τὸ ἐφανέρωσε καὶ μὲ πολλὰ ἄλλα, ἀλλὰ καὶ μὲ τὸ παράδειγμα τῶν Νινευϊτῶν καὶ τῆς βασιλίσσης, τότε πλέον τοὺς ἀναφέρει καὶ τὴν τιμωρίαν ποὺ θὰ ἔλθῃ ἐναντίον των. Καὶ τὴν ἀναφέρει μὲν κατὰ τρόπον αἰνιγματώδη, ὁπωσδήποτε ὅμως τὴν ἀναφέρει, καὶ ὑφαίνει μεγάλον φόβον εἰς τὴν διήγησίν του. Διότι, λέγει, «Ὅταν τὸ ἀκάθαρτον πνεῦμα φύγῃ ἀπὸ τὸν ἄνθρωπον, περνᾷ μέσα ἀπὸ τόπους ποὺ δὲν ἔχουν νερὸ καὶ ζητεῖ ἀνάπαυσιν, ἀλλὰ δὲν τὴν εὑρίσκει, καὶ τότε λέγει· Θὰ ἐπιστρέψω πάλιν εἰς τὸν οἶκον μου, ἀπὸ τὸν ὁποῖον ἔφυγα. Καὶ ὅταν ἐπιστρέψῃ εὑρίσκει τὸν οἶκον ἄδειον καὶ καθαρισμένον καὶ στολισμένον. Τότε πηγαίνει καὶ παίρνει μαζί του ἄλλα ἑπτὰ πνεύματα πιὸ πονηρὰ ἀπὸ αὐτὰ καὶ ἀφοῦ εἰσέλθουν εἰς τὸν οἶκον διαμένουν ἐκεῖ μέσα, καὶ ἔτσι ἀποβαίνει τὸ τέλος ἐκείνου τοῦ ἀνθρώπου χειρότερον ἀπὸ ὅ,τι ἀρχικῶς. Τὸ ἴδιο θὰ συμβῇ καὶ εἰς τὴν γενεὰν αὐτήν». Μὲ τοὺς λόγους αὐτοὺς ἀποδεικνύει ὅτι ὄχι μόνον εἰς τὴν μέλλουσαν ζωήν, ἀλλὰ καὶ εἰς τὴν ἐδῶ ζωὴν θὰ ὑποστοῦν πάρα πολὺ μεγάλας τιμωρίας. Διότι ἐπειδὴ εἶπεν, «Ὅτι ἄνδρες Νινευῖται θὰ ἀναστηθοῦν εἰς τὴν μέλλουσαν κρίσιν καὶ θὰ κατακρίνουν τὴν γενεὰν αὐτήν», διὰ νὰ μὴ καταφρονήσουν τοὺς λόγους του, λόγῳ τῆς μακρᾶς ἀποστάσεως τῆς κρίσεως, καὶ γίνουν ἔτσι πιὸ ἀδιάφοροι, τοὺς παρουσιάζει τὰς συμφορὰς πολὺ πλησίον των. Πρᾶγμα ποὺ καὶ ὁ προφήτης Ὠσηὲ ἔπραξεν, ὅταν τοὺς ἠπείλει καὶ τοὺς ἔλεγεν ὅτι θὰ γίνουν, «ὅπως ἀκριβῶς ὁ προφήτης ποὺ ἔχασε τὰ λογικά του, ὅπως ὁ δαιμονισμένος ἄνθρωπος»[11], ὅπως δηλαδὴ οἱ ἄνθρωποι ποὺ εἶναι μανιακοὶ καὶ καθοδηγοῦνται ἀπὸ τὰ πονηρὰ πνεύματα,

νηρῶν πνευμάτων, οἱ ψευδοπροφῆται. Προφήτην γὰρ ἐνταῦθα παρεξεστηκότα τὸν ψευδοπροφήτην φησίν, οἷοί εἰσιν οἱ μάντεις. Τοῦτο δὴ καὶ ὁ Χριστὸς δηλῶν φησιν, ὅτι τὰ ἔσχατα πείσονται.

5 *Εἶδες πῶς πανταχόθεν αὐτοὺς ὠθεῖ ἐπὶ τὸ προσέχειν τοῖς λεγομένοις, ἀπὸ τῶν παρόντων, ἀπὸ τῶν μελλόντων, ἀπὸ τῶν εὐδοκιμησάντων (ἀπὸ τῶν Νινευϊτῶν λέγω, καὶ τῆς βασιλίσσης), ἀπὸ τῶν προσκεκρουκότων Τυρίων καὶ Σοδομηνῶν; Ὃ καὶ οἱ προφῆται ἐποίουν, τοὺς υἱοὺς Ρηχαβὶν*
10 *παράγοντες καὶ τὴν νύμφην τὴν οὐκ ἐπιλανθανομένην τοῦ κόσμου τοῦ οἰκείου καὶ τῆς στηθοδεσμίδος καὶ τὸν βοῦν τὸν εἰδότα τὸν κτησάμενον καὶ τὸν ὄνον τὸν τὴν φάτνην ἐπιγινώσκοντα. Οὕτω δὴ καὶ ἐνταῦθα ἀπὸ συγκρίσεως παραστήσας αὐτῶν τὴν ἀγνωμοσύνην, λέγει καὶ τὴν τιμωρίαν λοιπόν.*

15 *Τί ποτ' οὖν ἐστι τὸ εἰρημένον; Καθάπερ οἱ δαιμονῶντες, φησίν, ὅταν ἀπαλλαγῶσι τῆς ἀρρωστίας ἐκείνης, ἂν ραθυμότεροι γένωνται, χαλεπωτέραν ἐπισπῶνται καθ' ἑαυτῶν τὴν φαντασίαν· οὕτω καὶ ἐφ' ὑμῶν γίνεται. Καὶ γὰρ καὶ ἔμπροσθεν κατείχεσθε δαίμονι, ὅτε τὰ εἴδωλα προσεκυνεῖτε*
20 *καὶ τοὺς υἱοὺς ὑμῶν ἐσφάττετε τοῖς δαιμονίοις, πολλὴν ἐπιδεικνύμενοι μανίαν· ἀλλ' ὅμως οὐκ ἐγκατέλιπον ὑμᾶς, ἀλλ' ἐξέβαλον τὸν δαίμονα ἐκεῖνον διὰ τῶν προφητῶν, καὶ δι' ἐμαυτοῦ πάλιν ἦλθον ἐπὶ πλεῖον ἐκκαθᾶραι ὑμᾶς βουλόμενος. Ἐπεὶ οὖν οὐ βούλεσθε προσέχειν, ἀλλὰ καὶ εἰς πλείονα*
25 *ἐξωκείλατε πονηρίαν», (τοῦ γὰρ προφήτας ἀνελεῖν πολλῷ μεῖζον καὶ χαλεπώτερον τὸ καὶ αὐτὸν κατασφάξαι), διὰ*

---

12. Ἦτο πατὴρ τοῦ Ἰωαναδάβ, ἀντιπάλου τῶν πιστῶν τοῦ Βάαλ, ἐπὶ βασιλέως Ἀχαὰβ (869-850 π.Χ.). Πρβλ. Ἱερ. 42, 1 ἑ.

13. Ἱερ. 2, 32.

14. Ἡσ. 1, 3.

ὅπως οἱ ψευδοπροφῆται. Διότι εἰς τὴν περίπτωσιν αὐτὴν προφήτην μὲ χαμένα τὰ λογικά του ἀποκαλεῖ τὸν ψευδοπροφήτην, ὅπως λόγῳ χάριν εἶναι οἱ μάντεις. Αὐτὸ λοιπὸν θέλων νὰ δηλώσῃ ὁ Χριστός, λέγει ὅτι θὰ ὑποστοῦν τὰς πιὸ φοβερὰς τιμωρίας.

Εἶδες πῶς μὲ κάθε τρόπον τοὺς παροτρύνει νὰ προσέχουν τοὺς λόγους του, ἀπὸ τὰ παρόντα καὶ ἀπὸ τὰ μέλλοντα, ἀπὸ ἐκείνους ποὺ ἐπέδειξαν καλὴν συμπεριφορὰν (τοὺς Νινευΐτας δηλαδὴ καὶ τὴν βασίλισσαν), καὶ ἀπὸ τοὺς κατοίκους τῆς Τύρου καὶ τῶν Σοδόμων ποὺ ἐτιμωρήθησαν; Καὶ ἀκριβῶς τὸ ἴδιο ἔκαμναν καὶ οἱ προφῆται, ὅταν ἀνέφεραν ὡς παράδειγμα τοὺς υἱοὺς τοῦ Ρηχαβὶν[12] καὶ τὴν νύμφην ποὺ δὲν λησμονεῖ τὴν στεμνότητά της καὶ τὸν στηθόδεσμόν της[13], καὶ τὸν βοῦν ποὺ γνωρίζει τὸν κύριόν του, καθὼς καὶ τὸν ὄνον ποὺ γνωρίζει τὴν φάτνην του[14]. Κατὰ τὸν ἴδιον τρόπον καὶ εἰς τὴν προκειμένην λοιπὸν περίπτωσιν ἀφοῦ ἀπέδειξε συγκριτικὰ τὴν ἀγνωμοσύνην των, εἰς τὴν συνέχειαν προλέγει καὶ τὴν τιμωρίαν των.

Ποία ἡ σημασία ὅμως ὅλων αὐτῶν ποὺ εἶπεν; Ὅπως ἀκριβῶς, λέγει, οἱ δαιμονισμένοι, ὅταν ἀπαλλαγοῦν ἀπὸ τὴν ἀσθένειάν των ἐκείνην, ἐὰν εἰς τὴν συνέχειαν δείξουν ἀδιαφορίαν μεγαλυτέραν, προσελκύουν ἐπάνω των τὴν πάθησι ὑπὸ πολὺ βαρυτέραν μορφήν, τὸ ἴδιο συμβαίνει καὶ μὲ σᾶς. Καθόσον καὶ προηγουμένως διετελούσατε ὑπὸ τὴν ἐξουσίαν τοῦ δαίμονος, ὅταν ἐπροσκυνούσατε τὰ εἴδωλα καὶ ἐθυσιάζατε τὰ παιδιά σας εἰς τοὺς δαίμονας, ἐπιδεικνύοντες ἔτσι μεγάλην μανίαν. Ἀλλ' ὅμως ἐγὼ δὲν σᾶς ἐγκατέλειψα, ἀλλ' ἐξεδίωξα τὸν δαίμονα ἐκεῖνον μὲ τοὺς προφήτας καὶ ἐπὶ πλέον ἦλθα ὁ ἴδιος πάλιν, ἐπειδὴ ἤθελα νὰ σᾶς καθαρίσω περισσότερον. Ἐπειδὴ βέβαια δὲν θέλετε νὰ προσέξετε, ἀλλὰ παρεκλίνατε καὶ ὑποπέσατε εἰς μεγαλυτέραν πονηρίαν (διότι εἶναι πολὺ μεγαλύτερον καὶ χειρότερον τὸ νὰ σφάζετε ἐμὲ ἀπὸ τὸ νὰ φονεύτε τοὺς προφήτας), διὰ τοῦτο θὰ ὑποστῆτε πολὺ χειρότερα ἀπὸ ἐκεῖνα ποὺ ὑπέστησαν οἱ

τοῦτο χαλεπώτερα πείσεσθε τῶν προτέρων, τῶν κατὰ Βαβυλῶνα λέγω καὶ κατ' Αἴγυπτον καὶ κατὰ Ἀντίοχον τὸν πρῶτον. Τὰ γὰρ ἐπὶ Οὐεσπασιανοῦ καὶ Τίτου συμβάντα αὐτοῖς πολλῷ μᾶλλον τούτων χαλεπώτερα. Διὸ καὶ ἔλεγεν·
5 *«Ἔσται θλῖψις μεγάλη, οἵα οὐδέποτε γέγονεν, οὐδὲ μὴ ἔσται».*

Οὐ τοῦτο δὲ μόνον δηλοῖ τὸ ὑπόδειγμα, ἀλλ' ὅτι καὶ ἀρετῆς ἁπάσης ἔσονται ἔρημοι καθόλου καὶ τῇ τῶν δαιμόνων ἐνεργείᾳ εὐεπιχείρητοι μᾶλλον ἢ τότε. Τότε μὲν γὰρ εἰ
10 *καὶ ἡμάρτανον, ἀλλ' ὅμως ἦσαν καὶ οἱ κατορθοῦντες ἐν αὐτοῖς, καὶ παρῆν ἡ τοῦ Θεοῦ πρόνοια καὶ ἡ τοῦ Πνεύματος χάρις, ἐπιμελουμένη, διορθουμένη, τὰ παρ' ἑαυτῆς ἅπαντα πληροῦσα· νυνὶ δὲ καὶ ταύτης καθόλου ἐρημωθήσονται τῆς κηδεμονίας, φησίν, ὥστε καὶ ἀρετῆς πλείων σπάνις νῦν καὶ*
15 *συμφορᾶς ἐπίτασις καὶ δαιμόνων ἐνέργεια τυραννικωτέρα. Ἴστε οὖν καὶ ἐπὶ τῆς γενεᾶς τῆς ἡμετέρας, ὅτε ὁ πάντας ἀσεβείᾳ νικήσας Ἰουλιανὸς ἐξεβακχεύθη, πῶς μετὰ τῶν Ἑλλήνων ἑαυτοὺς ἔταττον, πῶς τὰ ἐκείνων ἐθεράπευον. Ὥστε κἂν μικρόν τι δοκῶσι σωφρονεῖν νῦν, διὰ τὸν τῶν*
20 *βασιλέων φόβον ἡσυχάζουσιν· ὡς εἰ μὴ τοῦτο ἦν, πολλῷ τῶν προτέρων χαλεπώτερα ἐτόλμησαν ἄν. Ἐν γὰρ τοῖς ἄλλοις πονηροῖς ἔργοις νικῶσι τοὺς ἔμπροσθεν, γοητείας, μαγγανείας, ἀσελγείας μετὰ πολλῆς ἐπιδεικνύμενοι τῆς ὑπερβολῆς. Καὶ ἐν τοῖς ἄλλοις δέ, καίτοι τοσούτῳ χαλινῷ κατεχό-*
25 *μενοι, πολλάκις ἐστασίασαν, καὶ βασιλέων κατεξανέστησαν, ὡς καὶ τοῖς ἐσχάτοις περιπαρῆναι κακοῖς.*

---

15. Οὗτος ἐπεχείρησε νὰ ἐπιβάλῃ τὸν ἑλληνισμὸν εἰς τοὺς Ἰουδαίους.
16. Ἢ Βεσπασιανός. Ρωμαῖος αὐτοκράτωρ, ὅστις κατεδίωξε τοὺς Ἰουδαίους.
17. Ρωμαῖος αὐτοκράτωρ, ὅστις τὸ 70 μ.Χ. διέλυσεν ὁριστικῶς τὸ κράτος τῶν Ἑβραίων.
18. Ματθ. 24, 21.

πρόγονοί σας, ἀπὸ ἐκεῖνα δηλαδὴ ποὺ ἔπαθαν εἰς τὴν Βαβυλῶνα, εἰς τὴν Αἴγυπτον καὶ ἀπὸ τὸν Ἀντίοχον τὸν πρῶτον[15]. Διότι τὰ ὅσα συνέβησαν εἰς αὐτοὺς ἐπὶ Βεσπασιανοῦ[16] καὶ ἐπὶ Τίτου[17], ἦσαν πολὺ χειρότερα ἀπὸ ἐκεῖνα ποὺ ἔπαθαν τότε. Διὰ τοῦτο καὶ ἔλεγε· «Θὰ εἶναι τότε τόσον μεγάλη ἡ θλῖψις, ποὺ παρομοία ποτὲ δὲν συνέβη μέχρι τώρα, ἀλλ' οὔτε καὶ πρόκειται νὰ συμβῇ[18].

Τὸ παράδειγμα αὐτὸ δὲν ἔχει αὐτὴν μόνον τὴν σημασίαν, ἀλλὰ σημαίνει καὶ ὅτι θὰ στερηθοῦν κάθε ἀρετὴν καὶ θὰ εἶναι περισσότερον εὐάλωτοι εἰς τοὺς δαίμονας, ἀπὸ ὅ,τι ἦσαν τότε. Διότι τότε ἂν καὶ ἡμάρταναν, παρὰ ταῦτα ὑπῆρχαν μεταξύ των καὶ ἐκεῖνοι ποὺ ἐσημείωναν πρόοδον εἰς τὴν ἀρετήν, καὶ εὑρίσκετο πλησίον των ἡ πρόνοια τοῦ Θεοῦ καὶ ἡ χάρις τοῦ ἁγίου Πνεύματος, ποὺ τοὺς ἐφρόντιζε, τοὺς διώρθωνε καὶ ἔκαμνεν ὅλα ὅσα ἐξηρτῶντο ἀπὸ αὐτήν. Τώρα ὅμως, λέγει, θὰ στερηθοῦν ἐξ ὁλοκλήρου αὐτὴν τὴν κηδεμονίαν, ὁπότε καὶ ἡ ἀρετή των θὰ γίνῃ σπανιωτέρα, καὶ αἱ συμφοραί των θ' αὐξηθοῦν καὶ ἡ δρᾶσις τῶν δαιμόνων θὰ γίνῃ περισσότερον τυραννική. Βέβαια γνωρίζετε καὶ ἐκεῖνα ποὺ συνέβησαν ἐπὶ τῶν ἡμερῶν τῆς ἰδικῆς μας γενεᾶς, ὅταν ὁ Ἰουλιανός, ποὺ ὑπερέβαλεν ὅλους εἰς τὴν ἀσέβειαν, ἔγινε μανιακός, πῶς συνέτασσον τοὺς ἑαυτούς των μεταξὺ τῶν εἰδωλολατρῶν καὶ πῶς ἐτελοῦσαν τὴν λατρείαν ἐκείνων. Ὥστε καὶ ἂν ἀκόμη τώρα φαίνωνται κάπως σωφρονοῦντες, ἡ ἡσυχία των αὐτὴ ὀφείλεται εἰς τὸ ὅτι φοβοῦνται τοὺς βασιλεῖς. Διότι ἐὰν δὲν ὑπῆρχεν αὐτὸς ὁ φόβος, θὰ ἐπεχείρουν πολὺ φοβερώτερα ἀπὸ τὰ προηγούμενα. Διότι ὡς πρὸς τὰ ἄλλα μὲν τὰ πονηρὰ ἔργα ξεπερνοῦν τοὺς παλαιοτέρους, καταγινόμενοι μὲ μεγάλην μανίαν μὲ τὰς μαγείας, τὰς μαγγανείας καὶ τὰς ἀσελγείας. Ὡς πρὸς τὰ ἄλλα ὅμως, μολονότι συγκρατοῦνται ἀπὸ τόσα χαλινά, παρὰ ταῦτα πολλὲς φορὲς ἐστασίασαν καὶ ἐξεγέρθησαν ἐναντίον τῶν βασιλέων, μὲ ἀποτέλεσμα νὰ φθάσουν νὰ διαπράξουν τὰ φοβερώτερα κακά.

4. Ποῦ νῦν εἰσιν οἱ τὰ σημεῖα ζητοῦντες; Ἀκουέτωσαν ὅτι γνώμης χρεία εὐγνώμονος· κἂν μὴ αὕτη παρῇ, σημείων οὐδὲν ὄφελος. Ἰδοὺ γοῦν οἱ μὲν Νινευῖται χωρὶς σημείων ἐπίστευσαν, οὗτοι δὲ μετὰ τοσαῦτα θαύματα χείρους ἐγένον-
5 *το καὶ δαιμόνων ἀπείρων οἰκητήριον ἑαυτοὺς κατέστησαν καὶ μυρίας ἐπεσπάσαντο συμφοράς· καὶ μάλα εἰκότως· Ὅταν γὰρ ἅπαξ τις ἐλευθερωθεὶς τῶν κακῶν μὴ σωφρονισθῇ, πολλῷ χαλεπώτερα πείσεται τῶν προτέρων. Διὰ γὰρ τοῦτο εἶπεν, ὅτι οὐχ εὑρίσκει ἀνάπαυσιν, ἵνα δείξῃ ὅτι πάντως καὶ*
10 *ἐξ ἀνάγκης λήψεται τὸν τοιοῦτον ἡ τῶν δαιμόνων ἐπιβουλή. Καὶ γὰρ ἀπὸ δύο τούτων σωφρονισθῆναι ἔδει, ἀπό τε τοῦ παθεῖν πρότερον, ἀπό τε τοῦ ἀπαλλαγῆναι· μᾶλλον δὲ καὶ τρίτον πρόσεστιν, ἡ τοῦ χείρονα πείσεσθαι ἀπειλή. Ἀλλ' ὅμως οὐδενὶ τούτων ἐγένοντο βελτίους.*

15 *Ταῦτα μὴ πρὸς ἐκείνους μόνον, ἀλλὰ καὶ πρὸς ἡμᾶς εἰρῆσθαι καιρὸν ἂν ἔχοι, ὅταν φωτισθέντες καὶ τῶν προτέρων ἀπαλλαγέντες κακῶν, πάλιν τῆς αὐτῆς ἐχώμεθα πονηρίας· καὶ γὰρ χαλεπωτέρα λοιπὸν ἔσται ἡ κόλασις τῶν μετὰ ταῦτα ἁμαρτημάτων. Διὰ τοῦτο καὶ τῷ παραλύτῳ ὁ Χριστὸς*
20 *ἔλεγεν· «Ἴδε, ὑγιὴς γέγονας· μηκέτι ἁμάρτανε, ἵνα μὴ χεῖρόν τί σοι γένηται»· καὶ ταῦτα πρὸς ἄνθρωπον τριάκοντα ὀκτὼ ἔτη ἔχοντα ἐν τῇ ἀσθενείᾳ.*

Καὶ τί χεῖρον ἔμελλε, φησί, πείσεσθαι τούτων; Πολλῷ χεῖρον καὶ χαλεπώτερον. Μὴ γὰρ δὴ γένοιτο τοσαῦτα ἡμᾶς
25 *ὑπομένειν, ὅσα δυνάμεθα παθεῖν. Οὐδὲ γὰρ ἀπορεῖ τιμωριῶν ὁ Θεός. Κατὰ γὰρ τὸ πολὺ ἔλεος αὐτοῦ, οὕτω καὶ ἡ ὀργὴ*

---

19. Ἰω. 5, 14.

4. Ποῦ τώρα εἶναι ἐκεῖνοι ποὺ ἐπιζητοῦν τὰ θαύματα; Ἂς ἀκούσουν ὅτι ἀπαιτεῖται εὐγνώμων διάθεσις καὶ ὅτι ἂν δὲν ὑπάρχῃ αὐτή κανεὶς δὲν ἠμπορεῖ ν' ἀποκομίσῃ κανὲν ὄφελος ἀπὸ αὐτά. Ἰδοὺ λοιπόν, οἱ μὲν Νινευῖται ἐπίστευσαν χωρὶς νὰ ἰδοῦν θαύματα, ἐνῷ αὐτοὶ καὶ μετὰ ἀπὸ τόσα πολλὰ θαύματα ἔγιναν χειρότεροι καὶ κατέστησαν τοὺς ἑαυτούς των κατοικίαν ἀπείρων δαιμόνων, καὶ ἐπέσυραν ἐναντίον τοῦ ἑαυτοῦ των ἀπείρους συμφοράς. Καὶ ἦτο πολὺ φυσικὸν αὐτό. Διότι ὅταν κανείς, ἀπαλλαγεὶς ἀπὸ τὰ κακά, ἐὰν δὲν θελήσῃ νὰ δείξῃ σωφροσύνην, θὰ ὑποστῇ πολὺ χειρότερα ἀπὸ τὰ προηγούμενα κακά. Καὶ ἀκριβῶς διὰ τοῦτο εἶπεν ὁ Κύριος ὅτι δὲν εὑρίσκει ἀνάπαυσιν τὸ δαιμόνιον, διὰ νὰ δείξῃ ὅτι ὁπωσδήποτε καὶ ἀναγκαστικὰ θὰ κυριεύσῃ τὸν παρόμοιον ἄνθρωπον ἡ κακὴ ἐπίδρασις τῶν δαιμόνων. Ἔπρεπε λοιπὸν νὰ τὸν συνετίσουν δύο πράγματα· καὶ τὸ ὅτι ἔπαθε προηγουμένως, καὶ τὸ ὅτι ἀπηλλάγη ἀπὸ τὸ πάθος του ἐκεῖνο. Μᾶλλον δὲ προστίθεται καὶ τρίτον· ἡ ἀπειλὴ ὅτι θὰ ὑποστῇ χειρότερα. Παρὰ ταῦτα ὅμως μὲ κανένα ἀπὸ αὐτὰ δὲν ἔγιναν καλύτεροι.

Ὅλα αὐτὰ ἠμποροῦν νὰ λεχθοῦν ὄχι μόνον πρὸς ἐκείνους, ἀλλὰ καὶ πρὸς ἡμᾶς, καθόσον, φωτισθέντες καὶ ἀπαλλαγέντες ἀπὸ τὰ προηγούμενα κακά, ἐπιστρέφομεν εἰς τὴν παλαιάν μας πονηρίαν καὶ πάλιν. Καὶ ἀκριβῶς διὰ τοῦτο καὶ ἡ τιμωρία μας θὰ εἶναι φοβερωτέρα διὰ τὰ μελλοντικὰ ἁμαρτήματά μας. Διὰ τοῦτο καὶ ἔλεγεν ὁ Χριστὸς εἰς τὸν παράλυτον· «Πρόσεχε, ἔχεις γίνει ὑγιής. Μὴ ἁμαρτάνῃς πλέον, διὰ νὰ μὴ σοῦ συμβῇ τίποτε τὸ χειρότερον»[10]. Καὶ τὰ ἔλεγεν αὐτὰ πρὸς ἄνθρωπον ποὺ ὑπέφερεν ἐπὶ τριάκοντα ὀκτὼ χρόνια ἀπὸ τὴν ἀσθένειαν.

Καὶ τί τὸ χειρότερον ἀπὸ αὐτά, θὰ εἴπῃ κάποιος, ἐπρόκειτο νὰ πάθῃ; Πολὺ χειρότερον καὶ φοβερώτερον. Καὶ μακάρι βέβαια νὰ μὴ συμβῇ νὰ πάθωμεν τόσα πολλά, ὅσα εἶναι δυνατὸν νὰ πάθωμεν. Βέβαια οὔτε ὁ Θεὸς ἀδυνατεῖ νὰ εὕρῃ τιμωρίας. Ἀλλ' ὅμως καὶ ἡ ὀργή του εἶναι ἀνάλογος πρὸς

αὐτοῦ. Τοῦτο καὶ τῇ Ἱερουσαλὴμ ἐγκαλεῖ διὰ τοῦ Ἰεζεχιήλ· «Εἶδον γάρ σε», φησί, «πεφυρμένην ἐν αἵματι καὶ ἔλουσα καὶ ἔχρισα, καὶ ἐγένετό σοι ὄνομα ἐν τῷ κάλλει σου· καὶ ἐξεπόρνευσας», φησίν, «ἐπὶ τοὺς ὁμοροῦντάς σοι»· διὸ καὶ χα-
5 *λεπώτερα ἀπειλεῖ σοι ἁμαρτανούσῃ. Ἐντεῦθεν δὲ μὴ τὴν κόλασιν λογίζου μόνον, ἀλλὰ καὶ τὴν ἄπειρον τοῦ Θεοῦ μακροθυμίαν. Ποσάκις γοῦν τῶν αὐτῶν ἡψάμεθα κακῶν καὶ ἔτι μακροθυμεῖ. Ἀλλὰ μὴ θαρρῶμεν, ἀλλὰ φοβηθῶμεν. Καὶ γὰρ ὁ Φαραώ, εἰ ἐκ τῆς πρώτης πληγῆς ἐπαιδεύθη, οὐκ ἂν*
10 *ἔλαβε πεῖραν τῶν ὑστέρων, οὐκ ἂν μετὰ ταῦτα ἅμα αὐτῷ τῷ στρατεύματι κατεποντίσθη. Ταῦτα δὲ λέγω, ἐπειδὴ πολλοὺς οἶδα κατὰ τὸν Φαραὼ καὶ νῦν λέγοντας, οὐκ οἶδα τὸν Θεόν, καὶ τῷ πηλῷ καὶ τῇ πλινθείᾳ προσηλοῦντας τοὺς ὑπευθύνους. Πόσοι τοῦ Θεοῦ κελεύοντος ἀνιέναι τὴν ἀπειλήν,*
15 *οὐδὲ τὸν πόνον ἀνέχονται χαλάσαι;*

Ἀλλ᾽ οὐκ ἔστιν Ἐρυθρὰν Θάλατταν λοιπὸν διαβῆναι νῦν. Ἀλλὰ πέλαγός ἐστι πυρός, πέλαγος οὐ τοιοῦτον, οὐδὲ τοσοῦτον, ἀλλὰ πολλῷ μεῖζον καὶ ἀγριώτερον, ἐκ τοῦ πυρὸς ἔχον τὰ κύματα, πυρὸς ξένου τινὸς καὶ φρικώδους. Ἄβυσσός
20 *ἐστιν ἐκεῖ μεγάλη φλογὸς χαλεπωτάτης. Πανταχοῦ γὰρ πῦρ περιτρέχον ἐστὶν ἰδεῖν, ἀγρίῳ τινὶ θηρίῳ ἐοικός. Εἰ γὰρ ἐνταῦθα τὸ αἰσθητὸν τοῦτο καὶ ὑλικὸν πῦρ, ὥσπερ θηρίον ἐκπηδῆσαν τῆς καμίνου, ἐφήλατο τοῖς ἔξω καθημένοις, τί οὐκ ἐργάσεται ἐκεῖνο τοὺς ἐμπεσόντας;*

25 *Ἄκουσον περὶ τῆς ἡμέρας ἐκείνης λεγόντων τῶν προφητῶν· «Ἡμέρα Κυρίου ἀνίατος, θυμοῦ καὶ ὀργῆς πλήρης».*

---

20. Ἰεζ. 16, 6-24.

τὴν ἄπειρον ἀγάπην του. Καὶ ἀκριβῶς διὰ τοῦτο κατηγορεῖ τὴν Ἰερουσαλὴμ διὰ τοῦ Ἰεζεκιήλ· «Διότι», λέγει, «σὲ εἶδα νὰ πλέῃς μέσα εἰς τὸ αἷμά σου καὶ σὲ ἔλουσα καὶ σὲ ἤλειψα μὲ λάδι καὶ ἀπέκτησες ἐξ αἰτίας τοῦ κάλλους σου ξακουστὸν ὄνομα· ἀλλὰ σύ», λέγει, «ἐπόρνευσες μὲ τοὺς γείτονάς σου»[20]. Διὰ τοῦτο καὶ σὲ ἀπειλεῖ μὲ περισσότερον βαρείας τιμωρίας διὰ τὰς ἁμαρτίας ποὺ διαπράττεις. Ἀλλ' ὅμως οἱ λόγοι αὐτοὶ νὰ μὴ σὲ κάνουν νὰ σκέπτεσαι μόνον τὴν κόλασιν, ἀλλὰ καὶ τὴν ἄπειρον μακροθυμίαν τοῦ Θεοῦ. Διότι πόσας φορὰς διεπράξαμεν τὰ ἴδια κακὰ καὶ παρὰ ταῦτα ὅμως μακροθυμεῖ ἀκόμη. Δὲν πρέπει ὅμως αὐτὸ νὰ μᾶς δίδῃ θάρρος, ἀλλὰ ἂς μᾶς κάνῃ νὰ φοβούμεθα. Καθόσον καὶ ὁ Φαραώ, ἐὰν ἐδιδάσκετο ἀπὸ τὴν πρώτην, δὲν θὰ ἐδέχετο ἐν συνεχείᾳ καὶ τὰς ἄλλας, καὶ ἀκολούθως δὲν θὰ κατεποντίζετο μαζὶ μὲ ὅλον τὸν στρατόν του. Αὐτὰ δὲ τὰ λέγω ἐπειδὴ γνωρίζω πολλούς, ποὺ λέγουν τώρα ὅπως ὁ Φαραὼ τότε, 'Δὲν γνωρίζω τὸν Θεόν', καὶ καθηλώνουν τοὺς ὑπευθύνους εἰς τὸν πηλὸν καὶ εἰς τὴν κατασκευὴν πλίνθων. Καὶ πόσοι δὲν ἀνέχονται οὔτε τὸν πόνον νὰ χαλαρώσουν, μολονότι ὁ Θεὸς παραγγέλλει νὰ παύσουν ν' ἀπειλοῦν;

Τώρα ὅμως δὲν ἔχομεν πλέον ἔμπροσθέν μας νὰ διαβῶμεν τὴν Ἐρυθρὰν Θάλασσαν. Ἀλλ' ὑπάρχει πέλαγος πυρός, πέλαγος ποὺ δὲν εἶναι παρόμοιον μὲ ἐκεῖνο, οὔτε τόσον μεγάλο, ἀλλὰ καὶ κατὰ πολὺ μεγαλύτερον καὶ ἀγριώτερον, ποὺ τὰ κύματά του εἶναι πύρινα, καὶ προέρχονται ἀπὸ πῦρ ποὺ εἶναι ἄγνωστον καὶ φρικῶδες. Ἐκεῖ ὑπάρχει ἄβυσσος μεγάλη μὲ πολὺ φοβερὰν φλόγα. Ἐκεῖ δηλαδὴ εἶναι δυνατὸν νὰ ἴδῃς παντοῦ πῦρ νὰ τρέχῃ, ποὺ ὁμοιάζει μὲ κάποιο ἄγριον θηρίον. Ἐὰν λοιπὸν ἐδῶ τὸ αἰσθητὸν αὐτὸ καὶ ὑλικὸν πῦρ, ὅταν ἐκπηδήσῃ ὡσὰν θηρίον ἀπὸ τὴν κάμινον, κατακαίῃ ἐκείνους ποὺ κάθονται ἔξω ἀπ' αὐτήν, τί δὲν θὰ κάνῃ ἐκεῖνο τὸ πῦρ εἰς ἐκείνους ποὺ θὰ ριφθοῦν ἐντὸς αὐτοῦ;

Ἄκουσε καὶ τί λέγουν οἱ προφῆται διὰ τὴν ἡμέραν ἐκείνην· «Ἡ ἡμέρα τοῦ Κυρίου εἶναι ἀθεράπευτος, γεμάτη

Οὐδεὶς γὰρ ἔσται ὁ παριστάμενος, οὐδεὶς ὁ ἐξαιρούμενος· οὐδαμοῦ τοῦ Χριστοῦ τὸ πρόσωπον τὸ ἥμερον καὶ γαληνόν. Ἀλλ' ὥσπερ οἱ τὰ μέταλλα ἐργαζόμενοι χαλεποῖς τισι παραδίδονται ἀνθρώποις, καὶ οὐδένα τῶν οἰκείων βλέπουσιν,
5 *ἀλλὰ τοὺς ἐφεστηκότας μόνους· οὕτω δὴ καὶ τότε· μᾶλλον δὲ οὐχ οὕτως, ἀλλὰ καὶ πολλῷ χαλεπώτερον. Ἐνταῦθα μὲν γὰρ δυνατὸν καὶ προσελθεῖν καὶ δεηθῆναι τοῦ βασιλέως, καὶ λῦσαι τὸν καταδικασθέντα· ἐκεῖ δὲ οὐκέτι· οὐ γὰρ ἐφίεται· ἀλλὰ μένουσιν ἀποτηγανιζόμενοι καὶ τοσαύτην ὀδύνην*
10 *ἔχοντες, ὅσην οὐδὲ εἰπεῖν δυνατόν. Εἰ γὰρ τῶν ἐνταῦθα καιομένων τὰς δριμείας ἀλγηδόνας οὐδεὶς δύναται παραστῆσαι λόγος, πολλῷ μᾶλλον τῶν ταῦτα ἐκεῖ πασχόντων. Ἐνταῦθα μὲν γὰρ ἐν βραχείᾳ καιροῦ ῥοπῇ τὸ πᾶν γίνεται, ἐκεῖ δὲ καίεται μέν, οὐ δαπανᾶται δὲ τὸ καιόμενον.*

15 *Τί τοίνυν ποιήσομεν ἐκεῖ; Καὶ γὰρ πρὸς ἐμαυτὸν ταῦτα λέγω. Καὶ εἰ σύ, φησίν, ὁ διδάσκαλος, περὶ σεαυτοῦ ταῦτα λέγεις, οὐδὲν ἐμοὶ μέλει λοιπόν. Τί γὰρ θαυμαστὸν ἐμὲ κολάζεσθαι; Μή, παρακαλῶ, μηδεὶς ταύτην ζητείτω τὴν παραμυθίαν· οὐ γάρ ἐστιν αὕτη παραψυχή. Εἰπὲ γάρ μοι, οὐχὶ*
20 *ἀσώματος δύναμις ἦν ὁ διάβολος; οὐ τῶν ἀνθρώπων βελτίων; Ἀλλ' ὅμως ἐξέπεσεν. Ἆρ' οὖν ἐστιν ὅστις παραμυθίαν ἐκ τοῦ μετ' ἐκείνου κολάζεσθαι λήψεται; Οὐδαμῶς. Τί δὲ οἱ ἐν Αἰγύπτῳ πάντες; οὐχὶ καὶ τοὺς ἐν ἀρχαῖς ἑώρων κολαζομένους καὶ ἑκάστην οἰκίαν πένθος ἔχουσαν; Ἆρ' οὖν*
25 *ἐντεῦθεν ἀνέπνευσαν καὶ παρεκλήθησαν; Οὐ δῆτα· καὶ δῆλον ἐξ ὧν μετὰ ταῦτα ἐποίησαν, ὥσπερ ὑπό τινος φλογὸς μα-*

21. Ἠσ. 13, 9.

ἀπὸ θυμὸν καὶ ὀργήν»[21]. Διότι δὲν θὰ ὑπάρχῃ κανεὶς νὰ μᾶς βοηθήσῃ, κανεὶς διὰ νὰ μᾶς σώσῃ. Πουθενὰ δὲν θὰ συναντᾷ κανεὶς τὸ ἥμερον καὶ γαλήνιον πρόσωπον τοῦ Χριστοῦ. Ἀλλ' ὅπως ἀκριβῶς ἐκεῖνοι ποὺ ἐπεξεργάζονται τὰ μέταλλα παραδίδονται εἰς ὡρισμένους βαναύσους ἀνθρώπους καὶ δὲν βλέπουν κανένα ἀπὸ τοὺς οἰκείους των, παρὰ μόνον ἐκείνους ποὺ εὑρίσκονται ἐκεῖ, τὸ ἴδιο θὰ συμβῇ καὶ τότε· μᾶλλον δὲ ὄχι τὸ ἴδιο, ἀλλὰ καὶ πολὺ φοβερώτερον. Διότι ἐδῶ εἰς τὴν γῆν εἶναι δυνατὸν καὶ νὰ προσέλθῃ κανεὶς εἰς τὸν βασιλέα καὶ νὰ τὸν παρακαλέσῃ καὶ νὰ ἐλευθερώσῃ τὸν καταδικασθέντα· ἐκεῖ ὅμως αὐτὸ εἶναι ἀδύνατον. Διότι δὲν ἐπιτρέπεται. Ἀλλὰ παραμένουν ἐκεῖ κατακαιγόμενοι καὶ εἶναι τόσον μεγάλη ἡ ὀδύνη των, ποὺ νὰ μὴ ἠμπορῇ κανεὶς νὰ τὴν περιγράψῃ. Ἐὰν λοιπὸν ἀδυνατῇ κανεὶς νὰ περιγράψῃ μὲ λόγους τοὺς φρικτοὺς πόνους τῶν καιομένων ἐδῶ εἰς τὴν γῆν, πολὺ περισσότερον δὲν ἠμπορεῖ νὰ περιγράψῃ αὐτὰ ποὺ ὑφίστανται αὐτοὶ ἐκεῖ. Διότι ἐδῶ μὲν ὅλα τελειώνουν ἐντὸς ἐλαχίστου χρόνου, ἐκεῖ ὅμως καίεται μὲν ἀλλὰ δὲν ἐξαφανίζεται τὸ καιόμενον.

Τί θὰ κάνωμεν λοιπὸν ἐκεῖ; Καθόσον ἡ ἐρώτησις αὐτὴ ἀπευθύνεται καὶ πρὸς τὸν ἑαυτόν μου. Καὶ θὰ εἰπῇ κάποιος· ἐὰν σὺ ὁ διδάσκαλος τὰ λέγῃς αὐτὰ διὰ τὸν ἑαυτόν σου, δὲν μένει τότε πλέον καμμία ἐλπίδα δι' ἐμένα. Τί τὸ παράξενον λοιπὸν ποὺ θὰ τιμωροῦμαι ἐγώ; Παρακαλῶ ἂς μὴ ζητῇ κανεὶς αὐτὴν τὴν παρηγορίαν· διότι αὐτὸ δὲν εἶναι ἀνακούφισις. Διότι, σὲ παρακαλῶ, εἰπέ μου· δὲν ἦτο ὁ διάβολος ἀσώματος δύναμις; δὲν ἦτο καλύτερος ἀπὸ τὸν ἄνθρωπον; Παρὰ ταῦτα ὅμως ἐξέπεσεν. Ἆρα λοιπὸν εἶναι δυνατὸν νὰ παρηγορηθῇ κανεὶς ἀπὸ τὸ ὅτι θὰ τιμωρῆται μαζὶ μὲ ἐκεῖνον; Ἀσφαλῶς ὄχι. Τί δὲ ἔκαναν ὅλοι οἱ Αἰγύπτιοι; Δὲν ἔβλεπαν καὶ τοὺς ἄρχοντας νὰ τιμωροῦνται καὶ κάθε οἰκίαν νὰ πενθῇ; Μήπως ἀπ' αὐτὸ ἀνεκουφίσθησαν καὶ παρηγορήθησαν; Βεβαίως ὄχι. Καὶ αὐτὸ ἀποδεικνύεται ἀπὸ ὅσα διέπραξαν ἀργότερα, ποὺ ὡσὰν νὰ ἐμαστίζοντο ἀπὸ κάποιαν

στιζόμενοι, συνεπιστάντες τῷ βασιλεῖ καὶ ἀναγκάσαντες ἐκβαλεῖν τῶν Ἑβραίων τὸν δῆμον. Καὶ γὰρ σφόδρα ψυχρὸς οὗτος ὁ λόγος, τὸ νομίζειν παραμυθίαν φέρειν τὸ μετὰ πάντων κολάζεσθαι· τὸ λέγειν, ὡς πάντες καὶ ἐγώ.

5 *Τί γὰρ χρὴ λέγειν τὴν γέενναν; Ἐννόησόν μοι τοὺς ὑπὸ ποδαλγίας κατεχομένους, οἳ ὅταν ὑπὸ δριμείας ὀδύνης κατατείνωνται, κἂν μυρίους δείξῃς χαλεπώτερα πάσχοντας, οὐδ᾽ εἰς νοῦν λαμβάνουσι. Τὸ γὰρ ἐπιτεταμένον τῆς ἀλγηδόνος οὐ συγχωρεῖ τῷ λογισμῷ σχολήν τινα ἔχειν, εἰς τὸ λο-*
10 *γίσασθαι ἑτέρους καὶ παραμυθίαν εὑρεῖν. Μὴ τοίνυν ταῖς ψυχραῖς ταύταις ἐλπίσι τρεφώμεθα. Τὸ γὰρ δέξασθαι παραμυθίαν ἐκ τῶν τοῦ πέλας κακῶν, ἐν τοῖς συμμέτροις γίνεται τῶν παθῶν· ὅταν δὲ ὑπερέχῃ ἡ βάσανος καὶ ζάλης ᾖ πάντα μεστὰ τὰ ἔνδον καὶ μηδὲ ἑαυτὴν εἰδέναι ἡ ψυχὴ λοιπὸν ἔχῃ,*
15 *πόθεν καρπώσεται παραμυθίαν;*

5. Ὥστε γέλως πάντα ταῦτα τὰ ῥήματα καὶ μῦθοι παίδων ἀνοήτων εἰσί. Τοῦτο γάρ, ὃ λέγεις, ἐν ἀθυμίᾳ συμβαίνει καὶ ἐν ἀθυμίᾳ συμμέτρῳ, ὅταν ἀκούσωμεν, ὅτι ὁ δεῖνα τὸ αὐτὸ ἔπαθεν· ἔστι δὲ ὅτε οὐδὲ ἐν ἀθυμίᾳ· εἰ δὲ ἐκεῖ οὐδε-
20 *μίαν ἰσχὺν ἔχει, πολλῷ μᾶλλον ἐν ὀδύνῃ καὶ πόνῳ ἀρρήτῳ, ἣν ὁ βρυγμὸς τῶν ὀδόντων δείκνυσι.*

Καὶ οἶδα μὲν φορτικὸς ὢν καὶ λυπῶν ὑμᾶς διὰ τῶν ῥημάτων τούτων· ἀλλὰ τί πάθω; Οὐ γὰρ ἐβουλόμην ταῦτα λέγειν, ἀλλὰ καὶ ἐμαυτῷ καὶ πᾶσιν ὑμῖν ἀρετὴν συνειδέναι·
25 *ἐπειδὴ δὲ ἐν ἁμαρτήμασίν ἐσμεν οἱ πλείους, τίς ἂν μοι δοίη ἀληθῶς δυνηθῆναι λυπῆσαι ὑμᾶς καὶ καθικέσθαι τῆς δια-*

φλόγα, ἐξεγέρθησαν κατὰ τοῦ βασιλέως καὶ τὸν ἐξηνάγκασαν νὰ ἐκδιώξῃ τὸν ἑβραϊκὸν λαόν. Διότι πράγματι εἶναι πολὺ ψυχρὰ ἡ σκέψις αὐτή, τὸ νὰ νομίζῃ κανεὶς δηλαδὴ ὅτι ἀποτελεῖ παρηγορίαν τὸ ὅτι τιμωρεῖται μαζὶ μὲ ὅλους τοὺς ἄλλους, τὸ νὰ λέγῃ, ὅπως ὅλοι ἔτσι καὶ ἐγώ.

Ἑπομένως πῶς πρέπει νὰ θεωροῦμεν τὴν γέενναν; Ἀναλογίσου, σὲ παρακαλῶ, ἐκείνους ποὺ ὑποφέρουν ἀπὸ πόνους εἰς τὰ πόδια, οἱ ὁποῖοι ὅταν τοὺς βασανίζῃ ὁ φοβερὸς πόνος, καὶ ἂν ἀκόμη τοὺς παρουσιάσῃς μυρίους ἄλλους ποὺ βασανίζονται ἀπὸ χειρότερα, τίποτε δὲν λαμβάνουν ὑπ' ὄψιν των. Διότι οἱ ἀνυπόφοροι πόνοι δὲν ἀφήνουν χρόνον εἰς τὸν νοῦν νὰ σκεφθῇ τοὺς ἄλλους καὶ νὰ παρηγορηθῇ. Συνεπῶς ἂς μὴ τρεφώμεθα μὲ αὐτὰς τὰς ψυχρὰς ἐλπίδας. Διότι τὸ νὰ λάβωμεν παρηγορίαν ἀπὸ τὰς συμφορὰς τῶν συνανθρώπων μας συμβαίνει μόνον εἰς τὰ μικρὰ παθήματα. Ὅταν ὅμως ἡ συμφορὰ εἶναι μεγάλη καὶ ὅλος ὁ ψυχικός μας κόσμος εἶναι γεμᾶτος ἀπὸ ζάλην, καὶ ἡ ψυχή μας δὲν εἶναι δυνατὸν οὔτε τὸν ἑαυτόν της νὰ γνωρίσῃ, ἀπὸ ποῦ θὰ παρηγορηθῇ κανείς;

5. Συνεπῶς ὅλοι αὐτοὶ οἱ λόγοι εἶναι γελοῖοι καὶ μῦθοι ἀνοήτων παιδιῶν. Διότι αὐτὸ ποὺ λέγεις συμβαίνει εἰς μίαν στενοχώριαν, καὶ μάλιστα μετρίαν στενοχώριαν, ὅταν ἀκούσωμεν ὅτι ὁ τάδε ἔπαθε τὸ ἴδιο. Ὑπάρχουν περιπτώσεις ὅμως ποὺ δὲν ἰσχύει οὔτε καὶ εἰς στενοχώριαν. Ἐὰν λοιπὸν οὔτε εἰς τὴν περίπτωσιν αὐτὴν δὲν ἔχῃ καμμίαν ἰσχύν, πολλῷ μᾶλλον δὲν ἰσχύει εἰς τὰς περιπτώσεις ὀδύνης καὶ ἀπεριγράπτου πόνου, καθὼς ἀποδεικνύεται ἀπὸ τὸν τριγμὸν τῶν ὀδόντων.

Καὶ γνωρίζω βέβαια ὅτι μὲ τὰ λόγια αὐτὰ γίνομαι φορτικὸς καὶ ὅτι σᾶς στενοχωρῶ. Τί νὰ γίνῃ ὅμως; Βέβαια δὲν θὰ ἤθελα νὰ τὰ λέγω ὅλα αὐτά, ἀλλὰ θὰ ἤθελα νὰ ἔβλεπα ἐνάρετον τόσον τὸν ἑαυτόν μου ὅσον ὅλους ἐσᾶς. Ἐπειδὴ ὅμως εἴμεθα οἱ περισσότεροι ἁμαρτωλοί, ποῖος θὰ ἠμποροῦσε νὰ μοῦ δώσῃ τὴν δύναμιν νὰ σᾶς λυπήσω πραγματικὰ καὶ νὰ

νοίας τῶν ἀκροωμένων; Τότε ἂν οὕτως ἀνεπαυσάμην. Νῦν δὲ δέδοικα μή τινες καταφρονήσωσι τῶν λεγομένων καὶ μείζων ἡ κόλασις διὰ τὴν ὀλιγωρίαν τῆς ἀκροάσεως γένηται. Οὐδὲ γὰρ εἰ, δεσπότου τινὸς ἀπειλοῦντος, τῶν συνδούλων
5 *τις ἀκούων κατεφρόνει τῆς ἀπειλῆς, ἀτιμωρητὶ παρέδραμεν ἂν αὐτὸν ὁ ἀγανακτήσας, ἀλλὰ καὶ τοῦτο ὑπόθεσις αὐτῷ κολάσεως ἂν ἐγένετο μείζονος. Διὸ παρακαλῶ, κατανύξωμεν ἑαυτοὺς τῶν περὶ γεέννης ἀκούοντες λόγων. Οὐδὲ γὰρ ἥδιόν ἐστί τι τῆς διαλέξεως ταύτης, ἐπειδὴ τῶν πραγμάτων*
10 *οὐδὲν πικρότερον.*

Καὶ πῶς ἡδὺ τὸ περὶ γεέννης ἀκοῦσαι; φησίν. Ἐπειδὴ ἀηδὲς τὸ εἰς γέενναν ἐμπεσεῖν, ὅπερ ἀποκρούεται τὰ δοκοῦντα φορτικὰ εἶναι ῥήματα καὶ πρὸ τούτου ἑτέραν τίθησιν ἡδονήν· συστρέφει γὰρ ἡμῶν τὰς ψυχὰς καὶ εὐλαβεστέρους
15 *ποιεῖ καὶ μετεωρίζει τὴν διάνοιαν καὶ πτεροῖ τὸν λογισμὸν καὶ τὴν πονηρὰν τῶν ἐπιθυμιῶν ἐκβάλλει πολιορκίαν καὶ ἰατρεία τὸ πρᾶγμα γίνεται. Διὸ δὴ μετὰ τῆς κολάσεως δότε μοι καὶ τὴν αἰσχύνην εἰπεῖν. Καθάπερ γὰρ τοὺς Ἰουδαίους οἱ Νινευῖται κατακρινοῦσι τότε, οὕτω καὶ ἡμᾶς πολλοὶ κατα-*
20 *κρινοῦσι τῶν δοκούντων καταδεεστέρων νῦν. Ἐννοήσωμεν τοίνυν ὅσος ὁ γέλως, ὅση ἡ κατάγνωσις· ἐννοήσωμεν καὶ βάλωμέν τινα ἀρχὴν κἂν νῦν καὶ θύραν μετανοίας. Πρὸς ἐμαυτὸν ταῦτα λέγω, πρῶτον ἐμαυτῷ ταῦτα παραινῶ καὶ μηδεὶς ὀργιζέσθω ὡς κατακρινόμενος. Ἁψώμεθα τῆς ὁδοῦ*
25 *τῆς στενῆς. Μέχρι πότε τρυφή; μέχρι πότε ἄνεσις; Οὐκ ἐνεπλήσθημεν ῥαθυμοῦντες, γελῶντες, ἀναβαλλόμενοι; Οὐ*

συγκινήσω τὴν καρδίαν τῶν ἀκροατῶν; Μόνον τότε ἴσως νὰ ἡσύχαζα. Τώρα ὅμως φοβοῦμαι μὴ τυχὸν ὡρισμένοι περιφρονήσουν τοὺς λόγους μου καὶ ὑποστοῦν μεγαλυτέραν τιμωρίαν ἐξ αἰτίας τῆς ἀδιαφορίας των πρὸς τὸ κήρυγμά μου. Οὔτε βέβαια κάποιος κύριος, διατυπώνων ἀπειλάς, θὰ ἄφηνεν ἀτιμώρητον κάποιον ἀπὸ τοὺς δούλους του ποὺ θὰ ἤκουε τὰς ἀπειλὰς του ἀλλὰ θὰ τὰς περιεφρόνει, ἀλλ' ἀντιθέτως αὐτὸ θ' ἀποτελοῦσεν ἀφορμὴν διὰ μεγαλυτέραν τιμωρίαν. Καὶ ἀκριβῶς δι' αὐτὸ σᾶς παρακαλῶ νὰ νοιώθωμεν κατάνυξιν ἀκούοντες τοὺς περὶ γεέννης λόγους. Ἄλλωστε δὲν ὑπάρχει τίποτε ἄλλο πιὸ γλυκὺ ἀπὸ τὴν ὁμιλίαν αὐτήν, ἐπειδὴ κανὲν ἄλλο πρᾶγμα δὲν εἶναι πικρότερον ἀπὸ αὐτήν.

Καὶ πῶς εἶναι εὐχάριστον, θὰ εἰπῇ κάποιος, τὸ νὰ ἀκούῃ κανεὶς ὁμιλίαν περὶ γεέννης; Ἐπειδὴ εἶναι πολὺ τρομερὸν νὰ πέσωμεν εἰς τὴν γέενναν, πρᾶγμα ποὺ ἀποφεύγεται μὲ τοὺς λόγους ποὺ μᾶς φαίνονται φορτικοί, καὶ οἱ ὁποῖοι πρὶν ἀπὸ αὐτὸ μᾶς παρέχουν καὶ ἄλλην εὐχαρίστησιν· συγκρατοῦν δηλαδὴ τὰς ψυχάς μας καὶ τὰς κάνουν εὐλαβεστέρας, ἐξυψώνουν τὴν διάνοιάν μας καὶ ἀναπτερώνουν τὸν λογισμόν μας, μᾶς ἐλευθερώνουν ἀπὸ τὴν πονηρὰν πολιορκίαν τῶν ἐπιθυμιῶν καὶ γενικῶς συντελοῦν εἰς τὴν θεραπείαν τῆς ψυχῆς. Διὰ τοῦτο λοιπὸν ἐπιτρέψατέ μου, μαζὶ μὲ τὴν κόλασιν νὰ ἀναφέρω καὶ τὴν αἰσχύνην. Διότι ὅπως ἀκριβῶς τότε οἱ Νινευῖται θὰ κατακρίνουν τοὺς Ἰουδαίους, ἔτσι καὶ ἡμᾶς θὰ μᾶς κατακρίνουν πολλοὶ ἀπὸ αὐτοὺς ποὺ σήμερα φαίνονται ὑποδεέστεροι. Ἂς κατανοήσωμεν λοιπὸν πόσον θὰ γελοιοποιηθοῦμεν καὶ πόσον θὰ κατακριθοῦμεν. Ἂς τὸ χαράξωμεν βαθειὰ εἰς τὸν νοῦν μας καὶ ἂς θέσωμεν κάποιαν ἀρχήν, ἔστω καὶ τώρα, καὶ θύραν μετανοίας. Αὐτὰ τὰ λέγω διὰ τὸν ἑαυτόν μου· πρῶτα συμβουλεύω τὸν ἑαυτόν μου μὲ τοὺς λόγους αὐτοὺς καὶ ἂς μὴ ὀργίζεται κανεὶς ὅτι δῆθεν κατακρίνεται. Ἂς ἀκολουθήσωμεν τὴν στενὴν ὁδόν. Μέχρι πότε θὰ συνεχίζεται ἡ τρυφηλὴ ζωή; μέχρι πότε ἡ ἄνεσις; Δὲν βαρεθήκαμεν τὴν ἀδιαφορίαν, τὸν γέλωτα καὶ τὴν ἀναβολήν; Δὲν θὰ ἐπακολουθήσουν καὶ πάλιν τὰ ἴδια τραπέζια,

τὰ αὐτὰ πάλιν ἔσται, τράπεζα καὶ κόρος καὶ πολυτέλεια καὶ χρήματα καὶ κτήσεις καὶ οἰκοδομαί; Καὶ τί τὸ τέλος; Θάνατος. Τί τὸ τέλος; Τέφρα καὶ κόνις καὶ σοροὶ καὶ σκώληκες.

5 *Ἐπιδειξώμεθα τοίνυν καινήν τινα ζωήν· ποιήσωμεν τὴν γῆν οὐρανόν· ἐντεῦθεν δείξωμεν Ἕλλησιν, ὅσων εἰσὶν ἀπεστερημένοι καλῶν. Ὅταν γὰρ ἴδωσι καλῶς ἡμᾶς πολιτευομένους, τὴν ὄψιν αὐτὴν θεάσονται τῆς βασιλείας τῶν οὐρανῶν. Ὅταν γὰρ ἴδωσιν ἐπιεικεῖς, ὀργῆς καθαρούς, ἐπι-*
10 *θυμίας πονηρᾶς, βασκανίας, πλεονεξίας, τὰ ἄλλα πάντα κατορθοῦντας, ἐροῦσιν· εἰ ἐνταῦθα ἄγγελοι γεγόνασιν οἱ Χριστιανοί, τί ἔσονται μετὰ τὴν ἐντεῦθεν ἀποδημίαν; εἰ ἔνθα ξένοι εἰσίν, οὕτω λάμπουσιν, ὅταν τὴν πατρίδα αὐτῶν ἀπολάβωσιν, ἡλίκοι γενήσονται; Οὕτω καὶ ἐκεῖνοι βελτίους*
15 *ἔσονται, καὶ ὁ λόγος τῆς εὐσεβείας δραμεῖται, οὐκ ἔλαττον ἢ ἐπὶ τῶν ἀποστόλων. Εἰ γὰρ δώδεκα ὄντες ἐκεῖνοι πόλεις ὁλοκλήρους καὶ χώρας ἐπέστρεψαν, εἰ πάντες γενησόμεθα διδάσκαλοι διὰ τῆς κατὰ τὸν βίον ἐπιμελείας, ἐννόησον ποῦ ἀρθήσεται τὰ ἡμέτερα. Οὐδὲ γὰρ οὕτως ἐπισπᾶται τὸν Ἕλ-*
20 *ληνα νεκρὸς ἀνιστάμενος, ὡς ἄνθρωπος φιλοσοφῶν. Πρὸς μὲν γὰρ ἐκεῖνο ἐκπλαγήσεται, ἀπὸ δὲ τούτου κερδανεῖ. Ἐκεῖνο γέγονε καὶ παρῆλθε, τοῦτο δὲ μένει καὶ διαπαντὸς αὐτοῦ γεωργεῖ τὴν ψυχήν.*

Ἐπιμελησώμεθα τοίνυν ἡμῶν αὐτῶν, ἵνα καὶ ἐκείνους
25 *κερδάνωμεν. Οὐδὲν λεγω φορτικόν· οὐ λέγω, μὴ γάμει· οὐ λέγω, καταλίμπανε πόλεις καὶ ἀφίστασο πολιτικῶν πραγμάτων· ἀλλ' ἐν αὐτοῖς ὢν δεῖξον τὴν ἀρετήν. Καὶ γὰρ τοὺς ἐν μέσαις πόλεσι στρεφομένους βούλομαι μᾶλλον εὐδοκιμεῖν τῶν τὰ ὄρη κατειληφότων. Διατί; Ὅτι πολὺ τὸ κέρδος ἐν-*
30 *τεῦθεν γίνεται. «Οὐδεὶς γὰρ καίει λύχνον καὶ τίθησιν αὐτὸν ὑπὸ τὸν μόδιον». Διὰ τοῦτο βούλομαι ἐπὶ τῆς λυχνίας*

οἱ κορεσμοί, αἱ πολυτέλειαι, τὰ χρήματα, τὰ κτήματα καὶ αἱ οἰκοδομαί; Καὶ ποῖον θὰ εἶναι τὸ τέλος αὐτῶν; Ὁ θάνατος. Καὶ ποῖον τὸ ἀποτέλεσμα; Στάκτη καὶ σκόνη καὶ πτώματα καὶ σκώληκες.

Ἂς ἐπιδείξωμεν λοιπὸν μίαν καινούργιαν ζωήν· ἂς κάνωμεν τὴν γῆν οὐρανόν· ἔτσι θὰ δείξωμεν εἰς τοὺς εἰδωλολάτρας πόσων καλῶν ἐστερήθησαν. Διότι ὅταν θὰ ἰδοῦν νὰ ζοῦμεν μὲ εὐσέβειαν, θὰ εἶναι ὡσὰν νὰ βλέπουν τὶν ἰδίαν τὴν βασιλείαν τῶν οὐρανῶν. Ὅταν θὰ ἰδοῦν ὅτι εἴμεθα ἐπιεικεῖς, καθαροὶ ἀπὸ ὀργήν, ἀπὸ πονηρὰν ἐπιθυμίαν, ἀπὸ φθόνον, ἀπὸ πλεονεξίαν, καὶ νὰ πράττωμεν ὅλα τὰ ἄλλα ἐνάρετα ἔργα θὰ εἰποῦν· Ἐὰν οἱ Χριστιανοὶ ἔχουν γίνει ἐδῶ ἐπάνω εἰς τὴν γῆν ἄγγελοι, τί θὰ γίνουν μετὰ τὴν ἀναχώρησίν των ἀπὸ τὴν γῆν; ἐὰν ἐκεῖ ὅπου εἶναι ξένοι, λάμπουν τόσον πολύ, πόσον θὰ λάμψουν, ὅταν θ' ἀποκτήσουν τὴν πατρίδα των; Ἔτσι καὶ ἐκεῖνοι θὰ γίνουν καλύτεροι καὶ ὁ λόγος τῆς εὐσεβείας θὰ διαδοθῇ ταχέως ὄχι ὀλιγώτερον ἀπὸ ὅ,τι διεδίδετο κατὰ τὰς ἡμέρας τῶν ἀποστόλων. Διότι ἐὰν ἐκεῖνοι, ποὺ ἦσαν δώδεκα, ὡδήγησαν εἰς τὸν Χριστὸν ὁλοκλήρους πόλεις καὶ χώρας, ἐὰν ὅλοι γίνωμεν διδάσκαλοι φροντίζοντες διὰ τὸν τρόπον τῆς ζωῆς μας, σκέψου εἰς ποῖον ὕψος θὰ φθάσουν τὰ τῆς πίστεώς μας. Διότι οὔτε ὁ νεκρὸς ποὺ ἀνασταίνεται δὲν προσελκύει τόσον τὸν εἰδωλολάτρην, ὅσον ὁ ἄνθρωπος ποὺ ζῇ εὐσεβῶς. Διότι ἀπὸ ἐκεῖνο μὲν θὰ ἐκπλαγῇ, ἐνῷ ἀπὸ αὐτὸ θὰ ὠφεληθῇ. Τὸ θαῦμα ἔγινε καὶ ἔφυγεν, ἐνῷ ἡ εὐσέβεια παραμένει καὶ συνεχῶς καλλιεργεῖ τὴν ψυχήν του.

Ἂς ἐνδιαφερθοῦμεν λοιπὸν διὰ τοὺς ἑαυτούς μας δια νὰ κερδίσωμεν καὶ τοὺς εἰδωλολάτρας. Δὲν σοῦ λέγω τίποτε τὸ φορτικόν· δὲν σοῦ λέγω νὰ μὴ νυμφεύεσαι· δὲν σοῦ λέγω ἄφησε τὰς πόλεις καὶ ἀπομακρύνσου ἀπὸ τὰ πολιτικὰ πράγματα· ἀλλὰ ζῶν ἐντὸς αὐτῶν φρόντισε νὰ γίνῃς ἐνάρετος. Καθόσον ἐκεῖνοι ποὺ ζοῦν ἐντὸς τῶν πόλεων ἐπιθυμῶ νὰ γίνουν περισσότερον ἐνάρετοι ἀπὸ ἐκείνους ποὺ κατέλαβαν τὰ ὄρη. Διατί; Διότι εἶναι πολὺ μεγάλη ἡ ὠφέλεια

κεῖσθαι τοὺς λίχνους ἅπαντας, ἵνα πολὺ τὸ φῶς γένηται. Ἀνάψωμεν τοίνυν αὐτοῦ τὸ πῦρ, ποιήσωμεν τοὺς ἐν σκότῳ καθημένους ἀπαλλαγῆναι τῆς πλάνης. Καὶ μή μοι λέγε, ὅτι γυναῖκα ἔχω καὶ παιδία κέκτημαι καὶ οἰκίας προΐσταμαι
5 *καὶ οὐ δύναμαι ταῦτα κατορθοῦν. Κἂν γὰρ τούτων μηδὲν ἔχῃς, ῥάθυμος δὲ ᾖς, πάντα οἴχεται· κἂν ταῦτα πάντα ᾖς περικείμενος, σπουδαῖος δὲ ᾖς, περιέσῃ τῆς ἀρετῆς. Ἓν γάρ ἐστι τὸ ζητούμενον, γνώμης γενναίας παρασκευή· καὶ οὔτε ἡλικία, οὔτε πενία, οὐ πλοῦτος, οὐ πραγμάτων περίστα-*
10 *σις, οὐκ ἄλλο οὐδὲν ἐμποδίσαι δυνήσεται. Καὶ γὰρ καὶ γέροντες καὶ νέοι, καὶ γυναῖκας ἔχοντες, καὶ παῖδας τρέφοντες, καὶ τέχνας μεταχειριζόμενοι, καὶ στρατευόμενοι, κατώρθωσαν τὰ ἐπιταχθέντα ἅπαντα. Καὶ γὰρ ὁ Δανιὴλ νέος ἦν, καὶ ὁ Ἰωσὴφ δοῦλος ἦν, καὶ ὁ Ἀκύλας τέχνην μετεχειρίζε-*
15 *το, καὶ ἡ πορφυρόπωλις ἐργαστηρίου προειστήκει, καὶ ἄλλος δεσμοφύλαξ ἦν, καὶ ἄλλος ἑκατοντάρχης, ὡς ὁ Κορνήλιος, καὶ ἕτερος ἀσθενής, ὡς ὁ Τιμόθεος, καὶ ἄλλος δραπέτης, ὡς Ὀνήσιμος· ἀλλ᾿ οὐδὲν οὐδενὶ τούτων γέγονε κώλυμα, ἀλλὰ πάντες εὐδοκίμησαν, καὶ ἄνδρες καὶ γυναῖκες καὶ νέοι*
20 *καὶ γέροντες καὶ δοῦλοι καὶ ἐλεύθεροι, καὶ στρατιῶται καὶ ἰδιῶται.*

Μὴ τοίννυν περιττὰ σκηπτώμεθα, ἀλλὰ γνώμην παρασκευάσωμεν ἀρίστην· κἂν ὁτιοῦν ὦμεν, πάντως ἐπιληψόμεθα ἀρετῆς, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν, χάριτι
25 *καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ᾿ οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

---

22. Ματθ. 5, 15.
23. Ἀκύλας· ἦτο σκηνοποιὸς εἰς τὴν Κόρινθον, μαζὶ δὲ μὲ τὴν σύζυγόν του Πρίσκιλλαν ἀνεδείχθησαν σπουδαῖοι συνεργάτες τοῦ Ἀποστόλου Παύλου.
24. Πρόκειται διὰ τὴν Λυδίαν, ποὺ διέμενεν εἰς Φιλίππους. Πράξ. 16, 14.
25. Πρβλ. Πράξ. 16, 27-34.
26. Πρβλ. Πράξ. 10, 1-48.
27. Μαθητὴς καὶ συνεργάτης τοῦ Ἀπ. Παύλου καὶ ἐπίσκοπος Ἐφέσου.
28. Πρβλ. Ἐπιστολὴν πρὸς Φιλήμονα.

πού προέρχεται άπ' αυτό. «Διότι κανείς δεν ανάπτει λύχνον και τον θέτει κάτω από τον μόδιον»[22]. Διά τούτο θέλω όλαι αί λυχνίαι νά ευρίσκωνται επάνω εις τους λυχνοστάτας, διά νά υπάρχη άπλετον φώς. Ἂς ανάψωμεν λοιπόν τό πυρ αυτού και ας κάνωμεν εκείνους πού κάθηνται εις τό σκότος ν' απαλλαγούν από την πλάνην. Και μη μου είπης ότι έχω γυναίκα, ότι έχω παιδιά, ότι φροντίζω την οικίαν μου και δέν ήμπορώ νά τά πράξω όλα αυτά. Διότι και άν ακόμη τίποτε από όλα αυτά δέν έχης, άλλ' είσαι ράθυμος, όλα σού διέφυγαν. Και άν πάλιν περιβάλλεσαι από όλα αυτά, αλλά επιδεικνύεις ενδιαφέρον διά την αρετήν, τότε θά γίνης ενάρετος. Διότι μία είναι ή επιδίωξίς μας· ή προετοιμασία γενναίας αποφάσεως· και τότε ούτε ή ηλικία, ούτε ή πτώχια, ούτε ό πλούτος, ούτε τό πλήθος τών φροντίδων, ούτε τίποτε άλλο θά ήμπορέση νά σταθή εμπόδιον. Καθόσον όλας τάς εντολάς κατώρθωσαν νά τάς εφαρμόσουν και οι γέροντες και οι νέοι και οι έγγαμοι και οι γονείς και οι ασχολούμενοι μέ τάς τέχνας και οι στρατιώται. Πράγματι λοιπόν ό Δανιήλ ήτο νέος, ό Ἰωσήφ ήτο δούλος, ό Ἀκύλας[23] ήτο τεχνίτης, ή πορφυρόπωλις[24] προΐστατο εργαστηρίου, ό δέ άλλος ήτο δεσμοφύλαξ[25], ό άλλος ήτο εκατόνταρχος, όπως ό Κορνήλιος[26], ό άλλος ήτο ασθενής, όπως ό Τιμόθεος[27], και ό άλλος δραπέτης, όπως ό Ὀνήσιμος[28]. Ἀλλ' όμως τίποτε δέν ήμπόρεσε νά τους εμποδίση, αντιθέτως όλοι εσημείωσαν πρόοδον εις την αρετήν, και άνδρες και γυναίκες, και νέοι και γέροντες, και δούλοι και ελεύθεροι, και στρατιώται και ιδιώται.

Ἑπομένως ας μη προβάλλωμεν περιττάς δικαιολογίας, αλλά ας προετοιμάσωμεν και διάθεσιν αρίστην. Και ό,τιδήποτε και άν είμεθα, ας προσπαθήσωμεν νά γίνωμεν όπωσδήποτε ενάρετοι, και τότε θά επιτύχωμεν τά μελλοντικά αγαθά μέ την χάριν και την φιλανθρωπίαν του Κυρίου ημών Ἰησού Χριστού, μαζί μέ τον οποίον και μέ τό άγιον Πνεύμα ανήκει εις τον Πατέρα ή δόξα και ή δύναμις και ή τιμή τώρα και πάντοτε και εις τους αιώνας τών αιώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΜΔ΄

Ματθ. 12, 46 - 13, 9

«Ἔτι δὲ αὐτοῦ λαλοῦντος τοῖς ὄχλοις, ἰδοὺ ἡ μήτηρ αὐτοῦ καὶ οἱ ἀδελφοὶ εἱστήκεισαν ἔξω, ζητοῦντες αὐτῷ λα-
5 λῆσαι. Εἶπε δέ τις αὐτῷ· ἰδοὺ ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ἔξω ἑστήκασι, ζητοῦντές σοι λαλῆσαι. Ὁ δὲ ἀποκριθεὶς εἶπε τῷ εἰπόντι· τίς ἐστιν ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου; Καὶ ἐκτείνας τὴν χεῖρα αὐτοῦ ἐπὶ τοὺς μαθητάς, εἶπεν· ἰδοὺ ἡ μήτηρ μου καὶ οἱ ἀδελφοί μου».

10 1. Ὅπερ πρώην ἔλεγον, ὅτι ἀρετῆς ἀπούσης ἅπαντα περιττά, τοῦτο καὶ νῦν μετὰ πολλῆς δείκνυται τῆς περιουσίας. Ἐγὼ μὲν γὰρ ἔλεγον, ὅτι καὶ ἡλικία καὶ φύσις καὶ τὸ ἔρημον οἰκεῖον καὶ ὅσα τοιαῦτα ἀνόνητα, γνώμης οὐκ οὔσης ἀγαθῆς· σήμερον δὲ καὶ πλέον ἕτερόν τι μανθάνομεν, ὅτι οὐδὲ
15 τὸ κυοφορῆσαι τὸν Χριστὸν καὶ τὸν θαυμαστὸν ἐκεῖνον τόκον τεκεῖν, ἔχει τι κέρδος, ἀρετῆς οὐκ οὔσης. Καὶ τοῦτο μάλιστα ἐντεῦθεν δῆλον. «Ἔτι γὰρ αὐτοῦ λαλοῦντος τοῖς ὄχλοις», φησίν, «εἶπέ τις αὐτῷ, ὅτι ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου ζητοῦσί σε. Ὁ δὲ λέγει· τίς ἐστιν ἡ μήτηρ μου καὶ τίνες οἱ
20 ἀδελφοί μου;». Ταῦτα δὲ ἔλεγεν, οὐκ ἐπαισχυνόμενος ἐπὶ τῇ μητρί, οὐδὲ ἀρνούμενος τὴν γεγεννηκυῖαν - εἰ γὰρ ἐπῃσχύνετο, οὐδ' ἂν διῆλθε διὰ τῆς μήτρας ἐκείνης - ἀλλὰ δηλῶν, ὅτι οὐδὲν ὄφελος αὐτῇ τούτου, εἰ μὴ τὰ δέοντα ποιεῖ ἅπαντα. Καὶ γὰρ ὅπερ ἐπεχείρησε, φιλοτιμίας ἦν περιττῆς·
25 ἐβούλετο γὰρ ἐνδείξασθαι τῷ δήμῳ, ὅτι κρατεῖ καὶ αὐθεντεῖ τοῦ παιδός, οὐδὲν οὐδέπω περὶ αὐτοῦ μέγα φανταζομένη·

ΟΜΙΛΙΑ ΜΔ΄

Ματθ. 12, 46 - 13, 9

«Ἐνῷ δὲ αὐτὸς ὡμίλει ἀκόμη πρὸς τὸ πλῆθος, ἦλθαν καὶ ἐστάθησαν ἔξω ἡ μητέρα του καὶ οἱ ἀδελφοί του καὶ ἐζήτουν νὰ τοῦ ὁμιλήσουν. Καὶ κάποιος τοῦ εἶπε· Νά, ἡ μητέρα σου καὶ οἱ ἀδελφοί σου περιμένουν ἔξω καὶ θέλουν νὰ σοῦ ὁμιλήσουν. Αὐτὸς δὲ τοῦ ἀπήντησε καὶ τοῦ εἶπε· Ποία εἶναι ἡ μητέρα μου καὶ ποῖοι οἱ ἀδελφοί μου; Καὶ ἀφοῦ ἥπλωσε τὸ χέρι του καὶ ἔδειξε τοὺς μαθητάς του, εἶπε· Νὰ ἡ μητέρα μου καὶ οἱ ἀδελφοί μου».

1. Ἐκεῖνο ποὺ ἔλεγα εἰς τὴν προηγουμένην ὁμιλίαν, ὅτι δηλαδὴ ὅταν ἀπουσιάζῃ ἡ ἀρετὴ εἶναι ὅλα τὰ ἄλλα περιττά, αὐτὸ ἀποδεικνύεται καὶ τώρα μὲ πάρα πολλὴν σαφήνειαν. Διότι ἐγὼ μὲν σᾶς ἔλεγα, ὅτι καὶ ἡ ἡλικία καὶ ἡ φύσις καὶ ἡ διαμονὴ εἰς τὴν ἔρημον καὶ τὰ παρόμοια δὲν ὠφελοῦν εἰς τίποτε τὸν ἄνθρωπον, ἐὰν δὲν ὑπάρχῃ ἀγαθὴ διάθεσις. Σήμερα ὅμως μαθαίνομεν καὶ κάτι ἐπὶ πλέον, ὅτι οὔτε τὸ γεγονὸς τῆς κυοφορίας τοῦ Χριστοῦ ὑπὸ τῆς Παρθένου καὶ ἡ κατὰ θαυμαστὸν τρόπον γέννησις ἐκείνου, ὠφελοῦν εἰς κάτι, ὅταν λείπῃ ἡ ἀρετή. Πρᾶγμα ποὺ κατ' ἐξοχὴν καθίσταται φανερὸν ἐξ ὅσων λέγονται ἐδῶ. Διότι λέγει· «Ἐνῷ αὐτὸς ὡμίλει ἀκόμη πρὸς τὰ πλήθη, εἶπε κάποιος εἰς αὐτὸν ὅτι τὸν ζητοῦν ἡ μητέρα του καὶ οἱ ἀδελφοί του. Αὐτὸς δὲ λέγει· Ποία εἶναι ἡ μητέρα μου καὶ ποῖοι οἱ ἀδελφοί μου;». Καὶ αὐτὰ τὰ ἔλεγεν ὄχι ἐπειδὴ ἐντρέπετο διὰ τὴν μητέρα του, οὔτε ἀρνούμενος αὐτὴν ποὺ τὸν ἐγέννησε — διότι ἐὰν ἐντρέπετο οὔτε κἂν θὰ ἐγεννᾶτο ἀπὸ ἐκείνην τὴν μήτραν — ἀλλὰ διὰ νὰ δηλώσῃ, ὅτι αὐτὴ δὲν εἶχε νὰ ὠφεληθῇ εἰς τίποτε ἀπὸ τὸ γεγονὸς αὐτό, ἐὰν δὲν πράττῃ ὅλα τὰ πρέποντα. Καθόσον αὐτὸ ποὺ ἔπραξε προήρχετο ἀπὸ περιττὴν φιλοδοξίαν· διότι ἤθελε νὰ δείξῃ εἰς τὰ πλήθη, ὅτι ἐξουσιάζει καὶ κατευθύνει τὸν υἱόν της, ἐπειδὴ ἀκόμη δὲν ἦτο εἰς θέσιν νὰ φαντασθῇ κάτι τὸ σπουδαῖον περὶ αὐτοῦ· διὰ τοῦτο

διὸ καὶ ἀκαίρως προσῆλθεν. Ὅρα γοῦν καὶ αὐτῆς καὶ ἐκείνων τὴν ἀπόνοιαν. Δέον γὰρ εἰσελθόντας ἀκοῦσαι μετὰ τοῦ ὄχλου, ἤ, μὴ τοῦτο βουλομένους, ἀναμεῖναι καταλῦσαι τὸν λόγον καὶ τότε προσελθεῖν· οἱ δὲ ἔξω καλοῦσιν αὐτὸν καὶ 5 *ἐπὶ πάντων τοῦτο ποιοῦσι, φιλοτιμίαν ἐπιδεικνύμενοι περιττήν, καὶ δεῖξαι θέλοντες, ὅτι μετὰ πολλῆς αὐτῷ ἐπιτάττουσι τῆς ἐξουσίας. Ὅπερ καὶ ὁ εὐαγγελιστὴς δείκνυται ἐγκαλῶν· αὐτὸ γὰρ τοῦτο αἰνιττόμενος οὕτως εἴρηκεν· «Ἔτι αὐτοῦ λαλοῦντος τοῖς ὄχλοις»· ὡσανεὶ ἔλεγε· μὴ γὰρ οὐκ ἦν και-* 10 *ρὸς ἕτερος; μὴ γὰρ οὐκ ἦν κατ' ἰδίαν διαλεχθῆναι;*

Τί δὲ καὶ λαλῆσαι ἐβούλοντο; Εἰ μὲν γὰρ ὑπὲρ τῶν τῆς ἀληθείας δογμάτων, κοινῇ ταῦτα προθεῖναι ἐχρῆν, καὶ ἐπὶ πάντων εἰπεῖν, ὥστε καὶ τοὺς ἄλλους κερδᾶναι· εἰ δὲ περὶ ἑτέρων τῶν αὐτοῖς διαφερόντων, οὐκ ἐχρῆν οὕτω κατε- 15 *πείγειν. Εἰ γὰρ πατέρα θάψαι οὐκ ἀφῆκεν, ἵνα μὴ διακόπτηται ἡ ἀκολούθησις, πολλῷ μᾶλλον τὴν αὐτοῦ δημηγορίαν καταλῦσαι οὐκ ἐχρῆν ὑπὲρ τῶν οὐδὲν προσηκόντων. Ὅθεν δῆλον, ὅτι κενοδοξία τοῦτο μόνον ἐποίουν· ὃ καὶ Ἰωάννης δηλῶν ἔλεγεν, ὅτι «Οὐδὲ οἱ ἀδελφοὶ αὐτοῦ ἐπίστευον εἰς* 20 *αὐτόν»· καὶ τὰ ῥήματα δὲ αὐτῶν ἀπαγγέλλει τὰ πολλῆς γέμοντα ἀνοίας, λέγων ὅτι εἷλκον αὐτὸν ἐπὶ τὰ Ἱεροσόλυμα, δι' ἕτερον μὲν οὐδέν, ἵνα δὲ αὐτοὶ δόξαν ἀπὸ τῶν ἐκείνου σημείων καρπώσωνται· «Εἰ γὰρ ταῦτα ποιεῖς», φησί, «δεῖξον σεαυτὸν τῷ κόσμῳ· οὐδεὶς γάρ τι ποιεῖ ἐν κρυπτῷ καὶ*

1. Ἰω. 7, 5.
2. Ἰω. 7, 4.

καὶ τὸν ἐπλησίασε κατὰ τρόπον τελείως ἀκατάλληλον. Πρόσεξε λοιπὸν τὴν ὑπερηφάνειαν καὶ αὐτῆς καὶ ἐκείνων. Διότι ἔπρεπεν, ἀφοῦ εἰσῄρχοντο, ν' ἀκούσουν τὴν ὁμιλίαν του μαζὶ μὲ τὸ πλῆθος, ἤ, ἂν αὐτὸ δὲν τὸ ἤθελαν, ἔπρεπε νὰ περιμένουν νὰ τελειώσῃ τὸν λόγον καὶ τότε νὰ τὸν ἐπλησίαζαν. Ἀλλ' ὅμως αὐτοὶ τὸν φωνάζουν ἔξω καὶ μάλιστα αὐτὸ τὸ κάνουν παρουσίᾳ ὅλων, ἐπιδεικνύοντες περιττὴν φιλοδοξίαν, καὶ θέλοντες νὰ δείξουν ὅτι ἀσκοῦν μεγάλην αὐθεντίαν ἐπ' αὐτοῦ, πρᾶγμα ποὺ καθίσταται φανερὸν καὶ ἀπὸ τὰς κατηγορίας τοῦ Εὐαγγελιστοῦ ἐναντίον των. Διότι αὐτὸ ἀκριβῶς ὑπαινισσόμενος εἶπε τὰ ἑξῆς· «Καθ' ὃν χρόνον ἀκόμη ἐσυνεχίζετο ἡ ὁμιλία του πρὸς τὸ πλῆθος τοῦ λαοῦ»· ὡσὰν δηλαδὴ νὰ ἔλεγε· Μήπως δὲν ὑπῆρχεν ἆρα γε ἄλλος καιρός; μήπως δὲν ἠμποροῦσαν κατ' ἰδίαν νὰ τοῦ ὁμιλήσουν;

Καὶ τί ἦτο αὐτὸ ποὺ ἤθελαν νὰ τοῦ εἰποῦν; Διότι, ἐὰν ἤθελαν νὰ τοῦ ὁμιλήσουν διὰ τὰ δόγματα τῆς ἀληθείας, ἔπρεπε νὰ κάνουν τὴν συζήτησιν αὐτὴν παρουσίᾳ ὅλων, ὥστε ὅλοι νὰ τ' ἀκούσουν καὶ νὰ ὠφεληθοῦν ἔτσι καὶ ἄλλοι ἄνθρωποι. Ἂν ὅμως ἄλλα ἦσαν τὰ ἐνδιαφέροντά των ἔπρεπε νὰ μὴ βιάζωνται τόσον πολύ. Διότι ἐὰν δὲν ἄφησε τὸν μαθητήν του νὰ μεταβῇ καὶ νὰ θάψῃ τὸν πατέρα του διὰ νὰ μὴ διακοπῇ ἡ παρακολούθησις τῆς διδασκαλίας του, πολὺ περισσότερον δὲν ἔπρεπε νὰ διακόψουν τὴν ὁμιλίαν διὰ πράγματα ποὺ δὲν ἦσαν τελείως ἀπαραίτητα. Ἑπομένως καθίσταται φανερὸν ὅτι αὐτὸ τὸ ἔκαναν ἀπὸ φιλοδοξίαν καὶ μόνον, πρᾶγμα ποὺ ἀποκαλύπτων ὁ Ἰωάννης ἔλεγεν· «Οὔτε καὶ οἱ ἀδελφοί του ἀκόμη ἐπίστευαν εἰς αὐτόν»[1]. Πρὸς τούτοις ἀναφέρει καὶ τὰ λόγια αὐτῶν ποὺ εἶναι γεμᾶτα ἀπὸ μωρίαν, λέγων ὅτι τὸν προέτρεπαν νὰ μεταβῇ εἰς τὰ Ἱεροσόλυμα, ὄχι διὰ τίποτε ἄλλο, παρὰ ἁπλῶς καὶ μόνον διὰ ν' ἀποκτήσουν ἐκεῖνοι δόξαν ἀπὸ τὰ θαύματά του. Διότι, λέγουν, «Ἐφ' ὅσον κάνεις αὐτὰ τὰ θαύματα, φανέρωσε τὸν ἑαυτόν σου εἰς τὸν κόσμον· διότι κανεὶς δὲν κάμνει κάτι κρυφὰ ἐφ' ὅσον ζητεῖ νὰ ἀποκτήσῃ φήμην»[2]. Καὶ ἀκριβῶς δι' αὐτὸ τοὺς ἐπε-

ζητεῖ αὐτὸς φανερὸς εἶναι»· ὅτε καὶ αὐτὸς αὐτοῖς ἐπετίμησε τὴν σαρκικὴν αὐτῶν αἰτιώμενος γνώμην.

Ἐπειδὴ γὰρ οἱ Ἰουδαῖοι ὠνείδιζον καὶ ἔλεγον· «Οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱός, οὗ ἡμεῖς ἴσμεν τὸν πατέρα 5 καὶ τὴν μητέρα; καὶ οἱ ἀδελφοὶ αὐτοῦ οὐχὶ παρ' ἡμῖν εἰσι;»· τὴν εὐτέλεια βουλόμενοι τὴν ἀπὸ τοῦ γένους ἀποκρούεσθαι, ἐπὶ τὴν τῶν σημείων αὐτὸν ἐκάλουν ἐπίδειξιν. Διὰ τοῦτο αὐτοὺς διακρούεται, τὸ πάθος αὐτῶν βουλόμενος ἰάσασθαι· ὡς εἴγε ἀρνήσασθαι ἤθελε τὴν μητέρα, ὅτε ἐκεῖνοι ὠνείδι- 10 ζον, τότε ἂν ἠρνήσατο. Νῦν δὲ φαίνεται τοσαύτην αὐτῆς ποιούμενος πρόνοιαν, ὡς καὶ πρὸς αὐτῷ τῷ σταυρῷ τῷ πάντων μάλιστα ποθουμένῳ μαθητῇ παρακαταθέσθαι αὐτὴν καὶ πολλὰ ὑπὲρ αὐτῆς ἐπισκῆψαι Ἀλλ' οὐχὶ νῦν τοῦτο ποιεῖ, κηδόμενος αὐτῆς καὶ τῶν ἀδελφῶν. Ἐπειδὴ γὰρ ὡς ἀνθρώπῳ 15 προσεῖχον ψιλῷ καὶ ἐκενοδόξουν, τὸ νόσημα ἐκβάλλει, οὐχ ὑβρίζων, ἀλλὰ διορθούμενος.

Σὺ δέ μοι μὴ τὰ ῥήματα ἐξέταζε μόνον τὰ ἐπιτίμησιν ἔχοντα σύμμετρον, ἀλλὰ καὶ τὴν ἀτοπίαν καὶ τὴν τόλμαν τῶν ἀδελφῶν, ἣν ἐτόλμησαν, καὶ τὸν ἐπιτιμῶντα τίς ἦν· ὅτι οὐχὶ 20 ψιλὸς ἄνθρωπος, ἀλλ' ὁ Μονογενὴς Υἱὸς τοῦ Θεοῦ· καὶ τί βουλόμενος ἐπετίμα· οὐδὲ γὰρ ἐξαπορῆσαι θέλων ἀλλ' ἀπαλλάξαι τοῦ τυραννικωτάτου πάθους, καὶ κατὰ μικρὸν ἐναγαγεῖν εἰς τὴν προσήκουσαν περὶ αὐτοῦ ἔννοιαν καὶ πεῖσαι ὅτι οὐχὶ υἱὸς αὐτῆς μόνον ἐστίν, ἀλλὰ καὶ Δεσπότης· καὶ ὄψει 25 σφόδρα πρέπουσαν καὶ αὐτῷ τὴν ἐπιτίμησιν, κἀκείνῃ λυσιτελοῦσαν, καὶ μετὰ τούτων πολὺ καὶ τὸ ἥμερον ἔχουσαν. Οὐδὲ γὰρ εἶπεν, ἄπελθε, εἰπὲ τῇ μητρί, ὅτι οὐκ εἶ μου μήτηρ,

---

3. Πρβλ. Ματθ. 13, 55-56 καὶ Μάρκ. 6, 3.

τίμησεν ὁ Κύριος καὶ τοὺς ἐκατηγόρησεν ἐπειδὴ ἦτο κοσμικὴ ἡ διάθεσίς των.

Ἐπειδὴ λοιπὸν οἱ Ἰουδαῖοι τὸν ἐχλεύαζαν καὶ ἔλεγαν· «Μὰ δὲν εἶναι αὐτὸς ὁ υἱὸς τοῦ ξυλουργοῦ, τοῦ ὁποίου ἡμεῖς γνωρίζομεν τὸν πατέρα καὶ τὴν μητέρα; καὶ οἱ ἀδελφοί του δὲν ζοῦν ἀνάμεσά μας;»[3]· ἐπειδὴ λοιπὸν οἱ ἀδελφοί του ἤθελαν ν' ἀπαλλαγοῦν ἀπὸ τὸ ἄσημον τῆς καταγωγῆς των, τὸν παρακαλοῦσαν νὰ κάνῃ ἐπίδειξιν τῶν θαυμάτων του. Διὰ τοῦτο τοὺς ἀποκρούει, προσπαθῶν ἔτσι νὰ θεραπεύσῃ τὸ πάθος των αὐτό· διότι ἐὰν πράγματι ἤθελε ν' ἀπαρνηθῇ τὴν μητέρα του, θὰ τὴν ἠρνεῖτο τότε ποὺ τὸν ἐχλεύαζαν οἱ Ἰουδαῖοι. Ἐνῷ τώρα φαίνεται ὅτι τόσον πολὺ ἐνδιαφέρεται δι' αὐτήν, ὥστε καὶ ἐπὶ τοῦ σταυροῦ εὑρισκόμενος νὰ τὴν ἐμπιστευθῇ εἰς τὸν πλέον ἀγαπημένον μαθητήν του, δίδων εἰς αὐτὸν πολλὰς παραγγελίας δι' αὐτήν. Δὲν κάμνει ὅμως τὸ ἴδιο εἰς τὴν περίπτωσιν αὐτήν, διότι ἐνδιαφέρετο δι' αὐτὴν καὶ τοὺς ἀδελφούς του. Διότι ἐπειδὴ τὸν ἐθεωροῦσαν ὡσὰν ἁπλὸν ἄνθρωπον καὶ ἦσαν ματαιόδοξοι, τοὺς ἀπαλλάσσει ἀπὸ τὸ πάθος των αὐτό, ὄχι μὲ ὕβρεις, ἀλλὰ διορθώνων τὴν γνώμην αὐτῶν.

Σὺ ὅμως σὲ παρακαλῶ μὴ ἐξετάζῃς μόνον τὰ λόγια τοῦ Κυρίου ποὺ περιέχουν μίαν μετρίαν ἐπιτίμησιν, ἀλλὰ καὶ τὴν παράλογον ἐνέργειαν καὶ τόλμην τῶν ἀδελφῶν του ποὺ ἐπέδειξαν, καὶ ποῖος ἦτο ἐπιτιμήσας αὐτούς· ὅτι δηλαδὴ δὲν ἦτο ἁπλὸς ἄνθρωπος, ἀλλὰ ὁ Μονογενὴς Υἱὸς τοῦ Θεοῦ, καὶ ἀκόμη ποῖος ἦτο ὁ σκοπὸς τῆς ἐπιτιμήσεως. Διότι δὲν ἤθελε νὰ τοὺς φέρῃ εἰς ἀμηχανίαν, ἀλλὰ νὰ τοὺς ἀπαλλάξῃ ἀπὸ τὸ τυραννικώτατον πάθος των, καὶ νὰ τοὺς κάνῃ ὀλίγον κατ' ὀλίγον νὰ διαμορφώσουν τὴν πρέπουσαν γνώμην δι' αὐτὸν καὶ νὰ τοὺς πείσῃ ὅτι δὲν εἶναι μόνον υἱός της, ἀλλὰ καὶ Κύριός της. Τότε θ' ἀντιληφθῇς ὅτι ἡ ἐπιτίμησις ἦτο καὶ πάρα πολὺ πρέπουσα εἰς αὐτὸν καὶ πολὺ ὠφέλιμος εἰς ἐκείνην, συγχρόνως δὲ ὅτι ἦτο καὶ πολὺ ἠπία. Διότι δὲν εἶπε, Πήγαινε καὶ εἰπὲ εἰς τὴν μητέρα μου, ὅτι δὲν εἶναι ἡ μητέ-

ἀλλὰ πρὸς τὸν εἰπόντα ἀποτείνεται λέγων· «Τίς ἐστιν ἡ μήτηρ μου;», μετὰ τῶν εἰρημένων καὶ ἕτερόν τι κατασκευάζων. Ποῖον δὴ τοῦτο; Τὸ μήτε ἐκείνους, μήτε ἄλλους, συγγενείᾳ θαρροῦντας, ἀρετῆς ἀμελεῖν. Εἰ γὰρ ταύτην οὐδὲν
5 *ὠφελεῖ τὸ μητέρα εἶναι, εἰ μὴ ἐκεῖνο εἴη, σχολῇ γ' ἂν ἕτερός τις ἀπὸ συγγενείας σωθήσεται. Μία γάρ ἐστιν εὐγένεια μόνη, τὸ τὸ θέλημα τοῦ Θεοῦ ποιεῖν. Οὗτος τῆς εὐγενείας ὁ τρόπος βελτίων ἐκείνου καὶ κυριώτερος.*

2. Ταῦτ' οὖν εἰδότες, μήτε ἐπὶ παισὶν εὐδοκίμοις μέγα
10 *φρονῶμεν, ἂν μὴ τὴν ἀρετὴν αὐτῶν ἔχωμεν· μήτε ἐπὶ πατράσι γενναίοις, ἐὰν μὴ ὦμεν αὐτοῖς ὁμότροποι. Ἔστι γὰρ καὶ τὸν γεννήσαντα μὴ εἶναι πατέρα, καὶ τὸν μὴ γεννήσαντα εἶναι. Διὰ δὴ τοῦτο καὶ ἀλλαχοῦ γυναικός τινος εἰπούσης· «Μακαρία ἡ γαστὴρ ἡ βαστάσασά σε καὶ μαστοὶ οὓς ἐθήλα-*
15 *σας»· οὐκ εἶπεν, οὐκ ἐβάστασέ με κοιλία, οὐδὲ μαστοὺς οὐκ ἐθήλασα, ἀλλὰ τοῦτο· «Μενοῦνγε μακάριοι οἱ ποιοῦντες τὸ θέλημα τοῦ Πατρός μου». Ὁρᾷς πῶς ἄνω καὶ κάτω οὐκ ἀρνεῖται τὴν κατὰ φύσιν συγγένειαν, ἀλλὰ προστίθησι τὴν κατ' ἀρετήν; Καὶ ὁ πρόδρομος δὲ λέγων, «Γεννήματα ἐχι-*
20 *δνῶν, μὴ δόξητε λέγειν, πατέρα ἔχομεν τὸν Ἀβραάμ», οὐ τοῦτο δείκνυσιν ὅτι οὐκ ἦσαν ἐκ τοῦ Ἀβραὰμ κατὰ φύσιν, ἀλλ' ὅτι οὐδὲν αὐτοὺς ὠφελεῖ τὸ εἶναι ἐκ τοῦ Ἀβραάμ, εἰ μὴ τὴν ἀπὸ τῶν τρόπων συγγένειαν ἔχοιεν· ὃ καὶ ὁ Χριστὸς δηλῶν ἔλεγεν· «Εἰ τέκνα τοῦ Ἀβραὰμ ἦτε, τὰ ἔργα τοῦ*
25 *Ἀβραὰμ ἐποιεῖτε»· οὐ τῆς συγγενείας αὐτοὺς ἀποστερῶν τῆς κατὰ σάρκα, ἀλλὰ παιδεύων τὴν μείζονα ταύτης καὶ κυριωτέραν ἐπιζητεῖν.*

---

4. Λουκᾶ 11, 27.
5. Λουκᾶ 11, 28.
6. Ματθ. 3, 7-9.
7. Ἰω. 8, 39.

ρα μου, ἀλλ' ἀπευθύνεται πρὸς ἐκεῖνον ποὺ ἦλθε καὶ τοῦ εἶπε ὅτι τὸν ζητοῦν, λέγων· «Ποία εἶναι ἡ μητέρα μου;», ἐπιθυμῶν νὰ ἐπιτύχῃ μὲ τοὺς λόγους του αὐτοὺς καὶ κάτι ἄλλο. Ποῖον λοιπὸν εἶναι αὐτό; Τὸ νὰ μὴ παραμελοῦν τὴν ἀρετήν, οὔτε ἐκεῖνοι, οὔτε ἄλλοι, λαμβάνοντες θάρρος ἀπὸ τὴν συγγένειαν. Διότι μία μόνον εἶναι ἡ πραγματικὴ συγγένεια, τὸ νὰ πράττῃ κανεὶς τὸ θέλημα τοῦ Θεοῦ. Αὐτὸς ὁ τρόπος τῆς συγγενείας εἶναι ἀνώτερος καὶ σπουδαιότερος ἀπὸ τὴν κατὰ σάρκα συγγένειαν.

2. Ἀφοῦ λοιπὸν τὰ χαράξωμεν αὐτὰ θαβειὰ εἰς τὸν νοῦν μας, ἂς μὴ ὑπερηφανευώμεθα οὔτε διὰ τὰ παιδιά μας ποὺ προκόπτουν ἐὰν παραλλίλως δὲν εἶναι καὶ ἐνάρετα, οὔτε διὰ τοὺς γενναίους πατέρας μας, ἐὰν δὲν ἔχωμεν νὰ ἐπιδείξωμεν τὴν αὐτὴν διαγωγὴν μὲ ἐκείνους. Διότι εἶναι δυνατὸν καὶ ὁ κατὰ σάρκα γονεὺς νὰ μὴ εἶναι πατέρας, καὶ αὐτὸς ποὺ δὲν ἐγέννησε νὰ εἶναι. Καὶ ἀκριβῶς διὰ τοῦτο, ὅταν κάποια γυναῖκα τοῦ εἶπε, «Μακαρία ἡ κοιλία ποὺ σὲ ἐβάστασε καὶ οἱ μαστοὶ ἀπὸ τοὺς ὁποίους ἐθήλασες»[4], δὲν τῆς εἶπε, Δὲν μὲ ἐβάστασε κοιλία οὔτε ἐθήλασα μαστούς, ἀλλὰ τοῦτο· «Οἱ πραγματικοὶ μακάριοι εἶναι ἐκεῖνοι ποὺ πράττουν τὸ θέλημα τοῦ Πατρός μου»[5]. Βλέπεις ὅτι εἰς καμμίαν περίπτωσιν δὲν ἀρνεῖται τὴν φυσικὴν συγγένειαν, ἀλλὰ προσθέτει καὶ αὐτὴν ποὺ πηγάζει ἀπὸ τὴν ἀρετήν. Ἀλλὰ καὶ ὁ Πρόδρομος ὅταν ἔλεγεν, «Ἀπόγονοι τῶν ἐχιδνῶν, μὴ ἀρέσκεσθε νὰ λέγετε μέσα σας, Πατέρα ἔχομεν τὸν Ἀβραάμ»[6], δὲν ἀποδεικνύουν οἱ λόγοι αὐτοὶ ὅτι δὲν κατήγοντο κατὰ σάρκα ἀπὸ τὸν Ἀβραάμ, ἀλλ' ὅτι εἰς τίποτε δὲν τοὺς ὠφελεῖ τὸ ὅτι κατάγονται ἀπὸ τὸν Ἀβραάμ, ἐὰν δὲν ἔχουν συγγένειαν καὶ ὡς πρὸς τὴν διαγωγὴν ἐκείνου· πρᾶγμα ποὺ καὶ ὁ Χριστὸς διὰ νὰ τὸ δηλώσῃ ἔλεγεν· «Ἐὰν ἤσασθε τέκνα τοῦ Ἀβραάμ, θὰ ἐκάνατε τὰ ἔργα τοῦ Ἀβραάμ»[7]. Αὐτὰ τὰ ἔλεγεν ὄχι διὰ νὰ τοὺς στερήσῃ τὴν σαρκικὴν συγγένειαν, ἀλλὰ διὰ νὰ τοὺς διδάξῃ νὰ ἐπιζητοῦν τὴν συγγένειαν ἐκείνην ποὺ εἶναι μεγαλυτέρα καὶ σπουδαιοτέρα ἀπὸ αὐτήν.

Τοῦτο δὴ καὶ ἐνταῦθα κατασκευάζει, ἀλλ' ἀνεπαχθέστερον καὶ ἐμμελέστερον· καὶ γὰρ πρὸς μητέρα ἦν ὁ λόγος αὐτῷ. Οὐδὲ γὰρ εἶπεν, οὐκ ἔστι μου μήτηρ, οὐδὲ ἀδελφοὶ ἐκεῖνοι, ἐπειδὴ οὐ ποιοῦσι τὸ θέλημά μου· οὐδὲ ἀπεφήνατο 5 καὶ κατεδίκασεν· ἀλλ' ἔτι κυρίους αὐτοὺς ἐποίει τοῦ βούλεσθαι, μετὰ τῆς αὐτῷ πρεπούσης ἐπιεικείας φθεγγόμενος. «Ὁ γὰρ ποιῶν», φησί, «τὸ θέλημα τοῦ Πατρός μου, οὗτός μου ἀδελφὸς καὶ ἀδελφὴ καὶ μήτηρ ἐστίν». Ὥστε εἰ βούλονται εἶναι, ταύτην ἐρχέσθωσαν τὴν ὁδόν. Καὶ ἡνίκα δὲ ἐβόησεν 10 ἡ γυνὴ λέγουσα, «Μακαρία ἡ κοιλία ἡ βαστάσασά σε», οὐκ εἶπεν, οὐκ ἔστι μου μήτηρ· ἀλλ', εἰ βούλεται μακαρία εἶναι, τὸ θέλημα ποιείτω τοῦ Πατρός μου. Ὁ γὰρ τοιοῦτος καὶ ἀδελφὸς καὶ ἀδελφὴ καὶ μήτηρ ἐστί. Βαβαὶ τῆς τιμῆς· βαβαὶ τῆς ἀρετῆς· εἰς ὅσην ἀνάγει κορυφὴν τὸν μετιόντα αὐτήν. 15 Πόσαι γυναῖκες ἐμακάρισαν τὴν ἁγίαν παρθένον ἐκείνην καὶ τὴν νηδύν, καὶ ηὔξαντο τοιαῦται γενέσθαι μητέρες καὶ πάντα προέσθαι. Τί τοίνυν τὸ κωλῦον; Ἰδοὺ γὰρ εὐρεῖαν ἔτεμεν ἡμῖν ὁδὸν καὶ ἔξεστιν οὐ γυναιξὶ μόνον, ἀλλὰ καὶ ἀνδράσιν ἐπὶ τῆς τοιαύτης γενέσθαι τάξεως· μᾶλλον δὲ καὶ 20 ἔτι πολλῷ μείζονος. Τοῦτο γὰρ πολλῷ μᾶλλον μητέρα ποιεῖ ἢ αἱ ὠδῖνες ἐκεῖναι. Ὥστε εἰ μακαριστὸν ἐκεῖνο, πολλῷ μᾶλλον τοῦτο, ὅσῳ καὶ κυριώτερον. Μὴ τοίνυν ἁπλῶς ἐπιθύμει, ἀλλὰ καὶ τὴν ὁδὸν τὴν φέρουσάν σε ἐπὶ τὴν ἐπιθυμίαν βάδιζε μετὰ πολλῆς τῆς σπουδῆς.

25 *Ταῦτα τοίνυν εἰπὼν ἐξῆλθεν ἐκ τῆς οἰκίας. Εἶδες πῶς καὶ ἐπέπληξε καὶ ἐποίησεν ὅπερ ἐπόθουν; Ὃ δὴ καὶ ἐπὶ*

Αὐτὸ λοιπὸν διδάσκει καὶ τώρα, ἀλλὰ κατὰ τρόπον περισσότερον μαλακὸν καὶ καταλληλότερον· καθόσον ὁ λόγος του ἀνεφέρετο πρὸς τὴν μητέρα του. Διότι δὲν εἶπε, «Δὲν εἶναι μητέρα μου, οὔτε ἐκεῖνοι εἶναι ἀδελφοί μου, ἐπειδὴ δὲν πράττουν τὸ θέλημά μου, ἀλλ' οὔτε ἔβγαλε καταδικαστικὴν ἀπόφασιν, ἀλλὰ καὶ πάλιν τοὺς ἄφησεν ἐλευθέρους ν' ἀποφασίσουν μόνοι, ὁμιλῶν μὲ τὴν πρέπουσαν εἰς αὐτὸν ἐπιείκειαν. Διότι, λέγει, «Αὐτὸς ποὺ πράττει τὸ θέλημα τοῦ Πατρός μου, αὐτὸς εἶναι ἀδελφός μου καὶ ἀδελφή μου καὶ μητέρα μου». Ἑπομένως ἐὰν θέλουν νὰ εἶναι πραγματικοὶ ἀδελφοί μου, ἂς ἀκολουθήσουν αὐτὴν τὴν ὁδόν. Καὶ ὅταν πάλιν ἡ γυναῖκα ἀνεφώνησε καὶ εἶπε, «Μακαρία ἡ κοιλία ποὺ σὲ ἐβάστασε», δὲν εἶπε, Δὲν εἶναι μητέρα μου, ἀλλὰ ἐὰν θέλῃ νὰ εἶναι μακαρία, πρέπει νὰ πράττῃ τὸ θέλημα τοῦ Πατρός μου. Διότι ὁ τοιοῦτος ἄνθρωπος εἶναι ἀδελφός μου, ἀδελφή μου καὶ μητέρα μου. Ἀλήθεια, πόσον τοὺς τιμᾷ καὶ πόσον σπουδαῖα εἶναι τὰ ἀποτελέσματα τῆς ἀρετῆς. Εἰς ποῖον ὕψος ἀνεβάζει αὐτὸν ποὺ εἶναι ἐνάρετος. Πόσαι γυναῖκες ἐμακάρισαν τὴν ἁγίαν ἐκείνην Παρθένον καὶ τὴν κοιλίαν καὶ ηὐχήθησαν νὰ γίνουν μητέρες ὡσὰν καὶ αὐτὴν καὶ ἂς τὰ χάσουν ὅλα τὰ ἄλλα. Καὶ ποῖον εἶναι τὸ ἐμπόδιον; Διότι ὁ Κύριος ἐχάραξε πρὸς χάριν μας εὐρεῖαν ὁδὸν καὶ εἶναι δυνατὸν ὄχι μόνον αἱ γυναῖκες, ἀλλὰ καὶ οἱ ἄνδρες νὰ γίνουν παρόμοιοι· μᾶλλον δὲ καὶ ἀκόμη περισσότερον σπουδαιότεροι. Διότι αὐτὸ εἶναι ἐκεῖνο ποὺ σὲ κάνει περισσότερον μητέρα παρὰ οἱ πόνοι τοῦ τοκετοῦ. Ὥστε ἐὰν ὁ τοκετὸς εἶναι ἄξιος μακαρισμοῦ, πολὺ περισσότερον εἶναι ἡ κατ' ἀρετὴν συγγένεια, μάλιστα δὲ καὶ σπουδαιοτέρα. Ἑπομένως δὲν πρέπει ἁπλῶς καὶ μόνον νὰ τὴν ἐπιθυμῇς, ἀλλὰ καὶ νὰ βαδίζῃς μὲ πολλὴν προθυμίαν τὴν ὁδὸν ποὺ σὲ ὁδηγεῖ εἰς τὴν ἐπιθυμίαν αὐτήν.

Ἀφοῦ τὰ εἶπεν αὐτὰ ἐξῆλθεν ἐκ τῆς οἰκίας. Εἶδες μὲ ποῖον τρόπον τοὺς ἐπέπληξε καὶ ἔκανε καὶ ἐκεῖνο ποὺ ἐποθοῦσαν; Πρᾶγμα βέβαια ποὺ ἔκανε καὶ εἰς τὴν περίπτωσιν

τῶν γάμων ποιεῖ. Καὶ γὰρ ἐκεῖ καὶ ἐπετίμησεν ἀκαίρως αἰτούσῃ, καὶ ὅμως οὐκ ἀντεῖπε· τῷ μὲν προτέρῳ διορθούμενος τὴν ἀσθένειαν, τῷ δὲ δευτέρῳ τὴν περὶ τὴν μητέρα εὔνοιαν ἐπιδεικνύμενος. Οὕτω δὴ καὶ ἐνταῦθα τῆς τε κε-
5 *νοδοξίας τὸ νόσημα ἰάσατο, καὶ τὴν πρέπουσαν τιμὴν τῇ μητρὶ ἀπέδωκε, καίτοι καὶ ἄκαιρα αἰτούσῃ.*

«Ἐν γὰρ τῇ ἡμέρᾳ», φησίν, «ἐκείνῃ ἐξελθὼν ὁ Ἰησοῦς ἐκ τῆς οἰκίας, ἐκάθητο παρὰ τὴν θάλασσαν». Εἰ γὰρ βούλεσθε, φησίν, ἰδεῖν καὶ ἀκοῦσαι, ἰδοὺ ἐξέρχομαι καὶ δια-
10 *λέγομαι. Ἐπειδὴ γὰρ σημεῖα πολλὰ ἐποίησε, πάλιν τὴν ἐκ τῆς διδασκαλίας ὠφέλειαν παρέχει. Καὶ κάθηται παρὰ τὴν θάλασσαν, ἁλιεύων καὶ σαγηνεύων τοὺς ἐν τῇ γῇ. Ἐκάθισε παρὰ τὴν θάλασσαν οὐχ ἁπλῶς· καὶ τοῦτο αὐτὸ τέθεικεν αἰνιττόμενος ὁ εὐαγγελιστής. Ἵνα γὰρ δείξῃ, ὅτι βουλόμενος*
15 *μετὰ ἀκριβείας συγκροτῆσαι τὸ θέατρον, τοῦτο πεποίηκε, καὶ ὥστε μηδένα ἀφεῖναι κατὰ νώτου, ἀλλὰ πάντας ἀντιπροσώπους ἔχειν. «Καὶ συνήχθησαν», φησί, «πρὸς αὐτὸν ὄχλοι πολλοί, ὥστε αὐτὸν εἰς τὸ πλοῖον ἐμβάντα καθῆσθαι· καὶ πᾶς ὁ ὄχλος ἐπὶ τὸν αἰγιαλὸν εἱστήκει». Καθίσας δὲ ἐκεῖ, διὰ*
20 *παραβολῶν φθέγγεται. «Καὶ ἐλάλησεν αὐτοῖς», φησί, «πολλὰ ἐν παραβολαῖς». Καίτοιγε ἐπὶ τοῦ ὄρους οὐχ οὕτως ἐποίησεν, οὐδὲ διὰ παραβολῶν τοσούτων τὸν λόγον ὕφηνεν· τότε γὰρ ὄχλοι μόνον ἦσαν καὶ δῆμος ἄπλαστος· ἐνταθα δὲ καὶ γραμματεῖς καὶ Φαρισαῖοι.*

25 *Σὺ δέ μοι σκόπει ποίαν προτέραν λέγει παραβολὴν καὶ πῶς κατὰ ἀκολουθίαν αὐτὰς τίθησιν ὁ Ματθαῖος. Ποίαν*

---

8. Πρβλ. Ἰω. 2, 3 ἑ.

τοῦ γάμου[8]. Καθόσον ἐκεῖ καὶ τὴν ἐπετίμησεν, ἐπειδὴ ἐζήτησε κάτι πρὶν ἀπὸ τὴν ὥραν του, ἀλλὰ καὶ δὲν τῆς ἠρνήθη τὸ ζητηθέν. Μὲ τὴν πρώτην ἐνέργειάν του σκοπὸν εἶχε νὰ τὴν ἀπαλλάξῃ ἀπὸ τὴν ἀδυναμίαν της, ἐνῷ μὲ τὴν δευτέραν κατέστησε φανερὰν τὴν ἀγάπην του πρὸς τὴν μητέρα του. Ἔτσι λοιπὸν καὶ εἰς τὴν περίπτωσιν αὐτήν· καὶ ἐθεράπευσε τὸ πάθος τῆς κενοδοξίας καὶ ἀπέδωσε τὴν πρέπουσαν τιμὴν εἰς τὴν μητέρα του, ἂν καὶ ἐζητοῦσε πράγματα ποὺ δὲν ἦσαν ἐκείνης τῆς ὥρας.

Καὶ συνεχίζει ὁ Εὐαγγελιστής· «Κατὰ τὴν ἡμέραν ἐκείνην ἀφοῦ ἐξῆλθεν ὁ Ἰησοῦς ἐκ τῆς οἰκίας, ἐκάθητο κοντὰ εἰς τὴν θάλασσαν». Ἐὰν θέλετε λοιπόν, λέγει, νὰ μὲ ἰδῆτε καὶ ν' ἀκούσετε τοὺς λόγους μου, ὁρίστε, ἔρχομαι ἔξω καὶ συζητῶ μαζί σας. Ἐπειδὴ δηλαδὴ ἔκανε πολλὰ θαύματα, εἰς τὴν συνέχειαν τοὺς παρέχει τὴν ὠφέλειαν τῆς διδασκαλίας του. Καὶ κάθεται κοντὰ εἰς τὴν θάλασσαν ἁλιεύων καὶ ἑλκύων πλησίον του τοὺς κατοικοῦντας εἰς τὴν γῆν. Δὲν ἐκάθησε δὲ τυχαῖα κοντὰ εἰς τὴν θάλασσαν, πρᾶγμα ποὺ καὶ αὐτὸ τὸ ὑπηνίχθη ὁ Εὐαγγελιστής. Διότι διὰ νὰ δείξῃ ὅτι ἤθελε μὲ ἀκρίβειαν νὰ τακτοποιήσῃ τοὺς ἀκροατάς του ὁ Κύριος, προέβη εἰς αὐτὴν τὴν ἐνέργειάν του, διὰ νὰ μὴ ἔχῃ κανένα ὄπισθέν του, ἀλλ' ὅλοι νὰ εὑρίσκωνται ἀπέναντί του. «Καὶ συνεκεντρώθησαν», λέγει, «πλησίον του πολλὰ πλήθη λαοῦ, ὥστε ν' ἀναγκασθῇ ν' ἀνεβῇ καὶ νὰ καθήσῃ εἰς τὸ πλοῖον· ὅλον δὲ τὸ πλῆθος τοῦ λαοῦ ἐστέκετο εἰς τὴν παραλίαν». Ἀφοῦ δὲ ἐκάθησεν ἐκεῖ ἤρχισε νὰ τοὺς διδάσκῃ μὲ παραβολάς. «Καί τοὺς εἶπε», λέγει, «πολλὰ ἐν παραβολαῖς». Καὶ εἶναι ἀλήθεια ὅτι δὲν ἔκανε τὸ ἴδιο κατὰ τὴν ἐπὶ τοῦ ὄρους ὁμιλίαν του, οὔτε ἔπλεξε τὸν λόγον του μὲ τόσας πολλὰς παραβολάς, ἐπειδὴ τότε τὸ ἀκροατήριόν του ἦτο λαὸς ἁπλοϊκὸς καὶ πλῆθος ἀδιάπλαστον, ἐνῷ ἐδῶ εὑρίσκοντο οἱ γραμματεῖς καὶ οἱ Φαρισαῖοι.

Σὺ ὅμως σὲ παρακαλῶ πρόσεξε ποίαν παραβολὴν λέγει κατ' ἀρχὴν καὶ πῶς ὁ Ματθαῖος τὰς παραθέτει τὴν μίαν κατό-

οὖν πρώτην λέγει; Ἣν μάλιστα πρώτην ἐχρῆν εἰπεῖν, τὴν ποιοῦσαν τὸν ἀκροατὴν προσεκτικώτερον. Ἐπειδὴ γὰρ αἰνιγματωδῶς ἔμελλε διαλέγεσθαι, διανίστησι τὴν διάνοιαν τῶν ἀκουόντων πρῶτον διὰ τῆς παραβολῆς. Διὰ τοῦτο καὶ ἕτερος 5 *εὐαγγελιστής φησιν, ὅτι ἐπετίμησεν αὐτοῖς, ὅτι οὐ νοοῦσι, λέγων· «Πῶς οὐκ ἔγνωτε τὴν παραβολήν;». Οὐ διὰ τοῦτο δὲ μόνον ἐν παραβολαῖς φθέγγεται, ἀλλ' ἵνα καὶ ἐμφαντικώτερον τὸν λόγον ποιήσῃ καὶ πλείονα τὴν μνήμην ἐνθῇ καὶ ὑπ' ὄψιν ἀγάγῃ τὰ πράγματα. Οὕτω καὶ οἱ προφῆται* 10 *ποιοῦσι.*

3. Τίς οὖν ἐστιν ἡ παραβολή; «Ἰδοὺ ἐξῆλθεν ὁ σπείρων τοῦ σπείρειν», φησί. Πόθεν ἐξῆλθεν ὁ πανταχοῦ παρών, ὁ πάντα πληρῶν; ἢ πῶς ἐξῆλθεν; Οὐ τόπῳ, ἀλλὰ σχέσει καὶ οἰκονομίᾳ τῇ πρὸς ἡμᾶς, ἐγγύτερος ἡμῖν γενόμενος διὰ τῆς 15 *κατὰ σάρκα περιβολῆς. Ἐπειδὴ γὰρ ἡμεῖς εἰσελθεῖν οὐκ ἐδυνάμεθα, τῶν ἁμαρτημάτων διατειχιζόντων ἡμῖν τὴν εἴσοδον, αὐτὸς ἐξέρχεται πρὸς ἡμᾶς. Καὶ τί ἐξῆλθεν; ἀπολέσαι τὴν γῆν ἀκανθῶν γέμουσαν; τιμωρήσασθαι τοὺς γεωργούς; Οὐδαμῶς· ἀλλὰ γεωργῆσαι καὶ ἐπιμελήσασθαι καὶ* 20 *σπεῖραι τῆς εὐσεβείας τὸν λόγον. Σπόρον γὰρ ἐνταῦθα τὴν διδασκαλίαν φησίν, ἄρουραν δέ, τῶν ἀνθρώπων τὰς ψυχάς· σπορέα δέ, ἑαυτόν.*

Τί τοίνυν γίνεται ἀπὸ τοῦ σπέρματος τούτου; Τρία ἀπόλλυται μέρη καὶ σῴζεται τὸ ἕν. «Καὶ ἐν τῷ σπείρειν αὐ- 25 *τόν, ἃ μὲν ἔπεσε», φησί, «παρὰ τὴν ὁδόν, καὶ ἦλθε τὰ πετεινὰ καὶ κατέφαγεν αὐτά». Οὐκ εἶπεν, ὅτι αὐτὸς ἔρριψεν, ἀλλ' ὅτι ἔπεσεν. «Ἃ δὲ ἐπὶ τὴν πέτραν, ὅπου οὐκ εἶχε γῆν πολ-*

---

9. Μάρκ. 4, 13.

πιν τῆς ἄλλης. Ποίαν λοιπὸν λέγει πρώτην; Ἐκείνην ποὺ ἔπρεπεν ὁπωσδήποτε νὰ παρουσιάσῃ ὡς πρώτην, ἡ ὁποία κάνει τὸν ἀκροατὴν προσεκτικώτερον. Ἐπειδὴ δηλαδὴ ἐπρόκειτο νὰ τοὺς ὁμιλήσῃ κατὰ τρόπον αἰνιγματικόν, διεγείρει ἀρχικῶς τὴν διάνοιαν τῶν ἀκροατῶν μὲ τὴν παραβολήν. Διὰ τοῦτο καὶ ἄλλος εὐαγγελιστὴς λέγει ὅτι τοὺς ἐπετίμησεν ἐπειδὴ δὲν κατανοοῦσαν τοὺς λόγους του, λέγων· «Πῶς δὲν ἀντελήφθητε τὸ νόημα τῆς παραβολῆς;»[9]. Καὶ δὲν τοὺς ὡμίλει παραβολικῶς δι' αὐτὸν καὶ μόνον τὸν λόγον, ἀλλὰ καὶ διὰ νὰ κάνῃ παραστατικώτερον τὸν λόγον, διὰ νὰ χαραχθῇ βαθύτερα εἰς τὴν μνήμην των καὶ διὰ νὰ θέσῃ ὑπ' ὄψιν των τὰ πράγματα. Κατὰ τὸν ἴδιον δὲ τρόπον ἐνεργοῦσαν καὶ οἱ προφῆται.

3. Ποία λοιπὸν εἶναι ἡ παραβολή; «Ἐξῆλθε», τοὺς λέγει, «ὁ σπορεὺς διὰ νὰ σπείρῃ». Ἀπὸ ποῦ ἐξῆλθεν αὐτὸς ποὺ εἶναι πανταχοῦ παρών, αὐτὸς ποὺ τὰ πάντα πληροῖ; ἢ πῶς ἐξῆλθε; Δὲν ἐξῆλθε φυσικὰ τοπικῶς, ἀλλ' ἐν σχέσει καὶ κατὰ τὸ σχέδιον τῆς οἰκονομίας του δι' ἡμᾶς, μὲ τὸ ὅτι ἦλθε περισσότερον κοντά μας, περιβληθεὶς τὴν ἀνθρωπίνην σάρκα. Διότι, ἐπειδὴ ἡμεῖς δὲν ἠμπορούσαμεν νὰ εἰσέλθωμεν, λόγῳ τοῦ ὅτι τὰ ἁμαρτήματά μας ἔφρασαν ὡσὰν τεῖχος τὴν εἴσοδον, αὐτὸς ὁ ἴδιος ἐξέρχεται πρὸς ἡμᾶς. Καὶ πρὸς ποῖον σκοπὸν ἐξῆλθε; μήπως διὰ νὰ καταστρέψῃ τὴν γῆν ποὺ ἦτο γεμάτη ἀπὸ ἀκάνθας; μήπως διὰ νὰ τιμωρήσῃ τοὺς γεωργούς; Ἀσφαλῶς ὄχι, ἀλλ' ἐξῆλθε διὰ νὰ καλλιεργήσῃ καὶ διὰ νὰ φροντίσῃ τὰς ψυχάς μας καὶ νὰ σπείρῃ ἐντὸς αὐτῶν τὸν λόγον τῆς εὐσεβείας. Διότι σπόρον ἐδῶ ὀνομάζει τὴν διδασκαλίαν, γῆν δὲ τὰς ψυχὰς τῶν ἀνθρώπων καὶ σπορέα τὸν ἑαυτόν του.

Καὶ τί συμβαίνει λοιπὸν μὲ τὸν σπόρον αὐτόν; Τρία μέρη καταστρέφονται καὶ σώζεται μόνον τὸ ἕνα. «Καὶ καθὼς αὐτὸς ἔσπερνεν, ἄλλα μὲν σπέρματα», λέγει, «ἔπεσαν ἐπάνω εἰς τὸν δρόμον καὶ ἦλθαν τὰ πετεινὰ καὶ τὰ κατέφαγαν». Δὲν εἶπεν ὅτι αὐτὸς τὰ ἔρριψεν, ἀλλ' ὅτι ἔπεσαν. «Ἄλλα

λήν· καὶ εὐθέως ἐξανέτειλε, διὰ τὸ μὴ ἔχειν βάθος γῆς· ἡλίου δὲ ἀνατείλαντος, ἐκαυματίσθη, καὶ διὰ τὸ μὴ ἔχειν ῥίζαν, ἐξηράνθη. Ἃ δὲ ἐπὶ τὰς ἀκάνθας· καὶ ἀνέβησαν αἱ ἄκανθαι καὶ ἀπέπνιξαν αὐτά. Ἃ δὲ ἐπὶ τὴν γῆν τὴν καλήν·
5 *καὶ ἐδίδου καρπόν, ὃ μὲν ἑκατόν, ὃ δὲ ἑξήκοντα, ὃ δὲ τριάκοντα. Ὁ ἔχων ὦτα ἀκούειν, ἀκουέτω».*

Τέταρτον μέρος ἐσώθη· καὶ οὐδὲ τοῦτο ἐξίσης, ἀλλὰ καὶ ἐνταῦθα πολλὴ ἡ διαφορά. Ταῦτα δὲ ἔλεγε, δηλῶν ὅτι μετὰ ἀφθονίας ἅπασι διελέγετο. Καθάπερ γὰρ ὁ σπείρων οὐ
10 *διαιρεῖ τὴν ὑποκειμένην ἄρουραν, ἀλλ' ἁπλῶς καὶ ἀδιακρίτως βάλλει τὰ σπέρματα, οὕτω καὶ αὐτὸς οὐ πλούσιον, οὐ πένητα διαιρεῖ, οὐ σοφόν, οὐκ ἄσοφον, οὐ ῥᾴθυμον, οὐ σπουδαῖον, οὐκ ἀνδρεῖον, οὐ δειλόν, ἀλλὰ πᾶσι διελέγετο, τὰ παρ' ἑαυτοῦ πληρῶν, καίτοι προειδὼς τὰ ἐσόμενα· ἵνα ἐξῇ*
15 *αὐτῷ λέγειν· «Τί με ἔδει ποιῆσαι καὶ οὐκ ἐποίησα;». Καὶ οἱ μὲν προφῆται ὡς περὶ ἀμπέλου διαλέγονται τοῦ δήμου· «Ἀμπελὼν γὰρ ἐγεννήθη», φησί, «τῷ ἠγαπημένῳ»· καί, «Ἄμπελον ἐξ Αἰγύπτου μετῆρεν»· αὐτὸς δὲ ὡς περὶ σπόρου. Τί δήποτε δηλῶν; Ὅτι ταχεῖα ἔσται νῦν ἡ ὑπακοὴ καὶ εὐ-*
20 *κολωτέρα καὶ εὐθέως τὸν καρπὸν δώσει Ὅταν δὲ ἀκούσῃς, ὅτι «Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι», μὴ ταυτολογίαν εἶναι νόμιζε. Ἐξέρχεται γὰρ ὁ σπείρων πολλάκις καὶ ἐφ' ἕτερον πρᾶγμα ἢ ὥστε νεῶσαι ἢ ὥστε τὰς πονηρὰς ἐκτεμεῖν βοτάνας ἢ ὥστε ἀκάνθας ἀνασπάσαι ἢ ἄλλο τι ἐπιμελήσασθαι τοι-*
25 *οῦτον· αὐτὸς δὲ ἐπὶ τὸ σπεῖραι ἐξῆλθε.*

Πόθεν οὖν, εἰπέ μοι, τὸ πλέον ἀπώλετο τοῦ σπόρου;

---

10. Ἠσ. 5, 4.
11. Ἠσ. 5, 1.
12. Ψαλμ. 79, 9.

πάλιν σπέρματα ἔπεσαν ἐπάνω εἰς πετρῶδες ἔδαφος, ὅπου δὲν ὑπῆρχε πολὺ χῶμα, καὶ ἐφύτρωσαν ἀμέσως πρὶν ριζωθοῦν καλά, διότι ἡ γῆ δὲν εἶχε βάθος. Μόλις δὲ ἀνέτειλεν ὁ ἥλιος, ἐκάησαν, καὶ ἐπειδὴ δὲν εἶχαν ρίζαν, ἐξηράνθησαν. Ἄλλα πάλιν σπέρματα ἔπεσαν ἀνάμεσα εἰς τὰς ἀκάνθας, καὶ ἐμεγάλωσαν τὰ ἀγκάθια καὶ τὰ ἔπνιξαν τελείως. Ἄλλα δὲ σπέρματα ἔπεσαν εἰς εὔφορον ἔδαφος καὶ ἀπέδωσαν καρπόν, ἄλλο μὲν ἑκατονταπλάσιον, ἄλλο δὲ ἑξηκονταπλάσιον καὶ ἄλλο τριακονταπλάσιον. Αὐτὸς ποὺ ἔχει αὐτιὰ διὰ νὰ ἀκούῃ, ἂς ἀκούῃ».

Ἀπὸ τὸν σπόρον ἐσώθη τὸ ἕνα τέταρτον, ἀλλ' οὔτε καὶ αὐτὸ ἐξ ἴσου, ἀλλὰ καὶ ἐδῶ ἦτο μεγάλη ἡ διαφορά. Αὐτὰ δὲ τὰ ἔλεγε διὰ νὰ δείξῃ ὅτι πρὸς ὅλους ὡμιλοῦσε μὲ ἀφθονίαν. Διότι ὅπως ἀκριβῶς ὁ σπορεὺς δὲν διαιρεῖ εἰς τεμάχια τὸ χωράφι ποὺ ἔχει διὰ σποράν, ἀλλὰ ἁπλῶς καὶ χωρὶς καμμίαν διάκρισιν ρίπτει τὸν σπόρον, ἔτσι καὶ αὐτὸς δὲν διακρίνει πλούσιον καὶ πτωχόν, τὸν σοφὸν ἀπὸ τὸν ἄσοφον, τὸν ὀκνηρὸν ἀπὸ τὸν φιλόπονον, τὸν ἀνδρεῖον ἀπὸ τὸν δειλόν, ἀλλὰ ὡμίλει πρὸς ὅλους, καὶ ἔκανεν ὅ,τι ἔπρεπε νὰ κάνῃ ἀπὸ μέρους του, μολονότι ἐγνώριζεν ἐκ τῶν προτέρων αὐτὰ ποὺ θὰ συνέβαιναν, ὥστε νὰ ἠμπορῇ νὰ λέγῃ· «Τί ἔπρεπε νὰ κάνω καὶ δὲν τὸ ἔκανα;»[10]. Καὶ οἱ μὲν προφῆται ὡμίλουν περὶ τοῦ λαοῦ ὡσὰν νὰ ἐπρόκειτο δι' ἄμπελον. Διότι λέγει· «Ἐφυτεύθη ἄμπελος διὰ τὸν ἠγαπημένον μου»[11], καί· «Ἄμπελον μετέφερεν ἀπὸ τὴν Αἴγυπτον»[12]. Ὁ Κύριος ὅμως ὡσὰν νὰ ἐπρόκειτο διὰ σπόρον. Καὶ τί θέλει λοιπὸν νὰ δείξῃ; Ὅτι τώρα θὰ εἶναι ταχεῖα ἡ ὑπακοὴ καὶ εὐκολωτέρα καὶ γρήγορα θὰ παράγῃ καρπόν. Ἐπίσης ὅταν ἀκούῃς ὅτι· «Ἐξῆλθεν ὁ σπορεὺς διὰ νὰ σπείρῃ», μὴ ἐκλαμβάνῃς τοῦτο κατὰ κυριολεξίαν. Διότι πολλάκις ἐξέρχεται ὁ σπορεὺς καὶ δι' ἄλλον σκοπόν· ἢ διὰ νὰ ὀργώσῃ ἢ διὰ νὰ κόψῃ τὰ βλαβερὰ χόρτα ἢ διὰ νὰ ξερριζώσῃ τὰς ἀκάνθας ἢ διὰ νὰ φροντίσῃ διὰ κάτι ἄλλο παρόμοιον. Αὐτὸς ὅμως ἐξῆλθε διὰ νὰ σπείρῃ.

Ἀλλὰ εἰπέ μου, σὲ παρακαλῶ, ποία ἡ αἰτία τῆς ἀπωλείας

Οὐ παρὰ τὸν σπείροντα, ἀλλὰ παρὰ τὴν ὑποδεχομένην γῆν· τουτέστι, παρὰ τὴν μὴ ἀκούσασαν ψυχήν. Καὶ τίνος ἕνεκεν οὐ λέγει, ὅτι τὰ μὲν ἐδέξαντο οἱ ῥᾴθυμοι καὶ ἀπώλεσαν· τὰ δὲ οἱ πλούσιοι καὶ ἀπέπνιξαν· τὰ δὲ οἱ χαῦνοι καὶ προὔ-
5 *δωκαν; Οὐ βούλεται αὐτῶν σφόδρα καθικέσθαι, ὥστε μὴ εἰς ἀπόγνωσιν ἐμβαλεῖν, ἀλλὰ καταλιμπάνει τῷ συνειδότι τῶν ἀκουόντων τὸν ἔλεγχον. Οὐχ ὁ σπόρος δὲ τοῦτο ἔπαθε μόνον, ἀλλὰ καὶ ἡ σαγήνη. Πολλὰ γὰρ καὶ ἐκείνη ἤνεγκεν ἄχρηστα. Ταύτην δὲ λέγει τὴν παραβολήν, τοὺς μαθητὰς*
10 *ἀλείφων καὶ παιδεύων, κἂν πλείους τῶν δεχομένων τὸν λόγον ὦσιν οἱ ἀπολλύμενοι, μὴ καταπίπτειν. Καὶ γὰρ ἐπὶ τοῦ δεσπότου τοῦτο γέγονε· καὶ ὁ πάντως προειδώς, ὅτι ταῦτα ἔσται, οὐκ ἀπέστη τοῦ σπείρειν.*

Καὶ πῶς ἂν ἔχοι λόγον, φησίν, ἐπὶ τὰς ἀκάνθας σπεί-
15 *ρειν, ἐπὶ τὴν πέτραν, ἐπὶ τὴν ὁδόν; Ἐπὶ μὲν τῶν σπερμάτων καὶ τῆς γῆς, οὐκ ἂν ἔχοι λόγον, ἐπὶ δὲ τῶν ψυχῶν καὶ τῶν διδαγμάτων καὶ πολὺν ἔχει τοῦτο τὸν ἔπαινον. Ὁ μὲν γὰρ γεωργὸς εἰκότως ἂν ἐγκαλοῖτο τοῦτο ποιῶν· οὐ γὰρ ἔνι τὴν πέτραν γενέσθαι γῆν, οὐδὲ τὴν ὁδὸν μὴ εἶναι ὁδόν,*
20 *οὐδὲ τὰς ἀκάνθας μὴ εἶναι ἀκάνθας, ἐπὶ δὲ τῶν λογικῶν οὐχ οὕτω. Δυνατὸν γὰρ τὴν πέτραν μεταβληθῆναι καὶ γενέσθαι γῆν λιπαράν· καὶ τὴν ὁδὸν μηκέτι καταπατεῖσθαι, μηδὲ προκεῖσθαι τοῖς παριοῦσιν ἅπασιν, ἀλλ' εἶναι ἄρουραν πίονα· καὶ τὰς ἀκάνθας ἀφανισθῆναι καὶ πολλῆς ἀπολαύειν*
25 *ἀδείας τὰ σπέρματα. Εἰ γὰρ μὴ ἐξῆν, οὐκ ἂν ἔσπειρεν οὗτος.*

τοῦ περισσοτέρου σπόρου; Ἀσφαλῶς αἰτία τῆς ἀπωλείας δὲν ἦτο ὁ σπορεύς, ἀλλὰ ἡ γῆ ποὺ ἐδέχθη τὸν σπόρον, ἐξ αἰτίας δηλαδὴ τῆς ψυχῆς ποὺ δὲν ὑπήκουσεν εἰς αὐτόν. Καὶ διὰ ποῖον λόγον δὲν λέγει, ὅτι ἄλλα μὲν σπέρματα τὰ ἐδέχθησαν οἱ ὀκνηροὶ καὶ τὰ κατέστρεψαν, ἄλλα δὲ οἱ πλούσιοι καὶ τὰ κατέπνιξαν, καὶ ἄλλα οἱ ἀδιάφοροι καὶ τὰ ἄφησαν ν' ἀχρηστευθοῦν; Δὲν θέλει νὰ τοὺς θίξῃ ἀπ' εὐθείας κατὰ τρόπον σκληρόν, διὰ νὰ μὴ τοὺς ὁδηγήσῃ εἰς ἀπόγνωσιν, ἀλλ' ἀφήνει τὸν ἔλεγχον εἰς τὴν συνείδησιν τῶν ἀκροατῶν του. Αὐτὸ ὅμως δὲν συνέβη μόνον εἰς τὸν σπόρον, ἀλλὰ καὶ εἰς τὸ δίκτυον. Διότι καὶ αὐτὸ ἀνέσυρεν ἐπάνω πολλὰ ἄχρηστα πράγματα. Αὐτὴν ὅμως τὴν παραβολὴν τὴν λέγει διὰ νὰ προγυμνάσῃ καὶ διὰ νὰ διδάξῃ τοὺς μαθητάς του νὰ μὴ χάνουν τὸ θάρρος των καὶ ὅταν ἀκόμη χάνωνται οἱ περισσότεροι ἀπὸ ἐκείνους ποὺ θὰ ἀκούουν τὸ κήρυγμά των. Καθόσον καὶ εἰς τὴν περίπτωσιν τοῦ Κυρίου συνέβη τὸ ἴδιο. Καὶ αὐτὸς ποὺ ὁπωσδήποτε προεγνώριζεν ὅτι θὰ συμβοῦν αὐτά, δὲν ἀπέφυγε τὸ ἔργον τῆς σπορᾶς.

Καὶ πῶς ἠμπορεῖ νὰ δικαιολογηθῇ, θὰ εἰπῇ κάποιος, τὸ ὅτι ἔσπειρεν ἐπάνω εἰς τὰς ἀκάνθας, εἰς τὸ πετρῶδες ἔδαφος, ἐπάνω εἰς τὴν ὁδόν; Σχετικῶς μὲ τοὺς σπόρους καὶ τὴν γῆν δὲν δικαιολογεῖται τὸ πρᾶγμα, σχετικῶς ὅμως μὲ τὰς ψυχὰς καὶ τὰ διδάγματα τῆς ἀληθείας ὄχι μόνον δικαιολογεῖται, ἀλλ' εἶναι καὶ ἄξιον μεγάλου ἐπαίνου. Διότι ὁ μὲν γεωργὸς κατὰ πολὺν φυσικὸν λόγον θὰ κατηγορεῖτο ἐὰν ἔκανε παρομοίαν σποράν· διότι δὲν ἠμποροῦσεν ἡ πέτρα νὰ γίνῃ χῶμα, οὔτε ἡ ὁδὸς νὰ μὴ εἶναι ὁδός, οὔτε οἱ ἄκανθοι νὰ μὴ εἶναι ἄκανθοι· δὲν συμβαίνει ὅμως τὸ ἴδιο καὶ εἰς τὰ λογικὰ ὄντα. Διότι εἶναι δυνατὸν ἡ πετρώδης ψυχὴ νὰ μεταβληθῇ καὶ νὰ γίνῃ εὔφορος γῆ, καὶ ἡ ὁδὸς νὰ μὴ καταπατῆται πλέον, οὔτε νὰ εὑρίσκεται εἰς τὴν διάθεσιν ὅλων τῶν διερχομένων, ἀλλὰ νὰ γίνῃ χωράφι εὔφορον. Ἐπίσης καὶ οἱ ἄκανθοι εἶναι δυνατὸν νὰ ἐξαφανισθοῦν καὶ νὰ τύχουν μεγάλης ἀσφαλείας τὰ σπέρματα τῆς ἀληθείας. Διότι ἐὰν δὲν ἦτο δυνατὸν νὰ συμβῇ αὐτό,

Εἰ δὲ μὴ ἐγένετο ἐπὶ πάντων ἡ μεταβολή, οὐ παρὰ τὸν σπείραντα, ἀλλὰ παρὰ τοὺς μὴ βουλομένους μεταβληθῆναι. Αὐτὸς μὲν γὰρ τὸ αὐτοῦ πεποίηκεν· εἰ δὲ ἐκεῖνοι τὰ παρ' αὐτοῦ προὔδωκαν, ἀνεύθυνος αὐτὸς ὁ τοσαύτην φιλανθρω-
5 *πίαν ἐπιδειξάμενος.*

Σὺ δέ μοι ἐκεῖνο σκόπει, ὅτι οὐ μία τῆς ἀπωλείας ἡ ὁδός, ἀλλὰ διάφοροι καὶ ἀλλήλων διεστηκυῖαι. Οἱ μὲν γὰρ τῇ ὁδῷ ἐοικότες εἰσίν, οἱ βάναυσοι καὶ ῥάθυμοι καὶ ὀλίγωροι· οἱ δὲ ἐν τῇ πέτρᾳ, οἱ ἀσθενέστεροι μόνον. «Ὁ γὰρ ἐπὶ
10 *τὰ πετρώδη σπαρείς», φησίν, «οὗτός ἐστιν ὁ τὸν λόγον ἀκούων καὶ εὐθὺς μετὰ χαρᾶς λαμβάνων αὐτόν· οὐκ ἔχει δὲ ῥίζαν ἐν ἑαυτῷ, ἀλλὰ πρόσκαιρός ἐστι· γενομένης δὲ θλίψεως ἢ διωγμοῦ διὰ τὸν λόγον, εὐθέως ἐσκανδαλίσθη». «Παντός», φησίν, «ἀκούοντος τὸν λόγον τῆς ἀληθείας καὶ μὴ*
15 *συνιέντος, ἔρχεται ὁ πονηρὸς καὶ ἁρπάζει τὸ ἐσπαρμένον ἐκ τῆς καρδίας αὐτοῦ. Οὗτός ἐστιν ὁ παρὰ τὴν ὁδὸν σπαρείς». Οὐκ ἔστι δὲ ἴσον, μηδενὸς ἐπηρεάζοντος, μηδὲ ἀναμοχλεύοντος, τὴν διδασκαλίαν μαρανθῆναι, καὶ πειρασμῶν ἐπικειμένων. Οἱ δὲ ταῖς ἀκάνθαις προσεοικότες, πολλῷ τού-*
20 *των ἀσυγγνωστότεροι.*

4. Ἵν' οὖν μή τι τούτων πάθωμεν, ἐπικαλύψωμεν τῇ προθυμίᾳ τὰ λεγόμενα καὶ τῇ διηνεκεῖ μνήμῃ. Εἰ γὰρ καὶ ἁρπάζει ὁ διάβολος, ἀλλ' ἡμεῖς κύριοι τοῦ μὴ ἁρπαγῆναι· εἰ καὶ ξηραίνεται τὰ σπέρματα, οὐ παρὰ τὸν καύσωνα τοῦτο
25 *γίνεται· (οὐ γὰρ εἶπεν, ὅτι διὰ τὸν καύσωνα ἐξηράνθη, ἀλλὰ διὰ τὸ μὴ ἔχειν ῥίζαν)· εἰ καὶ ἀποπνίγεται τὰ λεγόμενα,*

---

13. Ματθ. 13, 20-21.
14. Ματθ. 13, 19.

δὲν θὰ ἔσπερνεν ὁ Κύριος. Ἐὰν δὲ δὲν ἔγινεν ἡ μεταβολὴ εἰς ὅλους τοὺς ἀνθρώπους, τοῦτο δὲν ὀφείλεται εἰς τὸν σπορέα, ἀλλὰ εἰς ἐκείνους ποὺ δὲν ἠθέλησαν νὰ μεταβληθοῦν. Διότι αὐτὸς ὅ,τι ἔπρεπεν ἀπὸ μέρους του νὰ κάνῃ τὸ ἔκανεν· ἐὰν ὅμως ἐκεῖνοι ἀπέρριψαν τὴν προσφοράν του, εἶναι ἀνεύθυνος ὁ ἴδιος ποὺ τόσην φιλανθρωπίαν ἐπέδειξεν.

Ἀλλὰ σύ, σὲ παρακαλῶ, πρόσεξε τὸ ἑξῆς· ὅτι δηλαδὴ δὲν εἶναι μία ἡ ὁδὸς τῆς ἀπωλείας, ἀλλ' εἶναι διάφοροι καὶ ἀντίθετοι μεταξύ των. Διότι ἐκεῖνοι μὲν ποὺ παρομοιάζονται μὲ ὁδὸν εἶναι οἱ βάναυσοι, οἱ ράθυμοι καὶ οἱ ἀδιάφοροι, ἐνῷ ἐκεῖνοι ποὺ παρομοιάζονται μὲ πέτραν εἶναι αὐτοὶ μόνον ποὺ εἶναι ἀσθενέστεροι εἰς τὴν πίστιν. Διότι, λέγει, «Ὁ σπόρος ποὺ ἔπεσεν εἰς τὸ πετρῶδες ἔδαφος, αὐτὸς εἶναι ὁ ἄνθρωπος ἐκεῖνος ποὺ ἀκούει τὸν λόγον τῆς ἀληθείας καὶ ἀμέσως τὸν δέχεται μετὰ χαρᾶς. Δὲν ριζώνει ὅμως μέσα του, ἀλλ' εἶναι πρόσκαιρος ὁ ἐνθουσιασμὸς ποὺ ἔδειξε· μόλις ὅμως συμβῇ θλῖψις ἢ διωγμὸς ἐξ αἰτίας τοῦ λόγου ποὺ ἐδέχθη, ἀμέσως σκανδαλίζεται»[13]. «Ἀπὸ τὸν καθένα», λέγει, «ποὺ ἀκούει τὸν λόγον τῆς ἀληθείας καὶ δὲν τὸν συνειδητοποιεῖ, ἔρχεται ὁ πονηρὸς καὶ ἁρπάζει ἀπὸ τὴν καρδίαν του αὐτὸ ποὺ ἐσπάρη. Αὐτὸς εἶναι ὁ σπόρος ποὺ ἔπεσεν ἐπάνω εἰς τὴν ὁδόν»[14]. Δὲν εἶναι δηλαδὴ τὸ ἴδιο νὰ μαραθῇ ἡ διδασκαλία χωρὶς κανεὶς νὰ τὴν ἐνοχλῇ καὶ χωρὶς νὰ τὴν ἀνατρέπῃ, καὶ νὰ βάλλεται ἀπὸ πολλοὺς πειρασμούς. Ἐκεῖνοι δὲ ποὺ παρομοιάζονται μὲ τὰς ἀκάνθας, εἶναι πολὺ περισσότερον ἀσυγχώρητοι ἀπὸ τοὺς προηγουμένους.

4. Διὰ νὰ μὴ πάθωμεν λοιπὸν κάτι ἀπὸ ὅλα αὐτά, ἂς τὰ προστατεύσωμεν τὰ λεχθέντα μὲ τὴν προθυμίαν μας καὶ μὲ τὸ νὰ τὰ φέρωμεν διαρκῶς εἰς τὴν μνήμην μας. Διότι καὶ ἂν τὰ ἁρπάζῃ ὁ διάβολος, παρὰ ταῦτα ἡμεῖς ἔχομεν τὴν δύναμιν νὰ μὴ τὸν ἀφήσωμεν νὰ τὰ ἁρπάξῃ. Καὶ ἂν τὰ σπέρματα ξηραίνωνται, δὲν συμβαίνει αὐτὸ ἐξ αἰτίας τοῦ καύσωνος· (διότι δὲν εἶπεν, ὅτι ἐξηράνθη ἐξ αἰτίας τοῦ καύσωνος, ἀλλὰ ἐπειδὴ δὲν εἶχε ρίζαν). Ἀλλὰ καὶ ἂν ἀποπνί-

οὐ παρὰ τὰς ἀκάνθας, ἀλλὰ παρὰ τοὺς συγχωροῦντας ἀναβῆναι ταύτας. Ἔνεστι γάρ, ἐὰν θέλῃς, κωλῦσαι τὴν πονηρὰν ταύτην βλάστην καὶ τῷ πλούτῳ εἰς δέον χρήσασθαι. Διὰ τοῦτο οὐκ εἶπεν, ὁ αἰών, ἀλλ' «ἡ μέριμνα τοῦ αἰῶνος»· οὐδέ,
5 *ὁ πλοῦτος, ἀλλ' «ἡ ἀπάτη τοῦ πλούτου».*

Μὴ τοίνυν τὰ πράγματα αἰτιώμεθα, ἀλλὰ τὴν γνώμην τὴν διεφθαρμένην. Ἔστι γὰρ καὶ πλουτεῖν καὶ μὴ ἀπατᾶσθαι· καὶ ἐν τῷ αἰῶνι εἶναι τούτῳ καὶ μὴ ἀποπνίγεσθαι ταῖς φροντίσι. Καὶ γὰρ δύο ἐλαττώματα ὁ πλοῦτος ἔχει ἐναντία·
10 *τὸ μέν, κατατεῖνον καὶ ἐπισκοτοῦν, τὴν μέριμναν, τὸ δέ, μαλακωτέρους ποιοῦν, τὴν τρυφήν. Καὶ καλῶς εἶπεν, «Ἡ ἀπάτη τοῦ πλούτου». Πάντα γὰρ τὰ τοῦ πλούτου ἀπάτη· ὀνόματα γὰρ μόνον ἐστίν, οὐκ ἐπὶ πραγμάτων κείμενα. Καὶ γὰρ ἡ ἡδονὴ καὶ ἡ δόξα καὶ ὁ καλλωπισμὸς καὶ πάντα ταῦτα,*
15 *φαντασία τίς ἐστιν, οὐ πραγμάτων ἀλήθεια.*

Εἰπὼν τοίνυν τοὺς τρόπους τῆς ἀπωλείας, ὕστερον τίθησι τὴν καλὴν γῆν, οὐκ ἀφιεὶς ἀπογνῶναι, ἀλλὰ διδοὺς ἐλπίδα μετανοίας καὶ δεικνύς, ὅτι δυνατὸν ἐκ τῶν εἰρημένων εἰς ταύτην μεταβαλεῖν. Καίτοι εἰ καὶ ἡ γῆ καὶ ὁ σπορεὺς
20 *εἷς καὶ τὰ σπέρματα τὰ αὐτά, διατί ὃ μὲν ἑκατόν, ὃ δὲ ἑξήκοντα, ὃ δὲ τριάκοντα ἤνεγκεν; Ἐνταῦθα πάλιν παρὰ τὴν φύσιν τῆς γῆς ἡ διαφορά· καὶ γὰρ ἔνθα ἂν καλὴ ἡ γῆ πολλὴ ἐν αὐτῇ καὶ ἡ διαφορά. Ὁρᾷς οὐχὶ τὸν γεωργὸν αἴτιον ὄντα, οὐδὲ τὰ σπέρματα, ἀλλὰ τὴν δεχομένην γῆν; οὐ παρὰ*
25 *τὴν φύσιν, ἀλλὰ παρὰ τὴν γνώμην. Καὶ ἐνταῦθα δὲ πολλὴ ἡ*

---

15. Ματθ. 13, 22.

γωνται τὰ λεγόμενα, δὲν συμβαίνει αὐτὸ ἐξ αἰτίας τῶν ἀκανθῶν, ἀλλ' ἐξ αἰτίας ἐκείνων ποὺ ἐπιτρέπουν τὴν αὔξησιν τῶν ἀκανθῶν. Διότι εἶναι δυνατόν, ἐὰν θέλῃς, νὰ ἐμποδίσῃς τὴν βλαβερὰν αὐτὴν βλάστησιν καὶ νὰ χρησιμοποιήσῃς τὸν πλοῦτον σου καταλλήλως. Καὶ ἀκριβῶς διὰ τοῦτο δὲν εἶπεν, 'ὁ αἰών', ἀλλὰ «ἡ μέριμνα τοῦ αἰῶνος»· οὔτε εἶπεν, 'ὁ πλοῦτος', ἀλλὰ «ἡ ἀπάτη τοῦ πλούτου»[15].

Ἑπομένως ἂς μὴ κατηγοροῦμεν τὰ πράγματα, ἀλλὰ τὴν διεφθαρμένην διάθεσιν. Διότι εἶναι δυνατὸν νὰ ἔχωμεν πλοῦτον, χωρὶς ὅμως ν' ἀπατώμεθα, καὶ νὰ ζῶμεν εἰς τὸν παρόντα αἰῶνα καὶ νὰ μὴ καταπνιγώμεθα ἀπὸ τὰς φροντίδας. Διότι ὁ πλοῦτος ἔχει δύο ἀντίθετα μεταξύ των ἐλαττώματα. Τὸ μὲν ἕνα εἶναι ἡ μέριμνα, ποὺ δημιουργεῖ ἔντασιν καὶ ἐπιφέρει συσκότισιν, τὸ δὲ ἄλλο εἶναι ἡ τρυφή, ποὺ μᾶς κάνει περισσότερον μαλθακούς. Καὶ ὀρθῶς εἶπεν, «ἡ ἀπάτη τοῦ πλούτου». Διότι ὅλα τὰ πράγματα τοῦ πλούτου εἶναι ἀπατηλά. Εἶναι δηλαδὴ μόνον ὀνόματα, εὑρισκόμενα ἐκτὸς πραγματικότητος. Καθόσον καὶ ἡ ἡδονὴ καὶ ἡ δόξα καὶ ὁ καλλωπισμὸς καὶ ὅλα τὰ παρόμοια εἶναι ἁπλῶς μία φαντασία καὶ ὄχι ἡ ἀλήθεια τῶν πραγμάτων.

Ἀφοῦ λοιπὸν περιέγραψε τοὺς τρόπους τῆς ἀπωλείας, ἀκολούθως ἀναφέρει τὴν εὔφορον γῆν, ὥστε νὰ μὴ μᾶς ἀφήσῃ νὰ περιέλθωμεν εἰς ἀπόγνωσιν, ἀλλὰ νὰ μᾶς δώσῃ ἐλπίδα διὰ μετάνοιαν, καὶ νὰ δείξῃ, ἐπὶ τῇ βάσει τῶν ὅσων μᾶς εἶπεν, ὅτι εἶναι δυνατὸν νὰ φθάσωμεν εἰς αὐτήν. Ἀλλ' ὅμως μολονότι ἡ γῆ εἶναι εὔφορος καὶ ὁ σπορεὺς ἕνας καὶ τὰ σπέρματα τὰ ἴδια, διατί ἄλλα μὲν ἀπέδωσαν ἑκατονταπλασίονα, ἄλλα ἑξηκονταπλασίονα καὶ ἄλλα τριακονταπλασίονα; Καὶ εἰς τὴν περίπτωσιν αὐτὴν πάλιν ἡ διαφορὰ ὀφείλεται εἰς τὴν φύσιν τῆς γῆς. Καθόσον ὅπου ἡ γῆ εἶναι καλή, ἐκεῖ ὑπάρχει καὶ μεγαλυτέρα ἀπόδοσις. Βλέπεις ὅτι δὲν εἶναι αἴτιος ὁ γεωργός, οὔτε τὰ σπέρματα, ἀλλ' ἡ γῆ ποὺ τὰ δέχεται; Δὲν συμβαίνει δηλαδὴ αὐτὸ ἐξ αἰτίας τῆς φύσεώς των, ἀλλ' ἐξ αἰτίας τῆς διαθέσεως. Καὶ εἰς τὴν περίπτωσιν

φιλανθρωπία, ὅτι οὐχ ἓν ἀπαιτεῖ μέτρον ἀρετῆς, ἀλλὰ καὶ τοὺς πρώτους ἀποδέχεται, καὶ τοὺς δευτέρους οὐκ ἐκβάλλει, καὶ τοῖς τρίτοις δίδωσι χώραν. Ταῦτα δὲ λέγει, ἵνα μὴ νομίσωσιν οἱ ἀκολουθοῦντες αὐτῷ, ὅτι ἀρκεῖ ἡ ἀκρόασις 5 εἰς σωτηρίαν.

Καὶ τίνος ἕνεκεν, φησίν, οὐχὶ καὶ τὰς ἄλλας ἔθηκε πονηρίας, οἷον, ἐπιθυμίαν σωμάτων, κενοδοξίαν; Εἰπὼν τὴν μέριμναν τοῦ αἰῶνος τούτου, καὶ τὴν ἀπάτην τοῦ πλούτου, ἅπαντα τέθεικε. Καὶ γὰρ καὶ κενοδοξία καὶ τὰ ἄλλα ἅπαντα, 10 τοῦ αἰῶνος τούτου καὶ τῆς τοῦ πλούτου ἀπάτης ἐστίν· οἷον, ἡδονὴ καὶ γαστριμαργία καὶ βασκανία καὶ κενοδοξία καὶ ὅσα τοιαῦτα. Προσέθηκε δὲ καὶ τὴν ὁδὸν καὶ τὴν πέτραν, δεικνὺς ὅτι οὐκ ἀρκεῖ χρημάτων ἀπηλλάχθαι μόνον, ἀλλὰ δὴ καὶ τὴν ἄλλην ἀρετὴν ἀσκεῖν. Τί γάρ, ἂν χρημάτων μὲν 15 ἐλεύθερος ᾖς, ἄνανδρος δὲ καὶ μαλακός; τί δέ, ἂν ἄνανδρος μὲν μὴ ᾖς, ῥάθυμος δὲ καὶ ὀλίγωρος περὶ τὴν ἀκρόασιν; Οὐδὲ γὰρ ἀρκεῖ μέρος ἓν πρὸς σωτηρίαν ἡμῖν, ἀλλὰ δεῖ πρῶτον μὲν ἀκροάσεως ἀκριβοῦς καὶ μνήμης διηνεκοῦς, ἔπειτα ἀνδρείας, εἶτα χρημάτων ὑπεροψίας καὶ τῆς τῶν 20 βιωτικῶν ἁπάντων ἀπαλλαγῆς. Διὰ γάρ τοι τοῦτο πρῶτον τίθησιν ἐκείνου τοῦτο, ἐπειδὴ τούτου πρώτου χρεία· («Πῶς γὰρ πιστεύσουσιν, ἐὰν μὴ ἀκούσωσι;»· καθάπερ οὖν καὶ ἡμεῖς ἐὰν μὴ προσέχωμεν τοῖς λεγομένοις, οὐδὲ μαθεῖν δυνησόμεθα ἃ χρὴ ποιεῖν)· ἔπειτα τὴν ἀνδρείαν καὶ τὴν τῶν 25 παρόντων ὑπεροψίαν.

Ταῦτ' οὖν ἀκούοντες, πάντοθεν ἑαυτοὺς τειχίζωμεν, προσέχοντες τοῖς λεγομένοις, καὶ κατὰ βάθους ἀφιέντες τὰς ῥίζας, καὶ πάντων ἑαυτοὺς ἐκκαθαίροντες τῶν βιωτικῶν.

---

16. Ρωμ. 10, 14.

αὐτὴν ἀποδεικνύεται μεγάλη ἡ φιλανθρωπία τοῦ Κυρίου, διότι δὲν ζητεῖ μόνον ἕνα μέτρον ἀρετῆς, ἀλλὰ καὶ τοὺς πρώτους δέχεται καὶ δὲν ἀπορρίπτει τοὺς δευτέρους, ἀλλὰ καὶ δίδει τόπον καὶ εἰς τοὺς τρίτους. Αὐτὰ δὲ τὰ λέγει, ὥστε νὰ μὴ νομίσουν ὅσοι τὸν ἀκολουθοῦν ὅτι ἀρκεῖ διὰ τὴν σωτηρίαν ἡ ἀκρόασις καὶ μόνον τῶν λόγων.

Καὶ διατί, θὰ εἰπῇ κάποιος, δὲν ἀνέφερε καὶ τὰς ἄλλας πονηρίας, ὅπως λόγῳ χάριν τὴν σαρκικὴν ἐπιθυμίαν καὶ τὴν κενοδοξίαν; Διότι, ὅταν ὡμίλησε διὰ τὴν μέριμναν τῆς παρούσης ζωῆς καὶ διὰ τὴν ἀπάτην τοῦ πλούτου, συμπεριέλαβε καὶ αὐτὰ ἐκεῖ. Καθόσον καὶ ἡ κενοδοξία καὶ ὅλα τὰ ἄλλα γενικῶς εἶναι πράγματι τοῦ αἰῶνος τούτου καὶ τῆς ἀπάτης τοῦ πλούτου, ὅπως ἐπὶ παραδείγματι ἡ ἡδονή, ἡ γαστριμαργία, ὁ φθόνος, ἡ κενοδοξία καὶ ὅλα τὰ παρόμοια. Προσέθεσε δὲ καὶ τὴν ὁδὸν καὶ τὴν πέτραν, μὲ σκοπὸν νὰ δείξῃ ὅτι δὲν ἀρκεῖ μόνον νὰ ἀπαλλαγῇ κανεὶς ἀπὸ τὰ χρήματα, ἀλλὰ πρέπει ν' ἀσκῇ καὶ τὴν ἄλλην ἀρετήν. Διότι τί ὠφελεῖ ἂν εἶσαι ἐλεύθερος ἀπὸ χρήματα, ἀλλ' εἶσαι ἄνανδρος καὶ μαλθακός; τί δέ, ἐὰν δὲν εἶσαι μὲν ἄνανδρος, ἀλλ' εἶσαι ράθυμος καὶ ἀδιάφορος διὰ τὴν ἀκρόασιν λόγων; Διότι δὲν ἀρκεῖ ἕνα μόνον μέρος τῆς ἀρετῆς διὰ τὴν σωτηρίαν μας, ἀλλ' ἀπαιτεῖται κατ' ἀρχὴν μὲν προσεκτικὴ ἀκρόασις καὶ συνεχὴς ἐπαναφορὰ εἰς τὴν μνήμην, ἔπειτα ἀνδρεία καὶ ἀκολούθως περιφρόνησις τῶν χρημάτων καὶ ἀπαλλαγὴ ἀπὸ ὅλας τὰς βιωτικὰς φροντίδας. Καὶ ἀκριβῶς διὰ τοῦτο βέβαια θέτει πρῶτον τὸ κήρυγμα ἀπὸ ἐκεῖνο, ἐπειδὴ αὐτὸ χρειάζεται κατ' ἀρχήν· («διότι πῶς θὰ πιστεύσουν, ἐὰν δὲν ἀκούσουν;»[16]· ἔτσι λοιπὸν καὶ ἡμεῖς ἐὰν δὲν προσέχωμεν εἰς τὰ λεγόμενα ἐδῶ, δὲν θὰ ἠμπορέσωμεν νὰ μάθωμεν τί πρέπει νὰ πράττωμεν). Ἔπειτα θέτει τὴν ἀνδρείαν καὶ τὴν περιφρόνησιν τῶν πάντων.

Ἀκούοντες λοιπὸν αὐτά, ἂς προφυλάσσωμεν τοὺς ἑαυτούς μας ἀπὸ παντοῦ, προσέχοντες εἰς τὰ λεγόμενα, καὶ ἀφήνοντες αὐτὰ νὰ ριζώνουν βαθειὰ καὶ καθαρίζοντες τοὺς

Ἂν δὲ τὰ μὲν ποιῶμεν, τῶν δὲ ἀμελῶμεν, οὐδὲν ἡμῖν ἔσται πλέον· κἂν γὰρ μὴ οὕτως, ἀλλ' ἐκείνως ἀπολλύμεθα. Τί γὰρ διαφέρει, ἂν μὴ διὰ πλούτου, ἀλλὰ διὰ ῥαθυμίας· ἂν μὴ διὰ ῥαθυμίας, ἀλλὰ δι' ἀνανδρίας διαφθαρῶμεν; Ἐπεὶ καὶ 5 ὁ γεωργός, ἄν τε οὕτως, ἄν τε ἐκείνως ἀπολέσῃ τὸν σπόρον, ὁμοίως πενθεῖ. Μὴ τοίνυν ἐπειδὴ μὴ πᾶσιν ἀπολλύμεθα τοῖς τρόποις, παραμυθίαν ἔχωμεν, ἀλλὰ ἀλγῶμεν οἵῳ ἂν ἀπολώμεθα τρόπῳ. Καὶ κατακαίωμεν τὰς ἀκάνθας· καὶ γὰρ ἀποπνίγει τὸν λόγον. Καὶ ἴσασι τοῦτο οἱ πλουτοῦντες, 10 οἱ μὴ πρὸς ταῦτα μόνον, ἀλλὰ μηδὲ πρὸς ἕτερα ὄντες χρήσιμοι. Δοῦλοι γὰρ καὶ αἰχμάλωτοι γενόμενοι τῶν ἡδονῶν καὶ πρὸς τὰ πολιτικά εἰσιν ἄχρηστοι πράγματα· εἰ δὲ πρὸς ἐκεῖνα, πολλῷ μᾶλλον πρὸς τὰ τῶν οὐρανῶν. Καὶ γὰρ διπλῆ τοῖς λογισμοῖς ἐντεῦθεν ἡ λύμη γίνεται, ἀπό τε τῆς τρυφῆς, 15 ἀπό τε τῆς φροντίδος. Τούτων γὰρ καθ' ἑαυτὸ μὲν ἕκαστον ἱκανὸν καταποντίσαι τὸ σκάφος· ὅταν δὲ καὶ ἀμφότερα συνδράμῃ, ἐννόησον ἡλίκον τὸ κλυδώνιον γίνεται.

5. Καὶ μὴ θαυμάσῃς, εἰ τὴν τρυφὴν ἀκάνθας ἐκάλεσε. Σὺ μὲν γὰρ ἀγνοεῖς, μεθύων τῷ πάθει· οἱ δὲ ὑγιαίνοντες 20 ἴσασιν ὅτι ἀκάνθης μᾶλλον κεντεῖ καὶ τρυφὴ πλέον ἢ μέριμνα δαπανᾷ τὴν ψυχὴν καὶ χαλεπωτέρας παρέχει τὰς ὀδύνας καὶ τῷ σώματι καὶ τῇ ψυχῇ. Οὐδὲ γὰρ οὕτως ὑπὸ φροντίδος τις πλήττεται, ὡς ὑπὸ πλησμονῆς. Ὅταν γὰρ ἀγρυπνίαι καὶ κροτάφων διατάσεις καὶ καρηβαρίαι καὶ σπλάγ- 25 χνων ὀδύναι περιέχωσι τὸν τοιοῦτον, ἐννόησον πόσων ἀκανθῶν ταῦτα χαλεπώτερα. Καὶ καθάπερ αἱ ἄκανθαι, ὅθεν

ἑαυτούς μας ἀπὸ ὅλας τὰς βιωτικὰς φροντίδας. Ἂν δὲ πράττωμεν τὰ μὲν καὶ ἀδιαφοροῦμεν διὰ τὰ δέ, δὲν θὰ ἔχωμεν κανένα ἐπὶ πλέον ὄφελος. Διότι καὶ ἂν ἀκόμη δὲν χαθοῦμεν ἐξ αἰτίας τοῦ ἑνός, ὁπωσδήποτε ὅμως θὰ χαθοῦμεν ἐξ αἰτίας τοῦ ἄλλου. Διότι τί διαφέρει, ἂν δὲν χαθοῦμεν ἐξ αἰτίας τοῦ πλούτου, ἀλλὰ ἐξ αἰτίας τῆς ραθυμίας, ἢ ἂν ὄχι ἐξ αἰτίας τῆς ραθυμίας, ἀλλ' ἐξ αἰτίας τῆς ἀνανδρίας; Διότι καὶ ὁ γεωργός, εἴτε οὕτως χάσει τὸν σπόρον, εἴτε ἄλλως, πενθεῖ ὁμοίως. Ἑπομένως ἂς μὴ μᾶς παρηγορῇ τὸ γεγονὸς ὅτι δὲν χανόμεθα μὲ ὅλους τοὺς τρόπους, ἀλλὰ νὰ πονοῦμεν μὲ ὁποιονδήποτε τρόπον καὶ ἂν χανώμεθα. Καὶ ἂς κατακαίωμεν τὰς ἀκάνθας, διότι καταπνίγουν τὸν λόγον. Καὶ αὐτὸ τὸ γνωρίζουν οἱ πλούσιοι, οἱ ὁποῖοι ὄχι μόνον δὲν εἶναι χρήσιμοι δι' αὐτά, ἀλλὰ οὔτε καὶ διὰ ἄλλα. Διότι μὲ τὸ νὰ γίνωνται αἰχμάλωτοι τῶν ἡδονῶν, καθίστανται ἄχρηστοι καὶ διὰ τὰ πολιτικὰ πράγματα. Ἐὰν δὲ εἶναι ἄχρηστοι δι' αὐτὰ θὰ εἶναι πολὺ περισσότερον ἄχρηστοι καὶ διὰ τὰ οὐράνια πράγματα. Καθόσον εἶναι διπλῆ ἡ καταστροφὴ τῆς διανοίας ἡ προερχομένη ἀπὸ τὸν πλοῦτον, καὶ ἀπὸ τὴν τρυφὴν καὶ ἀπὸ τὰς φροντίδας. Διότι τὸ καθένα ἀπὸ αὐτὰ τὰ πάθη εἶναι ἱκανὸν νὰ καταποντίσῃ τὸ σκάφος. Ὅταν ὅμως καὶ τὰ δύο ἐνεργήσουν ἀπὸ κοινοῦ, ἀναλογίσου πόσον μεγάλον θ' ἀποβῇ τὸ ναυάγιον.

5. Καὶ δὲν πρέπει ν' ἀπορήσῃς, ἐὰν ἀπεκάλεσε τὴν τρυφὴν ἀκάνθας. Διότι σὺ δὲν τὸ ἀντιλαμβάνεσαι αὐτό, ἐπειδὴ σὲ μεθᾷ τὸ πάθος· οἱ ὑγιεῖς ὅμως γνωρίζουν ὅτι πληγώνει περισσότερον ἀπὸ τὴν ἄκανθον, καὶ ὅτι ἡ τρυφὴ βλάπτει τὴν ψυχὴν περισσότερον ἀπὸ τὴν μέριμναν καὶ προξενεῖ βαρυτέρους πόνους καὶ εἰς τὸ σῶμα καὶ εἰς τὴν ψυχήν. Διότι δὲν βλάπτεται κανεὶς τόσον ἀπὸ τὴν φροντίδα, ὅσον ἀπὸ τὴν ἀφθονίαν. Διότι ὅταν ἕνας τέτοιος ἄνθρωπος βασανίζεται ἀπὸ ἀγρυπνίας, ἀπὸ πόνους εἰς τοὺς κροτάφους, ἀπὸ κεφαλοπόνους καὶ ψυχικοὺς πόνους, σκέψου ἀπὸ πόσας ἀκάνθας εἶναι χειρότερα αὐτά. Καὶ ὅπως ἀκριβῶς τὰς ἀκάνθας ἀπὸ

ἂν κατασχεθῶσιν, αἱμάττουσι τὰς κατεχούσας αὐτὰς χεῖρας· οὕτω δὴ καὶ ἡ τρυφὴ καὶ πόδας καὶ χεῖρας καὶ κεφαλήν, καὶ ὀφθαλμοὺς καὶ πάντα ἁπλῶς λυμαίνεται τὰ μέλη· καὶ ξηρὰ δὲ καὶ ἄκαρπός ἐστιν, ὥσπερ ἡ ἄκανθα, καὶ πολλῷ
5 *μειζόνως ἐκείνης λυπεῖ καὶ ἐν τοῖς καιρίοις. Καὶ γὰρ γῆρας ἄκαιρον ἐπεισάγει καὶ ἀμβλύνει τὰς αἰσθήσεις καὶ σκοποῖ τὸν λογισμὸν καὶ πηροῖ τὸν νοῦν ὀξὺ βλέποντα, καὶ πλαδαρὸν τὸ σῶμα ποιεῖ, δαψιλεστέραν τῆς κόπρου τὴν ἀποθήκην ἐργαζομένη, καὶ πολλὴν τὴν σωρείαν τῶν κακῶν*
10 *συνάγουσα καὶ μεῖζον τὸ φορτίον καὶ ὑπέρογκον ποιεῖται τὸν γόμον· ὅθεν καὶ πολλὰ καὶ συνεχῆ τὰ πτώματα καὶ πυκνὰ τὰ ναυάγια.*

Τί γὰρ λιπαίνεις, εἰπέ μοι, τὸ σῶμα; Μὴ γὰρ καταθῦσαι σε ἔχομεν; μὴ γὰρ παραθεῖναι τραπέζῃ; Τὰς ὄρνεις
15 *καλῶς πιαίνεις· μᾶλλον δὲ οὐδὲ ἐκείνας καλῶς· ὅταν γὰρ πιασθῶσιν, ἄχρηστοι πρὸς ὑγιεινὴν εἰσι δίαιταν. Τοσοῦτον κακὸν ἡ τρυφή, ὡς καὶ ἐν ἀλόγοις τὴν λύμην ἐπιδείκνυσθαι. Καὶ γὰρ ἐκείνας τρυφώσας καὶ ἑαυταῖς καὶ ἡμῖν ἀχρήστους ποιοῦμεν. Καὶ γὰρ τὰ περιττώματα ἀκατέργαστα*
20 *καὶ ἡ ὑγροτέρα σῆψις ἀπὸ τῆς πιμελῆς ἐκείνης γίνεται. Τὰ δὲ οὐχ οὕτω τρεφόμενα, ἀλλ', ὡς ἂν εἴποι τις, ἐν νηστείᾳ διάγοντα, καὶ συμμέτρῳ διαίτῃ, καὶ πονοῦντα καὶ ταλαιπωρούμενα, ταῦτα καὶ ἑαυτοῖς καὶ ἄλλοις χρησιμώτατα καὶ πρὸς τροφὴν καὶ πρὸς τὰ ἄλλα ἅπαντα. Οἱ γοῦν ἐκεῖνα*
25 *σιτούμενοι μᾶλλον ὑγιαίνουσιν· οἱ δὲ τούτοις τρεφόμενοι, αὐτοῖς ἐοίκασι, νωθροὶ καὶ ἐπίνοσοι γινόμενοι, καὶ τὸν δεσμὸν χαλεπώτερον ἐργαζόμενοι. Οὐδὲν γὰρ οὕτω σώματι πολέμιον καὶ βλαβερόν, ὡς ἡ τρυφή· οὐδὲν οὕτω διαρρήγνυσι καὶ καταχώννυσιν αὐτὸ καὶ διαφθείρει, ὡς ἀσωτία.*

ὅπου καὶ ἂν τὰς πιάσῃ κανεὶς πληγώνουν τὰ χέρια ποὺ τὰς κρατοῦν, ἔτσι λοιπὸν καὶ ἡ τρυφὴ φθείρει τὰ πόδια καὶ τὰ χέρια καὶ τὴν κεφαλὴν καὶ τοὺς ὀφθαλμοὺς καὶ γενικῶς ὅλα τὰ μέλη τοῦ σώματος, καὶ εἶναι ξηρὰ καὶ ἄκαρπος, ὅπως ἡ ἄκανθος, καὶ πληγώνει πολὺ περισσότερον καὶ μάλιστα εἰς τὰ καίρια μέρη τοῦ σώματος. Καθόσον προξενεῖ πρόωρον γῆρας, καὶ ἐξασθενεῖ τὰς αἰσθήσεις, σκοτίζει τὸν λογισμὸν καὶ καταστρέφει τὸν ὀξὺν νοῦν, ἀτονίζει τὸ σῶμα, κάνει εὐρυτέραν τὴν ἀποθήκην τῆς κοπριᾶς, συγκεντρώνει ἄφθονα κακά, αὐξάνει τὸ φορτίον καὶ κάμνει ὑπέρογκον τὸ βάρος. Διὰ τοῦτο εἶναι πολλαὶ καὶ συνεχεῖς αἱ καταπτώσεις καὶ πυκνὰ τὰ ναυάγια.

Εἰπέ μου ὅμως, σὲ παρακαλῶ, διατί φορτώνεις τὸ σῶμα σου μὲ λίπος; Μήπως σὲ ἔχομεν διὰ νὰ σὲ θυσιάσωμεν; μήπως θὰ σὲ παραθέσωμεν εἰς κάποιαν τράπεζαν; Καλὰ κάνεις καὶ τρέφεις τὰς ὄρνιθας διὰ νὰ παχύνουν· μᾶλλον δὲ οὔτε καὶ ἐκεῖ κάνεις καλά· διότι ὅταν παραπαχύνουν καθίστανται ἀκατάλληλοι πρὸς ὑγιεινὴν δίαιταν. Τόσον μεγάλο κακὸν εἶναι ἡ τρυφή, ὥστε καὶ εἰς αὐτὰ τὰ ζῶα δρᾷ καταστρεπτικά. Καθόσον μὲ τὸ νὰ τὰς παρατρέφωμεν τὰς ὄρνιθας τὰς καθιστῶμεν ἀχρήστους καὶ δι' αὐτὰς τὰς ἰδίας καὶ δι' ἡμᾶς. Καθόσον τὰ περιττώματα μένουν ἀκατέργαστα καὶ τὸ σάπισμα προέρχεται ἀκριβῶς ἀπὸ τὸ πάχος αὐτό. Τὰ ζῶα ὅμως ποὺ δὲν τρέφονται κατὰ παρόμοιον τρόπον, ἀλλὰ ποὺ ζοῦν, θὰ ἔλεγε κανείς, μὲ νηστείαν καὶ τρώγουν μέτρια καὶ κοπιάζουν καὶ ταλαιπωροῦνται, αὐτὰ εἶναι πάρα πολὺ χρήσιμα καὶ διὰ τὸν ἑαυτόν των καὶ διὰ τοὺς ἄλλους, καὶ ὡς τροφὴ καὶ ὡς πρὸς ὅλα τὰ ἄλλα. Διότι ὅσοι ἄνθρωποι διατρέφονται μὲ αὐτὰ εἶναι περισσότερον ὑγιεῖς, ἐνῷ ὅσοι διατρέφονται μὲ τὰ προαναφερθέντα ὁμοιάζουν μὲ αὐτά, γίνονται νωθροὶ καὶ φιλάσθενοι καὶ περιβάλλονται μὲ βαρύτερον δεσμόν. Διότι τίποτε δὲν εἶναι διὰ τὸ σῶμα τόσον ἐχθρικὸν καὶ βλαβερόν, ὅσον ἡ τρυφή. Τίποτε δὲν συντελεῖ τόσον εἰς τὴν διάρρηξιν, τὸν ἀφανισμὸν καὶ τὴν διαφθορὰν

Διὸ μάλιστα ἄν τις κἀντεῦθεν ἐκπλαγείη τῆς ἀνοίας αὐτούς, ὅτι οὐδὲ ὅσην ἐπὶ τῶν ἀσκῶν ἔχουσιν ἕτεροι τὴν φειδώ, τοσαύτην ἐφ' ἑαυτῶν θέλουσιν ἐπιδείκνυσθαι οὗτοι. Ἐκείνους μὲν γὰρ οἱ τῶν οἴνων πρᾶται οὐκ ἐῶσι πλέον τοῦ δέοντος 5 λαβεῖν, ὥστε μὴ διαρραγῆναι· τὴν δὲ ἀθλίαν οὗτοι γαστέρα οὐδὲ ταύτης ἀξιοῦσι τῆς προνοίας· ἀλλ' ἐπειδὰν αὐτὴν ἐμπλήσωσι καὶ διαρρήξωσι, μέχρι τῶν ὤτων, μέχρι τῶν ῥινῶν, μέχρι τῆς φάρυγγος αὐτῆς πληροῦσι ἅπαντα, διπλῆν ἐντεῦθεν τῷ πνεύματι καὶ τῇ τὸ ζῶον οἰκονομούσῃ δυνάμει 10 κατασκευάζοντες τὴν στενοχωρίαν. Μὴ γὰρ διὰ τοῦτό σοι γέγονε φάρυγξ, ἵνα μέχρι τοῦ στόματος ἄνω σεσηπότος οἴνου καὶ τῆς ἄλλης ἀποπληρώσῃς αὐτὸν διαφθορᾶς; Οὐ διὰ τοῦτο, ἄνθρωπε, ἀλλ' ἵνα προηγουμένως ᾄδῃς τῷ Θεῷ καὶ τὰς ἱερὰς ἀναπέμπῃς εὐχὰς καὶ τοὺς θείους ἀναγινώσκῃς νόμους 15 καὶ τοῖς πλησίον τὰ συμφέροντα συμβουλεύῃς. Σὺ δὲ ὥσπερ διὰ τοῦτο αὐτὴν λαβών, ἐκείνῃ μὲν οὐδὲ μικρὸν ἐᾷς καιρὸν σχολάζειν τῇ λειτουργίᾳ, πάντα δὲ τὸν βίον τῇ πονηρᾷ ταύτῃ αὐτὴν ὑποτάττεις δουλείᾳ. Καὶ ὥσπερ εἴ τις κιθάραν λαβών, χρυσᾶς νευρὰς ἔχουσαν καὶ ἡρμοσμένην καλῶς, ἀντὶ τοῦ τὴν 20 παναρμόνιον μελῳδίαν εἰς αὐτὴν ἀνακρούεσθαι, κόπρῳ πολλῇ καταχώσειε καὶ πηλῷ, οὕτω καὶ οὗτοι ποιοῦσι. Κόπρον δὲ οὐ τὴν τροφὴν ἐκάλεσα, ἀλλὰ τὴν τρυφὴν καὶ τὴν πολλὴν ἐκείνην ἀσέλγειαν. Τὸ γὰρ πλέον τοῦ δέοντος οὐκ ἔστι τροφή, ἀλλὰ λύμη μόνον. Καὶ γὰρ ἡ γαστὴρ μόνη διὰ τὴν τῶν 25 σιτίων μόνον γέγονεν ὑποδοχήν, στόμα δὲ καὶ φάρυγξ καὶ γλῶττα καὶ δι' ἕτερα ἀναγκαιότερα τούτων πολλῷ· μᾶλλον δὲ οὐδὲ ἡ γαστὴρ διὰ σιτίων ὑποδοχὴν ἁπλῶς, ἀλλὰ διὰ

αὐτοῦ, ὅσον ἡ ἀσωτία. Διὰ τοῦτο μάλιστα θὰ ἠμποροῦσε κανεὶς ἐξ αἰτίας αὐτοῦ νὰ μείνῃ κατάπληκτος διὰ τὴν ἀνοησίαν των αὐτήν, διότι δὲν θέλουν νὰ ἐπιδείξουν διὰ τὸν ἑαυτόν των οὔτε τόσην φροντίδα, ὅσην ἐπιδεικνύουν οἱ ἄλλοι διὰ τοὺς ἀσκούς των. Διότι οἱ ἔμποροι τοῦ οἴνου δὲν βάζουν ἐντὸς αὐτῶν περισσότερον οἶνον ἀπὸ ὅσον πρέπει, διὰ νὰ μὴ διαρραγοῦν, ἐνῷ αὐτοὶ διὰ τὴν ἀθλίαν των κοιλίαν δὲν ἐπιδεικνύουν οὔτε κἂν μίαν παρομοίαν φροντίδα, ἀλλ' ἀφοῦ τὴν γεμίσουν καὶ τὴν κάνουν νὰ σκάσῃ ἀπὸ τὴν πολυφαγίαν, γεμίζουν τὰ πάντα μέχρι τὰ αὐτιά, μέχρι τὴν μύτην, μέχρι τὸν φάρυγγα, καὶ ἔτσι προξενοῦν διπλῆν στενοχώριαν καὶ εἰς τὸ πνεῦμα των καὶ εἰς τὴν δύναμιν ποὺ ἐξουσιάζει τὸ ζῶον. Ἀλλὰ μήπως διὰ τὸν σκοπὸν αὐτὸν ἐδόθη ὁ φάρυγξ, διὰ νὰ τὸν γεμίζῃς μέχρι ἐπάνω εἰς τὸ στόμα μὲ σάπιον οἶνον καὶ μὲ ὅλην τὴν ἄλλην διαφθοράν; Δὲν σοῦ ἐδόθη διὰ τοῦτο, ἄνθρωπέ μου, ἀλλὰ πρὶν ἀπὸ ὅλα διὰ νὰ ὑμνῇς τὸν Θεὸν καὶ νὰ ἀναπέμπῃς τὰς ἱερὰς εὐχὰς καὶ νὰ ἀναγινώσκῃς τοὺς θείους νόμους καὶ νὰ συμβουλεύῃς τὰ ὅσα συμφέρουν εἰς τὸν πλησίον σου. Σὺ ὅμως ὡσὰν νὰ τὸν ἔλαβες διὰ τὸν παραπάνω σκοπόν, ἐκείνην μὲν δὲν τὴν ἀφήνεις οὔτε μίαν στιγμὴν ν' ἀσχοληθῇ μὲ αὐτὸ τὸ ἔργον της, ἀλλ' εἰς ὁλόκληρον τὴν ζωήν σου τὴν ὑποτάσσεις εἰς τὴν πονηρὰν αὐτὴν δουλείαν. Καὶ ὅπως ἀκριβῶς, ἐὰν κάποιος, ὁ ὁποῖος ἔλαβε κιθάραν μὲ χρυσὰς χορδὰς καὶ καλοκουρδισμένην, ἀντὶ νὰ παίξῃ μὲ αὐτὴν μίαν ἁρμονικωτάτην μελωδίαν, ἤθελε καταχώσει αὐτὴν ἐντὸς μεγάλης σωροῦ κοπριᾶς καὶ λάσπης, τὸ ἴδιο ἀκριβῶς κάνουν καὶ αὐτοί. Κόπρον δὲ δὲν ὠνόμασα τὴν τροφήν, ἀλλὰ τὴν τρυφὴν καὶ τὴν ὑπέρμετρον ἐκείνην ἀσέλγειαν. Διότι τὸ ἐπὶ πλέον τοῦ δέοντος δὲν εἶναι τροφή, ἀλλὰ καταστροφὴ καὶ μόνον. Καθόσον μόνον ἡ κοιλία ἔγινε διὰ νὰ δέχεται μόνον τὰς τροφάς, ἐνῷ τὸ στόμα, ὁ φάρυγξ καὶ ἡ γλῶσσα ἔγιναν καὶ δι' ἄλλα περισσότερον ἀναγκαῖα ἀπὸ αὐτά. Μᾶλλον δὲ οὔτε ἡ κοιλία ἔγινε διὰ νὰ δέχεται μόνον τροφάς, ἀλλὰ τὴν κανονικὴν ποσό-

σιτίων ὑποδοχὴν συμμέτρων. Καὶ τοῦτο δηλοῖ, καταβοῶσα ἡμῶν μυρία, ὅταν ἐπηρεάσωμεν αὐτὴν διὰ τῆς πλεονεξίας ταύτης· οὐ καταβοᾷ δὲ μόνον, ἀλλὰ καὶ ἀμυνομένη τῆς ἀδικίας τὴν ἐσχάτην ἡμᾶς ἀπαιτεῖ δίκην.

5 *Καὶ πρῶτον τοὺς πόδας τιμωρεῖται, τοὺς βαστάζοντας καὶ ὑπάγοντας ἡμᾶς ἐπὶ τὰ πονηρὰ ἐκεῖνα συμπόσια, ἔπειτα τὰς χεῖρας τὰς διακονουμένας αὐτῇ συνδέουσα, ἀνθ' ὧν τοσαῦτα καὶ τοιαῦτα προσῆγον ἐδέσματα· πολλοὶ δὲ καὶ αὐτὸ τὸ στόμα διέστρεψαν καὶ ὀφθαλμοὺς καὶ κεφαλήν. Καὶ καθάπερ* 10 *οἰκέτης, ὅταν ἐπιταγῇ τι τὴν δύναμιν ὑπερβαῖνον, ἀπονοηθεὶς ὑβρίζει εἰς τὸν ἐπιτάξαντα πολλάκις, οὕτω καὶ αὕτη μετὰ τῶν μελῶν τούτων καὶ τὸν ἐγκέφαλον πολλάκις αὐτὸν βιασθεῖσα ἀπόλλυσι καὶ διαφθείρει. Καὶ τοῦτο ὁ Θεὸς ᾠκονόμησε καλῶς, ἐκ τῆς ἀμετρίας τοσαύτην γίνεσθαι βλάβην,* 15 *ἵν' ὅταν ἑκὼν μὴ φιλοσοφῇς, κἂν ἄκων διὰ τὸν φόβον τῆς τοσαύτης διαφθορᾶς μετριάζειν μάθῃς.*

Ταῦτ' οὖν εἰδότες, φεύγωμεν τρυφήν, ἐπιμελώμεθα συμμετρίας, ἵνα καὶ τῆς τοῦ σώματος ὑγείας ἀπολαύσωμεν καὶ τὴν ψυχὴν πάσης ἀπαλλάξαντες ἀρρωστίας, τῶν μελ- 20 *λόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

τητα τῶν τροφῶν. Καὶ αὐτὸ καθίσταται φανερὸν ἀπὸ τὴν ἰδίαν ποὺ διαμαρτύρεται ἔντονα ὅταν τὴν παρενοχλοῦμεν μὲ τὴν πλεονεξίαν. Καὶ δὲν διαμαρτύρεται μόνον, ἀλλὰ καὶ προβάλλουσα ἄμυναν ἀπαιτεῖ τὴν πλέον σκληρὰν τιμωρίαν διὰ τὴν εἰς βάρος της ἀδικίαν.

Καὶ κατὰ πρῶτον τιμωρεῖ τοὺς πόδας ποὺ μᾶς βαστάζουν καὶ μᾶς ὁδηγοῦν εἰς τὰ πονηρὰ ἐκεῖνα συμπόσια, ἔπειτα παραλύει τὰ χέρια ποὺ τὴν ὑπηρετοῦσαν ἔναντι τῶν τόσον πολλῶν καὶ ποικίλων φαγητῶν ποὺ τῆς προσέφεραν. Πολλοὶ δὲ καὶ αὐτὸ τὸ στόμα κατέστρεψαν καὶ τοὺς ὀφθαλμοὺς καὶ τὴν κεφαλήν. Καὶ ὅπως ἀκριβῶς ἕνας δοῦλος, ὅταν λάβῃ μίαν ἐντολὴν ποὺ ὑπερβαίνει τὰς δυνάμεις του, χάνει τὰ λογικά του καὶ ὑβρίζει πολλὲς φορὲς ἐκεῖνον ποὺ τοῦ ἔδωσε τὴν ἐντολήν, κατὰ τὸν ἴδιον τρόπον καὶ ἡ κοιλία μαζὶ μὲ τὰς ζημίας εἰς τὰ μέλη αὐτά, ὅταν παραβιασθῇ, πολλὲς φορὲς βλάπτει καὶ διαφθείρει καὶ τὸν ἴδιον τὸν ἐγκέφαλον. Ἀλλὰ καὶ αὐτὸ ὁ Θεὸς τὸ ἐρρύθμισε σωστά. Ἀπὸ τὴν κατάχρησιν προκαλεῖται τόσον μεγάλη βλάβη, ὥστε ὅταν δὲν φιλοσοφῇς μὲ τὴν θέλησίν σου, νὰ μάθῃς νὰ ζῇς μὲ μέτρον, ἔστω καὶ χωρὶς νὰ τὸ θέλῃς, φοβούμενος τὴν τόσον μεγάλην καταστροφήν.

Ἔχοντες λοιπὸν αὐτὰ ὑπ᾽ ὄψιν, ἂς ἀποφεύγωμεν τὴν τρυφὴν καὶ ἂς φροντίζωμεν διὰ τὴν ἐν μέτρῳ ζωήν μας, ὥστε καὶ τὴν ὑγείαν τοῦ σώματός μας ν᾽ ἀπολαύσωμεν καὶ τὴν ψυχήν μας ἀφοῦ ἀπαλλάξωμεν ἀπὸ κάθε ἀσθένειαν, ν᾽ ἀποκτήσωμεν τὰ ἀγαθὰ τῆς μελλούσης ζωῆς, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΜΕ΄

Ματθ. 13, 10 - 23

*«Καὶ προσελθόντες οἱ μαθηταὶ εἶπον αὐτῷ· Διατί ἐν παραβολαῖς λαλεῖς αὐτοῖς; Ὁ δὲ ἀποκριθεὶς εἶπεν αὐτοῖς·
5 Ὅτι ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν, ἐκείνοις δὲ οὐ δέδοται».*

*1. «Ἄξιον θαυμάσαι τοὺς μαθητάς, πῶς καὶ ἐπιθυμοῦντες μαθεῖν, ἴσασι πότε ἐρωτῆσαι ἐχρῆν. Οὐ γὰρ ἐπὶ πάντων τοῦτο ποιοῦσι· καὶ τοῦτο ἐδήλωσεν ὁ Ματθαῖος εἰ-
10 πών, «Καὶ προσελθόντες». Καὶ ὅτι οὐ στοχασμὸς τὸ εἰρημένον, ὁ Μᾶρκος αὐτὸ σαφέστερον παρέστησεν, εἰπὼν ὅτι κατ' ἰδίαν προσῆλθον αὐτῷ. Τοῦτο δὴ καὶ τοὺς ἀδελφοὺς καὶ τὴν μητέρα ποιῆσαι ἐχρῆν, καὶ οὐχὶ καλέσαι ἔξω καὶ ἐπιδείξασθαι. Σκόπει δὲ αὐτῶν καὶ τὴν φιλοστοργίαν, πῶς πολὺν ὑ-
15 πὲρ τῶν ἄλλων ποιοῦνται λόγον, καὶ πρότερον τὰ ἐκείνων ζητοῦσι καὶ τότε τὰ ἑαυτῶν. «Διατί γάρ», φησίν, «ἐν παραβολαῖς λαλεῖς αὐτοῖς;». Οὐκ εἶπον, διατί ἐν παραβολαῖς λαλεῖς ἡμῖν; Καὶ γὰρ καὶ ἀλλαχοῦ πολλαχῶς φαίνονται φιλοστόργως πρὸς ἅπαντας διακείμενοι, ὡς ὅταν λέγωσιν,
20 «Ἀπόλυσον τοὺς ὄχλους», καὶ ὅτι «Οἶδας ὅτι ἐσκανδαλίσθησαν;». Τί οὖν ὁ Χριστός; «Ὅτι ὑμῖν δέδοται», φησί, «γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν· ἐκείνοις δὲ οὐ δέδοται». Τοῦτο δὲ εἶπεν, οὐκ ἀνάγκην εἰσάγων, οὐδὲ ἀποκλήρωσίν τινα ἁπλῶς καὶ ὡς ἔτυχε γινομένην, ἀλλὰ δει-
25 κνὺς αὐτοὺς ἁπάντων αἰτίους ὄντας τῶν κακῶν καὶ παραστῆσαι θέλων, ὅτι δωρεὰ τὸ πρᾶγμά ἐστι καὶ χάρις ἄνωθεν*

---

1. Λουκᾶ 9, 12.
2. Ματθ. 15, 12.

ΟΜΙΛΙΑ ΜΕ΄

Ματθ. 13, 10 - 23

«Καὶ ἀφοῦ προσῆλθαν οἱ μαθηταὶ τὸν ἠρώτησαν· Διατί ὁμιλεῖς ἐν παραβολαῖς πρὸς αὐτούς; Αὐτὸς δὲ ἀποκριθεὶς εἶπεν εἰς αὐτούς· Διότι εἰς ἐσᾶς ἐδόθη τὸ προνόμιον νὰ γνωρίσετε τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν, εἰς ἐκείνους δὲ δὲν ἔχει δοθῆ».

1. Ἀξίζει νὰ θαυμάσωμεν τοὺς μαθητάς, πῶς, ἐπιθυμοῦντες νὰ μάθουν, ἐγνώριζαν πότε ἔπρεπε νὰ ἐρωτήσουν. Δὲν ἔκαναν δηλαδὴ παρουσίᾳ ὅλων τὴν ἐρώτησιν, πρᾶγμα ποὺ τὸ ἐδήλωσεν ὁ Ματθαῖος, λέγων· «Καὶ ἀφοῦ προσῆλθαν». Καὶ τὸ ὅτι οἱ λόγοι αὐτοὶ δὲν εἶναι φανταστικοί, τὸ ἐδήλωσε σαφέστερα ὁ Μᾶρκος, λέγων ὅτι κατ' ἰδίαν προσῆλθαν εἰς αὐτόν. Αὐτὸ λοιπὸν ἔπρεπε νὰ κάνουν καὶ οἱ ἀδελφοὶ καὶ ἡ μητέρα του, καὶ ὄχι νὰ τὸν καλέσουν ἔξω καὶ νὰ ἐπιδειχθοῦν κατ' αὐτὸν τὸν τρόπον. Ἀλλὰ πρόσεξε καὶ τὴν φιλοστοργίαν αὐτῶν· πῶς δηλαδὴ συζητοῦν μὲ τὸν διδάσκαλόν των χάριν τῶν ἄλλων καὶ κατ' ἀρχὴν ἐνδιαφέρονται δι' ἐκείνους καὶ μετὰ διὰ τοὺς ἑαυτούς των. Διότι λέγουν· «Διατί τοὺς ὁμιλεῖς ἐν παραβολαῖς;». Δὲν εἶπαν, Διατί ὁμιλεῖς πρὸς ἡμᾶς ἐν παραβολαῖς; Ἀλλὰ καὶ εἰς ἄλλας περιπτώσεις φαίνονται μὲ πολλοὺς τρόπους νὰ ἐκδηλώνουν τὴν φιλοστοργίαν των πρὸς ὅλους, ὅπως ἐπὶ παραδείγματι ὅταν λέγουν· «Ἄφησε τὸ πλῆθος νὰ φύγῃ»[1], καὶ ἐπίσης· «Γνωρίζεις ὅτι ἐσκανδαλίσθησαν;»[2]. Καὶ ποίαν ἀπάντησιν λοιπὸν δίδει ὁ Χριστός; «Εἰς ἐσᾶς ἔχει δοθῆ τὸ προνόμιον», λέγει, «νὰ γνωρίσετε τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν, εἰς ἐκείνους δὲ δὲν ἐδόθη αὐτὸ τὸ προνόμιον». Αὐτὸ δὲ τὸ εἶπεν ὄχι διὰ νὰ δηλώσῃ ὅτι αὐτὸ συνέβη κατ' ἀνάγκην, οὔτε ὅτι ἔγινεν ἁπλῶς καὶ ὡς ἔτυχε κάποια προτίμησις πρὸς αὐτούς, ἀλλὰ διὰ νὰ δείξῃ ὅτι αὐτοὶ εἶναι αἴτιοι ὅλων τῶν συμφορῶν, καὶ ἐπειδὴ ἴσως θέλει νὰ καταστήσῃ γνωστὸν ὅτι αὐτὸ τὸ γνώρισμα εἶναι δωρεὰ καὶ χάρις ποὺ δίδεται ἀπὸ ἄνω-

δεδομένη. Οὐ μὴν ἐπειδὴ δωρεά, διὰ τοῦτο τὸ αὐτεξούσιον ἀνῄρηται· καὶ τοῦτο ἐκ τῶν ἑξῆς δῆλον.

Ὅρα γοῦν πῶς, ἵνα μήτε ἐκεῖνοι ἀπογνῶσι, μήτε οὗτοι ῥαθυμήσωσιν, ἀκούσαντες ὅτι δέδοται, δείκνυσι παρ' ἡμῖν
5 *τὴν ἀρχὴν οὖσαν. «Ὅστις γὰρ ἔχει, δοθήσεται αὐτῷ καὶ περισσευθήσεται, ὅστις δὲ οὐκ ἔχει, καὶ ὃ δοκεῖ ἔχειν ἀρθήσεται ἀπ' αὐτοῦ». Καὶ πολλῆς μὲν ἀσαφείας γέμει τὸ εἰρημένον, ἄφατον δὲ δικαιοσύνην ἐνδείκνυται. Ὃ γὰρ λέγει, τοιοῦτόν ἐστιν· ὅταν τις προθυμίαν ἔχῃ καὶ σπουδήν, δοθήσε-*
10 *ται αὐτῷ καὶ τὰ παρὰ τοῦ Θεοῦ ἅπαντα, ὅταν δὲ τούτων κενὸς ᾖ καὶ τὰ παρ' ἑαυτοῦ μὴ εἰσφέρῃ, οὐδὲ τὰ παρὰ τοῦ Θεοῦ δίδοται. Καὶ γὰρ «Ὃ δοκεῖ ἔχειν», φησίν, «ἀρθήσεται ἀπ' αὐτοῦ»· οὐ τοῦ Θεοῦ αἴροντος, ἀλλὰ μὴ καταξιοῦντος αὐτὸν τῶν αὐτοῦ. Τοῦτο καὶ ἡμεῖς ποιοῦμεν· ὅταν ἴδωμέν*
15 *τινα ῥαθύμως, καὶ πολλὰ παρακαλοῦντες προσέχειν μὴ πείθωμεν, σιγῶμεν λοιπόν. Εἰ γὰρ μέλλομεν ἐπιμένειν, ἐπιτείνεται αὐτῷ τὰ τῆς ῥαθυμίας. Τὸν δὲ σπουδάζοντα μαθεῖν ἐπισπώμεθα καὶ πολλὰ ἐγχέομεν. Καὶ καλῶς εἶπε, «Καὶ ὃ δοκεῖ ἔχειν». Οὐδὲ γὰρ αὐτὸ τοῦτο ἔχει.*

20 *Εἶτα καὶ σαφέστερον ὅπερ εἶπεν ἐποίησε, δεικνὺς τί ἐστι τό· «Τῷ ἔχοντι δοθήσεται, ἀπὸ δὲ τοῦ μὴ ἔχοντος, καὶ ὃ δοκεῖ ἔχειν ἀρθήσεται ἀπ' αὐτοῦ». «Διὰ τοῦτο», φησίν, «ἐν παραβολαῖς λαλῶ αὐτοῖς, ὅτι βλέποντες οὐ βλέπουσιν». Οὐκ-*

θεν. Ἐπειδὴ ὅμως εἶναι δωρεὰ δὲν σημαίνει ὅτι ἔχει καταργηθῇ τὸ δικαίωμα νὰ ἐνεργήσουν ἐλευθέρως. Καὶ αὐτὸ καθίσταται φανερὸν ἀπὸ τὰ ὅσα ἐλέχθησαν ἐν συνεχείᾳ.

Πρόσεξε λοιπὸν πῶς φανερώνει ὅτι ἐντὸς ἡμῶν εὑρίσκεται ἡ αἰτία τῆς ἐλευθέρας ἐκλογῆς, ὥστε οὔτε ἐκεῖνοι νὰ ἀπογοητευθοῦν, ἀλλὰ οὔτε καὶ αὐτοὶ ν' ἀδιαφορήσουν ὅταν θὰ ἀκούσουν ὅτι τοὺς ἐδόθη τὸ προνόμιον αὐτό. «Διότι ἐκεῖνος ποὺ ἔχει καλὴν διάθεσιν, θὰ τοῦ δοθῇ καὶ μάλιστα μὲ ἀφθονίαν τὸ χάρισμα τῆς γνώσεως, ἐκεῖνος ὅμως ποὺ δὲν ἔχει αὐτὴν τὴν διάθεσιν θὰ τοῦ ἀφαιρεθῇ καὶ αὐτὸ ποὺ νομίζει ὅτι ἔχει. Καὶ εἶναι μὲν γεμᾶτα ἀπὸ ἀσάφειαν τὰ λεχθέντα, παρὰ ταῦτα ὅμως φανερώνουν ἀνεκδιήγητον δικαιοσύνην. Τὸ νόημα δὲ τῶν λόγων του εἶναι τὸ ἑξῆς. Ὅταν κανεὶς δεικνύῃ προθυμίαν καὶ ἐνδιαφέρον, θὰ δοθοῦν εἰς αὐτὸν ἀπὸ τὸν Θεὸν καὶ ὅλα τὰ ἄλλα, ὅταν ὅμως εἶναι ἄδειος ἀπὸ αὐτὰ καὶ δὲν προσπαθῇ ὅσον ἐξαρτᾶται ἀπὸ τὸν ἴδιον, τότε δὲν τοῦ δίδονται οὔτε καὶ τὰ τοῦ Θεοῦ. Καθόσον, λέγει, «αὐτὸ ποὺ νομίζει ὅτι ἔχει θὰ τοῦ ἀφαιρεθῇ»· ὄχι ὅτι τοῦ τὸ ἀφαιρεῖ ὁ Θεός, ἀλλ' ἐπειδὴ ὁ ἴδιος δὲν ἀξιοποιεῖ αὐτὰ ποὺ εἶχε. Τὸ ἴδιο δὲ κάνομεν καὶ ἡμεῖς· ὅταν δηλαδὴ ἰδοῦμεν κάποιον ν' ἀκούῃ μὲ ραθυμίαν καὶ δὲν ἠμποροῦμεν παρ' ὅλας τὰς παρακλήσεις μας νὰ τὸν πείσωμεν νὰ προσέχῃ παύομεν εἰς τὴν συνέχειαν νὰ ἐπιμένωμεν. Διότι ἐὰν συνεχίσωμεν νὰ ἐπιμένωμεν, τότε μεγαλώνει ἡ ἀδιαφορία του. Ἐκεῖνον ὅμως ποὺ ἐνδιαφέρεται διὰ νὰ μάθῃ τὸν προσελκύομεν καὶ τοῦ διδάσκομεν πάρα πολλά. Καὶ πολὺ ὀρθὰ εἶπε, «καὶ αὐτὸ ποὺ νομίζει ὅτι ἔχει». Διότι οὔτε καὶ αὐτὸ ποὺ νομίζει ὅτι ἔχει τὸ ἔχει.

Ἀκολούθως κατέστησε περισσότερον σαφὲς αὐτὸ ποὺ εἶπεν, ἐξηγήσας τὴν σημασίαν τῶν λόγων του, «εἰς αὐτὸν ποὺ ἔχει θὰ δοθῇ, ἐνῷ ἀπὸ ἐκεῖνον ποὺ δὲν ἔχει, καὶ αὐτὸ ποὺ νομίζει ὅτι ἔχει θὰ τοῦ ἀφαιρεθῇ». «Διὰ τοῦτο», λέγει, «ὁμιλῶ μὲ παραβολὰς πρὸς αὐτούς, διότι ἂν καὶ ἔχουν μάτια, ἐν τούτοις δὲν βλέπουν». Ἔπρεπε λοιπόν, θὰ εἴπῃ κάποιος,

οὖν ἀνοῖξαι ἔδει, φησί, τοὺς ὀφθαλμούς, εἰ μὴ βλέπουσιν. Ἀλλ' εἰ μὲν φύσεως ἡ πήρωσις ἦν, ἀνοῖξαι ἔδει· ἐπειδὴ δὲ ἑκουσία καὶ αὐθαίρετος ἡ πήρωσις, διὰ τοῦτο οὐκ εἶπεν ἁπλῶς, οὐ βλέπουσιν, ἀλλά, «Βλέποντες οὐ βλέπουσιν»· ὥστε 5 τῆς αὐτῶν πονηρίας ἡ πήρωσις. Εἶδον γὰρ καὶ δαίμονας ἐξελθόντας, καὶ ἔλεγον· «Ἐν τῷ Βεελζεβοὺλ ἄρχοντι τῶν δαιμονίων ἐκβάλλει τὰ δαιμόνια». Ἤκουσαν τῷ Θεῷ προσάγοντος αὐτοὺς καὶ πολλὴν πρὸς αὐτὸν ἐπιδεικνυμένου τὴν ὁμόνοιαν καὶ λέγουσιν, ὅτι «Οὐκ ἔστιν οὗτος ἀπὸ τοῦ Θεοῦ». 10 Ἐπεὶ οὖν τἀναντία καὶ ὧν ἔβλεπον καὶ ὧν ἤκουον ἀπεφαίνοντο, διὰ τοῦτο, φησί, καὶ τὸ ἀκούειν ἀπ' αὐτῶν ἀφαιρῶ. Οὐδὲν γὰρ αὐτοῖς ἐντεῦθεν πλέον γίνεται, ἀλλὰ καὶ κρίμα πλέον. Οὐ γὰρ μόνον ἠπίστουν, ἀλλὰ καὶ ἐπετίμων καὶ κατηγόρουν καὶ ἐπεβούλευον. Ἀλλ' οὐ λέγει τοῦτο· οὐ γὰρ βού-15 λεται εἶναι φορτικὸς κατηγορῶν. Οὐκοῦν ἐξ ἀρχῆς οὐχ οὕτως αὐτοῖς διελέχθη, ἀλλὰ μετὰ πολλῆς τῆς σαφηνείας· ἐπειδὴ δὲ διέστρεφον ἑαυτούς, ἐν παραβολαῖς λοιπὸν φθέγγεται.

Εἶτα ἵνα μὴ νομίσῃ τις κατηγορίαν εἶναι ψιλὴν τὰ 20 εἰρημένα, μηδὲ λέγωσιν, ὅτι ἐχθρὸς ἡμῶν ὢν ταῦτα αἰτιᾶται καὶ διαβάλλει, καὶ τὸν προφήτην εἰσάγει τὰ αὐτὰ αὐτῷ ψηφιζόμενον. «Πληροῦται γὰρ αὐτοῖς», φησίν, «ἡ προφητεία Ἠσαΐου ἡ λέγουσα· ἀκοῇ ἀκούσετε καὶ οὐ μὴ συνῆτε καὶ βλέποντες βλέψετε καὶ οὐ μὴ ἴδητε». Εἶδες καὶ τὸν 25 προφήτην μετὰ ταύτης τῆς ἀκριβείας κατηγοροῦντα; Οὐδὲ

---

3. Ματθ. 12, 24.
4. Ἰω. 9, 16.
5. Ματθ. 13, 4. Ἠσ. 6, 9.

ν' ἀνοίξουν τὰ μάτια των, ἐφ' ὅσον τὰ ἔχουν κλειστά. Ἀλλ' ἐὰν μὲν ἡ τύφλωσίς των αὐτὴ ἦτο ἐκ φύσεως, ἔπρεπε ν' ἀνοίξουν τὰ μάτια των, ἐπειδὴ ὅμως ἡ τύφλωσίς των ὀφείλεται εἰς τοὺς ἰδίους καὶ εἶναι αὐθαίρετος διὰ τοῦτο δὲν εἶπεν ἁπλῶς «δὲν βλέπουν», ἀλλὰ «μολονότι ἔχουν μάτια δὲν βλέπουν». Ἑπομένως ἡ τύφλωσίς των ὀφείλεται εἰς τὴν πονηρίαν των. Διότι εἶδαν καὶ δαίμονας νὰ ἐκβάλλωνται ἀπὸ τοὺς δαιμονισμένους καὶ ἔλεγαν· «Μὲ τὴν δύναμιν τοῦ Βεελζεβούλ, τοῦ ἄρχοντος τῶν δαιμόνων, ἐκβάλλει τὰ δαιμόνια»[3]. Τὸν ἤκουσαν νὰ τοὺς ὁδηγῇ πρὸς τὸν Θεὸν καὶ νὰ συμφωνῇ ἀπολύτως πρὸς αὐτὸν καὶ ὅμως λέγουν, ὅτι «δὲν προέρχεται ἀπὸ τὸν Θεόν»[4]. Ἐπειδὴ λοιπὸν διεκήρυσσαν τὰ ἀντίθετα καὶ ἀπὸ ὅσα ἔβλεπαν καὶ ἀπὸ ὅσα ἤκουαν, διὰ τοῦτο λέγει τοὺς ἀφαιρῶ καὶ τὴν δυνατότητα νὰ ἀκούουν. Διότι δὲν ἔχουν νὰ ὠφεληθοῦν τίποτε ἐπὶ πλέον ἐξ αὐτοῦ, ἀντιθέτως μάλιστα αὐξάνουν καὶ ἐπὶ πλέον τὴν καταδίκην των. Διότι ὄχι μόνον δὲν ἐπίστευαν, ἀλλὰ καὶ τὸν κατέκριναν, τὸν κατηγοροῦσαν καὶ τὸν ἐπεβουλεύοντο. Ἀλλ' ὅμως δὲν τὸ λέγει αὐτό· διότι δὲν θέλει νὰ εἶναι σκληρὸς κατήγορός των κατὰ παρόμοιον τρόπον, ἀλλ' αὐτὸ συνέβη μὲ πάρα πολλὴν σαφήνειαν. Ἐπειδὴ ὅμως ἦσαν ἀλλοίθωροι καὶ δὲν τὰ ἔβλεπαν ὅλα αὐτά, διὰ τοῦτο εἰς τὸ ἑξῆς τοὺς ὁμιλεῖ μὲ παραβολάς.

Ἔπειτα διὰ νὰ μὴ νομίσῃ κανεὶς ὅτι τὰ ὅσα ἐλέχθησαν εἶναι ἁπλῶς καὶ μόνον κατηγορίαι καὶ οὔτε νὰ λέγουν, ὅτι, ἐπειδὴ εἶναι ἐχθρός μας, μᾶς κατηγορεῖ δι' ὅλα αὐτὰ καὶ μᾶς διαβάλλει, ἐπικαλεῖται καὶ τοὺς λόγους τοῦ προφήτου ποὺ συμφωνοῦν μὲ τοὺς ἰδικούς του. Διότι, λέγει, «Εἰς αὐτοὺς εὑρίσκει πλήρη ἐφαρμογὴν ἡ προφητεία τοῦ Ἠσαΐου ποὺ λέγει· Θὰ ἀκούσετε μὲ τὰ αὐτιά σας καὶ δὲν θὰ καταλαβαίνετε καὶ θὰ βλέπετε μὲ τὰ μάτια σας καὶ δὲν θὰ κατανοῆτε»[5]. Εἶδες ὅτι εἶναι ἀκριβῶς ἰδία καὶ ἡ κατηγορία τοῦ προφήτου; Διότι οὔτε καὶ αὐτὸς εἶπεν, Ὅτι δὲν βλέπετε, ἀλλὰ «Θὰ βλέπετε καὶ δὲν θὰ κατανοῆτε»· οὔτε εἶπεν, Ὅτι δὲν

γὰρ αὐτὸς εἶπεν, ὅτι οὐ βλέπετε, ἀλλά, «Βλέψετε καὶ οὐ μὴ ἴδητε»· οὐδ' ὅτι οὐκ ἀκούσεσθε, ἀλλ' ὅτι «Ἀκούσετε καὶ οὐ μὴ συνῆτε». Ὥστε αὐτοὶ ἑαυτοὺς ἀφείλοντο πρῶτον, τὰ ὦτα βύσαντες, τοὺς ὀφθαλμοὺς μύσαντες, τὴν καρδίαν παχύναν-5 τες. Οὐ γὰρ μόνον οὐκ ἤκουον, ἀλλὰ καὶ «Βαρέως ἤκουον». ἐποίησαν δὲ τοῦτο, φησί, «Μήποτε ἐπιστρέψωσι καὶ ἰάσωμαι αὐτούς»· τὴν ἐπιτεταμένην αὐτῶν λέγων πονηρίαν καὶ τὴν μετὰ σπουδῆς ἀποστροφήν.

2. Καὶ τοῦτο λέγει, ἐφελκόμενος αὐτοὺς καὶ ἐρεθίζων, 10 καὶ δεικνὺς ὅτι, ἐὰν ἐπιστρέψωσιν, ἰάσεται αὐτούς· ὥσπερ ἂν εἴ τις λέγοι· 'οὐκ ἐβουλήθη με ἰδεῖν καὶ χάριν ἔχω· εἰ γὰρ ἠξιώθην, εὐθέως ἐνδιδόναι ἔμελλον'. Τοῦτο δὲ λέγει, δεικνὺς πῶς ἂν καταλλαγείη. Οὕτω δὴ καὶ ἐνταῦθά φησι· «Μήποτε ἐπιστρέψωσι καὶ ἰάσωμαι αὐτούς», δεικνὺς ὅτι καὶ 15 τὸ ἐπιστραφῆναι δυνατὸν καὶ μετανοήσαντας ἔνι σωθῆναι· καὶ ὅτι οὐκ εἰς τὴν αὐτοῦ δόξαν, ἀλλ' εἰς τὴν αὐτῶν σωτηρίαν ἅπαντα ἐποίει. Εἰ γὰρ μὴ ἐβούλετο αὐτοὺς ἀκοῦσαι καὶ σωθῆναι, σιγῆσαι ἔδει, οὐχὶ ἐν παραβολαῖς λέγειν· νῦν δὲ αὐτῷ τούτῳ κινεῖ αὐτούς, τῷ συνεσκιασμένα λέγειν. «Ὁ γὰρ 20 Θεὸς οὐ βούλεται τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν». Ὅτι γὰρ οὐ φύσεως τὸ ἁμάρτημα, οὐδὲ ἀνάγκης καὶ βίας, ἄκουσον τί φησι πρὸς τοὺς ἀποστόλους· «Ὑμῶν δὲ μακάριοι οἱ ὀφθαλμοί, ὅτι βλέπουσι, καὶ τὰ ὦτα ὑμῶν, ὅτι ἀκούουσι»· οὐ ταύτην λέγων τὴν ὄψιν, οὐδὲ 25 τὴν ἀκοήν, ἀλλὰ τὴν ἀπὸ διανοίας. Καὶ γὰρ καὶ οὗτοι Ἰουδαῖοι ἦσαν καὶ ἐν τοῖς αὐτοῖς τεθραμμένοι· ἀλλ' ὅμως οὐδὲν παρεβλάβησαν ἀπὸ τῆς προφητείας, ἐπειδὴ τὴν ῥίζαν τῶν

6. Ἰεζ. 18, 23.

θὰ ἀκούετε, ἀλλὰ «Θὰ ἀκούσετε καὶ δὲν θὰ καταλαβαίνετε». Ὥστε λοιπὸν ἀπὸ τὴν ἀρχὴν αὐτοὶ οἱ ἴδιοι ἀπεμάκρυναν τοὺς ἑαυτούς των ἀπὸ τὴν δυνατότητα νὰ σωθοῦν, ἀφοῦ ἐβούλωσαν τὰ αὐτιά των, ἔκλεισαν τὰ μάτια των καὶ ἐσκλήρυναν τὴν καρδίαν των. Διότι ὄχι μόνον δὲν ἐπρόσεχαν τὰς ἐντολὰς τοῦ Θεοῦ, ἀλλὰ καὶ «τὰς ἤκουαν μὲ δυσφορίαν». Αὐτὸ δὲ τὸ ἔκαναν, λέγει, «μήπως ἐπιστρέψουν καὶ τοὺς θεραπεύσω», ἐννοῶν μὲ αὐτὰ τὴν μεγάλην πονηρίαν των καὶ τὴν κατὰ τρόπον πολὺ πεισματώδη ἀποστροφήν των.

2. Καὶ αὐτὸ τὸ λέγει μὲ σκοπὸν νὰ τοὺς προσελκύσῃ καὶ νὰ διεγείρῃ τὴν προσοχήν των, καὶ νὰ τοὺς δείξῃ, ὅτι θὰ τοὺς θεραπεύσῃ ἐὰν ἐπιστρέψουν. Εἶναι ὡσὰν νὰ ἔλεγε κάποιος· 'Δὲν ἠθέλησε νὰ μὲ ἰδῇ καὶ τὸν εὐγνωμονῶ· διότι ἐὰν ἠξιωνόμουν νὰ τὸν ἰδῶ, ἐπρόκειτο ἀμέσως νὰ ὑποχωρήσω'. Αὐτὸ δὲ τὸ λέγει διὰ νὰ δείξῃ μὲ ποῖον τρόπον θὰ ἦτο δυνατὸν νὰ συμφιλιωθῇ. Τὸ ἴδιο βέβαια λέγει καὶ ἐδῶ· «μήπως κάποτε ἐπιστρέψουν καὶ τοὺς θεραπεύσω», δεικνύων ὅτι καὶ ἡ ἐπιστροφὴ εἶναι δυνατή, καὶ ὅτι, ἐφ' ὅσον μετανοήσουν, εἶναι δυνατὸν νὰ σωθοῦν· καὶ ὅτι ὅλα τὰ ἔκαμνεν ὄχι διὰ τὴν δόξαν του, ἀλλὰ χάριν τῆς σωτηρίας των. Διότι ἐὰν δὲν ἤθελε νὰ ἀκούσουν καὶ νὰ σωθοῦν, ἔπρεπε νὰ σιγίσῃ καὶ νὰ μὴ τοὺς ὡμιλοῦσε μὲ παραβολάς. Τώρα ὅμως ἀκριβῶς διὰ τοῦτο τὸ πρᾶγμα τοὺς προτρέπει, μὲ τὸ νὰ τοὺς ὁμιλῇ κατὰ τρόπον ἀλληγορικόν. «Διότι ὁ Θεὸς δὲν θέλει τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλ' ἐπιμένει διὰ νὰ ἐπιστρέψῃ καὶ νὰ ζήσῃ καὶ αὐτός»[6]. Τὸ ὅτι βέβαια ἡ ἁμαρτία δὲν ὀφείλεται εἰς τὴν φύσιν, οὔτε εἶναι ἀποτέλεσμα ἀνάγκης καὶ βίας, ἄκουσε τί λέγει πρὸς τοὺς ἀποστόλους. «Ἀξιομακάριστα εἶναι τὰ μάτια σας, διότι βλέπουν, καὶ τὰ αὐτιά σας, διότι ἀκούουν». Δὲν ἐννοῶ δὲ τὴν ὅρασιν οὔτε τὴν ἀκοὴν τοῦ σώματος, ἀλλὰ τῆς διανοίας. Καθόσον καὶ οἱ ἀπόστολοι ἦσαν Ἰουδαῖοι καὶ εἶχαν τὴν αὐτὴν ἀνατροφὴν μὲ αὐτούς, ἀλλ' ὅμως δὲν ὑπέστησαν καμμίαν βλάβην ἀπὸ τὴν προφη-

ἀγαθῶν εἶχον εὖ διακειμένην, τὴν προαίρεσιν λέγω καὶ τὴν γνώμην.

Ὁρᾷς ὅτι τό, «Ὑμῖν δέδοται», οὐκ ἀνάγκης ἦν; Οὐδὲ γὰρ ἂν ἐμακαρίσθησαν, εἰ μὴ αὐτῶν ἦν τὸ κατόρθωμα. Μὴ 5 γάρ μοι τοῦτο εἴπῃς, ὅτι ἀσαφῶς ἐλέγετο· ἠδύναντο γὰρ καὶ προσελθεῖν καὶ ἐρωτῆσαι, καθάπερ οἱ μαθηταί· ἀλλ' οὐκ ἠθέλησαν, ῥάθυμοι ὄντες καὶ ἀναπεπτωκότες. Τί λέγω, οὐκ ἠθέλησαν; Καὶ τὰ ἐναντία μὲν οὖν ἐποίουν. Οὐ γὰρ μόνον ἠπίστουν, οὐδὲ μόνον οὐκ ἤκουον, ἀλλὰ καὶ ἐπολέμουν καὶ 10 σφόδρα ἀηδῶς εἶχον πρὸς τὰ λεγόμενα· ὅπερ τὸν προφήτην εἰσάγει κατηγοροῦντα τῷ λέγειν, «Βαρέως ἤκουσαν».

Ἀλλ' οὐ κἀκεῖνοι τοιοῦτοι· διὸ καὶ ἐμακάριζεν αὐτούς. Καὶ ἑτέρωθεν δὲ αὐτοὺς βεβαιοῖ πάλιν, λέγων· «Ἀμὴν γὰρ λέγω ὑμῖν, πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν ἰδεῖν ἃ 15 βλέπετε καὶ οὐκ εἶδον, καὶ ἀκοῦσαι ἃ ἀκούετε καὶ οὐκ ἤκουσαν»· τὴν παρουσίαν τὴν ἐμήν, φησί, τὰ θαύματα αὐτά, τὴν φωνήν, τὴν διδασκαλίαν. Ἐνταῦθα γὰρ οὐχὶ τῶν διεφθαρμένων τούτων, ἀλλὰ καὶ τῶν κατωρθωκότων αὐτοὺς προτίθησι· καὶ γὰρ καὶ ἐκείνων μακαριωτέρους αὐτοὺς εἶναί 20 φησι. Τί δήποτε; Ὅτι οὐ μόνον ἅπερ οἱ Ἰουδαῖοι οὐκ εἶδον, βλέπουσιν οὗτοι, ἀλλὰ καὶ ἅπερ ἐκεῖνοι ἐπεθύμησαν ἰδεῖν. Ἐκεῖνοι μὲν γὰρ τῇ πίστει μόνον ἐθεάσαντο, οὗτοι δὲ καὶ τῇ ὄψει, καὶ πολλῷ σαφέστερον. Εἶδες πῶς πάλιν τὴν παλαιὰν συνάπτει τῇ καινῇ, δεικνὺς οὐ μόνον εἰδότας ἐκείνους

τείαν, ἐπειδὴ εἶχαν εὐμενῶς διακειμένην τὴν προαίρεσιν καὶ τὴν διάθεσιν, ποὺ ἀποτελεῖ τὴν ρίζαν τῶν ἀγαθῶν.

Βλέπεις ὅτι τὸ «ἐδόθη εἰς ἐσᾶς» δὲν ἦτο ἀποτέλεσμα ἀνάγκης; Διότι δὲν θὰ ἐμακαρίζοντο, ἐὰν τὸ κατόρθωμα δὲν ἦτο προσωπικόν. 'Αλλά, σὲ παρακαλῶ, μὴ μοῦ εἴπῃς, ὅτι δὲν ἦσαν σαφῆ αὐτὰ ποὺ τοὺς ἔλεγε· διότι ἠμποροῦσαν νὰ τὸν πλησιάσουν καὶ νὰ τὸν ἐρωτήσουν, ὅπως ἀκριβῶς ἔκαναν καὶ οἱ μαθηταί του. 'Αλλὰ δὲν ἠθέλησαν, ἐπειδὴ ἦσαν ράθυμοι καὶ ἀναίσθητοι. 'Αλλὰ διατί λέγω δὲν ἠθέλησαν; Διότι ἔκαμναν τὰ τελείως ἀντίθετα. Ὄχι δηλαδὴ μόνον δὲν ἐπίστευαν, οὔτε μόνον δὲν ἤκουαν, ἀλλὰ καὶ τὸν κατεπολεμοῦσαν καὶ περιφρονοῦσαν τελείως τοὺς λόγους του· καὶ ἀκριβῶς διὰ τοῦτο παρουσιάζει τὸν προφήτην νὰ τοὺς κατηγορῇ, λέγων «μὲ δυσφορίαν ἤκουσαν».

'Αλλ' ὅμως δὲν ἦσαν τέτοιοι καὶ οἱ μαθηταί του, διὰ τοῦτο δὲ καὶ τοὺς ἐμακάριζε. Καὶ εἰς ἄλλην εὐκαιρίαν τοὺς παρέχει τὴν ἰδίαν διαβεβαίωσιν πάλιν, λέγων· «'Αληθῶς σᾶς λέγω, πολλοὶ προφῆται καὶ δίκαιοι ἐπεθύμησαν νὰ ἰδοῦν αὐτὰ ποὺ βλέπετε σεῖς καὶ δὲν τὰ εἶδαν, καὶ νὰ ἀκούσουν αὐτὰ ποὺ ἀκούετε σεῖς καὶ δὲν τὰ ἤκουσαν»· καὶ λέγων αὐτὰ ἐννοῶ τὴν ἔλευσίν μου εἰς τὸν κόσμον, αὐτὰ τὰ θαύματα, τὴν φωνήν, τὴν διδασκαλίαν μου. Εἰς τὴν προκειμένην δηλαδὴ περίπτωσιν τοὺς παρουσιάζει ὡς καλυτέρους ὄχι μόνον ἀπὸ τοὺς διεφθαρμένους, ἀλλὰ καὶ ἀπὸ ἐκείνους ποὺ εἶχαν προκόψει εἰς τὴν ἀρετήν, καθόσον λέγει, ὅτι εἶναι περισσότερον ἀξιομακάριστοι αὐτοὶ ἀπὸ ἐκείνους. Καὶ τί σημαίνουν οἱ λόγοι αὐτοί; Σημαίνουν ὅτι αὐτοὶ βλέπουν ὄχι μόνον ὅσα δὲν εἶδαν οἱ 'Ιουδαῖοι, ἀλλὰ καὶ ὅσα ἐπεθύμησαν ἐκεῖνοι νὰ ἰδοῦν. Διότι ἐκεῖνοι μὲν τὸν εἶδαν μόνον διὰ τῆς πίστεως, ἐνῷ αὐτοὶ τὸν βλέπουν καὶ μὲ τὰ μάτια των καὶ πολὺ πιὸ καθαρώτερα. Βλέπεις πῶς πάλιν συνδέει τὴν Παλαιὰν Διαθήκην μὲ τὴν Καινήν, παρουσιάζων ὄχι μόνον ἐκείνους νὰ γνωρίζουν τὰ μέλλοντα νὰ συμβοῦν, ἀλλὰ καὶ μὲ τὸ νὰ τὰ ἐπιθυμοῦν πάρα πολύ; Δὲν θὰ ἦτο δὲ δυνατὸν

τὰ μέλλοντα, ἀλλὰ καὶ σφόδρα ἐπιθυμοῦντας; Οὐκ ἂν δέ, εἰ ἀλλοτρίου τινὸς καὶ ἐναντίου Θεοῦ ἦσαν, ἐπεθύμησαν ἄν.

«Ὑμεῖς οὖν ἀκούσατε τὴν παραβολὴν τοῦ σπείροντος», φησί· καὶ λέγει τὰ ἔμπροσθεν ἡμῖν εἰρημένα, τὰ περὶ ῥαθυ-
5 μίας καὶ σπουδῆς, τὰ περὶ δειλίας καὶ ἀνδρείας, τὰ περὶ χρημάτων καὶ ἀκτημοσύνης· δεικνὺς τὴν ἐκεῖθεν βλάβην καὶ τὴν ἐντεῦθεν ὠφέλειαν. Εἶτα καὶ τῆς ἀρετῆς εἰσάγει διαφόρους τρόπους. Φιλάνθρωπος γὰρ ὤν, οὐ μίαν ἔτεμεν ὁδόν, οὐδὲ εἶπεν, ἐὰν μή τις ἑκατὸν ποιήσῃ, ἐξέπεσεν· ἀλλὰ
10 καὶ ὁ τὰ ἑξήκοντα ποιῶν σῴζεται· καὶ οὐχ οὗτος μόνος, ἀλλὰ καὶ ὁ τὰ τριάκοντα. Τοῦτο δὲ ἐποίησεν, εὔκολον κατασκευάζων τὴν σωτηρίαν.

Καὶ σὺ τοίνυν οὐ δύνασαι παρθενίαν ἀσκῆσαι. Γάμησον σωφρόνως. Οὐ δύνασαι γενέσθαι ἀκτήμων; Δὸς ἐκ τῶν
15 ὄντων. Οὐ φέρεις ἐκεῖνο τὸ φορτίον; Μέρισαι μετὰ τοῦ Χριστοῦ τὰ ὑπάρχοντα. Οὐ βούλει αὐτῷ παραχωρῆσαι ἁπάντων; Κἂν τὴν ἡμίσειαν, κἂν τὴν τρίτην ἐπίδος μοῖραν. Ἀδελφός σού ἐστι καὶ συγκληρονόμος· ποίησον αὐτὸν καὶ ἐνταῦθα συγκληρονόμον. Ὅσα ἂν ἐκείνῳ δῷς, σαυτῷ δώσεις.
20 Οὐκ ἀκούεις τί φησιν ὁ προφήτης; «Τοὺς οἰκείους τοῦ σπέρματός σου οὐχ ὑπερόψει». Εἰ δὲ συγγενεῖς ὑπερορᾶν οὐ χρή, πολλῷ μᾶλλον τὸν Δεσπότην, μετὰ τῆς δεσποτείας καὶ τὸ τῆς συγγενείας δικαίωμα πρὸς σὲ ἔχοντα, καὶ πολλῷ πλείονα ἕτερα. Καὶ γὰρ καὶ μεριστήν σε ἐποίησε τῶν αὐτοῦ, οὐδὲν
25 παρὰ σοῦ λαβών, ἀλλὰ καὶ κατάρξας τῆς ἀφάτου ταύτης εὐεργεσίας. Πῶς οὖν οὐκ ἐσχάτης ἀνοίας τὸ μηδὲ τῇ δωρεᾷ ταύτῃ γενέσθαι φιλάνθρωπον, μηδὲ ἀμοιβὴν ἀντὶ χάριτος

7. Ἡσ. 58, 7.

νὰ τὰ ἐπιθυμήσουν, ἐὰν ἦσαν ὀπαδοὶ κάποιου ξένου καὶ ἀντιθέτου Θεοῦ.

«Σεῖς λοιπόν», λέγει, «ἠκούσατε τὴν παραβολὴν τοῦ σπορέως»· καὶ ἀναφέρει ὅλα ὅσα προηγουμένως ἐλέχθησαν, δηλαδὴ τὰ περὶ ραθυμίας καὶ προσπαθείας, τὰ περὶ δειλίας καὶ ἀνδρείας, τὰ περὶ χρημάτων καὶ ἀκτημοσύνης, δεικνύων ἔτσι τὴν βλάβην ποὺ προέρχεται ἀπὸ τὸ ἕνα μέρος καὶ τὴν ὠφέλειαν ἀπὸ τὸ ἄλλο. Εἰς τὴν συνέχειαν δὲ παρουσιάζει καὶ τοὺς διαφόρους τρόπους τῆς ἀρετῆς. Διότι ὡσὰν φιλάνθρωπος ποὺ εἶναι δὲν ὥρισε μίαν μόνον ὁδόν, οὔτε εἶπεν, ἐὰν κανεὶς δὲν αὐξήσῃ εἰς ἑκατὸν αὐτὰ ποὺ ἔλαβε θὰ χαθῇ· ἀλλὰ καὶ αὐτὸς ποὺ τὰ αὐξάνει εἰς ἑξήντα, σώζεται· καὶ ὄχι μόνον αὐτός, ἀλλὰ καὶ αὐτὸς ποὺ τὰ αὐξάνει εἰς τριάντα. Αὐτὸ δὲ τὸ ἔκανε, διὰ νὰ κάνῃ εὔκολον τὴν σωτηρίαν.

Καὶ σὺ λοιπὸν δὲν ἠμπορεῖς ν' ἀσκήσῃς παρθενίαν; Σύναψε γάμον μὲ σωφροσύνην. Δὲν ἠμπορεῖς ν' ἀσκήσῃς τὴν ἀκτημοσύνην; Δῶσε κάτι ἀπὸ αὐτὰ ποὺ ἔχεις. Δὲν ἠμπορεῖς νὰ σηκώνῃς ἐκεῖνο τὸ φορτίον; Μοίρασε τὰ ὑπάρχοντά σου μὲ τὸν Χριστόν. Δὲν θέλεις νὰ τοῦ τὰ παραχωρήσῃς ὅλα; Δῶσέ του ἔστω καὶ τὰ μισὰ ἢ καὶ τὸ ἕνα τρίτον μόνον. Ἀδελφός σου εἶναι καὶ συγκληρονόμος· κάνε του καὶ εἰς τὴν ἐδῶ ζωὴν συγκληρονόμον. Ὅσα ἤθελες δώσει εἰς ἐκεῖνον, τὰ δίδεις εἰς τὸν ἑαυτόν σου. Δὲν ἀκούεις τί λέγει ὁ προφήτης; «Τοὺς ἰδικούς σου συγγενεῖς δὲν θὰ τοὺς περιφρονήσῃς»[7]. Ἐὰν λοιπὸν δὲν πρέπει νὰ περιφρονοῦμεν τοὺς συγγενεῖς, πολὺ περισσότερον δὲν πρέπει νὰ περιφρονοῦμεν τὸν Δεσπότην, ποὺ σοῦ ἔδωσεν ὄχι μόνον τὸ δικαίωμα τῆς δεσποτείας ἀλλὰ καὶ τῆς συγγενείας καὶ ἄλλα ἀκόμη πολὺ περισσότερα. Καθόσον καὶ μέτοχον τῶν ἀγαθῶν του σὲ κατέστησε, χωρὶς μάλιστα νὰ πάρῃ τίποτε ἀπὸ σένα, ἀλλὰ καὶ πρῶτος ἔκαμεν ἀρχὴν τῆς ἀνεκφράστου αὐτῆς εὐεργεσίας. Ἑπομένως πῶς δὲν εἶναι ἐσχάτη ἀνοησία τὸ νὰ μὴ γίνῃ κανεὶς φιλάνθρωπος οὔτε χάριν αὐτῆς τῆς δωρεᾶς, οὔτε νὰ δώσῃ ἀμοιβὴν ἔναντι τῆς χάριτος, καὶ νὰ

δοῦναι, καὶ ἐλάττονα ἀντὶ μειζόνων; Αὐτὸς μὲν γάρ σε τῶν οὐρανῶν κληρονόμον ἐποίησε, σὺ δὲ αὐτῷ οὐδὲ τῶν ἐν τῇ γῇ μεταδίδως; Αὐτός σε οὐδὲν κατωρθωκότα, ἀλλὰ καὶ ἐχθρὸν ὄντα κατήλλαξε, σὺ δὲ οὐδὲ φίλον ὄντα καὶ εὐεργέ- 5 *την ἀμείβῃ; καίτοιγε καὶ πρὸ τῆς βασιλείας καὶ πρὸ τῶν ἄλλων ἁπάντων καὶ ὑπὲρ αὐτοῦ τοῦ δοῦναι χάριν δίκαιον ἔχειν αὐτῷ; Καὶ γὰρ καὶ οἰκέται, δεσπότας ἐπ' ἄριστον καλοῦντες, οὐ παρέχειν, ἀλλὰ λαμβάνειν νομίζουσιν· ἐνταῦθα δὲ τοὐναντίον γέγονεν. Οὐ γὰρ ὁ οἰκέτης τὸν δεσπότην, ἀλλὰ* 10 *ὁ δεσπότης τὸν οἰκέτην πρῶτος ἐκάλεσεν ἐπὶ τὴν αὐτοῦ τράπεζαν· σὺ δὲ οὐδὲ μετὰ τοῦτο καλεῖς; Πρῶτός σε εἰς τὴν αὐτοῦ στέγην εἰσήγαγε· σὺ δὲ οὐδὲ δεύτερος; Γυμνὸν ὄντα σε περιέβαλε· σὺ δὲ οὐδὲ μετὰ ταῦτα ξένον ὄντα συνάγεις; Πρῶτος σε ἐπότισε τὸ ἑαυτοῦ ποτήριον· σὺ δὲ οὐδὲ* 15 *ψυχροῦ μεταδίδως ὕδατος; Ἐπότισέ σε Πνεῦμα ἅγιον· σὺ δὲ οὐδὲ τὴν σωματικὴν παραμυθῇ δίψαν; Ἐπότισέ σε Πνεῦμα, ἄξιον ὄντα κολάσεως· σὺ δὲ καὶ διψῶντα περιορᾷς, καὶ ταῦτα ἐκ τῶν αὐτοῦ μέλλων ἅπαντα ταῦτα ποιεῖν;*

3. Οὐ γὰρ μέγα ἡγῇ τὸ ποτήριον κατασχεῖν, ἐξ οὗ πί- 20 *νειν ὁ Χριστὸς μέλλει, καὶ προσάγειν τῷ στόματι; Οὐχ ὁρᾷς, ὅτι τῷ ἱερεῖ μόνῳ θέμις τὸ τοῦ αἵματος ἐπιδιδόναι ποτήριον; Ἐγὼ δὲ οὐδὲν ὑπὲρ τούτων ἀκριβολογοῦμαι, φησίν, ἀλλὰ κἂν αὐτὸς ἐπιδῷς, δέχομαι· κἂν λαϊκὸς ᾖς, οὐ παραιτοῦμαι. Καὶ οὐκ ἀπαιτῶ οἷον ἔδωκα· οὐ γὰρ αἷμα ζητῶ,* 25 *ἀλλ' ὕδωρ ψυχρόν. Ἐννόησον τίνα ποτίζεις, καὶ φρίξον.*

προσφέρῃ ἐλάχιστα, ἔναντι τόσον πολλῶν καὶ σπουδαίων ποὺ ἔλαβε; Διότι αὐτὸς μὲν σὲ ἔκανε κληρονόμον τῶν οὐρανῶν, ἐνῷ σὺ δὲν τοῦ δίδεις οὔτε τὰ γήινα πράγματά σου; Αὐτός, χωρὶς καμμίαν ἰδικήν σου προκοπήν, ἀλλὰ καὶ μολονότι ἤσουν ἐχθρός του, σὲ συνεφιλίωσε μὲ τὸν ἑαυτόν του, σὺ δὲ δὲν δίδεις οὔτε εἰς αὐτὸν ποὺ εἶναι φίλος καὶ εὐεργέτης σου; Ἆρα γε δὲν θὰ ἦτο δίκαιον πρὶν ἀπὸ τὴν βασιλείαν καὶ πρὶν ἀπὸ ὅλας τὰς δωρεὰς νὰ εὐγνωμονῇ κανεὶς αὐτὸν καὶ διὰ τὸν λόγον ὅτι τοῦ χαρίζει ὅλας αὐτάς; Καθόσον καὶ οἱ δοῦλοι, ὅταν προσκαλοῦν τοὺς κυρίους των διὰ νὰ τοὺς προσφέρουν γεῦμα, πιστεύουν ὅτι δὲν προσφέρουν, ἀλλὰ λαμβάνουν. Ἐδῶ ὅμως συνέβη τὸ ἀντίθετον. Διότι δὲν προσεκάλεσεν ὁ δοῦλος τὸν κύριόν του, ἀλλ' ὁ Κύριος πρῶτος προσεκάλεσε τὸν δοῦλον του εἰς τὴν τράπεζάν του. Σὺ ὅμως οὔτε καὶ μετὰ ἀπὸ αὐτὸ τὸν προσκαλεῖς; Πρῶτος σὲ ἔβαλε μέσα εἰς τὴν οἰκίαν του, σὺ ὅμως δὲν κάνεις τὸ ἴδιο οὔτε καὶ δεύτερος; Αὐτὸς ὅταν σὺ ἤσουν γυμνὸς σὲ ἐνέδυσε, σὺ ὅμως δὲν τὸν βάζεις εἰς τὴν οἰκίαν σου, τώρα ποὺ εἶναι ξένος, οὔτε καὶ μετὰ ἀπὸ αὐτά; Πρῶτος σὲ ἐπότισεν ἀπὸ τὸ ποτήριόν του, ἀλλὰ σὺ δὲν τοῦ δίδεις οὔτε κρύο νερό; Σὲ ἐπότισε μὲ τὸ ἅγιον Πνεῦμα, σὺ δὲ δὲν ἱκανοποιεῖς οὔτε τὴν σωματικήν του δίψαν; Αὐτός, ἂν καὶ εἶσαι ἄξιος κολάσεως, σὲ ἐπότισε μὲ Πνεῦμα, σὺ δὲ ἂν καὶ διψῇ τὸν περιφρονεῖς, ἂν καὶ πρόκειται ὅλα αὐτὰ νὰ τὰ κάνῃς ἀπὸ τὰς ἰδικάς του δωρεάς;

3. Δὲν θεωρεῖς δηλαδὴ σπουδαῖον πρᾶγμα τὸ νὰ κρατήσῃς εἰς τὰ χέρια σου τὸ ποτήριον, ἀπὸ τὸ ὁποῖον πρόκειται νὰ πιῇ ὁ Χριστός, καὶ νὰ τὸ φέρῃς εἰς τὸ στόμα σου; Δὲν βλέπεις ὅτι μόνον εἰς τὸν ἱερέα ἐπιτρέπεται νὰ προσφέρῃ τὸ ποτήριον τοῦ αἵματος; Ἐγὼ ὅμως, λέγει, δὲν ἔχω ἀκριβῆ ἀπαίτησιν δι' ὅλα αὐτά, ἀλλὰ δέχομαι καὶ ἂν ἀκόμη ὁ ἴδιος τὸ προσφέρῃς· καὶ ἂν ἀκόμη εἶσαι λαϊκὸς δὲν σὲ ἀποφεύγω. Καὶ δὲν ζητῶ νὰ μοῦ δώσῃς αὐτὸ ποὺ σοῦ ἔδωσα· διότι δὲν σοῦ ζητῶ αἷμα, ἀλλὰ κρύο νερό. Ἀναλογίσου ποῖον ποτίζεις

Ἐννόησον ὅτι ἱερεὺς τοῦ Χριστοῦ γίνῃ σύ, ἰδίᾳ χειρὶ διδούς, οὐ σάρκα, ἀλλ' ἄρτον, οὐχ αἷμα, ἀλλὰ ψυχροῦ ὕδατος ποτήριον. Ἐνέδυσέ σε ἱμάτιον σωτηρίου καὶ ἐνέδυσέ σε δι' ἑαυτοῦ· σὺ κἂν διὰ τοῦ παιδὸς ἔνδυσον. Ἐποίησέ σε ἔνδοξον ἐν οὐρανοῖς· σὺ τῆς φρίκης ἀπάλλαξον καὶ τῆς γυμνότητος καὶ τῆς ἀσχημοσύνης. Ἐποίησέ σε ἀγγέλων πολίτην· σὺ κἂν στέγης μετάδος μόνον, κἂν ὡς τῷ οἰκέτῃ τῷ σῷ δὸς οἰκίαν· οὐκ ἀποστρέφομαι τουτὶ τὸ καταγώγιον, καὶ ταῦτά σοι τὸν οὐρανὸν ἀνοίξας ἅπαντα. Ἀπήλλαξά σε φυλακῆς χαλεπωτάτης· ἐγὼ τοῦτο οὐκ ἀπαιτῶ, οὐδὲ λέγω, ἀπάλλαξόν με· ἀλλ' ἂν ἴδῃς με μόνον δεδεμένον, ἀρκεῖ τοῦτο εἰς παραμυθίαν ἐμοί. Νεκρὸν ὄντα ἀνέστησα· ἐγὼ τοῦτο παρὰ σοῦ οὐκ ἀπαιτῶ, ἀλλὰ λέγω, ἐπίσκεψαί με μόνον ἀρρωστοῦντα.

Ὅταν οὖν οὕτως ᾖ μεγάλα τὰ δεδομένα καὶ πολὺ κοῦφα τὰ ἀπαιτούμενα καὶ μηδὲ ταῦτα παρέχωμεν, πόσης οὐκ ἂν εἴημεν ἄξιοι γεέννης; Εἰκότως εἰς τὸ πῦρ ἄπιμεν τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, πέτρας ὄντες ἀναισθητότεροι. Πόσης γὰρ ἀναισθησίας, εἰπέ μοι, τοσαῦτα λαβόντας, τοσαῦτα ληψομένους, χρημάτων εἶναι δούλους, ὧν μικρὸν ὕστερον ἀποστησόμεθα καὶ ἄκοντες; Καὶ ἕτεροι μὲν καὶ τὴν ψυχὴν ἐπέδωκαν καὶ τὸ αἷμα ἐξέχεαν· σὺ δὲ οὐδὲ τὰ περιττὰ προΐεσαι ὑπὲρ τῶν οὐρανῶν, ὑπὲρ τῶν τοσούτων στεφάνων; Καὶ ποίας ἂν εἴης ἄξιος συγγνώμης, τίνος ἀπολογίας, ἐν μὲν τῷ σπόρῳ τῆς γῆς πάντα ἡδέως προϊέμενος, καὶ ἐν τῷ δανείζειν ἀνθρώποις οὐδενὸς

καὶ φρίξε. Σκέψου, ὅτι σὺ γίνεσαι ἱερεὺς τοῦ Χριστοῦ, δίδων μὲ τὸ ἴδιο τὸ χέρι σου, ὄχι σάρκα, ἀλλὰ ἄρτον, ὄχι αἷμα, ἀλλὰ ποτήριον ψυχροῦ ὕδατος. Σὲ ἐνέδυσε μὲ τὸ ἔνδυμα τῆς σωτηρίας, σὲ ἐνέδυσε μὲ τὸν ἴδιον τὸν ἑαυτόν του· σὺ ἔνδυσέ τον ἔστω καὶ μὲ τὸ ἔνδυμα δούλου. Σὲ ἔκανεν ἔνδοξον εἰς τοὺς οὐρανούς· σὺ τουλάχιστον ἀπάλλαξέ τον ἀπὸ τὴν φρίκην καὶ τὴν γυμνότητα καὶ τὴν ἀσχημοσύνην. Σὲ ἔκανε συμπολίτην τῶν ἀγγέλων· σὺ δῶσέ του ἔστω καὶ στέγην μόνον, δέξου τον εἰς τὴν οἰκίαν σου ἔστω καὶ ὅπως θὰ ἐδέχεσο τὸν ὑπηρέτην σου· δὲν περιφρονῶ αὐτὸ ἐδῶ τὸ καταφύγιον, καὶ ἂν ἀκόμη πρὸς χάριν σου ἤνοιξα ὁλόκληρον τὸν οὐρανόν. Σὲ ἀπήλλαξα ἀπὸ πάρα πολὺ φοβερὰν φυλακήν· ἐγὼ δὲν ζητῶ αὐτό, οὔτε λέγω, ἀπάλλαξέ με καὶ σύ· ἀλλὰ καὶ μόνον νὰ μὲ ἰδῇς μὲ συμπάθειαν, ὅταν θὰ εἶμαι δεμένος, ἀρκεῖ αὐτὸ διὰ νὰ μὲ παρηγορήσῃ. Ἐγὼ ἐνῷ ἤσουν νεκρός, σὲ ἀνέστησα· ὅμως δὲν ζητῶ τὸ ἴδιο καὶ ἀπὸ σένα, ἀλλὰ ἁπλῶς λέγω νὰ μὲ ἐπισκεφθῇς ὅταν θὰ εἶμαι ἄρρωστος.

Ὅταν λοιπὸν εἶναι τόσον μεγάλα αὐτὰ ποὺ μᾶς ἔχει δώσει καὶ τόσον ἀσήμαντα αὐτὰ ποὺ ζητεῖ ἀπὸ ἡμᾶς, καὶ δὲν τοῦ παρέχομεν οὔτε αὐτά, πόσης τιμωρίας ἆρά γε δὲν θὰ εἴμεθα ἄξιοι; Δικαιολογημένα θὰ ὁδηγηθῶμεν εἰς τὸ πῦρ, τὸ ἡτοιμασμένον διὰ τὸν διάβολον καὶ τοὺς ἀγγέλους του, ἐφ' ὅσον εἴμεθα ἀναισθητότεροι καὶ ἀπὸ τὴν πέτραν. Διότι, εἰπέ μου, πόσον μεγάλη εἶναι ἡ ἀναισθησία μας, πού, ἂν καὶ ἐλάβαμεν τόσα πολλὰ καὶ πρόκειται νὰ λάβωμεν ἀκόμη περισσότερα, παραμένομεν δοῦλοι τῶν χρημάτων, τὰ ὁποῖα μετὰ ἀπὸ ὀλίγον θ' ἀποχωρισθῶμεν καὶ χωρὶς νὰ τὸ θέλωμεν; Καὶ ἄλλοι μὲν καὶ τὴν ψυχήν των ἔδωσαν καὶ ἔχυσαν καὶ τὸ αἷμά των· σὺ ὅμως οὔτε τὰ περιττὰ ἀπορρίπτεις χάριν τῶν οὐρανῶν καὶ χάριν τῶν τόσων στεφάνων; Καὶ ποίας συγγνώμης θὰ ἠμποροῦσες ν' ἀξιωθῇς καὶ ποίας ἀπολογίας, καθ' ἣν στιγμὴν εὐχαρίστως μὲν κάμνεις τὰ πάντα διὰ τὸν σπόρον τῆς γῆς καὶ δανείζεις εἰς τοὺς ἀνθρώ-

φειδόμενος, ἐν δὲ τῷ τρέφειν σου τὸν δεσπότην διὰ τῶν δεομένων ὠμὸς καὶ ἀπάνθρωπος ὤν;

Ταῦτ' οὖν ἅπαντα ἐννοήσαντες, καὶ λογισάμενοι ἅπερ εἰλήφαμεν, ἅπερ λαμβάνειν μέλλομεν, ἅπερ αἰτούμεθα, τὴν
5 *σπουδὴν ἅπασαν ἐν τοῖς πνευματικοῖς ἐπιδειξώμεθα. Γενώμεθά ποτε ἥμεροι καὶ φιλάνθρωποι, ἵνα μὴ τὴν ἀφόρητον δίκην ἐφ' ἑαυτοὺς ἑλκύσωμεν. Τί γὰρ ἡμᾶς οὐ ἱκανὸν κατακρῖναι; τὸ τοσούτων καὶ τηλικούτων ἀπολαῦσαι, τὸ μηδὲν μέγα αἰτεῖσθαι, τὸ τοιαῦτα αἰτεῖσθαι ἃ καὶ ἄκοντες ἐνταῦθα*
10 *ἀπολείψομεν, τὸ πολλὴν ἐν τοῖς βιωτικοῖς φιλοτιμίαν ἐπιδείκνυσθαι; Τούτων γὰρ ἕκαστον καὶ καθ' ἑαυτὸ ἱκανὸν ἡμᾶς καταδικάσαι· ὅταν δὲ ὁμοῦ τὰ πάντα συνέλθῃ, τίς ἔσται σωτηρίας ἐλπίς;*

Ἵν' οὖν ἅπασαν ταύτην τὴν κατάκρισιν διαφύγωμεν,
15 *ἐπιδειξώμεθά τινα δαψίλειαν περὶ τοὺς δεομένους. Οὕτω γὰρ καὶ τῶν ἐνταῦθα καὶ τῶν ἐκεῖ ἁπάντων ἀπολαύσομεν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

πους χωρίαν καμμίαν φειδώ, ὅμως ὅταν πρόκειται νὰ φιλοξενίσῃς τὸν Κύριόν σου, διὰ μέσου αὐτῶν ποὺ ἔχουν ἀνάγκην, γίνεσαι τόσον ὠμὸς καὶ ἀπάνθρωπος;

Ὅλα αὐτὰ λοιπὸν ἀφοῦ τὰ χαράξωμεν βαθειὰ εἰς τὸν νοῦν μας καὶ ἀναλογισθοῦμεν αὐτὰ ποὺ ἔχομεν λάβει, αὐτὰ ποὺ πρόκειται νὰ λάβωμεν καὶ αὐτὰ ποὺ ζητοῦμεν ἀπὸ τὸν Θεόν, ἂς συγκεντρώσωμεν ὅλον τὸ ἐνδιαφέρον μας εἰς τὰ πνευματικὰ πράγματα. Ἂς γίνωμεν ἐπὶ τέλους ἤπιοι καὶ φιλάνθρωποι, διὰ νὰ μὴ ἐπισύρωμεν κατὰ τοῦ ἑαυτοῦ μας τὴν ἀνυπόφορον καταδίκην. Διότι τί δὲν θὰ εἶναι ἱκανὸν νὰ μᾶς καταδικάσῃ; Αἱ τόσον πολλαὶ καὶ τόσον σπουδαῖαι δωρεαὶ τοῦ Θεοῦ; τὸ ὅτι δὲν ἐπιδιώξαμεν τίποτε τὸ ἀξιόλογον; τὸ ὅτι ἐνδιαφέρθημεν διὰ τέτοια πράγματα, τὰ ὁποῖα θὰ ἀφήσωμεν ἐδῶ καὶ ἂν ἀκόμη δὲν τὸ θέλωμεν; τὸ ὅτι συνεκεντρώσαμεν ὅλον τὸ ἐνδιαφέρον μας καὶ τὴν ἀγάπην μας εἰς τὰ βιωτικὰ πράγματα; Διότι τὸ καθένα ἀπὸ αὐτὰ εἶναι ἱκανὸν καὶ μόνον του νὰ μᾶς καταδικάσῃ· ποία ὅμως θὰ εἶναι ἡ ἐλπὶς διὰ τὴν σωτηρίαν μας ὅταν συγκεντρωθοῦν ὅλα μαζί;

Ὥστε λοιπὸν διὰ νὰ ἀποφύγωμεν ὅλην αὐτὴν τὴν καταδίκην πρέπει νὰ ἐπιδείξωμεν κάποιαν γενναιοδωρίαν πρὸς τοὺς πτωχούς. Διότι ἔτσι θὰ ἀπολαύσωμεν ὅλα τὰ ἀγαθά· καὶ τὰ ἐδῶ καὶ τὰ ἐκεῖ, τὰ ὁποῖα μακάρι νὰ ἐπιτύχωμεν ὅλοι μας, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ματθ. 13, 24 - 33

Ἄλλην παραβολὴν παρέθηκεν αὐτοῖς, λέγων· Ὡμοιώθη ἡ βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ σπείροντι καλὸν σπέρμα ἐν τῷ ἀγρῷ αὐτοῦ. Ἐν δὲ τῷ καθεύδειν τοὺς ἀνθρώπους, ἦλθεν αὐτοῦ ὁ ἐχθρὸς καὶ ἔσπειρε ζιζάνια ἀναμέσον τοῦ σίτου καὶ ἀπῆλθεν. Ὅτε δὲ ἐβλάστησεν ὁ χόρτος καὶ καρπὸν ἐποίησε, τότε ἐφάνη τὰ ζιζάνια. Προσελθόντες δὲ οἱ δοῦλοι τοῦ οἰκοδεσπότου, εἶπον αὐτῷ· Κύριε, οὐχὶ καλὸν σπέρμα ἔσπειρας ἐν τῷ ἀγρῷ σου; πόθεν οὖν ἔχει ζιζάνια; Ὁ δὲ ἔφη αὐτοῖς· Ἐχθρὸς ἄνθρωπος τοῦτο ἐποίησεν. Οἱ δὲ δοῦλοι εἶπον αὐτῷ· Θέλεις οὖν ἀπελθόντες συλλέξομεν αὐτά; Ὁ δὲ ἔφη· οὔ· μήποτε συλλέγοντες τὰ ζιζάνια, ἐκριζώσητε ἅμα αὐτοῖς τὸν σῖτον. Ἄφετε οὖν συναυξάνεσθαι ἀμφότερα ἄχρι τοῦ θερισμοῦ».

1. Τί τὸ μέσον ταύτης καὶ τῆς πρὸ ταύτης παραβολῆς; Ἐκεῖ τοὺς μηδὲ ὅλως προσεσχηκότας αὐτῷ φησιν, ἀλλ' ἀποπηδήσαντας καὶ τὸν σπόρον προεμένους· ἐνταῦθα δέ, τῶν αἱρετικῶν λέγει τὰ συστήματα. Ἵνα γὰρ μηδὲ τοῦτο τοὺς μαθητὰς θορυβῇ, καὶ τοῦτο προλέγει, μετὰ τὸ διδάξαι αὐτοὺς διατί ἐν παραβολαῖς λαλεῖ. Ἐκείνη μὲν οὖν ἡ παραβολή φησιν, ὅτι οὐκ ἐδέξαντο, αὕτη δέ, ὅτι καὶ φθορέας ἐδέξαντο. Καὶ γὰρ καὶ τοῦτο τῆς τοῦ διαβόλου μεθοδείας, τῇ ἀληθείᾳ ἀεὶ παρεισάγειν τὴν πλάνην, πολλὰ ἐπιχρωννύντα αὐτῇ τὰ ὁμοιώματα, ὥστε εὐκόλως κλέψαι τοὺς εὐεξαπατήτους. Διὰ τοῦτο οὐκ ἄλλο τι σπέρμα, ἀλλὰ ζιζάνια καλεῖ, ὃ κατὰ τὴν ὄψιν ἔοικέ πως τῷ σίτῳ.

ΟΜΙΛΙΑ ΜΣΤ΄

Ματθ. 13, 24 - 33

«Ἄλλην παραβολὴν τοὺς ἀνέφερε, λέγων· Ἡ βασιλεία τῶν οὐρανῶν ὁμοιάζει μὲ ἄνθρωπον, ποὺ ἔσπειρεν εἰς τὸ χωράφι του καλὸν σπόρον. Ἀλλὰ ἐνῷ ἐκοιμῶντο οἱ ἄνθρωποί του, ἦλθεν ὁ ἐχθρός του καὶ ἔσπειρε ζιζάνια ἀνάμεσα εἰς τὸν σῖτον καὶ ἔφυγεν. Ὅταν δὲ ἐβλάστησεν ὁ σῖτος καὶ ἔκαμε καρπόν, τότε ἐφάνησαν καὶ τὰ ζιζάνια. Ἀφοῦ δὲ ἦλθαν οἱ δοῦλοι τοῦ οἰκοδεσπότου, τοῦ εἶπαν· Κύριε, μήπως δὲν ἔσπειρες καλὸν σπόρον εἰς τὸ χωράφι σου; Ἀπὸ ποῦ λοιπὸν ἐφύτρωσαν τὰ ζιζάνια; Αὐτὸς δὲ τοὺς ἀπήντησε· Κάποιος ἄνθρωπος ἐχθρός μου τὸ ἔκανεν αὐτό. Οἱ δὲ δοῦλοι τοῦ εἶπαν· Θέλεις λοιπὸν νὰ ὑπάγωμεν καὶ νὰ τὰ μαζεύσωμεν; Αὐτὸς δὲ εἶπεν· Ὄχι· μήπως συμβῇ, καθὼς θὰ μαζεύετε τὰ ζιζάνια, νὰ ξεριζώσετε μαζὶ μὲ αὐτὰ καὶ τὸν σῖτον, Ἀφήσατέ τα νὰ μεγαλώσουν μαζὶ καὶ τὰ δύο μέχρι τὴν ὥραν τοῦ θερισμοῦ»,

1. Ποία διαφορὰ ὑπάρχει μεταξὺ αὐτῆς καὶ τῆς προηγουμένης παραβολῆς; Ἐκεῖ ὁμιλεῖ δι' ἐκείνους ποὺ δὲν ἐπρόσεξαν καθόλου εἰς αὐτόν, ἀλλ' ἀπεμακρύνθησαν καὶ ἀπέρριψαν τὸν σπόρον· ἐδῶ ὅμως ἀναφέρεται εἰς τὰ συστήματα τῶν αἱρετικῶν. Διότι διὰ νὰ μὴ ἀνησυχήσῃ αὐτὸ τοὺς μαθητάς του, τὸ προλέγει καὶ αὐτό, ἀφοῦ πρῶτα τοὺς ἀπεκάλυψε διὰ τῆς διδασκαλίας του, διατί τοὺς ὁμιλεῖ μὲ παραβολάς. Τὸ νόημα ἐκείνης τῆς παραβολῆς εἶναι ὅτι δὲν ἐδέχθησαν τὴν διδασκαλίαν του, ἐνῷ αὐτῆς ὅτι τὴν ἐδέχθησαν καὶ διαφθορεῖς. Καθόσον καὶ αὐτὸ εἶναι μέθοδος τοῦ διαβόλου· τὸ νὰ εἰσάγῃ δηλαδὴ πάντοτε κατὰ τρόπον ἀπατηλὸν τὴν πλάνην μαζὶ μὲ τὴν ἀλήθειαν καὶ νὰ τὴν ἐπικαλύπτῃ μὲ τὰ ὁμοιώματα τῆς ἀληθείας, ὥστε νὰ προσελκύῃ εὔκολα αὐτοὺς ποὺ ἐξαπατῶνται εὔκολα. Διὰ τοῦτο καὶ δὲν τὰ ἀποκαλεῖ κάποιο ἄλλο σπέρμα, ἀλλὰ ζιζάνια, ποὺ ἐξωτερικῶς ὁμοιάζουν κάπως μὲ τὸν σῖτον.

Εἶτα λέγει καὶ τὸν τρόπον τῆς ἐπιβουλῆς. «Ἐν γὰρ τῷ καθεύδειν τοὺς ἀνθρώπους», φησίν. Οὐ μικρὸν τοῖς ἄρχουσιν ἐντεῦθεν ἐπικρεμνᾷ τὸν κίνδυνον, τοῖς μάλιστα τῆς ἀρούρας τὴν φυλακὴν ἐμπεπιστευμένοις· οὐ τοῖς ἄρχουσι δὲ 5 *μόνον, ἀλλὰ καὶ τοῖς ἀρχομένοις. Δείκνυσι δὲ καὶ τὴν πλάνην μετὰ τὴν ἀλήθειαν οὖσαν· ὅπερ καὶ ἡ τῶν πραγμάτων ἔκβασις μαρτυρεῖ. Καὶ γὰρ μετὰ τοὺς προφήτας, οἱ ψευδοπροφῆται, καὶ μετὰ τοὺς ἀποστόλους, οἱ ψευδαπόστολοι, καὶ μετὰ τὸν Χριστόν, ὁ ἀντίχριστος. Ἂν γὰρ μὴ ἴδῃ τί μιμή-* 10 *σηται ὁ διάβολος ἢ τίσιν ἐπιβουλεύσῃ, οὔτε ἐπιχειρεῖ, οὔτε οἶδε. Καὶ νῦν τοίνυν, ἐπειδὴ εἶδεν, ὅτι ὁ μὲν ἐποίησεν ἑκατόν, ὁ δὲ ἑξήκοντα, ὁ δὲ τριάκοντα, ἄλλην ἔρχεται λοιπὸν ὁδόν. Ἐπεὶ γὰρ ἁρπάσαι οὐκ ἠδυνήθη τὸ ῥιζωθέν, οὐδὲ ἀποπνῖξαι, οὐδὲ κατακαῦσαι, δι' ἑτέρας ἀπάτης ἐπιβουλεύει,* 15 *παρεμβάλλων τὰ παρ' ἑαυτοῦ.*

Καὶ τί διαφέρουσιν οἱ καθεύδοντες, φησί, τῶν τὴν ὁδὸν μιμουμένων; Ὅτι ἐκεῖ εὐθέως ἥρπασεν· οὐδὲ γὰρ ῥιζωθῆναι ἀφῆκεν· ἐνταῦθα δὲ πλείονος ἐδεήθη τῆς μηχανῆς. Ταῦτα δὲ λέγει ὁ Χριστός, παιδεύων ἡμᾶς διαπαντὸς 20 *ἐγρηγορέναι. Κἂν γὰρ ἐκείνας διαφύγῃς τὰς βλάβας, φησίν, ἔστι καὶ ἑτέρα βλάβη. Ὥσπερ γὰρ ἐκεῖ διὰ τῆς ὁδοῦ καὶ τῆς πέτρας καὶ τῶν ἀκανθῶν, οὕτω καὶ ἐνταῦθα διὰ τοῦ ὕπνου ἡ ἀπώλεια γίνεται· ὥστε διηνεκοῦς φυλακῆς δεῖ. Διὸ καὶ ἔλεγεν· «Ὁ δὲ ὑπομείνας εἰς τέλος, οὗτος σωθήσεται».* 25 *Τοιοῦτόν τι γέγονε καὶ παρὰ τὴν ἀρχήν. Πολλοὶ γοῦν τῶν*

1. Ματθ. 10, 22.

Ἀκολούθως ἀναφέρει καὶ τὸν τρόπον τῆς προμελετημένης ἐνεργείας των. Διότι, λέγει, «Καθ' ὃν χρόνον ἐκοιμῶντο οἱ ἄνθρωποι». Δὲν εἶναι μικρὸς ὁ κίνδυνος μὲ τὸν ὁποῖον ἀπειλεῖ, δι' ὅλων αὐτῶν ποὺ λέγει, τοὺς ἄρχοντας, εἰς τοὺς ὁποίους κατ' ἐξοχὴν ἔχει ἐμπιστευθῆ τὴν διαφύλαξιν τοῦ χωραφιοῦ. Ὄχι δὲ μόνον τοὺς ἄρχοντας, ἀλλὰ καὶ τοὺς ἀρχομένους. Ἀποκαλύπτει δὲ ὅτι καὶ ἡ πλάνη ἀκολουθεῖ τὴν ἀλήθειαν, πρᾶγμα ποὺ ἐπιβεβαιώνεται καὶ ἀπὸ τὴν ἔκβασιν τῶν πραγμάτων. Καθόσον μετὰ ἀπὸ τοὺς προφήτας ἐνεφανίσθησαν οἱ ψευδοπροφῆται, καὶ μετὰ ἀπὸ τοὺς ἀποστόλους οἱ ψευδαπόστολοι, καὶ μετὰ ἀπὸ τὸν Χριστὸν ὁ ἀντίχριστος. Διότι ἐὰν ὁ διάβολος δὲν ἐξακριβώσῃ τί θὰ ἀπομιμηθῇ ἢ ποίους θὰ ἐπιβουλευθῇ, οὔτε τὸ ἐπιχειρεῖ οὔτε τὸ γνωρίζει. Τώρα ὅμως ἐπειδὴ εἶδεν, ὅτι ὁ μὲν ἕνας παρήγαγε καρπὸν ἑκατονταπλάσιον, ὁ δὲ ἑξηκονταπλάσιον καὶ ὁ ἄλλος τριακονταπλάσιον, ἀκολουθεῖ εἰς τὴν συνέχειαν ἄλλην ὁδόν. Ἐπειδὴ δηλαδὴ δὲν ἠμπόρεσε ν' ἁρπάξῃ αὐτὸ ποὺ ἐρρίζωσε βαθειά, οὔτε νὰ τὸ ἀποπνίξῃ, οὔτε καὶ νὰ τὸ κατακαύσῃ, μελετᾷ νὰ ἐπιτύχῃ τὸν σκοπόν του μὲ ἄλλον ἀπατηλὸν τρόπον, παρεμβάλλων δηλαδὴ τὰς ὑπούλους μεθόδους του.

Καὶ ποία ἡ διαφορά, θὰ εἰπῇ κάποιος, αὐτῶν ποὺ κοιμῶνται ἀπὸ αὐτοὺς ποὺ ὁμοιάζουν μὲ τὴν ὁδόν; Ἡ διαφορὰ εἶναι ὅτι εἰς τὴν περίπτωσιν τῶν ὁδῶν ἀμέσως ἥρπασε τὸν σπόρον· δὲν τὸν ἄφησεν οὔτε κἂν νὰ ριζώσῃ· ἐνῷ εἰς τὴν προκειμένην περίπτωσιν ἐχρειάσθη περισσοτέρας μηχανορραφίας. Αὐτὰ δὲ τὰ λέγει ὁ Χριστὸς διὰ νὰ μᾶς διδάξῃ ὅτι πρέπει πάντοτε νὰ ἐπαγρυπνοῦμεν. Διότι, λέγει, καὶ ἂν ἀκόμη ἀποφύγῃς ἐκείνας τὰς βλάβας, ὑπάρχει καὶ ἄλλη βλάβη. Ὅπως ἀκριβῶς δηλαδὴ ἐκεῖ ἡ καταστροφὴ γίνεται μὲ τὴν ὁδόν, τὴν πέτραν καὶ τὰς ἀκάνθας, ἔτσι καὶ ἐδῶ ἡ ζημία ἐπέρχεται διὰ τοῦ ὕπνου· ἐπομένως ἀπαιτεῖται διαρκὴς ἐπαγρύπνησις. Διὰ τοῦτο καὶ ἔλεγεν· «Ἐκεῖνος ποὺ θὰ ὑπομείνῃ μέχρι τέλος, αὐτὸς θὰ σωθῇ»[1]. Κάτι παρόμοιον δὲ συνέβη καὶ εἰς τὴν ἀρχήν. Πολλοὶ δηλαδὴ ἀπὸ τοὺς προε-

προεστώτων πονηροὺς εἰσάγοντες ἄνδρας ἐν ταῖς ἐκκλησίαις, αἱρεσιάρχας κρυπτομένους, πολλὴν εὐκολίαν τῇ τοιαύτῃ παρέσχον ἐπιβουλῇ. Οὐδὲ γὰρ πόνων δεῖ τῷ διαβόλῳ λοιπόν, ὅταν ἐκείνους εἰς μέσον φυτεύσῃ.

5 *Καὶ πῶς δυνατὸν μὴ καθεύδειν; φησί. Τὸν μὲν οὖν φυσικὸν ὕπνον, οὐ δυνατόν, τὸν δὲ τῆς προαιρέσεως, δυνατόν. Διὸ καὶ Παῦλος ἔλεγε· «Γρηγορεῖτε, στήκετε ἐν τῇ πίστει». Εἶτα δείκνυσι καὶ περιττὸν τὸ πρᾶγμα, οὐχὶ βλαβερὸν μόνον. Μετὰ γὰρ τὸ γεωργηθῆναι τὴν ἄρουραν καὶ μὴ χρείαν εἶναι* 10 *μηδενός, τότε ἐπισπείρει οὗτος· καθάπερ καὶ οἱ αἱρετικοὶ ποιοῦσιν, οἳ δι' οὐδὲν ἕτερον ἢ διὰ κενοδοξίαν ἐμβάλλουσι τὸν ἑαυτῶν ἰόν. Οὐκ ἐντεῦθεν δὲ μόνον, ἀλλὰ καὶ ἐκ τῶν μετὰ ταῦτα μετὰ ἀκριβείας αὐτῶν ὑπογράφει τὴν σκηνὴν ἅπασαν. «Ὅτε γὰρ ἐβλάστησε», φησίν, «ὁ χόρτος καὶ καρπὸν ἐποίη-* 15 *σε, τότε ἐφάνη καὶ τὰ ζιζάνια»· ὅπερ καὶ οὗτοι ποιοῦσι. Παρὰ μὲν γὰρ τὴν ἀρχὴν συσκιάζουσιν ἑαυτούς, ἐπειδὰν δὲ πολλὴν λάβωσι τὴν παρρησίαν καὶ λόγου τις αὐτοῖς μεταδῷ, τότε τὸν ἰὸν ἐκχέουσι.*

Τίνος δὲ ἕνεκεν εἰσάγει τοὺς δούλους λέγοντας τὸ γε- 20 *γενημένον; Ἵνα εἴπῃ ὅτι οὐ δεῖ ἀναιρεῖν αὐτούς. Ἐχθρὸν δὲ ἄνθρωπον αὐτὸν καλεῖ, διὰ τὴν εἰς ἀνθρώπους βλάβην. Ἡ μὲν γὰρ ἐπήρεια καθ' ἡμῶν, ἡ δὲ ἀρχὴ τῆς ἐπηρείας οὐκ ἀπὸ τῆς εἰς ἡμᾶς, ἀλλ' ἀπὸ τῆς εἰς Θεὸν ἔχθρας ἐγένετο. Ὅθεν δῆλον, ὅτι μᾶλλον ὁ Θεὸς ἡμᾶς φιλεῖ ἢ ἡμεῖς ἑ-* 25 *αυτούς. Ὅρα δὲ καὶ ἑτέρωθεν τοῦ διαβόλου τὴν κακουργίαν. Οὐ γὰρ πρὸ τούτου ἔσπειρεν, ἐπειδὴ μηδὲν εἶχεν ἀπο-*

---

2. Α' Κορ. 16, 13.

στῶτας, εἰσάγοντες ἐντὸς τῶν ἐκκλησιῶν πονηροὺς ἄνδρας, ποὺ ἦσαν κρυπτοαιρετικοί, παρεῖχαν μεγάλην εὐκολίαν εἰς τὰ ἐπίβουλα σχέδιά του. Διότι δὲν ἀπαιτεῖται πλέον κόπος διὰ τὸν διάβολον, ὅταν φυτεύσῃ αὐτοὺς μεταξὺ τῶν πιστῶν.

Καὶ πῶς εἶναι δυνατόν, θὰ εἰπῇ κάποιος, νὰ μὴ κοιμᾶται κανείς; Διὰ μὲν τὸν φυσικὸν ὕπνον βεβαίως αὐτὸ εἶναι ἀδύνατον, διὰ τὸν ὕπνον ὅμως τῆς προαιρέσεως εἶναι δυνατόν. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγεν· «Ἐπαγρυπνεῖτε καὶ παραμένετε ἀμετακίνητοι εἰς τὴν πίστιν»[2]. Εἰς τὴν συνέχειαν ἀποδεικνύει ὅτι τοῦτο εἶναι ὄχι μόνον βλαβερὸν ἀλλὰ καὶ περιττόν. Διότι μετὰ τὴν καλλιέργειαν τοῦ χωραφιοῦ καὶ ὅταν πλέον δὲν ὑπάρχῃ καμμία ἀνάγκη, τότε ἔρχεται ὁ διάβολος καὶ σπέρνει τὸν ἰδικόν του σπόρον· καὶ ἀκριβῶς αὐτὸ κάνουν καὶ οἱ αἱρετικοί, οἱ ὁποῖοι μόνον ἀπὸ κενοδοξίαν καὶ ὄχι διὰ τίποτε ἄλλο, ρίπτουν τὸ δηλητήριόν των. Καὶ ὄχι μόνον μὲ ὅσα μᾶς λέγει ἐδῶ, ἀλλὰ καὶ μὲ τὰ ὅσα λέγει εἰς τὴν συνέχειαν περιγράφει μὲ ἀκρίβειαν ὁλόκληρον τὴν ὑποκρισίαν του. Διότι, λέγει, «Ὅταν ἐβλάστησεν ὁ σῖτος καὶ ἔκανε καρπόν, τότε ἐφάνησαν καὶ τὰ ζιζάνια», πρᾶγμα ποὺ κάνουν καὶ αὐτοί. Εἰς τὴν ἀρχὴν δηλαδὴ ἀποκρύπτουν τοὺς πραγματικοὺς ἑαυτούς των, ὅμως ὅταν ἀποκτήσουν περισσότερον θάρρος καὶ τοὺς παραχωρήσῃ κανεὶς τὸν λόγον, τότε χύνουν τὸ δηλητήριόν των.

Καὶ ποῖος ὁ λόγος διὰ τὸν ὁποῖον παρουσιάζει ὁ Κύριος τοὺς δούλους ν' ἀναφέρουν αὐτὸ ποὺ συνέβη; Διὰ νὰ εἰπῇ, ὅτι δὲν πρέπει νὰ τοὺς φονεύσουν. Παρουσιάζει δὲ τὸν ἴδιον τὸν ἄνθρωπον ὡς ἐχθρόν, ἐξ αἰτίας τῆς βλάβης ποὺ προξενεῖ εἰς τοὺς ἀνθρώπους. Τὸ μὲν λοιπὸν ἀποτέλεσμα τῆς ἀλαζονείας καὶ τῆς βλαβερᾶς ἐνεργείας τοῦ διαβόλου στρέφεται ἐναντίον μας, ἡ ἀρχὴ ὅμως τῆς ἀλαζονείας του αὐτῆς ὀφείλεται ὄχι εἰς τὴν ἐναντίον μας ἔχθραν του, ἀλλὰ εἰς τὴν ἔχθραν του πρὸς τὸν Θεόν. Ἑπομένως καθίστατια φανερόν, ὅτι ὁ Θεὸς μᾶς ἀγαπᾷ περισσότερον ἀπὸ ὅ,τι ἡμεῖς τὸν ἑαυτόν μας. Ἀλλ' ὅμως πρόσεξε καὶ ἀπὸ ἄλλην σκοπιὰν τὴν κακουργίαν τοῦ διαβόλου. Διότι δὲν ἔσπειρε πρὶν ἀπὸ

λέσαι, ἀλλ' ὅτε ἦν ἅπαντα πεπληρωμένα, ἵνα τῇ σπουδῇ λυμήνηται τοῦ γεωργοῦ· οὕτω πρὸς ἐκεῖνον ἐχθρωδῶς ἔχων πάντα ἐποίει. Σκόπει δὲ καὶ τῶν οἰκετῶν τὴν φιλοστοργίαν. Καὶ γὰρ ἐπείγονται ἤδη τὰ ζιζάνια ἀνασπάσαι, εἰ καὶ
5 *μὴ διεσκεμμένως ποιοῦσιν· ὅπερ δείκνυσι τὴν ὑπὲρ τοῦ σπόρου μέριμναν αὐτῶν καὶ πρὸς ἓν μόνον βλέποντας, οὐχ ὅπως ἐκεῖνος δῷ δίκην, ἀλλ' ὥστε τὰ καταβληθέντα μὴ ἀπολέσθαι· οὐ γὰρ δὴ τοῦτό ἐστι τὸ κατεπεῖγον. Διόπερ ὅπως τὸ νόσημα τέως ἐξέλωσι, σκοποῦσι. Καὶ οὐδὲ τοῦτο*
10 *ἁπλῶς ζητοῦσιν· οὐ γὰρ ἑαυτοῖς ἐπιτρέπουσιν, ἀλλὰ τοῦ δεσπότου τὴν γνώμην ἀναμένουσι λέγοντες· «Θέλεις;». Τί οὖν ὁ δεσπότης; Κωλύει λέγων· «Μήποτε ἐκριζώσητε ἅμα αὐτοῖς τὸν σῖτον». Τοῦτο δὲ ἔλεγε, κωλύων πολέμους γίνεσθαι καὶ αἵματα καὶ σφαγάς. (Οὐ γὰρ δεῖ ἀναιρεῖν αἱρετι-*
15 *κόν)· ἐπεὶ πόλεμος ἄσπονδος ἔμελλεν εἰς τὴν οἰκουμένην εἰσάγεσθαι.*

2. Δύο τοίνυν τούτοις αὐτοὺς κατέχει τοῖς λογισμοῖς· ἑνὶ μέν, τῷ μὴ τὸν σῖτον βλαβῆναι, ἑτέρῳ δέ, τῷ καταλήψεσθαι τὴν κόλασιν πάντως αὐτοὺς ἀνιάτως νοσοῦντας.
20 *Ὥστε εἰ βούλει κολασθῆναι αὐτοὺς καὶ χωρὶς τῆς τοῦ σίτου βλάβης, ἀνάμεινον τὸν προσήκοντα καιρόν.*

Τί δέ ἐστι, «Μὴ ἐκριζώσητε ἅμα αὐτοῖς τὸν σῖτον»; Ἢ τοῦτό φησιν, εἰ μέλλοιτε κινεῖν ὅπλα καὶ κατασφάττειν τοὺς αἱρετικούς, ἀνάγκη πολλοὺς καὶ τῶν ἁγίων συγκαταβάλλεσθαι ἤ,
25 *ὅτι ἀπ' αὐτῶν τῶν ζιζανίων πολλοὺς εἰκὸς μεταβαλέσθαι καὶ γενέσθαι σῖτον. Ἂν τοίνυν προλαβόντες αὐτοὺς ἐκριζώσητε, λυμαίνεσθε τῷ μέλλοντι γίνεσθαι σίτῳ, οὓς ἐγχωρεῖ μετα-*

αὐτόν, ἐπειδὴ δὲν θὰ εἶχε τίποτε νὰ καταστρέψῃ, ἀλλ' ὅταν πλέον εἶχεν ὁλοκληρωθῆ ἡ ὅλη ἐργασία τῆς σπορᾶς διὰ νὰ καταστρέψῃ τοὺς κόπους καὶ τὰς φροντίδας τοῦ γεωργοῦ· καὶ ἔτσι ἐπειδὴ διέκειτο ἐχθρικῶς πρὸς ἐκεῖνον, προέβαινεν εἰς ὅλας αὐτὰς τὰς ἐνεργείας. Ἀλλὰ σκέψου καὶ τὴν φιλοστοργίαν τῶν ὑπηρετῶν. Καθόσον βιάζονται νὰ ἐκκριζώσουν ἀμέσως τὰ ζιζάνια, ἂν καὶ ἡ ἐνέργειά των δὲν εἶναι ἡ ἐνδεδειγμένη, πρᾶγμα βέβαια ποὺ δείχνει τὸ ἐνδιαφέρον των διὰ τὸν σπόρον καὶ ὅτι ἀπέβλεπαν εἰς ἕνα καὶ μόνον· ὄχι πῶς θὰ τιμωρηθῆ ἐκεῖνος, ἀλλὰ νὰ μὴ χαθοῦν οἱ σπαρέντες σπόροι· διότι δὲν ἦτο αὐτὴ ἡ κατεπείγουσα ἀνάγκη. Καὶ ἀκριβῶς διὰ τοῦτο σκέπτονται πῶς ν' απομακρύνουν τὸ ταχύτερον τὴν ἀσθένειαν. Καὶ δὲν ζητοῦν ἁπλῶς καὶ μόνον αὐτό· διότι δὲν ἀποφασίζουν μόνοι των, ἀλλὰ περιμένουν τί θὰ τοὺς εἰπῆ ὁ κύριός των, λέγοντές του· «Θέλεις;». Τί κάνει λοιπὸν ὁ κύριός των; Τοὺς ἐμποδίζει, λέγων· «Μὴ τυχὸν μαζὶ μὲ τὰ ζιζάνια ξεριζώσετε καὶ τὸν σῖτον». Αὐτὸ δὲ τὸ ἔλεγε διὰ νὰ ἐμποδίσῃ νὰ γίνωνται πόλεμοι, αἱματοχυσίαι καὶ σφαγαὶ (Διότι δὲν πρέπει νὰ φονεύῃ κανεὶς τοὺς αἱρετικούς)· ἐπειδὴ ἐπρόκειτο νὰ κηρυχθῆ φοβερὸς πόλεμος εἰς τὴν οἰκουμένην.

2. Μὲ αὐτοὺς τοὺς δύο λοιπὸν συλλογισμοὺς τοὺς συγκρατεῖ· ἀφ' ἑνὸς μὲν μὲ τὸ νὰ μὴ καταστρέψουν τὸν σῖτον, ἀφ' ἑτέρου δὲ μὲ τὸ ὅτι θὰ τιμωρηθοῦν αὐτοὶ ὁπωσδήποτε, ἐφ' ὅσον εἶναι ἀθεράπευτα ἀσθενεῖς. Ἄρα λοιπὸν ἐὰν θέλῃς καὶ αὐτοὶ νὰ τιμωρηθοῦν καὶ ὁ σῖτος νὰ μὴ ὑποστῆ βλάβην, περίμενε τὴν κατάλληλον ὥραν.

Τί σημαίνει ὅμως, «μὴ τυχὸν ξερριζώσετε μαζὶ μὲ αὐτὰ καὶ τὸν σῖτον»; Ἢ ἐννοεῖ αὐτό, ὅτι δηλαδὴ ἐφ' ὅσον συμβῆ νὰ πάρετε τὰ ὅπλα καὶ νὰ κατασφάζετε τοὺς αἱρετικούς, ἀναγκαστικὰ μαζὶ μὲ αὐτοὺς θὰ φονεύωνται καὶ πολλοὶ ἀπὸ τοὺς ἁγίους· ἢ ὅτι ἐνδέχεται πολλοὶ ἀπὸ αὐτὰ τὰ ζιζάνια νὰ μεταβληθοῦν καὶ νὰ γίνουν σῖτος. Ἂν λοιπὸν βιασθῆτε καὶ τοὺς ξερριζώσετε θὰ καταστρέψετε αὐτὸ ποὺ πρόκειται νὰ γίνῃ σῖτος, καὶ οἱ ὁποῖοι ἐνδεχομένως νὰ με-

βαλέσθαι καὶ γενέσθαι βελτίους μὴ ἀναιροῦντες. Οὐ τοίνυν κατέχειν αἱρετικοὺς καὶ ἐπιστομίζειν καὶ ἐκκόπτειν αὐτῶν τὴν παρρησίαν καὶ τὰς συνόδους καὶ τὰς σπονδὰς διαλύειν κωλύει, ἀλλ' ἀναιρεῖν καὶ κατασφάττειν. Σὺ δὲ αὐτοῦ σκό-
5 *πει τὴν ἡμερότητα, πῶς οὐκ ἀποφαίνεται μόνον, οὐδὲ κωλύει, ἀλλὰ λογισμοὺς τίθησι.*

Τί οὖν, ἂν μέχρι τέλους μένῃ τὰ ζιζάνια; «Τότε ἐρῶ τοῖς θερισταῖς· συλλέξατε πρῶτον τὰ ζιζάνια καὶ δήσατε αὐτὰ δεσμὰς πρὸς τὸ κατακαῦσαι αὐτά». Πάλιν ἀναμιμνήσκει
10 *αὐτοὺς τῶν Ἰωάννου ῥημάτων, τῶν κριτὴν αὐτὸν εἰσαγόντων, καί φησιν, ὅτι ἕως μὲν ἑστήκασιν ἐγγὺς τοῦ σίτου, φείδεσθαι χρή· ἐγχωρεῖ γὰρ αὐτοὺς καὶ σῖτον γενέσθαι· ὅταν δὲ μηδὲν κερδάναντες ἀπέλθωσι, τότε αὐτοὺς ἀναγκαίως ἡ ἀπαραίτητος διαδέξεται δίκη. «Ἐρῶ γὰρ τοῖς θερι-*
15 *σταῖς», φησί, «συλλέξατε πρῶτον τὰ ζιζάνια». Διατί πρῶτον; Ἵνα μὴ φοβηθῶσιν οὗτοι, ὡς συνεπαγομένου ἅμα αὐτοῖς τοῦ σίτου. «Καὶ δήσατε αὐτὰ δεσμάς, ὥστε κατακαῦσαι αὐτά· τὸν δὲ σῖτον συναγάγετε εἰς τὴν ἀποθήκην».*

«Ἄλλην παραβολὴν παρέθηκεν αὐτοῖς λέγων· ὁμοία
20 *ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν κόκκῳ σινάπεως». Ἐπειδὴ γὰρ εἶπεν, ὅτι ἀπὸ τοῦ σπόρου τρία μέρη ἀπόλλυται καὶ σῴζεται ἕν, καὶ ἐν αὐτῷ πάλιν τῷ σῳζομένῳ τοσαύτη γίνεται βλάβη, ἵνα μὴ λέγωσι, καὶ τίνες καὶ πόσοι ἔσονται οἱ πιστοί; καὶ τοῦτον ἐξαιρεῖ τὸν φόβον, διὰ τῆς παραβολῆς τοῦ*
25 *σινάπεως ἐνάγων εἰς πίστιν αὐτούς, καὶ δεικνὺς ὅτι πάντως ἐκταθήσεται τὸ κήρυγμα. Διὰ τοῦτο τοῦ λαχάνου τὴν εἰκόνα εἰς μέσον ἤγαγε σφόδρα ἐοικυῖαν τῇ ὑποθέσει· «Ὃ μικρότερον μέν», φησίν, «ἐστὶ πάντων τῶν σπερμάτων· ὅταν δὲ*

---

3. Ματθ. 3, 12 «οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ καὶ διακαθαριεῖ τὴν ἅλωναν αὐτοῦ καὶ συνάξει τὸν σῖτον αὐτοῦ εἰς τὴν ἀποθήκην, τὸ δὲ ἄχυρον κατακαύσει πυρὶ ἀσβέστῳ».

ταβληθοῦν καὶ νὰ γίνουν καλύτεροι, ἂν δὲν τοὺς φονεύσετε. Ἑπομένως ὁ Κύριος δὲν ἀπαγορεύει νὰ παρεμποδίζωνται οἱ αἱρετικοί, νὰ ἀποστομώνωνται, νὰ ἀποκόπτεται ἡ θρασύτης των καὶ νὰ διαλύωνται τὰ συνέδριά των καὶ αἱ συγκεντρώσεις των, ἀλλ' ἀπαγορεύει νὰ φονεύωνται καὶ νὰ κατασφάζωνται. Ἀλλὰ σὺ πρόσεξε τὴν ἠπιότητά του· πῶς δηλαδὴ δὲν ὁμιλεῖ μόνον, οὔτε ἀπαγορεύει, ἀλλὰ ἐμβάλλει συλλογισμοὺς εἰς τοὺς ἀκροατάς του.

Τί θὰ συμβῇ λοιπὸν ἂν μείνουν μέχρι τέλους τὰ ζιζάνια; «Τότε θὰ εἰπῶ εἰς τοὺς θεριστάς· συλλέξατε πρῶτα τὰ ζιζάνια καὶ δέσατέ τα κατὰ δέματα διὰ νὰ τὰ κατακαύσετε». Τοὺς ὑπενθυμίζει πάλιν τοὺς λόγους τοῦ Ἰωάννου[3], ποὺ παρουσιάζουν αὐτὸν ὡς κριτήν, καὶ λέγει ὅτι ὅσον καιρὸν παραμένουν πλησίον τοῦ σίτου πρέπει νὰ τὰ ἀφήνουν ἀπείρακτα, διότι εἶναι δυνατὸν αὐτοὶ νὰ γίνουν σῖτος· ὅταν ὅμως φύγουν ἀπὸ τὸν κόσμον αὐτὸν χωρὶς κανένα κέρδος, τότε κατ' ἀνάγκην θὰ ὑποστοῦν τὴν ἐπιβεβλημένην δίκην. Διότι, λέγει, «Θὰ εἰπῶ εἰς τοὺς θεριστάς· συλλέξατε πρῶτα τὰ ζιζάνια». Διατί πρῶτα; Διὰ νὰ μὴ φοβηθοῦν οἱ θερισταί, ὅτι μαζὶ μὲ αὐτὰ θ' ἀποκόψουν καὶ τὸν σῖτον. «Καὶ δέσατέ τα κατὰ δέματα, διὰ νὰ τὰ κατακαύσετε· τὸν δὲ σῖτον νὰ τὸν συγκεντρώσετε εἰς τὴν ἀποθήκην».

«Ἄλλην παραβολὴν τοὺς ἀνέφερε, λέγων· Ἡ βασιλεία τῶν οὐρανῶν ὁμοιάζει μὲ κόκκον σινάπεως». Ἐπειδὴ δηλαδὴ εἶπεν, ὅτι ἀπὸ τὸν σπαρέντα σπόρον τὰ τρία μέρη χάνονται καὶ σώζεται μόνον τὸ ἕνα, καὶ ὅτι καὶ εἰς αὐτὸ ποὺ σώζεται πάλιν εἶναι πολὺ μεγάλη ἡ ζημία, διὰ νὰ μὴ λέγουν οἱ μαθηταί του, Ποῖοι καὶ πόσοι θὰ εἶναι οἱ πιστοί; τοὺς ἀπαλλάσσει καὶ ἀπὸ αὐτὸν τὸν φόβον, καὶ μὲ τὴν παραβολὴν τοῦ σινάπεως ἐνισχύει τὴν πίστιν των καὶ δεικνύει ὅτι ὁπωσδήποτε θὰ ἐξαπλωθῇ τὸ κήρυγμα. Διὰ τοῦτο ἀνέφερε τὴν εἰκόνα τοῦ λαχάνου, ἡ ὁποία πάρα πολὺ ταιριάζει εἰς τὴν προκειμένην περίπτωσιν. Καὶ λέγει· «Ὁ σπόρος αὐτὸς εἶναι ὁ μικρότερος ἀπὸ ὅλους τοὺς σπόρους· ὅταν ὅμως αὐξηθῇ γίνεται τὸ μεγαλύτερον ἀπὸ ὅλα τὰ λά-

αὐξηθῇ, μεῖζον τῶν λαχάνων ἐστί, καὶ γίνεται δένδρον, ὥστε ἐλθεῖν τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ κατασκηνοῦν ἐν τοῖς κλάδοις αὐτοῦ». Τοῦ γὰρ μεγέθους τὸ τεκμήριον ἐνδείξασθαι ἠβουλήθη. Οὕτω δὴ καὶ ἐπὶ τοῦ κηρύγματος ἔσται, φησί. 5 Καὶ γὰρ ἁπάντων ἀσθενέστεροι ἦσαν οἱ μαθηταὶ καὶ πάντων ἐλάττους· ἀλλ' ὅμως, ἐπειδὴ μεγάλη ἦν ἡ ἐν αὐτοῖς δύναμις, ἐξηπλώθη πανταχοῦ τῆς οἰκουμένης.

Εἶτα καὶ τὴν ζύμην ταύτῃ προστίθησι τῇ εἰκόνι, λέγων· «Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ζύμῃ, ἣν λαβοῦσα 10 γυνὴ ἔκρυψεν εἰς ἀλεύρου σάτα τρία, ἕως οὗ ἐζυμώθη ὅλον». Καθάπερ γὰρ αὕτη τὸ πολὺ ἄλευρον μεθίστησιν εἰς τὴν ἑαυτῆς ἰσχύν, οὕτω καὶ ὑμεῖς τὸν πάντα κόσμον μεταστήσετε. Καὶ ὅρα σύνεσιν. Τὰ γὰρ τῆς φύσεως παράγει, δεικνὺς ὅτι ὥσπερ ἐκεῖνα ἀνεγχώρητον μὴ γενέσθαι, οὕτω καὶ ταῦ-15 τα. Μὴ γάρ μοι τοῦτο λέγε· τί δυνησόμεθα δώδεκα ἄνθρωποι εἰς πλῆθος ἐμπεσόντες τοσοῦτον; Καὶ γὰρ τοῦτο αὐτὸ μάλιστα ὑμῶν ποιεῖ τὴν ἰσχὺν ἐκλάμψαι, τὸ ἀναμιγῆναι τῷ πλήθει καὶ μὴ φυγεῖν. Ὥσπερ οὖν καὶ ἡ ζύμη τότε τὸ φύραμα ζυμοῖ, ὅταν ἐγγὺς γένηται τοῦ ἀλεύρου, καὶ οὐχ ἁπλῶς ἐγ-20 γύς, ἀλλ' οὕτως ὥστε καὶ μιγῆναι (οὐ γὰρ εἶπεν, ἔθηκεν, ἁπλῶς, ἀλλ', ἔκρυψεν), οὕτω καὶ ὑμεῖς, ὅταν κολληθῆτε καὶ ἑνωθῆτε τοῖς πολεμοῦσιν ὑμῖν, τότε αὐτῶν περιέσεσθε. Καὶ καθάπερ ἐκείνη καταχώννυται μέν, οὐκ ἀφανίζεται δέ, ἀλλὰ κατὰ μικρὸν πρὸς τὴν ἑαυτῆς ἕξιν ἅπαντα μεταποιεῖ· 25 τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τοῦ κηρύγματος τοῦτο συμβήσεται. Μὴ τοίνυν, ἐπειδὴ πολλὰς εἶπον εἶναι τὰς ἐπηρείας, φοβη-

---

4. Α' Κορ. 5, 6.

χανα, καὶ γίνεται δένδρον, ὥστε νὰ ἔλθουν τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ νὰ κάνουν τὰς φωλεάς των εἰς τοὺς κλάδους του». Μὲ αὐτὴν τὴν παραβολὴν δηλαδὴ ἠθέλησεν ὁ Κύριος νὰ παρουσιάσῃ τὰ ἀποδεικτικὰ στοιχεῖα τοῦ μεγέθους. Τὸ ἴδιο βέβαια, λέγει, θὰ συμβῇ καὶ μὲ τὸ κήρυγμα, καθόσον οἱ μαθηταὶ ἦσαν ἀπὸ ὅλους πιὸ ἀδύνατοι καὶ οἱ πιὸ ἀσήμαντοι ἀπὸ ὅλους· ἐπειδὴ ὅμως ὑπῆρχε μέσα των μεγάλη δύναμις, ἐξηπλώθη τὸ κήρυγμά των εἰς ὅλην τὴν οἰκουμένην.

Εἰς τὴν συνέχειαν προσθέτει εἰς αὐτὴν τὴν εἰκόνα καὶ τὴν παραβολὴν τῆς ζύμης, λέγων· «Ἡ βασιλεία τῶν οὐρανῶν ὁμοιάζει μὲ ζύμην, τὴν ὁποίαν ἔλαβε κάποια γυναῖκα καὶ τὴν ἀνέμιξε μὲ πολλὴν ποσότητα ἀλεύρου καὶ ἔτσι ἐζυμώθη ὅλη ἡ ποσότης αὐτοῦ». Ὅπως ἀκριβῶς δηλαδὴ ἡ ζύμη μεταβάλλει ὅλην τὴν ποσότητα τοῦ ἀλεύρου ὥστε ν' ἀποκτήσῃ τὴν δύναμιν αὐτῆς, ἔτσι καὶ σεῖς θὰ μεταβάλετε ὅλον τὸν κόσμον. Καὶ πρόσεξε τί σύνεσις. Διότι παρουσιάζει τὰ φαινόμενα τῆς φύσεως διὰ νὰ δείξῃ, ὅτι, ὅπως ἀκριβῶς ἐκεῖνα εἶναι ἀδύνατον νὰ μὴ συμβοῦν, ἔτσι καὶ αὐτά. Μὴ μοῦ εἰπῇς, σὲ παρακαλῶ, αὐτό· Τί θὰ ἠμπορέσωμεν νὰ κάνωμεν δώδεκα ἄνθρωποι ἀνάμεσα εἰς τόσον μεγάλον πλῆθος; Μὰ ἀκριβῶς αὐτὸ κατ' ἐξοχὴν εἶναι ἐκεῖνο ποὺ κάνει νὰ λάμψῃ ἡ δύναμίς σας, τὸ νὰ ἀναμιχθῆτε μὲ τὸ πλῆθος καὶ νὰ μὴ φύγετε ἀπ' αὐτό. Διότι ὅπως ἡ ζύμη τότε ζυμώνει τὸ φύραμα[4], ὅταν εὑρεθῇ κοντὰ εἰς τὸ ἀλεύρι, καὶ ὄχι ἁπλῶς κοντά, ἀλλὰ ἔτσι ποὺ νὰ ἀναμιχθῇ μὲ αὐτὸ (διότι δὲν εἶπεν ἁπλῶς, τὸ ἐτοποθέτησεν, ἀλλὰ τὸ ἀνέμιξεν), ἔτσι καὶ σεῖς, ὅταν θὰ ἔλθετε εἰς ἐπαφὴν καὶ ἑνωθῆτε μὲ αὐτοὺς ποὺ σᾶς πολεμοῦν, τότε θὰ ὑπερισχύσετε. Καὶ ὅπως ἀκριβῶς ἡ ζύμη σκεπάζεται μὲν ἀπὸ τὸ ἀλεύρι, ὅμως δὲν ἐξαφανίζεται, ἀλλὰ ὀλίγον κατ' ὀλίγον μεταβάλλει ὅλο τὸ ἀλεύρι ὥστε ν' ἀποκτήσῃ τὰς ἰδικάς της ἰδιότητας, κατὰ τὸν ἴδιον τρόπον θὰ συμβῇ αὐτὸ καὶ εἰς τὸ κήρυγμα. Ἑπομένως μὴ φοβηθῆτε ἐπειδὴ σᾶς εἶπα ὅτι εἶναι πολλοὶ οἱ πειρασμοί· καθόσον ἔτσι καὶ θὰ λάμψετε καὶ

θῆτε· καὶ γὰρ οὕτως ἐκλάμψετε καὶ ἁπάντων περιέσεσθε. Τρία δὲ σάτα ἐνταῦθα τὰ πολλὰ εἴρηκεν· οἶδε γὰρ τὸν ἀριθμὸν τοῦτον ἐπὶ πλήθους λαμβάνειν.

Μὴ θαυμάσῃς δέ, εἰ περὶ βασιλείας διαλεγόμενος κόκ-
5 *κου καὶ ζύμης ἐμνήσθη· ἀνθρώποις γὰρ διελέγετο ἀπείροις καὶ ἰδιώταις, καὶ δεομένοις ἀπὸ τούτων ἐνάγεσθαι. Οὕτω γὰρ ἦσαν ἀφελεῖς, ὡς καὶ μετὰ ταῦτα πάντα δεηθῆναι ἑρμηνείας πολλῆς. Ποῦ τοίνυν Ἑλλήνων παῖδές εἰσι; Μανθανέτωσαν τοῦ Χριστοῦ τὴν δύναμιν, ὁρῶντες τῶν πρα-*
10 *γμάτων τὴν ἀλήθειαν· καὶ ἑκατέρωθεν αὐτὸν προσκυνείτωσαν, ὅτι καὶ προεῖπε πρᾶγμα τοσοῦτον καὶ ἐπλήρωσε. Καὶ γὰρ αὐτός ἐστιν ὁ τὴν δύναμιν ἐνθεὶς τῇ ζύμῃ. Διὰ τοῦτο καὶ ἀνέμιξε τῷ πλήθει τοὺς αὐτῷ πιστεύοντας, ἵνα μεταδῶμεν τοῖς ἄλλοις τῆς ἡμετέρας συνέσεως. Μηδεὶς τοίνυν ὀλι-*
15 *γότητα αἰτιάσθω. Πολλὴ γὰρ τοῦ κηρύγματος ἡ δύναμις· καὶ τὸ ζυμωθὲν ἅπαξ, ζύμη γίνεται τῷ λοιπῷ πάλιν. Καὶ καθάπερ ὁ σπινθὴρ ὅταν ἐπιλάβηται ξύλων, τὰ ἤδη καταχαυθέντα ποιήσας τῆς φλογὸς προσθήκην, οὕτω τοῖς ἄλλοις ἔπεισιν· οὕτω δὴ καὶ τὸ κήρυγμα. Ἀλλ᾽ οὐκ εἶπε πῦρ, ἀλλὰ*
20 *ζύμην· τί δήποτε; Ὅτι οὐ τοῦ πυρός ἐστιν ἐκεῖ τὸ ὅλον, ἀλλὰ καὶ τῶν ἀναπτομένων ξύλων· ἐνταῦθα δὲ τὸ ὅλον ἡ ζύμη ἐργάζεται δι᾽ ἑαυτῆς.*

Εἰ δὲ ἄνθρωποι δώδεκα τὴν οἰκουμένην ἅπασαν ἐζύμωσαν, ἐννόησον ὅση ἡμῶν ἡ κακία, ὅταν τοσοῦτοι ὄντες τοὺς
25 *ὑπολειπομένους μὴ δυνηθῶμεν διορθοῦν, οὓς μυρίοις κόσμοις ἀρκεῖν ἐχρῆν καὶ γενέσθαι ζύμην.*

3. Ἀλλ᾽ ἐκεῖνοι, φησίν, ἀπόστολοι ἦσαν. Καὶ τί τοῦτο;

---

5. Μέτρον μετρήσεως.
6. Δηλαδὴ οἱ εἰδωλολάτραι.

θὰ ὑπερισχύσετε ὅλων γενικῶς. Λέγων δὲ ἐδῶ τρία σάτα[5], ἐννοεῖ τοὺς πολλοὺς διότι ἐγνώριζεν ὅτι τὸν ἀριθμὸν αὐτὸν τὸν ἐχρησιμοποίουν πρὸς δήλωσιν τοῦ πλήθους.

Καὶ μὴ ἀπορῇς ἐὰν ἐνεθυμήθη τὸν σπόρον τοῦ συνάπεως καὶ τὴν ζύμην, συζητῶν περὶ τῆς βασιλείας τῶν οὐρανῶν· συνέβη αὐτὸ ἐπειδὴ ὡμίλει πρὸς ἀνθρώπους ἀγραμμάτους καὶ ἁπλοϊκούς, ποὺ εἶχαν ἀνάγκην ἀπὸ αὐτὰ διὰ νὰ κατανοήσουν τὰ λεγόμενά του. Ἦσαν δηλαδὴ τόσον ἁπλοϊκοί, ὥστε νὰ χρειάζωνται καὶ μετὰ ἀπὸ ὅλα αὐτὰ πολλὴν ἑρμηνείαν. Ποῦ εἶναι λοιπὸν τὰ παιδιὰ τῶν Ἑλλήνων[6]; Ἂς πληροφορηθοῦν τὴν δύναμιν τοῦ Χριστοῦ, βλέποντες τὴν ἀλήθειαν τῶν πραγμάτων, καὶ ἂς τὸν προσκυνήσουν διὰ δύο λόγους· καὶ ἐπειδὴ προεῖπε κάτι τὸ πάρα πολὺ σπουδαῖον, καὶ ἐπειδὴ τὸ ἐξεπλήρωσε. Καθόσον αὐτὸς ὁ ἴδιος εἶναι ἐκεῖνος ποὺ ἔθεσε τὴν δύναμιν ἐντὸς τῆς ζύμης. Διὰ τοῦτο καὶ ἀνέμιξεν αὐτούς, ποὺ πιστεύουν εἰς αὐτόν, μὲ τὸ πλῆθος τῶν ἀνθρώπων, διὰ νὰ μεταδώσωμεν εἰς τοὺς ἄλλους τὴν γνῶσιν μας αὐτήν. Ἐπομένως ἂς μὴ προβάλλῃ κανεὶς ὡς ἐπιχείρημα τὴν ὀλιγότητα. Διότι εἶναι μεγάλη ἡ δύναμις τοῦ κηρύγματος, καὶ αὐτὸ ποὺ ἐζυμώθη μίαν μόνον φοράν, γίνεται ἐν συνεχείᾳ ζύμη διὰ τὸ ὑπόλοιπον. Καὶ ὅπως ἀκριβῶς ἡ σπίθα, ὅταν ἐπιπέσῃ εἰς ξύλα μεταδίδεται καὶ εἰς ἄλλα, ἀφοῦ πρῶτα κατακαύσῃ αὐτὰ καὶ αὐξήσῃ μὲ αὐτὰ τὴν φλόγα της, τὸ ἴδιο λοιπὸν συμβαίνει καὶ μὲ τὸ κήρυγμα. Δὲν εἶπεν ὅμως πῦρ, ἀλλὰ ζύμην· διατί λοιπόν; Διότι εἰς τὴν περίπτωσιν τοῦ πυρὸς δὲν ἐξαρτᾶται τὸ πᾶν ἀπὸ τὴν φωτιάν, ἀλλὰ καὶ ἀπὸ τὰ ξύλα ποὺ καίονται· ἐνῷ εἰς τὴν περίπτωσιν τῆς ζύμης ὅλο τὸ ἀποτέλεσμα κατορθώνεται μὲ μόνην τὴν ζύμην.

Ἐὰν ὅμως δώδεκα ἄνθρωποι ἐζύμωσαν ὁλόκληρον τὴν οἰκουμένην, σκέψου πόση εἶναι ἡ ἰδική μας κακία, ὅταν, μολονότι εἴμεθα τόσοι πολλοί, δὲν ἠμποροῦμεν νὰ μεταβάλλωμεν τοὺς ὑπολοίπους ἀνθρώπους, ποὺ θὰ ἔπρεπε, γενόμενοι προζύμη, νὰ ἐπαρκέσουν δι' ἀπείρους κόσμους.

3. Ἀλλ' ἐκεῖνοι, θὰ εἰπῇ κάποιος, ἦσαν ἀπόστολοι. Καὶ

Οὐχὶ τῶν αὐτῶν σοι μετέσχον; οὐκ ἐν πόλεσιν ἐτράφησαν; οὐ τῶν αὐτῶν ἀπέλαυσαν; οὐχὶ τέχνας μετεχειρίσαντο; μὴ γὰρ ἄγγελοι ἦσαν; μὴ γὰρ ἐξ οὐρανοῦ κατέβησαν;

Ἀλλὰ τὰ σημεῖα, φησίν, εἶχον. Οὐ τὰ σημεῖα θαυμαστοὺς αὐτοὺς ἐποίησε. Μέχρι πότε προκαλύμμασι κεχρήμεθα τῆς ἡμετέρας ῥᾳθυμίας τοῖς θαύμασιν ἐκείνοις; Ἴδε τὸν χορὸν τῶν ἁγίων οὐ τοῖς θαύμασιν ἐκείνοις λάμψαντα. Πολλοὶ γὰρ καὶ δαίμονας ἐκβαλόντες, ἐπειδὴ τὴν ἀνομίαν εἰργάσαντο, οὐκ ἐγένοντο θαυμαστοί, ἀλλὰ καὶ ἐκολάσθησαν. Καὶ τί ποτ' οὖν ἐστι, φησίν, ὃ μεγάλους αὐτοὺς ἔδειξε; Τὸ χρημάτων καταφρονεῖν, τὸ δόξης ὑπερορᾶν, τὸ πραγμάτων ἀπηλλάχθαι βιωτικῶν. Ὡς εἴγε μὴ ταῦτα εἶχον, ἀλλὰ δοῦλοι τῶν παθῶν ἦσαν, εἰ καὶ μυρίους νεκροὺς ἤγειραν, οὐ μόνον οὐδὲν ἂν ὠφέλησαν, ἀλλὰ καὶ ἀπατεῶνες ἂν ἐνομίσθησαν εἶναι. Οὕτως ὁ βίος ἐστὶν ὁ πανταχοῦ λάμπων, ὁ καὶ τοῦ Πνεύματος τὴν χάριν ἐπισπώμενος. Ποῖον σημεῖον Ἰωάννης ἐποίησεν, ὅτι πόλεις τοσαύτας ἀνηρτήσατο; Ὅτι γὰρ οὐδὲν ἐθαυματούργησεν, ἄκουσον τοῦ εὐαγγελιστοῦ λέγοντος· «Ὅτι Ἰωάννης μὲν ἐποίησε σημεῖον οὐδέν». Πόθεν δὲ θαυμαστὸς Ἠλίας ἐγένετο; Οὐκ ἀπὸ τῆς παρρησίας τῆς πρὸς τὸν βασιλέα; οὐκ ἀπὸ τοῦ ζήλου τοῦ πρὸς τὸν Θεόν; οὐκ ἀπὸ τῆς ἀκτημοσύνης; οὐκ ἀπὸ τῆς μηλωτῆς καὶ τοῦ σπηλαίου καὶ τῶν ὀρῶν; Τὰ γὰρ σημεῖα μετὰ ταῦτα ἅπαντα ἐποίησε. Τὸν δὲ Ἰὼβ ποῖον σημεῖον ὁρῶν ποιοῦντα ἐξεπλάγη ὁ διάβολος; Σημεῖον μὲν οὐδέν, βίον δὲ λάμποντα καὶ ὑπομονὴν ἀδάμαντος στερροτέραν ἐπιδεικνύμενον. Ποῖον σημεῖον ὁ Δαυῒδ ἐποίησεν, ἔτι νέος ὤν, ὡς εἰπεῖν τὸν Θεόν· «Εὗρον

7. Ἰω. 10, 41.

τί σημασία ἔχει αὐτό; Μήπως δὲν μετεῖχαν εἰς ὅσα μετέχεις καὶ σύ; δὲν ἀνετράφησαν μέσα εἰς πόλεις; δὲν ἀπήλαυσαν τὰ ἴδια; Μήπως δὲν ἐξήσκησαν τέχνας; μήπως νομίζεις ὅτι ἦσαν ἄγγελοι; ἢ μήπως νομίζεις ὅτι κατέβησαν ἀπὸ τὸν οὐρανόν;

Ἀλλά, θὰ εἰπῇ κάποιος, αὐτοὶ ἔκαμναν θαύματα. Δὲν τοὺς ἔκαναν θαυμαστοὺς τὰ θαύματα. Μέχρι πότε θὰ χρησιμοποιοῦμεν ἐκεῖνα τὰ θαύματα διὰ νὰ δικαιολογοῦμεν τὴν ἰδικήν μας ραθυμίαν; Πρόσεξε τὸν χορὸν τῶν ἁγίων, ὁ ὁποῖος δὲν διέλαμψε μὲ ἐκεῖνα τὰ θαύματα. Διότι πολλοὶ μολονότι ἐξέβαλαν καὶ δαιμόνια, ὄχι μόνον δὲν ἔγινεν ἀξιοθαύμαστοι, ἀλλὰ καὶ ἐκολάσθησαν, ἐπειδὴ διέπραξαν τὴν ἀνομίαν. Καὶ τί τέλος πάντων εἶναι ἐκεῖνο, θὰ εἰπῇ κάποιος, ποὺ τοὺς ἀνέδειξε σπουδαίους; Τὸ ὅτι περιεφρόνουν τὰ χρήματα, τὸ ὅτι ἀπέφευγαν τὴν δόξαν, τὸ ὅτι εἶχαν ἀπαλλαγῆ ἀπὸ τὰς βιωτικὰς φροντίδας. Διότι ἐὰν δὲν εἶχαν αὐτά, ἀλλ' ἦσαν δοῦλοι τῶν παθῶν, καὶ ἂν ἀκόμη ἀνιστοῦσαν ἀπείρους νεκρούς, ὄχι μόνον δὲν θὰ ὠφελοῦσαν εἰς τίποτε, ἀλλὰ θὰ ἦτο δυνατὸν νὰ θεωρηθοῦν καὶ ἀπατεῶνες. Ἑπομένως μόνον ὁ βίος εἶναι αὐτὸς ποὺ λάμπει παντοῦ καὶ ὁ ὁποῖος προσελκύει καὶ τὴν χάριν τοῦ ἁγίου Πνεύματος. Ποῖον θαῦμα ἔκανεν ὁ Ἰωάννης, αὐτὸς ποὺ τόσας πόλεις ἔκανε νὰ ὁδηγηθοῦν πλησίον του; Τὸ ὅτι βέβαια δὲν ἔκανε κανένα θαῦμα, ἄκουσε τὸν εὐαγγελιστὴν ποὺ λέγει· «Ὅτι ὁ Ἰωάννης δὲν ἔκανε κανένα θαῦμα»[7]. Ἀπὸ ποῦ δὲ ὁ Ἠλίας ἔγινε θαυμαστός; Δὲν ἔγινεν ἀπὸ τὸ θάρρος του πρὸς τὸν βασιλέα; δὲν ἔγινεν ἀπὸ τὸν ζῆλον του πρὸς τὸν Θεόν; δὲν ἔγινεν ἀπὸ τὴν ἀκτημοσύνην; δὲν ἔγινεν ἀπὸ τὴν προβειάν, τὸ σπήλαιον καὶ τὰ ὄρη; Διότι τὰ θαύματα τὰ ἔκανε μετὰ ἀπὸ ὅλα αὐτά. Ἐπίσης ποῖον θαῦμα τοῦ Ἰὼβ εἶδεν ὁ διάβολος καὶ ἐξεπλάγη; Θαῦμα μὲν κανένα, εἶδεν ὅμως βίον ποὺ ἔλαμπε καὶ νὰ ἐπιδεικνύῃ ὑπομονὴν ἰσχυροτέραν καὶ ἀπὸ τὸ διαμάντι. Ποῖον θαῦμα ἔκανεν ὁ Δαυίδ, ὅταν ἀκόμη ἦτο νέος, ὥστε νὰ εἰπῇ ὁ Θεός· «Εὗρον τὸν Δαυΐδ, τὸν υἱὸν τοῦ Ἰεσ-

Δαυῒδ τὸν τοῦ Ἰεσσαὶ ἄνδρα κατὰ τὴν καρδίαν μου»; Ὁ δὲ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ ποῖον νεκρὸν ἤγειραν; ποῖον δὲ λεπρὸν ἐκάθηραν; Οὐκ οἶσθα ὅτι τὰ σημεῖα, ἐὰν μὴ νήφωμεν, καὶ βλάπτει πολλάκις; Οὕτω πολλοὶ τῶν Κο-
5 *ρινθίων ἀπεσχίσθησαν ἀπ' ἀλλήλων· οὕτω πολλοὶ τῶν Ρωμαίων ἀπενοήθησαν· οὕτω Σίμων ἐξεβλήθη· οὕτως ὁ τῷ Χριστῷ τότε ἐπιθυμήσας ἀκολουθῆσαι ἀπεδοκιμάζετο, ἀκούσας ὅτι «Αἱ ἀλώπεκες φωλεοὺς ἔχουσι καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσεις». Τούτων γὰρ ἕκαστος, ὁ μὲν χρη-*
10 *μάτων, ὁ δὲ δόξης ἐφιέμενος τῆς ἀπὸ τῶν σημείων, ἐξέπιπτον καὶ ἀπώλλυντο.*

Βίου δὲ ἐπιμέλεια καὶ ἀρετῆς ἔρως οὐ μόνον οὐ τίκτει τοιαύτην ἐπιθυμίαν, ἀλλὰ καὶ οὖσαν ἀναιρεῖ. Καὶ αὐτὸς δὲ ὅτε ἐνομοθέτει τοῖς ἑαυτοῦ μαθηταῖς, τί ἔλεγε; ποιή-
15 *σατε σημεῖα, ἵνα ἴδωσιν οἱ ἄνθρωποι; Οὐδαμῶς· ἀλλὰ τί; «Λαμψάτω τὸ φῶς ὑμῶν ἔμπροσθεν τῶν ἀνθρώπων, ὅπως ἴδωσιν ὑμῶν τὰ καλὰ ἔργα καὶ δοξάσωσι τὸν Πατέρα ὑμῶν τῶν ἐν τοῖς οὐρανοῖς». Καὶ τῷ Πέτρῳ δὲ οὐκ εἶπεν, εἰ φιλεῖς με, ποίει σημεῖα· ἀλλά, «ποίμαινε τὰ πρόβατά μου».*
20 *Καὶ πανταχοῦ δὲ αὐτὸν προτιμῶν τῶν ἄλλων μετὰ Ἰακώβου καὶ Ἰωάννου, πόθεν, εἰπέ μοι, προετίμα; ἀπὸ τῶν σημείων; Καὶ μὴν πάντες ὁμοίως ἐκάθαιρον τοὺς λεπροὺς καὶ τοὺς νεκροὺς ἤγειρον· καὶ πᾶσιν ὁμοίως τὴν ἐξουσίαν ἔδωκε. Πόθεν οὖν εἶχον τὸ πλέον οὗτοι; Ἀπὸ τῆς κατὰ ψυχὴν ἀ-*
25 *ρετῆς. Ὁρᾷς ὅτι πανταχοῦ βίου χρεία καὶ τῆς διὰ τῶν ἔργων ἐπιδείξεως; «Ἀπὸ τῶν καρπῶν γὰρ αὐτῶν», φησίν, «ἐπιγνώσεσθε αὐτούς».*

---

8. Πράξ. 13, 22.
9. Ματθ. 8, 20.
10. Ματθ. 5, 16.
11. Ἰω. 21, 16.
12. Ματθ. 7, 16.

σαί, ἄνδρα ὅπως ἀκριβῶς τὸν ἤθελεν ἡ καρδία μου»[8]; Ὁ Ἀβραὰμ πάλιν καὶ ὁ Ἰσαὰκ καὶ ὁ Ἰακὼβ ποῖον νεκρὸν ἀνέστησαν; ποῖον λεπρὸν ἐκαθάρισαν; Δὲν γνωρίζεις ὅτι τὰ θαύματα, ἂν δὲν προσέχωμεν, ὅτι πολλὲς φορὲς ἀκόμη καὶ βλάπτουν; Διὰ τὸν λόγον αὐτὸν πολλοὶ ἀπὸ τοὺς Κορινθίους ἀπεκόπησαν ἀπὸ τοὺς ἄλλους πιστοὺς τῆς Ἐκκλησίας των· ἐξ αἰτίας αὐτοῦ πολλοὶ ἀπὸ τοὺς Ρωμαίους ἔχασαν τὴν ἐλπίδα των· ἐξ αἰτίας αὐτοῦ ὁ Σίμων ἐξεδιώχθη ἀπὸ τὴν Ἐκκλησίαν· ἐξ αἰτίας αὐτοῦ αὐτὸς ποὺ τότε ἐπεθύμησε ν' ἀκολουθήσῃ τὸν Χριστὸν κατεκρίθη καὶ ἤκουσεν ὅτι, «αἱ ἀλεποῦδες ἔχουν φωλεὰς καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ τόπους διὰ νὰ διανυκτερεύουν»[9]. Διότι καθένας ἀπὸ αὐτούς, ἄλλος μὲν ἐξ αἰτίας τῶν χρημάτων, ἄλλος δὲ ἀποβλέπων εἰς τὴν δόξαν ποὺ προέρχεται ἀπὸ τὰ θαύματα, ἀπεβάλλοντο ἀπὸ τὸ πλήρωμα τῆς Ἐκκλησίας καὶ ἐχάνοντο.

Ἡ φροντὶς ὅμως διὰ ὀρθὸν βίον καὶ ὁ πόθος διὰ τὴν ἀρετὴν ὄχι μόνον δὲν γεννᾷ παρομοίαν ἐπιθυμίαν, ἀλλὰ καὶ ἂν ἀκόμη ὑπάρχῃ, τὴν ἀπομακρύνει· Ἀλλὰ καὶ ὁ ἴδιος ὁ Κύριος, ὅταν ἔδιδε τὰ παραγγέλματά του εἰς τοὺς μαθητάς του, τί ἔλεγε; Μήπως ἔλεγε, κάνετε θαύματα διὰ νὰ ἰδοῦν οἱ ἄνθρωποι; Ἀσφαλῶς ὄχι· ἀλλὰ τί; «Ἂς λάμψῃ τὸ φῶς σας ἔμπροσθεν τῶν ἀνθρώπων διὰ νὰ ἰδοῦν τὰ καλὰ ἔργα σας καὶ νὰ δοξάσουν τὸν Πατέρα σας τὸν οὐράνιον»[10]. Ἀκόμη καὶ εἰς τὸν Πέτρον δὲν εἶπεν, ἂν μὲ ἀγαπᾶς, κάνε θαύματα, ἀλλὰ εἶπε, «βόσκε τὰ πρόβατά μου»[11]. Καὶ εἰς κάθε περίπτωσιν προτιμῶν ἀπὸ τοὺς ἄλλους τὸν Πέτρον μαζὶ μὲ τὸν Ἰάκωβον καὶ τὸν Ἰωάννην, εἰπέ μου, ἀπὸ ποῦ τοὺς ἐπροτιμοῦσε; μήπως ἀπὸ τὰ θαύματα; Καὶ ὅμως ὅλοι καθ' ὅμοιον τρόπον ἐκαθάριζαν τοὺς λεπρούς, καὶ ἤγειραν τοὺς νεκρούς, καὶ εἰς ὅλους ἐξ ἴσου ἔδωσε τὴν ἐξουσίαν. Ἀπὸ ποῦ ἐπομένως εἶχαν τὴν ἐπὶ πλέον προτίμησιν; Ἀσφαλῶς ἀπὸ τὴν ἀρετὴν τῆς ψυχῆς. Βλέπεις ὅτι παντοῦ χρειάζεται ἐνάρετη ζωὴ καὶ ἐπίδειξις ἀγαθῶν ἔργων; Διότι, λέγει, «Ἀπὸ τοὺς καρπούς των θὰ τοὺς γνωρίσετε»[12].

4. Τί δὲ τὴν ζωὴν συνίστησι τὴν ἡμετέραν; Ἆρα σημείων ἐπίδειξις ἢ πολιτείας ἀρίστης ἀκρίβεια; Εὔδηλον ὅτι τὸ δεύτερον· τὰ δὲ σημεῖα καὶ τὰς ἀφορμὰς ἐντεῦθεν ἔχει καὶ εἰς τοῦτο καταλήγει. Ὅ τε γὰρ βίον ἄριστον ἐπιδεικνύμε-
5 *νος, ἐπισπᾶται ταύτην τὴν χάριν· ὅ τε λαμβάνων τὴν χάριν, διὰ τοῦτο λαμβάνει, ἵνα τῶν ἑτέρων διορθώσηται βίον. Ἐπεὶ καὶ ὁ Χριστὸς διὰ τοῦτο τὰ θαύματα ἐκεῖνα ἐποίησεν, ἵνα ἀξιόπιστος φανεὶς ἐντεῦθεν, καὶ πρὸς ἑαυτὸν ἑλκύσας, ἀρετὴν εἰς τὸν βίον εἰσαγάγῃ. Διὸ καὶ τὴν πλείονα ὑπὲρ*
10 *τούτου ποιεῖται σπουδήν. Οὐδὲ γὰρ τοῖς σημείοις ἀρκεῖται μόνον, ἀλλὰ καὶ γέενναν ἀπειλεῖ καὶ βασιλείαν ἐπαγγέλλεται καὶ τοὺς παραδόξους ἐκείνους τίθησι νόμους καὶ πάντα ὑπὲρ τούτου πραγματεύεται, ἵνα ἰσαγγέλους ἐργάσηται. Καὶ τί λέγω, ὅτι ὁ Χριστὸς πάντα τούτου ἕνεκεν ποιεῖ; Σοὶ γὰρ*
15 *εἴ τις ἔδωκεν, εἰπέ μοι, αἵρεσιν, νεκροὺς ἀναστῆσαι ἐν τῷ ὀνόματι αὐτοῦ ἢ διὰ τὸ ὄνομα αὐτοῦ ἀποθανεῖν, τί ἂν ἐδέξω μᾶλλον; Οὐκ εὔδηλον ὅτι τὸ δεύτερον; Καὶ μὴν τὸ μὲν σημεῖόν ἐστι, τὸ δὲ ἔργον. Τί δέ, εἴ τίς σοι προὔθηκε ποιῆσαι χόρτον χρυσὸν ἢ δυνηθῆναι πάντων τῶν χρημάτων ὡς χόρ-*
20 *τον καταφρονῆσαι, οὐκ ἂν τοῦτο ἐδέξω μᾶλλον; Καὶ μάλα εἰκότως. Καὶ γὰρ τοὺς ἀνθρώπους τοῦτο ἂν μάλιστα ἐπεσπάσατο. Εἰ μὲν γὰρ εἶδον τὸν χόρτον γινόμενον, κἂν ἐπεθύμησαν καὶ αὐτοὶ λαβεῖν τὴν δύναμιν, ὥσπερ ὁ Σίμων, καὶ ηὐξήθη ἂν αὐτοῖς ὁ τῶν χρημάτων ἔρως· εἰ δὲ εἶδον*

---

13. Πράξ. 8, 9-24.

4. Ἀλλὰ τί εἶναι αὐτὸ ποὺ συνθέτει τὴν ζωήν μας; Εἶναι ἆρά γε ἡ ἐπίδειξις θαυμάτων, ἢ ἀπολύτως ἄριστος τρόπος ζωῆς; Εἶναι ὁλοφάνερον ὅτι τὸ δεύτερον· ἀκόμη δὲ καὶ τὰ θαύματα ἀπὸ αὐτὸ λαμβάνουν τὴν ἀρχήν των καὶ εἰς αὐτὸ καταλήγουν. Διότι καὶ αὐτὸς ποὺ ἔχει νὰ ἐπιδείξῃ ἄριστον βίον, προσελκύει αὐτὸ τὸ χάρισμα νὰ κάνῃ θαύματα, καὶ αὐτὸς δὲ ποὺ λαμβάνει αὐτὸ τὸ χάρισμα, διὰ τοῦτο τὸ λαμβάνει, διὰ νὰ διορθώσῃ τὴν ζωὴν τῶν ἄλλων. Διότι καὶ ὁ Χριστὸς διὰ τοῦτο ἔκανεν ἐκεῖνα τὰ θαύματα, διὰ νὰ φανῇ ἀπὸ αὐτὰ ἀξιόπιστος, καὶ προσελκύων πλησίον του τοὺς ἀνθρώπους νὰ εἰσάγῃ τὴν ἀρετὴν εἰς τὴν ζωήν των. Διὰ τοῦτο καὶ τὴν περισσοτέραν φροντίδα του τὴν ἀφιερώνει διὰ τὸν σκοπὸν αὐτόν. Διότι δὲν ἀρκεῖται μόνον εἰς τὰ θαύματα, ἀλλὰ τοὺς ἀπειλεῖ καὶ μὲ τὴν γέενναν, ὑπόσχεται βασιλείαν, καὶ θεσπίζει τοὺς παραδόξους ἐκείνους νόμους, καὶ ὅλα τὰ πράττει πρὸς ἐπιτυχίαν αὐτοῦ τοῦ σκοποῦ, διὰ νὰ τοὺς καταστήσῃ δηλαδὴ ἀγγέλους. Διατί ὅμως λέγω ὅτι ὁ Χριστὸς τὰ κάνει ὅλα πρὸς τὸν σκοπὸν αὐτόν; Διότι, εἰπέ μου, ἂν κάποιος σοῦ ἔδιδε τὴν δυνατότητα νὰ ἐκλέξῃς ἕνα ἀπὸ τὰ δύο, τὸ ν' ἀναστήσῃς δηλαδὴ νεκροὺς ἐπ' ὀνόματί του, ἢ ν' ἀποθάνῃς διὰ τὸ ὄνομά του, ποῖο θὰ ἤθελες προτιμήσει περισσότερον; Δὲν εἶναι ὁλοφάνερον ὅτι θὰ ἐπροτιμοῦσες τὸ δεύτερον; Καὶ ὅμως τὸ μὲν ἕνα εἶναι θαῦμα, τὸ δὲ ἄλλο ἔργον. Ἐπίσης τί θὰ ἐπροτιμοῦσες ἂν κάποιος σοῦ ἐπρότεινε νὰ κάνῃς τὸ χόρτον χρυσὸν ἢ νὰ κατορθώσῃς καὶ νὰ περιφρονήσῃς ὅλα τὰ χρήματα ὡσὰν νὰ ἦσαν χόρτον, δὲν θὰ ἐπροτιμοῦσες πολὺ περισσότερον τὸ δεύτερον; Καὶ βέβαια κατὰ πολὺν φυσικὸν λόγον, καθόσον αὐτὸ θὰ προσήλκυε περισσότερον τὴν προσοχὴν τῶν ἀνθρώπων. Διότι ἐὰν ἔβλεπαν τὸ χόρτον νὰ μεταβάλλεται εἰς χρυσόν, θὰ ἐπιθυμοῦσαν καὶ αὐτοὶ νὰ ἀποκτήσουν αὐτὴν τὴν δύναμιν, ὅπως ἀκριβῶς ὁ Σίμων[13], καὶ θὰ ηὔξανε ὁ πόθος των διὰ τὰ χρήματα· ἐὰν ὅμως ἔβλεπαν ὅλους νὰ περιφρονοῦν τὸν χρυσὸν ὡσὰν χόρτον καὶ νὰ μὴ τὸν προσέ-

ὡς χόρτου τοῦ χρυσοῦ πάντας καταφρονοῦντας καὶ ὑπερορῶντας, πάλαι ἂν τῆς νόσου ταύτης ἀπηλλάγησαν.

Ὁρᾷς ὅτι ὁ βίος μᾶλλον ὠφελεῖν δύναται; Βίον δὲ λέγω νῦν, οὐχὶ ἂν νηστεύσῃς, οὐδὲ ἂν σάκκον καὶ σποδὸν 5 *ὑποστρώσῃς, ἀλλ' ἐὰν χρημάτων ὑπερίδῃς, ὡς ὑπεριδεῖν χρή, ἐὰν φιλοστοργήσῃς, ἐὰν δῷς πεινῶντι τὸν ἄρτον σου, ἐὰν θυμοῦ κρατήσῃς, ἂν κενοδοξίαν ἐκβάλῃς, ἂν βασκανίαν ἀνέλῃς. Οὕτω καὶ αὐτὸς ἐπαίδευε· «Μάθετε γάρ», φησίν, «ἀπ' ἐμοῦ, ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ». Οὐκ* 10 *εἶπεν, ὅτι ἐνήστευσα, καίτοιγε εἶχεν εἰπεῖν τὰς τεσσαράκοντα ἡμέρας, ἀλλ' οὐ λέγει τοῦτο, ἀλλ' «Ὅτι πρᾶός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ». Καὶ πάλιν πέμπων αὐτούς, οὐκ εἶπεν, ὅτι νηστεύετε, ἀλλὰ «Πᾶν τὸ παρατιθέμενον ὑμῖν ἐσθίετε». Χρημάτων μέντοι ἕνεκεν πολλὴν ἀκρίβειαν ἀπῄτησε λέγων·* 15 *«Μὴ κτήσησθε χρυσὸν ἢ ἄργυρον, μηδὲ χαλκὸν εἰς τὰς ζώνας ὑμῶν».*

Ταῦτα δὲ λέγω, οὐχὶ νηστείαν κακίζων· μὴ γένοιτο· ἀλλὰ καὶ σφόδρα ἐπαινῶν· ἀλγῶ δέ, ὅταν τῶν ἄλλων ἠμελημένων ταύτην νομίζητε ἀρκεῖν εἰς σωτηρίαν ὑμῖν, τὸ ἔσχα- 20 *τον τοῦ χοροῦ τῆς ἀρετῆς ἔχουσαν μέρος. Τὸ γὰρ μέγιστον, ἀγάπη καὶ ἐπιείκεια καὶ ἐλεημοσύνη, ἣ καὶ παρθενίαν ὑπερηκόντισεν. Ὥστε εἰ βούλει ἀποστόλων γενέσθαι ἴσος, οὐδὲν τὸ κωλῦον. Ἀρκεῖ γὰρ ταύτην τὴν ἀρετὴν ἐπελθόντα μόνον μηδὲν ἔλαττον ἐκείνων ἔχειν.*

25 *Μηδεὶς τοίνυν εἰς σημεῖα ἀναβαλλέσθω. Ἀλγεῖ μὲν γὰρ ὅταν ἐξελαθῇ σώματος δαίμων· πολλῷ δὲ μᾶλλον, ὅταν ἁμαρτίας ἀπαλλαττομένην ἴδῃ ψυχήν. Καὶ γὰρ αὕτη ἐστὶν*

---

14. Ματθ. 11, 29.
15. Ματθ. 4, 2.
16. Λουκᾶ 10, 8 καὶ Α' Κορ. 10, 27.
17. Ματθ. 10, 9.

χουν, θὰ εἶχαν ἀπαλλαγῆ πρὸ πολλοῦ ἀπὸ αὐτὴν τὴν ἀσθένειαν.

Βλέπεις ὅτι ἡ ἐνάρετη ζωὴ εἶναι ἐκείνη ποὺ ὠφελεῖ περισσότερον; Καὶ ἐννοῶ βίον εἰς τὴν περίπτωσιν αὐτήν, ὄχι ἐὰν ἤθελες νηστεύει, οὔτε ἐὰν ἤθελες κοιμηθῆ ἐπάνω εἰς σάκκον καὶ στάκτην, ἀλλὰ ἐὰν ἤθελες περιφρονήσει τὰ χρήματα, καὶ πρέπει νὰ τὰ περιφρονήσῃς, ἐὰν γίνῃς φιλόστοργος, ἐὰν δίδῃς τὸν ἄρτον σου εἰς αὐτὸν ποὺ πεινᾷ, ἐὰν συγκρατήσῃς τὸν θυμόν σου, ἐὰν ἀποβάλῃς τὴν κενοδοξίαν, ἐὰν ἐκριζώσῃς τὸν φθόνον. Καὶ ἀκριβῶς τὸ ἴδιο ἐδίδασκε καὶ ὁ Χριστός. Διότι ἔλεγε· «Μάθετε ἀπὸ ἐμέ, ὅτι εἶμαι πρᾶος καὶ ταπεινὸς εἰς τὴν καρδίαν»[14]. Δὲν εἶπεν, Ὅτι ἐνήστευσα, μολονότι θὰ ἠμποροῦσε βέβαια νὰ τὸ εἰπῇ, ἀφοῦ ἐνήστευσεν ἐπὶ σαράντα ἡμέρας[15], ἀλλ' ὅμως δὲν τὸ λέγει αὐτό, ἀλλὰ «ὅτι εἶμαι πρᾶος καὶ ταπεινὸς εἰς τὴν καρδίαν». Ἀλλὰ καὶ ὅταν πάλιν τοὺς ἀποστέλλῃ εἰς τὸ κήρυγμα, δὲν εἶπε, Νὰ νηστεύετε, ἀλλὰ «Νὰ τρώγετε ὅλα ὅσα σᾶς προσφέρουν»[16]. Ὅμως διὰ τὰ χρήματα ἀπῄτησε πολλὴν ἀκρίβειαν, λέγων· «Μὴ ἀποκτήσετε χρυσὸν ἢ ἄργυρον, οὔτε νὰ φυλάσσετε χαλκὸν εἰς τὰς ζώνας σας»[17].

Αὐτὰ δὲ τὰ λέγω ὄχι διὰ νὰ κατηγορήσω τὴν νηστείαν· μὴ γένοιτο· ἀλλ' ἀντιθέτως διὰ νὰ τὴν ἐπαινέσω· πονῶ ὅμως ὅταν, ἐνῷ παραμελεῖτε τὰ ἄλλα, νομίζετε, ὅτι αὐτὴ ποὺ κατέχει τὸ τελευταῖον μέρος εἰς τὸν χῶρον τῆς ἀρετῆς, ἀρκεῖ διὰ τὴν σωτηρίαν σας. Διότι τὸ σπουδαιότερον μέρος τὸ κατέχουν ἡ ἀγάπη, ἡ ἐπιείκεια καὶ ἡ ἐλεημοσύνη, ἡ ὁποία ὑπερέχει καὶ ἀπὸ αὐτὴν ἀκόμη τὴν παρθενίαν. Ἑπομένως ἐὰν θέλῃς νὰ γίνῃς ἴσος μὲ τοὺς ἀποστόλους, δὲν ὑπάρχει τίποτε ποὺ νὰ σὲ ἐμποδίζῃ. Ἀρκεῖ καὶ μόνον νὰ πλησιάσῃ κανεὶς αὐτὴν τὴν ἀρετήν, καὶ δὲν θὰ ὑστερῇ εἰς τίποτε ἀπὸ τοὺς ἀποστόλους.

Κανεὶς λοιπὸν ἂς μὴ ἐπιρρίπτῃ τὴν εὐθύνην εἰς τὰ θαύματα. Διότι ὁ δαίμων ὑποφέρει ὅταν ἐκδιωχθῇ ἀπὸ τὸ σῶμα τοῦ ἀνθρώπου καὶ ἀκόμη περισσότερον, ὅταν ἰδῇ ψυχὴν ν' ἀπαλλάσσεται ἀπὸ τὴν ἁμαρτίαν. Καθόσον αὐτὴ εἶ-

ἡ δύναμις ἐκείνου ἡ μεγάλη. Διὰ ταύτην ἀπέθανεν ὁ Χριστός, ἵνα ταύτην καταλύσῃ. Καὶ γὰρ αὕτη τὸν θάνατον εἰσήγαγε· διὰ ταύτην τὰ ἄνω κάτω γέγονεν. Ἂν τοίνυν ταύτην ἀνέλῃς, ἐξέκοψας τοῦ διαβόλου τὰ νεῦρα, συνέτριψας αὐτοῦ
5 *τὴν κεφαλήν, κατέλυσας αὐτοῦ τὴν ἰσχὺν ἅπασαν, διέσπασας τὸ στρατόπεδον, ἁπάντων σημείων ἐπεδείξω σημεῖον μεῖζον. Οὐκ ἐμὸς οὗτος ὁ λόγος, ἀλλὰ τοῦ μακαρίου Παύλου. Εἰπὼν γάρ, «Ζηλοῦτε τὰ χαρίσματα τὰ κρείττονα. Καὶ ἔτι καθ' ὑπερβολὴν ὁδὸν ὑμῖν δείκνυμι», οὐκ ἐπήγαγε σημεῖον, ἀλλὰ*
10 *ἀγάπην τὴν πάντων ῥίζαν τῶν ἀγαθῶν. Ἂν τοίνυν ταύτην ἀσκῶμεν καὶ τὴν ἐκ ταύτης φιλοσοφίαν ἅπασαν, οὐδὲν δεηθησόμεθα σημείων· ὥσπερ οὖν ἐὰν μὴ ἀσκῶμεν, οὐδὲν κερδανοῦμεν ἀπὸ τῶν σημείων.*

Ταῦτ' οὖν ἅπαντα ἐννοοῦντες, ἀφ' ὧν ἐγένοντο οἱ ἀ-
15 *πόστολοι μεγάλοι, ταῦτα ζηλώσωμεν. Πόθεν οὖν ἐγένοντο ἐκεῖνοι μεγάλοι; Ἄκουσον λέγοντος Πέτρου· «Ἰδοὺ ἡμεῖς ἀφήκαμεν πάντα καὶ ἠκολουθήσαμέν σοι· τί ἄρα ἔσται ἡμῖν;». Ἄκουσον καὶ τοῦ Χριστοῦ λέγοντος αὐτοῖς, ὅτι «Ἐπὶ δώδεκα θρόνους καθίσεσθε», καὶ ὅτι «Πᾶς ὅστις ἀφῆκεν οἰ-*
20 *κίας ἢ ἀδελφοὺς ἢ πατέρα ἢ μητέρα, ἑκατονταπλασίονα λήψεται ἐν τῷ αἰῶνι τούτῳ καὶ ζωὴν αἰώνιον κληρονομήσει».*

Ἁπάντων τοίνυν ἑαυτοὺς ἀποστήσαντες τῶν βιωτικῶν, ἀναθώμεθα ἑαυτοὺς τῷ Χριστῷ, ἵνα καὶ τῶν ἀποστόλων γενώμεθα ἴσοι κατὰ τὴν ἀπόφασιν τὴν αὐτοῦ, καὶ τῆς αἰω-
25 *νίου ζωῆς ἀπολαύσωμεν, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

---

18. Α' Κορ. 12, 31.
19. Ματθ. 19, 27.
20. Ματθ. 19, 28-29.

ναι ἡ μεγάλη δύναμίς του. Δι' αὐτὴν ἀπέθανε καὶ ὁ Χριστός, διὰ νὰ καταργήσῃ αὐτήν. Καθότι αὐτὴ ἔφερε τὸν θάνατον· ἐξ αἰτίας αὐτῆς τὰ ἄνω ἦλθαν κάτω. Ἂν λοιπὸν τὴν ἀποβάλῃς αὐτήν, ἀπέκοψες τὰ νεῦρα τοῦ διαβόλου, τοῦ ἔσπασες τὴν κεφαλήν του, συνέτριψες ἐξ ὁλοκλήρου ὅλην τὴν δύναμίν του, διέσπασες τὸ στρατόπεδόν του καὶ ἐπέδειξες θαῦμα μεγαλύτερον ἀπὸ ὅλα τὰ θαύματα. Οἱ λόγοι αὐτοὶ δὲν εἶναι ἰδικοί μου, ἀλλὰ τοῦ μακαρίου Παύλου. Διότι εἰπών· «Νὰ ἐπιθυμῆτε μὲ ζῆλον τὰ ἀνώτερα χαρίσματα. Καὶ τώρα θὰ σᾶς δείξω μίαν πάρα πολὺ σπουδαίαν ὁδόν»[18], δὲν προσέθεσε, θαῦμα, ἀλλὰ τὴν ἀγάπην, ἡ ὁποία εἶναι ἡ ρίζα ὅλων τῶν ἀγαθῶν. Ἂν λοιπὸν ἀσκοῦμεν αὐτὴν καθὼς καὶ ὅλην τὴν εὐσέβειαν ποὺ πηγάζει ἀπὸ αὐτήν, δὲν θὰ ἔχωμεν ἀνάγκην ἀπὸ κανένα θαῦμα· ὅπως πάλιν βέβαια ἐὰν δὲν τὴν ἀσκοῦμεν, εἰς τίποτε δὲν θὰ ὠφεληθοῦμεν ἀπὸ τὰ θαύματα,

Ἔχοντες λοιπὸν ὑπ' ὄψιν ὅλα αὐτά, ἐξ αἰτίας τῶν ὁποίων οἱ ἀπόστολοι ἔγιναν μεγάλοι, ἂς ἐπιδείξωμεν δι' αὐτὰ μεγάλον ζῆλον. Ἀπὸ ποῦ λοιπὸν ἔγιναν ἐκεῖνοι μεγάλοι; Ἄκουσε τὸν Πέτρον λέγοντα· «Νά, ἡμεῖς τὰ ἀφήσαμεν ὅλα καὶ σὲ ἠκολουθήσαμεν· τί εἶναι λοιπὸν αὐτὸ ποὺ θὰ ἀπολαύσωμεν;»[19]. Ἄκουσε ὅμως καὶ τὴν ἀπάντησιν τοῦ Χριστοῦ πρὸς αὐτούς· «Θὰ καθίσετε ἐπάνω εἰς δώδεκα θρόνους», καὶ ὅτι «ὁ καθένας ποὺ ἄφησε τὴν οἰκίαν του, τοὺς ἀδελφούς του, τὸν πατέρα του καὶ τὴν μητέρα του θὰ λάβῃ ἑκατονταπλάσια εἰς αὐτὴν τὴν ζωὴν καὶ θὰ κληρονομήσῃ καὶ τὴν αἰώνιον ζωήν»[20].

Ἀφοῦ λοιπὸν ἀπομακρύνωμεν τοὺς ἑαυτούς μας ἀπὸ ὅλας τὰς βιωτικὰς φροντίδας, ἂς ἀφιερωθοῦμεν εἰς τὸν Χριστόν, ὥστε καὶ νὰ γίνωμεν ἴσοι μὲ τοὺς ἀποστόλους, συμφώνως πρὸς τὴν ἀπόφασίν του, καὶ ν' ἀπολαύσωμεν τὴν αἰώνιον ζωήν, τὴν ὁποίαν εὔχομαι ὅλοι μας νὰ κληρονομήσωμεν μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΜΖ´

Ματθ. 13, 34 - 52

«Ταῦτα πάντα ἐλάλησεν ὁ Ἰησοῦς ἐν παραβολαῖς τοῖς ὄχλοις καὶ χωρὶς παραβολῆς οὐδὲν ἐλάλει αὐτοῖς· ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τοῦ προφήτου λέγοντος· ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου, ἐρεύξομαι κεκρυμμένα ἀπὸ καταβολῆς κόσμου».

1. Ὁ δὲ Μᾶρκος φησίν, ὅτι «Καθὼς ἠδύναντο ἀκούειν, ἐλάλει αὐτοῖς τὸν λόγον ἐν παραβολαῖς». Εἶτα δεικνὺς οὐδὲν αὐτὸν καινοτομοῦντα, εἰσάγει τὸν προφήτην καὶ τοῦτον προαναφωνοῦντα τῆς διδασκαλίας τὸν τρόπον. Καὶ διδάσκων ἡμᾶς τοῦ Χριστοῦ τὴν γνώμην, ὅτι οὐχ ἵνα ἀγνοῶσιν, ἀλλ' ἵνα αὐτοὺς εἰς ἐρώτησιν ἄγῃ, οὕτω διελέγετο, ἐπήγαγε· «Καὶ χωρὶς παραβολῆς οὐδὲν ἐλάλει αὐτοῖς»· καίτοιγε πολλὰ χωρὶς παραβολῆς εἶπεν· ἀλλὰ τότε οὐδέν. Καὶ ὅμως οὐδεὶς αὐτὸν ἠρώτησε· καίτοιγε τοὺς προφήτας πολλάκις ἠρώτων, ὡς τὸν Ἰεζεχιήλ, ὡς ἑτέρους πολλούς· οὗτοι δὲ οὐδὲν τοιοῦτον ἐποίουν. Καίτοιγε ἱκανὰ τὰ εἰρημένα ἦν εἰς ἀγωνίαν αὐτοὺς ἐμβαλεῖν καὶ διεγείρειν πρὸς τὴν ἐρώτησιν· καὶ γὰρ κόλασιν μεγίστην ἠπείλουν αἱ παραβολαί· ἀλλ' ὅμως οὐδὲ οὕτως ἐκινήθησαν. Διὸ καὶ ἀφεὶς αὐτούς, ἀπῆλθε. «Τότε» γάρ, φησίν, «ἀφεὶς τοὺς ὄχλους, ἀπῆλθεν εἰς τὴν οἰκίαν αὐτοῦ ὁ Ἰησοῦς»· καὶ οὐδεὶς ἕπεται τῶν γραμματέων· ὅθεν δῆλον, ὅτι δι' οὐδὲν ἕτερον εἵποντο ἢ ὥστε ἐπιλαβέσθαι. Ἐπειδὴ δὲ οὐ συνῆκαν τὰ λεγόμενα, εἴασεν αὐτοὺς λοιπόν.

«Καὶ προσέρχονται οἱ μαθηταὶ αὐτοῦ ἐρωτῶντες περὶ

1. Ματθ. 13, 34-35. Ψαλμ. 77, 2.
2. Μάρκ. 4, 33.

ΟΜΙΛΙΑ ΜΖ΄

Ματθ. 13, 34 - 52

«Ὅλα αὐτὰ τὰ εἶπεν ὁ Ἰησοῦς εἰς τὰ πλήθη τοῦ λαοῦ μὲ παραβολάς, καὶ τίποτε δὲν τοὺς ἔλεγε χωρὶς παραβολήν, ὥστε νὰ ἐκπληρωθῇ αὐτὸ ποὺ εἶπεν ὁ προφήτης· 'Θ' ἀρχίσω τὸν λόγον μου μὲ παραβολὰς καὶ θὰ διακηρύξω ὅσα ἦσαν κρυμμένα ἀπὸ τότε ποὺ ἐδημιουργήθη ὁ κόσμος'»[1].

1. Ὁ Μᾶρκος ὅμως λέγει ὅτι «τοὺς ὡμίλει μὲ παραβολὰς ἀναλόγως μὲ τὴν ἱκανότητά των ν' ἀκούσουν»[2]. Ἀκολούθως διὰ νὰ δείξῃ ὅτι αὐτὸς δὲν κηρύσσει κανένα νεωτερισμόν, παρεμβάλλει τὸν προφήτην, ὁ ὁποῖος προλέγει τὸν τρόπον τῆς διδασκαλίας του. Καὶ θέλων νὰ μᾶς διδάξῃ τὸν βαθύτερον σκοπὸν τῆς διδασκαλίας τοῦ Χριστοῦ, ὅτι δηλαδὴ ὡμίλει κατ' αὐτὸν τὸν τρόπον ὄχι διὰ νὰ μὴ κατανοοῦν τὰ λεγόμενά του, ἀλλὰ διὰ νὰ τοὺς παρακινῇ νὰ τὸν ἐρωτοῦν, προσέθεσε «καὶ τίποτε δὲν τοὺς ἔλεγε χωρὶς παραβολήν». Ἂν καὶ βέβαια μέχρι τότε πολλὰ τοὺς εἶπε χωρὶς παραβολήν, ἀλλὰ τότε δὲν τοὺς εἶπε τίποτε. Καὶ ὅμως κανεὶς δὲν τὸν ἠρώτησεν, ἐνῷ τοὺς προφήτας πολλάκις τοὺς ἠρώτουν, ὅπως τὸν Ἰεζεκιὴλ καὶ πολλοὺς ἄλλους. Αὐτοὶ ὅμως τίποτε τὸ παρόμοιον δὲν ἔκαναν. Μολονότι βέβαια ὅσα εἶχαν λεχθῆ ἦσαν ἀρκετὰ νὰ τοὺς ἐμβάλουν εἰς ἀγωνίαν καὶ νὰ παρακινήσουν τὴν περιέργειάν των νὰ ἐρωτήσουν, καθόσον αἱ παραβολαὶ ἠπείλουν καὶ μὲ πολλὴν φοβερὰν κόλασιν, ἀλλ' ὅμως οὔτε καὶ μὲ αὐτὸν τὸν τρόπον παρεκινήθησαν. Διὰ τοῦτο τοὺς ἄφησε καὶ ἀνεχώρησε. Διότι, λέγει, «Ἄφησεν ὁ Ἰησοῦς τότε τὰ πλήθη τοῦ λαοῦ καὶ ἦλθεν εἰς τὴν οἰκίαν του». Καὶ κανεὶς δὲν τὸν ἠκολούθησεν ἀπὸ τοὺς γραμματεῖς. Ἐξ αὐτοῦ καθίσταται φανερόν, ὅτι διὰ τίποτε ἄλλο δὲν τὸν ἠκολούθουν, παρὰ μόνον διὰ νὰ εὕρουν ἀφορμὴν νὰ τὸν κατηγορήσουν. Ἐπειδὴ δὲ δὲν κατενόησαν τὰ λεγόμενά του, τοὺς ἀφήνει πλέον.

«Καὶ τότε τὸν ἐπλησίασαν οἱ μαθηταί του καὶ τὸν ἠρώ-

τῆς παραβολῆς τῶν ζιζανίων»· καίτοιγε ἔστιν ὅπου βουλόμενοι μαθεῖν καὶ δεδοικότες ἐρωτῆσαι. Πόθεν οὖν ἐνταῦθα γέγονεν αὐτοῖς ἡ παρρησία; Ἤκουσαν, ὅτι «Ὑμῖν δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν», καὶ ἐθάρ-
5 *ρησαν. Διὸ καὶ ἰδίᾳ ἐρωτῶσιν, οὐ τῷ πλήθει βασκαίνοντες, ἀλλὰ τὸν τοῦ δεσπότου τηροῦντες νόμον. «Τούτοις» γάρ, φησίν, «οὐκ ἐδόθη».*

Καὶ τί δήποτε τὴν τῆς ζύμης καὶ τοῦ σινάπεως ἀφέντες παραβολήν, περὶ ταύτης πυνθάνονται; Ὡς σαφεστέρας
10 *ἐκείνας ἀφῆκαν· ταύτην δέ, ὡς ἔχουσαν συγγένειαν πρὸς τὴν προειρημένην καὶ πλέον τι ἐνδεικνυμένην ἐκείνης, μαθεῖν ἠβουλήθησαν. Οὐδὲ γὰρ ἂν ἐκ δευτέρου τὴν αὐτὴν εἶπεν μὴ ἐπιθυμοῦσι μαθεῖν· καὶ γὰρ ἑώρων πολλὴν ἐξ αὐτῆς ἐμφαινομένην τὴν ἀπειλήν. Διὸ οὐδὲ ἐγκαλεῖ αὐτοῖς, ἀλλὰ καὶ*
15 *ἀναπληροῖ τὰ εἰρημένα. Καὶ ὅπερ ἔλεγον ἀεί, ὅτι τὰς παραβολὰς οὐ κατὰ τὴν ῥῆσιν ἐπεξιέναι δεῖ, ἐπεὶ πολλὰ τὰ ἄτοπα ἕψεται· τοῦτο καὶ αὐτὸς ἐνταῦθα παιδεύων ἡμᾶς, οὕτως ἐξηγεῖται τὴν παραβολήν. Οὐδὲ γὰρ λέγει, τίνες εἰσὶν οἱ δοῦλοι οἱ προσελθόντες· ἀλλὰ δεικνὺς ὅτι ἀκολουθίας τινὸς*
20 *ἕνεκεν αὐτοὺς παρείληφε, καὶ τοῦ διαπλάσαι τὴν εἰκόνα, ἐκεῖνο ἀφεὶς τὸ μέρος, τὰ κατεπείγοντα ἑρμηνεύει καὶ συνέχοντα μάλιστα, καὶ δι' ἃ ἡ παραβολὴ εἴρηται, δεικνὺς ἑαυτὸν ὄντα κριτὴν καὶ Κύριον τοῦ παντός.*

«Καὶ ἀποκριθείς, φησίν, εἶπεν αὐτοῖς· ὁ σπείρων τὸ
25 *καλὸν σπέρμα, ἔστιν ὁ Υἱὸς τοῦ ἀνθρώπου· ὁ δὲ ἀγρός, ἔστιν ὁ κόσμος· τὸ δὲ καλὸν σπέρμα, οὗτοί εἰσιν οἱ υἱοὶ τῆς βασι-*

---

3. Ματθ. 13, 11.
4. Ματθ. 13, 11.
5. Ἐπροτιμήσαμεν τὴν γραφὴν «μὴ ἐπιθυμοῦσι» ποὺ ὑπάρχει εἰς ἄλλον κώδικα πρὸς καλυτέραν ἀπόδοσιν τοῦ νοήματος.
6. Ὀνομασία δοθεῖσα ὑπὸ τῶν προφητῶν εἰς τὸν Κύριον. Ματθ. 13, 37-43.

τησαν ποῖον ἦτο τὸ νόημα τῆς παραβολῆς τῶν ζιζανίων· καὶ συνέβαινε πράγματι μαζὶ μὲ τὴν ἐπιθυμίαν των νὰ μάθουν νὰ φοβοῦνται συγχρόνως καὶ νὰ τὸν ἐρωτήσουν. Ἀπὸ ποῦ λοιπὸν εἰς τὴν προκειμένην περίπτωσιν εὗρον τὸ θάρρος; Ἤκουσαν ὅτι «Εἰς σᾶς ἔχει δοθῆ τὸ χάρισμα νὰ γνωρίσετε τὰ μυστήρια τῆς βασιλείας τῶν οὐρανῶν»[3], καὶ ἔλαβαν θάρρος. Διὰ τοῦτο καὶ ἰδιαιτέρως τὸν ἐρωτοῦν, ὄχι ἐπειδὴ φθονοῦν τὸ πλῆθος, ἀλλ' ἐφαρμόζοντες τὴν ἐντολὴν τοῦ Κυρίου. Διότι, λέγει, «εἰς αὐτοὺς δὲν ἐδόθη»[4].

Καὶ διατί λοιπὸν παραβλέπουν τὴν παραβολὴν τῆς ζύμης καὶ τοῦ σινάπεως καὶ ζητοῦν ἐξήγησιν διὰ τὴν παραβολὴν τῶν ζιζανίων; Ἐκείνας ἐπειδὴ ἦσαν σαφέστεραι τὰς παρέλειψαν, ἐνῷ αὐτήν, ἐπειδὴ παρουσιάζει συγγένειαν μὲ τὴν προηγουμένην καὶ διδάσκει κάτι περισσότερον ἀπὸ ἐκείνην, ἠθέλησαν νὰ ζητήσουν ἐξηγήσεις. Διότι οὔτε θὰ ἦτο δυνατὸν νὰ εἴπῃ τὴν ἰδίαν παραβολὴν διὰ δευτέραν φορὰν πρὸς ἀνθρώπους ποὺ δὲν ἐπιθυμοῦσαν[5] νὰ μάθουν· καθόσον ἔβλεπαν νὰ προβάλλῃ μεγάλη ἀπειλὴ ἀπὸ αὐτὴν τὴν παραβολήν. Διὰ τοῦτο καὶ δὲν τοὺς κατηγορεῖ, ἀλλὰ συμπληρώνει καὶ ἐξηγεῖ τὰ ὅσα τοὺς εἶχεν εἰπεῖ. Καὶ αὐτὸ ἀκριβῶς ποὺ ἔλεγα πάντοτε, ὅτι δηλαδὴ τὰς παραβολὰς δὲν πρέπει νὰ τὰς ἐκλαμβάνῃ κανεὶς κατὰ γράμμα, διότι θὰ ὁδηγηθῇ εἰς πολλὰ παράλογα συμπεράσματα, τὸ ἴδιο θέλων καὶ ὁ Κύριος νὰ μᾶς διδάξῃ ἐδῶ, προβαίνει εἰς τὴν κατ' αὐτὸν τὸν τρόπον ἐξήγησιν τῆς παραβολῆς. Διότι δὲν λέγει ποῖοι εἶναι οἱ δοῦλοι ποὺ ἦλθαν πλησίον του, ἀλλὰ δεικνύων εἰς αὐτοὺς ὅτι τοὺς ἐχρησιμοποίησε διὰ κάποιον σκοπὸν καὶ διὰ νὰ συνθέσῃ τὴν εἰκόνα, ἀφήνει τὸ μέρος ἐκεῖνο καὶ ἑρμηνεύει τὰ πιὸ ἀπαραίτητα καὶ τὰ πλέον σπουδαιότερα, ἐξ αἰτίας τῶν ὁποίων ἐλέχθη ἡ παραβολή, καὶ τοὺς διδάσκει ὅτι αὐτὸς εἶναι Κριτὴς καὶ Κύριος τοῦ παντός.

«Καὶ ἀποκριθείς», λέγει, «εἶπε πρὸς αὐτούς· αὐτὸς ποὺ σπέρνει τὸν καλὸν σπόρον εἶναι ὁ Υἱὸς τοῦ ἀνθρώπου[6], ὁ ἀγρὸς εἶναι ὁ κόσμος, ὁ καλὸς σπόρος εἶναι οἱ υἱοὶ τῆς

λείας· τὰ δὲ ζιζάνια, οἱ υἱοὶ τοῦ πονηροῦ· ὁ δὲ ἐχθρὸς ὁ σπείρων αὐτά, ἔστιν ὁ διάβολος· ὁ δὲ θερισμός, ἔστιν ἡ συντέλεια τοῦ αἰῶνος· οἱ δὲ θερισταί, ἄγγελοί εἰσιν. Ὥσπερ οὖν συλλέγεται τὰ ζιζάνια, καὶ πυρὶ καίεται, οὕτως ἔσται
5 *ἐν τῇ συντελείᾳ τοῦ αἰῶνος τούτου. Ἀποστελεῖ ὁ υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους αὐτοῦ καὶ συλλέξουσιν ἐκ τῆς βασιλείας αὐτοῦ πάντα τὰ σκάνδαλα καὶ τοὺς ποιοῦντας τὴν ἀνομίαν καὶ βαλοῦσιν αὐτοὺς εἰς τὴν κάμινον τοῦ πυρός· ἐκεῖ ἔσται ὁ κλαυθμὸς καὶ ὁ βρυγμὸς τῶν ὀδόντων. Τότε*
10 *οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ Πατρὸς αὐτῶν». Ὅταν γὰρ αὐτὸς ᾖ ὁ σπείρων καὶ τὸν ἀγρὸν τὸν ἑαυτοῦ καὶ ἐκ τῆς βασιλείας τῆς ἑαυτοῦ συνάγῃ, εὔδηλον ὅτι καὶ ὁ παρὼν κόσμος αὐτοῦ ἐστι.*

Σκόπει δὲ αὐτοῦ φιλανθρωπίαν ἄφατον καὶ τὸ πρὸς
15 *εὐεργεσίαν ἐπιρρεπὲς καὶ τὸ πρὸς κόλασιν ἠλλοτριωμένον. Ὅταν μὲν γὰρ σπείρῃ, δι' ἑαυτοῦ σπείρει, ὅταν δὲ κολάζῃ, δι' ἑτέρων, τουτέστι, τῶν ἀγγέλων. «Τότε οἱ δίκαιοι ἐκλάμψουσιν ὡς ὁ ἥλιος ἐν τῇ βασιλείᾳ τοῦ Πατρὸς αὐτῶν». Οὐκ ἐπειδὴ οὕτω μόνον, ἀλλ' ἐπειδὴ τούτου τοῦ ἄστρου φα-*
20 *νότερον οὐκ ἴσμεν ἕτερον, τοῖς γνωρίμοις ἡμῖν κέχρηται παραδείγμασι. Καίτοιγε ἀλλαχοῦ φησι τὸν θερισμὸν ἤδη παρεῖναι, ὡς ὅταν λέγῃ περὶ τῶν Σαμαρειτῶν· «Ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν καὶ θεάσασθε τὰς χώρας, ὅτι λευκαί εἰσι πρὸς θερισμὸν ἤδη»· καὶ πάλιν, «Ὁ μὲν θερισμὸς πολύς,*
25 *οἱ δὲ ἐργάται ὀλίγοι».*

Πῶς οὖν ἐκεῖ μὲν ἤδη τὸν θερισμὸν παρεῖναί φησιν, ἐνταῦθα δὲ μέλλειν τὸν θερισμὸν εἶπε; Κατ' ἄλλο σημαινόμενον. Καὶ πῶς ἀλλαχοῦ εἰπών, «Ἄλλος ἐστὶν ὁ σπείρων

---

7. Ἰω. 4, 35.
8. Λουκᾶ 10, 2.

βασιλείας, τὰ ζιζάνια εἶναι οἱ υἱοὶ τοῦ πονηροῦ· ὁ ἐχθρὸς ποὺ σπέρνει αὐτὰ εἶναι ὁ διάβολος, ὁ θερισμὸς εἶναι ἡ συντέλεια τοῦ αἰῶνος, οἱ δὲ θερισταὶ εἶναι οἱ ἄγγελοι. Ὅπως ἀκριβῶς λοιπὸν μαζεύονται τὰ ζιζάνια ἀπὸ τοὺς θεριστὰς καὶ καίγονται εἰς τὴν φωτιάν, τὸ ἴδιο θὰ συμβῇ καὶ κατὰ τὴν συντέλειαν τοῦ αἰῶνος αὐτοῦ. Θ' ἀποστείλῃ ὁ υἱὸς τοῦ ἀνθρώπου τοὺς ἀγγέλους του καὶ θὰ συλλέξουν ἀπὸ τὴν βασιλείαν του ὅλους ἐκείνους ποὺ σκανδαλίζουν καὶ διαπράττουν τὴν ἀνομίαν καὶ θὰ τοὺς ρίψουν εἰς τὴν κάμινον τοῦ πυρός· ἐκεῖ θὰ εἶναι ὁ κλαυθμὸς καὶ ὁ τριγμὸς τῶν ὀδόντων. Τότε οἱ δίκαιοι θὰ λάμψουν ὅπως ὁ ἥλιος εἰς τὴν βασιλείαν τοῦ Πατρός των». Διότι ὅταν αὐτὸς ὁ ἴδιος εἶναι ἐκεῖνος ποὺ σπέρνει καὶ ἰδικός του ὁ ἀγρός, καὶ συγκεντρώνει ἀπὸ τὴν ἰδικήν του βασιλείαν, εἶναι ὁλοφάνερον τότε, ὅτι καὶ ὁ παρὼν κόσμος εἶναι ἰδικός του.

Πρόσεξε δὲ καὶ τὴν ἀπερίγραπτον φιλανθρωπίαν του καὶ τὴν τάσιν του νὰ εὐεργετῇ, καὶ ὅτι ἡ κόλασις εἶναι κάτι ποὺ εἶναι ξένον πρὸς τὴν φύσιν του. Διότι ἡ μὲν σπορὰ γίνεται ἀπὸ αὐτὸν τὸν ἴδιον, ἐνῷ ὅταν τιμωρῇ τοὺς ἁμαρτωλούς, τὸ κάνει μὲ ἄλλους, δηλαδὴ μὲ τοὺς ἀγγέλους. «Τότε οἱ δίκαιοι θὰ ἐκλάμψουν, ὅπως ὁ ἥλιος, εἰς τὴν βασιλείαν τοῦ Πατρός των». Ὄχι μόνον τόσον, ἀλλ' ἐπειδὴ δὲν γνωρίζομεν ἄλλο ἄστρον φωτεινότερον ἀπὸ αὐτόν, διὰ τοῦτο χρησιμοποιεῖ γνωστὰ εἰς ἡμᾶς παραδείγματα. Μολονότι βέβαια καὶ εἰς ἄλλην περίπτωσιν λέγει ὅτι ὁ θερισμὸς πλέον εἶναι ἕτοιμος, ὅπως ὅταν λέγῃ διὰ τοὺς Σαμαρείτας· «Σηκώσατε τοὺς ὀφθαλμούς σας καὶ κοιτάξετε τὰς χώρας, διότι εἶναι ἕτοιμοι πλέον πρὸς θερισμόν»[7]. Καὶ εἰς ἄλλην δὲ περίπτωσιν λέγει· «Ὁ μὲν θερισμὸς εἶναι πολύς, οἱ ἐργάται ὅμως εἶναι ὀλίγοι»[8].

Πῶς λοιπὸν ἐκεῖ μὲν λέγει ὅτι ἤδη ἔφθασεν ὁ θερισμός, ἐνῷ εἰς τὴν περίπτωσιν αὐτὴν εἶπεν, ὅτι πρόκειται νὰ ἔλθῃ ὁ θερισμός; Ἁπλῶς τὸ παρουσιάζει μὲ ἄλλας λέξεις τὸ ἴδιο πρᾶγμα. Καὶ πῶς εἰς ἄλλην περίπτωσιν εἶπεν·

καὶ ἄλλος ὁ θερίζων», ἐνταῦθα ἑαυτόν φησιν εἶναι τὸν σπείροντα; Ὅτι κἀκεῖ οὐχ ἑαυτῷ, ἀλλὰ προφήταις ἀποστόλους ἀντιδιαστέλλων ἔλεγε, καὶ ἐπὶ τῶν Ἰουδαίων καὶ Σαμαρειτῶν. Καὶ γὰρ καὶ διὰ τῶν προφητῶν αὐτὸς ἔσπειρεν. Ἔστι 5 δὲ ὅπου καὶ θερισμὸν καὶ σπόρον αὐτὸ τοῦτο καλεῖ, πρὸς ἄλλο καὶ ἄλλο αὐτὸ ὀνομάζων.

2. Ὅταν μὲν γὰρ τὴν πειθὼ καὶ τὴν ὑπακοὴν τῶν ὑπακουσάντων λέγῃ, θερισμὸν τὸ πρᾶγμα καλεῖ, ὡς τὸ πᾶν ἀπαρτίσας· ὅταν δὲ τὸν καρπὸν ἐπιζητῇ τῆς ἀκροάσεως, σπό-10 ρον· καὶ θερισμὸν τὴν συντέλειαν λέγει.

Καὶ πῶς ἀλλαχοῦ φησιν, ὅτι πρῶτοι οἱ δίκαιοι ἁρπάζονται; Ἁρπάζονται μὲν γὰρ πρῶτοι, παραγενομένου δὲ τοῦ Χριστοῦ παραδίδονται οὗτοι κολάσει, καὶ τότε εἰς βασιλείαν οὐρανῶν ἀπέρχονται ἐκεῖνοι. Ἐπειδὴ γὰρ ἐν οὐρανῷ 15 δεῖ αὐτοὺς εἶναι, ἐνταῦθα δὲ αὐτὸς ἥξει καὶ κρινεῖ πάντας ἀνθρώπους, δοὺς τὴν ἀπόφασιν τούτοις, καθάπερ τις βασιλεὺς ἀνίσταται μετὰ τῶν φίλων αὐτοῦ, πρὸς τὴν μακαρίαν ἐκείνην λῆξιν αὐτοὺς ἄγων. Εἶδες διπλῆν τὴν κόλασιν οὖσαν, τῷ τε κατακαίεσθαι, τῷ τε τῆς δόξης ἐκπίπτειν ἐ-20 κείνης;

Ἀλλὰ τίνος ἕνεκεν λοιπόν, ἀναχωρησάντων ἐκείνων, καὶ αὐτοῖς ἐν παραβολαῖς λαλεῖ; Σοφώτεροι ἐκ τῶν εἰρημένων ἐγένοντο, ὡς καὶ συνιέναι. Ἀμέλει γοῦν λέγει αὐτοῖς μετὰ ταῦτα· «Συνήκατε ταῦτα πάντα; Λέγουσιν αὐτῷ·

9. Ἰω. 4, 37.
10. Α΄ Θεσ. 4, 16.

«ἄλλος εἶναι αὐτὸς ποὺ σπέρνει καὶ ἄλλος αὐτὸς ποὺ θερίζει»[9], ἐνῷ εἰς αὐτὴν τὴν περίπτωσιν λέγει ὅτι ὁ ἴδιος εἶναι ὁ σπορεύς; Διότι ἐκεῖ ὡμιλοῦσεν ὄχι διὰ τὸν ἑαυτόν του, ἀλλὰ ἐξεχώριζε τοὺς ἀποστόλους ἀπὸ τοὺς προφήτας καὶ τοὺς Ἰουδαίους ἀπὸ τοὺς Σαμαρείτας. Καθόσον ὁ ἴδιος ἔσπειρε καὶ διὰ μέσου τῶν προφητῶν. Συχνὰ βέβαια χρησιμοποιῶν τὰς λέξεις 'θερισμὸς' καὶ 'σπόρος', ἐννοεῖ τὸ ἴδιο πρᾶγμα καὶ τὸ χρησιμοποιεῖ ἀναλόγως πρὸς τὴν κάθε περίπτωσιν.

2. Διότι ὅταν μὲν ὁμιλῇ διὰ τὴν εὐπείθειαν καὶ τὴν ὑπακοὴν τῶν πιστευσάντων εἰς αὐτὸν ὀνομάζει τὸ γεγονὸς αὐτὸ θερισμόν, διότι ἔφερεν εἰς πέρας τὸ ἔργον ποὺ ἔλαβεν· ὅταν δὲ ὁμιλῇ καὶ ἐπιζητῇ τὸν καρπὸν τῆς ἀκροάσεως τοῦ κηρύγματος, ὀνομάζει τὸ γεγονὸς σπόρον· ἀκόμη δὲ καὶ θερισμὸν ἀποκαλεῖ τὸ τέλος τοῦ κόσμου.

Καὶ πῶς εἰς ἄλλην περίπτωσιν λέγει, ὅτι πρῶτοι οἱ δίκαιοι ἁρπάζονται[10]; Ἁρπάζονται βέβαια πρῶτοι ἀλλὰ ἀφοῦ πρῶτα παρουσιασθῇ ὁ Χριστὸς καὶ παραδοθοῦν οἱ ἄλλοι εἰς τὴν κόλασιν, ἐν συνεχείᾳ ἀπέρχονται καὶ ἐκεῖνοι εἰς τὴν βασιλείαν τῶν οὐρανῶν. Ἐπειδὴ δηλαδὴ αὐτοὶ πρέπει νὰ εἶναι εἰς τὸν οὐρανόν, θὰ ἔλθῃ ὁ Κύριος ἐδῶ καὶ θὰ κρίνῃ ὅλους τοὺς ἀνθρώπους, καὶ ἀφοῦ ἐκδώσῃ τὴν ἀπόφασίν του δι' αὐτοὺς ποὺ πρέπει νὰ τιμωρηθοῦν θὰ σηκωθῇ ὅπως ἀκριβῶς ὁ βασιλεὺς μὲ τοὺς φίλους του καὶ θὰ τοὺς ὁδηγήσῃ εἰς ἐκεῖνον τὸ εὐλογημένον τέλος. Βλέπεις ὅτι ἡ κόλασις εἶναι διπλῆ; ὅτι δηλαδὴ καὶ θὰ κατακαίωνται καὶ θὰ ἀποκλείωνται ἀπὸ ἐκείνην τὴν δόξαν;

Ἀλλὰ διατί εἰς τὴν συνέχειαν, ὅταν τὸ πλῆθος ἀνεχώρησεν, ἐξηκολούθησε νὰ τοὺς διδάσκῃ μὲ παραβολὰς τοὺς μαθητάς του; Διότι ἔγιναν, ἀπὸ ὅσα εἶχαν ἀκούσει, σοφώτεροι, ὥστε ἠμποροῦσαν νὰ ἀντιλαμβάνωνται τὸ βαθύτερον νόημα αὐτῶν. Διὰ τοῦτο λοιπὸν μετὰ ἀπὸ αὐτὰ τοὺς ἐρωτᾷ· «Τὰ κατεννοήσατε ὅλα αὐτά; καὶ ἐκεῖνοι λέγουν εἰς αὐτόν· ναὶ Κύριε». Ἔτσι μαζὶ μὲ τὰ ἄλλα ἡ παραβολὴ κατώρ-

ναί, Κύριε». Οὕτω μετὰ τῶν ἄλλων καὶ τοῦτο κατώρθωσεν ἡ παραβολή, τὸ διορατικωτέρους αὐτοὺς ποιῆσαι.

Τί οὖν φησι πάλιν; «Ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν θησαυρῷ κεκρυμμένῳ ἐν ἀγρῷ, ὃν εὑρὼν ἄνθρωπος
5 *ἔκρυψε, καὶ ἀπὸ τῆς χαρᾶς αὐτοῦ πωλεῖ πάντα ὅσα ἔχει, καὶ ἀγοράζει τὸν ἀγρὸν ἐκεῖνον.*

»Πάλιν ὁμοία ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν ἐμπόρῳ ζητοῦντι καλοὺς μαργαρίτας· ὃς εὑρὼν ἕνα πολύτιμον μαργαρίτην, ἀπελθὼν πέπρακεν ὅσα εἶχε, καὶ ἠγόρασεν αὐτόν».

10 *Ὥσπερ ἐκεῖ ὁ κόκκος τοῦ σινάπεως καὶ ἡ ζύμη μικράν τινα ἔχουσι πρὸς ἀλλήλας διαφοράν, οὕτω δὴ καὶ ἐνταῦθα αἱ δύο παραβολαὶ αὗται, ἥ τε τοῦ θησαυροῦ καὶ ἡ τοῦ μαργαρίτου. Καὶ γὰρ τοῦτο δι' ἀμφοτέρων αἰνίττεται, ὅτι δεῖ τὸ κήρυγμα πάντων προτιμᾶν. Κἀκείνη μὲν ἡ τῆς*
15 *ζύμης καὶ τοῦ σινάπεως πρὸς τὴν δύναμιν εἴρηται τοῦ κηρύγματος, καὶ ὅτι περιέσται τῆς οἰκουμένης πάντως, αὗται δὲ τὸ τίμιον καὶ πολυτελὲς ἐμφαίνουσιν. Ἐκτείνεται μὲν γὰρ ὡς σίνηπι καὶ περιγίνεται ὡς ζύμη, πολυτελὴς δέ ἐστιν ὡς μαργαρίτης καὶ μυρίαν παρέχει τὴν εὐπορίαν ὡς θησαυρός.*
20 *Οὐ δὴ τοῦτο μόνον ἐστὶ μαθεῖν, ὅτι πάντα δεῖ τὰ ἄλλα ἀποδυσαμένους τοῦ κηρύγματος ἔχεσθαι, ἀλλ' ὅτι καὶ μετὰ χαρᾶς τοῦτο δεῖ ποιεῖν· καὶ ἀποκτώμενον τὰ ὄντα δεῖ εἰδέναι, ὅτι τὸ πρᾶγμα ἐμπορία ἐστίν, οὐχὶ ζημία. Ὁρᾷς πῶς κέκρυπται καὶ ἐν τῷ κόσμῳ τὸ κήρυγμα καὶ ἐν τῷ κηρύγματι τὰ ἀ-*
25 *γαθά; Κἂν μὴ πωλήσῃς πάντα, οὐκ ἀγοράζεις· κἂν μὴ ψυ-*

θωσε καὶ αὐτὸ τὸ πρᾶγμα· τὸ ὅτι τοὺς ἔκανε δηλαδὴ ἱκανοὺς ν' ἀντιλαμβάνωνται σαφέστερα τὰ μυστήρια τοῦ Θεοῦ.

Τί λέγει λοιπὸν εἰς τὴν συνέχειαν; «Ἡ βασιλεία τῶν οὐρανῶν ὁμοιάζει μὲ θησαυρόν, ποὺ ἔχει κρυφθῆ εἰς κάποιον ἀγρόν, τὸν ὁποῖον ἀφοῦ τὸν ηὗρε κάποιος ἄνθρωπος τὸν ἔκρυψε καὶ πάλιν ἀπὸ τὴν χαράν του, πωλεῖ εἰς τὴν συνέχειαν ὅλα τὰ ὑπάρχοντά του καὶ ἀγοράζει ἐκεῖνον τὸν ἀγρόν.

»Ἐπίσης ἡ βασιλεία τῶν οὐρανῶν ὁμοιάζει μὲ ἔμπορον ποὺ ἀναζητεῖ νὰ εὕρῃ πολυτίμους μαργαρίτας· καὶ ἀφοῦ ηὗρεν ἕνα πολύτιμον μαργαρίτην ἔφυγεν ἀμέσως καὶ ἐπῆγε καὶ ἐπώλησεν ὅσα εἶχε καὶ ἠγόρασεν αὐτόν».

Ὅπως εἰς τὰς προηγουμένας παραβολὰς ὁ κόκκος σινάπεως καὶ ἡ ζύμη ἔχουν μικρὰν διαφορὰν μεταξύ των, ἔτσι καὶ ἐδῶ αἱ δύο αὐταὶ παραβολαί, τοῦ θησαυροῦ δηλαδὴ καὶ τοῦ μαργαρίτου. Καθόσον τὸ ἴδιο πρᾶγμα ὑπονοεῖται καὶ μὲ τὰς δύο αὐτὰς παραβολάς, ὅτι πρέπει δηλαδή, νὰ προτιμοῦμεν τὸ κήρυγμα ἀπὸ ὅλα τὰ ἄλλα. Καὶ ἐκείνη μὲν ἡ παραβολὴ τῆς ζύμης καὶ τοῦ σινάπεως ἐλέχθησαν διὰ νὰ δηλώσουν τὴν δύναμιν τοῦ κηρύγματος καὶ ὅτι ὁπωσδήποτε αὐτὸ θὰ διαδοθῇ εἰς ὅλην τὴν οἰκουμένην, ἐνῷ αὐταὶ φανερώνουν τὴν ἀξίαν καὶ τὸν ἀνυπολόγιστον πλοῦτον τοῦ κηρύγματος. Διότι ἁπλώνει ὅπως τὸ σινάπι, ὑπερισχύει ὅπως ἡ ζύμη, εἶναι πολύτιμον ὅπως ὁ μαργαρίτης καὶ παρέχει μεγάλην ἀφθονίαν ὅπως ὁ θησαυρός. Καὶ δὲν εἶναι βέβαια μόνον αὐτό, τὸ ὁποῖον πρέπει νὰ ἐννοήσουν, ὅτι δηλαδὴ πρέπει νὰ ἀφοσιωθοῦν εἰς τὸ κήρυγμα, ἀποφεύγοντες ὅλα τὰ ἄλλα, ἀλλὰ καὶ ὅτι πρέπει αὐτὸ νὰ τὸ κάνουν μὲ χαράν· καὶ ὅταν κανεὶς τὸ ἀποκτᾷ, πωλῶν τὰ ὑπάρχοντά του, πρέπει νὰ γνωρίζῃ ὅτι ἡ πρᾶξις του αὐτὴ δὲν εἶναι ζημία, ἀλλ' ἐπικερδὴς ἐπιχείρησις. Βλέπεις πῶς ἔχει κρυβῆ τὸ κήρυγμα καὶ εἰς τὸν κόσμον καὶ τὰ ἀγαθὰ ἐντὸς τοῦ κηρύγματος; Καὶ ἂν δὲν πωλήσῃς ὅλα τὰ ὑπάρχοντά σου δὲν ἠμπορεῖς νὰ τὸ ἀγοράσῃς· καὶ ἂν δὲν ἔχῃς τέτοιαν

χὴν τοιαύτην ἔχῃς, μεμεριμνημένην καὶ ζητοῦσαν, οὐχ εὑρίσκεις. Δύο τοίνυν δεῖ προσεῖναι, καὶ τὸ τῶν βιωτικῶν ἀπέχεσθαι, καὶ τὸ ἐγρηγορότα εἶναι. «Ζητοῦντι» γάρ, φησί, «καλοὺς μαργαρίτας· ὃς εὑρὼν ἕνα πολύτιμον, πέπρακε πάν-
5 *τα καὶ ἠγόρασεν αὐτόν».*

Μία γάρ ἐστιν ἡ ἀλήθεια, καὶ οὐ πολυσχιδής. Καὶ καθάπερ ὁ τὸν μαργαρίτην ἔχων, αὐτὸς μὲν οἶδεν ὅτι πλουτεῖ, τοῖς δὲ λοιποῖς οὐκ ἔστι γνώριμος πολλάκις τῇ χειρὶ κατέχων· οὐ γάρ ἐστιν ὄγκος σώματος· οὕτω δὴ καὶ ἐπὶ τοῦ κη-
10 *ρύγματος· οἱ μὲν αὐτὸ κατέχοντες ἴσασιν, ὅτι πλουτοῦσιν, οἱ δὲ ἄπιστοι τὸν θησαυρόν οὐκ εἰδότες τοῦτον, καὶ τὸν πλοῦτον ἡμῶν ἀγνοοῦσιν. Εἶτα ἵνα μὴ θαρρῶμεν τῷ κηρύγματι μόνον, μηδὲ ἀρκεῖν τὴν πίστιν μόνην νομίζωμεν εἰς σωτηρίαν ἡμῖν, λέγει καὶ ἑτέραν φοβερὰν παραβολήν. Ποίαν δὴ*
15 *ταύτην; Τὴν τῆς σαγήνης.*

«Ὁμοία γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν σαγήνῃ βληθείσῃ εἰς τὴν θάλασσαν καὶ ἐκ παντὸς γένους συναγαγούσῃ· ἥν, ὅτε ἐπληρώθη, ἀνενέγκαντες εἰς τὸν αἰγιαλόν, καὶ καθίσαντες συνέλεξαν τὰ καλὰ εἰς ἀγγεῖα, τὰ δὲ σα-
20 *πρὰ ἔξω ἔβαλον».*

Καὶ τί διέστηκεν αὕτη τῆς τῶν ζιζανίων παραβολῆς; Καὶ γὰρ ἐκεῖ οἱ μὲν σῴζονται, οἱ δὲ ἀπόλλυνται· ἀλλ' ἐκεῖ διὰ πονηρῶν δογμάτων αἵρεσιν· καὶ οἱ πρὸ τούτου δέ, διὰ τὸ μὴ προσέχειν τοῖς λεγομένοις· οὗτοι δέ, διὰ βίου πονη-

ψυχὴν γεμάτην ἀπὸ πνευματικὴν φροντίδα καὶ ν' ἀναζητῇ τὰ πνευματικὰ ἀγαθά, δὲν εὑρίσκεις αὐτὸν τὸν θησαυρόν. Δύο πράγματα λοιπὸν πρέπει νὰ προσέχῃ κανείς· καὶ νὰ ἀπέχῃ ἀπὸ τὰς βιωτικὸς φροντίδας καὶ νὰ ἐπαγρυπνῇ. Διότι, λέγει, (ὁμοιάζει ἡ βασιλεία τῶν οὐρανῶν μὲ ἔμπορον) «ποὺ ἀναζητεῖ πολυτίμους μαργαρίτας, ὁ ὁποῖος ἀφοῦ εὗρεν ἕνα πολύτιμον μαργαρίτην ἐπώλησεν ὅλα ὅσα ἔχει καὶ ἠγόρασεν αὐτόν».

Διότι μία εἶναι ἡ ἀλήθεια καὶ δὲν εἶναι πολυμερής. Καὶ ὅπως ἀκριβῶς αὐτὸς ποὺ ἔχει τὸν μαργαρίτην, ὁ ἴδιος μὲν γνωρίζει ὅτι εἶναι πλούσιος, ἀλλ' ὅμως πολλάκις δὲν εἶναι γνωστὸν εἰς τοὺς ὑπολοίπους, ὅτι εὑρίσκεται ὑπὸ τὴν κατοχὴν ὁ πλοῦτος αὐτός, διότι δὲν καταλαμβάνει μεγάλον ὄγκον σώματος, τὸ ἴδιο συμβαίνει λοιπὸν καὶ μὲ τὸ κήρυγμα. Αὐτοὶ ποὺ τὸ ἔκρυψαν εἰς τὴν ψυχήν των, γνωρίζουν ὅτι εἶναι πλούσιοι, ἐνῷ οἱ ἄπιστοι, ἐπειδὴ δὲν τὸν γνωρίζουν αὐτὸν τὸν θησαυρόν, δὲν γνωρίζουν καὶ τὸν πλοῦτον μας. Ἔπειτα, διὰ νὰ μὴ στηριζώμεθα μόνον εἰς τὸ κήρυγμα καὶ νὰ μὴ νομίζωμεν ὅτι μόνη ἡ πίστις ἀρκεῖ διὰ τὴν σωτηρίαν μας, λέγει καὶ μίαν ἄλλην φοβερὰν παραβολήν. Καὶ ποία λοιπὸν εἶναι αὐτή; Εἶναι ἡ παραβολὴ τῆς σαγήνης.

«Ἡ βασιλεία τῶν οὐρανῶν ὁμοιάζει μὲ δίκτυον, τὸ ὁποῖον ἐρρίφθη εἰς τὴν θάλασσαν καὶ συνέλεξε παντὸς εἴδους ψάρια· ὅταν ἐγέμισε τὸ ἀνέσυραν εἰς τὴν ἀκρογιαλιὰν καὶ καθίσαντες ἐξεχώρισαν καὶ ἐτοποθέτησαν τὰ μὲν καλὰ ψάρια εἰς δοχεῖα, τὰ δὲ ἄχρηστα τὰ ἔρριψαν ἔξω».

Καὶ ποία ἡ διαφορὰ αὐτῆς τῆς παραβολῆς ἀπὸ τὴν παραβολὴν τῶν ζιζανίων; Καθόσον καὶ ἐκεῖ ἄλλοι μὲν σώζονται, ἄλλοι δὲ χάνονται. Ναί, ἀλλ' ἐκεῖ συμβαίνει αὐτὸ ἐξ αἰτίας τῆς αἱρέσεως πονηρῶν δογμάτων, καὶ οἱ προηγούμενοι πάλιν ἐπειδὴ δὲν ἐπρόσεξαν τὰ λεγόμενα. Ἐνῷ αὐτοὶ ἐδῶ διὰ τὸν πονηρόν των βίον, καὶ εἶναι οἱ ἀθλιώτεροι ἀπὸ ὅλους· διότι μολονότι κατώρθωσαν νὰ γνωρίσουν τὴν

ρίαν· οἳ πάντων εἰσὶν ἀθλιώτεροι, τῆς μὲν γνώσεως ἐπιτυχόντες καὶ ἁλιευθέντες, οὐ δυνηθέντες δὲ οὐδὲ οὕτω σωθῆναι.

Καίτοιγε ἀλλαχοῦ φησιν, ὅτι αὐτὸς ἀφορίζει ὁ ποιμήν,
5 *ἐνταῦθα δὲ τοὺς ἀγγέλους τοῦτο ποιεῖν φησιν, καὶ ἐπὶ τῶν ζιζανίων. Τί οὖν ἐστι; Ποτὲ μὲν αὐτοῖς παχύτερον διαλέγεται, ποτὲ δὲ ὑψηλότερον. Καὶ ταύτην οὐδὲ ἐρωτηθεὶς τὴν παραβολὴν ἑρμηνεύει, ἀλλ' αὐτομάτως ἀπὸ τοῦ μέρους αὐτὴν ἐγνώρισε καὶ τὸν φόβον ηὔξησεν. Ἵνα γὰρ μὴ ἀκούσας,*
10 *ὅτι τὰ σαπρὰ ἔβαλον ἔξω, ἀκίνδυνον εἶναι νομίσῃς τὴν ἀπώλειαν, διὰ τῆς ἑρμηνείας ἔδειξε τὴν κόλασιν, εἰπών, ὅτι «Εἰς κάμινον βαλοῦσι»· καὶ τὸν βρυγμὸν τῶν ὀδόντων καὶ τὴν ὀδύνην ἄρρητον οὖσαν ἐνέφηνεν.*

Εἶδες πόσαι τῆς ἀπωλείας αἱ ὁδοί; Ἡ διὰ τῆς πέτρας,
15 *ἢ διὰ τῶν ἀκανθῶν, ἢ διὰ τῆς ὁδοῦ, ἢ διὰ τῶν ζιζανίων, ἢ διὰ τῆς σαγήνης. Οὐκ ἄρα ἀπεικότως ἔλεγεν, ὅτι «Εὐρεῖά ἐστιν ἡ ὁδὸς ἡ ἀπάγουσα εἰς τὴν ἀπώλειαν καὶ πολλοί εἰσιν οἱ εἰσερχόμενοι δι' αὐτῆς».*

Ταῦτα τοίνυν εἰπὼν καὶ εἰς τὸ φοβερὸν κατακλείσας
20 *τὸν λόγον καὶ πλείονα ταῦτα δείξας, (μᾶλλον γὰρ αὐτοῖς ἐνδιέτριψε), φησί· «Συνήκατε ταῦτα πάντα; Λέγουσιν αὐτῷ· ναί, Κύριε». Εἶτα ἐπειδὴ συνῆκαν, πάλιν αὐτοὺς ἐπαινεῖ λέγων· «Διὰ τοῦτο πᾶς γραμματεὺς μαθητευθεὶς ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν, ὅμοιός ἐστιν ἀνθρώπῳ οἰκοδεσπότῃ,*
25 *ὅστις ἐκβάλλει ἐκ τοῦ θησαυροῦ αὐτοῦ καινὰ καὶ παλαιά». Διὸ καὶ ἀλλαχοῦ φησιν· «Ἀποστελῶ ὑμῖν σοφοὺς καὶ γραμματέας».*

3. Εἶδες πῶς οὐκ ἐκκλείει τὴν παλαιάν, ἀλλὰ καὶ ἐγκωμιάζει καὶ δημηγορεῖ, θησαυρὸν αὐτὴν καλῶν; Ὥστε ὅ-

---

11. Πίστις ἄνευ ἔργων νεκρά ἐστι. Πρβλ. Ἰακ. 2, 17.
12. Ματθ. 25, 32.
13. Ματθ. 7, 13.
14. Ματθ. 23, 34.

ἀλήθειαν καὶ ν' ἁλιευθοῦν ἀπὸ τὰ δίκτυά της, δὲν κατώρθωσαν οὔτε ἔτσι νὰ σωθοῦν[11].

Καὶ εἰς ἄλλην μὲν περίπτωσιν βέβαια λέγει, ὅτι ὁ ἴδιος ὁ ποιμὴν ξεχωρίζει τοὺς δικαίους ἀπὸ τοὺς ἀδίκους[12], ἐδῶ ὅμως λέγει ὅτι οἱ ἄγγελοι τὸ κάνουν αὐτό, ὅπως καὶ εἰς τὴν παραβολὴν τῶν ζιζανίων. Τί σημαίνει αὐτό; Ὅτι ἄλλοτε μὲν ὁμιλεῖ πρὸς αὐτοὺς πιὸ ὑλικά, ἄλλοτε δὲ πνευματικώτερα. Καὶ τὴν παραβολὴν αὐτὴν τὴν ἑρμηνεύει χωρὶς νὰ ἐρωτηθῇ, ἀλλὰ μόνος του τὴν ἔκανε γνωστὴν καὶ ηὔξησεν ἔτσι τὸν φόβον των. Διὰ νὰ μὴ νομίσῃς δέ, ὅταν ἀκούσῃς ὅτι ἔρριψε τὰ ἄχρηστα ἔξω, ὅτι αὐτὴ ἡ ἀπώλεια εἶναι ἀκίνδυνος, ἐφανέρωσε, μὲ τὴν ἑρμηνείαν ποὺ ἔδωσε, τὴν κόλασιν, λέγων ὅτι «θὰ τὰ ρίψουν εἰς τὴν κάμινον». Προσέτι ἐφανέρωσε τὸν τριγμὸν τῶν ὀδόντων καὶ ὅτι ἡ ὀδύνη θὰ εἶναι ἀπερίγραπτος.

Βλέπεις πόσοι εἶναι αἱ ὁδοὶ τῆς ἀπωλείας; Αὐταὶ ποὺ συμβολίζονται διὰ τῆς πέτρας, διὰ τῶν ἀκανθῶν, διὰ τῆς ὁδοῦ τῶν ζιζανίων, διὰ τῆς σαγήνης, Ἑπομένως πολὺ ὀρθῶς ἔλεγεν ὁ Κύριος, ὅτι «Εἶναι πλατεῖα ἡ ὁδὸς ποὺ ὁδηγεῖ εἰς τὴν ἀπώλειαν, καὶ πολλοὶ εἶναι αὐτοὶ ποὺ εἰσέρχονται δι' αὐτῆς»[13].

Ἀφοῦ λοιπὸν εἶπεν αὐτὰ καὶ ἐτελείωσε τὴν ὁμιλίαν του μὲ αὐτὸ τὸ φοβερὸν τέλος καὶ τοὺς ἔδειξεν ὅτι αὐτὰ θὰ εἶναι πολὺ φοβερώτερα (ἐπέδειξε δὲ μεγαλύτερον ἐνδιαφέρον δι' αὐτά), τοὺς λέγει· «Τὰ ἐννοήσατε ὅλα αὐτά; Αὐτοὶ ἀπαντοῦν· Ναί, Κύριε». Ἐν συνεχείᾳ ἐπειδὴ τὰ κατενόησαν, τοὺς ἐπαινεῖ πάλιν, λέγων· «Διὰ τοῦτο κάθε γραμματεὺς ποὺ ἐδιδάχθη τὰ περὶ τῆς βασιλείας τῶν οὐρανῶν, ὁμοιάζει μὲ ἄνθρωπον οἰκοδεσπότην, ὁ ὁποῖος βγάζει ἀπὸ τὸ θησαυροφυλάκιόν του καινούργια καὶ παλαιά». Διὰ τοῦτο καὶ εἰς ἄλλο σημεῖον λέγει· «Θὰ ἀποστείλω πρὸς χάριν σας σοφοὺς καὶ διδασκάλους»[14].

3. Βλέπεις ὅτι δὲν ἀποκλείει τὴν Παλαιὰν Διαθήκην, ἀλλ' ἀντιθέτως τὴν ἐγκωμιάζει καὶ τὴν προβάλλει εἰς τοὺς

σοι τῶν θείων εἰσὶν ἄπειροι Γραφῶν, οὐκ ἂν εἶεν οἰκοδεσπόται, ὅσοι μήτε αὐτοὶ ἔχουσι, μήτε παρ' ἑτέρων λαμβάνουσιν, ἀλλὰ περιορῶσιν ἑαυτοὺς λιμῷ φθειρομένους. Οὐχ οὗτοι δὲ μόνον, ἀλλὰ καὶ οἱ αἱρετικοὶ ἐκτός εἰσι τοῦ μακαρισμοῦ 5 τούτου. Οὐ γὰρ ἐκβάλλουσι καινὰ καὶ παλαιά. Οὐδὲ γὰρ ἔχουσι τὰ παλαιά, διὸ οὐδὲ καινά· ὥσπερ οὖν οἱ καινὰ οὐκ ἔχοντες, οὐδὲ παλαιὰ ἔχουσιν, ἀλλ' ἑκατέρων ἐστέρηνται· ταῦτα γὰρ ἀλλήλοις συνδέεται καὶ συμπλέκεται.

Ἀκούσωμεν τοίνυν ὅσοι τῆς τῶν Γραφῶν ἀμελοῦμεν 10 ἀναγνώσεως, ὅσην ὑπομένομεν βλάβην, ὅσην πενίαν. Πότε γὰρ τῆς διὰ τῶν ἔργων ἐπιληψόμεθα πολιτείας, οἱ μηδὲ αὐτοὺς τοὺς νόμους εἰδότες καθ' οὓς πολιτεύεσθαι χρή; Ἀλλ' οἱ μὲν πλουτοῦντες, οἱ περὶ χρήματα μεμηνότες, συνεχῶς τινάσσουσιν αὐτῶν τὰ ἱμάτια, ὥστε μὴ σητόβρωτα γενέσθαι· 15 σὺ δὲ σητὸς χαλεπώτερον ὁρῶν τὴν λήθην λυμαινομένην σου τὴν ψυχήν, οὐκ ἐντυγχάνεις βιβλίοις, οὐ διακρούῃ τὴν λύμην, οὐ καλλωπίζεις σου τὴν ψυχήν, οὐκ ἐπισκοπεῖς συνεχῶς τὴν εἰκόνα τῆς ἀρετῆς, καὶ τὰ μέλη αὐτῆς καταμανθάνεις καὶ τὴν κεφαλήν; Καὶ γὰρ καὶ κεφαλὴν ἔχει καὶ μέλη 20 παντὸς σώματος εὐειδοῦς καὶ καλοῦ εὐπρεπέστερα.

Τίς οὖν ἡ κεφαλή, φησί, τῆς ἀρετῆς; Ἡ ταπεινοφροσύνη. Διὸ καὶ ἀπ' αὐτῆς ἄρχεται ὁ Χριστὸς λέγων· «Μακάριοι οἱ πτωχοί». Αὕτη ἡ κεφαλὴ οὐ κόμας ἔχει καὶ βοστρύχους, ἀλλὰ κάλλος τοιοῦτον, οἷον τὸν Θεὸν ἐπισπάσασθαι. 25 «Ἐπὶ τίνα γὰρ ἐπιβλέψω», φησίν, «ἀλλ' ἢ ἐπὶ τὸν πρᾶον

---

15. Ματθ. 5, 3.

ἀνθρώπους, ἀποκαλῶν αὐτὴν θησαυρόν; Ὥστε λοιπὸν ὅσοι δὲν ἔχουν ἀσχοληθῆ μὲ τὰς ἁγίας Γραφάς, δὲν θὰ ἦτο δυνατὸν νὰ ὀνομασθοῦν οἰκοδεσπόται, ὅσοι δηλαδὴ οὔτε οἱ ἴδιοι ἔχουν θείους θησαυρούς, οὔτε ἀπὸ τοὺς ἄλλους λαμβάνουν, ἀλλ' ἀφήνουν ἀπὸ ἀδιαφορίαν τοὺς ἑαυτούς των νὰ φθείρωνται ἀπὸ τὴν πεῖναν. Ὄχι δὲ μόνον αὐτοί, ἀλλὰ καὶ οἱ αἱρετικοί, ἀποκλείονται ἀπὸ αὐτὸν τὸν μακαρισμόν. Καθόσον δὲν βγάζουν καινούργια καὶ παλαιά. Διότι δὲν ἔχουν τὰ παλαιά, καὶ ἑπομένως δὲν ἔχουν οὔτε καὶ τὰ καινούργια. Ὅπως ἀκριβῶς πάλιν καὶ αὐτοὶ ποὺ δὲν ἔχουν τὰ καινούργια, οὔτε τὰ παλαιὰ ἔχουν, ἀλλ' ἔχουν στερηθῆ καὶ τὰ δύο· διότι αὐτὰ εἶναι στενὰ συνδεδεμένα καὶ συνυφασμένα κατὰ τρόπον ἀχώριστον μεταξύ των.

Ἂς σκεφθοῦμεν λοιπὸν ὅσοι παραμελοῦμεν τὴν ἀνάγνωσιν τῶν ἁγίων Γραφῶν, πόσον μεγάλη εἶναι ἡ ζημία καὶ ἡ πεῖνα ποὺ ὑφιστάμεθα. Διότι πότε θὰ φροντίσωμεν διὰ μίαν ζωήν, ποὺ νὰ συνοδεύεται ἀπὸ ἐνάρετα ἔργα, ἡμεῖς ποὺ δὲν γνωρίζομεν οὔτε τοὺς νόμους, σύμφωνα μὲ τοὺς ὁποίους πρέπει νὰ ζῶμεν; Καὶ αὐτοὶ μὲν ποὺ πλουτίζουν καὶ καταλαμβάνονται ἀπὸ τὴν μανίαν τῶν χρημάτων, τινάσσουν συνεχῶς τὰ ἐνδύματά των διὰ νὰ μὴ καταστραφοῦν ἀπὸ τὸν σκῶρον, σὺ ὅμως μολονότι βλέπεις τὴν λήθην νὰ καταστρέφῃ τὴν ψυχήν σου, δὲν προσέχεις συνεχῶς τὴν εἰκόνα τῆς ἀρετῆς, καὶ δὲν φροντίζεις νὰ γνωρίσῃς πλήρως τὰ μέλη καὶ τὴν κεφαλὴν αὐτῆς; Καθόσον αὐτὴ καὶ κεφαλὴν ἔχει καὶ μέλη ὁμορφότερα ἀπὸ ὁποιοδήποτε ὡραῖον καὶ ἁρμονικὸν σῶμα.

Ποία λοιπόν, θὰ εἰπῇ κάποιος, εἶναι ἡ κεφαλὴ τῆς ἀρετῆς; Εἶναι ἡ ταπεινοφροσύνη. Διὰ τοῦτο καὶ ἀπὸ αὐτὴν ἀρχίζει ὁ Χριστὸς λέγων· «Μακάριοι οἱ πτωχοί»[15]. Ἡ κεφαλὴ αὐτὴ δὲν ἔχει μαλλιὰ περιποιημένα καὶ βοστρύχους, ἀλλ' ἔχει τέτοιου εἴδους ὀμορφιὰν ποὺ εἶναι εἰς θέσιν νὰ ἑλκύσῃ τὸν Θεόν. Διότι, λέγει· «Εἰς ποῖον θὰ ρίψω τὸ βλέμμα μου, παρὰ μόνον εἰς τὸν πρᾶον καὶ τὸν ταπεινὸν καὶ

καὶ ταπεινὸν καὶ τρέμοντά μου τοὺς λόγους;»· καί· «Οἱ ὀφθαλμοί μου ἐπὶ τοὺς πραεῖς τῆς γῆς», καί· «Ἐγγὺς Κύριος τοῖς συντετριμμένοις τὴν καρδίαν». Αὕτη ἡ κεφαλή, ἀντὶ τριχῶν καὶ κόμης, θύματα φέρει τῷ Θεῷ κεχαρισμένα.
5 *Βωμός ἐστι χρυσοῦς καὶ θυσιαστήριον πνευματικόν· «Θυσία γὰρ τῷ Θεῷ, πνεῦμα συντετριμμένον». Αὕτη ἐστὶν ἡ τῆς σοφίας μήτηρ. Ἂν ταύτην ἔχῃ τις καὶ τὰ λοιπὰ ἕξει.*

Εἶδες κεφαλήν, οἵαν οὐδέποτε εἶδες; Βούλει καὶ τὸ πρόσωπον ἰδεῖν, μᾶλλον δὲ μαθεῖν; Οὐκοῦν μάθε τέως αὐ-
10 *τοῦ τὸ χρῶμα τὸ ἐρυθρὸν καὶ εὐανθὲς καὶ πολλὴν ἔχον τὴν χάριν, καὶ μάθε πόθεν συνίσταται. Πόθεν οὖν συνίσταται; Ἀπὸ τοῦ αἰσχύνεσθαι καὶ ἐρυθριᾶν. Διὸ καί τις φησί· «Πρὸ αἰσχυντηροῦ προελεύσεται χάρις». Τοῦτο καὶ τῶν ἄλλων μελῶν πολὺ καταχεῖ τὸ κάλλος. Κἂν μυρία μίξῃς χρώματα,*
15 *οὐκ ἐργάσῃ τοιαύτην ὥραν.*

Εἰ δὲ καὶ τοὺς ὀφαλμοὺς ἰδεῖν βούλει, ὅρα κοσμιότητι καὶ σωφροσύνῃ μετὰ ἀκριβείας ὑπογεγραμμένους. Διὸ καὶ οὕτω καλοὶ καὶ ὀξυδερκεῖς γίνονται, ὡς καὶ αὐτὸν τὸν Κύριον ὁρᾶν. «Μακάριοι» γάρ, φησίν, «οἱ καθαροὶ τῇ καρδίᾳ,
20 *ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται».*

Στόμα δὲ αὐτῆς, σοφία καὶ σύνεσις καὶ τὸ πνευματικοὺς ὕμνους εἰδέναι. Καρδία δέ, Γραφῶν ἐμπειρία καὶ δογμάτων ἀκριβῶν διατήρησις καὶ φιλανθρωπία καὶ χρηστότης. Καὶ καθάπερ ταύτης ἄνευ οὐκ ἔνι ζῆσαι, οὐδὲ ἐκεί-
25 *νης χωρὶς σωθῆναι ἔνι ποτέ. Καὶ γὰρ ἐκεῖθεν πάντα τίκτεται τὰ καλά. Εἰσὶν αὐτῇ καὶ πόδες καὶ χεῖρες, τῶν ἀγαθῶν ἔργων αἱ ἐπιδείξεις· ἔστιν αὐτῇ καὶ ψυχή, ἡ εὐσέβεια· ἔ-*

---

16. Ἡσ. 66, 2.
17. Ψαλμ. 75, 10.
18. Ψαλμ. 33, 19.
19. Ψαλμ. 50, 19.
20. Σοφ. Σειρ. 32, 10.
21. Ματθ. 5, 8.

αὐτὸν ποὺ φοβεῖται τοὺς λόγους;»[16]. Καί· «Οἱ ὀφθαλμοί μου βλέπουν ἐπάνω εἰς τοὺς πράους τῆς γῆς»[17], καί· «Ὁ Κύριος εὑρίσκεται πλησίον ἐκείνων ποὺ ἔχουν συντετριμμένην καρδίαν»[18]. Ἡ κεφαλὴ αὐτὴ ἀντὶ τριχῶν καὶ καλοπεριποιημένων μαλλιῶν, φέρει θυσίας ἀφιερωμένας εἰς τὸν Θεόν. Εἶναι βωμὸς χρυσὸς καὶ θυσιαστήριον πνευματικόν. Διότι «θυσία εὐπρόσδεκτος ἀπὸ τὸν Θεὸν εἶναι τὸ συντετριμμένον πνεῦμα»[19]. Αὐτὴ εἶναι ἡ μητέρα τῆς σοφίας. Ἂν κάποιος ἔχῃ αὐτὴν θὰ ἔχῃ καὶ τὰ ὑπόλοιπα.

Εἶδες κεφαλήν, ὁμοίαν τῆς ὁποίας οὐδέποτε ξαναεῖδες; Θέλεις νὰ ἰδῇς καὶ τὸ πρόσωπον ἢ μᾶλλον νὰ τὸ σπουδάσῃς; Κατ' ἀρχὴν λοιπὸν μάθε τὸ χρῶμα τοῦ προσώπου τὸ κόκκινον καὶ λαμπερόν, ποὺ ἔχει τόσην πολλὴν χάριν, καὶ προσπάθησε νὰ μάθῃς ἀπὸ τὶ συνίσταται. Ἀπὸ τί λοιπὸν συνίσταται. Ἀπὸ τὴν ἐντροπὴν καὶ τὸ κοκκίνισμα. Διὰ τοῦτο καὶ κάποιος λέγει· «πρὸ τοῦ ἐντροπαλοῦ προβάλλει ἡ χάρις»[20]. Αὐτὸ χαρίζει πολλὴν ὀμορφιὰν καὶ εἰς τὰ ἄλλα μέλη. Καὶ ἂν ἀκόμη ἀναμείξῃς ἄπειρα χρώματα, δὲν θὰ ἐπιτύχῃς τέτοιου εἴδους ὡραιότητα.

Ἂν πάλιν θέλῃς νὰ ἰδῇς καὶ τοὺς ὀφθαλμούς, πρόσεξε μὲ πόσην κοσμιότητα καὶ σωφροσύνην καὶ ἀκρίβειαν εἶναι σχεδιασμένοι. Διὰ τοῦτο καὶ καθίστανται τόσον ὡραῖοι καὶ βλέπουν τόσον μακρυά, ὥστε νὰ βλέπουν καὶ αὐτὸν τὸν Κύριον ἀκόμη. Διότι λέγει· «Εἶναι μακάριοι αὐτοὶ ποὺ ἔχουν καθαρὰν καρδίαν, διότι αὐτοὶ θὰ ἰδοῦν τὸν Θεόν»[21].

Στόμα δὲ αὐτῆς εἶναι ἡ σοφία καὶ ἡ φρόνισις καὶ τὸ ὅτι γνωρίζει νὰ ψάλλῃ ὕμνους πνευματικούς. Καρδία δὲ αὐτῆς εἶναι ἡ γνῶσις τῶν Γραφῶν, ἡ διατήρησις τῶν ὀρθῶν δογμάτων, ἡ φιλανθρωπία καὶ ἡ χρηστότης. Καὶ ὅπως ἀκριβῶς δὲν ἠμπορεῖ κανεὶς νὰ ζήσῃ χωρὶς τὴν καρδίαν, ἔτσι καὶ χωρὶς αὐτὴν δὲν ἠμπορεῖ κανεὶς νὰ σωθῇ. Καθόσον ἀπὸ αὐτὴν προέρχονται ὅλα τὰ καλά. Ἀκόμη ὑπάρχουν εἰς αὐτὴν καὶ πόδια καὶ χέρια, ποὺ εἶναι αἱ ἀποδείξεις τῶν ἀγαθῶν ἔργων. Ὑπάρχει δὲ εἰς αὐτὴν καὶ ψυχή,

στιν αὐτῇ καὶ στῆθος χρυσοῦν καὶ ἀδάμαντος στερρότερον, ἡ ἀνδρεία· καὶ πάντα ἁλῶναι εὔκολον, ἢ τοῦτο διαρραγῆναι τὸ στῆθος. Τὸ δὲ πνεῦμα τὸ ἐν ἐγκεφάλῳ καὶ καρδίᾳ, ἡ ἀγάπη ἐστί.

5 *4. Βούλει καὶ ἐπ' αὐτῶν τῶν ἔργων δείξω σοι τὴν εἰκόνα; Ἐννόησόν μοι τοῦτον αὐτὸν τὸν εὐαγγελιστήν· καίτοι οὐ πάντα αὐτοῦ τὸν βίον ἀνάγραπτον ἔχομεν, ἀλλ' ὅμως καὶ ἐξ ὀλίγων ἔνεστιν αὐτοῦ τὴν εἰκόνα ἰδεῖν διαλάμπουσαν. Ὅτι μὲν ταπεινὸς καὶ συντετριμμένος ἦν, ἄκουσαν μετὰ τὸ*
10 *εὐαγγέλιον τελώνην ἑαυτὸν καλοῦντα· ὅτι δὲ καὶ ἐλεήμων, ὅρα πάντα ἀποδυσάμενον καὶ ἀκολουθήσαντα τῷ Ἰησοῦ· ὅτι δὲ καὶ εὐσεβής, δῆλον ἀπὸ τῶν δογμάτων. Καὶ τὴν σύνεσιν δὲ αὐτοῦ ἀφ' οὗ συνέθηκεν εὐαγγελίου ῥᾴδιόν ἐστιν ἰδεῖν, καὶ τὴν ἀγάπην· τῆς γὰρ οἰκουμένης ἐπιμελήσατο. Καὶ*
15 *τὴν τῶν ἔργων τῶν ἀγαθῶν ἐπίδειξιν ἀπὸ τοῦ θρόνου ἐφ' οὗ μέλλει καθεδεῖσθαι· καὶ τὴν ἀνδρείαν δέ, ἐξ ὧν χαίρων ὑπέστρεψεν ἀπὸ προσώπου τοῦ συνεδρίου.*

Ζηλώσωμεν τοίνυν τὴν ἀρετὴν ταύτην καὶ μάλιστα πάντων τὴν ταπεινοφροσύνην καὶ ἐλεημοσύνην, ὧν ἄνευ σωθῆναι
20 *οὐκ ἔνι. Καὶ δηλοῦσιν αἱ πέντε παρθένοι, καὶ μετ' ἐκείνων ὁ Φαρισαῖος. Χωρὶς μὲν γὰρ παρθενίας δυνατὸν βασιλείαν ἰδεῖν· χωρὶς δὲ ἐλεημοσύνης ἀμήχανον· τῶν γὰρ ἀναγκαίων τοῦτό ἐστι καὶ συνεχόντων τὸ πᾶν. Οὐκ ἄρα ἀπεικότως καρδίαν αὐτὸ κεκλήκαμεν ἀρετῆς. Ἀλλ' ἡ καρδία αὕτη, ἐὰν μὴ*
25 *πᾶσι χορηγῇ πνεῦμα, ταχέως σβέννυται. Ὥσπερ οὖν καὶ ἡ πηγή, ἐὰν συνέχῃ τὰ νάματα παρ' ἑαυτῇ, σήπεται, οὕτω καὶ οἱ*

---

22. Ματθ. 10, 3.
23. Βλ. Ματθ. 19, 28.
24. Προβλ. Πράξ. 5, 41.

πού εἶναι ἡ εὐσέβεια. Ἀκόμη ἔχει καὶ χρυσὸν στῆθος, ἰσχυρότερον καὶ ἀπὸ τὸν ἀδάμαντα, πού εἶναι ἡ ἀνδρεία· καὶ εἶναι εὐκολώτερον νὰ κυριευθοῦν ὅλα, παρὰ νὰ διαρραγῇ αὐτὸ τὸ στῆθος. Τὸ δὲ πνεῦμα πού ἔχει ἕδραν τὸν ἐγκέφαλον καὶ τὴν καρδίαν, εἶναι ἡ ἀγάπη.

4. Θέλεις νὰ σοῦ δείξω καὶ τὴν εἰκόνα τῶν ἐναρέτων πράξεων; Σκέψου αὐτὸν τὸν ἴδιον τὸν Εὐαγγελιστὴν Ματθαῖον· μολονότι δὲν ἔχομεν γραμμένον ὅλον τὸν βίον του, ὅμως καὶ ἀπὸ αὐτὰ τὰ ὀλίγα ἠμποροῦμεν νὰ ἰδοῦμεν διαλάμπουσαν τὴν εἰκόνα αὐτοῦ. Τὸ ὅτι ἦτο ταπεινὸς καὶ μὲ συντετριμμένην καρδίαν, πρόσεξε πού ὀνομάζει τὸν ἑαυτόν του, μετὰ τὸ Εὐαγγέλιον, τελώνην[22]· τὸ ὅτι δὲ ἦτο καὶ ἐλεήμων πρόσεξε τὸ ὅτι ὅλα τὰ ἀπέβαλε καὶ ἠκολούθησε τὸν Ἰησοῦν. Τὸ ὅτι δὲ ἦτο καὶ εὐσεβὴς καθίσταται φανερὸν ἀπὸ τὰς ἀληθείας τοῦ Εὐαγγελίου του. Ἀκόμη καὶ τὴν σύνεσίν του εἶναι εὔκολον νὰ ἰδῇς ἀπὸ τὸ Εὐαγγέλιον πού ἔγραψε, καθὼς καὶ τὴν ἀγάπην του· διότι ἐνδιαφέρθη διὰ τὴν οἰκουμένην. Τὰ δὲ καλὰ ἔργα πού ἔχει νὰ ἐπιδείξῃ ἠμποροῦμεν νὰ τὸ διαπιστώσωμεν ἀπὸ τὸν θρόνον εἰς τὸν ὁποῖον πρόκειται νὰ καθίσῃ[23], τὴν δὲ ἀνδρείαν του τὴν διαπιστώνομεν ἀπὸ τὴν χαράν, μὲ τὴν ὁποίαν ἐπέστρεψεν ἀπὸ τὸ συνέδριον[24].

Ἂς μιμηθοῦμεν λοιπὸν αὐτὴν τὴν ἀρετὴν καὶ πρὸ πάντων τὴν ταπεινοφροσύνην καὶ τὴν ἐλεημοσύνην, χωρὶς τὰς ὁποίας δὲν εἶναι δυνατὸν νὰ σωθοῦμεν. Καὶ αὐτὸ καθίσταται φανερὸν ἀπὸ τὰς πέντε παρθένους καὶ μαζὶ μὲ ἐκείνας καὶ ἀπὸ τὸν Φαρισαῖον. Διότι χωρὶς παρθενίαν εἶναι δυνατὸν νὰ ἰδῇ κανεὶς βασιλείαν τῶν οὐρανῶν, ὅμως χωρις ἐλεημοσύνην, εἶναι ἀδύνατον· διότι αὐτὴ εἶναι ἀπὸ τὰ ἀναγκαῖα καὶ πού περιέχουν τὸ πᾶν. Ἑπομένως δικαίως τὴν ἐχαρακτηρίσαμεν ὡς τὴν καρδίαν τῆς ἀρετῆς. Ὅμως ἡ καρδία αὐτὴ ἂν δὲν χορηγηθῇ εἰς ὅλα τὰ μέλη τὸ πνεῦμα τῆς ζωῆς, γρήγορα σβήνει. Ὅπως ἀκριβῶς λοιπὸν ἡ πηγή, ἐὰν συγκρατῇ ἐντός της τὰ νερά, σαπίζει, ἔτσι καὶ οἱ πλού-

πλουτοῦντες, ὅταν παρ' ἑαυτοῖς τὰ ὄντα κατέχωσι. Διὰ τοῦτο καὶ ἐν τῇ κοινῇ συνηθείᾳ λέγομεν, πολλὴ ἡ σῆψις τοῦ πλούτου παρὰ τῷ δεῖνι καὶ οὐ λέγομεν, πολλὴ ἡ ἀφθονία, πολὺς ὁ θησαυρός. Καὶ γὰρ σῆψίς ἐστιν οὐχὶ τῶν κε-
5 *κτημένων, ἀλλὰ καὶ αὐτοῦ τοῦ πλούτου. Καὶ γὰρ τὰ ἱμάτια κείμενα φθείρεται, καὶ τὸ χρυσίον ἰοῦται, καὶ ὁ σῖτος διαβιβρώσκεται· καὶ ἡ ψυχὴ δὲ τοῦ ταῦτα ἔχοντος τούτων ἁπάντων μᾶλλον ταῖς φροντίσι καὶ ἰοῦται καὶ σήπεται. Κἂν ἐθέλῃς φιλαργύρου ψυχὴν εἰς τὸ μέσον ἐξενεγκεῖν, καθάπερ*
10 *ἱμάτιον ὑπὸ μυρίων βρωθὲν σκωλήκων, καὶ οὐκ ἔχον οὐδὲν ὑγιές, οὕτως εὑρήσεις διατετρυπημένην πέντοθεν αὐτὴν ὑπὸ φροντίδων, ὑπὸ τῶν ἁμαρτημάτων σεσηπυῖαν, ἰωμένην. Ἀλλ' οὐχὶ τοῦ πένητος τοιαύτη, τοῦ πένητος τοῦ ἑκόντος· ἀλλ' ἀποστίλβει μὲν ὡς χρυσίον, λάμπει δὲ ὥσπερ μαργαρίτης, ἀνθεῖ*
15 *δὲ ὥσπερ ῥόδον. Οὐ γάρ ἐστιν ἐκεῖ σής, οὐκ ἔστιν ἐκεῖ κλέπτης, οὐκ ἔστι φροντὶς βιωτική· ἀλλ' ὡς ἄγγελοι οὕτω πολιτεύονται.*

Βούλει τῆς ψυχῆς ταύτης τὸ κάλλος ἰδεῖν; βούλει τῆς πενίας τὸν πλοῦτον καταμαθεῖν; Οὐκ ἐπιτάττει ἀνδράσιν,
20 *ἀλλὰ δαίμοσιν ἐπιτάττει· οὐ παρίσταται βασιλεῖ, ἀλλὰ παρέστηκε Θεῷ· οὐ στρατεύεται μετὰ ἀνθρώπων, ἀλλὰ στρατεύεται μετὰ ἀγγέλων· οὐκ ἔχει κιβώτια δύο καὶ τρία καὶ εἴκοσιν, ἀλλὰ τοιαύτην εὐπορίαν, ὡς τὸν κόσμον ἅπαντα μηδὲν εἶναι νομίζειν. Οὐκ ἔχει θησαυρόν, ἀλλὰ τὸν οὐρανόν· οὐ*
25 *δεῖται δούλων, μᾶλλον δὲ ἔχει δούλους τὰ πάθη, ἔχει δούλους τοὺς βασιλέων κρατοῦντας λογισμούς· Ὁ γὰρ ἐπιτάττων τῷ τὴν ἁλουργίδα περικειμένῳ, οὗτος αὐτὸν κατέπτηχεν ὁ λογισμός, καὶ ἀντιβλέψαι οὐ τολμᾷ. Βασιλείαν δὲ καὶ χρυ-*

σιοι, ὅταν κρατοῦν διὰ τὸν ἑαυτόν των τὰ ὑπάρχοντά των. Διὰ τοῦτο καὶ συνηθίζομεν νὰ λέγωμεν ὅτι εἶναι μεγάλη ἡ σαπίλα εἰς τὸν τάδε καὶ δὲν λέγομεν, πολλὴ ἡ ἀφθονία, πολὺς ὁ θησαυρός. Καθόσον ὑπάρχει σαπίλα ὄχι μόνον εἰς αὐτὰ ποὺ ἔχουν, ἀλλὰ καὶ αὐτοῦ τοῦ ἰδίου τοῦ πλούτου. Διότι καὶ τὰ ἐνδύματα ὅταν δὲν χρησιμοποιοῦνται καταστρέφονται, καὶ ὁ χρυσὸς σκουριάζει, καὶ ὁ σῖτος καταφθείρεται. Καὶ ἡ ψυχὴ δὲ αὐτοῦ, ποὺ ἔχει ὅλα αὐτά, σκουριάζει καὶ σαπίζει περισσότερον μὲ αὐτὰς τὰς φροντίδας. Καὶ ἂν θελήσῃς νὰ ἀφαιρέσῃς τὸ κάλυμμα τῆς ψυχῆς τοῦ φιλαργύρου, ὅπως ἀκριβῶς ἕνα ἔνδυμα ποὺ εἶναι φαγωμένον ἀπὸ ἄπειρα σκουλήκια καὶ δὲν ἔχει τίποτε τὸ ὑγιές, ἔτσι θὰ τὴν εὕρῃς καὶ αὐτὴν κατατρυπημένην παντοῦ ἀπὸ φροντίδας, σαπισμένην ἀπὸ τὰ ἁμαρτήματα καὶ σκουριασμένην. Ὅμως ἡ ψυχὴ τοῦ πτωχοῦ δὲν ὁμοιάζει μὲ τὴν ψυχὴν αὐτοῦ, τοῦ πτωχοῦ ποὺ μὲ τὴν θέλησίν του εἶναι πτωχός, καὶ τοῦ ὁποίου ἡ ψυχὴ ἀκτινοβολεῖ ὡσὰν χρυσός, λάμπει ὡσὰν μαργαρίτης καὶ ἀνθεῖ ὅπως ἀκριβῶς τὸ τριαντάφυλλον. Διότι δὲν ὑπάρχει εἰς τὴν ψυχὴν αὐτοῦ σκῶρος, δὲν ὑπάρχει κλέπτης, δὲν ὑπάρχει κοσμικὴ φροντίς· οἱ ἄνθρωποι αὐτοὶ ζοῦν καθ' ὅμοιον τρόπον μὲ τοὺς ἀγγέλους.

Θέλεις νὰ ἰδῇς τὸ κάλλος αὐτῆς τῆς ψυχῆς; θέλεις νὰ γνωρίσῃς καλὰ τὸν πλοῦτον τῆς πτωχείας; Δὲν δίδει ἐντολὰς εἰς ἄνδρας, ἀλλὰ προστάζει δαίμονας· δὲν στέκεται πλησίον τοῦ βασιλέως, ἀλλ' ἐστάθη πλησίον τοῦ Θεοῦ· δὲν στρατεύεται μαζὶ μὲ ἀνθρώπους, ἀλλὰ στρατεύεται μαζὶ μὲ ἀγγέλους· δὲν ἔχει μόνον δύο, τρία ἢ εἴκοσι κιβώτια, ἀλλὰ τόσην ἀφθονίαν, ὥστε νὰ θεωρῇ ὁλόκληρον τὸν κόσμον ὡσὰν μηδέν. Δὲν ἔχει ὑλικὸν θησαυρόν, ἀλλὰ τὸν οὐρανόν· δὲν ἔχει ἀνάγκην ἀπὸ δούλους, ἢ καλύτερα ἔχει ὡς δούλους τὰ πάθη, ἔχει ὡς δούλους τοὺς λογισμοὺς ποὺ καταδυναστεύουν τοὺς βασιλεῖς. Διότι ὁ λογισμὸς ποὺ διατάσσει αὐτὸν ποὺ φορᾷ τὴν ἁλουργίδα τὸν φοβᾶται αὐτὸν καὶ δὲν τολμᾷ νὰ τὸν ἰδῇ κατὰ *πρόσωπον*. Βασιλείαν δὲ καὶ χρυσὸν

σὸν καὶ πάντα τὰ τοιαῦτα, καθάπερ παίδων ἀθύρματα γελᾷ. καὶ καθάπερ τροχοὺς καὶ ἀστραγάλους καὶ κεφαλὰς καὶ σφαίρας, οὕτω ταῦτα πάντα ἡγεῖται εἶναι εὐκαταφρόνητα. Ἔχει γὰρ κόσμον, ὃν οὐδὲ ἰδεῖν οἱ ἐν τούτοις παίζοντες δύ-
5 *νανται. Τί τοίνυν τοῦ πένητος τούτου βέλτιον γένοιτ' ἄν; Ἔδαφος γοῦν ἔχει τὸν οὐρανόν. Εἰ δὲ τὸ ἔδαφος τοιοῦτον, ἐννόησον τὸν ὄροφον. Ἀλλ' οὐκ ἔχει ἵππους καὶ ὀχήματα; Τί γὰρ αὐτῷ τούτων χρεία, τῷ μέλλοντι ἐπὶ τῶν νεφελῶν ὀχεῖσθαι, καὶ μετὰ τοῦ Χριστοῦ εἶναι;*

10 *Ταῦτ' οὖν ἐννοήσαντες, καὶ ἄνδρες καὶ γυναῖκες, ἐκεῖνον ζητῶμεν τὸν πλοῦτον καὶ τὴν ἀνάλωτον εὐπορίαν, ἵνα καὶ τῆς βασιλείας τῶν οὐρανῶν ἐπιτύχωμεν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.*

---

25. Διάφορα παιχνίδια ποὺ ἐπαίζοντο κατὰ τοὺς βυζαντινοὺς χρόνους.

καὶ ὅλα τὰ παρόμοια τὰ περιγελᾷ ὡσὰν παιδικὰ παιχνίδια καὶ τὰ περιφρονεῖ ὅλα αὐτὰ ὡσὰν τροχοὺς καὶ ἀστραγάλους καὶ κεφαλὰς καὶ σφαίρας[25]. Διότι ἔχει κόσμον ποὺ δὲν ἠμποροῦν νὰ τὸν ἰδοῦν αὐτοὶ ποὺ παίζουν μὲ αὐτά. Τί καλύτερον λοιπὸν θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ ἀπὸ αὐτὸν τὸν πτωχόν; Διότι ὡς ἔδαφος ἔχει τὸν οὐρανόν. Ἂν δὲ τὸ ἔδαφος εἶναι τέτοιο, σκέψου τὸν ὄροφον. Θὰ μοῦ εἰπῇς ὅτι δὲν ἔχει ἄλογα καὶ ὀχήματα; Μὰ τί τὰ χρειάζεται αὐτὸς ποὺ πρόκειται νὰ βαδίζῃ ἐπάνω εἰς τὰ σύννεφα καὶ νὰ εἶναι μαζὶ μὲ τὸν Χριστόν;

Ὅλα λοιπὸν αὐτὰ ἀφοῦ τὰ χαράξωμεν καλὰ εἰς τὸν νοῦν μας, καὶ ἄνδρες καὶ γυναῖκες, ἂς ἐπιδιώκωμεν ἐκεῖνον τὸν πλοῦτον καὶ τὴν ἀνεξάντλητον ἀφθονίαν, ὥστε νὰ ἐπιτύχωμεν καὶ τὴν βασιλείαν τῶν οὐρανῶν, μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΟΜΙΛΙΑ ΜΗ΄

Ματθ. 13, 53 - 14, 12

«Καὶ ἐγένετο, ὅτε ἐτέλεσεν ὁ Ἰησοῦς τὰς παραβολὰς ταύτας, μετῆρεν ἐκεῖθεν».

1. Τίνος ἕνεκεν εἶπε ταύτας;

Ἐπειδὴ καὶ ἄλλας ἔμελλεν ἐρεῖν.

Τίνος δὲ ἕνεκεν καὶ μεταβαίνει;

Πανταχοῦ τὸν λόγον σπεῖραι βουλόμενος.

«Καὶ ἐλθὼν εἰς τὴν πατρίδα αὐτοῦ, ἐδίδασκεν αὐτοὺς ἐν τῇ συναγωγῇ αὐτῶν».

Καὶ ποίαν πατρίδα αὐτοῦ καλεῖ νῦν;

Ἐμοὶ δοκεῖ, τὴν Ναζαρέτ. «Οὐ γὰρ ἐποίησεν ἐκεῖ δυνάμεις πολλάς», φησίν· ἐν δὲ Καπερναοὺμ ἐποίησε σημεῖα· διὸ καὶ ἔλεγε· «Καὶ σὺ Καπερναούμ, ἡ ἕως τοῦ οὐρανοῦ ὑψωθεῖσα, ἕως ᾅδου καταβιβασθήσῃ· ὅτι εἰ ἐν Σοδόμοις ἐγένοντο αἱ δυνάμεις αἱ γενόμεναι ἐν σοί, ἔμειναν ἂν μέχρι τῆς σήμερον». Ἐλθὼν δὲ ἐκεῖ, τῶν μὲν σημείων καθυφίησιν, ὥστε μὴ εἰς πλείονα αὐτοὺς φθόνον ἐκκαῦσαι μηδὲ κατακρῖναι μειζόνως, τῆς ἀπιστίας ἐπιτεινομένης· διδασκαλίαν δὲ προτείνεται τῶν σημείων οὐκ ἔλαττον θαῦμα ἔχουσαν. Οἱ γὰρ πάντα ἀνόητοι, δέον θαυμάσαι καὶ ἐκπλαγῆναι τῶν λεγομένων τὴν δύναμιν, οὗτοι δὲ τοὐναντίον ἐξευτελίζουσιν αὐτὸν ἀπὸ τοῦ δοκοῦντος εἶναι πατρός· καίτοιγε πολλὰ τούτων παραδείγματα ἔχοντες ἐν ταῖς ἔμπροσθεν χρόνοις καὶ πατέρων ἀσήμων γενναίους ἑωρακότες παῖδας. Καὶ γὰρ ὁ Δαυῒδ εὐτελοῦς τινος ἦν γεωργοῦ τοῦ Ἰεσσαί· καὶ ὁ Ἀμὼς αἰπόλου παῖς καὶ αὐτὸς αἰπόλος· καὶ ὁ Μωϋσῆς δὲ ὁ νομοθέτης σφόδρα αὐτοῦ ἀποδέοντα ἔσχε πατέρα. Δέον οὖν διὰ τοῦτο μάλιστα προσκυνεῖν καὶ ἐκπλήττεσθαι, ὅτι τοιούτων

---

1. Ματθ. 11, 23.

ΟΜΙΛΙΑ ΜΗ΄

Ματθ. 13, 53 - 14, 12

«Καὶ συνέβη, ὥστε, ἀφοῦ ἐτελείωσεν ὁ Ἰησοῦς τὰς παραβολὰς αὐτάς, νὰ ἀναχωρήσῃ ἀπὸ ἐκεῖ».

1. — Διατί εἶπεν ὁ Κύριος τὰς παραβολὰς αὐτάς;

— Ἐπειδὴ ἐπρόκειτο καὶ ἄλλας νὰ εἰπῇ.

— Καὶ διὰ ποῖον λόγον μεταβαίνει ἐκεῖ;

— Ἐπειδὴ ἤθελε νὰ σπείρῃ παντοῦ τὸν λόγον.

«Καὶ ἀφοῦ ἦλθεν εἰς τὴν πατρίδα του τοὺς ἐδίδασκεν εἰς τὴν συναγωγήν των».

Καὶ ποίαν πόλιν ὀνομάζει τώρα πατρίδα του;

Ἐγὼ νομίζω τὴν Ναζαρέτ. «Διότι», λέγει, «δὲν ἔκανεν ἐκεῖ πολλὰ θαύματα· ἐνῷ εἰς τὴν Καπερναοὺμ ἔκανε θαύματα. Διὰ τοῦτο καὶ ἔλεγε· «Καὶ σὺ Καπερναούμ, ποὺ ὑψώθης μέχρι τὸν οὐρανόν, θὰ καταβιβασθῇς μέχρι τὸν Ἅδην· διότι ἐὰν τὰ θαύματα ποὺ ἔγιναν εἰς ἐσέ, ἐγίνοντο εἰς τὰ Σόδομα, θὰ ἦτο δυνατὸν νὰ παραμείνουν μέχρι σήμερα»[1]. Ὅταν δὲ ἦλθεν ἐκεῖ τὰ μὲν θαύματα τὰ ἄφησε, διὰ νὰ μὴ ἀνάψῃ περισσότερον τὸν φθόνον των, οὔτε νὰ εἶναι μεγαλυτέρα ἡ καταδίκη των, καθόσον θὰ ηὔξανεν ἡ ἀπιστία των· ἀντιθέτως προτιμᾷ τὴν διδασκαλίαν ποὺ δὲν περιέχει μικρότερον θαῦμα ἔναντι τῶν θαυμάτων. Διότι καὶ οἱ πλέον ἀνόητοι ἔπρεπε νὰ θαυμάσουν καὶ νὰ ἐκπλαγούν ἀπὸ τὴν δύναμιν τῶν λόγων του, αὐτοὶ ὅμως ὅλως ἀντιθέτως τὸν ταπεινώνουν ἀπὸ τὸν νομιζόμενον ὡς πατέρα του Ἰωσήφ· μολονότι βέβαια εἶχαν πολλὰ παρόμοια παραδείγματα ἀπὸ τὴν παλαιὰν ἐποχὴν καὶ εἶχαν ἰδεῖ γενναῖα παιδιὰ ἀπὸ ἀσήμους πατέρας. Καθόσον καὶ ὁ Δαυῒδ ἦτο υἱὸς κάποιου ἀσήμου γεωργοῦ τοῦ Ἰεσσαί· καὶ ὁ Ἀμμὼς ἦτο υἱὸς αἰγοβοσκοῦ καὶ ὁ ἴδιος δὲ ἦτο αἰγοβοσκός· ἀλλὰ καὶ ὁ Μωϋσῆς ὁ νομοθέτης εἶχε πατέρα, ποὺ ἀπεῖχε πάρα πολὺ ἀπὸ αὐτόν. Καὶ ἀκριβῶς διὰ τὸν λόγον αὐτὸν ἔπρεπε κατ' ἐξοχὴν νὰ προσκυνοῦν καὶ νὰ καταλαμβάνωνται ἀπὸ

ὧν τοιαῦτα ἐφθέγγετο· εὔδηλον γάρ, ὅτι οὐκ ἐξ ἀνθρωπίνης ἐπιμελείας ἦν, ἀλλὰ θείας χάριτος· οἱ δὲ ἀφ' ὧν ἔδει θαυμάζειν, ἀπὸ τούτων καταφρονοῦσι. Συνεχῶς δὲ ταῖς συναγωγαῖς ἐπιχωριάζει, ἵνα μὴ διαπαντὸς ἐπὶ τῆς ἐρήμου δια-
5 τρίβοντος αὐτοῦ μᾶλλον κατηγορήσωσιν, ὡς ἀποσχίζοντος καὶ τῇ πολιτείᾳ μαχομένου.

Ἐκπληττόμενοι τοίνυν καὶ ἐν ἀπορίᾳ ὄντες ἔλεγον· «Πόθεν αὕτη ἡ σοφία τούτῳ καὶ αἱ δυνάμεις;»· ἤτοι τὰ σημεῖα δυνάμεις καλοῦντες ἢ καὶ αὐτὴν τὴν σοφίαν. «Οὐχ
10 οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱός;». Οὐκοῦν μεῖζον τὸ θαῦμα, καὶ πλείων ἡ ἔκπληξις. «Οὐχὶ ἡ μήτηρ αὐτοῦ λέγεται Μαρία; καὶ οἱ ἀδελφοὶ αὐτοῦ Ἰάκωβος καὶ Ἰωσῆς καὶ Σίμων καὶ Ἰούδας; καὶ αἱ ἀδελφαὶ αὐτοῦ οὐχὶ πᾶσαι παρ' ἡμῖν εἰσι; Πόθεν τούτῳ ταῦτα; Καὶ ἐσκανδαλίζοντο ἐν αὐτῷ».
15 Ὁρᾷς ὅτι ἐν τῇ Ναζαρὲτ διελέγετο; Οὐχὶ ἀδελφοὶ αὐτοῦ, φησίν, ὁ δεῖνα καὶ ὁ δεῖνά εἰσι; Καὶ τί τοῦτο; Ἐντεῦθεν γὰρ ὑμᾶς μάλιστα εἰς πίστιν ἐνάγεσθαι ἔδει. Ἀλλὰ γὰρ πονηρὸν ὁ φθόνος καὶ ἑαυτῷ περιπίπτει πολλάκις. Ἃ γὰρ ἦν παράδοξα καὶ θαυμαστὰ καὶ ἱκανὰ αὐτοὺς ἐφελκύσασθαι,
20 ταῦτα ἐκείνους ἐσκανδάλιζε. Τί οὖν ὁ Χριστὸς πρὸς αὐτούς; «Οὐκ ἔστι προφήτης», φησίν, «ἄτιμος, εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ. Κοὶ οὐκ ἐποίησε», φησί, «δυνάμεις πολλὰς διὰ τὴν ἀπιστίαν αὐτῶν». Ὁ δὲ Λουκᾶς φησι· «Καὶ οὐκ ἐποίησεν ἐκεῖ σημεῖα πολλά». Καίτοι ποιῆσαι εἰκὸς
25 ἦν. Εἰ γὰρ τὸ θαυμάζεσθαι αὐτῷ προεχώρει, (καὶ γὰρ καὶ τότε ἐθαυμάζετο), τίνος ἕνεκεν οὐκ ἐποίησεν; Ὅτι οὐ πρὸς

θαυμασμόν, ἐπειδὴ μολονότι προήρχετο ἀπὸ ταπεινοὺς γονεῖς, τοὺς ἐδίδασκε τόσον ὑψηλὰ νοήματα· διότι ἦτο ὁλοφάνερον ὅτι αὐτὰ δὲν προήρχοντο ἀπὸ ἀνθρωπίνην φροντίδα, ἀλλ' ἦσαν ἀποτέλεσμα τῆς θείας χάριτος. Αὐτοὶ ὅμως ἀπὸ αὐτὰ ποὺ ἔπρεπε νὰ τὸν θαυμάζουν, ἀπὸ αὐτὰ ὁρμώμενοι τὸν περιφρονοῦν. Συνεχῶς δὲ συχνάζει εἰς τὰς συναγωγάς διὰ νὰ μὴ τὸν κατηγορήσουν ἀκόμη περισσότερον, ὅτι, δαπανῶν τὸν χρόνον του εἰς τὴν ἔρημον, δημιουργεῖ σχίσμα καὶ κάνει πόλεμον κατὰ τῆς πολιτείας.

Γεμᾶτοι λοιπὸν ἀπὸ ἔκπληξιν καὶ ἀπορίαν ἔλεγαν· «Ἀπὸ ποῦ αὐτὸς ἔλαβεν αὐτὴν τὴν σοφίαν καὶ αὐτὰς τὰς θαυματουργικὰς δυνάμεις;», ὀνομάζοντες τὰ θαύματα δυνάμεις ἢ καὶ αὐτὴν ἀκόμη τὴν σοφίαν. «Δὲν εἶναι αὐτὸς ὁ υἱὸς τοῦ ξυλουργοῦ;». Τώρα λοιπὸν τὸ θαῦμα ἦτο μεγαλύτερον καὶ ἀκόμη μεγαλυτέρα ἡ ἔκπληξις. «Ἡ μητέρα του δὲν ὀνομάζεται Μαρία; καὶ δὲν εἶναι ἀδελφοὶ αὐτοῦ ὁ Ἰάκωβος, ὁ Ἰωσῆς, ὁ Σίμων καὶ ὁ Ἰούδας; καὶ ὅλαι αἱ ἀδελφαί του δὲν ζοῦν ἀνάμεσά μας; Ἀπὸ ποῦ λοιπὸν τὰ ἔλαβεν ὅλα αὐτά; Καὶ ἐδυσπιστοῦσαν πρὸς αὐτόν.

Βλέπεις ὅτι ἐδίδασκεν εἰς τὴν Ναζαρέτ; Δὲν εἶναι, λέγει, ἀδελφοί του ὁ τάδε καὶ ὁ τάδε; Καὶ τί σημασία ἔχει αὐτό; Διότι αὐτὸ ἔπρεπε νὰ σᾶς κάνῃ νὰ πιστεύσετε ἀκόμη περισσότερον. Ὁ φθόνος ὅμως εἶναι πάρα πολὺ κακὸν πρᾶγμα καὶ πολλάκις βάλλει καὶ ἐναντίον αὐτοῦ ποὺ τὸν ἔχει. Διότι αὐτὰ ποὺ ἦσαν παράδοξα καὶ ἄξια θαυμασμοῦ καὶ ἱκανὰ διὰ νὰ προσελκύσουν τὴν πίστιν των, αὐτὰ τοὺς ἔκαναν νὰ δυσπιστοῦν. Καὶ τί τοὺς εἶπε λοιπὸν ὁ Χριστός; «Δὲν ὑπάρχει», τοὺς λέγει, «προφήτης ποὺ νὰ περιφρονῆται, παρὰ μόνον εἰς τὴν πατρίδα του καὶ εἰς τὴν οἰκίαν του. Καὶ ἐξ αἰτίας τῆς ἀπιστίας των», λέγει, «δὲν ἔκανεν ἐκεῖ πολλὰ θαύματα». Ὁ Λουκᾶς πάλιν λέγει· «Καὶ δὲν ἔκανεν ἐκεῖ πολλὰ θαύματα». Ἂν καὶ φυσικὸν ἦτο νὰ κάνῃ. Διότι ἐὰν ὀλίγον κατ' ὀλίγον ηὔξανεν ὁ θαυμασμός των πρὸς αὐτὸν (καὶ πράγματι καὶ τότε ἐθαυμάζετο), διὰ ποῖον

ἐπίδειξιν ἔβλεπε τὴν ἑαυτοῦ, ἀλλὰ πρὸς τὸ ἐκείνοις συμφέρον. Τούτου τοίνυν μὴ προχωροῦντος, παρεῖδε τὸ ἑαυτοῦ, ὥστε μὴ τὴν κόλασιν αὐτοῖς αὐξῆσαι. Καίτοι ὅρα μετὰ πόσον πρὸς αὐτοὺς ἦλθε χρόνον καὶ πόσην σημείων ἐπίδειξιν· ἀλλ' 5 οὐδὲ οὕτως ἀνήνεγκαν, ἀλλὰ πάλιν ἐξεκαίοντο τῷ φθόνῳ.

Τίνος οὖν ἕνεκεν καὶ ὀλίγα ἐποίησε σημεῖα; Ἵνα μὴ λέγωσιν· «Ἰατρέ, θεράπευσον σεαυτόν»· ἵνα μὴ λέγωσι, πολέμιος ἡμῖν ἐστι καὶ ἐχθρὸς καὶ τοὺς οἰκείους ὑπερορᾷ· ἵνα μὴ λέγωσιν, ὅτι εἰ ἐγεγόνει σημεῖα καὶ ἡμεῖς ἐπιστεύσαμεν 10 ἄν. Διὰ τοῦτο καὶ ἐποίησε καὶ ἐπέσχε· τὸ μέν, ἵνα τὸ αὐτοῦ πληρώσῃ, τὸ δέ, ἵνα μὴ ἐκείνους μειζόνως κατακρίνῃ. Ἐννόησον δὲ τῶν λεγομένων τὴν δύναμιν, ὅπου γε καὶ ὑπὸ φθόνου κατεχόμενοι ὅμως ἐθαύμαζον. Ἀλλ' ὥσπερ ἐπὶ τῶν ἔργων οὐ τὸ γινόμενον μέμφονται, ἀλλ' αἰτίας πλάττουσιν οὐκ 15 οὔσας, λέγοντες· «Ἐν Βεελζεβοὺλ ἐκβάλλει τὰ δαιμόνια», οὕτω καὶ ἐνταῦθα, οὐ τὴν διδασκαλίαν αἰτιῶνται, ἀλλ' ἐπὶ τὴν εὐτέλειαν καταφεύγουσι τοῦ γένους.

Σὺ δέ μοι σκόπει τὴν ἐπιείκειαν τοῦ διδασκάλου, πῶς αὐτοὺς οὐχ ὑβρίζει, ἀλλὰ μετὰ πολλῆς τῆς ἡμερότητός φη- 20 σιν· «Οὐκ ἔστι προφήτης ἄτιμος, εἰ μὴ ἐν τῇ πατρίδι αὐτοῦ». Καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ προσέθηκε, «Καὶ ἐν τῇ οἰκίᾳ αὐτοῦ»· ἐμοὶ δοκεῖ καὶ τοὺς ἀδελφοὺς αἰνιττόμενος τοὺς ἑαυτοῦ τοῦτο προστεθεικέναι.

2. Ἐν δὲ τῷ Λουκᾷ καὶ παραδείγματα τούτου τίθησι 25 λέγων, ὅτι οὐδὲ Ἠλίας ἦλθε πρὸς τοὺς οἰκείους, ἀλλὰ πρὸς τὴν ἀλλόφυλον χήραν· οὐδὲ παρ' Ἐλισσαίου ἄλλος τις ἐθε-

---

2. Λουκᾶ 4, 23.
3. Λουκᾶ 11, 15 καὶ Δ' Βασ. 1, 2. 16 ὅπου ἀπαντᾷ ἡ λέξις Βεελζεβοὺλ (=θεὸς μυῖα), ἦτο δὲ φοινικικὴ ἢ φιλισταϊκὴ θεότης. Εἰς τὴν Καινὴν Διαθήκην, ὅπου ἀναφέρεται, σημαίνει τὸν ἄρχοντα τῶν δαιμονίων, τὸν Σατανᾶν.
4. Τὰ τέκνα τοῦ Ἰωσὴφ ἐκ προηγουμένου γάμου.

λόγον δὲν ἔκανε θαύματα; Διότι δὲν ἀπέβλεπε νὰ κάνῃ ἐπίδειξιν τῆς δυνάμεώς του, ἀλλὰ πρὸς τὸ συμφέρον ἐκείνων. Ἐπειδὴ λοιπὸν αὐτὸ δὲν παρουσίαζε πρόοδον, διὰ τοῦτο παρέβλεψε τὸ ἰδικόν του, ὥστε νὰ μὴ γίνῃ αἰτία καὶ αὐξηθῇ ἡ τιμωρία των. Καὶ πρόσεξε βέβαια μετὰ ἀπὸ πόσον χρόνον ἦλθε πρὸς αὐτοὺς καὶ μετὰ ἀπὸ πόσα θαύματα, καὶ παρὰ ταῦτα ὅμως δὲν συνῆλθαν οὔτε καὶ ἔτσι, ἀλλ' ἐξηκολούθει ὁ φθόνος των νὰ τοὺς κατακαίῃ.

Διατί λοιπὸν ἐδῶ ἔκανε ὀλίγα μόνον θαύματα; Διὰ νὰ μὴ λέγουν· «Ἰατρὲ θεράπευσε τὸν ἑαυτόν σου»[2]· διὰ νὰ μὴ λέγουν, μᾶς πολεμᾷ, εἶναι ἐχθρός μας καὶ περιφρονεῖ τοὺς ἰδικούς του· διὰ νὰ μὴ λέγουν, ὅτι ἐὰν εἶχαν γίνει θαύματα, θὰ ἦτο δυνατὸν καὶ ἡμεῖς νὰ πιστεύσωμεν. Διὰ τοῦτο καὶ ἔκανε θαύματα ἀλλὰ καὶ κατὰ τρόπον συγκρατημένον. Καὶ τοῦτο, ἀφ' ἑνὸς μὲν διὰ νὰ ἐκπληρώσῃ τὸ χρέος του, ἀφ' ἑτέρου δὲ διὰ νὰ μὴ εἶναι πάρα πολὺ μεγάλη ἡ καταδίκη των. Σκέψου δὲ τὴν δύναμιν τῶν λόγων του, διότι μολονότι βέβαια κατείχοντο ἀπὸ φθόνον, παρὰ ταῦτα τὸν ἐθαύμαζον. Ἀλλ' ὅπως ἀκριβῶς εἰς τὴν περίπτωσιν τῶν ἔργων του δὲν κατηγοροῦν αὐτὸ ποὺ συνέβαινεν, ἀλλ' ἐπινοοῦν ἀνυπάρκτους αἰτίας, λέγοντες· «Ἐν ὀνόματι τοῦ Βεελζεβοὺλ[3] ἐκβάλλει τὰ δαιμόνια», ἔτσι καὶ τώρα δὲν κατηγοροῦν τὴν διδασκαλίαν του, ἀλλὰ καταφεύγουν εἰς τὴν ταπεινὴν καταγωγήν του.

Σὺ ὅμως, σὲ παρακαλῶ, πρόσεξε τὴν ἐπιείκειαν τοῦ διδασκάλου, πῶς δηλαδὴ δὲν τοὺς ὑβρίζει, ἀλλὰ καὶ μὲ πολλὴν ἠπιότητα τοὺς λέγει· «Δὲν ὑπάρχει πορφήτης ποὺ νὰ περιφρονῆται, παρὰ μόνον εἰς τὴν πατρίδα του». Καὶ δὲν ἠρκέσθη εἰς αὐτὸ καὶ μόνον, ἀλλὰ προσέθεσε, «καὶ εἰς τὴν οἰκίαν του». Ἔχω τὴν γνώμην ὅτι αὐτὸ τὸ προσέθεσεν ὑπονοῶν τοὺς ἀδελφούς του[4].

2. Κατὰ τὸν Λουκᾶν ὅμως ἀναφέρει καὶ παραδείγματα πρὸς τὸν σκοπὸν αὐτόν, λέγων, ὅτι οὔτε ὁ Ἠλίας μετέβη πρὸς τοὺς ἰδικούς του, ἀλλὰ μετέβη πρὸς τὴν χώραν ποὺ προήρχετο ἀπὸ ἄλλην φυλήν. Οὔτε καὶ ἀπὸ τὸν Ἐλισσαῖον

ραπεύθη λεπρός, ἀλλ' ἢ ὁ ἀλλόφυλος Νεεμάν· Ἰσραηλῖται δὲ οὔτε εὖ ἔπαθον, οὔτε εὖ ἐποίησαν, ἀλλ' οἱ ξένοι. Ταῦτα δὲ λέγει, πανταχοῦ δεικνὺς τὴν πονηρὰν αὐτῶν συνήθειαν, καὶ ὅτι οὐδὲν ἐπ' αὐτοῦ γίνεται καινόν.

5 *«Ἐν ἐκείνῳ τῷ καιρῷ ἤκουσεν Ἡρώδης ὁ τετράρχης τὴν ἀκοὴν Ἰησοῦ». Ὁ γὰρ βασιλεὺς Ἡρώδης ὁ τούτου πατὴρ τετελευτηκὼς ἦν, ὁ τὰ παιδία ἀνελών. Οὐχ ἁπλῶς δὲ τὸν καιρὸν ἐπισημαίνεται ὁ εὐαγγελιστής, ἀλλ' ἵνα μάθῃς τὸν τῦφον τοῦ τυράννου καὶ τὴν ὀλιγωρίαν. Οὐδὲ γὰρ ἐν*
10 *προοιμίοις ἔμαθε τὰ κατ' αὐτόν, ἀλλὰ μετὰ χρόνον ἄπειρον. Τοιοῦτοι γὰρ οἱ ἐν δυναστείαις καὶ πολὺν τὸν ὄγκον περιβεβλημένοι· ὀψὲ ταῦτα μανθάνουσι, διὰ τὸ μὴ πολὺν αὐτῶν ποιεῖσθαι λόγον. Σὺ δέ μοι σκόπει ἡλίκον ἡ ἀρετή· ὅτι καὶ τετελευτηκότα αὐτὸν δέδοικε καὶ ὑπὸ τοῦ φόβου*
15 *καὶ περὶ ἀναστάσεως φιλοσοφεῖ. «Εἶπε» γάρ, φησί, «τοῖς παισὶν αὐτοῦ· οὗτός ἐστιν Ἰωάννης, ὃν ἐγὼ ἀπέκτεινα· οὗτος ἀνέστη ἐκ νεκρῶν· καὶ διὰ τοῦτο αἱ δυνάμεις ἐνεργοῦσιν ἐν αὐτῷ».*

Εἶδες τὸν φόβον ἐπιτεταμένον; Οὐδὲ γὰρ τότε ἐξειπεῖν
20 *ἐτόλμησεν ἔξω, ἀλλὰ καὶ τότε τοῖς οἰκέταις λέγει τοῖς ἑαυτοῦ. Ἀλλ' ὅμως καὶ αὕτη ἡ δόξα στρατιωτικὴ καί παράλογος. Καὶ γὰρ καὶ πολλοὶ ἀνέστησαν ἀπὸ νεκρῶν καὶ οὐδεὶς οὐδὲν τοιοῦτον εἰργάσατο. Δοκεῖ δέ μοι καὶ φιλοτιμίας εἶναι καὶ φόβου τὰ ῥήματα. Τοιοῦτον γὰρ αἱ ἄλογοι ψυχαί· ἐναντί-*
25 *ων μίξιν δέχονται παθῶν πολλάκις. Ὁ δὲ Λουκᾶς φησιν, ὅτι οἱ ὄχλοι ἔλεγον· «Οὗτός ἐστιν Ἠλίας ἢ Ἱερεμίας ἢ τῶν*

---

5. Λουκᾶ 4, 27.

ἐθεραπεύθη κανεὶς ἄλλος λεπρὸς παρὰ μόνον ὁ Νεεμὰν ποὺ κατήγετο ἀπὸ ἄλλην φυλήν. Οἱ Ἰσραηλῖται ὅμως οὔτε εὐηργετήθησαν, οὔτε εὐηργέτησαν, ἀλλ' οἱ ξένοι[5]. Αὐτὰ δὲ τὰ λέγει διὰ νὰ φανερώσῃ εἰς κάθε περίπτωσιν τὴν πονηρὰν συνήθειάν των καὶ ὅτι τίποτε τὸ καινούργιον δὲν συμβαίνει τώρα μὲ αὐτόν.

«Κατ' ἐκεῖνον τὸν καιρὸν ὁ Ἡρώδης ὁ Τετράρχης ἐπληροφορήθη τὰ ὅσα διεδίδοντο περὶ τοῦ Ἰησοῦ». Διότι ὁ βασιλεὺς Ἡρώδης, ὁ πατέρας του, ποὺ εἶχε φονεύσει τὰ παιδιά, εἶχεν ἀποθάνει. Ὁ εὐαγγελιστὴς δὲν σημειώνει ἁπλῶς καὶ χωρὶς αἰτίαν τὸν καιρόν, ἀλλὰ διὰ νὰ πληροφορηθῇς τὴν ἀλαζονείαν καὶ τὴν ἀδιαφορίαν τοῦ τυράννου. Διότι δὲν ἐπληροφορήθη ἀπὸ ἐνωρὶς τὰ σχετικὰ μ' αὐτόν, ἀλλὰ μετὰ ἀπὸ πολὺν χρόνον. Τέτοιοι δηλαδὴ εἶναι αὐτοὶ ποὺ κυβερνοῦν καὶ περιβάλλονται ἀπὸ πολὺ μεγάλην ὑλικὴν δύναμιν. Τὰ πληροφοροῦνται αὐτὰ πολὺ ἀργά, ἐπειδὴ δὲν ἀσχολοῦνται καὶ πολὺ μὲ αὐτά. Σὺ ὅμως, σὲ παρακαλῶ, πρόσεξε πόσον σπουδαῖον πρᾶγμα εἶναι ἡ ἀρετή· διότι μολονότι εἶχε πλέον ἀποθάνει ὁ ἐνάρετος, τὸν φοβᾶται, καὶ ἀπὸ τὸν φόβον φιλοσοφεῖ καὶ διὰ τὴν ἀνάστασιν. Διότι, λέγει, «Εἶπεν ὁ Ἡρώδης εἰς τοὺς δούλους του· αὐτὸς εἶναι ὁ Ἰωάννης, τὸν ὁποῖον ἐφόνευσα ἐγώ· αὐτὸς ἀνεστήθη ἀπὸ τοὺς νεκρούς, καὶ διὰ τοῦτο, μέσῳ αὐτοῦ, ἐνεργοῦν θαυματουργικαὶ δυνάμεις».

Εἶδες τὴν ἔκτασιν ποὺ ἔλαβεν ὁ φόβος; Διότι οὔτε καὶ τότε ἐτόλμησε νὰ εἰπῇ κάτι εἰς τὸν ἔξω κόσμον, ἀλλὰ καὶ τότε τὸ λέγει μόνον εἰς τοὺς αὐλικούς του. Καὶ αὐτὴ ὅμως ἡ σκέψις του εἶναι στρατιωτικὴ καὶ παράλογος. Καθόσον καὶ πολλοὶ ἄλλοι ἀνεστήθησαν ἀπὸ τοὺς νεκροὺς καὶ κανεὶς δὲν ἔκανε τίποτε τὸ παρόμοιον. Ἐγὼ νομίζω ὅτι τὰ λόγια αὐτὰ περιέχουν καὶ φιλοτιμίαν καὶ φόβον. Διότι παρόμοιον πρᾶγμα παθαίνουν οἱ παράλογοι ἄνθρωποι, οἱ ὁποῖοι δέχονται πολλὲς φορὲς μέσα των ἀντίθετα πάθη. Ὁ Λουκᾶς ὅμως λέγει ὅτι τὸ πλῆθος ἔλεγεν· «Αὐτὸς εἶναι ὁ Ἠλίας ἢ ὁ Ἱερεμίας ἢ κάποιος ἀπὸ τοὺς ἀρχαίους προφή-

προφητῶν εἷς τῶν ἀρχαίων»· οὗτος δέ, ὡς δή τι τῶν ἄλλων σοφώτερον λέγων, τοῦτο εἴρηκεν. Εἰκὸς δὲ αὐτὸν πρότερον μὲν πρὸς τοὺς λέγοντας αὐτὸν εἶναι τὸν Ἰωάννην (πολλοὶ γὰρ καὶ τοῦτο ἔλεγον) ἀρνεῖσθαι καὶ λέγειν, ὅτι ἐγὼ αὐτὸν ἀπέκτεινα, φιλοτιμούμενον καὶ ἐναβρυνόμενον. Τοῦτο γὰρ καὶ ὁ Μᾶρκος καὶ ὁ Λουκᾶς φησιν, ὅτι ἔλεγεν, ὅτι «Ἐγὼ Ἰωάννην ἀπεκεφάλισα». Τῆς δὲ φήμης ἀρθείσης, λοιπὸν καὶ αὐτὸς τὰ αὐτὰ λέγει τοῖς πολλοῖς. Εἶτα καὶ τὴν ἱστορίαν ἡμῖν ὁ εὐαγγελιστὴς διηγεῖται.

Καὶ τί δήποτε οὐ προηγουμένως αὐτὴν εἰσήγαγεν; Ὅτι καὶ ἡ πᾶσα πραγματεία αὐτοῖς, τὰ περὶ τοῦ Χριστοῦ εἰπεῖν· καὶ οὐδὲν ἐποιοῦντο τούτου πάρεργον ἕτερον, πλὴν εἰ μὴ πάλιν εἰς τὸ αὐτὸ συντελεῖν ἔμελλεν. Οὐκοῦν οὐδ' ἂν νῦν ἐμνημόνευσαν τῆς ἱστορίας, εἰ μὴ διὰ τὸν Χριστὸν καὶ διὰ τὸ λέγειν Ἡρώδην, ὅτι ἀνέστη ἐκεῖνος. Ὁ δὲ Μᾶρκος φησίν, ὅτι σφόδρα ἐτίμα τὸν ἄνδρα ὁ Ἡρώδης, καὶ ταῦτα ἐλεγχόμενος. Τοσοῦτόν ἐστιν ἡ ἀρετή.

Εἶτα διηγούμενος οὕτω φησίν. «Ὁ γὰρ Ἡρώδης κρατήσας τὸν Ἰωάννην, ἔδησεν αὐτὸν καὶ ἔθετο ἐν φυλακῇ, διὰ Ἡρωδιάδα τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ αὐτοῦ. Ἔλεγε γὰρ αὐτῷ ὁ Ἰωάννης· οὐκ ἔξεστί σοι ἔχειν αὐτήν. Καὶ θέλων αὐτὸν ἀποκτεῖναι, ἐφοβήθη τὸν ὄχλον, ὅτι ὡς προφήτην αὐτὸν εἶχον». Καὶ τίνος ἕνεκεν οὐδὲν ἐκείνῃ διαλέγεται, ἀλλὰ τῷ ἀνδρί; Ὅτι κυριώτερος οὗτος ἦν. Ὅρα δὲ πῶς ἀνεπαχθῆ ποιεῖται τὴν κατηγορίαν, ὡς ἱστορίαν διηγούμενος μᾶλλον ἢ κατηγορίαν εἰσάγων. «Γενεσίων δὲ ἀγομένων τοῦ Ἡρώδου», φησίν, «ὠρχήσατο ἡ θυγάτηρ τῆς Ἡ-

6. Λουκᾶ 9, 8.
7. Μάρκ. 6, 16. Λουκᾶ 9, 9.
8. Μάρκ. 6, 20.

τας»[6]. Ὁ Ἡρώδης ὅμως ὡσὰν νὰ ἔλεγε κάτι πιὸ σοφὸν ἀπὸ τοὺς ἄλλους εἶπεν αὐτό. Κατ' ἀρχὴν λοιπὸν αὐτὸς κατὰ πολὺ φυσικὸν λόγον, ὅταν οἱ ἄλλοι ἔλεγαν ὅτι ὁ Ἰησοῦς εἶναι ὁ Ἰωάννης (διότι πολλοὶ τὸ ἰσχυρίζοντο καὶ αὐτό), τὸ ἠρνεῖτο καὶ ἔλεγε μὲ ὑπερηφάνειαν καὶ ἀλαζονείαν, ὅτι ἐγὼ τὸν ἐφόνευσα τὸν Ἰωάννην. Αὐτὸ τὸ διαβεβαιώνει καὶ ὁ Μᾶρκος καὶ ὁ Λουκᾶς, ὅτι δηλαδὴ ἔλεγεν «Ἐγὼ τὸν ἀπεκεφάλισα τὸν Ἰωάννην»[7]. Ὅταν ὅμως ἡ φήμη αὐτὴ ἔπαυσε, τότε πλέον καὶ αὐτὸς εἰς τὸ ἑξῆς λέγει τὰ ἴδια μὲ τὸν πολὺν κόσμον. Ἀκολούθως ὁ εὐαγγελιστὴς μᾶς διηγεῖται καὶ τὴν ἱστορίαν.

Καὶ διατί λοιπὸν δὲν τὴν ἀνέφερε προηγουμένως; Ἐπειδὴ ἡ ὅλη συγγραφικὴ δρᾶσις των ἀπέβλεπεν εἰς τὸ νὰ ἐκθέσῃ τὴν ἱστορίαν τοῦ Χριστοῦ· καὶ δὲν ἔκαμναν τίποτε ἄλλο ποὺ ἦτο ἄσχετον μὲ αὐτό, ἐκτὸς βέβαια ἐὰν καὶ αὐτὸ ἐπρόκειτο νὰ συμβάλλῃ εἰς τὸν σκοπόν των αὐτόν. Συνεπῶς οὔτε τώρα θὰ ἐμνημόνευαν τὴν ἱστορίαν τοῦ Ἰωάννου, ἐὰν δὲν ἐπρόκειτο διὰ τὸν Χριστόν, ἀλλὰ καὶ ἐπειδὴ ἔλεγεν ὁ Ἡρώδης ὅτι ἀνεστήθη ὁ Ἰωάννης. Ὁ Μᾶρκος πάλιν λέγει, ὅτι ὁ Ἡρώδης ἐτιμοῦσε πάρα πολὺ τὸν ἄνδρα, παρὰ τὸ γεγονὸς ὅτι ἠλέγχετο ἀπὸ αὐτόν[8]. Τόσον μεγάλον πρᾶγμα εἶναι ἡ ἀρετή.

Εἰς τὴν συνέχειαν προχωρῶν εἰς τὴν διήγησιν λέγει τὰ ἑξῆς· «Διότι ὁ Ἡρώδης ἀφοῦ τὸν συνέλαβε τὸν Ἰωάννην τὸν ἔδεσε καὶ τὸν ἔβαλεν εἰς τὴν φυλακήν, ἐξ αἰτίας τῆς Ἡρωδιάδος τῆς γυναικὸς τοῦ ἀδελφοῦ του Φιλίππου. Διότι ὁ Ἰωάννης τοῦ ἔλεγε· 'Δὲν σοῦ ἐπιτρέπεται νὰ τὴν ἔχῃς'. Καὶ ἤθελε βέβαια νὰ τὸν φονεύσῃ, ἀλλ' ὅμως ἐφοβήθη τὸ πλῆθος τοῦ λαοῦ, διότι τὸν ἐθεωροῦσεν ὡς προφήτην». Καὶ διατί δὲν λέγει τίποτε εἰς τὴν Ἡρωδιάδα, ἀλλ' ἀπευθύνεται εἰς τὸν ἄνδρα; Ἐπειδὴ αὐτὸς ἦτο πιὸ κατάλληλος. Καὶ πρόσεξε πόσον προσεκτικὰ ἐκθέτει τὴν κατηγορίαν, ὡσὰν νὰ διηγῆται ἱστορίαν μᾶλλον, παρὰ νὰ περιγράφῃ κατηγορίαν. «Ἐνῷ δὲ ἑώρταζεν ὁ Ἡρώδης τὰ γενέθλιά του», λέγει, «ἐχόρευσεν ἡ κόρη τῆς Ἡρωδιάδος πα-

ρωδιάδος ἐν τῷ μέσῳ καὶ ἤρεσε τῷ Ἡρώδῃ». Ὢ συμπόσιον διαβολικόν· ὢ θέατρον σατανικόν· ὢ παράνομος ὄρχησις καὶ μισθὸς ὀρχήσεως παρανομώτερος. Φόνος γὰρ ὁ πάντων φόνων ἐναγέστερος ἐτολμᾶτο καὶ ὁ στεφανοῦσθαι καὶ
5 ἀνακηρύττεσθαι ἄξιος, ἐν τῷ μέσῳ κατεσφάττετο· καὶ τὸ τῶν δαιμόνων τρόπαιον ἐπὶ τῆς τραπέζης ἵστατο. Καὶ ὁ τρόπος δὲ τῆς νίκης τῶν γενομένων ἄξιος. «Ὠρχήσατο» γάρ, φησίν, «ἡ θυγάτηρ τῆς Ἡρωδιάδος ἐν τῷ μέσῳ καὶ ἤρεσε τῷ Ἡρώδῃ. Ὅθεν μεθ' ὅρκου ὤμοσεν αὐτῇ δοῦναι ὃ ἂν αἰτή-
10 σηται. Ἡ δὲ προβιβασθεῖσα ὑπὸ τῆς μητρός, δός μοι, φησίν, ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτιστοῦ».

Διπλοῦν τὸ ἔγκλημα, καὶ ὅτι ὠρχήσατο καὶ ὅτι ἤρεσε, καὶ οὕτως ἤρεσεν ὡς καὶ φόνον λαβεῖν τὸν μισθόν. Εἶδες πῶς ὠμός; πῶς ἀναίσθητος; πῶς ἀνόητος; Ἑαυτὸν μὲν γὰρ
15 ὅρκῳ ὑπεύθυνον ποιεῖ, ἐκείνην δὲ κυρίαν τῆς αἰτήσεως καθίστησιν. Ἐπειδὴ δὲ εἶδε τὸ κακὸν ὅτι ἐξέβη, ἐλυπήθη, φησί· καίτοιγε ἐξ ἀρχῆς ἔδησεν αὐτόν. Τίνος οὖν ἕνεκεν λυπεῖται; Τοιοῦτον ἡ ἀρετή· καὶ παρὰ τοῖς κακοῖς θαύματος καὶ ἐπαίνων ἀξία. Ἀλλ' ὢ τῆς μαινομένης· δέον καὶ αὐτὴν θαυ-
20 μάζειν, δέον προσκυνεῖν, ὅτι ἤμυνε ὑβριζομένῃ, ἡ δὲ καὶ συγκατασκευάζει τὸ δρᾶμα καὶ παγίδα τίθησι καὶ αἰτεῖ χάριν σατανικήν. «Ὁ δὲ ἔδεισε διὰ τοὺς ὅρκους», φησί, «καὶ τοὺς συνανακειμένους». Καὶ πῶς τὸ χαλεπώτερον οὐκ ἔδεισας; Εἰ γὰρ τὸ μάρτυρας ἔχειν ἐπιορκίας ἐδεδοίκεις, πολλῷ
25 μᾶλλον φοβηθῆναι ἐχρῆν σφαγῆς οὕτω παρανόμου μάρτυρας ἔχειν τοσούτους.

3. Ἐπειδὴ δὲ πολλοὺς ἡγοῦμαι καὶ τοῦ ἐγκλήματος, ὅ-

ρουσίᾳ τῶν προσκεκλημένων, πρᾶγμα ποὺ ηὐχαρίστησε τὸν Ἡρώδην». Ὢ διαβολικὸν συμπόσιον· ὢ θέατρον σατανικόν· ὢ παράνομος χορὸς καὶ ἀκόμη πιὸ παράνομη ἡ ἀμοιβὴ τοῦ χοροῦ. Διότι ἐπεχειρεῖτο ὁ πιὸ βδελυρὸς φόνος ἐξ ὅλων τῶν φόνων, καὶ αὐτὸς ποὺ ἦτο ἄξιος νὰ στεφανωθῇ καὶ νὰ ἀνακηρυχθῇ ἡ ἀρετή του κατεσφάζετο παρουσίᾳ ὅλων, τὸ δὲ τρόπαιον τῶν δαιμόνων ἦτο τοποθετημένον ἐπάνω εἰς τὴν τράπεζαν. Ἄξιος δὲ ἦτο καὶ ὁ τρόπος τῆς νίκης αὐτῶν ποὺ συνέβησαν. Διότι, λέγει, «Ἐχόρευσεν ἡ θυγατέρα τῆς Ἡρωδιάδος παρουσίᾳ τῶν προσκεκλημένων, πρᾶγμα ποὺ ηὐχαρίστησε τὸν Ἡρώδην. Διὰ τοῦτο τῆς ὑπεσχέθη μὲ ὅρκον νὰ τῆς δώσῃ ὅ,τι ἤθελε τοῦ ζητήσει. Αὐτὴ δὲ καθοδηγηθεῖσα ἀπὸ τὴν μητέρα της εἶπε· Δῶσε μου ἐπάνω εἰς πιάτον τὴν κεφαλὴν τοῦ Ἰωάννου Βαπτιστοῦ».

Τὸ ἔγκλημα εἶναι διπλόν· καὶ ἐπειδὴ ἐχόρευσε καὶ ἐπειδὴ ἤρεσε καὶ μάλιστα ἤρεσε τόσον πολὺ ὥστε νὰ λάβῃ ὡς μισθὸν φόνον. Εἶδες πόσον ὠμὸς ἦτο; πόσον ἀναίσθητος; πόσον ἀνόητος; Καθόσον τὸν μὲν ἑαυτόν του τὸν καθιστᾷ ὑπεύθυνον νὰ κρατήσῃ τὸν ὅρκον του, ἐνῷ εἰς ἐκείνην παρέχει τὸ δικαίωμα νὰ ζητήσῃ ὅ,τι θέλει. Ἐπειδὴ δὲ εἶδεν, ὅτι διεπράχθη τὸ κακόν, ἐλυπήθη, λέγει· μολονότι βέβαια ἀπὸ τὴν πρώτην στιγμὴν τὸν ἐφυλάκισε. Διὰ ποῖον λόγον λοιπὸν λυπεῖται; Τέτοια εἶναι ἡ ἀρετή· θαυμάζεται καὶ ἐπαινεῖται καὶ ἀπὸ τοὺς κακοὺς ἀκόμη. Ἀλλ' ὢ τὴν μανιακήν! Ἐνῷ ἔπρεπε καὶ αὐτὴ νὰ τὸν θαυμάζῃ, ἐνῷ ἔπρεπε νὰ τὸν προσκυνῇ, ἐπειδὴ τὴν ὑπερασπίζετο ποὺ τὴν ἠτίμαζεν ὁ Ἡρώδης, αὐτὴ ὅμως ἀντιθέτως καὶ βοηθεῖ εἰς τὸ δρᾶμα καὶ τοποθετεῖ παγίδα καὶ ζητεῖ χάριν σατανικήν. «Αὐτὸς ὅμως ἐφοβήθη ἐξ αἰτίας τῶν ὅρκων», λέγει, «καὶ τῶν προσκεκλημένων». Καὶ πῶς δὲν ἐφοβήθης τὸ φοβερώτερον; Διότι ἐὰν ἐφοβήθης ἐπειδὴ θὰ εἶχες μάρτυρας τῆς ἐπιορκίας σου, ἔπρεπε πολὺ περισσότερον νὰ φοβηθῇς ποὺ θὰ εἶχες τόσους μάρτυρας διὰ μίαν τόσον παράνομον σφαγήν.

3. Ἀλλ' ἐπειδὴ ἔχω τὴν ἐντύπωσιν, ὅτι πολλοὶ δὲν

θεν ὁ φόνος ἐτέχθη, τὴν ὑπόθεσιν ἀγνοεῖν, ἀναγκαῖον καὶ τοῦτο ἐξειπεῖν, ἵνα μάθητε τοῦ νομοθέτου τὴν σύνεσιν. Τίς οὖν ἦν ὁ παλαιὸς νόμος, ὃν κατεπάτησε μὲν ὁ Ἡρώδης, ἐξεδίκησε δὲ ὁ Ἰωάννης; Τοῦ τελευτήσαντος ἄπαιδος τὴν
5 *γυναῖκα τῷ ἀδελφῷ δίδοσθαι ἔδει. Ἐπειδὴ γὰρ ἀπαραμύθητον κακὸν ὁ θάνατος ἦν καὶ πάντα ὑπὲρ ζωῆς ἐπραγματεύετο, νομοθετεῖ γαμεῖν τὸν ζῶντα ἀδελφὸν καὶ ἐπ' ὀνόματι τοῦ τετελευτηκότος τὸ τικτόμενον καλεῖν παιδίον, ὥστε μὴ διαπεσεῖν τὴν οἰκίαν τὴν ἐκείνου. Εἰ γὰρ μηδὲ παῖδας*
10 *ἔμελλε καταλιμπάνειν ὁ τετελευτηκώς, ὅπερ μεγίστη τοῦ θανάτου ἐστὶ παραμυθία, ἀνήκεστον ἔμελλεν εἶναι τὸ πένθος. Διὰ δὴ τοῦτο ἐπενόησε τὴν παραψυχὴν ταύτην ὁ νομοθέτης τοῖς ἐκ φύσεως παίδων ἀπεστερημένοις καὶ τὸ τικτόμενον ἐκέλευσεν ἐκείνῳ λογίζεσθαι. Ὄντος δὲ παιδός, οὐκέτι*
15 *ἐφεῖτο οὗτος ὁ γάμος. Καὶ τίνος ἕνεκεν; φησίν· εἰ γὰρ ἑτέρῳ ἐξῆν, πολλῷ μᾶλλον τῷ ἀδελφῷ. Οὐδαμῶς. Βούλεται γὰρ ἐκτείνεσθαι τὴν συγγένειαν καὶ πολλὰς εἶναι τὰς ἀφορμὰς τῆς πρὸς ἀλλήλους οἰκειώσεως.*

Διατί οὖν καὶ ἄπαιδος τελευτήσαντος, οὐκ ἄλλος ἐ-
20 *γάμει; Ὅτι οὐκ ἂν οὕτως ἐνομίσθη τοῦ ἀπελθόντος εἶναι τὸ παιδίον· νυνὶ δὲ τοῦ ἀδελφοῦ σπείροντος, πιθανὸν τὸ σόφισμα ἐγίνετο. Ἄλλως τε οὐδὲ ἀνάγκην εἶχεν ἕτερος τὴν οἰκίαν στῆσαι τοῦ τετελευτηκότος· οὗτος δὲ τὸ ἀπὸ τῆς συγγενείας ἐκέκτητο δικαίωμα. Ἐπεὶ οὖν ὁ Ἡρώδης παιδίον*
25 *ἔχουσαν τὴν γυναῖκα τοῦ ἀδελφοῦ ἔγημε, διὰ τοῦτο ἐγκα-*

---

9. Δευτ. 25, 5-10.

γνωρίζουν τὴν ὑπόθεσιν τοῦ ἐγκλήματος, ἐξ αἰτίας τῆς ὁποίας διεπράχθη ὁ φόνος, διὰ τὸν λόγον αὐτὸν πρέπει νὰ τὴν ἀναφέρωμεν καὶ αὐτὴν διὰ νὰ κατανοήσετε τὴν σύνεσιν τοῦ νομοθέτου. Ποῖος λοιπὸν ἦτο ὁ παλαιὸς νόμος, τὸν ὁποῖον ὁ μὲν Ἡρώδης τὸν κατεπάτησεν, ὁ δὲ Ἰωάννης τὸν ὑπερησπίσθη; Ἔπρεπεν ἡ γυναῖκα αὐτοῦ ποὺ ἐπέθαινε χωρὶς παιδιὰ νὰ δοθῇ εἰς τὸν ἀδελφόν του[9]. Ἐπειδὴ δηλαδὴ ὁ θάνατος ἦτο κακὸν ἀπαρηγόρητον καὶ ἐπεδεικνύετο πολὺ μεγάλη φροντίδα διὰ τὴν ζωήν, ἐθέσπισεν ὁ νομοθέτης νόμον ὁ ἐν ζωῇ ἀδελφὸς νὰ τὴν παίρνῃ ὡς γυναῖκα του τὴν σύζυγον τοῦ ἀποθανόντος καὶ νὰ δίδῃ ὄνομα εἰς τὸ παιδὶ ποὺ θὰ ἐγεννᾶτο τὸ ὄνομα τοῦ ἀποθανόντος, ὥστε νὰ μὴ διαλυθῇ ἡ οἰκία ἐκείνου. Διότι ἐὰν ὁ ἀποθανὼν δὲν ἄφηνε παιδιά, πρᾶγμα ποὺ εἶναι ἡ μεγίστη παρηγορία διὰ τὸν θάνατον, θὰ καθίστατο τὸ πένθος ἀθεράπευτον. Διὰ τοῦτο λοιπὸν ὁ νομοθέτης ἐπενόησεν αὐτὴν τὴν παρηγορίαν δι' ἐκείνους ποὺ ἡ φύσις τοὺς ἐστέρησε τῶν τέκνων, καὶ ἔδωσεν ἐντολὴν τὸ νεογέννητον νὰ θεωρῆται τέκνον τοῦ ἀποθανόντος. Ἐφ' ὅσον ὅμως ὑπῆρχε παιδὶ δὲν ἐπετρέπετο αὐτὸς ὁ γάμος. Καὶ διὰ ποῖον λόγον; θὰ ἐρωτήσῃ κάποιος. Διότι ἐὰν μὲ ἄλλον ἐπετρέπετο νὰ συνάψῃ γάμον, πολὺ περισσότερον ἐπετρέπετο μὲ τὸν ἀδελφόν του. Κάθε ἄλλο. Διότι ὁ νομοθέτης ἐπιθυμεῖ νὰ συνεχισθῇ ἡ συγγένεια καὶ νὰ ὑπάρχουν πολλαὶ ἀφορμαὶ εἰς τὰς μεταξύ των σχέσεις.

Διατί λοιπὸν καὶ ὅταν κανεὶς ἐπέθαινε χωρὶς παιδί, δὲν ἔπαιρνε ἄλλος τὴν χήραν ὡς γυναῖκα του; Ἐπειδὴ ἔτσι δὲν θὰ ἦτο δυνατὸν νὰ θεωρηθῇ τὸ παιδὶ ὅτι ἦτο τοῦ ἀποθανόντος. Ἐνῷ τώρα ποὺ τὸ ἔσπερνεν ὁ ἀδελφός, ἐγίνετο πειστικὸν τὸ σόφισμα. Ἐξ ἄλλου δὲν ἦτο ὑποχρεωμένος κανεὶς ἄλλος νὰ ἀναστήσῃ τὴν οἰκογένειαν τοῦ ἀποθανόντος· ἐνῷ αὐτὸς ἀπέκτα τὸ δικαίωμα αὐτὸ λόγῳ τῆς μετ' αὐτοῦ συγγενείας του. Ἐπειδὴ λοιπὸν ὁ Ἡρώδης ἔλαβεν ὡς γυναῖκα του τὴν γυναῖκα τοῦ ἀποθανόντος ἀδελφοῦ του, μολονότι αὐτὴ εἶχε παιδί, διὰ τοῦτο ὁ Ἰωάννης

λεῖ ὁ Ἰωάννης, καὶ ἐγκαλεῖ συμμέτρως, μετὰ τῆς παρρησίας καὶ τὴν ἐπιείκειαν ἐπιδεικνύμενος

Σὺ δέ μοι σκόπει, ὅπως τὸ θέατρον ὅλον σατανικόν. Πρῶτον μὲν γὰρ ἀπὸ μέθης καὶ τρυφῆς συνειστήκει, ὅθεν
5 *οὐδὲν ἂν γένοιτο ὑγιές. Δεύτερον, τοὺς θεατὰς διεφθαρμένους εἶχε καὶ τὸν ἑστιάτορα ἁπάντων παρανομώτερον. Τρίτον, ἡ τέρψις ἡ παράλογος. Τέταρτον, ἡ κόρη, δι' ἣν παράνομος ἦν ὁ γάμος, ἣν καὶ κρύπτεσθαι ἔδει, ὡς ὑβριζομένης αὐτῆς τῆς μητρός, ἐπεισέρχεται ἐμπομπεύουσα καὶ πόρνας*
10 *ἁπάσας ἀποκρύπτουσα ἡ παρθένος. Καὶ ὁ καιρὸς δὲ οὐ μικρὸν εἰς κατηγορίαν συντελεῖ τῆς παρανομίας ταύτης. Ὅτε γὰρ αὐτὸν εὐχαριστεῖν ἐχρῆν τῷ Θεῷ, ὅτι κατὰ τὴν ἡμέραν ἐκείνην εἰς φῶς αὐτὸν ἤγαγε, τότε τὰ παράνομα ἐκεῖνα τολμᾷ· ὅτε λῦσαι ἐχρῆν δεδεμένον, τότε σφαγὴν τοῖς δεσμοῖς*
15 *προστίθησιν.*

Ἀκούσατε τῶν παρθένων, μᾶλλον δὲ καὶ τῶν γεγαμημένων, ὅσαι ἐκ τοῖς ἑτέρων γάμοις τοιαῦτα ἀσχημονεῖν καταδέχεσθε, ἁλλόμεναι καὶ πηδῶσαι καὶ τὴν κοινὴν καταισχύνουσαι φύσιν. Ἀκούσατε καὶ ἄνδρες ὅσοι τὰ πολυτελῆ
20 *συμπόσια καὶ μέθης γέμοντα διώκετε καὶ δείσατε τοῦ διαβόλου τὸ βάραθρον. Καὶ γὰρ οὕτω κατὰ κράτος εἷλε τὸν ἄθλιον ἐκεῖνον τότε, ὡς ὀμόσαι καὶ τὰ ἡμίση δοῦναι τῆς βασιλείας. Τοῦτο γὰρ ὁ Μᾶρκος φησίν, ὅτι «ὤμοσεν αὐτῇ, ὅτι ὃ ἐάν με αἰτήσῃς, δώσω σοι, ἕως ἡμίσους τῆς βασιλείας*
25 *μου». Τοσούτου τὴν ἀρχὴν ἐτιμᾶτο τὴν ἑαυτοῦ, οὕτω καθάπαξ αἰχμάλωτος ὑπὸ τοῦ πάθους ἐγένετο, ὡς δι' ὄρχησιν αὐτῆς παραχωρῆσαι.*

---

10. Μάρκ. 6, 23.

τὸν κατηγορεῖ, ἡ κατηγορία του ὅμως γίνεται κατὰ πολὺ ἤπιον τρόπον, δεικνύων μαζὶ μὲ τὴν αὐστηρότητά του καὶ τὴν ἐπιείκειάν του.

Σὺ ὅμως, σὲ παρακαλῶ, πρόσεξε ὅτι ἦτο ἡ ὅλη σκηνοθεσία σατανική. Διότι κατὰ πρῶτον τὴν σύστασίν της τὴν ὀφείλει εἰς τὴν μέθην καὶ τὴν ἀπόλαυσιν, ἀπὸ ὅπου δὲν ἦτο δυνατὸν νὰ προέλθῃ κανὲν καλόν. Δεύτερον, οἱ θεαταὶ ἦσαν διεφθαρμένοι καὶ ὁ προσκαλέσας αὐτοὺς πρὸς συνεστίασιν ἦτο ὁ παρανομώτερος ὅλων. Τρίτον, ἡ παράλογος εὐχαρίστησις. Τέταρτον, ἡ κόρη, διὰ τὴν ὁποίαν ἦτο παράνομος ὁ γάμος καὶ ἡ ὁποία ἔπρεπε νὰ κρύπτεται ἐπειδὴ διεσύρετο ἡ τιμὴ τῆς μητέρας της, εἰσέρχεται μὲ πολλὴν ἀδιαντροπιὰν εἰς τὸν χῶρον τῆς διασκεδάσεως, καὶ ξεπερνᾷ, μολονότι ἦτο παρθένος, ὅλας τὰς πόρνας. Καὶ ὁ καιρὸς δὲ συντελεῖ τὰ μέγιστα πρὸς κατηγορίαν αὐτῆς τῆς παρανομίας. Διότι καθ' ὃν χρόνον ὁ Ἡρώδης ἔπρεπε νὰ εὐχαριστῇ τὸν Θεόν, ἐπειδὴ κατὰ τὴν ἡμέραν ἐκείνην τὸ ἔφερεν εἰς φῶς, ἀκριβῶς τότε ἐπιχειρεῖ ἐκεῖνα τὰ παράνομα. Τότε ποὺ ἔπρεπε νὰ τὸν βγάλῃ ἀπὸ τὴν φυλακήν, τότε προσθέτει εἰς τὰ δεσμὰ καὶ τὴν σφαγήν.

Ἀκούσατε ὅσαι ἀπὸ τὰς παρθένους, πολὺ περισσότερον δὲ καὶ ἀπὸ τὰς ὑπανδρευμένας γυναῖκας, ὅσαι καταδέχεσθε νὰ διαπράττετε παρομοίας ἀσχημίας εἰς τοὺς γάμους ἄλλων, ποὺ μὲ τοὺς χοροὺς καὶ τὰ σκιρτήματα κατεντροπιάζετε τὴν ἀνθρωπίνην φύσιν. Ἀκούσατε καὶ οἱ ἄνδρες, ὅσοι ἐπιδιώκετε τὰ πολυτελῆ συμπόσια ποὺ εἶναι γεμᾶτα ἀπὸ μέθην, καὶ φοβηθῆτε τὸ βάραθρον τοῦ διαβόλου. Καθόσον κατὰ τέτοιον τρόπον τότε κατενίκησε τὸν ἄθλιον ἐκεῖνον, ὥστε νὰ ὁρκισθῇ ὅτι θὰ ἔδιδε καὶ τὰ μισὰ τῆς βασιλείας του. Διότι αὐτὸ τὸ ἐπιβεβαιώνει ὁ Μᾶρκος, λέγων· «Ὡρκίσθη εἰς αὐτήν, ὅτι ὅ,τι καὶ ἂν μοῦ ζητήσῃς θὰ σοῦ τὸ δώσω· μέχρι καὶ τὸ ἥμισυ ἀπὸ τὸ βασίλειόν μου»[10]. Τόσον πολὺ ἠγάπα τὴν ἐξουσίαν του, ὥστε νὰ τὴν παραχωρήσῃ, αἰχμαλωτισθεὶς ἀπὸ τὸ πάθος του, δι' ἕνα καὶ μόνον χορόν της.

Καὶ τί θαυμάζεις, εἰ τότε ταῦτα ἐγίνετο, ὅπου γε καὶ νῦν, μετὰ τοσαύτην φιλοσοφίαν, ὀρχήσεως ἕνεκεν τῶν μαλακιζομένων τούτων νέων πολλοὶ καὶ τὰς ψυχὰς αὐτῶν ἐπιδιδόασιν, οὐδὲ ἀνάγκην ἔχοντες ὅρκου; Ὑπὸ γὰρ τῆς ἡδο-
5 *νῆς αἰχμάλωτοι γινόμενοι, καθάπερ βοσκήματα ἄγονται, ἧπερ ἂν ὁ λύκος σύρῃ. Ὃ δὴ καὶ τότε ἔπασχεν ὁ παραπλὴξ ἐκεῖνος, δύο τὰ ἔσχατα παραφρονήσας· τό τε ἐκείνην κυρίαν ποιῆσαι οὕτω μαινομένην καὶ μεθύουσαν τῷ πάθει, καὶ οὐδὲν παραιτουμένην· τό τε ἀνάγκῃ ὅρκου καταδῆσαι*
10 *τὸ πρᾶγμα. Ἀλλ' οὕτως ὄντος ἐκείνου παρανόμου, παρανομώτερον ἁπάντων τὸ γύναιον ἦν, καὶ τῆς κόρης καὶ τοῦ τυράννου. Καὶ γὰρ ἡ τῶν κακῶν ἁπάντων ἀρχιτέκτων καὶ τὸ πᾶν ὑφάνασα δρᾶμα αὕτη ἦν, ἣν μάλιστα χάριν εἰδέναι ἐχρῆν τῷ προφήτῃ. Καὶ γὰρ ἡ θυγάτηρ αὐτῇ πεισθεῖσα καὶ*
15 *ἠσχημόνησε καὶ ὠρχήσατο καὶ τὸν φόνον ᾔτησε· καὶ ὁ Ἡρώδης ὑπ' αὐτῆς ἐσαγηνεύθη.*

Ὁρᾷς πῶς δικαίως ἔλεγεν ὁ Χριστός· «Ὁ φιλῶν πατέρα ἢ μητέρα ὑπὲρ ἐμέ, οὐκ ἔστι μου ἄξιος»; Εἰ γὰρ αὕτη τὸν νόμον τοῦτον ἐτήρησεν, οὐκ ἂν τοσούτους παρέβη νόμους,
20 *οὐκ ἂν τὴν μιαιφονίαν ταύτην εἰργάσατο. Τί γὰρ τῆς θηριωδίας ταύτης χεῖρον γένοιτ' ἄν; φόνον ἐκ χάριτος αἰτεῖν μέρει, φόνον παράνομον, φόνον μεταξὺ δείπνου, φόνον δημοσίᾳ καὶ ἀναισχύντως; Οὐ γὰρ ἰδίᾳ προσελθοῦσα διελέχθη περὶ τούτων, ἀλλὰ δημοσίᾳ, καὶ τὸ προσωπεῖον ῥίψασα, γυ-*
25 *μνῇ τῇ κεφαλῇ καὶ τὸν διάβολον λαβοῦσα συνήγορον, οὕτω φησὶν ὅ φησι. Καὶ γὰρ ἐκεῖνος αὐτὴν καὶ εὐδοκιμῆσαι ἐ-*

11. Ματθ. 10, 37.

Καὶ διατί θαυμάζεις, ἂν τότε συνέβαιναν αὐτά, καθ' ἣν στιγμὴν καὶ τώρα ἀκόμη, μετὰ ἀπὸ τόσον ἀνωτέραν διδασκαλίαν, πολλοὶ ἀπὸ αὐτοὺς τοὺς ἀποχαυνωμένους νέους καὶ τὰς ψυχάς των προσφέρουν χάριν τοῦ χοροῦ, μὴ ἔχοντες οὔτε κἂν ἀνάγκην ἀπὸ ὅρκον; Διότι καθιστάμενοι αἰχμάλωτοι τῆς ἡδονῆς ὁδηγοῦνται ὅπου ἤθελε τοὺς σύρει ὁ λύκος. Καὶ ἀκριβῶς αὐτὸ ἔπαθε τότε καὶ ἐκεῖνος ὁ παράφρων, ὁ ὁποῖος ἐπέδειξε παραφροσύνην διὰ δύο περιπτώσεις ἀπὸ τὰς πλέον χειροτέρας· καὶ μὲ τὸ ὅτι ἔδωσεν ἐξουσίαν εἰς ἐκείνην, ποὺ εἶχε κυριευθῆ ἀπὸ τόσην τρέλλαν καὶ μέθην ἐξ αἰτίας τοῦ πάθους της καὶ δὲν ἔκανε καμμίαν ὑποχώρησιν, καὶ μὲ τὸ νὰ κατοχυρώσῃ τὴν ὑπόσχεσιν ποὺ ἔδωσεν ἐξαναγκασθεὶς ἀπὸ τὸν ὅρκον του. Ἂν ὅμως ἐκεῖνος πράγματι ὑπῆρξε τόσον παράνομος, παρανομώτερον ὅλων ὑπῆρξε τὸ γύναιον ἐκεῖνο καὶ ἀπὸ τὴν κόρην καὶ ἀπὸ τὸν τύραννον. Καθόσον αὐτὴ ἦτο ἡ ἀρχιτέκτων ὅλων τῶν κακῶν καὶ αὐτὴ ἐξύφανεν ὁλόκληρον τὸ δρᾶμα, ἡ ὁποία μάλιστα ἔπρεπε νὰ χρεωστᾷ χάριν εἰς τὸν προφήτην. Διότι πράγματι ἡ θυγατέρα της ἀπὸ αὐτὴν ἐπείσθη καὶ διέπραξεν αὐτὰς τὰς ἀσχημίας καὶ ἐχόρευσε καὶ ἐζήτησε τὸν φόνον, ἀλλὰ καὶ ὁ Ἡρώδης ἀπὸ αὐτὴν ἐσαγηνεύθη.

Βλέπεις ὅτι ὁ Χριστὸς εἶχε δίκαιον ὅταν ἔλεγεν· «Αὐτὸς ποὺ ἀγαπᾷ τὸν πατέρα ἢ τὴν μητέρα του περισσότερον ἀπὸ ἐμένα, δὲν μοῦ εἶναι ἄξιος»[11]; Διότι ἂν αὐτὴ ἐτηροῦσεν αὐτὸν τὸν νόμον δὲν θὰ παρέβαινε τόσους ἄλλους νόμους, δὲν θὰ διέπραττεν αὐτὸν τὸν μιαρὸν φόνον. Διότι πράγματι τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ χειρότερον ἀπὸ αὐτὴν τὴν θηριωδίαν; φόνον ποὺ τὸν ζητεῖ εἰς τὴν θέσιν τῆς χάριτος, φόνον παράνομον, φόνον ἐν ὥρᾳ δείπνου, φόνον ποὺ διαπράττεται δημοσίᾳ καὶ κατὰ τρόπον πολὺ ἀναίσχυντον. Διότι δὲν ἐπῆγεν εἰς τὸν Ἡρώδην διὰ νὰ συζητήσῃ δι' αὐτὰ μαζί του ἰδιαιτέρως, ἀλλὰ παρουσίᾳ ὅλων, καὶ ἀφοῦ ἀπέβαλε τὸ προσωπεῖον καὶ ἔμεινε μὲ γυμνὴν τὴν κεφαλήν, λαβοῦσα ὡς συνήγορον τὸν διάβολον, λέγει κατ αὐτὸν τὸν τρόπον αὐτὰ ποὺ λέγει. Καθόσον ὁ διάβολος εἰ-

ποίησεν ὀρχουμένην, καὶ τὸν Ἡρώδην τότε ἑλεῖν. Ἔνθα γὰρ ὄρχησις, ἐκεῖ διάβολος. Οὐδὲ γὰρ εἰς τοῦτο ἔδωκεν ἡμῖν πόδας ὁ Θεός, ἀλλ' ἵνα εὔτακτα βαδίζωμεν· οὐχ ἵνα ἀσχημονῶμεν, οὐχ ἵνα κατὰ τὰς καμήλους πηδῶμεν, (καὶ γὰρ καὶ
5 *ἐκεῖναι ἀηδεῖς ὀρχούμεναι, μήτιγε δὴ γυναῖκες), ἀλλ' ἵνα σὺν ἀγγέλοις χορεύωμεν. Εἰ γὰρ τὸ σῶμα αἰσχρὸν τοιαῦτα ἀσχημονοῦν, πολλῷ μᾶλλον ἡ ψυχή. Τοιαῦτα ὀρχοῦνται οἱ δαίμονες· τοιαῦτα ἐπιτωθάζουσιν οἱ τῶν δαιμόνων διάκονοι.*

4. Σκόπει δὲ καὶ αὐτὴν τὴν αἴτησιν. «Δός μοι ὧδε
10 *ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτιστοῦ. Εἶδες τὴν ἀπηρυθριασμένην, τὴν ὅλην τοῦ διαβόλου γεγενημένην; Καὶ τοῦ ἀξιώματος μέμνηται καὶ οὐδὲ οὕτως ἐγκαλύπτεται, ἀλλ' ὡς περί τινος ἐδέσματος διαλεγομένη, οὕτω τὴν ἱερὰν ἐκείνην καὶ μακαρίαν αἰτεῖ κεφαλὴν ἐπὶ πίνακος εἰσενεχθῆ-*
15 *ναι. Καὶ οὐδὲ αἰτίαν τίθησιν· οὐδὲ γὰρ εἶχεν εἰπεῖν· ἀλλ' ἁπλῶς τιμηθῆναι ταῖς ἑτέρων ἀξιοῖ συμφοραῖς. Καὶ οὐκ εἶπεν, εἰσάγαγε αὐτὸν ἐνταῦθα, καὶ κατάσφαξον· οὐδὲ γὰρ μέλλοντος τελευτᾶν τὴν παρρησίαν ἤνεγκεν ἄν. Καὶ γὰρ ἐδεδοίκει καὶ κατασφαττομένου τῆς φρικτῆς ἀκοῦσαι φωνῆς·*
20 *οὐδὲ γὰρ ἀποτέμνεσθαι μέλλων ἐσίγησεν ἄν. Διὰ τοῦτό φησι· «Δός μοι ὧδε ἐπὶ πίνακι»· ἰδεῖν γὰρ ἐπιθυμῶ τὴν γλῶτταν ἐκείνην σιγῶσαν Οὐδὲ γὰρ ἀπαλλαγῆναι τῶν ἐλέγχων ἔσπευδε μόνον, ἀλλὰ καὶ ἐπιβῆναι καὶ ἐπιτωθάσαι κειμένῳ. Ὁ δὲ Θεὸς ἠνέσχετο καὶ οὔτε κεραυνὸν ἀφῆκεν ἄνωθεν καὶ*

ναι ἐκεῖνος ποὺ καὶ αὐτὴν ἔκανε νὰ ἐπιτύχῃ εἰς τὸν χορὸν καὶ τὸν Ἡρώδην νὰ τὸν αἰχμαλωτίσῃ τότε. Διότι ὅπου ὑπάρχει χορός, ἐκεῖ εἶναι καὶ ὁ διάβολος. Οὔτε βέβαια ὁ Θεὸς μᾶς ἔδωσε τὰ πόδια διὰ τὸν σκοπὸν αὐτόν, ἀλλὰ διὰ νὰ βαδίζωμεν ὅπως καὶ ὅπου πρέπει· ὄχι διὰ νὰ διαπράττωμεν ἀσχημίας, ὄχι διὰ νὰ πηδῶμεν ὡσὰν τὰς καμήλους (καθόσον καὶ ἐκεῖναι ὅταν χορεύουν προκαλοῦν ἀηδίαν, χωρὶς βέβαια νὰ εἶναι γυναῖκες), ἀλλὰ διὰ νὰ χορεύωμεν μαζὶ μὲ τοὺς ἀγγέλους. Ἐὰν λοιπὸν τὸ σῶμα εἶναι αἰσχρὸν ὅταν διαπράττῃ παρομοίας ἀσχημίας, πολὺ περισσότερον εἶναι ἡ ψυχή. Τέτοιους χοροὺς κάνουν οἱ δαίμονες, παρομοίας ἀσχημοσύνας διαπράττουν οἱ ὑπηρέται τῶν δαιμόνων.

4. Πρόσεξε δὲ καὶ τὴν αἴτησίν της. «Δῶσε μου ἐδῶ ἐπάνω εἰς τὸ πιάτον τὴν κεφαλὴν Ἰωάννου τοῦ βαπτιστοῦ». Εἶδες τὴν ἀδιάντροπην ποὺ δὲν κοκκινίζει ἀπὸ ἐντροπήν, ποὺ ἐδόθη ἐξ ὁλοκλήρου εἰς τὸν διάβολον; Καὶ τὸ ἀξίωμα τοῦ Ἰωάννου ἐνθυμεῖται, ἀλλὰ καὶ οὔτε ἔτσι ἐντρέπεται, ἀλλά, ὡσὰν νὰ ὁμιλῇ διὰ κάποιο φαγητόν, κατὰ τὸν ἴδιον τρόπον ζητεῖ νὰ τῆς φέρουν ἐπάνω εἰς πιάτον τὴν ἱερὰν ἐκείνην καὶ μακαρίαν κεφαλήν. Καὶ δὲν ἐξηγεῖ τὴν αἰτίαν τῆς ἐπιθυμίας οὔτε βέβαια εἶχε καὶ τίποτε νὰ εἰπῇ· ἀλλὰ ἁπλῶς καὶ μόνον ἐπιθυμεῖ νὰ τιμηθῇ μὲ τὰς συμφορὰς τῶν ἄλλων. Καὶ δὲν εἶπε, φέρε τον αὐτὸν ἐδῶ καὶ κατάσφαξέ τον· διότι δὲν εἶχε τὴν δύναμιν ν' ἀντικρύσῃ τὴν παρρησίαν του οὔτε καὶ ὅταν ἀκόμη ἐπρόκειτο ν' ἀποθάνῃ. Καθόσον ἐφοβεῖτο ὅτι θὰ ἤκουε τὴν φωνήν του καὶ τὴν στιγμὴν ἀκόμη ἐκείνην ποὺ θὰ κατεσφάζετο· διότι δὲν ἦτο δυνατὸν νὰ σιωπήσῃ οὔτε καὶ ὅταν ἀκόμη ἐπρόκειτο νὰ ἀποκεφαλισθῇ. Διὰ τοῦτο λέγει· «Δῶσε μου τὴν κεφαλήν του ἐδῶ ἐπάνω εἰς τὸ πιάτον»· διότι ἐπιθυμῶ νὰ ἰδῶ ἐκείνην τὴν γλῶσσαν νὰ σιωπᾷ. Καὶ δὲν ἐνδιαφέρετο βέβαια ἁπλῶς καὶ μόνον ν' ἀπαλλαγῇ ἀπὸ τοὺς ἐλέγχους, ἀλλ' ἀκόμη καὶ νὰ τὸν ποδοπατήσῃ καὶ νὰ τὸν περιπαίξῃ νεκρόν. Ὁ Θεὸς ὅμως ἐπεδείκνυε μακροθυμίαν καὶ δὲν ἔρριψε κεραυνὸν ἀπὸ τὸν οὐρανὸν καὶ οὔτε κατέκαυσε τὸ ἀναίσχυντον πρόσωπόν της,

τὴν ἀναίσχυντον κατέφλεξεν ὄψιν· οὔτε τῇ γῇ διαστῆναι ἐκέλευσε καὶ τὸ πονηρὸν ἐκεῖνο συμπόσιον δέξασθαι· ὁμοῦ καὶ τὸν δίκαιον μειζόνως στεφανῶν καὶ τοῖς μετὰ ταῦτα ἀδίκως τι πάσχουσι πολλὴν καταλιμπάνων παραμυθίαν.

5 *Ἀκούσωμεν τοίνυν ὅσοι δεινὰ πάσχομεν ἐν ἀρετῇ ζῶντες παρὰ πονηρῶν ἀνθρώπων. Καὶ γὰρ καὶ τότε ὁ Θεὸς ἠνείχετο τὸν ἐν ἐρήμῳ, τὸν ἐν τῇ ζώνῃ τῇ δερματίνῃ, τὸν ἐν τριχίνῳ ἱματίῳ, τὸν προφήτην, τὸν τῶν προφητῶν μείζονα, τὸν μηδένα μείζονα ἔχοντα ἐν γεννητοῖς γυναικῶν, καὶ* 10 *κατασφαγῆναι καὶ ὑπ κόρης ἀκολάστου καὶ διεφθαρμένης πόρνης καὶ ταῦτα νόμοις ἀμύνοντα θείοις.*

Ταῦτα τοίνυν λογιζόμενοι, φέρωμεν πάντα γενναίως ὅσα ἂν πάσχωμεν. Καὶ γὰρ καὶ τότε ἡ μιαιοφόνος καὶ παράνομος αὕτη, ὅσον ἀμύνασθαι ἐπεθύμησε τὸν λελυπότα, το- 15 *σοῦτον ἴσχυσε καὶ τὸν θυμὸν ἅπαντα ἐνέπλησε καὶ ὁ Θεὸς συνεχώρει. Καίτοιγε πρὸς αὐτὴν οὐδὲν εἶπεν, οὐδὲ κατηγόρησεν, ἀλλὰ τῷ ἀνδρὶ μόνῳ ἐνεκάλει. Ἀλλὰ τὸ συνειδὸς πικρὸς κατήγορος ἦν. Διὸ καὶ εἰς μείζονα ἐξεβακχεύετο κακά, ἀλγοῦσα καὶ δακνομένη, καὶ κατῄσχυνεν ὁμοῦ πάντας, ἑαυ-* 20 *τήν, τὴν θυγατέρα, τὸν ἀπελθόντα ἄνδρα, τὸν ζῶντα μοιχὸν καὶ τοῖς προτέροις ἐπηγωνίζετο. Εἰ γὰρ ἀλγεῖς, φησιν, ὅτι μοιχεύει, ἐγὼ αὐτὸν ἐργάζομαι καὶ ἀνδροφόνον, καὶ ποιῶ σφαγέα τοῦ ἐγκαλοῦντος.*

Ἀκούσατε ὅσοι πρὸς γυναῖκάς ἐστε ἐπτοημένοι παρὰ 25 *τὸ δέον. Ἀκούσατε ὅσοι ἐπ' ἀδήλοις ὅρκους προτείνετε καὶ ἑτέρους κυρίους ποιεῖτε τῆς ὑμετέρας ἀπωλείας καὶ βάραθρον ἑαυτοῖς κατορύττετε. Καὶ γὰρ καὶ οὗτος οὕτως ἀπώ-*

ἀλλὰ καὶ οὔτε ἐπρόσταξε τὴν γῆν ν' ἀνοίξῃ καὶ νὰ καταπιῇ ἐκεῖνο τὸ ἁμαρτωλὸν συμπόσιον· καὶ ἔτσι καὶ τὸν δίκαιον στεφανώνει μὲ τὸν μεγαλύτερον στέφανον καὶ παραλλήλως ἄφησε μεγάλην παρηγορίαν δι' ὅλους ἐκείνους ποὺ μελλοντικῶς θὰ πάσχουν κάτι ἀδίκως.

Ἂς τὰ ἀκούσωμεν λοιπὸν ὅλοι ὅσοι ζῶμεν ἐναρέτως καὶ ὑφιστάμεθα κακὰ ἀπὸ πονηροὺς ἀνθρώπους. Καθόσον καὶ τότε ὁ Θεὸς ἐδείκνυε μακροθυμίαν δι' αὐτὸν ποὺ ἔζη εἰς τὴν ἔρημον, ποὺ ἐφοροῦσε ζώνην δερματίνην, ποὺ ἐφοροῦσε τὸ τρίχινον ἔνδυμα, ποὺ ἦτο προφήτης, ποὺ ἦτο μεγαλύτερος ἀπὸ ὅλους τοὺς προφήτας, ποὺ μεγαλύτερός του δὲν ὑπῆρξε κανεὶς μεταξὺ αὐτῶν ποὺ ἐγεννήθησαν ἀπὸ γυναῖκας, καὶ νὰ κατασφαγῇ καὶ μάλιστα ἀπὸ ἀκόλαστον κόρην καὶ διεφθαρμένην πόρνην, καὶ ὅλα αὐτὰ καθ' ἣν στιγμὴν ὑπερημύνετο τοὺς θείους νόμους.

Ἀναλογιζόμενοι λοιπὸν ὅλα αὐτά, ἂς ὑποφέρωμεν μὲ γενναιότητα ὅλα ὅσα ὑφιστάμεθα. Καθόσον καὶ τότε ἡ μιαιφόνος αὐτὴ καὶ παράνομος, ὅσον περισσότερον ἐπεθύμησε ν' ἀμυνθῇ ἔναντι αὐτοῦ ποὺ τὴν εἶχε λυπήσει, τόσον περισσότερον ὑπερίσχυσε καὶ ἱκανοποίησεν ὅλον τὸν θυμόν της, καὶ παρὰ ταῦτα ὅμως ὁ Θεὸς ἐδείκνυε μακροθυμίαν. Μολονότι βέβαια ὁ Ἰωάννης πρὸς αὐτὴν δὲν εἶπε τίποτε, οὔτε τὴν κατηγόρησεν, ἀλλ' ἐκατηγόρει μόνον τὸν ἄνδρα της. Ἡ συνείδησίς της ὅμως τῆς ἔγινε πικρὸς κατήγορος. Διὰ τοῦτο καὶ ὡδηγήθη μὲ μεγάλον παραλογισμὸν εἰς μεγαλύτερα κακά, ὑποφέρουσα καὶ καταδαγκωμένη ὑπὸ τῆς μανίας της, καὶ κατεντρόπιαζεν ὅλους μαζί, τὸν ἑαυτόν της, τὴν θυγατέρα της, τὸν ἀποθανόντα ἄνδρα της, τὸν μοιχὸν ποὺ ἦτο ἐν ζωῇ, καὶ κατέβαλε προσπάθειαν νὰ ξεπεράσῃ τοὺς προηγουμένους.

Ἀκούσατε ὅσοι ἐπιδεικνύετε ἀδυναμίαν πρὸς τὰς γυναῖκας μεγαλυτέραν ἀπὸ ὅσον πρέπει. Ἀκούσατε ὅσοι βιάζεσθε νὰ ὁρκισθῆτε διὰ μὴ φανερὰ πράγματα καὶ κάνετε ἄλλους κυρίους τῆς ἀπωλείας σας καὶ σκάπτετε βάραθρον διὰ τὸν ἑαυτόν σας. Διότι καὶ ὁ Ἡρώδης κατ' αὐτὸν τὸν

λετο. Καὶ γὰρ προσεδόκησεν ἀξίαν τινὰ τῶν δείπνων αὐτὴν αἰτεῖν αἴτησιν, καὶ κόρην οὖσαν καὶ ἐν ἑορτῇ καὶ συμποσίῳ καὶ πανηγύρει χάριν αἰτοῦσαν φαιδράν τινα καὶ ἐπίχαριν, οὐ μὴν κεφαλὴν αἰτεῖν· καὶ ἠπατήθη. Ἀλλ' ὅμως οὐδὲν τού-
5 *των αὐτοῦ προστήσεται. Εἰ γὰρ καὶ ἐκείνη θηριομάχων ἀνδρῶν ψυχὴν ἐκτήσατο, ἀλλ' αὐτὸν παραλογισθῆναι οὐκ ἔδει, οὐδὲ τυραννικοῖς οὕτω διακονήσασθαι ἐπιτάγμασι.*

Πρῶτον μὲν γὰρ τίς οὐκ ἂν ἔφριξε τὴν ἱερὰν ἐκείνην κεφαλὴν αἷμα στάζουσαν ὁρῶν ἐπὶ τοῦ δείπνου προκειμένην;
10 *Ἀλλ' οὐχ ὁ παράνομος Ἡρώδης, οὐδὲ ἡ ἐναγεστέρα τούτου γυνή. Τοιαῦται γὰρ αἱ πορνευόμεναι γυναῖκες· ἁπάντων εἰσὶν ἰταμώτεραι καὶ ὠμότεραι. Εἰ γὰρ ἡμεῖς ἀκούοντες ταῦτα φρίττομεν, τί εἰκὸς ἦν ἐκείνην τὴν ὄψιν τότε ἐργάσασθαι; τί παθεῖν τοὺς συνανακειμένους νεοσφαγοῦς κεφαλῆς*
15 *αἷμα στάζον ὁρῶντας ἐν μέσῳ τῷ συμποσίῳ; Ἀλλ' οὐχ ἡ αἱμοβόρος ἐκείνη καὶ ἐρινύων ἀγριωτέρα ἔπαθέ τι πρὸς τὴν θεωρίαν ταύτην, ἀλλὰ καὶ ἐνηβρύνετο· καίτοιγε εἰ καὶ μηδαμόθεν ἄλλοθεν, ἀπὸ τῆς ὄψεως μόνης εἰκὸς ἦν ναρκῆσαι λοιπόν. Ἀλλ' οὐδὲν τοιοῦτον ἔπαθεν ἡ μιαιφόνος καὶ αἱ-*
20 *μάτων διψῶσα προφητικῶν.*

Τοιοῦτον γὰρ ἡ πορνεία· οὐκ ἀσελγεῖς μόνον, ἀλλὰ καὶ μιαιοφόνους ποιεῖ. Αἱ γοῦν μοιχευθῆναι ἐπιθυμοῦσαι καὶ πρὸς σφαγὴν εἰσι παρεσκευασμέναι τῶν ἀδικουμένων ἀνδρῶν· καὶ οὐχ ἕνα μόνον, οὐδὲ δύο, ἀλλὰ καὶ μυρίους
25 *τολμῆσαι φόνους. Καὶ τούτων πολλοὶ μάρτυρές εἰσι τῶν δραμάτων. Ὃ δὴ καὶ ἐκείνη τότε ἐποίησε, προσδοκῶσα λή-*

12. Βλ. Ὁμιλία Μ' ὑποσ. 17.

τρόπον ἐχάθη. Καθόσον δηλαδὴ ἐπερίμενεν ὅτι αὐτὴ θὰ ἐζητοῦσε κάτι ποὺ εἶχε σχέσιν μὲ τὸ δεῖπνον, καὶ ἐπειδὴ ἦτο κόρη καὶ εὑρίσκετο εἰς ἑορτὴν καὶ συμπόσιον καὶ πανήγυριν θὰ ἐζητοῦσε κάποιαν χάριν χαρούμενην καὶ εὐχάριστον, καὶ ὄχι ὅτι θὰ ἐζητοῦσε τὴν κεφαλήν του· καὶ ὅμως ἐξηπατήθη. Παρὰ ταῦτα ὅμως τίποτε ἀπὸ αὐτὰ δὲν θὰ τὸν δικαιολογήσῃ. Διότι ἐὰν ἐκείνη εἶχεν ἀποκτήσει ψυχὴν θηριομάχων ἀνδρῶν, ὅμως αὐτὸς δὲν ἔπρεπε νὰ παραλογισθῇ, οὔτε νὰ γίνῃ ἔτσι ἐκτελεστὴς παρομοίων τυραννικῶν διαταγῶν.

Καὶ πρῶτα - πρῶτα, ποῖος θὰ ἦτο δυνατὸν νὰ μὴ φρίξῃ βλέπων τὴν ἱερὰν ἐκείνην κεφαλήν, ποὺ ἔσταζεν ἀπὸ αἷμα, νὰ εἶναι τοποθετημένη εἰς τὸ δεῖπνον; Δὲν συνέβη ὅμως κάτι παρόμοιον μὲ τὸν παράνομον Ἡρώδην, οὔτε μὲ τὴν πιὸ ἁμαρτωλὴν ἀπὸ αὐτὸν γυναῖκα. Διότι τοιαῦται εἶναι αἱ γυναῖκες ποὺ ἀσκοῦν τὴν πορνείαν· εἶναι αἱ ἀναισχυντότεραι καὶ σκληρότεραι ἀπὸ ὅλους. Διότι ἐὰν ἡμεῖς φρίττωμεν ἀκούοντες αὐτά, τί ἔπρεπε, κατὰ φυσικὴν ἀναλογίαν, νὰ νοιώσῃ ἐκεῖνος τότε ποὺ τὰ ἔβλεπεν αὐτά; τί ἔπρεπε νὰ νοιώσουν οἱ συνδαιτημόνες ἐκεῖνοι βλέποντες εἰς τὸ μέσον τοῦ συμποσίου μίαν νεοσφαγεῖσαν κεφαλὴν ποὺ ἔσταζεν αἷμα; Δὲν ἔπαθεν ὅμως τίποτε ἀπὸ αὐτὸ τὸ θέαμα ἡ αἱμοβόρος ἐκείνη γυναῖκα ποὺ ἦτο ἀγριωτέρα καὶ ἀπὸ τὰς Ἐρινύας[12], ἀλλ' ἀντιθέτως καὶ ὑπερηφανεύετο· μολονότι βέβαια θὰ ἔπρεπε καὶ ἂν ἀπὸ τίποτε ἄλλο, τουλάχιστον ἀπὸ τὸ θέαμα καὶ μόνον νὰ παραλύσῃ. Τίποτε ὅμως παρόμοιον δὲν ἔπαθεν ἡ μιαιφόνος, ποὺ ἐδιψοῦσεν ἀπὸ τὸ προφητικὰ αἵματα.

Διότι τέτοια εἶναι ἡ πορνεία· δὲν καθιστᾷ τοὺς ἀνθρώπους μόνον ἀσελγεῖς, ἀλλὰ καὶ φονιάδες. Βέβαια αὐταὶ ποὺ ἐπιθυμοῦν νὰ διαπράξουν τὴν μοιχείαν εἶναι προετοιμασμέναι νὰ σφάξουν ἀκόμη καὶ τοὺς ἀδικημένους συζύγους των· καὶ εἶναι ἕτοιμαι ὄχι μόνον ἕνα, οὔτε δύο, ἀλλὰ ἀπείρους φόνους νὰ διαπράξουν. Καὶ ὑπάρχουν πολλοὶ μάρτυρες αὐτῶν τῶν δραμάτων. Πρᾶγμα ποὺ καὶ ἐκείνη

σεσθαι λοιπὸν καὶ ἀποκρύψειν τὸ τόλμημα. Οὗ τοὐναντίον ἅπαν ἐξέβαινε· καὶ γὰρ μειζόνως μετὰ ταῦτα ἐβόησεν ὁ Ἰωάννης.

5. Ἀλλὰ πρὸς τὸ παρὸν ἡ κακία μόνον ὁρᾷ, καθάπερ 5 *οἱ πυρέττοντες, ὅταν ψυχρὸν ἀκαίρως αἰτῶσι. Καὶ γὰρ εἰ μὴ ἔσφαξε τὸν κατήγορον, οὐκ ἂν οὕτως ἐξεκαλύφθη τὸ τόλμημα. Οἱ γοῦν μαθηταί, ὅτε αὐτὸν εἰς τὸ δεσμωτήριον ἐνέβαλεν, οὐδὲν τοιοῦτον εἶπον· ὅτε δὲ ἀπέκτεινε, τότε ἠναγκάσθησαν καὶ τὴν αἰτίαν εἰπεῖν. Τὴν γὰρ μοιχαλίδα κρύπτειν ἐ-* 10 *βούλοντο καὶ οὐκ ἤθελον ἐκπομπεύειν τὰς τῶν πλησίον συμφοράς· ἐπειδὴ δὲ εἰς ἀνάγκην ἐνέπεσον τῆς ἱστορίας, τότε λέγουσι τὸ τόλμημα ἅπαν. Ἵνα γὰρ μὴ πονηράν τις ὑποπτεύσῃ τῆς σφαγῆς τὴν αἰτίαν, καθάπερ ἐπὶ Θευδᾶ καὶ Ἰούδα, ἀναγκάζονται καὶ τὴν πρόφασιν εἰπεῖν τοῦ φόνου.* 15 *Ὥστε ὅσῳ ἂν βουληθῇς ἁμαρτίαν συσκιάσαι τῷ τρόπῳ τούτῳ, τοσούτῳ μᾶλλον αὐτὴν ἐκπομπεύεις. Ἁμαρτία γὰρ οὐχ ἁμαρτίας προσθήκῃ κρύπτεται, ἀλλὰ μετανοίᾳ καὶ ἐξομολογήσει.*

Θέα δὲ τὸν εὐαγγελιστήν, πῶς ἀνεπαχθῶς πάντα διη- 20 *γεῖται καὶ ὡς οἷόν τέ ἐστιν αὐτῷ καὶ ἀπολογίαν συντίθησιν. Ὑπὲρ μὲν γὰρ τοῦ Ἡρώδου φησί· «Διὰ τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους», καὶ ὅτι ἐλυπήθη· περὶ δὲ τῆς κόρης, ὅτι «Προβιβασθεῖσα ὑπὸ τῆς μητρός», καὶ ὅτι «Ἤνεγκε τῇ μητρὶ τὴν κεφαλήν»· ὡσανεὶ ἔλεγεν, ἐκείνης τὸ πρόσταγμα* 25 *ἐπλήρου. Οὐ γὰρ ὑπὲρ τῶν κακῶς πασχόντων, ἀλλ' ὑπὲρ τῶν ποιούντων ἀλγοῦσιν οἱ δίκαιοι πάντες, ἐπειδὴ καὶ οὗτοι μάλιστα οἱ πάσχοντές εἰσι κακῶς. Οὐδὲ γὰρ Ἰωάννης ἠδίκητο, ἀλλ' οὗτοι οἱ ταῦτα κατασκευάσαντες οὕτω.*

Τούτους καὶ ἡμεῖς μιμώμεθα καὶ μὴ ἐπεμβαίνωμεν 30 *ταῖς τῶν πλησίον ἁμαρτίαις, ἀλλ' ὅσον ἂν δέῃ, συσκιάζωμεν.*

---

13. Πράξ. 5, 36-37.

τότε τὸ ἔκανε, μὲ τὴν ἐλπίδα νὰ λησμονηθῇ εἰς τὴν συνέχειαν τὸ τόλμημά της καὶ νὰ τὸ ἀποκρύψῃ. Ἀλλ' ὅμως συνέβη τελείως τὸ ἀντίθετον, καθόσον ὁ Ἰωάννης ἐφώναξε μετὰ ἀπὸ αὐτὰ πολὺ πιὸ ἰσχυρότερα.

5. Ἀλλ' ἡ κακία βλέπει μόνον πρὸς τὸ παρόν, ὅπως ἀκριβῶς αὐτοὶ ποὺ ἔχουν πυρετόν, ὅταν ζητοῦν εἰς χρόνον ἀκατάλληλον κάτι τὸ ψυχρόν. Καθότι ἂν δὲν ἔσφαζε τὸν κατήγορον, δὲν θὰ ἀπεκαλύπτετο κατ' αὐτὸν τὸν τρόπον τὸ τόλμημά της. Καὶ πράγματι οἱ μαθηταί του δὲν εἶπαν τίποτε σχετικόν, ὅταν τὸν ἔβαλεν εἰς τὴν φυλακήν, ὅταν ὅμως τὸν ἐφόνευσε τότε ἠναγκάσθησαν νὰ φανερώσουν καὶ τὴν αἰτίαν. Διότι ἤθελαν ν' ἀποκρύψουν τὴν μοιχαλίδα καὶ δὲν ἤθελαν νὰ διαπομπεύουν τὰς συμφορὰς τῶν πλησίον των· ὅταν ὅμως ἐξηναγκάσθησαν ἀπὸ τὰ ἴδια τὰ γεγονότα, τότε ἀποκαλύπτουν ὁλόκληρον τὸ τόλμημα. Διότι διὰ νὰ μὴ ἐκλάβῃ κανεὶς ὡς πονηρὰν τὴν αἰτίαν τῆς σφαγῆς, ὅπως ἀκριβῶς συνέβη ἐπὶ Θευδᾶ καὶ Ἰούδα[13], ἀναγκάζονται νὰ εἰποῦν καὶ τὴν αἰτίαν τοῦ φόνου. Ὥστε καὶ ἂν θελήσῃς νὰ καλύψῃς μίαν ἁμαρτίαν μὲ αὐτὸν τὸν τρόπον, τόσον περισσότερον τὴν διαπομπεύεις. Διότι ἡ ἁμαρτία δὲν κρύπτεται μὲ τὴν διάπραξιν ἄλλης ἁμαρτίας, ἀλλὰ μὲ τὴν μετάνοιαν καὶ τὴν ἐξομολόγησιν.

Πρόσεξε δὲ τὸν εὐαγγελιστήν, πῶς ὅλα τὰ διηγεῖται κατὰ τρόπον μὴ ἐνοχλητικὸν καὶ κάμνει ὅσον τοῦ εἶναι δυνατὸν καὶ ἀπολογίαν. Διότι ὑπὲρ τοῦ Ἡρώδη λέγει· «ἐξ αἰτίας τῶν ὅρκων καὶ τῶν προσκεκλημένων», καὶ ὅτι ἐλυπήθη· διὰ τὴν κόρην δὲ ὅτι «καθωδηγήθη ἀπὸ τὴν μητέρα της», καὶ ὅτι «ἔφερε τὴν κεφαλὴν εἰς τὴν μητέρα της», ὡσὰν δηλαδὴ νὰ ἔλεγεν, ὅτι ἐξεπλήρωνε τὸ πρόσταγμα ἐκείνης. Διότι ὅλοι οἱ δίκαιοι δὲν λυποῦνται δι' αὐτοὺς ποὺ ὑφίστανται κακά, ἀλλὰ δι' αὐτοὺς ποὺ διαπράττουν κακά. Διότι οὔτε καὶ ὁ Ἰωάννης εἶχεν ἀδικηθῇ, ἀλλ' αὐτοὶ ποὺ διέπραξαν αὐτὰ κατ' αὐτὸν τὸν τρόπον.

Ἂς μιμούμεθα λοιπὸν καὶ ἡμεῖς αὐτοὺς καὶ ἂς μὴ ἐπεμβαίνωμεν εἰς τὰς ἁμαρτίας τῶν πλησίον μας, ἀλλ' ὅ-

*Ἀναλάβωμεν φιλόσοφον ψυχήν. Καὶ γὰρ καὶ ὁ εὐαγγελιστὴς ὑπὲρ πόρνης καὶ μιαιφόνου γυναικὸς διαλεγόμενος ἀνεπαχθὴς ἐγένετο, ὡς οἷόν τε ἦν. Οὐδὲ γὰρ εἶπεν, ὑπὸ τῆς μιαιφόνου καὶ ἐναγοῦς, ἀλλά, «Προβιβασθεῖσα ὑπὸ τῆς μη-
5 τρός», ἀπὸ τῶν εὐφημοτέρων καλῶν ὀνομάτων. Σὺ δὲ καὶ ὑβρίζεις καὶ κακηγορεῖς τὸν πλησίον, καὶ οὐκ ἂν ἀνάσχοιό ποτε λελυπηκότος οὕτως ἀδελφοῦ μνησθῆναι, ὡς ἐκεῖνος τῆς πόρνης, ἀλλὰ μετὰ πολλῆς τῆς θηριωδίας καὶ τῶν ὀνειδῶν, τὸν πονηρόν, τὸν κακοῦργον, τὸν ὕπουλον, τὸν ἀνόητον, καὶ
10 πολλὰ ἕτερα χαλεπώτερα τούτων καλῶν. Καὶ γὰρ ἐκθηριούμεθα μᾶλλον καὶ ὡς περὶ ἀλλογενοῦς ἀνθρώπου διαλεγόμεθα, κακίζοντες, λοιδορούμενοι, ὑβρίζοντες. Ἀλλ᾽ οὐχ οἱ ἅγιοι οὕτως· ἀλλὰ θρηνοῦσι μᾶλλον τοὺς ἁμαρτάνοντας, ἢ καταρῶνται.*

15 *Τοῦτο δὴ καὶ ἡμεῖς ποιῶμεν καὶ δακρύωμεν τὴν Ἡρωδιάδα καὶ τοὺς ἐκείνην ζηλοῦντας. Πολλὰ γὰρ καὶ νῦν τοιαῦτα συμπόσια γίνεται· κἂν μὴ Ἰωάννης ἀναιρῆται, ἀλλὰ τοῦ Χριστοῦ τὰ μέλη καὶ πολλῷ χαλεπώτερον. Οὐ γὰρ κεφαλὴν αἰτοῦσιν ἐπὶ πίνακι οἱ νῦν ὀρχούμενοι, ἀλλὰ τὰς ψυ-
20 χὰς τῶν ἀνακειμένων. Ὅταν γὰρ δούλους αὐτοὺς ποιῶσι καὶ εἰς παρανόμους ἔρωτας ἄγωσι καὶ πόρνας ἐπιτειχίζωσιν, οὐχὶ τὴν κεφαλὴν ἀναιροῦσιν, ἀλλὰ τὴν ψυχὴν σφάττουσι, μοιχοὺς ἐργαζόμενοι καὶ θηλυδρίας καὶ πόρνους. Οὐ γὰρ δή μοι ἐρεῖς, ὡς οἰνωμένος καὶ μεθύων καὶ γυναῖκα
25 ὀρχουμένην καὶ αἰσχρολογοῦσαν ὁρῶν, οὐ πάσχεις τι πρὸς αὐτήν, οὐδὲ ἐκφέρῃ πρὸς ἀσωτίαν ὑπὸ τῆς ἡδονῆς ἡττώ-*

σον μᾶς εἶναι δυνατόν, νὰ τὰς καλύπτωμεν. Ἂς ἀποκτήσωμεν εὐσεβῆ ψυχήν. Καθόσον καὶ ὁ εὐαγγελιστὴς ὁμιλῶν διὰ πόρνην καὶ φόνισσαν γυναῖκα, ὡμίλησεν ὅσον τοῦ ἦτο δυνατὸν ἠπιώτερα. Διότι δὲν εἶπεν, ἀπὸ τὴν μιαιφόνον καὶ μυσαρὰν γυναῖκα, ἀλλὰ «καθοδηγηθεῖσα ἀπὸ τὴν μητέρα της», ὀνομάζων αὐτὰς μὲ τὰς πλέον εὐφήμους εἰς τὴν ἀκοὴν λέξεις. Ἐνῷ σὺ καὶ ὑβρίζεις καὶ κακολογεῖς τὸν συνάνθρωπόν σου, καὶ δὲν θὰ σοῦ ἦτο δυνατὸν νὰ ἀνεχθῇς ποτὲ καὶ νὰ ἐνθυμηθῇς κάποιον ἀδελφόν σου ποὺ σὲ ἐλύπησε, κατὰ τὸν τρόπον αὐτὸν ποὺ ὁ εὐαγγελιστὴς ὡμίλησε διὰ τὴν πόρνην, ἀλλὰ θὰ τὸ ἔκανες αὐτὸ μὲ πολλὴν θηριωδίαν καὶ χλευασμούς, καὶ θὰ τὸν ἀποκαλοῦσες πονηρόν, κακοῦργον, ὕπουλον, ἀνόητον καὶ μὲ πολλὰ ἄλλα χειρότερα ἀπὸ αὐτά. Καθόσον πράγματι γινόμεθα θηρία καὶ ὁμιλοῦμεν ὡσὰν νὰ εἶναι κάποιος ἄνθρωπος διαφορετικοῦ φύλου, τὸν κατηγοροῦμεν, τὸν κακολογοῦμεν καὶ τὸν ὑβρίζομεν. Δὲν εἶναι ὅμως παρομοία ἡ συμπεριφορὰ τῶν ἁγίων, ἀλλὰ αὐτοὶ μᾶλλον θρηνοῦν διὰ τοὺς ἁμαρτάνοντας παρὰ τοὺς καταρῶνται.

Αὐτὸ λοιπὸν ἂς πράττωμεν καὶ ἡμεῖς καὶ ἂς θρηνοῦμεν διὰ τὴν Ἡρωδιάδα καὶ δι' ὅλους ἐκείνους ποὺ τὴν μιμοῦνται. Καθόσον πολλὰ παρόμοια συμπόσια γίνονται καὶ σήμερα, καὶ ἂν δὲν εἶναι ὁ Ἰωάννης αὐτὸς ποὺ κατασφάζεται, εἶναι ὅμως τὰ μέλη τοῦ Χριστοῦ, καὶ μάλιστα κατὰ πολὺ χειρότερον τρόπον. Καθόσον αὐτοὶ ποὺ χορεύουν σήμερα δὲν ζητοῦν κεφαλὴν ἐπάνω εἰς πιάτον, ἀλλὰ τὰς ψυχὰς τῶν συνδαιτημόνων των. Διότι ὅταν τοὺς μεταβάλλουν εἰς δούλους καὶ τοὺς ὁδηγοῦν εἰς παρανόμους ἔρωτας καὶ ὑπερασπίζονται πόρνας, δὲν ἀποκόπτουν τὴν κεφαλήν, ἀλλὰ κατασφάζουν τὴν ψυχήν, κάμνοντες μοιχοὺς καὶ θηλυπρεπεῖς καὶ πόρνους. Διότι βέβαια μὴ μοῦ εἰπῇς, ὅτι πίνων καὶ μεθύων καὶ βλέπων γυναῖκα νὰ χορεύῃ καὶ νὰ αἰσχρολογῇ, ὅτι δὲν καταλαμβάνεσαι ἀπὸ κάποιαν αἰσχρὰν ἐπιθυμίαν δι' αὐτήν, οὔτε ὅτι δὲν παρασύρεται πρὸς

μενος. Καὶ πάσχεις ἐκεῖνο τὸ φρικτόν, τὰ μέλη τοῦ Χριστοῦ μέλη πόρνης ποιῶν. Εἰ γὰρ καὶ μὴ ἡ θυγάτηρ Ἡρωδιάδος πάρεστιν, ἀλλ' ὁ δι' ἐκείνης ὀρχησάμενος τότε διάβολος καὶ διὰ τούτων χορεύει νῦν καὶ τὰς ψυχὰς τῶν ἀνακειμένων 5 *αἰχμαλώτους λαβὼν ἄπεισιν. Εἰ δὲ ὑμεῖς δύνασθε μέθης μένειν ἐκτός, ἀλλ' ἑτέρας κοινωνεῖτε ἁμαρτίας χαλεπωτάτης· καὶ γὰρ πολλῶν ἁρπαγῶν τὰ τοιαῦτα γέμει συμπόσια. Μὴ γάρ μοι τὰ παρακείμενα κρέα ἴδῃς, μηδὲ τοὺς πλακοῦντας· ἀλλὰ πόθεν συνείλκεται ἐννόει, καὶ ὄψει ὅτι ἐξ ἐπηρείας* 10 *καὶ πλεονεξίας καὶ βίας καὶ ἁρπαγῆς. Ἀλλ' οὐκ ἔστιν ἐκ τούτων ταῦτα, φησί. Μὴ γένοιτο· οὐδὲ γὰρ ἐγὼ βούλομαι. Πλὴν εἰ καὶ τούτων καθαρεύοι, οὐδὲ οὕτως ἐγκλημάτων τὰ πολυτελῆ δεῖπνα ἀπήλλακται. Ἄκουσον γοῦν καὶ χωρὶς τούτων πῶς ἐγκαλεῖ ὁ προφήτης, οὕτω λέγων· «Οὐαὶ οἱ πίνον-* 15 *τες τὸν διϋλισμένον οἶνον, καὶ τὰ πρῶτα μύρα χριόμενοι». Ὁρᾷς πῶς καὶ τρυφῆς κατηγορεῖ; Οὐδὲ γὰρ πλεονεξίαν ἐνταῦθα αἰτιᾶται, ἀλλ' ἀσωτίαν μόνον.*

6. Καὶ σὺ μὲ εἰς ἀμετρίαν ἐσθίεις, ὁ δὲ Χριστὸς οὐδὲ εἰς χρείαν· σὺ μὲν πλακοῦντας διαφόρους, ἐκεῖνος δὲ οὐδὲ 20 *ἄρτον ξηρόν· σὺ Θάσιον οἶνον, ἐκείνῳ δὲ οὐδὲ ψυχρὸν ἐπέδωκας ποτήριον διψῶντι· σὺ μὲν ἐπὶ στρωμνῆς ἁπαλῆς καὶ πεποικιλμένης, ὁ δὲ ὑπὸ τοῦ κρυμοῦ διαφθείρεται. Διὸ κἂν πλεονεξίας καθαρὰ ᾖ τὰ δεῖπνα, καὶ οὕτως ἐστὶν ἐναγῆ, ὅτι σὺ μὲν ὑπὲρ τὴν χρείαν πάντα ποιεῖς, ἐκείνῳ δὲ οὐδὲ*

---

14. Α' Κορ. 6, 15.
15. Ἀμὼς 6, 6.

τὴν ἀσωτίαν νικώμενος ἀπὸ ἡδονήν. Καὶ παθαίνεις ἐκεῖνο τὸ φρικτόν· μεταβάλλεις τὰ μέλη τοῦ Χριστοῦ εἰς μέλη πόρνης[14]. Διότι καὶ ἂν ἀκόμη δὲν εἶναι παροῦσα ἡ κόρη τῆς Ἡρωδιάδος, παρευρίσκεται ὅμως ὁ διάβολος, ὁ ὁποῖος τότε ἐχόρευσε διὰ μέσου ἐκείνης, καὶ χορεύει τώρα μέσῳ αὐτῶν καὶ ἀναχωρεῖ ἀφοῦ αἰχμαλωτίσῃ τὰς ψυχὰς τῶν συνδαιτημόνων. Ἀλλὰ καὶ ἂν σεῖς ἠμπορεῖτε ν' ἀποφύγετε τὴν μέθην, ἀλλ' ὅμως γίνεσθε κοινωνοὶ ἄλλης πολὺ πιὸ φοβερωτέρας ἁμαρτίας· καθόσον τὰ συμπόσια αὐτὰ εἶναι γεμᾶτα ἀπὸ πολλὰς ἁρπαγάς. Διότι, σὲ παρακαλῶ, μὴ βλέπῃς μόνον τὰ εὑρισκόμενα ἔμπροσθέν σου κρέατα, οὔτε καὶ τὰ γλυκίσματα, ἀλλὰ ἀναλογίσου ἀπὸ ποῦ ἔχουν συγκεντρωθῇ, καὶ τότε θὰ διαπιστώσῃς ὅτι προέρχονται ἀπὸ αἰσχρὰς πράξεις, ἀπὸ πλεονεξίαν, βίαν καὶ ἁρπαγήν. Μὰ θὰ εἰπῇ κάποιος· Αὐτὰ τὰ συμπόσια δὲν προέρχονται ἀπὸ παρομοίας ἐνεργείας. Μὴ γένοιτο· διότι οὔτε καὶ ἐγὼ τὸ ἐπιθυμῶ. Πλὴν ὅμως καὶ ἂν ἀκόμη εἶναι καθαρὰ ἀπὸ αὐτά, οὔτε καὶ ἔτσι εἶναι ἀπηλλαγμένα, τὰ πολυτελῆ δεῖπνα, ἀπὸ ἐγκλήματα. Ἄκουσε λοιπὸν τὰς κατηγορίας τοῦ προφήτου διὰ τὰ συμπόσια αὐτὰ ποὺ εἶναι ἀπηλλαγμένα ἀπὸ ὅλα αὐτά· «Ἀλλοίμονον σεῖς ποὺ πίνετε τὸν καθαρὸν οἶνον καὶ λούζεσθε μὲ τὰ πλέον πολύτιμα μύρα»[15]. Βλέπεις πῶς κατηγορεῖ καὶ τὴν τρυφηλὴν ζωήν; Διότι βέβαια εἰς τὴν περίπτωσιν αὐτὴν δὲν κατακρίνει τὴν πλεονεξίαν, ἀλλὰ τὴν ἀσωτίαν μόνον.

6. Καὶ σὺ μὲν τρώγεις χωρὶς μέτρον, ὁ Χριστὸς ὅμως δὲν ἔτρωγεν οὔτε τὸ πρὸς τὸ ζῆν· σὺ μὲν τρώγεις γλυκίσματα διάφορα, ἐνῷ ἐκεῖνος οὔτε ξηρὸν ἄρτον· σὺ πίνεις θάσιον οἶνον, εἰς ἐκεῖνον ὅμως ποὺ διψᾷ δὲν ἔδωσες οὔτε ἕνα ποτήρι κρύο νερό· σὺ μὲν κοιμᾶσαι εἰς ἁπαλὸν καὶ ποικιλόχρωμον στρῶμα, ἐνῷ ἐκεῖνος πεθαίνει ἀπὸ τὸ ψῦχος. Διὰ τοῦτο καὶ ἂν ἀκόμη εἶναι καθαρὰ τὰ δεῖπνα ἀπὸ πλεονεξίαν, παρὰ ταῦτα εἶναι καὶ πάλι ἁμαρτωλά, καθόσον σὺ μὲν τὰ κάνεις ὅλα χωρὶς νὰ τὰ ἔχῃς ἀνάγκην, εἰς ἐκεῖνον

τὴν χρείαν δίδως, καὶ ταῦτα ἐντρυφῶν τοῖς αὐτοῦ. Ἀλλ' εἰ παιδὸς μὲν ἐπετρόπευες, καὶ λαβὼν τὰ αὐτοῦ, περιέωρας αὐτὸν ἐν τοῖς ἐσχάτοις ὄντα, μυρίους ἂν ἔσχες κατηγόρους, καὶ τὴν ἀπὸ τῶν νόμων ἔδωκας ἂν δίκην· τὰ δὲ τοῦ Χριστοῦ
5 λαβών, καὶ οὕτω μάτην ἀναλίσκων, οὐχ ἡγῇ δώσειν εὐθύνας; Καὶ ταῦτα οὐ περὶ τῶν τὰς πόρνας ταῖς τραπέζαις αὐτῶν ἐπεισαγόντων λέγω (πρὸς γὰρ ἐκείνους οὐδείς μοι λόγος, ὥσπερ οὐδὲ πρὸς τοὺς κύνας)· οὐδὲ περὶ τῶν πλεονεκτούντων καὶ ἑτέρους γαστριζόντων (οὐδὲ γὰρ πρὸς αὐ-
10 τοὺς ἐστί τί μοι κοινόν, ὥσπερ οὐδὲ πρὸς τοὺς χοίρους καὶ τοὺς λύκους)· ἀλλὰ περὶ τῶν ἀπολαυόντων μὲν τῆς ἰδίας οὐσίας, οὐ μεταδιδόντων δὲ ἑτέροις, περὶ τῶν τὰ πατρῷα καταναλισκόντων ἁπλῶς. Οὐδὲ γὰρ οὗτοι κατηγορίας ἐκτός.

Πῶς γάρ, εἰπέ μοι, διαφεύξῃ κατηγορίαν καὶ ἐγκλή-
15 ματα, ὅταν ὁ μὲν παράσιτός σου γαστρίζηται καὶ ὁ κύων παρεστώς, ὁ δὲ Χριστὸς μηδὲ τούτων ἄξιός σοι φαίνηται; ὅταν ὁ μὲν ὑπὲρ γέλωτος τοσαῦτα λαμβάνῃ, ὁ δὲ ὑπὲρ βασιλείας οὐρανῶν οὐδὲ τὸ πολλοστὸν τούτων; καὶ ὁ μὲν ἵνα τι εἴπῃ ἀστεῖον ἐμπλησθεὶς ἀπῆλθεν, οὗτος δὲ διδάξας ἡμᾶς,
20 ἃ μὴ μαθόντες οὐδὲν ἂν τῶν κυνῶν διεφέρομεν, οὐδὲ τῶν αὐτῶν ἀξιοῦται ἐκείνῳ; Φρίττεις ἀκούων; Οὐκοῦν φρῖξον ἐπὶ τῶν ἔργων. Ἔκβαλε τοὺς παρασίτους καί ποίησον συγ-

ὅμως δὲν δίδεις οὔτε τὰ ἀναγκαῖα, καὶ ὅλα αὐτὰ καθ' ἣν στιγμὴν ἀπολαμβάνεις τὰς δωρεάς του. Ἀλλ' ὅμως, ἂν ἤσουν ἐπίτροπος ἀνηλίκου παιδιοῦ καὶ ἀφοῦ ἔπαιρνες ὅλα τὰ ὑπάρχοντά του, τὸ ἄφηνες νὰ δυστυχῇ, θὰ ἦτο δυνατὸν νὰ ἔχῃς ἀπείρους κατηγόρους καὶ θὰ ἐτιμωρεῖσο, συμφώνως πρὸς τοὺς νόμους, ἐνῷ τώρα ποὺ ἔλαβες τὰς δωρεὰς τοῦ Χριστοῦ καὶ τὰς ἐξοδεύεις ἔτσι χωρὶς κανένα σκοπόν, δὲν νομίζεις ὅτι θὰ ἀποδώσῃς λόγον; Καὶ αὐτὰ δὲν τὰ λέγω δι' αὐτοὺς ποὺ προσκαλοῦν πόρνας εἰς τὰ τραπέζια (διότι εἰς αὐτοὺς ὁ λόγος μου δὲν ἔχει καμμίαν θέσιν, ὅπως ἀκριβῶς καὶ εἰς τοὺς σκύλους)· οὔτε τὰ λέγω διὰ τοὺς ἅρπαγας ποὺ κατατρώγουν τοὺς ἄλλους μὲ ἀπληστίαν (διότι οὔτε καὶ μὲ αὐτοὺς ἔχω τίποτε τὸ κοινόν, ὅπως ἀκριβῶς δὲν ἔχω μὲ τοὺς χοίρους καὶ τοὺς λύκους), ἀλλὰ τὰ λέγω δι' ἐκείνους ποὺ ἀπολαμβάνουν μὲν τὴν παρουσίαν των, ἀλλ' ὅμως δὲν δίδουν εἰς τοὺς ἄλλους, δηλαδὴ τὰ λέγω ἁπλῶς καὶ μόνον δι' αὐτοὺς ποὺ κατασπαταλοῦν τὴν πατρικήν των περιουσίαν. Διότι οὔτε καὶ αὐτοὶ ἀπαλλάσσονται τῆς κατηγορίας.

Διότι, εἰπέ μου, πῶς θὰ διαφύγῃς τὴν κατηγορίαν καὶ τὰς ἀφορμὰς διὰ κατηγορίαν ὅταν ὁ μὲν ὁμοτράπεζός σου τρώγει μὲ ὑπὲρ ἀφθονίαν καθὼς καὶ ὁ εὑρισκόμενος δίπλα σου σκύλος, ἐνῷ ὁ Χριστὸς δὲν σοῦ φαίνεται ἄξιος ἀκόμη καὶ δι' αὐτά; ὅταν ὁ μὲν γελωτοποιὸς λαμβάνῃ τόσον μεγάλην ἀμοιβὴν διὰ τὰ γέλια του, ὁ δὲ Χριστὸς ποὺ σοῦ χαρίζει τὴν βασιλείαν τῶν οὐρανῶν δὲν λαμβάνει οὔτε τὸ πολλοστημόριον ἀπὸ αὐτά; καὶ ὁ μὲν γελωτοποιὸς ἐπειδὴ μᾶς εἶπε κάτι τὸ ἀστεῖον ἔφυγε χορτᾶτος, ὁ Χριστὸς ὅμως, ποὺ μᾶς ἐδίδαξεν αὐτά, ποὺ ἂν δὲν τὰ ἐμαθαίναμεν δὲν θὰ διεφέραμεν ὡς πρὸς τίποτε ἀπὸ τοὺς σκύλους, δὲν ἀξίζει νὰ λάβῃ οὔτε ἐκεῖνα ποὺ λαμβάνει αὐτός; Φρίττεις ποὺ τὰ ἀκούς αὐτά; Φρῖξε λοιπὸν καὶ διὰ τὰς πράξεις σου. Ἐκδίωξε αὐτοὺς ποὺ κάθονται εἰς τὴν τράπεζάν σου ὡς παράσιτα καὶ προσπάθησε νὰ ἔχῃς ὁμοτράπεζόν σου τὸν Χριστόν.

κατακλίνεσθαί σοι τὸν Χριστόν. Ἂν ἁλῶν κοινωνήσῃ καὶ τραπέζης, ἥμερος ἔσται σοι δικάζων· οἶδεν αἰδεῖσθαι τράπεζαν. Εἰ γὰρ λησταὶ ἴσασι, πολλῷ μᾶλλον Δεσπότης.

Ἐννόησον γοῦν τὴν πόρνην ἐκείνην πῶς ἀπὸ τραπέζης
5 *ἐδικαίωσε καὶ Σίμωνι ὀνειδίζει λέγων· «Φίλημά μοι οὐκ ἔδωκας». Εἰ γὰρ μὴ ποιοῦντά σε ταῦτα τρέφει, πολλῷ μᾶλλον ποιοῦντα ἀμείψεται. Μὴ πρὸς τὸν πένητα ἴδῃς, ὅτι ρυπῶν προσέρχεται καὶ αὐχμῶν, ἀλλ' ἐννόησον, ὅτι ὁ Χριστὸς δι' ἐκείνου ἐπιβαίνει τῆς σῆς οἰκίας, καὶ παῦσαι τῆς*
10 *ὠμότητος καὶ τῶν ἀπηνῶν ρημάτων, οἷς ἀεὶ πλύνεις τοὺς προσιόντας, ἐπιθέτας, ἀργούς, καὶ ἕτερα χαλεπώτερα τούτων καλῶν. Καὶ λογίζου, ὅταν ταῦτα λέγῃς, οἱ παράσιτοι ποῖα ἔργα κατασκευάζουσι; τί τὴν οἰκίαν ὠφελοῦσι τὴν σήν; Ἡδὺ πάντως σοι ποιοῦσι τὸ ἄριστον; Καὶ πῶς ἡδύ, ραπιζό-*
15 *μενοι καὶ αἰσχρὰ λέγοντες; Καὶ τί τούτου ἀηδέστερον, ὅταν τὸν κατ' εἰκόνα Θεοῦ γενόμενον τύπτῃς καὶ ἐκ τῆς εἰς ἐκεῖνον ὕβρεως τέρψιν ἑαυτῷ συνάγῃς, θέατρον ποιῶν τὴν οἰκίαν καὶ μίμων πληρῶν τὸ συμπόσιον καὶ τοὺς ἐπὶ τῆς σκηνῆς ἐξυρημένους μιμούμενος ὁ εὐγενὴς καὶ ἐλεύθερος;*
20 *Καὶ γὰρ καὶ ἐκεῖ γέλως καὶ ραπίσματα. Ταῦτα οὖν ἡδονὴν καλεῖς, εἰπέ μοι, ἃ πολλῶν ἄξια δακρύων ἐστίν, ἃ πολλῶν θρήνων καὶ οἰμωγῶν; καὶ δέον εἰς βίον αὐτοὺς ἐμβαλεῖν σπουδαῖον, δέον παραινέσαι τὰ δέοντα, σὺ δὲ εἰς ἐπιορκίας καὶ ρήματα ἄτακτα ἐνάγεις, καὶ τέρψιν τὸ πρᾶγμα*

---

16. Λουκᾶ 7, 45.

Ἐὰν τὸν καταστήσῃς κοινωνὸν εἰς τὰ γεύματά σου καὶ εἰς τὴν τράπεζάν σου, θὰ εἶναι ἐπιεικὴς ὅταν θὰ σὲ δικάζῃ· γνωρίζει νὰ σέβεται τὴν φιλοξενίαν. Διότι ἐὰν αὐτὸ τὸ γνωρίζουν οἱ λησταί, πολὺ περισσότερον τὸ γνωρίζει ὁ Κύριος.

Ἀναλογίσου λοιπὸν τὴν πόρνην ἐκείνην, πῶς τὴν ἐδικαίωσεν ὅταν προσεκλήθη εἰς τράπεζαν, καὶ πῶς κατηγορεῖ τὸν Σίμωνα λέγων· «δὲν μοῦ ἔδωσες οὔτε ἕνα φίλημα»[16]. Διότι ἐὰν σὲ τρέφῃ χωρὶς νὰ τὰ κάνῃς αὐτά, πολὺ μεγαλυτέρα θὰ εἶναι ἡ ἀμοιβή σου ὅταν τὰ κάνῃς. Μὴ βλέπῃς τὸν πτωχὸν ποὺ σὲ πλησιάζει λερωμένος καὶ ἀπεριποίητος, ἀλλὰ σκέψου, ὅτι ὁ Χριστὸς διὰ μέσου ἐκείνου εἰσέρχεται εἰς τὴν οἰκίαν σου καὶ παῦσε νὰ εἶσαι ἀπάνθρωπος καὶ νὰ λέγῃς σκληρὰ λόγια, μὲ τὰ ὁποῖα συνήθως περιλούζεις αὐτοὺς ποὺ ζητοῦν τὴν βοήθειάν σου, ἀποκαλῶν αὐτοὺς ἀπατεῶνας, ὀκνηροὺς καὶ μὲ ἄλλα λόγια φοβερώτερα ἀπ' αὐτά. Καὶ νὰ σκέπτεσαι ὅταν λέγῃς αὐτά, ποῖα εἶναι τὰ ἔργα αὐτῶν ποὺ ζοῦν κοντά σου ὡσὰν παράσιτα; εἰς τί ὠφελοῦν τὴν οἰκίαν σου; Κάνουν κατά κάποιον τρόπον εὐχάριστον τὸ φαγητόν σου; Μὰ πῶς εἶναι δυνατὸν νὰ εἶναι εὐχάριστον, καθ' ἣν στιγμὴν ἀλληλοκτηπῶνται καὶ αἰσχρολογοῦν; Καὶ τί θὰ ἠμποροῦσε νὰ ὑπάρξῃ πιὸ δυσάρεστον ἀπὸ αὐτό, ὅταν κτυπᾷς αὐτὸν ποὺ ἐδημιουργήθη κατ' εἰκόνα τοῦ Θεοῦ καὶ νοιώθῃς εὐχαρίστησιν ἀπὸ τὰς ὕβρεις σου πρὸς αὐτόν, μεταβάλλων τὴν οἰκίαν σου εἰς θέατρον, γεμίζων τὸ συμπόσιον μὲ θεατρίνους καὶ μιμούμενος αὐτοὺς ποὺ παρουσιάζονται ἐπάνω εἰς τὴν σκηνὴν ξυρισμένοι, σὺ ὁ εὐγενὴς καὶ ἐλεύθερος; Καθόσον καὶ εἰς τὴν σκηνὴν ὑπάρχουν γέλια καὶ κτυπήματα. Εἰπέ μου λοιπόν, αὐτὰ ὀνομάζεις ἡδονήν, αὐτὰ ποὺ εἶναι ἄξια πολλῶν δακρύων, αὐτὰ ποὺ εἶναι ἄξια πολλῶν θρήνων καὶ ὀδυρμῶν; Καὶ ἐνῷ πρέπει νὰ τοὺς ἐμπνεύσῃς μίαν σπουδαίαν ζωήν, ἐνῷ πρέπει νὰ τοὺς προτρέψῃς διὰ μίαν καθόλα πρέπουσαν ζωήν, σὺ ἀντιθέτως τοὺς ὁδηγεῖς εἰς ἐπιορκίας καὶ εἰς λόγια ἀπρεπῆ, καὶ αὐτὸ τὸ πρᾶγμα τὸ ὀνομάζεις εὐχαρί-

καλεῖς, καὶ τὸ γεέννης πρόξενον, ἡδονῆς εἶναι ὑπόθεσιν νομίζεις; Καὶ γὰρ ὅταν ἀπορήσωσιν ἀστείων ῥημάτων, ὅρκοις καὶ ἐπιορκίαις τὸ πᾶν διαλύονται. Ταῦτα οὖν γέλωτος ἄξια, ἀλλ' οὐκ ὀδυρμῶν καὶ δακρύων; Καὶ τίς ἂν ταῦτα εἴ- 5 *ποι νοῦν ἔχων;*

7. *Καὶ ταῦτα λέγω, οὐ κωλύων τρέφεσθαι αὐτούς, ἀλλὰ μὴ ἐπὶ τοιαύτῃ αἰτίᾳ. Φιλανθρωπίας γὰρ ἡ τροφὴ τὴν ὑπόθεσιν ἐχέτω, μὴ ὠμότητος· ἔλεον, μὴ ὕβριν. Ὅτι πένης ἐστί, θρέψον, ὅτι Χριστὸς τρέφεται, θρέψον· μὴ ἐπειδὴ σα-* 10 *τανικὰ εἰσάγει ῥήματα καὶ τὴν ἑαυτοῦ καταισχύνει ζωήν. Μὴ ἴδῃς αὐτὸν ἔξωθεν γελῶντα, ἀλλὰ τὸ συνειδὸς ἐξέτασον, καὶ τότε ὄψει μυριάκις αὐτὸν ἑαυτῷ καταρώμενον καὶ στένοντα καὶ ὀδυρόμενον. Εἰ δὲ οὐκ ἐπιδείκνυται, καὶ τοῦτο διὰ σέ.*

15 *Ἔστωσαν τοίνυν ἄνθρωποι πένητες καὶ ἐλεύθεροι οἱ σύσσιτοί σου, μὴ ἐπίορκοι, μηδὲ μῖμοι. Εἰ δὲ βούλει καὶ τῆς τροφῆς αὐτοὺς ἀμοιβὴν ἀπαιτῆσαι, κέλευσον, ἂν ἴδωσί τι τῶν ἀτόπων γινόμενον, ἐπιπλῆξαι, περαινέσαι, συναντιλαβέσθαι τῆς κατὰ τὴν οἰκίαν ἐπιμελείας, τῆς τῶν οἰκετῶν* 20 *προστασίας. Παῖδας ἔχεις; Κοινοὶ πατέρες ἔστωσαν ἐκείνων, μετὰ σοῦ τὴν προστασίαν διανεμέσθωσαν, κέρδη σοι φερέτωσαν τὰ τῷ Θεῷ φίλα. Εἰς ἐμπορίαν αὐτοὺς ἔμβαλε πνευματικήν. Κἂν ἴδῃς δεόμενον προστασίας, ἐπίταξον βοηθῆσαι, κέλευσον διακονήσασθαι. Διὰ τούτων θήρευε τοὺς* 25 *ξένους, διὰ τούτων ἔνδυε τοὺς γυμνούς, διὰ τούτων εἰς δεσμωτήριον πέμπε, τὰς ἀνάγκας λύε τὰς ἀλλοτρίας. Ταύτην*

στησιν, καὶ αὐτὸ ποὺ εἶναι πρόξενος τῆς γεέννης, αὐτὸ σὺ τὸ θεωρεῖς ὑπόθεσιν ἡδονῆς; Καθόσον ὅταν τελειώσουν οἱ ἀστεϊσμοί των, διαλύονται μὲ ὅρκους καὶ ἐπιορκίας. Αὐτὰ λοιπὸν εἶναι ἄξια γέλωτος καὶ δὲν εἶναι ἄξια ὀδυρμῶν καὶ δακρύων; Καὶ ποῖος λογικὸς ἄνθρωπος θὰ ἠμποροῦσε νὰ τὰ εἰπῇ ὅλα αὐτά;

7. Καὶ αὐτὰ τὰ λέγω ὄχι διὰ νὰ ἐμποδίσω νὰ τρέφωνται καὶ αὐτοί, ἀλλὰ νὰ μὴ τρέφωνται διὰ παρομοίαν αἰτίαν. Ἂς ἔχῃ δηλαδὴ ἡ διατροφὴ ὡς αἰτίαν της τὴν φιλανθρωπίαν καὶ ὄχι τὴν σκληρότητα· τὴν ἀγάπην καὶ ὄχι τὴν ὕβριν. Θρέψε τον ἐπειδὴ εἶναι πτωχός, θρέψε τον ἐπειδὴ μέσῳ αὐτοῦ τρέφεται ὁ Χριστός, καὶ ὄχι ἐπειδὴ παρουσιάζει σατανικὰ λόγια καὶ καταντροπιάζει τὴν ζωήν του. Μὴ βλέπῃς ἐξωτερικὰ ποὺ φαίνεται γελαστός, ἀλλ' ἐξέτασε τὴν συνείδησίν του καὶ τότε θὰ τὸν ἰδῇς νὰ καταρᾶται ἀμετρήτους φορὰς τὸν ἑαυτόν του καὶ ν' ἀναστενάζῃ καὶ νὰ ὀδύρεται. Ἐὰν ὅμως δὲν τὸ φανερώνῃ καὶ αὐτὸ γίνεται ἐξ αἰτίας σου.

Ἂς εἶναι λοιπὸν αὐτοὶ ποὺ τρώγουν μὲ σένα ἄνθρωποι πτωχοὶ καὶ ἐλεύθεροι, ὄχι ὅμως ἐπίορκοι καὶ γελωτοποιοί. Ἐὰν δὲ θέλῃς νὰ ζητήσῃς ἀμοιβὴν ἀπὸ αὐτοὺς διὰ τὴν τροφὴν ποὺ τοὺς παρέχεις, δῶσε ἐντολήν, ἐὰν ἰδοῦν νὰ συμβαίνῃ τίποτε τὸ ἄτοπον, νὰ ἐπιπλήξουν, νὰ συμβουλεύσουν, νὰ βοηθήσουν εἰς τὴν φροντίδα τῆς οἰκίας, εἰς τὴν προστασίαν τῶν ὑπηρετῶν. Ἔχεις παιδιά; Ἂς γίνουν μαζὶ μὲ ἐσένα πατέρες των, ἂς μοιρασθοῦν μαζὶ μὲ ἐσένα τὴν προστασίαν των, καὶ ἂς σοῦ φέρουν κέρδη ποὺ εἶναι ἀγαπητὰ εἰς τὸν Θεόν. Κάνε τους ν' ἀσχοληθοῦν μὲ πνευματικὸν ἐμπόριον. Καὶ ἂν ἰδῇς κάποιον ποὺ ἔχει ἀνάγκην προστασίας, δῶσε ἐντολὴν νὰ τὸν βοηθήσουν, διάταξε νὰ τὸν ἐξυπηρετήσουν. Μέσῳ αὐτῶν νὰ ψάχνῃς καὶ νὰ εὑρίσκῃς τοὺς ξένους, μὲ αὐτοὺς νὰ ἐνδύῃς τοὺς γυμνούς, μὲ αὐτοὺς νὰ στέλλῃς ἀγαθὰ εἰς τὰς φυλακάς, καὶ νὰ δίδῃς λύσιν εἰς τὰς ξένας ἀνάγκας. Αὐτὴν τὴν ἀμοιβὴν ἂς σοῦ

σοι διδότωσαν τῆς τροφῆς τὴν ἀμοιβήν, τὴν καὶ σὲ καὶ ἐκείνους ὠφελοῦσαν, καὶ οὐδεμίαν κατάγνωσιν ἔχουσαν. Διὰ τούτων καὶ ἡ φιλία σφίγγεται μᾶλλον.

Νῦν μὲν γὰρ κἂν δοκῶσι φιλεῖσθαι, ἀλλ' ὅμως αἰσχύ-
5 *νονται, ὡς εἰκῇ ζῶντες παρὰ σοί· ἂν δὲ ταῦτα ἀνύωσι, καὶ αὐτοὶ ῥᾷδιον διακείσονται καὶ σὺ ἥδιον θρέψεις, ἅτε οὐ μάτην δαπανῶν, κἀκεῖνοι μετὰ παρρησίας σοι συνέσονται καὶ τῆς προσηκούσης ἐλευθερίας, καὶ ἡ οἰκία σου ἀντὶ θεάτρου ἐκκλησία σοι γενήσεται καὶ ὁ διάβολος δραπετεύσει*
10 *καὶ ὁ Χριστὸς εἰσελεύσεται καὶ ὁ τῶν ἀγγέλων χορός. Ὅπου γὰρ ὁ Χριστός, ἐκεῖ καὶ οἱ ἄγγελοι· ὅπου δὲ ὁ Χριστὸς καὶ οἱ ἄγγελοι, ἐκεῖ ὁ οὐρανός, ἐκεῖ φῶς τοῦ ἡλιακοῦ τούτου φαιδρότερον. Εἰ δὲ καὶ ἑτέραν βούλει δι' αὐτῶν καρποῦσθαι παράκλησιν, κέλευσον, σχολὴν ἄγων, βιβλία λαβόν-*
15 *τας τὸν θεῖον νόμον ἀναγινώσκειν. Ἥδιόν σοι ταῦτα ὑπηρετήσονται ἢ ἐκεῖνα. Ταῦτα μὲν γὰρ καὶ σὲ κἀκείνους ποιεῖ σεμνοτέρους· ἐκεῖνα δὲ ἅπαντας ὁμοῦ καταισχύνει· σὲ μὲν ὡς ὑβριστὴν καὶ πάροινον, ἐκείνους δὲ ὡς ἀθλίους καὶ γαστριμάργους. Ἂν μὲν γὰρ ἐφ' ὕβρει τρέφῃς, χαλεπώτερον*
20 *ἢ εἰ ἀνεῖλες· ἂν δὲ ἐπ' ὠφελείᾳ καὶ κέρδει, χρησιμώτερον πάλιν, ἢ εἰ ἀπαγομένους τὴν ἐπὶ θανάτῳ ἐπανήγαγες. Καὶ νῦν μὲν τῶν οἰκετῶν μᾶλλον αὐτοὺς καταισχύνεις, καὶ οἱ οἰκέται πλείονα τούτων ἔχουσι παρρησίαν καὶ ἐλεύθερον συνειδός· τότε δὲ τῶν ἀγγέλων ἐργάσῃ ἴσους.*

25 *Καὶ τούτους τοίνυν καὶ σαυτὸν ἀπάλλαξον, καὶ ἐξελὼν τὸ τῶν παρασίτων ὄνομα, συσσίτους κάλει, καὶ ἐκβαλὼν τὴν*

δίδουν ἔναντι τῆς τροφῆς των, ποὺ καὶ ἐσένα ὠφελεῖ καὶ δὲν ἔχει καμμίαν κατηγορίαν. Μὲ ὅλας αὐτὰς τὰς πράξεις σφίγγεται περισσότερον καὶ ἡ φιλία,

Διότι τώρα καὶ ἂν ἀκόμη νομίζουν ὅτι ἀγαπῶνται, ἀλλ' ὅμως ἐντρέπονται, ἐπειδὴ εὑρίσκονται πλησίον σου χωρὶς σκοπόν· ἂν ὅμως ἐκτελοῦν ὅλα αὐτὰ καὶ οἱ ἴδιοι θὰ μένουν κοντά σου μὲ μεγαλυτέραν ἄνεσιν καὶ σὺ θὰ τοὺς διαθρέψῃς μὲ μεγαλυτέραν εὐχαρίστησιν, ἐπειδὴ δὲν θὰ δαπανᾷς ἄσκοπα, καὶ ἐκεῖνοι θὰ διαμένουν κοντά σου μὲ τὸ θάρρος καὶ τὴν πρέπουσαν ἐλευθερίαν, καὶ ἡ οἰκία σου θὰ καταστῇ, ἀντὶ θεάτρου, ἐκκλησία, καὶ ὁ διάβολος θὰ δραπετεύσῃ καὶ ὁ Χριστὸς θὰ εἰσέλθῃ καὶ μαζὶ μὲ αὐτὸν καὶ ὁ χορὸς τῶν ἀγγέλων. Διότι ὅπου εὑρίσκεται ὁ Χριστός, ἐκεῖ εὑρίσκονται καὶ οἱ ἄγγελοι· ὅπου δὲ εὑρίσκονται ὁ Χριστὸς καὶ οἱ ἄγγελοι, ἐκεῖ ὑπάρχει ὁ οὐρανός, ἐκεῖ φῶς ποὺ εἶναι λαμπρότερον καὶ ἀπὸ τὸ φῶς τοῦ ἡλίου. Ἐὰν δὲ θέλῃς νὰ ἔχῃς καὶ ἄλλην βοήθειαν ἐκ μέρους των, δῶσε ἐντολήν, ὅταν ξεκουράζεσαι, νὰ πάρουν βιβλία καὶ νὰ διαβάζουν τὸν θεῖον νόμον. Μὲ μεγαλυτέραν εὐχαρίστησιν θὰ κάνουν αὐτὰ παρὰ ἐκεῖνα. Διότι αὐτὰ καθιστοῦν καὶ ἐσένα καὶ ἐκείνους σεμνοτέρους, ἐνῷ ἐκεῖνα σᾶς κατεντροπιάζουν ὅλους μαζί· σένα μὲν ὡς ὑβριστὴν καὶ μέθυσον, ἐνῷ ἐκείνους ὡς ἀθλίους καὶ γαστριμάργους. Διότι ἐὰν τοὺς τρέφῃς διὰ νὰ τοὺς ὑβρίζῃς, εἶναι φοβερώτερον ἀπὸ τὸ ἐὰν τοὺς ἐσκότωνες· ἐὰν ὅμως δι' ὠφέλειαν καὶ κέρδος, τότε ἡ προσφορά σου εἶναι περισσότερον χρήσιμος, παρὰ ἐὰν τοὺς ἐπέστρεφες ἐνῷ ὡδηγοῦντο πρὸς τὸν θάνατον. Καὶ τώρα μὲν τοὺς καταντροπιάζεις περισσότερον καὶ ἀπὸ τοὺς ὑπηρέτας, καθόσον οἱ ὑπηρέται σου ἔχουν περισσότερον θάρρος καὶ πιὸ ἐλευθέραν συνείδησιν ἀπὸ αὐτούς, ἐνῷ τότε θὰ τοὺς κάνῃς ἴσους μὲ τοὺς ἀγγέλους.

Ἀπάλλαξε λοιπὸν καὶ αὐτοὺς καὶ τὸν ἑαυτόν σου, καὶ ἀφοῦ τοὺς ἀπαλλάξῃς ἀπὸ τὸ ὄνομα τῶν παρασίτων, ὀνόμαζέ τους ὁμοτραπέζους, καὶ ἀφοῦ ἀπορρίψῃς τὴν ὀνομα-

τῶν κολάκων, τὴν τῶν φίλων ἐπιτίθει προσηγορίαν. Διὰ τοῦτο καὶ τὰς φιλίας ἐποίησεν ὁ Θεός, οὐκ ἐπὶ κακῷ τῶν φιλουμένων καὶ τῶν φιλούντων, ἀλλ' ἐπ' ἀγαθῷ καὶ χρησίμῳ. Αὗται δὲ αἱ φιλίαι πάσης ἔχθρας εἰσὶ χαλεπώτεραι. 5 Παρὰ μὲν γὰρ τῶν ἐχθρῶν, ἂν ἐθέλωμεν, καὶ κερδαίνομεν· παρὰ δὲ τούτων ἀνάγκη καὶ βλάπτεσθαι πάντως.

Μὴ δὴ κάτεχε φίλους, βλάβης διδασκάλους· μὴ κάτεχε φίλους τραπέζης μᾶλλον ἢ φιλίας ἐραστὰς ὄντας. Οἱ γὰρ τοιοῦτοι πάντες, ἂν τὴν τρυφὴν καταλύσῃς, καταλύουσι καὶ 10 τὴν φιλίαν· οἱ δὲ δι' ἀρετήν σοι συνόντες, μένουσι διηνεκῶς, πᾶσαν φέροντες ἀνωμαλίαν. Τὸ δὲ τῶν παρασίτων γένος, καὶ ἀμύνονταί σε πολλάκις καὶ πονηρὰν περιτιθέασι δόξαν. Ἐντεῦθεν γοῦν πολλοὺς τῶν ἐλευθέρων οἶδα πονηρὰς ὑπολήψεις λαβόντας· καὶ οἱ μὲν ἐπὶ γοητείαις, οἱ δὲ ἐπὶ μοι15 χείαις καὶ παίδων διαφθοραῖς διεβλήθησαν. Ὅταν γὰρ μηδὲν ἔργον ἔχωσιν, ἀλλ' εἰκῇ τὸν ἑαυτῶν ζῶσι βίον, ὡς ταῦτα διακονούμενοι τοῖς παισὶ παρὰ πολλοῖς ὑποπτεύονται.

Καὶ δόξης τοίνυν ἑαυτοὺς ἀπαλλάττοντες πονηρᾶς, καὶ πρὸ πάντων τῆς μελλούσης γεέννης, καὶ τὰ τῷ Θεῷ δοκοῦν20 τα ποιοῦντες, τὴν διαβολικὴν ταύτην καταλύσωμεν συνήθειαν, ἵνα καὶ ἐσθίοντες καὶ πίνοντες πάντα εἰς δόξαν Θεοῦ ποιῶμεν, καὶ τῆς παρ' αὐτοῦ δόξης ἀπολαύσωμεν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, νῦν 25 καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

σίαν τῶν κολάκων νὰ τοὺς ἀποκαλῇς φίλους σου. Δι' αὐτὸν τὸν σκοπὸν καὶ ὁ Θεὸς ἔκαμε τὰς φιλίας, ὄχι διὰ τὸ κακὸν τῶν ἀγαπωμένων καὶ τῶν ἀγαπώντων, ἀλλὰ μὲ σκοπὸν τὸ καλὸν καὶ τὸ χρήσιμον. Παρόμοιαι ὅμως φιλίαι εἶναι φοβερώτεραι ἀπὸ κάθε ἄλλην ἔχθραν. Διότι ἀπὸ μὲν τοὺς ἐχθρούς, ἂν θέλωμεν, ἠμποροῦμεν νὰ ἔχωμεν καὶ κέρδος, ἀπὸ αὐτοὺς ὅμως ὁπωσδήποτε ἤμεθα ἀναγκασμένοι νὰ ζημιωνώμεθα.

Ἑπομένως μὴ κρατᾷς πλησίον σου φίλους ποὺ σοῦ εἶναι διδάσκαλοι βλάβης· μὴ κρατᾷς φίλους ποὺ εἶναι περισσότερον ἐρασταὶ τῆς τραπέζης παρὰ τῆς φιλίας, Διότι ὅλοι οἱ παρόμοιοι φίλοι, ἂν θέσῃς τέρμα εἰς τὰς ἀπολαύσεις, θὰ διαλύσουν καὶ τὴν φιλίαν· ἀντιθέτως ὅμως ἐκεῖνοι ποὺ σὲ συναναστρέφονται ἐξ αἰτίας τῆς ἀρετῆς σου, μένουν πλησίον σου συνεχῶς, ὑπομένοντες κάθε δυστυχίαν σου. Ὅμως τὸ γένος τῶν παρασίτων πολλὲς φορὲς καὶ σὲ καταπολεμοῦν καὶ σοῦ προσάπτουν φήμην πονηράν. Ἐξ αἰτίας αὐτοῦ γνωρίζω πολλοὺς ἀπὸ τοὺς ἐλευθέρους ποὺ ἀπέκτησαν κακὴν φήμην, καὶ ἄλλοι μὲν ἐσυκοφαντήθησαν διὰ μαγείας, ἄλλοι δὲ διὰ μοιχείας καὶ διαφθορὰν παιδιῶν. Διότι ὅταν δὲν ἀσχολοῦνται μὲ τίποτε καὶ ζοῦν χωρὶς κανένα σκοπὸν εἰς τὴν ζωήν του, δημιουργοῦν εἰς πάρα πολλοὺς ὑποψίας, δεχόμενοι τὰς περιποιήσεις ὡσὰν νὰ εἶναι παιδιά.

Ἀπαλλάσσοντες λοιπὸν τοὺς ἑαυτούς μας ἀπὸ κακὴν φήμην καὶ πρὸ πάντων ἀπὸ τὴν μέλλουσαν γέενναν, καὶ πράττοντες αὐτὰ ποὺ εἶναι ἀρεστὰ εἰς τὸν Θεόν, ἂς θέσωμεν τέρμα εἰς τὴν διαβολικὴν αὐτὴν συνήθειαν, ὥστε ὅλα νὰ τὰ κάνωμεν πρὸς δόξαν τοῦ Θεοῦ, καὶ νὰ τρώγωμεν καὶ νὰ πίνωμεν, διὰ ν' ἀπολαύσωμεν καὶ τὴν παρ' αὐτοῦ δόξαν, τὴν ὁποίαν εὔχομαι ὅλοι νὰ ἐπιτύχωμεν μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις τώρα καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ε Υ Ρ Ε Τ Η Ρ Ι Α

Διὰ τὰ χωρία καὶ τὰ ὀνόματα τοῦ κειμένου οἱ ἀριθμοὶ παραπέμπουν εἰς σελίδας, ἐνῷ διὰ τὰ χωρία καὶ τὰ ὀνόματα τῶν σχολίων οἱ ἀριθμοὶ παραπέμπουν εἰς σελίδας εὑρίσκονται δὲ ἐντὸς παρενθέσεων.

1. *Εὑρετήριον χωρίων τῆς Γραφῆς*

Γένεσις

3	7	646
	13	714
	16	354
	19	46. 354
	22	314
5-10		732
18	1 ἑ.	492. 732
	7	524
	17	172
	23 ἑ.	172
	27	166
19	1 ἑ.	172
25	8	258
28	20	22
31	1 ἑ.	492
41	1 ἑ.	124

Ἔξοδος

2	24	210
4	2-4	248
12	16	636
32	9	518
	27	496. 518
	32	518

Λευιτικὸν

14	1 ἑ.	152. 154
25	4	312

Ἀριθμοὶ

11	12	520
13		640
14		640
	38	640
15	32-36	634
16		660
16-17		660
22	1 ἑ.	124
	5 ἑ.	124
	21-35	124
23	1 ἑ.	124
25	1 ἑ.	496
26		660
31	20	124

Δευτερονόμιον

6	4	544
25	5-10	866
33	9	500

Ἰησοῦς Ναυῆ

6	1 ἑ.	630
13	22	124

Α΄ Βασιλειῶν

2	30	294
6	1 ἑ.	48
16	7	286
17-18		708
21		52
	1 ἑ.	626
	2	628
22	26-28	630

Β΄ Βασιλειῶν

11		710
	1 ἑ.	710
11-12		202

Γ΄ Βασιλειῶν

1-2		212
2		710
16	29 ἑ.	136
18	21	140
19	18	24
20	1 ἑ.	492
	19	140

Δ΄ Βασιλειῶν

1	2	858
	26	858
5	1 ἑ.	150
	11	336

Β΄ Παραλειπομένων

6	30	286

Ἰώβ

1	5	716
3	25	450
7	16	452
11	6	452
30	25	450
31	1	450
	24-25	448
40	3	458
42	5-6	458

Ψαλμοὶ

2	1-2	542
3	22	314
4	5	716
6	6	544
7	10	286
18	2	34
	5	158
21	7	166
	17	542
	19	542
33	19	846
37	5	616
44	3	224
	12	332
50	6	578
	19	846
68	22	542
75	10	846
76	14	568
77	2	830
79	9	770
85	8	568
106	16	544
	25	252
113	11	186
114	7	354
144	16	22
146	9	22
148	9	34

Παροιμίαι

24	17-18	662
28	1	142

Ἐκκλησιαστὴς

7	2-4	670

Ἠσαΐας

1	3	738
5	1	770
	4	574. 770

6	9	792
11	10	540
13	9	746
14	13	166
35	10	354
36	12	584
37	35	210
41	9	652
42	1-4	652
43	26	692
45	7	46
49	15	58
52	7	400
53	2	224
	7	540. 542
	8	542
	12	542
58	3	320
	7	798
66	2	846

'Ιερεμίας

2	32	738
7	16-17	732
8	4	198
13	10	322
	12	322
17	9	286
42	1 ἑ.	738

'Ιεζεκιὴλ

4		578
5	5 ἑ.	732
16		578
	1 ἑ.	724
	6-24	744
	51	582
18	23	794
20	12	636

Δανιὴλ

2	1 ἑ.	124
	28	124
3	18	456

'Ωσηὲ

6	3	60
	4	60
	6	310. 634. 676
9	7	736

'Αμὼς

3	6	46
6	6	882

Ναοὺμ

2	1	400

Μιχαίας

6	3	292
7	5	498
	6	498

Ζαχαρίας

5	7	616

Μαλαχίας

3	1	562. 570
4	4-5	570

Σοφία Σολομῶντος

3	1	258
6	6	202
16	29	164

Σοφία Σειρὰχ

4	8	518
18	16	526

32	10	846

Ματθαῖος

1	22	158
2	28 ἑ.	282
3	7-9	762
	9	192.196
	10	102
	11	540. 566
	12	378. 814
	14	530
	16	530
	17	530
4	2	826
	4	20
	15	190
	18	190.382
	18-20	302
	18-22	382
	21-22	302
	23-24	146
5	3	612. 844
	8	846
	15	754
	16	822
	21	36
	22	36. 144
	28	144
	32	144
	34-35	36
	44	144
	45	36
	46-47	38
6	4	46
	11	392
	12-15	68
	13 6	36
	17	316
	24	268
	26	392
	33	190
7		66
	6	604. 822
	13	842
	14	612
	18	700
	21-23	122
	22	686
	22-23	412
	28-29	174
	29	282
8	1	190. 224
	2	194
	3	282
	4	186. 288
	5	178
	5-13	178
	8	184. 216. 282
	10-13	370
	11	356
	12	658
	13	186
	15	288
	18	244
	20	48. 822
	26	282. 370
	28	254
	32	288
9	2	344. 370
	4	558
	6	284
	9	382. 384
	9-10	216
	9-11	298
	13	310
	14	534
	15	730
	19	224
	23-24	346
10	3	848
	9	826

	9-10	48
	10	416. 440. 462
	11	416
	12	492
	12-13	416
	14-15	416
	15	432
	16-23	388
	19	392. 462
	22	462. 808
	25	456
	27	76
	30	262
	37	870
	39	614
11	2	228
	4	228
	7	228
	7-8	230
	10	562
	12	94. 600
	16-19	600
	19	306. 566
	23	854
	23-24	602
	29	826
	30	90
12	1-2	644
	2	308
	3	648
	3-4	626. 676
	5	648. 676
	7	676
	10-13	626
	14	626
	16	222
	23	366.628
	24	672. 792
	28-29	828
	41-42	582
	42	566

	47	228
	48	228
13	4	792
	11	832
	19	774
	20-21	774
	22	776
	30	292
	34-35	830
	37-43	832
	55	566
	55-56	760
14	2	140
15	12	788
	16	250
	22	366
	26	56
	27	58
	28	178
16	9	312
	19	64
17	1	382
	9	218
18	15-17	64
	32	72
19	10	80
	25	80
	27	828
	28	196. 848
	30	196
20	30-31	366
21	9-15	366
22	16	316
	36	226
	43-44	212
23	4	66
	14	72
	23	66
	24	66
	34	842
24	14	156

	21	740
25	12	104
	32	842
	35	104
	40	510
	41	106. 108.
	42-46	106
	45	510
26	39	358
27	63	728

Μᾶρκος

1	16-19	382
	29	216
	30	216
	40	148
2	1-2	184
	1-12	170
	4	280
	7	282
	14	298
	26	628
	27	634. 676
3	4	644. 648
	5	648
	6	316. 650
4	13	768
	33	830
	36	244
	38	246
	5	254
	10	254
5	19	376
	36	338
	37	338
6	3	760
	6	862
	10	394
	18	140
	20	862
	23	868
7	25-30	172
9	2	382
12	13	316

Λουκᾶς

1	41	530
2	14	160. 492
3	7	140
	10	140
	12-14	26
	14	140
	16	530
4	23	858
	27	860
	38	216
	41	222
5	19	280
	27	298
	33	314
	36	322
6	1	624
	9	644
	10	648
	15	384
	16	384
	25	670
	30	520
	36	520.636
7	1-10	178
	2	170. 182. 194
	3	178. 180
	4	184
	5	178. 180. 182
	6	182
	7	184
	10	186
	18-19	528
	21	636
	22	228

	24	228
	28	540
	29	580
	45	886
8	2	244
	22	244
	29	254
	31	254
	43	340
	45	344
	46	344
	47	346
	48	346
	49	336. 342
	50	342
	51	338. 352
	51-54	352
	55	350
	55-56	370
9	8	862
	9	140.862
	12	788
	28	382
	50	686
	55	292
	62	234
10	2	834
	7	394
	8	826
	17	604
	20	120. 412. 606
	21	604
11	3	44
	5 ἑ.	54
	15	858
	27	762
	28	762
12	20	258
	47	202
	49	498
14	26	500. 614
	27	614
	33	614
16	19-31	258
	27-31	260
17	18	152
18	2 ἑ.	54
	18	228
	19	228
	22	318
19	5	308
	8	308
	9	308
21	9	96
	15	432
23	40	74

Ἰωάννης

1	3	36
	29	222. 290. 530. 540
	33	530
	44	228. 302
	45	304. 384
	46	384
	48	228
2	3 ἑ.	766
	29	730
3	25	534
	26	534
	29	318
	30	530
4	9	386
	35	834
	37	836
	38	376
	46-47	182
	49	184
5	1 ἑ.	646
	6	278
	5 ἑ.	278
	17	312. 624. 648

7	4	228. 758
	5	758
	6	228
	23	648
	39	380
8	13	538
	39	762
9	1 ἑ.	646
	6-14	624
	14	646
	16	292. 792
10	33	284
	37-38	284
	41	576. 820
11	11	348
	16	384
	22	176
	25	176
	34	350
	40	176
	44	350
13	23	382
	35	414
14	5	384
	6	610
	12	468
	27	400
15	14-15	464
	22	546
16	5-6	418
	12	324
	33	354
17	23	414
19	26	382
20	26-29	384
21	2	228. 384
	16	822

Πράξεις

1	13	228
2	29	628
	41	22
3	1 ἑ.	148
	12	148
4	4	22
	13	384
	16	136
	19	426
	20	138. 426
	32	402
	41	614
5	28	138. 426
	36-37	878.
	41	848
6	15	224
8	9-24	824
	26-39	196
9	4	292
10	1-48	754
12	2	382
	59	258
13	22	822
16	14	754
	27-34	754
17	6	444
	7	444
23	6-7	492
25	13-26	438
	32	438

Ρωμαίους

1	18	548
	28	606
2	8-9	548
	10	548
	12	546. 548
	17-18	118
3	23	314
5	10	640
6	7	236

	17	602
8	6	98
	7	98
	18	614
	24	478
	32	88
	35	614
10	3	604
	12	60
	14	778
	15	400
11	8	496
	17 ἑ.	520
14	4	64
	10	64
16	18	98

Α΄ Κορινθίους

1	1 ἑ.	410
2	14	76
3	7	18
	19	604
5	6	816
	8	636
	1	308
6	15	882
7	32	48
9	7	310
	9	312
	14	312
10	1-5	638
	12	196
	27	826
11	31	692-716
12	31	412. 828
13	2	122
	9	610
14	20	544
15	26	546
	31	444
16	13	810

Β΄ Κορινθίους

1	8	246
	10	246
4	17	92. 614
	18	92
6	4	606
	15	352
7	2	406
8	14	508
10	6	654
11	12	398
12	9	162. 422
	15	406

Γαλάτας

1	13	300
5	4	102
6	8	136
	14	730

Ἐφεσίους

4	2	350
6	12	92

Φιλιππησίους

1	23	104. 258
2	10-11	546
	17-18	620
4	4	588

Κολοσσαεῖς

2	14	540
3	15	158

Β΄ Θεσσαλονικεῖς

3	10	514
	13	514
	15	514
4	16	836

Α΄ Τιμόθεον

2	8	86
5	5	364
	20	64

Β΄ Τιμόθεον

2	25	292
3	5	78
4	2	64
	15	78
	17	438

Τίτον

2	8	294
3	10	78

Φιλήμονα

	1-25	754

Ἑβραίους

3	3	566

Ἰακώβου

2	17	842

Α΄ Πέτρου

2	15	124

Β΄ Πέτρου

3	15	442

Ἰούδα

	11	124

Ἀποκάλυψις

2	14	124

2. *Εὑρετήριον ὀνομάτων καὶ πραγμάτων*

Α

Ἀαρὼν 660. (660).
Ἀβειρὼν 660. (660).
Ἄβελ 662.
Ἀβιάθαρ 628.
Ἀβραὰμ 164. 172. 186. 192. 196. 210. 356. 702. 732. 762. 822.
ἀγαθότης 86. 374. 704.
ἀγάπη 58. 122. 224. 404. 406. 408. 412. 414. 476. 498. 500. 504. 604. 614. 642. 682. 826. 828. 848.
ἄγγελος, -οι 28. 80. 112. 334. 480. 492. 562. 564. 568. 570. 594. 664. 752. 802. 820. 834. 842. 850. 872. 890.
Ἀγρίππας 438. (438).
Ἀδὰμ 414.
Ἅδης 188. 854.
ἀθανασία 354. 356. 486.
Ἀθηναῖος, -οι 436.
Αἰγύπτιος, -οι 548. 638.
Αἴγυπτος 384. 638. 662. 740. 746. 770.
αἱρετικός, -οἱ 96. 230. 806. 810. 814. 844.
ἀκτημοσύνη 26. 404. 618. 820.
Ἀκύλας 754.
ἀλαζονεία 166. 630.
ἀλήθεια 34. 96. 120. 144. 232. 304. 436. 466. 538. 568. 636. 728. 758. 774. 776. 806. 818. 840.
Ἀλφαῖος (298). 382. 384.
ἁμάρτημα 52. 68. 70. 74. 106. 208. 210. 280 .288. 290. 304. 522. 544. 552. 660.692. 742. 748. 768. 794. 850.
ἁμαρτία 74. 210. 212. 220. 222. 282. 284. 286. 288. 290. 302. 370. 518. 526. 530. 540. 546. 582. 588. 602. 610. 614. 620. 640. 656. 658. 686. 690. 706. 712. 826. 878. 882.
Ἀμὼς 854.
ἀναισθησία 238. 268. 802.
ἀναισχυντία 264. 590.
ἀνάστασις 320. 342. 350. 352. 354. 460. 540. 548. 726. 728. 730. 860.
Ἀνδρέας 382. (580).
ἀνεξικακία 132. 622.
Ἀντίοχος 740.
ἀντίχριστος 808.
ἀπάθεια 114.
ἀπιστία 692. 854. 856.
ἀπόγνωσις (208). 772.
ἀποκάλυψις (383). 606.
ἀπόστολος, -οι 130. 136. 138. 166. 382. 386. 388. 456. 568. 584. 678. 692. 752. 794. 808. 818. 826. 828. 836.
ἀπώλεια 54. 90. 262. 450. 596. 774. 776. 808. 842. 874.
ἀρετὴ 60. 66. 90. 96. 112. 114. 120. 126. 128. 130. 134. 136. 138. 142. 164. 166. 198. 212. 276. 294. 402. 412. 424. 466. 484. 612. 620. 664. 684. 720. 732. 752. 754. 756. 762. 764. 778. 798. 822. 824. 826. 848. 860. 862. 864. 892.
Ἀρίστιππος 436. (436).
ἀσέβεια 548.
ἀσέλγεια 136. 590. 740.
ἀσχημοσύνη 332. 802.
ἀσωτία 236. 782. 880. 882.
αὐτεξούσιον 790.
ἄφεσις 68.
Ἀχαὰβ 136.

'Αφρική (384).

Β

Βαβυλὼν 732. 740.
Βαβυλώνιος, -οι 548.
Βαιὼρ (124).
Βαλαὰμ 124. (124).
βάπτισμα 640. 728.
Βαρθολομαῖος (228). 384.
Βασιλείδης (204).
βασκανία 160. 180. 316. 656. 660. 662. 664. 752. 778.
Βεελζεβοὺλ 456. 464. 656. 672. 678. 792. 858.
Βεελφεγὼρ 496.
Βελίαρ 352.
Βηθλεὲμ 278.
Βηθσαϊδὰ 580.
βλασφημία 148. 284. 292. 686. 688.

Γ

Γαλάται 300.
Γαλιλαία 190 (580).
γαστριμαργία 320. 778.
γέεννα 102. 104. 196. 198. 328. 470. 480. 548. 554. 662. 694. 696. 748. 750. 824. 888. 892.
γνῶσις 122. 546. 600. 610. 842.
Γολιὰδ 202. 210.
Γομόρρα 396. 432. 544. 552.

Δ

Δαθὰν 660. (660).
δαιμόνιον, -α 120. 122. 574. 580. 656. 672. 678. 684. 738. 792. 858.
δαίμων, -ες 130. 198. 258. 262. 264. 268. 270. 274. 372. 374. 410. 412. 420. 430. 484. 486. 530. 590. 604. 606. 656. 658. 672. 676. 680. 682. 684. 690. 698. 708. 724. 730. 738. 740. 742. 820. 826. 850. 864. 872.
Δανιὴλ 124. 754.
Δαυῒδ 22. 34. 100. 164. 200. 202. 212. 366. 368. 542. 626. 628. 630. 648. 656. 670. 676. 708. 710. 820. 822. 854.
Δευτερονόμιον 500.
διάβολος, -οι 18. 54. 61. 96. 106. 130. 206. 240. 262. 416. 436. 452. 590. 594. 638. 640. 658. 660. 664. 682. 684. 686. 702. 714. 730. 746. 774. 802. 806. 808. 810. 820. 828. 834. 868. 870. 872. 890.
Διαθήκη Καινὴ (104). 292. 796.
Διαθήκη Παλαιὰ (204). 314. 322. (544). 688. 796.
δικαιοσύνη 616. 654. 692. 708. 790.
Διονύσιος, τύραννος Συρακουσῶν (434).
Δίων 436. (436).
δόγμα, -τα 72. 118. 148. 174. 256. 324. 444. 534. 546. 848.

Ε

'Εβραῖος, -οι 638. 748.
εἱμαρμένη (200).
εἰρήνη 346. 396. 400. 404. 430. 444. 492. 494. 508. 548.
ἐλεημοσύνη 26. 46. 116. 238. 414. 512. 520. 638. 696. 826. 848.
ἐλευθερία 210. 412. 468. 726. 890.
'Ελιὰβ (660).
'Ελιασσῖος 150. 858.
'Ελλὰς 436.

Ἕλλην, -ες 26. 28. 332. 352. 360. 410. 428. (544). 548. 586. 740. 752. 818.
ἐλπὶς 38. 50. 62. 76. 86. 92. 208. 360. 442. 476. 642. 748. 776. 804.
ἐξομολόγησις 878.
ἐξουσία 64. 128. 144. 146. 148. 172. 174. 188. 286. 288. 290. 380. 420. 422. 664. 666. 678. 684. 758. 822.
ἐπιείκεια 286. 292. 294. 318. 564. 654. 764. 826. 858. 868.
ἐπιθυμία 44. 454. 590. 624. 638. 684. 764. 778. 822.
ἐπιορκία 864. 886. 888.
Ἐρινύς, -ύες 658. (658).
Ἐρυθρὰ (θάλασσα) 638. 640.
εὐαγγέλιον 146. 374. 376. 848.
εὐεργεσία 60. 108. 162. 184. 248. 286. 374. 446. 644. 650. 656. 726. 730. 798. 834.
εὐσέβεια 158. 436. 480. 494. (678). 752. 768. 846.
εὐσπλαγχνία 644.

Z

Ζακχαῖος 308.
Ζαχαρίας 616.
Ζεβεδαῖος 382. 384.
ζῆλος 176. 298. 370.
ζηλοτυπία 334. 528. 534.
Ζήνων ὁ Κητιεὺς (434).
ζωὴ 90. 176. 208. 214. 234. 354. 364. 374. 482. 486. 620. 622. 640. 720. 752. 824. 828. 866.

H

ἡδονὴ 308. 346. 488. 596. 598. 618. 656. 664. 670. 706. 750. 776. 778. 780. 870. 880. 886. 888.
Ἠλίας 20. 24. 136. 140. 570. 572. 820. 858. 860.
Ἡρώδης 138. (383). 562. 860. 862. 864. 866. 872. 876. 878. 880.
Ἡρωδιὰς 862. 864. 882.
Ἡρωδιανοὶ 316. 650.
Ἠσαΐας 220. 224. 320. 540. 652. 792.
Ἠσαῦ 660. 662.

Θ

Θαδδαῖος 384. (384).
Θάλασσα Ἐρυθρὰ 744.
θάνατος 98. 106. 114. 128. 186. 234. 246. 264. 348. 352. 354. 360. 430. 432. 470. 472. 476. 480. 482. 488. 502. 544. 546. 550. 552. 616. 620. 640. 714. 728. 732. 734. 752. 794. 828. 866. 890.
θαῦμα 122. 152. 158. 226. 244. 246. 248. 250. 252. 262. 284. 298. 340. 366. 368. 412. 530. 536. 574. 576. 638. 742. 796. 820. 824. 854. 856. 864.
θέλημα 118. 128. 494. 604. 762. 764.
Θεμιστοκλῆς 436.
θεογνωσία 262.
θεότης 224. 252. 672. 702.
Θευδᾶς 878.
θλῖψις 92. 548. 614. 740. 774.
θυμὸς 136. 426. 448. 548. 654. 666. 716. 744. 826. 874.
θυσία 160. 310. 312. 314. 332. 450. 634. 676. 716. 846.

I

Ἰακὼβ 22. 178. 660. 662. 710. 822.
Ἰάκωβος ἀδελφόθεος 856.
Ἰάκωβος ὁ τοῦ Ἀλφαίου 384.
Ἰάκωβος ὁ τοῦ Ζεβεδαίου 302. 352. 356. 382. (383). 386. (580). 822.
Ἰεζεκιὴλ 578. 582. 536. 724. 732. 744. 830.
Ἰερεμίας 286. 322. 504. 732. 860.
Ἱεριχὼ 630.
Ἱεροσόλυμα 732. 758.
Ἱερουσαλὴμ 36. 582. 744.
Ἰεσσαὶ 540. 822. 854.
Ἰεφονῆς 640.
Ἰησοῦς 144. 170. 176. 178. 184. 200. 216. 222. 230. 232. 238. 240. 252. 278. 286. 298 .308. 316. 366. 370. 380. 528. 534. 536. 556. 576. 580. 600. 624. 626. 640. 650. 672. 730. 766 830. 848. 854. 860.
Ἰησοῦς Χριστὸς 28. 62. 116. 142. 168. 214. 242. 276. 296. 334. 364. 414. 444. 458. 490. 526. 554. 598. 622. 642. 670. 696. 720. 730. 754. 786. 804. 828. 852. 892.
Ἰορδάνης 150. 534. 558.
Ἰουδαῖος, -οι 56. 60. 66. 80. 102. 118. 136. 154. 162. 164. 178. 180. 182. 184. 186. 190. 196. 212. 230. 278. 366. 378. 386. (386). 426. 428. 470. 496. 498. 518. 520. 534. 538. 546. 548. 558. 562. 564. 566. 576. 614. 624. 638. 652. 686. 730. 750. 760. 794. 796. 836.
Ἰουδαϊσμὸς 300.
Ἰούδας (44).
Ἰούδας (Ἰουδαῖος) 878.
Ἰούδας Ἰσαριώτης 122. 382. 384. (385).
Ἰούδας ὁ Ἰακώβου 196. 382.
Ἰούδας ὁ τοῦ Ἀλφαίου 382.
Ἰούδας, υἱὸς Ἰωσήφ, 856.
Ἰουλιανὸς 740.
Ἰσαὰκ 178. 196. 356. 822.
Ἰσσάαρ (660).
Ἰσραὴλ 176. 178. 182. 186. 284. 372. 378. 386. 460. 462. 638.
Ἰσραηλίτης, -αι 182. 860.
Ἰωάννης (Βαπτιστής) 20. 26. 102. 138. 140. 192. 196. 222. 228. 230. 290. 314. 316. 318. 320. 324. 378. 528. 530. 532. 534. 536. 538. 540. 556. 558. 560. 564. 566. 568. 570. 574. 576. 578. 580. 584. 600. 814. 820. 860. 862. 864. 866. 868. 872. 878. 880.
Ἰωάννης Εὐαγγελιστὴς 182. 204. 278. 298. 302. 352. 376. 382. (383). (580). 758. 822.
Ἰὼβ 130. 262. 448. 452. 682. 716. 820.
Ἰωνᾶς 722. 726. 728. 730. 732. 734.
Ἰωσῆς 856.
Ἰωσὴφ 454. 662. 754.

K

Κάιν 660. 662.
Καίσαρ 444.
κακία 46. 48. 74. 134. 136. 138. 142. 146. 238. 360. 582. 586. 616. 636. 720. 818. 878.
κάλλος 34. 332. 334. 488. 490. 744. 844. 846. 850.

Κανᾶ 182. (228).
Καπερναοὺμ 170. (182. 298). 278. 580. 854.
κατάνυξις 696.
καρδία 98. 284. 286. 294. 402. 418. 602. 612. 622. 646. 696. 702. 716. 726. 728. 774. 794. 826. 846. 848.
κενοδοξία 414. 664. 694. 766. 778. 810. 826.
κήρυγμα 814. 816. 818. 838. 840.
κίνδυνος, -οι 380. 442. 460. 470. 472. 614. 620. 666. 706. 808.
Κορίνθιος, -οι 68. 410. 688. 692. 822.
Κιριὼθ (385).
κολακεία 722. 724.
Κορνήλιος 754.
Κορὲ 660. (660).
κρίσις 120. 126. 432. 542. 562. 580. 654. 704. 712. 734. 736.
Κυρήνη (436).

Λ

Λάβαν 660. 710.
Λάζαρος 238. 240. 342. 348. 350.
Λεββαῖος 384. (384).
Λεία 330.
Λευῒς (298).
Λουκᾶς 170. 178. 180. 182. 244. 246. 254. 314. 322. 336. 338. 344. 384. 500. 528. 580. 604. 624. 680. 856. 858. 860. 862.
Λὼτ 172. 732.

Μ

Μακκαβαῖος, -οι 544. (544).
μακροθυμία 672. 744.
Μανασσῆς 52.
Μάνης 198 (496).
μαμωνᾶς 696.
Μανιχαῖος, -οι (198). 204.
Μάρθα 176.
Μαρία (ἀδελφὴ Λαζάρου) 238.
Μαρία (ἀδελφὴ Μωϋσέως) 212.
Μαρία (Θεοτόκος) 856.
Μαρκίων 204. (204). 610. 730.
Μᾶρκος 216. 244. 254. 338. 382. 628. 634. 788. 830. 862.
Ματθαῖος 180. 182. 216. 246. 254. 298. 338. 382. 384. 680. 766. 788.
Μαυριτανία (384).
Μεσοποταμία (124).
μετάνοια 52. 212. 294. 314. 360. 692. 696. 776. 878.
μῖσος 134. 420.
μοιχαλὶς 878.
μοιχεία 590. 660. 694. 892.
μοναχός, -οὶ 24.
Μονογενὴς 712. 760.
μυστήριον, -α 78. 128. 552. 688. 728. 788. 832.
Μωϋσῆς 144. 152. 154. 186. 212. 224. 248. 250. 312. 320. 348. 386. 504. 518. 548. 566. 638. (660. 661). 854.

Ν

Ναβουθὲ 492.
Ναβουχοδονόσορ 124. (124).
Ναζαρὲτ 278. 854. 856.
Ναθαναὴλ 228. 384. (384).
Νεεμὰν 150. (150). 336. 860.
Νέρων (382). 438.
νηστεία 520. 574. 576. 826.
Νινευῒτης, -αι 582. 730. 732. 736. 738. 742.
νόμος 66. 70. 74. 98. 118. 150. (152). 154. 310. 322. 356.

418. 444. 522. 546. 548. 570. 582. 612. 624. 630. 632. 634. 646. 652. 666. 784. 824. 832. 844. 866. 870. 874. 884. 890.

Ξ

Ξέρξης 436.

Ο

ὁμόνοια 402. 492. 652. 792.
Ὀνήσιμος 754.
Οὐεσπασιανὸς 740.
Οὐρίας 710.

Π

Παλαιστίνη 376. 380. 428. 460. 468. (544).
Παράδεισος 446.
παραμυθία 26. 422. 430. 456. 462. 466. 748. 780. 802. 866. 874.
παρανομία 124. 590. 592. 868.
παρθενία 48. 798. 826. 848.
Παρθία (298).
παρουσία ἔνσαρκος 548.
παρρησία 72. 304. 476. 478. 564. 566. 626. 664. 810. 814. 820. 832. 868. 872. 890.
Πατὴρ 36. 38. 40. 46. 58. 86. 118. 128. 168. 252. 284. 288. 312. 368. 372. 406. 410. 432. 438. 472. 476. 506. 508. 520. 528. 578. 600. 604. 606. 608. 610. 624. 626. 636. 648. 652. 654. 724. 754. 762. 764. 822. 834.
Πάτμος (383).
Πάτραι (382).
Παῦλος 18. 48. 60. 64. 68. 76. 78. 80. 88. 92. 98. 102. 118. 122. 136. 158. 160. 162. 246. 258. 292. 294. 298. 300. 308. 310. 352. 364. 398. 406. 412. 422. 448. 444. 480. 492. 500. 508. 514. 518. 520. 540. 546. 566. 584. 588. 602. 604. 606. 610. 614. 620. 638. 654. 692. 716. 810. 828.
πειρασμός, -οὶ 244. 248. 774.
Περικλῆς 436.
περιτομὴ 646.
περιφάνεια 424. 702.
Περσία (198. 384).
Πέτρος 64. 80. 216. 298. 302. 344. 352. 382. (385). 444. (580). 626. 822. 828.
Πιλᾶτος 728.
πίστις 54. 124. 146. 170. 176. 178. 180. 188. 194. (200). 218. 280. 340. 342. 344. 346. 366. 368. 370. 372. 402. 424. 476. 570. 600. 690. 796. 814. 840. 856.
πλάνη 754. 806. 808.
Πλάτων 434. (434). 436.
πλεονεξία 46. 110. 238. 478. 638. 694. 752. 786. 882.
πλημμέλημα 62. 66. 70. 74.
Πνεῦμα 76. 168. 202. 212. 322. 380. 432. 438. 440. 456. 476. 528. 530. 540. 640. 652. 678. 680. 688. 690. 700. 740. 800.
Πνεῦμα ἅγιον 530. 540. 692. 754. 800.
πονηρία 46. 60. 100. 226. 294. 318. 372. 496. 558. 636. 644. 650. 658. 660. 702. 706. 722. 778. 792. 794. 840.
Πόντος (204).
πορνεία 660. 876.
πραότης 292. 426. 440. 652.

προαίρεσις 20. 54. 92. 294. 546. 796. 810.
πρόγνωσις 398.
προθυμία 774. 790.
πρόνοια 20. 36. 634. 784.
πρόνοια τοῦ Θεοῦ 18. 24. 36. 42. 158. (200). 260. 472. 740.
προφητεία 194. 562. 792. 744.
προφήτης 40. 492. 498. 506. 510. 540. 556. 562. 570. 574. 600. 626. 628. 650 652. 654. 680. 692. 716. 722. 730. 732. 736. 738. 744. 768. 770. 792. 796. 798. 808. 830. 836. 856. 858. 862. 870. 874. 882.
Πυθαγόρας 434. (434).

Ρ

ραθυμία 94. 170. 232. 404. 720. 746. 780. 790. 798. 820.
Ρεβέκκα 330.
Ρηχαβὶν 738.
Ρωμαῖος, -οι 520. 596.
Ρώμη 382.

Σ

Σάββατον 66. 278. 308. 624. 626. 628. 630. 632. 634. 636. 638. 644. 646. 648. 676.
Σαμαρείτης, -αι 386. (386). 834. 836.
Σαοὺλ 210. 708.
σὰρξ 18. 98. 136. 290. 332. 344. 584. 626. 714. 734. 762. 768.
Σάρρα 330.
Σατανᾶς 672. 676. 682.
Σαῦλος 292.
Σιδὼν 580.
Σινωπεὺς 436.
Σινώπη (Πόντου) (204. 436).
Σίμων ὁ Κανανίτης 382. 384. (384).
Σίμων (Πέτρος) 382. 822. 824. 886.
Σίμων, υἱὸς Ἰωσήφ, 856.
Σόδομα 172. 396. 432. 508. 544. 552. 582. 690. 732. 738. 854.
Σολομῶν 30. 32. 84. 210. 566. 670. 734.
σοφία 34. 410. 430. 578. 580. 602. 680. 846. 856.
σταυρὸς 74. 224. 500. 502. 542. 726. 728. 730. 760.
Στέφανος 224. 258.
Στωϊκοὶ 434. (434).
συγγνώμη 68. 446. 630. 632. 634. 802.
συκοφαντία 466. 694.
Συρακοῦσαι 434.
Συροφοινίκισσα 56. 58. 178.
Σωκράτης 436.
σωτηρία 54. 110. 134. 190. 294. 308. 430. 450. 574. 600. 610. 626. 638. 656. 680. 696. 778. 794. 798. 804. 826. 840.
σωφροσύνη 436. 450. 596. 846.

Τ

ταπεινοφροσύνη 168. 184. 302. 696. 844. 848.
Τιβεριὰς (580).
Τιμόθεος 78. 754.
τιμωρία 52. 102. 110. 112. 254. 478. 480. 548. 550. 678. 694. 742.
Τίτος 742.
τρυφὴ 670. 716. 750. 776. 780. 782. 786. 868. 892.
Τύριος, -οι 552. 582. 738.
Τύρος 580.

Υ

ὕβρις 70. 212. 510. 404. 586. 724. 886. 888.
Υἱὸς 88. 118. 506. 608. 610. 638. Υἱὸς τοῦ ἀνθρώπου 284. 288. 460. 462. 574. 688. 690. 832. 834. Υἱὸς τοῦ Θεοῦ 252. 292. 358. 680. 760.
ὑπακοὴ 388. 408. 498. 654. 770. 836.
ὑπεροψία 664. 778.
ὑπομονὴ 364.

Φ

Φαθουρὰ (124).
Φαραὼ (124). 638. 744.
Φαρισαῖος, -οι 36. 72. 146. 308. 314. 316. 318. 372. 522. 534. 602. 626. 644. 648. 668. 712. 722. 848.
φθόνος 650. 668. 672. 678. 694. 708. 854. 856. 858.
φιλαδελφία 318.
φιλανθρωπία 28. 62. 72. 86. 116. 142. 168. 184. 214. 242. 276. 296. 310. 334. 364. 368. 378. 414. 458. 490. 526. 554. 598. 622. 636. 642. 670. 696. 720. 754. 774. 786. 804. 828. 834. 846. 852. 888. 892.
φιλαυτία 552.
φιλία 56. 408. 890. 892.
Φίλιππος 228. 302. 304. 382. (384).
Φίλιππος (βασ. Ἰουδαίων) 140. 862.
φιλονεικία 644.
φιλοσοφία 26. 28. 72. 150. 154. 164. 168. 232. 276. 298. 398. 436. 448. 452. 454. 548. 596. 612. 618. 666. 732. 828. 870.
φιλοστοργία 48. 68. 86. 104. 172. 408. 788. 812.
φιλοτιμία 34. 46. 394. 756. 758. 804. 860.
φόβος 68. 134. 140. 196. 212. 246. 248. 264. 266. 270. 272. 442. 450. 472. 474. 476. 522. 550. 582. 614. 620. 622. 704. 736. 740. 786. 814. 842. 860.
Φοινίκισσα 172.
φόνος 204. 550. 630. 658. 864. 866. 870.
φροντὶς 22. 24. 40. 42. 46. 48. 50. 362. 390. 392. 416. 462. 470. 618. 666. 716. 720. 776. 780. 850.
φύσις 20. 28. 40. 58. 90. 92. 112. 150. 162. 194. 200. 236. 320. 324. 356. 426. 474. 496. 504. 564. 580. 590. 614. 624. 628. 634. 658. 684. 702. 756. 762. 776. 792. 794. 816. 866. φύσις ἀνθρωπίνη 86.

Χ

Χάλεβ 640.
χάρις 28. 52. 54. 62. 116. 122. 124. 142. 162. 168. 184. 214. 222. 242. 276. 296. 304. 334. 364. 414. 422. 456. 458. 476. 490. 526. 554. 582. 598. 604. 622. 640. 642. 670. 696. 708. 720. 740. 754. 786. 788. 794. 798. 800. 804. 824. 828. 846. 852. 870. 876. 892. χάρις θεία 856. χάρις σατανικὴ 864.
χάρισμα 122. 412. 828.
Χερουβὶμ 594.
Χοραζὶν 580. (580).

ΠΑΡΟΡΑΜΑΤΑ

Σελὶς 17, στίχ. 30 ἀντὶ ἔχῃ γράφε ἔχει
» 21 » 21 » Μωυσῆν » Μωϋσῆν
» 40 » 19 » ἀναγκαῖα ἐστὶ » ἀναγκαῖά ἐστι.
» 79 » 33 » ἀδιαντροπία » ἀδικαντροπιὰν
» 80 » 6 » ἑκάστω » ἑκάστῳ
» 247 » 2 » παιλιὸν » παλαιὸν
» 279 » 19 » ἐγκαταλελειμένος » ἐγκαταλελειμμένος
» 304 » 20 » συνανάκεται » συνανάκειται
» 328 » 18 » δύτερον » δεύτερον
» 344 » 17 » γὰρ πόρρωθεν εἵποντο, ἀλλὰ συνεῖχον αὐτὸν πάντοθεν)· γράφε· γὰρ ἔγνων δύναμιν ἐξ ἐμοῦ ἐξελθοῦσαν πρὸς τὴν ὑπόνοι-
» 339 » 27 » ἰδοὶ » ἰδοὺ
» 347 » 18 » καὶ (προτελευταῖον) » ποὺ
» 352 » 13 » διαβαλέττω » διαβαλλέτω
» 365 » 10 » καταβάλῃς » καταβάλλῃς
» 384 ὑποσ. 25 » ἄλλλα » ἄλλα
» 386 στίχ. 21 » πανταχθὲν » πανταχόθεν
» 408 » 4 » ἄξιοι » ἄξιοι
» 414 » 9 » αὐτὰ » αὐτὰ
» 417 » 31 » ὑποπτεύετο » ὑπωπτεύετο
» 434 » 17 » ὁρμαθῆς » ὁρμαθὸς
» 443 » 26 » ὡμιλήσωμεν » ὁμιλήσωμεν
» 480 » 20 » ἀνακήρυξιν » ἀνακήρυξιν
» 509 » 9 » πτώχιαν » πτώχειαν
» 520 ὑποσ. 27 » Ἀριρ. » Ἀριθμ.
» 553 στίχ. 34 » Γομόρων » Γομόρρων
» 589 » 12 » τροχάδεν » τροχάδην
» 602 ὑποσ. 3 » Προλ. » Προλ. Ματθ.
» 603 στίχ. 30 » αῦτὸ » αὐτὸ
» 620 » 21 » φορντίδες » φροντίδες
» 631 » 21 » συνέχεια » συνέχειαν
» 635 » 27 » ὃ » ὁ
» 645 » 22 » Οἶ » Οἱ
» 656 » 12 » δαιμόνων » δαιμονίων